1 Ἄρεος TFV 4 δειμάμενοι AIM: δειμώμενοι GFV 332 om. T, non A(GITFVM) nov. gl. V 13 δοκοῦντ' GIM: δοκοῦντες AFV 23 βιάζεσθαι] βούλεσθαι A
24 Δειλιάδαι FV 28 ἐπέφαινε AGIT Exc.: ὑπέφαινε M, v. ῥωπικός
ῥωπικός] ἀντὶ τοῦ κεχρωσμένος (ex v. ῥωπικός) mg. add. IM

ὁμοίως δὲ καὶ κατὰ τὴν ἄλλην διάθεσιν ἐν μὲν ταῖς ὁμιλίαις εὔχαρις καὶ πρόχειρος ἦν, παρά τε τὰς συνουσίας εὐτράπελος καὶ πολιτικός, ἅμα δὲ τούτοις φιλέραστος, περὶ κοινῶν ἢ πολιτικῶν πραγμάτων ἀτενίσαι δὲ καὶ προϊδέσθαι τὸ μέλλον ἐμφρόνως, ἔτι δὲ παρασκευάσασθαι καὶ διαλεχθῆναι πρὸς πλῆθος ἐς τέλος ἀδύνατος. καί ποτε κεκινηκὼς ἀρχὴν μεγάλων κακῶν τῇ πατρίδι, τελείως οὐδὲν ᾤετο ποιεῖν, ἀλλὰ τὴν αὐτὴν ἀγωγὴν ἦγε τοῦ βίου, προορώμενος οὐδὲν τῶν μελλόντων, ἐρῶν δὲ καὶ κωθωνιζόμενος ἀφ' ἡμέρας καὶ τοῖς ἀκροάμασι τὰς ἀκοὰς ἀνατεθεικώς. βραχεῖάν τέ τινα τῆς περιστάσεως ἔμφασιν ὁ Τῖτος αὐτὸν ἠνάγκασε λαβεῖν. ἰδὼν γὰρ αὐτὸν παρὰ πότον ἐν μακροῖς ἱματίοις ὀρχούμενον, παραυτὰ μὲν ἐσιώπησε, τῇ δ' αὔριον ἐντυγχάνοντος αὐτοῦ καί τι περὶ τῆς πατρίδος ἀξιοῦντος, ἐγὼ μέν, ὦ Δεινοκράτη, πᾶν, ἔφη, ποιήσω τὸ δυνατόν· ἐπὶ δὲ σοῦ θαυμάζω πῶς δύνῃ παρὰ πότον ὀρχεῖσθαι, τηλικούτων πραγμάτων ἀρχὴν κεκινηκὼς ἐν τοῖς Ἕλλησι. δοκεῖ δὲ τότε βραχύ τι συσταλῆναι, καὶ μαθεῖν ὡς ἀνοίκειον ὑπόθεσιν τῆς ἰδίας αἱρέσεως καὶ φύσεως ἀποδέδωκε. πλὴν τό γε παρεῖναι εἰς τὴν Ἑλλάδα μετὰ τοῦ Τίτου, πεπεισμένος ἐξ ἐφόδου τὰ κατὰ τὴν Μεσσήνην χειρωθήσεσθαι κατὰ τὴν αὐτοῦ βούλησιν.

Hesy. 338 **Δεινόλοχος**, Συρακούσιος, ἢ Ἀκραγαντῖνος, κωμικός. ἦν ἐπὶ τῆς ογ' Ὀλυμπιάδος, υἱὸς Ἐπιχάρμου, ὡς δέ τινες, μαθητής. ἐδίδαξε δράματα ιδ' Δωρίδι διαλέκτῳ.

Δ 339 **Δεινομάχη**: ὄνομα κύριον. καὶ **Δεινόμαχος**, ὄνομα κύριον.

Soph. 340 **Δεινόν**· δεινὸν μὲν τὸ πάλαι κείμενον ἤδη κακόν, ὦ ξεῖν', ἐπεγείρειν. τουτέστι τὸ ἐπεγείρειν καὶ ἀνακινεῖν τὰ πάλαι συμβάντα δυσχερές· ὅμως δὲ μαθεῖν ἐπιθυμῶ τὴν αἰτίαν τῆς πηρώσεως. καὶ

Ar. Καλλίμαχος· τί δάκρυον εὖδον ἐγείρεις; Ἀριστοφάνης· δεινὸν μὲν γὰρ οὕτως ὀμφακίαν πεφυκέναι τὸν θυμὸν ἀνδρῶν ὥστε βάλλειν καὶ βοᾶν ἐθέλειν τ' ἀκοῦσαι μηδὲν ἴσον ἴσῳ φέρον. ἀντὶ τοῦ ὠμὸν καὶ σκληρόν· μεταφορικῶς ἀπὸ τῶν ὀμφάκων. οὕτω δὲ αἱ σταφυλαὶ ὁρισμεῖαι οὖσαι καὶ οὔπω πέπειροι καλοῦνται. ἐκ γὰρ τοῦ ἐναντίου πεπανὸν τὸ ὥριμον καὶ ἡδύ. θηλυκῶς δὲ τὰς ὄμφακας. καὶ Πλάτων ὁ κωμικὸς ἐν δράματι Ἑορταῖς· καὶ τὰς ὀφρῦς σχάσασθε καὶ τὰς ὄμφακας. ἴσον δὲ ἴσῳ φέρον, ἀντὶ τοῦ δίκαιον καὶ ἐξ ἴσου· ἀπὸ μεταφορᾶς τοῦ κιρναμένου οἴνου πρὸς ἴσον ὕδωρ. λέγει δὲ κατ' ἴσον εἰπεῖν καὶ ἀκοῦσαι. καὶ αὖθις· ἀνθρώπους ἐσθίειν βλέποντας καὶ

339 = Ambr. 215 et 169 340 — vs. 27 ἐγείρεις Soph. OC 510—1 c. sch.; Call. fr. 150 K., 273 S. vs. 27 δεινὸν—36 ἀκοῦσαι Ar. Ach. 352—4 c. sch.; Pl. com. fr. 32 ἀνθρώπους sq. Aelian. fr. 108

340 Ar. cf. v. ὀμφακίαν; Aelian. cf. v. Κλείσοφος

A(GITFVM) 2 πρόχειρος AGI Exc.: πρόθυμος M 8 κωθωνιζομένων A 28 γὰρ om. V 33 σχάσασθαι A^{ac}F σχαλάσασθε V 34 δὲ om. FV

δεινοὺς κατὰ γαστέρα· λέγω δὴ Κλειτόφους τε καὶ Θήρωνας καὶ Στρουθίας καὶ Χαιρεφῶντας.

341 Δεινοπαθεῖ: δεινῶς ἔχει, χαλεπὰ πάσχει. Σ

342 Δεινόπους ἀρά: ἡ διὰ τῶν ποδῶν δέος ἐμποιοῦσα. Soph.

343 Δεινός: πανοῦργος, ἱκανός, ἀκολάκευτος, σοφός, ἔμπειρος. Σ
λέγειν σὺ δεινός, μανθάνειν δ' ἐγὼ κακὸς σοῦ· δυσμενῆ γὰρ καὶ βαρύν Soph.
σ' εὕρηκ' ἐμοί. ὁ νοῦς· σὺ μὲν δεινὸς εἶ ἐν τῷ λέγειν, ἐγὼ δὲ οὐ μετ' εὐνοίας σου ἀκούω διὰ τὴν δυσμένειαν.

344 Δεινός· ὅτι Δεκέβαλος, ὁ τῶν Δακῶν βασιλεύς, δεινὸς μὲν ἦν EV
συνεῖναι τὰ πολέμια, δεινὸς δὲ καὶ πρᾶξαι, καὶ ἐπελθεῖν εὔστοχος, ἀναχωρῆσαι καίριος, ἐνέδρας τεχνίτης, μάχης ἐργάτης· καὶ καλῶς μὲν νίκῃ χρήσασθαι, καλῶς δὲ ἥτταν διαθέσθαι ἠπίστατο· ἀφ' οὗ δὴ καὶ ἀνταγωνιστὴς ἀξιόμαχος ἐπὶ πολὺ τοῖς Ῥωμαίοις ἐγένετο. Δεινὸς Suid.
λέγεται καὶ ἡ τῶν λόγων δύναμις.

345 Δεῖνος: προπερισπωμένως ὁ ψηκτήρ. ὃ παρ' ἡμῖν ψηκτρίον Σ!
λέγεται.

346 Δεινότητα: τὴν τε τῶν λόγων δύναμιν δηλοῖ, τὴν τε παν- Σ
ουργίαν.

347 Δεινουμένην: πατουμένην. δεινουμένην ὑπὸ βουσὶν ἐμὴν ἐφύ- Call.
λαξον ἄλωα.

348 Δείνων: ὄνομα κύριον. Δ

349 Δεινωσις: δεινότης, σκότωσις. Σ

350 Δεινωποῖ: δειματώδεις, φοβεροί. Σ

351 Δεινοί: φοβεροί, ἔμπειροι, σοφοί. διὸ ἅμφω ἅπαντες ἀλ- Σ
ηλοιν ὠμοσάτην, ὅσοι δὴ ἐν Χριστιανοῖς δεινότατοι ὅρκοι εἰσί τε καὶ E
ὀνομάζονται, μή ποτε ἀλλήλω καταπροήσεσθαι ἄχρι τῶν ἐς τὸν ὄλεθρον φερόντων κινδύνων.

352 Δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι: ἐπὶ τῶν σφόδρα Prov.
κακουργοτάτων· τοιοῦτοι γὰρ οἱ Αἰγύπτιοι. καὶ Ὅμηρος· δεινὸς Hom.
ἀήτης. ὡς, κλυτὸς Ἱπποδάμεια.

341 = Σ^{a} cf. H 342 sch. Soph. OT 417 343 — ἔμπειρος = Σ^{a}, Lex. rhet. in Et. M. 262, 23, Bk. 234, 25 cf. H λέγειν sq. Soph. OT 545—6 c. sch. 344 — ἐγένετο Cass: D. 67, 6, 1 = EV 2, 364, 7—11 345 — ψηκτήρ = Lex. rhet. in Et. Gen., Et. M. 262, 22 346 — δύναμιν cf. sch. Thuc. 3, 37, 5; l. = Σ^{a} 347 Call. fr. 39 K., 51 S. c. sch. 348 = Ambr. 164 cf. 175 349 = Ba 190, 11, Σ^{a} cf. H 350 = Ba 190, 9, Σ^{a}, H cf. Ambr. 145 351 — σοφοί = Σ^{a}, Ba 190, 5 cf. gl. Dionys. PG 4, 25, H, sch. Pl. Crat. 424c διὸ sq. Proc. h. a. 2, 13 352 — Αἰγύπτιοι alt. = Zen. III 37; l. = Aeschyl. fr. 373 δεινὸς sq. = Aristonic. ap. sch. A in O 626; O 626 et B 742

341 Z 489 342 cf. v. A 1753 343 cf. 351. Soph. cf. v. λέγειν 344 Cass. cf. 189, v. K 1186 et v. A 2603 vs. 13 Δεινὸς sq. ex 346 345 hinc v. ψήκτρα, Z 475 347 Z 489 350 Z 475 351 cf. 343; Proc. cf. v. K 728

1 κατὰ] καὶ κατὰ GI 13 Δεινὸς—14 δύναμις om. FV 15 ψηκτήρ cett.] A(GITFVM) ψυκτήρ cett. Et. cf. Zon. ad 347 Δεῖν ψήθην: δέον εἶναι ὑπέλαβον ex 330 petitum mg. add. I 19 δεινουμένην] δεινομένην IF δινομένην Gramm. Gr. 4, 1, 249, 32 24 ἅπαντα F ἅπαντας Proc. 25 ὠμοσάτην FM^{ac} Proc.: ὁμοσάτην rell. cf. v. K 728 26 τῶν] τὸν A τὴν F

E 353 Δείξαντες· οἱ δὲ αἰφνιδίως ἐπεκθέουσι τῷ τάγματι καὶ διὰ τῆς φάραγγος δείξαντες προσπίπτουσι τοῖς Ῥωμαίοις.

354 Δείξεις· ὁ δὲ Ἀρκεσίλαος ἐς τὰς ἀργυρικὰς δείξεις ἀπήντα πρῶτος, συχνοῖς τε ἐπήρκει καὶ συνηράνιζε.

Σ 355 Δειπνητός: ὁ καθ' ἡμᾶς ἀρίστου καιρός. Δειπνίζω ἕτερον· Δ Δειπνῶ δὲ ἐγὼ αὐτός. καὶ Δειπνεῖν. καίτοι τὸν Ἀγαμέμνονα ἐποίησεν Ὅμηρος δειπνίζοντα τοὺς ἀρίστους. καὶ αὖθις· ὑπόδεξαι ἡμᾶς καὶ δείπνισον.

Σ 356 Δειπνολόχον: κλεπτοτρόφον.

357 Δεῖπνόν τι ὦ Σκύθα· Ζήτει ἐν τῷ Ἀκκιζόμενος. Ζήτει περὶ πολυτελῶν δείπνων ἐν τῷ Βιτέλλιος.

Σ 358 Δεῖπνον: τὸ πρωϊνὸν ἄριστον. ὅπερ ἀκρατισμὸς λέγεται.

Hom. εἶτα περὶ ὥραν γ' ἄριστον, παρὰ τὸ εἰς ἀριστείαν προέρχεσθαι. καὶ δεῖπνος, μεθ' ὃν δεῖ πονεῖν. εἶτα τὸ ἑσπερινὸν δόρπος, παρὰ τὸ

Ar. δόρυ παύειν. καὶ Ἀριστοφάνης· δειπνεῖν με δίδασκε. ἐπὶ τῶν ἀδηφάγων.

359 Δειπνοσοφισταί: βιβλίον ἐστὶν οὕτως ἐπιγραφόμενον (Ἀθήναιος δὲ ὁ γεγραφὼς ὄνομα) ὅ ἐστιν ἐπωφελές. ὅτι Οὐλπιανός, εἷς τῶν Δειπνοσοφιστῶν, ὃς Κειτούκειτος ἐκλήθη διὰ τὸ συνεχῶς προβάλλειν, εἰ κεῖται ὥρα ἐπὶ τοῦ τῆς ἡμέρας μορίου· καὶ εἰ ὁ μέθυσος ἐπὶ ἀνδρός· εἰ μήτρα ἐπὶ τοῦ ἐδωδίμου βρώματος· σύαγρός τε εἰ κεῖται ἐπὶ τοῦ συός. καὶ νόμον εἶχεν ἴδιον μηδενὸς ἀποτρώγειν, πρὶν εἰπεῖν κεῖται ἢ οὐ κεῖται. Κειτούκειτος· Ζήτει ἐν τῷ Ἀθήναιος περὶ ὧν μνημονεύει ἀνδρῶν παλαιῶν μεγαλοψύχως δοξάντων ἐστιᾶν, περί τε Ἀλεξάνδρου καὶ Ἀλκιβιάδου καὶ Ἐμπεδοκλέους Ἀκραγαντίνου καὶ τῶν λοιπῶν.

Harp. 360 Δειπνοφόροι: αἱ φέρουσαι τοῖς κατακεκλιμένοις ἐν τῷ τῆς Ἀθηνᾶς ἱερῷ τὰ δεῖπνα.

ΔΣ 361 Δείρα. καὶ Δειράδες, οἱ τραχώδεις τόποι τῶν ὀρῶν.

E ὁ δὲ δείσας μὴ περὶ τῶν ὅλων τὴν χώραν ἐκλείπειν ἔγνω. καὶ

Anth. αὖθις· τὸν πάρος Ὀρβηλοῖο μεμυκότα δειράσι ταῦρον.

353 Ios. Bell. 5, 75 cf. Byz. Zt. 23, 15 354 Laert. 4, 38 355 — καιρός = Ba 190, 12 Δειπνίζω ἕτερον = Ambr. 297; Δειπνῶ ἐγὼ = Ambr. 293 καίτοι—ἀρίστους Ath. 1, 9a ὑπόδεξαι sq. Artem. 5, 82 init. 356 = Ba 190, 10, Lex. rhet. in Et. Gen. cf. Et. M. 262, 48 358 — ἄριστον = Ba 190, 13 cf. sch. B 381, Et. M. 262, 35, Et. Gud., H ἀκρατισμὸς—παύειν cf. sch. B 381, Ω 124, An. Ox. 1, 110, 7; 2, 197, 5, Et. M. 262, 36, Ath. 1, 11e δειπνεῖν sq. Ar. Ran 107 c. sch. 359 Οὐλπιανός—vs. 23 κεῖται Ath. 1, 1e cf. Herm. 22, 325 360 Harp. 361 Δείρα cf. H, Ambr. 212 Δειράδες—ὀρῶν = Σ^{a}, Ba 190, 17 cf. H, Apion, Ambr. 210 vs. 30 τὸν sq. Anth. 6, 115, 1

355 Vind. 80. Ath. cf. v. Ὅμηρος 1 358 hinc 1393, v. A 3923; Z 482 359 cf. v. Κειτούκειτος, partim hinc vs. 23 Ἀθήναιος sq. ex v. A 731 361 Anth. cf. v. μεμυκότα et v. Ὀρβηλοῖο

A(GITFVM) 2 φάρυγγος IV 13 ἄριστον ed. pr.: ἄριστος omnes προσέρχεσθαι A 17 βιβλίον om. GIT 20 εἰ pr. v. Κειτούκειτος, Kust.: om. omnes 23 Κειτούκειτος—25 λοιπῶν ex A^{mg}I (post 355), M 29 ὁ—ἔγνω ad 367 rettulit Gsf. ὅλων] lac. statuit Bhd.

362 Δειρατιώτης: δῆμός ἐστι τῆς Λεοντίδος Δειράδες, ἀφ' οὗ ὁ Harp.
δημότης Δειρατιώτης.
363 Δειραχθές: τὸ τὴν δειρὴν ἀλγῦνον. δειραχθὲς εὔβροχον ἅμμα Anth.
πετεινῶν.
364 Δειρή: ὁ τράχηλος. Δ
365 Δεῖca: ἡ ὑγρασία. Δ
366 Δειcαλέα: κοπρώδη. δεῖca γὰρ ἡ κόπρος. Δ?
367 Δείcαντες: φοβηθέντες. καὶ Δείcας, φοβηθείς. Ἡρόδοτος· Δ
ὁ δὲ δείcας περὶ τοῖς Ἕλλησι, μὴ οὐ δύνωνται τὸν βάρβαρον ὑπερ- E
βαλέσθαι. καὶ Ἀππιανός· δείcας ὁ Καῖcαρ περὶ τῷ Κικέρωνι ὑπ- E
έστρεφεν εἰς τοὐπίcω. καὶ αὖθις· ὁ δὲ δείcας περί τέ οἱ αὐτῷ καὶ EL
τῇ πόλει.
368 Δειcιδαιμονία: εὐλάβεια περὶ τὸ θεῖον, δειλία, ἀμφιβολία περὶ x + Σ
τὴν πίcτιν. καὶ Δειcιδαίμων, οἱονεὶ δεδοικώς. ὁ Ἀπόcτολος·
ἄνδρες Ἀθηναῖοι, ὡς δειcιδαιμονεcτέρους ὑμᾶς θεωρῶ. ἀντὶ τοῦ
θεοcεβεῖς. καὶ Κρίτων ἐν τοῖς Γετικοῖς φηcιν· οἱ δὲ βαcιλεῖς τῶν E
Γετῶν ἀπάτῃ καὶ γοητείᾳ δειcιδαιμονίαν καὶ ὁμόνοιαν αὐτοῖς ἐν-
εργαcάμενοι μεγάλων ἤδη ἐφίενται. καὶ Πολύβιος ὁ Μεγαλοπολίτης EV
περὶ Τιμαίου φηcίν· οὗτος γὰρ ἐν μὲν ταῖς τῶν πέλας κατηγορίαις
πολλὴν ἐπιφαίνει δεινότητα καὶ τόλμαν, ἐν δὲ ταῖς ἰδίαις ἀποφάcεcιν
ἐνυπνίων καὶ τεράτων καὶ μύθων ἀπιθάνων καὶ cυλλήβδην δειcιδαι-
μονίας ἀγεννοῦc καὶ τερατείας γυναικώδους ἐcτὶ πλήρης. ὅτι Ἀcκλη-
πιόδοτος ὅcιος ἦν καὶ εὐcεβὴς καὶ τὰ μὲν πρῶτα δειcιδαίμων ἐγεγόνει
καὶ εὐλαβὴς οὕτωc cφόδρα ὥcτε μήτε θύειν ἀνέχεcθαι μήτε τινὸc
ἀπορρήτου μηδενὸc ἀκούειν· οὐ γὰρ εἶναι ταῦτα τῆς γενέcεως ἄξια,
ἀλλὰ τοῦ Ὀλύμπου καὶ τῶν ἐν Ὀλύμπῳ διαζῆν ἡγουμένων. ὅτι
ἡ εὐcέβεια μέcη τυγχάνει ἀcεβείας καὶ δειcιδαιμονίας. ὅτι δειcι-
δαιμονία ἡ ἄκαιροc παρρηcία. ὁ Πύρροc γὰρ cυλῶν τὰ χρήματα E
τῆς Φερcεφόνης ἐπικώψαc ἔφη· ἡ ἄκαιροc θεοcέβεια δειcιδαιμονία
ἐcτί, καὶ τὸ cυλλέξαι πλοῦτον ἄπονον εὐβουλία.

362 Harp. cf. Ambr. 141, Bk. 240, 26 363 δειραχθὲc sq. Anth. 6, 179, 3
364 = Ambr. 212, Philop. diff., Ba 190, 14 cf. H, sch. Γ 396, Et. Gen.
365 = Ambr. 209, Ps. Herodian. 225, Et. M. 263, 1, Et. Gen., Choerob. An.
Ox. 2, 196, 16, Boisson. An. 4, 373 vs. 149 367 — φοβηθέντες = Ambr. 277,
An. Ox. 2, 477, 33 cf. H v. δεῖcαι Δείcας, φοβηθείς = Ps. Herodian. 22,
Ludw. 17, 14 vs. 9 ὁ—ὑπερβαλέcθαι Hdt. 7, 163, 1 vs. 10 δείcας—τοὐπίcω
App. Celt. 20 vs. 11 ὁ sq. Proc. bell. 2, 20, 2 = EL 101, 25, 6 cf. Byz. Zt. 23, 46
368 δειλία cf. H ἀμφιβολία—δεδοικώς + θεοcεβεῖc cf. ad 369 ἄνδρες—θεωρῶ
Act. Ap. 17, 22 vs. 16 οἱ—ἐφίενται FGrHist 200 fr. 7 vs. 19 οὕτος—πλήρης
Polyb. 12, 24 = EV 2, 134, 9—13 vs. 22 ὅτι—ἡγουμένων Dam. fr. 119
vs. 28 ὁ sq. App. Samn. fr. 12 = ES 66, 7—9, EV 2, 221, 1—4 cf. Byz. Zt. 21, 393

363 Z 482 368 cf. 369

363 om. F 4 πετηνῶν VM^{ac} cf. Anth. 9 δύνανται GI ὑπερβάλλεcθαι A(GITFVM)
1F cf. Hdt. ὑποβαλέcθαι V 16 Κρίτων] Κρίττον A κρεῖττον FV 17 γοητείᾳ]
γ. καὶ V καὶ alt.—ἐνεργαcάμενοι] ἐνεργαcάμενοι ἀ. κ. ὁ. FVM ἐνεργαcάμενοι]
ἐργαcάμενοι V 26 ἡγουμένων] corruptelam statuit Bhd. 29 Φερcεφόνης I:
Φερcεφώνης A Περcεφόνης rell. EV

Σ 369 Δεισιδαίμων: θεοσεβής· ἢ ἀμφίβολος περὶ τὴν πίστιν, καὶ οἱονεὶ δεδοικώς. καὶ Δεισιδαιμονίας, ἀντὶ τοῦ θεοσεβείας,
E εὐλαβείας περὶ τὸ θεῖον· ἢ δειλίας. ὁρῶν δὲ τοὺς στρατιώτας δεισιδαιμονοῦντας ἐπὶ τοῖς σημείοις ἐφιλοτιμεῖτο διὰ τῆς ἰδίας ἐπινοίας καὶ στρατηγίας μεταθεῖναι τὰς τοῦ πλήθους εὐλαβείας.

Suid. 370 Δεῖ σοι: πρέπει.

Σ 371 Δεῖται: προσδεσμεύεται ἢ χρήζει.

Ar. 372 Δή: ἀντὶ τοῦ νῦν. Ἀριστοφάνης Νεφέλαις· φρόντιζε δὴ καὶ διάθρει. Σωκράτης λέγει πρὸς τὸν πρεσβύτην. τὸ δὴ ἰσοδύναμον τῷ νῦν.

Δ 373 Δηβελτός: πόλις Θρᾳκική.

Δ 374 Δήετε: εὑρήσετε.

Δ 375 Δηθά: ἐπὶ πολὺν χρόνον.

Δ 376 Δηθάκις: πλειστάκις.

Σ 377 Δῆθεν: ὡς δή φησι· τοῦτο δὲ προσποίησιν ἀληθείας ἔχει, δύναμιν δὲ ψεύδους. λαμβάνεται δὲ τὸ θεν ὡς παραπληρωματικόν.
E ὁ δὲ Σερτώριος παρήνει ὡς δῆθεν αὐτοῖς παραδοῦναι τὴν πόλιν. ὁ δὲ Κῦρος ὡς ἐπὶ Πισίδας δῆθεν ἐπορεύετο, ἐφ' οὓς στρατεύειν προεφασίζετο. καὶ αὖθις· προέτεινε τὰς χεῖρας ἱκετεύων δῆθεν. καὶ αὖθις· ἄλλως δὲ τῇ καθ' ἡμᾶς πολιτείᾳ χαίρειν ἐθέλοντα δῆθεν.

Δ 378 Δηθύνω: ἐγχρονίζω, βραδύνω.

Δ Anth. 379 Δήεις: εὑρήσεις. ἐν Ἐπιγράμμασι· γραψάμενος δήεις.

Soph. 380 Δηΐα: καταπεπολεμημένη, κατακεκαυμένη· ἢ δηΐα, πεπονθυῖα. κοινῶς πολεμία, Ἀττικῶς δύστηνε. Σοφοκλῆς· ὦ δηΐα Τέκμησσα, δύσμορον γένος.

Δ 381 Δηϊάνειρα: ὄνομα κύριον.

Δ 382 Δηϊδάμεια: ὄνομα κύριον.

Δ 383 Δηΐλεια.

Δ 384 Δηΐμαχος: ὄνομα κύριον.

369 — δεδοικώς = Ba 190, 18, Et. M. 263, 19 δειλίας cf. H ὁρῶν sq. Diodor. 15, 53, 4 371 = Ba 190, 20 cf. H 372 Ar. Nu. 700 c. sch. 374 = Ambr. 411, H, sch. l 418, sch. A interl. l 685 cf. Et. M. 263, 44 375 = Ambr. 425, sch. A interl. et D ad B 435 cf. H 376 = Ambr. 431 cf. H 377 = Ba 191, 34 cf. sch. Ap. R. 1, 998, sch. Thuc. 1, 92, sch. Soph. Tr. 382, H, Et. M. 263, 25 vs. 17 ὁ—πόλιν fort. App. vs. 18 ὁ—προεφασίζετο cf. v. Ξενοφῶν 2, Xen. An. 1, 2, 1 378 cf. H v. δηθύνοντα = sch. A interl. in A 27, sch. D in Z 503; — ἐγχρονίζω = Ambr. 413 cf. H v. δηθύνειν; βραδύνω = Et. M. 263, 21, Ps. Herodian. 20 379 — εὑρήσεις = Ambr. 410, sch. N 260, Ap. S. 58, 4, H, Et. M. 263, 46 γραψάμενος sq. Anth. 6, 126, 4 380 Soph. Ai. 784 c. sch. 381 = Ambr. 368, Ps. Herodian. 20 382 l. = L 384 = Ambr. 331

370 ex 299 372 Z 504 373 hinc 134, Z 499 374 cf. 379 et 481. Z 502 375—7 Z 504 377 vs. 18 ὁ—προεφασίζετο hinc v. Πισιδία. cf. v. Ξενοφῶν 2 379 cf. 374 et 481. Z 502

A(GITFVM) 5 μεταθῆναι AF τὰς τοῦ] τοὺς A 370 om. TFV 10 τῷ] τῶν A 375—8 extra ordinem 18 Πισιδίας GIM cf. v. Ξενοφῶν 23 καταπολεμημένη A

385 Δηϊόκεω· ὅτι Ἀλυάττης Κυαξάρῃ τε τῷ Δηϊόκεω ἀπογόνῳ ἐπολέμησε καὶ Μήδοισι Κιμμερίους τε ἐκ τῆς Ἀσίας ἐξήλασε. Suid.

386 Δηϊονεύς: ὄνομα κύριον. Δ

387 Δηϊοπίστης: ὄνομα κύριον. Δ

388 Δήϊος: ὄνομα κύριον. Δ

389 Δηϊοτῆτος: μάχης. Σ

390 Δηϊώ: ὄνομα κύριον. Δ

391 Δηΐων: διακόπτων. Δ

392 Δηΐπυλος: ὄνομα κύριον. Δ

393 Δηΐπυρος: ὄνομα κύριον. Δ

394 Δηΐφοβος: ὄνομα κύριον. Δ

395 Δηλαδή: φανερῶς. Δ

396 Δηλαϊστή: ἐλεεινή, ἀθλία. Σ

397 Δηλάτωρ: ὁ κατήγορος. καὶ Δηλάτωρες. ὅτι Ἀναστάσιος Δ
ὁ βασιλεὺς Ῥωμαίων τὸ τῆς δηλατωρίας πάθος τιμωρεῖται πρὸς τοῖς Ε
ἄλλοις ἔργοις.

398 Δηλατωρίαι: αἱ τῆς κατασκάσεως τοῦ δημοσίου φόρου ἀποδείξεις παρὰ Ῥωμαίοις, αἱ εἰσαγγελίαι.

399 Δήλεια καὶ Δηλιάς. Δ

400 Δηλίου κολυμβητοῦ· τοῦτο ἐρρήθη εἰς βιβλίον Ἡρακλείτου διὰ τὸ δυσνόητον, Δηλίου τινὸς δεῖσθαι κολυμβητοῦ, ὃς οὐκ ἀποπνιγήσεται ἐν αὐτῷ. ἐπιγράφουσι δὲ αὐτὸ οἱ μὲν Μούσας, οἱ δὲ Περὶ φύσεως, Διόδοτος δὲ Ἀκριβὲς οἰάκισμα πρὸς στάθμην βίου, ἄλλοι Γνώμην ἠθῶν, Κόσμον τρόπων ἑνὸς τῶν ξυμπάντων. ἢ οὕτως· Δηλίου κολυμβητοῦ, ἐπὶ τῶν ἄκρως νηχομένων. Σωκράτει γὰρ δόντος τοῦ Εὐριπίδου Ἡρακλείτου τοῦ Σκοτεινοῦ σύγγραμμα, ἐρέσθαι, τί δοκεῖ; τὸν δὲ φάναι· ἃ μὲν συνῆκα γενναῖα· οἶμαι δὲ καὶ ἃ μὴ συνῆκα· πλὴν Δηλίου δεῖται κολυμβητοῦ εἰς τὸ μὴ ἀποπνιγῆναι ἐν αὐτῷ.
καὶ παροιμία· Δήλιος κολυμβητής, ἐπὶ τῶν πάνυ ἐμπείρων Prov.
νήχεσθαι.

401 Δηληγατίων: κατὰ Ῥωμαίους ἡ ἐκταγὴ τοῦ σιτοπομπείου, καὶ ἡ ἀννονῶν μετακομιδή.

380 = Ambr. 338 387 cf. Ambr. 339 388 = Ambr. 343 389 = Ba 192, 3, sch. Ε 348 cf. Apion, Ambr. 367, Et. M. 263, 37, H 390 = Ambr. 372 391 = H, sch. P 65, Ambr. 408 392 = Ambr. 327 393 = Ambr. 347 394 = Ambr. 330, Ps. Herodian. 20 395 = Ambr. 426, H 396 = Ba 192, 5 cf. H 397 — κατήγορος = Ambr. 310, H; Δηλάτωρες cf. Ambr. 354 ὅτι sq. Io. Antioch. fr. 214 b, FHG 5, 1, 29 = EI 140, 31 + 141, 1 398 = Lex. Rom. Barocc. 399 Δηλιάς = Ambr. 374 400 — ξυμπάντων Laert. 9, 12 Σωκράτει—κολυμβητοῦ Laert. 2, 22 cf. Philol. 47, 383 401 = Lex. Rom. Barocc.

385 ex v. Γ 472 386 Z 499 389 Z 499 391 cf. 482. Z 503 395 Z 504 396 Z 500 397 Z 493 398 Z 500 401 cf. v. A 2595 partim hinc; Z 493

385 om. GTFV post 386 A post 382 I 1 Δηϊόκεω om. A 386—7 om. V A(GITFVM) 388 om. T 393—4 om. A 13 ἀθλία om. VM Hes. 17 τοῦ—18 εἰσαγγελίαι om. A 400 extra ordinem 20 ἐρρέθη IFM^{ac} 21 δεῖσαι A 22 αὐτὸ] αὐτῷ A^{ac}F 28 Δηληΐου A 31 Δηλιγατίων GIT Zon.

Δ 402 Δήλημα: βλάβη.

Δ 403 Δηλήμων: ὁ βλαπτικός.

ΣΔ 404 Δηλήσεται: βλάψει, διαφθερεῖ. καὶ Δήλησις, ἡ βλάβη. Ε ληστὰς ἐπελθόντας ἐπὶ δηλήσει τῶν βοῶν Θεσπιάδου.

Δ 405 Δηλητήριον: φάρμακον.

Δ 406 Δηλιάς: ἡ ναῦς. καὶ ἡ Δημήτηρ. καὶ κύριον ὄνομα.

Harp. 407 Δηλιασταί: οἱ εἰς Δῆλον ἐξελθόντες θεωροί. οὕτως Λυκοῦργος.

Δ 408 Δήλιος: ὁ ἀπὸ τῆς Δήλου. Δῆλος γὰρ ἡ νῆσος τοῦ Ἀπόλλωνος.

Suid. 409 Δηλονότι.

Σ 410 Δήλων: ὁράσεων. καὶ Δῆλοι· δοτικῇ· ὁράσεις, ἐνύπνια.

Σ 411 Δημαγωγεῖ: στρατηγεῖ. ἄρχει τοῦ δήμου. ὃς ἑπτέτης ὢν

Ar. οὐκ ἔφυσε φράτορας· νυνὶ δὲ δημαγωγεῖ. τουτέστιν οὐκ ἐνεγράφη εἰς τοὺς φράτορας. καὶ αὖθις· ἐκδημαγωγηθέντας εἰς παρρησίαν.

Ε 412 Δημαγωγικός: στρατηγικός. Πολύβιος· Μολπαγόρας, ἀνὴρ λέγειν καὶ πράττειν ἱκανός, κατὰ δὲ τὴν αἵρεσιν δημαγωγικὸς καὶ πλεονέκτης· ὃς μοναρχικὴν ἐξουσίαν ἑαυτῷ περιποιησάμενος ἀνῃρέθη

Ar. παρά τινων. καὶ αὖθις· ἡ δημαγωγία γὰρ οὐ πρὸς μουσικοῦ ἐστιν ἀνδρὸς οὐδὲ χρηστοῦ τοὺς τρόπους, ἀλλ' εἰς ἀμαθῆ καὶ βδελυρόν. Ἀριστοφάνης φησί.

Δ 413 Δημαγωγός. ἀνδρὸς δημαγωγοῦ μεταπείσαντος αὐτόν. τουτ-

x+Δ έστι τοῦ δήμου ἄρχοντος. ὁ Φλαμίνιος ὀχλοκόπος καὶ δημαγωγὸς

Ε τέλειος, πρὸς ἀληθινῶν δὲ καὶ πολεμικῶν πραγμάτων χειρισμὸν οὐκ εὐφυής.

Hesy. 414 Δημάδης, Ἀθηναῖος, ῥήτωρ, καὶ δημαγωγὸς πανοῦργος καὶ εὐτυχής· πρότερον ναύτης ὤν. ἔγραψεν Ἀπολογισμὸν πρὸς Ὀλυμπιάδα τῆς ἑαυτοῦ δωδεκαετίας, Ἱστορίαν περὶ Δήλου καὶ τῆς γενέσεως τῶν Λητοῦς παίδων. οὗτος κατέλυσε τὰ δικαστήρια καὶ τοὺς ῥητορικοὺς ἀγῶνας. τελευτᾷ δὲ ἐπὶ Ἀντιπάτρου.

402 = L, Ludw. 23, 19 cf. sch. μ 286, H 403 = Ambr. 311, Ps. Herodian. 21 cf. sch. Ω 33 = Ap. S. 58, 14; H v. δηλήμονας 404 — διαφθερεῖ = Ba 192, 7 cf. sch Ξ 102, Ap. S. 58, 7, H, Et. M. 264, 39 = Ambr. 423 ληστὰς sq. fort. Nic. Dam. (cf. Hoefer in Lex. Roscher 5, 764) 405 = Ambr. 401, Ba 192, 8, Ps. Herodian. 21 cf. H 406 κύριον ὄνομα = Ambr. 374 407 Harp. cf. H; Lycurg fr. 80 408 cf. Ludw. 23, 15; Δῆλος, νῆσος = Ambr. 378, Ps. Herodian. 21 409 = Ambr. 429 410 = Ba 192, 6, 9 cf. H, Ludw. 23, 17 411 — στρατηγεῖ = Ba 192, 29, H ἄρχει—φράτορας Ar. Ran. 418—9 c. sch. 412 Μολπαγόρας—τινων Polyb. 15, 21, 1—2 cf. EV 2, 140, 17 sq. vs. 18 ἡ sq. Ar. Eq. 191—3 413 l. + τοῦ δήμου ἄρχοντος cf. Ambr. 316 = H ὁ sq. Polyb. 3, 80, 3

403 Z 493 404 cf. v. Ε 224 405 Z 501 407—8 Z 493 410 Z 493 411 cf. v. φραστῆρες 412 Polyb. cf. v. Μολπαγόρας 413 Polyb. hinc v. Φλαμίνιος cf. v. ὄχλου

A(GITFVM) 409 ex $A^{ms}M$ 23 χειρισμῶν A 28 οὗτος] ὃς Kiessling, De Hyperide 175, qui ὃς—29 ἀγῶνας post Ἀντιπάτρου transp.

415 Δημάδης, μετ' Ἀντίπατρον βασιλεύσας Θήβας ἀνέστησε, Δημέου ναύτου, ναύτης καὶ αὐτός, ναυπηγὸς καὶ πορθμεύς. ἀποστὰς δὲ τούτων ἐπολιτεύσατο καὶ ἦν προδότης καὶ ἐκ τούτου εὔπορος παντὸς καὶ κτήματα ἐν Βοιωτίᾳ παρὰ Φιλίππου δωρεὰν ἔλαβεν. οὗτος Δημοσθένει λέγοντι ὑπὲρ Ὀλυνθίων ἀντέλεγεν, Εὐθυκράτη δὲ τὸν Ὀλύνθιον, ἀτιμωθέντα παρὰ Ἀθηναίοις, ἐψηφίσατο ἐπίτιμον εἶναι καὶ πρόξενον Ἀθηναίοις. λόγους δὲ διδοὺς ἀρχῆς θορυβηθεὶς ἀπεδήμησεν, οὔτε ἑαυτῶν, εἰπών, ἐστὲ κύριοι οὔτε ἐμοῦ. ἐπέστελλε δὲ Φιλίππῳ καὶ τὸν υἱὸν ἔπεμπε πρὸς αὐτόν. ἱπποτρόφει δὲ καὶ ἠγωνίζετο Ὀλυμπιάσι καὶ ἐνίκα. ἔγραψε δὲ καὶ ψήφισμα τῷ Φιλίππῳ τοὺς Ἕλληνας ὑπακούειν. ἐν Χαιρωνείᾳ δὲ αἰχμάλωτος γενόμενος ἀφείθη καὶ πρεσβευτὴς ὑπὲρ τῶν αἰχμαλώτων ἀπεστάλη, οὓς ἀνῆκε Φίλιππος. διὸ δὲ παρανόμων ἦλω. ἐπολιτεύσατο δὲ καὶ ἐπ' Ἀλεξάνδρου.

416 Δημάδης, Λακιάδης, Ἀθηναῖος, ῥήτωρ. τοῦτον εἰσεποίησεν ὁ πρότερος Δημάδης ὁ καὶ δημαγωγὸς ἀπὸ αὐλητρίδος τεχθέντα. πατὴρ δὲ καὶ αὐτὸς Δημέα τοῦ ῥήτορος γέγονε καὶ ἀπώλετο ῥιφεὶς εἰς τὴν Ἀμφιπόλεως λίμνην ὑπὸ Ἀντιπάτρου, τοῦ Κασάνδρου πατρὸς καὶ διαδόχου. Hesy.

417 Δημάρατος, Προκλέους ἀπόγονος, ὑπὸ Κλεομένους τοῦ Εὐρυσθένους ἀπογόνου, ὃς Ἱππίαν καθεῖλε συμβασιλεύων, ἐκβέβληται ὡς νόθος, διότι τεχθέντος αὐτοῦ καὶ ἀγγελθέντος Ἀρίστωνι τῷ πατρί, λογισάμενος ὁ πατὴρ τὸν ἀπὸ γάμων χρόνον ἐλάττονα δέκα μηνῶν ὄντα, οὐκ ἐμὸς παῖς οὗτός ἐστιν, ἔφη. ἐκπεσὼν δὲ εἰς Πέρσας ἀνῆλθε, καὶ τελευτήσαντος Δαρείου, συμπράξας εἰς τὴν βασιλείαν τῷ Ξέρξῃ ἐπὶ τὴν Ἑλλάδα στρατεύειν ἔπεισεν.

418 Δημάρητος: ὄνομα κύριον, οἱονεὶ Δημάρατος. Δ

419 Δημαρχία: ὅτε δῆμος ἄρχει. καὶ ὄνομα ἀξιώματος. Σ Δ

420 Δήμαρχος: ἑκάστου δήμου τῶν ἐν Ἀθήναις ὁ κατάρχων δήμαρχος ἐλέγετο. οὗτοι δὲ τὰς ἀπογραφὰς ἐποιοῦντο τῶν προσόντων ἑκάστῳ δήμῳ χωρίων. ἔτι δὲ καὶ τὰ ληξιαρχικὰ γραμματεῖα παρ' αὐτοῖς ἦν. ἀλλὰ καὶ συνῆγον τοὺς δήμους, ὁπότε δεήσειεν, καὶ ψῆφον αὐτοῖς ἐδίδοσαν, καὶ ἐνεχύραζον δὲ οὗτοι. Harp.

421 Δήμαρχοι· ὅτι ὁ δῆμος εἰς τὴν προτέραν ἐπανελθὼν εὐκοσμίαν δημάρχους εἵλετο Σικίννιον καὶ Βροῦτον, οἳ τοῖς ὑπάτοις εἰς τὸ αὐτὸ

418 cf. Ambr. 328 419 — ἄρχει = Ba 193, 1, H; l. = Ambr. 387
420 Harp. = Sabb., sch. Ar. Nu. 37 (cf. Zacher, Jb. f. cl. Ph. Suppl. 16, 659)

415 vs. 5—6 cf. v. πρόξενος 1 419 Z 499

415 om. T, post 416 l. omisso A cf. ad p. 40, 8 1 μετ'—ἀνέστησε post A(GITFVM) 416 colloc. Bhd., locus desperatus 2 ναύτης—13 Ἀλεξάνδρου] καὶ τὰ ἑξῆς F 3 παντὸς om. V 7 λόγους—13 Ἀλεξάνδρου om V 8 ἑαυτὸν A 10 ψηφίσματα A 13 ἥλω] ἑάλω pr. Ἀλεξάνδρου M: Ἀλεξάνδρῳ AGI 416 om. Tε post 414 A 16 γέγονεν. ὃς Bhd. 19 Προκλέους] Πατροκλέους M 22 γάμου VM 25 ἔπεισεν] αὐτὸν ἔπεισεν A

τῆς δυνάμεως καθιστάμενοι ἐνιαυτῷ τε ταύτην καρπούμενοι τὴν ἐξουσίαν, ἐδημαγώγουν τὸ πλῆθος τοῖς καθ' ἡδονὴν πολιτεύμασιν.

Σ ὄνομα δὲ πολιτείας οἱ δήμαρχοι παρὰ τοῖς Ἀθηναίοις, οἱ πρώην ναύκραροι καλούμενοι· οἷς ἐξῆν ἐνεχυράζειν. καὶ Φερεκράτης· ὑπέλυσε δήμαρχός τις ἐλθὼν εἰς χορόν. οἱ κατὰ δῆμον ἄρχοντες. οὗτοι δὲ διεκόσμουν τὴν ἑορτὴν τῶν Παναθηναίων.

Δ (Harp.) 422 Δημαίνετος: ὄνομα κύριον.

Σ 423 Δημελέητος: ἐλεεινός.

Σ 424 Δημεύσας: δημοσιεύσας.

Σ Synt. 425 Δημηγόρος: ἐπὶ τοῦ δήμου λαλῶν. καὶ Δημηγορῶ· δοτικῇ.

Δ 426 Δημήτηρ: ἡ γῆ, οἱονεὶ Γημήτηρ τις οὖσα. ἐπεὶ δὲ ἕδρα πάσης πόλεώς ἐστιν ἡ γῆ, ὡς βαστάζουσα τὰς πόλεις πλάττεται

E πυργοφόρος. καὶ αὖθις· ᾤκουν δὲ γῆν εὐδαίμονα μάλιστα καὶ καρποὺς ἐνεγκεῖν οὖσαν ἀγαθήν, οἶνον ἡδὺν καὶ πολὺν ἔχουσαν.

Δ 427 Δήμητρα: ὄνομα θεᾶς.

Δ 428 Δημήτρειος καρπός: ὁ τῆς Δήμητρος. ὅτι Ἀπολλώνιον

Suid. βραχέως, τὸ ἱερὸν τοῦ Ἀπόλλωνος. οὕτως καὶ παρὰ Θουκυδίδῃ ἀναγνωστέον. καὶ Ποσειδώνιον, τὸ τοῦ Ποσειδῶνος· ὡς Ἀθήναιον, τὸ τῆς Ἀθηνᾶς· καὶ Διονύσιον καὶ Δημήτριον καὶ πάντα τὰ τοιαῦτα ὁμώνυμα τοῖς ἀνδρωνυμικοῖς. τὸ δὲ Ποσειδάνειον δῆλον ὅτι Δωριαῖον.

Hesy. 429 Δημήτριος, Φανοστράτου, Φαληρεύς (Φάληρον δὲ λιμὴν τῆς Ἀττικῆς), ὃς τὸ πρῶτον Φανὸς ἐκαλεῖτο· φιλόσοφος Περιπατητικός. γέγραφε φιλόσοφά τε καὶ ἱστορικὰ καὶ ῥητορικὰ καὶ πολιτικὰ καὶ περὶ ποιητῶν. ἠκροάσατο δὲ Θεοφράστου καὶ δημαγωγὸς Ἀθήνησι γέγονε. συνέγραψε δὲ συχνὰ βιβλία. οὕτως ἦν δὲ σφόδρα εὐπρεπὴς ὡς καὶ διαβολὴν λαβεῖν, ὅτι γέγονεν ἐρώμενος Νέωνος, καὶ προσαγορευθῆναι ὑπό τινων αὐτὸν Λαμπετὼ καὶ Χαριτοβλέφαρον. εἰς μέγα δὲ ἀρθεὶς δόξης καὶ ἐπικρατείας ὑπὸ τοῦ φθόνου κατεστρατηγήθη καὶ ἐξελαθεὶς ὑπὸ Ἀθηναίων εἰς Αἴγυπτον ἦλθε καὶ παρὰ τῷ Σωτῆρι Πτολεμαίῳ

421 vs. 3 δήμαρχοι sq. cf. H; Bk. 237, 8 = Et. M. 265, 20; Pherecr. fr. 171 422 = Ambr. 321, Harp. 423 = Ba 193, 2, H cf. Ambr. 309 424 = Ba 193, 3, H 425 — λαλῶν = Ba 193, 4 Δημηγορῶ sq. = An. Ox. 4, 289, 22, Synt. Laur. 426 — γῆ = Ps. Herodian. 21 ἐπεὶ—πυργοφόρος Preger 153, 13—15 ᾤκουν sq. fort. Aelian. 427 = Ambr. 370 428 — Δήμητρος = Ps. Herodian. 265, Ambr. 360 (= Ps. Herodian. 21) + 320 429 Hesych. cf. Laert. 5, 75 sqq.

428 Z 493 424 Z 503 426 Z 499; Preger hinc v. Γ 224 427 Z 500 428 Z 499; ὅτι sq. ex v. A 3418 cf. v. A 730 et v. Ποσειδώνιον 429 cf. v. Φαληρεύς. Ps. Hesych. 19

A(GITFVM) 5 χορόν I: cp. AGM post 422 Δημαίας· ἰδημάδης· ὁ μετ' Ἀντίπατρον βασιλεύσας Θήβας ἀνέστησε. Δημαίου ναύτου, ναύτης καὶ αὐτός, ναυπηγὸς καὶ πορθμεύς add. A cf. p. 39, 1—2 10 λαλῶν FVM: λαλῶ GI λαλιῶ AT καὶ—δοτικῇ om. FV post l. AGIT supra l. M δοτικῇ om. GIT 11 δὲ om. V, v. Γ 224 12 ἐστιν ἡ γῆ AGIT, v. Γ 224: ἡ γῆ ἐστιν FVM Preger 16 ὅτι—20 Δωριαῖον om. TFV 20 Ποσειδώνειον G cf. v. A 3418 23 ῥητορηκὴν V πολιτικὴν V 25 οὕτως] οὗτος Daub 26 Νέωνος] νέος ὢν I Κλέωνος Laert. 5, 76 27 αὐτῷ GIT

διατρίβων δηχθεὶς ὑπὸ ἀσπίδος ἀπέθανε καὶ ἐτάφη ἐν τῷ Βουσιρίτῃ νομῷ, πλησίον Διοσπόλεως τῆς ἐν τοῖς ἕλεσι. τοῦ πατρὸς δὲ ἦδη EV
γεγηρακότος Δημητρίου τοῦ Πολιορκητοῦ, αἱ τῆς βασιλείας ἐλπίδες ἐς
τὴν τούτου διαδοχὴν ἦγον ἅμα τὴν ἀρχὴν καὶ τὴν τῶν ὅπλων εὔνοιαν.
ἦν δὲ τῷ κάλλει καὶ μεγέθει διάφορος, ἔτι δὲ καὶ κεκοσμημένος ὅπλοις
βασιλικοῖς εἶχε πολλὴν ὑπεροχὴν καὶ κατάπληξιν, δι' ἧς εἰς ἐλπίδας
ἀδρὰς ἦγε τοὺς πολλούς· πρὸς δὲ τούτοις πραότης τις ἦν περὶ αὐτόν,
ἁρμόζουσα νέῳ βασιλεῖ, δι' ἧς εἰς προθυμίαν ἐξεκαλεῖτο πάντας ὥστε
καὶ τοὺς ἐκτὸς τάξεως συνδραμεῖν ἐπὶ τὴν ἀκρόασιν, συναγωνιῶντας
τῇ νεότητι καὶ τῇ μελλούσῃ γίνεσθαι κρίσει διὰ τῆς παρατάξεως.

430 Δημήτριος, ὁ ἐπίκλην Ἰξίων, γραμματικός, Ἀδραμυττηνός, γε- Hesy.
γονὼς κατὰ τοὺς Αὐγούστου τοῦ Καίσαρος χρόνους· ὃς διέτριψεν ἐν
Περγάμῳ. ἐπεκλήθη δὲ τοῦτο, ὡς μέν τινες, διότι λεπίδας χρυσᾶς
κλέπτων τοῦ ἐν Ἀλεξανδρείᾳ τῆς Ἥρας ἀγάλματος ἐφωράθη, ὡς δὲ
ἄλλοι, ὅτι ἀπεσύλησεν Εὐριπίδειον Φιλότιμον τὸ δρᾶμα ἔχον τὸν
Ἰξίονα, ἕτεροι δέ, ὅτι τῷ διδασκάλῳ Ἀριστάρχῳ ἀντήρισεν, ὥσπερ ὁ
Ἰξίων εὐεργετήσασιν αὐτὸν τοῖς θεοῖς ἀχαριστεῖν ἐπεχείρησεν. ἔγραψε
δὲ πολλά· Περὶ τῶν εἰς μι ληγόντων ῥημάτων· καὶ ἄλλα περὶ ἀντω-
νυμιῶν· εἰς Ὅμηρον ἐξήγησιν, εἰς Ἡσίοδον ὁμοίως.

431 Δημήτριος, ὁ Ἀντιγόνου, καὶ Πτολεμαῖος ὡμολόγησαν φιλίαν E
σφίσιν ἔνσπονδον εἶναι ἐπ' ἐλευθερώσει τῆς πάσης Ἑλλάδος καὶ ἐπὶ
τῷ τῇ ἀλλήλων ἐπιμαχεῖν· καὶ ἅμιλλα ἦν αὐτοῖν, πότερος μᾶλλον τὰ
δόξαντα ἔργῳ ἐμπεδώσει. καὶ ὁ Μακεδονικὸς ἄρχων οὐ διὰ σχολαι-
ότητος ἀφικνεῖται καὶ τήν τε Μουνυχίαν οὖσαν φρουρὰν ἐκβάλλει
καὶ Διονύσιον, τὸν ἐπιτεταγμένον αὐτῇ, κτείνει καὶ Δημήτριον τὸν
Φαληρέα μεθίστησιν, ὃς δὴ τὰ Ἀθήνησιν ἦγεν εἰς ὀλιγαρχίαν, καὶ
αὐτονομεῖσθαι, καθότι πάτριον, Ἀθηναίοις τε καὶ Μεγαρεῦσιν ἔδωκεν,
φυλάττειν τε ὅσα ἦν σφίσιν ἐκ τῆς εἰς τὸ ἀρχαῖον πολιτείας νόμιμα.
ὁ δὲ Πτολεμαῖος ἅτε διαφερόντως τρόπου πραότητα καὶ φιλανθρωπίαν
ἔργοις δηλώσας ἐπῆρε τοὺς Ἕλληνας τῇ τοῦ ἐλευθεροῦσθαι ἐλπίδι ἐν-
διδόναι σφᾶς ἐπὶ μᾶλλον· ἐπεὶ καὶ τὰ ἐφολκὰ τῶν λόγων καὶ ὧν
ἔπραττε, θαρσεῖν ἐποίει, πιστεύοντας ὡς ἐπὶ σαφεῖ τῶν Ἑλλήνων
ἐλευθερώσει καὶ οὐκ ἀρχῆς ἐπιθυμίᾳ τὰ πραττόμενα γίγνοιτο. αὐτο-
νόμους τε δὴ τὰς πλείστας τῶν Ἑλληνίδων πόλεων ἀφῆκι καὶ τὰς
Ἰσθμιάδας σπονδὰς ἐπήγγελλε κελεύων οἷα ἐπ' ἐλευθερώσει θαλλο-

429 vs. 2 τοῦ sq. Diodor. 19, 81, 3—4 = EV 1, 249, 12—21 430 cf. Laert. 5, 84

430 Ps. Hesych. 20 431 cf. 2458 et v. ὄφελες

3 Δημητρίου τοῦ Πολιορκητοῦ ex GITM: om. A Exc. 4 ὅπλων] ὄχλων A(GITFVM) Exc. 5 τῷ om. GIT 16 Ἰξίονα Bas.: Ἰξίωνα omnes 18 δὲ πολλά om. V καὶ ἄλλα post 19 ὁμοίως transp. Flach 19 εἰς Ἡσίοδον ὁμοίως om. V 21 τῆς] τὴν A 24 Μουνυχίαν in add. Bhd.: Μουνυχία A Μουνυχίαν rell. 27 καθότι] καθότιπερ G1 καθόπερ T 28 τῆς A: τοῦ GITM νόμιμα AM: νόμιμον G1 29 ἅτε AM: ὅτε I τε G

φοροῦντας θεωρεῖν εἰς τὰ Ἴσθμια. ἄρας δὲ ἐντεῦθεν ἀπέπλευσεν ἐπ' Αἰγύπτου, Λεωνίδην ἐπὶ τῇ Ἑλληνικῇ ἀρχῇ ἐπιστήσας· καὶ Λιβύης πάσης ἐκράτησεν, Ὀφέλλα τοῦ Κυρηναίου δυνάστου πρὸς Ἀγαθοκλέους κατὰ Σικελίαν ἀναιρεθέντος δόλῳ. διέμεινε δὲ ἄρα οὐκ ἐπὶ πολὺ Πτολεμαίῳ καὶ Δημητρίῳ ἡ ὁμολογία τῆς ξυμβάσεως πέρι.

Σ 432 Δήμιον: δημόσιον.

433 Δημιόπρατα: ἃ ὁ δῆμος πιπράσκει. τὰ δημοσίᾳ πιπρασκόμενα ἐκ δημεύσεως, καὶ τῶν δημοσιουμένων διὰ Κλέωνα. Ἀριστοφάνης· ἐπίπαστα λείξας δημιόπραθ' ὁ βάσκανος.

Ar.

434 Δήμιος: ὁ κολάζων τοὺς παρανόμους.

ΣΔ 435 Δημιουργεῖ· αἰτιατικῇ. τὰ μὴ ὄντα ποιεῖ. καὶ Δημιουργία.

Σ 436 Δημιουργός: χειροτέχνης, ὁ τὰ μὴ ὄντα ποιῶν. δημιώδη ἐργαζόμενος. Ἅιδης δημιουργὸς ἄγριος. καὶ μηκέτι δέχεσθαι τοὺς κατ' ἔτος ἐκπεμπομένους Κορινθίων ἐπιδημιουργοὺς κελεύοντες. ἑαυτόν τι παρέχων ὑπόδειγμα, ὥσπερ οἱ πλαστικώτεροι τῶν δημιουργῶν, τὸν χαλκὸν ἄμορφον παραλαβόντες καὶ ἀειδέστερον, εἰς μορφὴν ἐντείνουσι καὶ κατασχηματίζουσι.

Soph. E

Ar. 437 Δημιουργοί: οἱ κεραμεῖς, οἱ σκευοποιοί. δημιουργοὺς ἐκάλουν καὶ τὰς νῦν λεγομένας ὑπονυμφίδας, τουτέστι τὴν παρεστῶσαν τῇ νύμφῃ γυναῖκα. ὅθεν ἐστὶ καὶ Μενάνδρῳ Δημιουργός. κοινῶς δὲ ἔλεγεν δημιουργοὺς τοὺς τὰ δημόσια ἐργαζομένους, ποτὲ δὲ καὶ τοὺς ἀρχιτέκτονας. Ἀριστοφάνης ἐν Εἰρήνῃ. καὶ δημιουργικῶς, ἀντὶ τοῦ,

Suid. τεκτονικῶς· δημιουργοὶ γὰρ οἱ τέκτονες. ὅτι οἱ παλαιοὶ δημιουργοὶ συμμεμυκότας τοὺς ὀφθαλμοὺς ἐποίουν, ὁ δὲ Δαίδαλος ἀνεπέτασεν αὐτοὺς καὶ τοὺς πόδας διέστησεν. καὶ Ὅμηρός φησιν· ὃς χερσὶν ἠπίστατο δαίδαλα πάντα τεύχειν.

Σ 438 Δημοβόρος: ὁ τὰ δημόσια ἐσθίων.

Σ 439 Δημογέροντες: οἱ τοῦ δήμου ἐντιμότατοι.

Suid. 440 Δημοδόκος, ἀοιδός. ζήτει ἐν τῷ ἀοιδός.

Σ+Δ 441 Δημόθοινα καὶ Δημοθοινία: τοῦ δήμου εὐωχία, ἢ θυσία.

Hesy. 442 Δημοκήδης, Καλλιφῶντος, ἱερέως ἐν Κνίδῳ γενομένου Ἀσκληπιοῦ, Κροτωνιάτης, ἰατρός· ὃς ἐν Αἰγίνῃ ἰάτρευσέ τε καὶ ἔγημε καὶ

432 = Ba 193, 5, sch. β 32 cf. H, Et. M. 265, 38 433 τὰ sq. Ar. Eq. 103 c. sch. 435 — αἰτιατικῇ cf. An. Ox. 4, 289, 25 τὰ—ποιεῖ = Ba 193, 6, H Δημιουργία cf. Ludw. 19, 24 436 — ποιῶν = Ba 193, 8, Ambr. 315 cf. H Ἅιδης—ἄγριος Soph. Ai. 1035 vs. 13 καὶ—14 κελεύοντες Thuc. 1, 56, 2 ἑαυτόν sq. Dam. fr. 30 sed cf. Byz. Zt. 19, 279 437 — τέκτονες sch. Ar. Eq. 650; Εἰρήνῃ Pac. 297 438 = Ba 193, 7 cf. sch. A 231, Ap. S. 58, 11, H 439 = Ba 193, 9, H cf. sch. Γ 149 441 Δημόθοινα + τοῦ sq. = Ba 193, 10 cf. H, sch. Luc. 3, 5; Δημοθοινία sq. = Et. M. 265, 35, Et. Gen.; Δημοθοινία = Ambr. 389

433 cf. v. Ε 2507. Ζ 502 434 Ζ 494 436 Soph. cf. v. Α 359. Dam hinc v. Α 618 437 Ζ 495. vs. 23 ὅτι sq. ex 110 438—9 Ζ 494 440 ex v. Α 4402 441 Ζ 502 cf. 500 442 Hdt. 3, 129 hinc v. Ε 1685; Hdt. 3, 133 hinc v. Α 4375

A(GITFVM) 15 ἑαυτῶν IFVM 16. 17 ἐκτείνουσι TFM 23 ὅτι—26 τεύχειν ex mg. AM 24 συμμεμυκότας M: συμμεμυκότα A 440 om. TFV 32 ὃς—p. 43, 31 ἄφιξιν] καὶ τὰ ἑξῆς F

Πολυκράτην τὸν Σάμου τύραννον ἰάτρευσεν ἐπὶ χρυσίου ταλάντοις
δύο· καὶ ὑπὸ Δαρείου τοῦ Πέρσου μετεπέμφθη καὶ συνεγένετο αὐτῷ
χρόνον ἱκανόν. ἔγραψεν ἰατρικὸν βιβλίον. ὅτι Δαρεῖος ὁ βασιλεὺς EV
ἐν ἄγρῃ θηρῶν ἀποθρώσκων ἀπὸ ἵππου ἐστράφη τὸν πόδα καί κως
ἰσχυροτέρως· ὁ γάρ οἱ ἀστράγαλος ἐξεχώρησεν ἐκ τῶν ἄρθρων. νομίζων
δὲ καὶ πρότερον περὶ ἑωυτὸν ἔχειν τοὺς δοκέοντας Αἰγυπτίων εἶναι
πρώτους τὴν ἰατρικὴν τούτοισιν ἐχρῆτο. οἱ δὲ στρεβλοῦντες καὶ βιώ-
μενοι τὸν πόδα κακὸν μεῖζον ἐργάζοντο. ἐφ' ἑπτὰ μὲν δὴ ἡμέρας
καὶ ἑπτὰ νύκτας ὑπὸ τοῦ παρεόντος κακοῦ ὁ Δαρεῖος ἀγρυπνίησιν
εἴχετο· τῇ δὲ δὴ ὀγδόῃ ἡμέρῃ ἔχοντί οἱ φλαύρως παρακούσας τις
πρότερον ἔτι ἐν Σάρδισι τοῦ Κροτωνιήτεω Δημοκήδεος τὴν τέχνην
ἀγγέλλει τῷ Δαρείῳ· ὁ δὲ ἄγειν μιν τὴν ταχίστην παρ' ἑωυτὸν ἐκέλευε.
τὸν δὲ ὡς ἐξεῦρον ἐν τοῖσιν Ὀροίτεω ἀνδραπόδοισιν ὄκου δὴ ἀπημε-
λημένον, παρῆγον εἰς μέσον πέδας τε ἕλκοντα καὶ ῥάκεσιν ἐσθημένον.
σταθέντα δὲ ἐς μέσον ἠρώτα ὁ Δαρεῖος, τὴν τέχνην εἰ ἐπίσταιτο.
ὁ δὲ οὐκ ἀπεδέκετο, ὀρρωδέων μὴ ἑωυτὸν ἐκφήνας τοπαράπαν τῆς
Ἑλλάδος ᾖ ἀπεστερημένος. κατεφάνη τε τῷ Δαρείῳ τεχνάζειν ἐπι-
στάμενος· καὶ τοὺς ἀγαγόντας αὐτὸν ἐκέλευσε μάστιγάς τε καὶ κέντρα
παραφέρειν εἰς τὸ μέσον. ὁ δὲ ἐν ἑωυτῷ δὴ ὢν ἐκφαίνει, φάς,
ἀτρεκέως μὲν οὐκ ἐπίστασθαι, ὁμιλήσας δὲ ἰητρῷ φλαύρως ἔχειν τὴν
τέχνην. μετὰ δέ, ὡς ἐπέτρεψεν, Ἑλληνικοῖσι ἰήμασι χρεώμενος καὶ
ἡπιάματα τὰ ἰσχυρὰ προσάγων ὕπνου τε μεταλαγχάνειν ἐποίεε καὶ ἐν
χρόνῳ ὀλίγῳ ὑγιέα μιν ὄντα ἀπέδεξεν, οὐδαμὰ ἔτι ἐλπίζοντα ἀρτίπουν
ἔσεσθαι. οὕτω φησὶν Ἡρόδοτος ὁ λογοποιός. ὅτι καὶ Ἄτοσσα, ἡ
Κύρου μὲν θυγάτηρ, Δαρείου δὲ γυνή, ἐπὶ τοῦ μαστοῦ ἔσχε φῦμα,
μετὰ δὲ ἐκραγὲν ἐνέμετο πρόσω. ὅσον μὲν δὴ χρόνον ἦν ἔλασσον, ἡ
δὲ κρύπτουσα καὶ αἰσχυνομένη ἔφραζεν οὐδενί, ἐπείτε δὲ ἐν κακῷ ἦν,
μετεπέμψατο τὸν Δημοκήδην καί οἱ ἐπέδειξεν. ὁ δὲ φὰς ὑγιέα
ποιήσειν ἐξορκοῖ μιν ἢ μέν οἱ ἀντυπουργήσειν ἐκείνην τοῦτο, ὃ ἂν
αὐτῆς δεηθῇ· δεήσεσθαι δὲ οὐδενὸς τῶν ὅσα ἐς αἰσχύνην φέρει. καὶ
ἠτήσατο τὴν εἰς Ἑλλάδα ἄφιξιν.

443 Δημοκλείδας: ξένους, καὶ μοιχούς. τοιοῦτος ὁ Δημοκλῆς. Σ

444 Δημοκοπεῖν καὶ Ἑλληνοκοπεῖν. Πολύβιος· ὁ δὲ Περσεὺς x + EV
τὴν πρὸς Ῥωμαίους φιλίαν ἀνανεωσάμενος ἑλληνοκοπεῖν ἐπεβάλετο.

λέγεται δὲ καὶ δημοκοπία καὶ δοξοκοπία. ὑπάτους αἱροῦνται ἐκ δόξης πολεμικῆς Suid.
Λεύκιον, ἐκ δὲ δημοκοπίας Τερέντιον.

442 vs. 3 ὅτι—24 ἔσεσθαι Hdt. 3, 129—130 = EV 2, 11, 1—22 vs. 24 ὅτι sq. Hdt. 3, 133 = EV 2, 12, 20—13, 2 443 cf. H; l. fr. com. ad. 71 444 ὁ—ἐπεβάλετο Polyb. 25, 3, 1 = EV 2, 175, 1—2

444 cf. v. Ε 840; Polyb. cf. v. Κ 566 et v. Περσεύς 1. λέγεται sq. ex 1373

2 τοῦ Πέρσου om. V 3 ἔγραψεν—31 ἄφιξιν om. V ὅτι—31 ἄφιξιν A(GITFVM) om. T 21 ἐπέστρεψεν A ἰήμασι A Hdt.: ῥήμασι GIM 22 ἡπιάματα τὰ Exc.: ἡπιάματα A φάρμακα τὰ GIM 23 ἀπέδεξεν AG: ἀπέδειξεν IM 34 ἐπεβάλλετο $A^{ac}GT^{ac}$ 35 λέγεται—36 Τερέντιον om. TFV δὲ om. A καὶ alt.] ἡ M

Δ 445 Δημόκομπος: ὁ στωμύλος.

Δ 446 Δημοκρατία. ὅτι Πολύβιός φησιν, ὡς δημοκρατία ἐπανελο-
Ε μένη τοὺς ἐπιβουλεύοντας οὐκέτι μισθοφόροις τηρεῖ τὴν ἑαυτῆς ἐλευθερίαν.

Hesy. 447 Δημόκριτος, Ἡγησιστράτου, οἱ δὲ Ἀθηνοκρίτου ἢ Δαμασίππου, γεγονὼς ὅτε καὶ Σωκράτης ὁ φιλόσοφος, κατὰ τὴν οζ' Ὀλυμπιάδα, οἱ δὲ κατὰ τὴν π' φασίν· Ἀβδηρίτης ἐκ Θρᾴκης, φιλόσοφος, μαθητὴς κατά τινας Ἀναξαγόρου καὶ Λευκίππου, ὡς δέ τινες καὶ Μάγων καὶ Χαλδαίων Περσῶν· ἦλθε γὰρ καὶ εἰς Πέρσας καὶ Ἰνδοὺς καὶ Αἰγυπτίους καὶ τὰ παρ' ἑκάστοις ἐπαιδεύθη σοφά. εἶτα ἐπανῆλθε καὶ τοῖς ἀδελφοῖς συνῆν Ἡροδότῳ καὶ Δαμάστῃ. ἤρξε δὲ ἐν Ἀβδήροις, διὰ τὴν ἑαυτοῦ σοφίαν τιμηθείς. μαθητὴς δὲ αὐτοῦ διαφανὴς ἐγένετο Μητρόδωρος ὁ Χῖος· οὗ πάλιν ἀκροαταί Ἀνάξαρχος καὶ Ἱπποκράτης ὁ ἰατρός. ἐπεκλήθη δὲ Σοφία ὁ Δημόκριτος, καὶ Γελασῖνος δέ, διὰ τὸ γελᾶν πρὸς τὸ κενόσπουδον τῶν ἀνθρώπων. γνήσια δὲ αὐτοῦ βιβλία εἰσὶ δύο, ὅ τε μέγας Διάκοσμος, καὶ τὸ Περὶ φύσεως κόσμου. ἔγραψε δὲ καὶ ἐπιστολάς.

448 Δημόκριτος· ὅτι Δημόκριτος ὁ Ἀβδηρίτης οὐκ ἦλθεν εἰς Ἀθήνας, ἀλλὰ τοσαύτης πόλεως ὑπερεφρόνησεν, οὐκ ἐκ τοῦ τόπου δόξαν λαβεῖν βουλόμενος, ἀλλὰ τῷ τόπῳ δόξαν περιθεῖναι προελόμενος. ὅτι ἐλθόντα Ἱπποκράτην πρὸς Δημόκριτον κελεῦσαι κομισθῆναι γάλα καὶ θεασάμενον τὸ γάλα εἰπεῖν αἰγὸς εἶναι πρωτοτόκου καὶ μελαίνης· καὶ τὴν ἀκρίβειαν αὐτοῦ θαυμάσαι τὸν Ἱπποκράτην. ἀλλὰ καὶ τὴν κόρην τὴν μετὰ Ἱπποκράτους πρὸς αὐτὸν ἐλθοῦσαν τῇ μὲν πρώτῃ ἡμέρᾳ ἀσπάσασθαι οὕτω· χαῖρε κόρη· τῇ δὲ ἐχομένῃ, χαῖρε γύναι. καὶ ἦν ἡ κόρη τῆς νυκτὸς διεφθαρμένη. ἤδη δὲ ὑπέργηρων ὄντα πρὸς τῷ καταστρέφειν εἶναι· τὴν οὖν ἀδελφὴν λυπεῖσθαι, ὅτι ἐν τῇ τῶν Θεσμοφόρων ἑορτῇ μέλλοι τεθνήξεσθαι καὶ τῇ θεῷ τὸ καθῆκον αὐτὴν οὐ ποιήσειν· τὸν δὲ θαρρεῖν εἰπεῖν καὶ κελεῦσαι αὐτῷ προσφέρειν ἄρτους θερμοὺς ὀσημέραι· τούτους δὴ ταῖς ῥισὶ προσφέρων διεκράτησεν ἑαυτὸν τὴν ἑορτήν. ἐπειδὴ δὲ παρῆλθον αἱ ἡμέραι, τρεῖς δὲ ἦσαν, ἀλυπότατα τὸν βίον προήκατο.

Σ | 449 Δημόκοινον: δημόσιον. τὸ τοῦ δημοσίου. καὶ Δημό-
Harp. Σ κοινος, δημόσιος βασανιστής. ἢ ὁ δήμιος.

445 = Ambr. 314 446 l. = Ambr. 390 δημοκρατία sq. Polyb. 11, 13, 7 447 cf. Laert. 9, 34 sqq., 46 448 — vs. 20 προελόμενος Laert. 9, 37 vs. 21 ὅτι ἐλθόντα sq. Laert. 9, 42—3 449 — δημόσιον = Ba 193, 11 Δημόκοινος sq. = Et. M. 265, 23, Et. Gen., H; — βασανιστής Harp. = An. Ox. 2, 492, 19 cf. Bk. 236, 8, Hellad. ap. Phot. Bibl. 533 b 21—2

445 Z 494 447 hinc v. Γ 108 extr. 449 Z 502

A(GITFVM) 9 Περσῶν] καὶ Π. Bhd. 14 δὲ alt. om. VM 18 Δημόκριτος pr. om. (T)F 20 λαβεῖν δόξαν VM 21 ἐλθόντος Ἱπποκράτους V 24 ἀσπάσασθαι] προειπεῖν V 25 ἐρχομένῃ VM 28 αὐτῇ A^{ac} Bhd. om. V 31 τὴν] ἐς τὴν VM

450 Δημονιάδης: ὄνομα κύριον. Δ

451 Δημοποίητος: ὁ ὑπὸ τοῦ δήμου εἰσποιηθεὶς καὶ γεγονὼς πολίτης. Περικλῆς γὰρ ὁ Ξανθίππου, νόμον γράψας τὸν μὴ ἐξ ἀμφοῖν ἀστυπολίτην μὴ εἶναι, οὐ μετὰ μακρὸν τοὺς γνησίους ἀποβαλών, ἄκων καὶ στένων καὶ λύσας τὸν ἑαυτοῦ νόμον καὶ ἀσχημονήσας, ἐλεεινὸς ἅμα καὶ μισητὸς ἔτυχεν ὧν ἐβούλετο. ὅμως γε μὴν ἀντιβολοῦντος καὶ δεκάσαντος τοὺς ἐντεῦθεν ζῶντας, ὀψὲ καὶ μόλις τὸν νόθον οἱ παῖδα τὸν ἐξ Ἀσπασίας τῆς Μιλησίας ἐποίησε δημοποίητον. Δημοποίητος οὖν ὁ φύσει ξένος, ὑπὸ δὲ τοῦ δήμου πολίτης γεγονώς. Harp. + x E Harp.

452 Δῆμος: παρὰ Ἀριστοφάνει ἡ κώμη. ἢ ἡ νῆσος. σημαίνει δὲ καὶ τὸν τῶν Ἀθηναίων δῆμον. ἕκτῳ γ' ἔτει προσεῖπον ἐς τὸν δῆμον ἐλθών. Ar. + Δ Ar.

453 Δημός: τὸ λίπος. δημοῦ βοείου θρίον ἐξωπτημένον. σκεύασμά τι μετὰ ἐγκεφάλου γινόμενον ἐν τοῖς θρίοις, τουτέστι τοῖς φύλλοις τῆς συκῆς. Δ Ar

454 Δημοσθένης, Ἀθηναῖος, υἱὸς Δημοσθένους καὶ Κλεοβούλης, ῥήτωρ, τῶν δήμων Παιανιεύς· ἐπιμελὴς μᾶλλον ἢ εὐφυής, ὡς Ἕρμιππος ἱστορεῖ· καὶ πρὸς τὰς ἡδονὰς ἀκόλαστος, ὡς καὶ τοῦτό φησιν ὁ αὐτός. ὅθεν καὶ νέος μὲν ὢν Βάταλος ἐκλήθη, ὡς καὶ γυναικείᾳ ἐσθῆτι πολλάκις χρησάμενος· Ἀργὰς δὲ μετὰ τὸ εἰς ἄνδρας τελέσαι· ὅπερ ἐστὶν ὄνομα ὄφεως. ἐπεθύμησε δὲ ῥητορικῆς Καλλίστρατον θεασάμενος τὸν ῥήτορα ὑπὲρ Ὠρωπίων λέγοντα. διήκουσε δὲ Ἰσαίου, τοῦ Ἰσοκράτους μαθητοῦ, καὶ τοῖς λόγοις ἐχρῆτο Ζωΐλου τοῦ Ἀμφιπολίτου, σοφιστεύοντος ἐν Ἀθήναις, καὶ Πολυκράτους καὶ Ἀλκιδάμαντος, τοῦ Γοργίου μαθητοῦ, καὶ αὐτοῦ μέντοι Ἰσοκράτους. συνεφιλολόγησε δὲ Αἰσίωνι τῷ Ἀθηναίῳ καὶ Θεοπόμπῳ τῷ Χίῳ φιλοσόφῳ. διηκροάσατο δὲ καὶ Εὐβουλίδου τοῦ διαλεκτικοῦ καὶ Πλάτωνος· ἐτελεύτησε δὲ φυγὼν εἰς Καλαβρίαν ἐν τῷ τοῦ Ποσειδῶνος ἱερῷ διὰ τὸν Μακεδόνα Ἀντίπατρον, προσενεγκάμενος φάρμακον τὸ ἐν τῷ δακτυλίῳ, ἔτη βιώσας δύο καὶ ἑξήκοντα. Hesy.

450 = Ambr. 326 451 — πολίτης cf. ad vs. 8. 9 Περικλῆς—vs. 8 δημοποίητον Aelian. fr. 68 vs. 8 Δημοποίητος sq. Harp. cf. An. Ox. 2, 492, 20, H 452 — κώμη cf. sch. Ar. Ach. 266 νῆσος = Ambr. 377 ἕκτῳ sq. Ar. Ach. 266—7 453 — λίπος = Ambr. 317, Philop. diff., Ps. Herodian. 21 cf. Et. M. 265, 3, Apion, sch. Θ 380, H, sch. Ar. Eq. 954 δημοῦ sq. Ar. Eq. 954 c. sch. 454 cf. Plut. X oratt. Pap. Ox. 15, 141, Phot. Bibl. p. 492b 21 sq., 495a 31 sq.

451 Z 494 453 cf. 473. hinc v. Θ 502 454 hinc v. Ὠρωπία et v. Al 322 extr. cf. v. B 178

5 καὶ pr.] δὲ M ἐλεεινῶς M 6 μισητῶς T^{ac}M ἀντιβολοῦντα M A(GITFVM) 18 καὶ alt.—19 αὐτός] αὐτός φησιν VM 19 καὶ alt. om. VM 20 ἄνδρας V: ἄνδρα rell. 22 δὲ] δὲ τοῦ VM 25 Γοργίου] Γρηγορίου V συνεφιλολόγησε] συνεφιλοσόφησε V 27 δὲ alt. ex AT: om. rell. 28 Καλαβρίαν omnes, Phot. 494b 18 et 27: Καλαυρίαν pr. cf. v. K 188, Plut.

Ε 455 Δημοσθένης, ὁ ῥήτωρ, ἀνὴρ ἦν γνῶναί τε καὶ εἰπεῖν, ὅσα ἐνθυμηθείη, δυνατώτατος γενόμενος. ὅθεν καὶ δεινότατος ἔδοξε τῶν καθ' αὑτόν, οἷα δὴ ἱκανώτατος τὸ ἀφανὲς εἰκάσαι καὶ τὸ γνωσθὲν ἐξηγήσασθαι. καὶ ἐν οἷς ὑπὲρ τῶν κοινῶν λέγειν τι ἢ πράττειν ἐπεχείρησε, καιρῷ μὲν ἐπιτηδείῳ οὐ μάλα ἐχρήσατο ἐς δόξαν τῶν δημαγωγούντων. πλεῖστα δὲ εἷς ἀνὴρ οὗτος τῶν καθ' αὑτὸν Ἀθηναίων τοῖς Μακεδόνων τυράννοις σὺν παρρησίᾳ ἀντειπὼν παρὰ τοῖσδε ἀδωρότατος ἔδοξεν εἶναι. ὅτε δὴ συνέβαινε τοὺς ἐν ταῖς ἄλλαις πόλεσιν, οἷα δὴ τῶν κερδῶν ἐφιεμένους μᾶλλον ἐκ τοῦ ἐς τὸ κοινὸν λυσιτελοῦντος, ἐξωνηθέντας χρημάτων δόσει τὸ κατὰ σφᾶς ὡς ἐδόκουν ἐν τῷ παραυτίκα κέρδους τοῦ σφετέρου εἵνεκα πρὸ τοῦ ἐς τὰ κοινὰ συμφέροντος τίθεσθαι. ὅθεν αὐτῷ καὶ ἐφ' οἷς ὕστερον ἠτιάθη συγγνόντες οἱ Ἀθηναῖοι κατεδέξαντό τε αὖθις καὶ ἐς πάντα συμβούλῳ ἐχρήσαντο. καὶ αὐτῷ ἡ τελευτὴ γενναία ἐπιγενομένη μάλιστα ἐς μεταμέλειαν ἤγαγεν αὐτοὺς οὐκ ἀφανῆ τῶν γνωσθέντων. οὐ πολλῷ γοῦν ὕστερον ἢ ἐξαγγελθῆναι τεθνηκότα Δημοσθένην μετεγίνωσκον ἐφ' οἷς δέει τῶν Μακεδόνων μᾶλλον ἢ γνώμῃ τῇ δικαιοτάτῃ ἔκριναν, καὶ ἀτέλειάν τε τῷ πρεσβυτάτῳ γένους τοῦ Δημοσθένους ψηφίζονται καὶ χαλκοῦν στῆναι αὐτὸν ἐν ἀγορᾷ, καὶ ἐλεγεῖον τῇ βάσει τοῦ ἀνδριάντος ἐπέγραψαν· εἴπερ ἴσην ῥώμην γνώμῃ, Δημόσθενες, εἶχες, οὔποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

456 Δημοσθένης, μαχαιροποιός, Παιανιεύς, οὗ Δημοσθένης ὁ ῥήτωρ, ὃς ὀρφανὸς καταλειφθεὶς ἐπιτρόπους ἔσχε γ', Ἄφοβον, Δημοφῶντα, Θηριππίδην. ὧν ἀμελούντων αὐτοῦ καὶ τῆς οὐσίας, αὐτὸς αὑτὸν ἐνεχείρισε διδασκάλῳ Ἰσαίῳ. φιλόπονος δὲ οὕτως ἦν, ὥστε φασὶν ἑαυτὸν οἴκοι καθείρξαντα ἑαυτοῦ ξυρῆσαι τῆς κεφαλῆς μέρος, ἵνα μήτε προῖοι μήτε δέχοιτό τινα. παιδευθεὶς δὲ εἷλε τῆς ἐπιτροπῆς τοὺς ἐπιτρόπους. σοφιστεύειν βουληθεὶς ἀπέστη διαβληθεὶς ἐπὶ Μόσχῳ μειρακίῳ τῶν εὐγενῶν. λογογραφεῖν δὲ ἀρξάμενος διεβλήθη πάλιν, ὡς ἐναντίους λόγους ἐκδοὺς Ἀπολλοδώρῳ καὶ Φορμίωνι. καὶ τούτου οὖν ἀποστὰς ἤρξατο πολιτεύεσθαι. τραυλὸς δὲ ὢν καὶ τὸν ὦμον ἀπρεπῶς ἐκίνει, καὶ τὴν ἀκοὴν ἀσθενὴς καὶ τὸ πνεῦμα οὐ διαρκής· ἅπερ ἀσκήσει διωρθώσατο. τήν τε ὑπόκρισιν οὐκ ὢν ἄκρος ὑπ' Ἀνδρονίκῳ καὶ ταύτην ἐξήσκησεν. ἐχορήγησε δὲ καὶ ἐτριηράρχησε καὶ αἰχμαλώτους ἐλύσατο καὶ θυγατέρας συνεξέδωκεν. ὅτε δὲ ἐχορήγει, τυπτηθεὶς ὑπὸ Μειδίου τριςχιλίαις, ὥς φασιν, ἐπείσθη. καὶ Δημαίνετον ἀνεψιὸν γραψάμενος τραύματος, ὥς φασιν, διελύσατο. αἰτησάμενος δὲ Χαβρίου τοῦ στρατηγοῦ γυναῖκα, Χαβρίου τελευτήσαντος, Κτησίππου θυγατέρα ἔγημεν. ἐπολιτεύσατο δὲ κατὰ Φίλιππον· οὗ Θηβαίοις ἐπιόντος, πείθει συμ-

455 Arr. Exc. fr. 23 (sed fort. Dex. sec. Roos)

455 cf. v. Ει 57 456 fin. cf. v. Α 2704 et v. μυζήσας

A(GITM) 9 ἐκ om. pr. ἢ coni. Dr. 11 παραυτίκα] λυσιτελές add. Roos
14 ἐπιγινομένη A 19 στῆσαι Roos 31 ὢν] ἦν V

μαχῆσαι· καὶ κατὰ Χαιρώνειαν ἡττῶνται, χιλίων ἀποθανόντων καὶ δισχιλίων αἰχμαλώτων. ἀγαπητὴν δὲ σχὼν θυγατέρα τελευτήσασαν ἐπένθει, καὶ ἑβδομαίου τοῦ πάθους ὄντος, ἀγγελθέντος ἀνῃρῆσθαι Φίλιππον ὑπὸ Παυσανίου, μετημφιάσατο καὶ τοῖς θεοῖς ἔθυσεν. ἐπολιτεύσατο δὲ καὶ κατὰ Ἀλεξάνδρου τοῦ Φιλίππου. οὗ Ἅρπαλος πολλὰ νοσφισάμενος χρήματα ὡς Ἀθηναίους κατέφυγεν· ὧν καὶ Δημοσθένης εἰληφέναι μέρος ἔδοξε. καὶ ἔφυγεν εἰς Τροιζῆνα. Ἀλεξάνδρου δὲ ἐν Βαβυλῶνι τελευτήσαντος, ὁ Δημοσθένης κατῆλθε κληθείς. Ἀντίπατρος δὲ ἄρξας τῶν Ἑλλήνων, πέμψας ἐξαιτεῖ τοὺς δέκα ῥήτορας. ἐκδόντων Ἀθηναίων, ὁ Δημοσθένης εἰς Σικελίαν ἔφυγεν. Ἀρχίας δὲ ὁ ὑποκριτὴς ἀποσταλεὶς ἐπ' αὐτὸν ὑπ' Ἀντιπάτρου βίᾳ ἀποσπᾷ ἀπὸ τοῦ ἱεροῦ Ποσειδῶνος, ὃ ἦν ἄσυλον. ὁ δὲ ὑπὸ τῇ σφραγῖδι φάρμακον ἔχων, μυζήσας ἀπέθανεν.

457 Δημοσθένης Θρᾷξ· οὗτος ἔγραψε Μετάφρασιν Ἰλιάδος πεζῷ λόγῳ, Ἐπιτομὴν τῶν Δαμαγήτου τοῦ Ἡρακλειώτου, Περὶ διθυραμβοποιῶν, Μετάφρασιν εἰς τὴν Ἡσιόδου Θεογονίαν. Hesy.

458 Δημοσιεύων· αἰτιατικῇ. δωρεὰν ἐργάζομαι. Ἀριστοφάνης· ἀλλ' ὦ πόνηρ', οὐ δημοσιεύων τυγχάνω. οἱ γὰρ δημοσίᾳ χειροτονούμενοι ἰατροὶ καὶ δημόσιοι προῖκα ἐθεράπευον. οἷον, οὐ κοινῇ ἐσπείσαμεν, ἀλλ' ἐμαυτῷ μόνῳ, καὶ ἀμισθὶ οὐ μεταδίδωμί σοι. Ar.

459 Δημόσιον: τὸ τοῦ δήμου. Δ

460 Δημόσιος· δημοσίους λέγουσι τοὺς τῆς πόλεως δούλους. ὅτι Harp. ἡ βασιλεία κτῆμα τῶν κοινῶν, ἀλλ' οὐ τὰ δημόσια τῆς βασιλείας κτήματα. διὸ Suid. τὰς ἐξ ἀνάγκης καὶ μεθ' ὕβρεως εἰσπράξεις ὥσπερ τυραννικὰς ἀκολασίας μισεῖν δεῖ, τὰς δὲ σὺν λόγῳ καὶ φιλανθρωπίᾳ τῶν εἰσφορῶν ἀπαιτήσεις ὥσπερ κηδεμονίαν τιμᾶν.

461 Δημοσίων πραγμάτων διοικητής, οἷον φροντιστὴς χορηγίας, τριηραρχίας καὶ τῶν τοιούτων. ἰδίως δέ, οἷον εἰ ἀδικοῖτό τις καὶ δικάζοιτο πρός τινα, αὐτὸς ἐφρόντιζεν. ἀπεχθάνῃ δέ, διότι οἱ ἀλλοτρίοις πράγμασιν ἐπιχειροῦντες μισοῦνται. Ar.

462 Δημοσιώνης: εὐτελής. οἱ μὲν ἄλλοι ἀποδοχῆς ἐτύγχανον, οὗτος δὲ δοκῶν εἶναι δημοσιώνης παρεθεωρεῖτο. EV

463 Δημοτελῆ: δημοσίαν. Δημοτελῆ καὶ δημοτικὰ ἱερὰ διέφερον ἀλλήλων καὶ τῶν ὀργεονικῶν καὶ τῶν γενικῶν. Σ Harp.

458 αἰτιατικῇ cf. Synt. Gud. ἀλλ' ὦ sq. Ar. Ach. 1030 c. sch.
459 = Ambr. 402 460 — δούλους Harp. cf. Bk. 234, 15, Lex. rhet. in Et. M. 265, 29 461 sch. Ar. Pl. 907 et 910 462 οἱ sq. Diodor. 34 = EV 1, 313, 13—17
463 — δημοσίαν = Ba 193, 12 Δημοτελῆ alt. sq. Harp. cf. Bk. 240, 28, H

457 hinc 33 458 Z 503 460 vs. 22 ὅτι sq. ex v. B 148

2 δισχιλίων] μ΄ (propter similitudinem cum ,β') M 10 Σικελίαν] Καλαυρίαν pr. A (GITFVM) sed cf. p. 45, 28 11 ὑπόκριτος A cp. I 17 Δημοσιεύω GIT 19 ἐπεί-σαμεν A ἐσπεισάμην sch. Port. 20 μόνῳ] καὶ μ. GIT 21 τὸ] τοῦ A 22 ὅτι—26 τιμᾶν om. TFV mg. A 25 κηδεμονίας M 32 δημοσιώνης παρεθεωρεῖτο om. A 34 ὀργεωνικῶν Harp. plen.

Σ 464 Δημοτελῶς: παντὶ τῷ δήμῳ.

Σ 465 Δημοτευόμενος: μετὰ τῶν δημοτῶν. φησὶ Δημοσθένης.

Harp. Δημοτεύεσθαί ἐστι τὸ τοῦδέ τινος δήμου κοινωνεῖν καὶ χρηματίζειν ἀπ' αὐτοῦ.

Σ 466 Δημότης: πολίτης.

Σ 467 Δημοτικά: τὰ τοῖς πολλοῖς ἐμπρέποντα. ὁ δὲ ἔλεξε δημο-

Ar. τικωτάτους λόγους· ὁρᾶτε μέν με σωτηρίας δεόμενον.

Σ 468 Δημοῦσθαι: δημοκοπεῖν καὶ ἀντιπαίζειν.

Harp. 469 Δημοφάνης: ὄνομα κύριον.

E 470 Δημόφιλος, ἐπίσκοπος Κωνσταντίνου πόλεως ἄνθρωπος ἦν οἷος ἐμπεσὼν ὁμοῦ σύμπαντα φύρειν ἀκόσμῳ φορᾷ καθάπερ ἄτακτος χειμάρρους, πολὺν ἐν τοῖς λόγοις τὸν συρφετὸν ἄγων, ὡς εἴρεταί τις ἐκ γοῦν τῆς ἐν τοῖς ἔτι σῳζομένοις ὑπομνήμασιν αὐτοῦ γεγονυίας δημηγορίας· ἔνθα καὶ μᾶλλον εἰκὸς ἦν ἀσφαλείας αὐτὸν φροντίδα θέσθαι τινά, ὡς ἐγγράφοις μνήμαις ἀναλαμβανομένων τῶν λεγομένων. ἐν τούτοις γοῦν ἄλλα τε πολλὰ διείλεκται ἄναρθρα, διαρρήδην δὲ ἐν τοῖς περὶ πατρὸς καὶ υἱοῦ λόγοις. φησὶ γάρ· υἱὸς μὲν πατρὸς θελήσει γεγέννηται μόνου, ἀχρόνως, ἀμεσιτεύτως, ἵνα διάκονος γένηται καὶ ὑπηρέτης τῶν βουλημάτων τοῦ πατρός. ἐπειδὴ γὰρ ὁ προγινώσκων θεὸς ἃ ἔμελλε πράττειν ἀδύνατα ἦν τῆς ἀκρατήτου τάξεως τοῦ μέλλοντος αὐτὰ ποιεῖν θεοῦ ἐν τῷ γενέσθαι μέλλοντα· ἢ γὰρ ἔδει αὐτὰ πάντα θεοὺς γενέσθαι πρὸς ἀξίαν τοῦ ποιοῦντος, καὶ ἐκ τούτων ἔμελλον εἶναι θεοί· ἢ ἔδει αὐτὰ γενόμενα λύεσθαι, ὥσπερ κηρὸν πυρὶ θερμῷ προσαγόμενον· γέγονε μὲν οὖν μεσίτης τῶν τε ἐσομένων καὶ τοῦ γεγεννηκότος αὐτὸν θεοῦ, ὁ υἱός, ἵνα συντάξας ἑαυτὸν καὶ συγκαταβαίνων τοῖς γινομένοις ἀποτελέσειε τὸ βούλημα τοῦ πατρός· καὶ μεσίτης γεγένηται τοῦ θεοῦ καὶ ἡμῶν τῶν δι' αὐτοῦ γινομένων. ἐλάνθανε διὰ τούτων τοῦ τε θεοῦ τῶν ὅλων ἀσθένειαν καὶ βασκανίαν καταψευδόμενος καὶ τὸν υἱὸν πάντων τῶν κτισμάτων ἀποφαίνων καταδεέστερον. ὁ μὲν γὰρ ἀσθενὴς ἂν ἦν κατὰ Δημόφιλον, εἰ βουληθείς, ἔπειτα ἀπόρως εἶχε τοῖς πᾶσι τὸ εἶναι δωρήσασθαι· φθόνου δ' οὐκ ἀπήλλακτο ἄν, εἰ ἐξὸν αὐτῷ θεοὺς τὰ πάντα ποιεῖν, ὁ δὲ ἐφαίνετο μηχανώμενος, ὅπως μὴ ταύτης αὐτῷ τύχῃ τὰ γενησόμενα τῆς ἀξίας. τοῦ δέ γ' αὖ παιδὸς οὐκ ἦν τῶν κτισμάτων οὐδέν, ὃ μὴ ἄμεινον

464 = Ba 193, 13 465 Δημοσθένης 44, 39; 57, 49 et 55 l. + δημοτεύεσθαι sq. Harp. 466 = Ba 193, 14 467 — ἐμπρέποντα = H cf. sch. Luc. 1, 14 ὁ sq. Ar. Eccl. 411—2 468 Tim. cf. Ael. D. fr. 123 ex Eust. I. 901, 11, sch. Pl. Theaet. 161e, H, sch. Ar. Lys. 601, Et. M. 265, 36, Didymi Lex. Plat. ap. Miller, Mél. 404 469 Harp. 470 Philostorg. p. 121—2

464 Z 504 465 Z 503 467 Z 502 = 504. Ar. cf. v. τετρασταθήρου 470 cf. v. οἷον 2

A(GITFVM) 6 ὁ—7 δεόμενον om. V 10 ἄνθρωπος ἦν om. M 11 φέρειν A 16 δὲ] τε M 20 οὐκ ἀσεβῆ ταῦτα μόνον, ἀλλὰ καὶ ἀσύντακτα mg. add. AIM (post p. 49, 4 τυγχάνει) T 27 γεγένηται] γένηται M δὴ γεγένηται T

ὑπάρχειν ἐδείχθη ἄν, εἴπερ γε μὴ δι' ἑαυτὸν ἐκεῖνος ἔτυχε γεγονώς, ἀλλὰ διὰ σκοπὸν καὶ χρείαν τῆς τούτων γενέσεως. ἅπαν γάρ τοι τὸ δι' ἑτέρων γινόμενον χρείαν ἔλαττον ὑπάρχειν ἐκείνων ἀνάγκη, δι' ἃ τοῦ εἶναι τυγχάνει. καὶ ἄλλα δὲ ἐληρώδει πολλά.

471 Δημοφῶν: ὄνομα κύριον. Δ

472 Δημοχάρης: ἀδελφιδοῦς Δημοσθένους. περὶ οὗ Τίμαιός φησιν ἠταιρηκέναι μὲν τοῖς ἄνω μέρεσι τοῦ σώματος, οὐκ εἶναι δὲ ἄξιον τὸ ἱερὸν πῦρ φυσᾶν, ὑπερβεβηκέναι δὲ τοῖς ἐπιτηδεύμασι τὰ Βότρυος ὑπομνήματα καὶ τὰ Φιλαινίδος καὶ τῶν ἄλλων ἀναισχυντότερα γράφων. Πολύβιος δὲ λέγει πρὸς Τίμαιον· ταύτην δὲ τὴν λοιδορίαν καὶ τὰς ἐμφάσεις οὐχ οἷον ἄν τις διέθετο πεπαιδευμένος ἀνήρ, ἀλλ' οὐδὲ τῶν ἀπὸ τέγους ἄχρι τοῦ σώματος εἰργασμένων οὐδείς. οὐδ' ἵνα πιστὸς φανῇ κατὰ τὴν αἰσχρολογίαν καὶ τὴν ἄλλην ἀναισχυντίαν, καὶ προσκατέψευσται τἀνδρός, κωμικόν τινα μάρτυρα προσεπισπασάμενος ἀνώνυμον. ἠξιώθη δὲ ὁ Δημοχάρης καὶ στρατηγίας παρ' Ἀθηναίοις καὶ τῶν ἄλλων τιμῶν, ὧν οὐδὲν αὐτῷ συνεξέδραμε, τοιαύταις ἀτυχίαις παλαίοντι. EV

473 Δημώ: ὄνομα κύριον. ἐξένισεν ἡ Βαυὼ τὴν Δημώ. Δημῷ δὲ τῷ λίπει. Δ

474 Δημωδέστερος: ἀσχημονέστερος· διὰ τὸ ἐν ὄψει πάντων γινόμενον, διὰ τὸν δῆμον. Σ

475 Δημώναξ: ὄνομα κύριον. Δ

476 Δημωφελής: δῆμον ὠφελῶν. Σ

477 Δήν: ἐπίρρημα. Δ

478 Δηνάριον: εἶδος ἀργυρίου ὁλοκοτίνου ἰδίαν ἔχων ἰσχύν.

479 Δηναδίπτρα: κατὰ Ῥωμαίους δωρεὰ βασιλικὴ στρατιώταις.

480 Δηναιόν: τὸ ἐνιαύσιον, τὸ μακροχρόνιον. καὶ Δηναιόν, ἐπὶ πολὺν χρόνον. Δήνεον δὲ τὸ βούλευμα. Δ

481 Δήομεν, εὑρήσομεν. Δ

471 = Ambr. 333, Ps. Herodian. 20 472 Polyb. 12. 13 = EV 2, 129, 24—130, 10 473 — κύριον = L ἐξένισεν—Δημώ alt. cf. Clem. Al. Protr. p. 16, 5 Stählin 474 = Ba 193, 15, Et. M. 265, 33 475 = Ambr. 332, Ps. Herodian. 20 476 = Ba 193, 17 cf. H 477 Ambr. 425 478 = Lex. rom. Barocc.; — ἀργυρίου = Ba 193, 18, Σ^{e} cf. H 479 = Lex. rom. Barocc. v. δωνάτιβα 480 — ἐνιαύσιον = Ambr. 395 μακροχρόνιον cf. L, H Δηναιόν alt. sq.—χρόνον cf. Ambr. 442 Δήνεον sq. = Ambr. 396 cf. sch. Δ 361 = Ap. S. 58, 12, H, Orion. 48, 15, Et. M. 266, 14 481 = Ambr. 409, sch. ὁ 544

472 cf. vv. B 411, Ε 1069—70, H 617; hinc v. Φιλαινίς extr. 473 cf. 453; hinc v. B 195 476 Z 494 481 cf. 374 et 379

471 om. F 6 περὶ—17 παλαίοντι] οὗτος ἠξιώθη στρατηγίας καὶ τῶν ἄλλων τιμῶν· ἄλλως δὲ ἦν εὐτυχὴς V καὶ τὰ ἑξῆς F om. T 18 Βαυὼ GIT: Βαβὼ FVM cf. v. B 195 Βανὼ A 25 ὁλοκοτίνον A cp. F om. Barocc. ἰδίαν A Barocc.: ἰδίου GIT ἴσην VM ἴσην ἰδίαν F ἔχων AGI Barocc.: ἔχον TVM om. F 27 Δηναιόν alt.] Δηνεόν FM^{ac} δη in lac. A 28 Δήνεον] Δυνεόν A Δυναιόν F δὲ om. FVM, nov. gl. A(GITFVM)

ΔΣ 482 Δηοῦν: πολεμεῖν, πορθεῖν. Δηΐουν δὲ διέκοπτον, ἐτίτρωσκον.

Δ 483 Δηώ, Δηοῦς κλίνεται. ἡ Δημήτηρ.

Σ 484 Δηώσας: παιδεύσας, ἀνελών, κατεκτονώς.

Σ 485 Δήπου: ὡς δή.

Σ 486 Δήπουθεν: δηλονότι. ἢ ἔκ τινος τόπου. καὶ χρὴ πείθεσθαι δήπουθεν. καὶ τὴν σχολὴν δήπουθεν ἐκείνην ἐπαινῶν. ἀντὶ τοῦ Σ¦ δηλονότι. ἢ ἔκ τινος τόπου.

Δ 487 Δηριάασθον.

488 Δηριγευόμενος: ὀψικευόμενος. ἔστι δὲ ἡ λέξις Ῥωμαϊκή.

Δ 489 Δῆρις, δήρεως, δήρει.

Σ 490 Δῆριν: μάχην, ἢ φιλονεικίαν. ἐν Ἐπιγράμμασι· μέλλον ἄρα
Anth. στυγερὰν κἀγὼ ποτε δῆριν Ἄρηϊ ἐκπρολιποῦσα χορῶν παρθενίων
ἀΐειν. καὶ αὖθις· φεῦγε Λάκων ποτὲ δῆριν, ὑπαντιάσασα δὲ μάτηρ.
Suid. 491 Δῆρις, ὁ δαιδαλόχειρ τῇ Παλλάδι πῆχυν ἀκαμπῆ ἄνθετο. ἐν Ἐπιγράμμασιν.

Δ 492 Δηρόν: ἐπιπολύ.

Δ 493 Δήσαντες: δεσμεύσαντες.

Σ 494 Δῆτα: οὕτως.

Δ 495 Δηφενσίων: ὁ ἔκδικος χάρτης. καὶ Δηφένσωρ, ὁ ἔκδικος.

Δ 496 Δήφηλα: πόλις παρὰ Ἰωσήπῳ.

497 Δί: ἐπέκτασις.

Δ 498 Δία: τὸν Δία. Δῖα δὲ ἡ ἔνδοξος. καὶ Δῖος, ὁ ἔνδοξος.

Ar. 499 Διαβάλλεται: χρῶνται ἐπὶ τοῦ ἐξαπατᾶν. Ἄρχιππος· τὸν γὰρ γέροντα διαβαλοῦμαι τήμερον. καὶ Ἀριστοφάνης· διαβάλλεταί σ' ὁ θεῖος, ὦ πόνηρε σύ.

482 — πορθεῖν = L, H cf. Ambr. 406 Δηΐουν sq. = Ba 192, 4, sch. Λ 71 cf. Ambr. 408, H v. δηοῦντες 488 cf. Stud. An. 270; — κλίνεται = Ambr. 370 ἡ Δημήτηρ = Et. M. 263, 48, H 484 = Σ^a, Ba 193, 26 cf. Ambr. 415, H 485 = Σ^a, Ba 193, 21, Et. M. 264, 56 486 — τόπου pr. Tim. = Et. M. 264, 56; — δηλονότι = Ba 193, 23, Bk. 234, 12, H cf. Moer., identidem ad. vs. 7 ἀντὶ sq. 487 M 421 cf. L 489 — δήρεως = Ambr. 367 490 — φιλονεικίαν = Σ^a; — μάχην = Ba 193, 24 cf. Et. M. 266, 32, Ambr 367; φιλονεικίαν = sch. P 158 cf. Ps. Herodian. 21 μέλλον—ἀΐειν Anth. 6, 127, 1—2. φεῦγε sq. Anth. 9, 397, 1 492 = Ps. Herodian. 21 cf. Ambr. 407, Et. M. 266, 23, H 493 = Ambr. 412 494 = Ba 193, 25, Et. M. 264, 58 cf. H, Ambr. 424 et 428 495 cf. Ambr. 432—3 496 = Ambr. 373 (= 380); Ἰωσήπῳ non invenitur 497 cf. Eust. I. 45, 7 498 — Δία alt. = H Δῖα—ἔνδοξος cf. sch. α 14, H Δῖος sq. = Ambr. 441 cf. Et. M. 276, 15 499 Ar. Av. 1648 c. sch.; Archipp. fr. 36, 2 (1, 686 K.)

482 cf. 391 et v. Ε 229. Ζ 503 483 cf. v. Κ 2077 488 Ζ 503
491 ex 108 492 Ζ 502 493 Ζ 504 495 Ζ 499 496 Ζ 501 499 Ζ 528

A(GITFVM) 1 Δηΐουν VM: Δήουν rell. 3 Δηοῦς κλίνεται om. FV 5 δή] δεῖ AGIT 6 καὶ—8 τόπου om. V 7 δήπουθεν pr. om. GIT 488 om. FV hab. Zon. 491 ex G (post 490) I (post 488) T (post 484) 15 τῇ—ἄνθετο om. T 19 Δηφέρσωρ IF 22 καὶ—ἔνδοξος om. FV

500 Διαβάλλειν: τὸ ἐξαπατᾶν καὶ παραλογίζεσθαι. Θουκυδίδης α΄ Σ
καὶ Κράτης. καὶ Διαβάλλειν τὸ πέλαγος, τὸ διεκπερᾶν. ἐν- Ε
τεῦθεν ἐνόει διαβάλλειν τὸ ἐν μέσῳ πέλαγος καὶ ληστεύειν τὰς
νήσους. καὶ Ἀρριανός· αὐτόν τε κυβερνῶντα τὴν στρατηγίδα ναῦν Ε
διαβάλλειν. καί, διαβάλλειν ἐπιχειροῦντι Ἀλεξάνδρῳ τὸν Ὦξον πο-
ταμόν. ἀντὶ τοῦ περᾶν. καὶ Διαβάλλω· αἰτιατικῇ. διαβάλλει τὸν ἀεὶ Synt.
προτετιμημένον.
501 Διαβάσης: ἐπελθούσης. Ῥωμαϊκῆς δυνάμεως ἐπ' αὐτοὺς δια- Ε
βάσης.
502 Διαβασιλίζεται: τῆς βασιλείας ἀντιποιεῖται. Σ
503 Διαβάσκει: περιέρχεται, περιέπει. Ar.
504 Διαβαίνω· αἰτιατικῇ. Synt.
505 Διαβηνός: ὄνομα κύριον. Δ
506 Διαβησείοντας: ἐρωτικῶς ἔχοντας διαβῆναι. Ἀγαθίας· ὁ δὲ Ε
πύργους ἐποίησεν, ἀπερύκειν τοὺς Ῥωμαίους διαβησείοντας.
507 Διαβήτης. ἐργαλεῖον ὁ διαβήτης, εὔχρηστος τέχναις πολ- Δ
λαῖς, τῷ λ στοιχείῳ παρεοικώς. τούτου τὸ ἓν μέρος ἐντιθέντες, τὸ Ar.
δὲ ἕτερον περιάγοντες κύκλους ποιοῦσι. σημαίνει δὲ καὶ ὄνομα
καιροῦ παραστατικόν.
508 Διάβολος· ζήτει ἐν τῷ Σατανᾶς. ὅτι διάβολος διὰ τοῦτο, ὡς δυνάμενος Suid.
διαβάλλειν καὶ ἐχθροὺς ποιεῖν τοὺς φίλους. καὶ ζήτει ἐν τῷ δύναμις.
509 Διαβούλιον: ὁ διαλογισμός. συλλαμβάνονται ἐν διαβουλίοις, Δ
οἷς διαλογίζονται. καὶ Διαβούλια, τὰ ἐκ λογισμῶν ἀτόπων πταί- Σ
σματα.
510 Διαβούλομαι: ἀναπείσω. Θουκυδίδης. Σ
511 Διὰ βραχέος: ἐν συντόμῳ.
512 Διάβροχος: οἰνωμένος. ὡς δὲ ἐμέθυεν ὁ πορνοβοσκὸς καὶ
διάβροχος ἦν πάνυ, τί μέλλομεν, ἔφη.
513 Διαβιασάμενος: παραναγκασθείς. Πολύβιος· διαβιασάμενος δὲ Ε
τὴν ἀσθένειαν τῇ συνηθείᾳ τῇ πρὸ τοῦ παρῆν ἐξ Ἄργους εἰς Μεγα-
λόπολιν αὐθημερόν.

500 — παραλογίζεσθαι cf. H Θουκυδίδης vitium perspexit Bhd.; Cratet. fr. 47 vs. 4 αὐτόν—5 διαβάλλειν pr. Arr. An. 1, 11, 6 vs. 5 διαβάλλειν alt.—ποταμόν Arr. An. 3, 29, 3 Διαβάλλω sq. = Bk. 134, 6; — αἰτιατικῇ = An. Ox. 4, 290, 14, Synt. Laur.; Cass. D. 46, 8, 3 502 = Bk. 241, 14. Et. M. 266, 47 503 = sch. Ar. Av. 486 504 = Synt. Laur. 505 = Ambr. 505 506 ὁ sq. Agath. 2, 4 p. 72 507 l. = L cf. Ambr. 452 ἐργαλεῖον—ποιοῦσι sch. Ar. Nu. 178 509 — διαλογισμός cf. H συλλαμβάνονται—διαλογίζονται Ps. 9, 23 Διαβούλια sq. = Ba 194, 11, Et. M. 267, 13 510 Θουκυδίδης errorem detexit Abresch 513 διαβιασάμενος sq. Polyb. 23, 12, 2

500 cf. 892 500—1 Z 529 502—3 Z 542 506 Z 542 507 Z 505 508 διάβολος alt. sq. ex 1573 509 Z 523 510 Z 529 511 Z 535 = 555 512 Z 505

2 διεκπερᾶν] διαπερᾶν FVM 6 καὶ—7 προτετιμημένον om. GTFV A(GITFVM)
16 εὔχρηστον TF cf. sch. 508 om. TFV 20 ζήτει—τοῦτο om. GI
21 διαβάλλειν A': βάλλειν GIM καὶ—δύναμις om. GI 22 Δαβίδ mg. add. AM textu T 513 extra ord.

Prov. 514 Διὰ γὰρ μαχαιρῶν καὶ πυρὸς ῥίπτειν δεῖ: ἐπὶ τῶν παραβαλλομένων καὶ ῥιψοκίνδυνα ποιούντων.

515 Διαγεγονότος: παρελθόντος. μετὰ τὸν πρῶτον ἀνοικισμὸν
E τῆς πόλεως τοὺς διαγεγονότας. Διαγινώσκειν δέ ἐστι τὸ δι' ἀκριβείας ἐπιστημονικῆς τὸ πρᾶγμα εἴσεσθαι μετὰ προλαβοῦσαν γνῶσιν.

Ar. 516 Διαγέγραπται: κατέξυσται, ἀνῄρηται ἀπὸ τῆς τοῦ γραμματέως δέλτου, ὅπου αἱ δίκαι ἀνεγράφοντο, καὶ αἱ εἰσαγωγαὶ τῶν δικῶν. Ἀριστοφάνης Νεφέλαις· ἥδομαι, ὅτι πεντετάλαντός μοι διαγέγραπται δίκη.

Synt. 517 Διαγγέλλω· δοτικῇ. καὶ Διαγγελλομένους, παρακελευομένους.
E Ξενοφῶν· ἐγίνωσκον αὐτοὺς ἀπιέναι βουλομένους καὶ διαγγελλομένους. ἢ ἀντὶ τοῦ φανερουμένους, δήλους γινομένους.

Synt. 518 Διαγελῶ· αἰτιατικῇ.

Δ 519 Διάγειν. οὐδὲ διῆγε τοὺς λόγους οὐδὲ λεπτολογίᾳ ἐδίδου οὐδὲ εἰρωνευομένου τις ἤκουσε. περὶ Ἀπολλωνίου φησὶ Φιλόστρατος ὁ Λήμνιος.

520 Διαγκωνισάμενος: ἐπ' ἀγκῶνος καθίσας. ὁ δὲ διαγκωνισάμενος ἐπὶ τοῦ σκίμποδος, ἀποβλεψάμενος εἰς τὸ ἄγαλμα τοῦ Ἀσκληπιοῦ εἶπεν· ὦ δέσποτα, τί ἐκέλευσας.

Σ 521 Διαγνώμη: διάγνωσις, καὶ διάκρισις. ὥσπερ καὶ καταβοή. ἡ λέξις ἰδικὴ Θουκυδίδου.

522 Διαγνώμων: διακρίνων, διαγινώσκων. ὁ μὲν δὴ Ἡραΐσκος αὐτοφυὴς ἐγένετο διαγνώμων τῶν τε ζώντων καὶ τῶν μὴ ζώντων ἱερῶν ἀγαλμάτων· εὐθὺς γὰρ ἐμβλέπων ἐτιτρώσκετο τὴν καρδίαν ὑπὸ τοῦ θειασμοῦ καὶ ἀνεπήδα τό τε σῶμα καὶ τὴν ψυχήν, ὥσπερ ὑπὸ τοῦ θεοῦ κατάσχετος. εἰ δὲ μὴ κινοῖτο τοιοῦτον, ἄψυχον ἦν ἐκεῖνο τὸ ἄγαλμα καὶ ἄμοιρον θείας ἐπιπνοίας. οὕτω διέγνω τὸ ἄρρητον ἄγαλμα τοῦ Αἰῶνος ὑπὸ τοῦ θεοῦ κατεχόμενον, ὃ Ἀλεξανδρεῖς ἐτίμησαν, Ὄσιριν ὄντα καὶ Ἄδωνιν ὁμοῦ κατὰ μυστικὴν θεοκρασίαν. ἐνῆν δὲ τοῦ Ἡραΐσκου τῇ φύσει καὶ τὸ τοὺς μολυσμοὺς τῆς φύσεως ἀναινόμενον. εἰ γοῦν αἴσθοιτο φθεγγομένης ὅπως δὴ καὶ ὅθεν γυναικὸς ἀκαθάρτου τινός, ἤλγει παραχρῆμα τὴν κεφαλήν· καὶ τοῦτο σημεῖον ἐποιεῖτο τῆς ἀφεδρείας. ἦν δὲ καὶ ἡ πρώτη αὐτοῦ γένεσις μυστική· λέγεται γὰρ κατελθεῖν ἀπὸ τῆς μητρὸς τοῖς χείλεσιν ἔχων τὸν κατασιγάζοντα

514 = Zen. III 19 516 Ar. Nu. 773—4 c. sch. 517 — δοτικῇ = An. Ox. 4, 289, 31, Synt. Laur. ἐγίνωσκον—διαγγελλομένους Xen. An. 3, 4, 36 518 = Synt. Laur. 519 οὐδὲ pr. sq. Philostr. 1, 17 520 ὁ sq. Dam. fr. 134 521 = Σ^a, Ba 193, 28 cf. sch. Thuc. 1, 87, 6, Thom. 100, 1 522 vs. 23 ὁ sq. Dam. fr. 107

514 cf. 648 515 Z 539 516 Z 539 517 Z 540 519 cf. v. K 912 et v. λεπτολογία 520 cf. 1855. Z 540 521 Z 512 522 Z 505. Dam. hinc v. A 4573 cf. v. H 450

A (GITFVM) 1 γὰρ om. I 9 Ἀριστοφάνης Νεφέλαις om. GIT 11 Διαγγέλλω—καὶ om. FV 25 ἱερῶν om. VM 27 τοιοῦτον δὲ M

δάκτυλον, οἷον Αἰγύπτιοι μυθολογοῦσιν Ὧρον καὶ Ἥλιον. τοιγαροῦν, ἐπεί οἱ συνεπεφύκει τοῖς χείλεσιν ὁ δάκτυλος, ἐδεήθη τομῆς, καὶ διέμεινεν ἀεὶ τὸ χεῖλος ὑποτετμημένος.

523 Διαγόρας, Τηλεκλείδου, ἢ Τηλεκλύτου, Μήλιος, φιλόσοφος καὶ Hesy. + x
ἁρμάτων ποιητής· ὃν εὐφυᾶ θεασάμενος Δημόκριτος ὁ Ἀβδηρίτης ὠνήσατο αὐτὸν δοῦλον ὄντα μυρίων δραχμῶν καὶ μαθητὴν ἐποιήσατο. ὁ δὲ καὶ τῇ λυρικῇ ἐπέθετο, τοῖς χρόνοις ὢν μετὰ Πίνδαρον καὶ Βακχυλίδην, Μελανιππίδου δὲ πρεσβύτερος· ἤκμαζε τοίνυν οη' Ὀλυμπιάδι. καὶ ἐπεκλήθη Ἄθεος διότι τοῦτο ἐδόξαζεν, ἀφ' οὗ τις ὁμότεχνος αἰτιαθεὶς ὑπ' αὐτοῦ ὡς δὴ παιᾶνα ἀφελόμενος, ὃν αὐτὸς ἐπεποιήκει, ἐξωμόσατο μὴ κεκλοφέναι τοῦτον, μικρὸν δὲ ὕστερον ἐπιδειξάμενος αὐτὸν εὑημέρησεν. ἐντεῦθεν οὖν ὁ Διαγόρας λυπηθεὶς ἔγραψε τοὺς καλουμένους Ἀποπυργίζοντας λόγους, ἀναχώρησιν αὐτοῦ καὶ ἔκπτωσιν ἔχοντας τῆς περὶ τὸ θεῖον δόξης. κατοικήσας δὲ Κόρινθον ὁ Διαγόρας αὐτόθι τὸν βίον κατέστρεψεν.

524 Διαγόρας ὁ Μήλιος: ἐπὶ τῶν ἀθέων καὶ ἀπίστων καὶ ἀσεβῶν. Ar.
οὗτος γὰρ μετὰ τὴν ἅλωσιν Μήλου ᾤκει ἐν Ἀθήναις· τὰ δὲ μυστήρια οὕτως ηὐτέλιζεν ὡς πολλοὺς ἐκτρέπειν τῆς τελετῆς. τοῦτο οὖν ἐκήρυξαν κατ' αὐτοῦ Ἀθηναῖοι καὶ ἐν χαλκῇ στήλῃ ἔγραψαν, τῷ μὲν ἀποκτείναντι τάλαντον λαμβάνειν, τῷ δὲ ἄγοντι δύο. ἐκηρύχθη δὲ τοῦτο διὰ τὸ ἀσεβὲς αὐτοῦ, ἐπεὶ τὰ μυστήρια πᾶσι διηγεῖτο, κοινοποιῶν αὐτὰ καὶ μικρὰ ποιῶν καὶ τοὺς βουλομένους μυεῖσθαι ἀποτρέπων. φησὶν οὖν Ἀριστοφάνης ἐν Ὄρνισι· τῇδε μέντοι θἠμέρᾳ μάλιστ' ἐπαναγορεύεται· ἢν ἀποκτείνῃ τις ὑμῶν Διαγόραν τὸν Μήλιον, λαμβάνειν τάλαντον· ἤν τε τῶν τυράννων τις τῶν τεθνηκότων ἀποκτείνῃ, τάλαντον λαμβάνειν. τεθνηκότι, τουτέστι τῶν ἐπὶ θανάτῳ φευγόντων. ἐν ὑπερβολῇ δὲ εἴρηται, τοὺς τεθνηκότας ἀποκτείνειν.

525 Διαγορεύων: ἀντὶ τοῦ διάφορα καὶ οὐ τὰ αὐτὰ λέγων. οὕτως Harp.
Ἰσαῖος. τὸ δὲ ἐναντίον συναγορεύειν, ὥσπερ ἐναντίον καὶ τὸ συμφέρεσθαι πρὸς τὸ διαφέρεσθαι καὶ τὸ συμφωνεῖν πρὸς τὸ διαφωνεῖν.

526 Διαγωνιάσαντες: διενθυμηθέντες. οἱ δὲ διαγωνιάσαντες μὴ E

523 cf. sch. Ar. Ran. 320 524 Ar. Av. 1073—5 c. sch. 525 Harp. = Sabb.; — συναγορεύειν = An. Ox. 2, 492, 21; Isae. fr. 20 526 οἱ sq. Polyb. 11, 32, 5

523 hinc Ps. Hesych. 17, v. A 3493 cf. v. πυργίσκοι 524 Z 506 525 hinc v. συμφέρεται extr., Z 540 526 Z 540

4 Μήλιος Bas cf. 524, Steph. Byz. v. Μῆλος, sch. Ar. Ran., Laert. 6, 59, Plut. A(GITFVM)
Plac. Phil. 1, 7 (Diels, Doxogr. 297): Μιλήσιος omnes cf. Euseb. praep. ev. 14, 16, 1, Thdr. graec. aff. 2, 112 et 3, 4 5 ὃν—15 κατέστρεψεν] καὶ τὰ ἑξῆς F 7 μετὰ] κατὰ Kust. 8 Μελανιππίδου—Ὀλυμπιάδι om. VM Μελανιππίδου T: Μελανιππίδης A cp. GI 9 καὶ ἐπεκλήθη AGIT: ὃς ἐ. V ἐ. δὲ M διότι – 12 λυπηθεὶς om. VM 13 καλουμένους om. VM ἀναχώρησιν—14 καὶ om. VM 18 τελετῆς A, sch.: ἀρετῆς GITM 25 τις] τινα T 26 τεθνηκότι AGIM: τῶν τεθνηκότων T sch. 28 οὕτος A 29 δὲ] γὰρ V cf. Harp.

διὰ τὸ προηττῆσθαι δόξωσι καταπεπλῆχθαι τοῖς ὅλοις, ἐξῆγον ἅμα φωτί. ἀντὶ τοῦ εὐλαβηθέντες.

Synt. 527 Διαγωνίζω· αἰτιατικῇ.

Σ 528 Διάγραμμα: τὸ μίσθωμα. διέγραφον γὰρ οἱ ἀγορανόμοι, ὅσον ἔδει λαμβάνειν τὴν ἑταίραν ἑκάστην.

Harp. 529 Διάγραμμα: τὸ ταττόμενον ἐν ταῖς συμμορίαις, ὁπόσον ἕκαστον εἰσφέρειν δεῖ. ἐτάττετο δὲ οὐ τὸ αὐτὸ πᾶσιν, ἀλλὰ πρὸς τὴν τιμὴν τῆς οὐσίας. διαγραφεὺς μέντοι ἐστὶν ὁ καθιστάμενος ἐν ταῖς συμμορίαις ἐπὶ τῷ διακρῖναι, πόσον ἕκαστος εἰσενεγκεῖν ὀφείλει.

Σ 530 Διάγραμμα: ὅταν εἰσφορᾶς δεήσειεν εἰς τὸ κοινόν, πολέμου ὄντος, τὸ ἑκάστῳ ἐπιγραφόμενον ἀργύριον διάγραμμα καλεῖται.

Harp. 531 Διαγραφή: ἡ διατύπωσις τῶν πιπρασκομένων μετάλλων δηλοῦσα διὰ γραμμάτων, ἀπὸ ποίας ἀρχῆς μέχρι πόσου πέρατος πιπράσκεται.

Ε 532 Διαγραφή· καὶ τοῦτο ἐπὶ Ἰουστινιανοῦ ἐγένετο, ζημίαις πολλαῖς καθυποβάλλεσθαι τὴν πόλιν.

Σ 533 Διαγραφὴ δίκης: ὅταν ἀπαλλαγῇ τοῦ ἐγκλήματος ὁ φεύγων, ἢ κατὰ συγχώρησιν τοῦ διώκοντος ἢ κατὰ διάγνωσιν τυχόντος, καὶ μηκέτι παρὰ μηδενὸς ἐγκαλῆται, διαγραφὴ δίκης λέγεται.

Harp. 534 Διαγράψαντος: τινὲς μὲν ἀντὶ τοῦ καταβαλόντος καὶ καταθέντος, ἔνιοι δὲ ἀντὶ τοῦ διὰ τραπέζης ἀριθμήσαντος, ὡς λέγομεν ἐν τῇ συνηθείᾳ.

Harp. 535 Διαγράψασθαι: ἀντὶ τοῦ ἀνελέσθαι τὸ ἔγκλημα. καὶ Διαγράφω σε· αἰτιατικῇ. Synt.

Prov. 536 Διὰ δακτυλίου δεῖ σε ἑλκυσθῆναι: ἐπὶ τῶν διὰ νόσον ἢ λύπην λεπτῶν καὶ ἰσχνῶν γινομένων.

Synt. 537 Διαδέχομαι· αἰτιατικῇ.

Δ 538 Διάδημα: τὸ βασιλικὸν ἔνδυμα, τάχα δὲ καὶ ἔνδεμα, τὸ στέμμα.

Σ Suid. 539 Διαδιδράσκει· αἰτιατικῇ. διαφεύγει. καὶ διαδρᾶναι.

540 Διαδικασάμενος: ὀνειδίσας, διελέγξας. ὃς διαδικασάμενος αὐτῷ περὶ τῆς ἀποστασίας ἀπέκτεινεν αὐτοῦ τοὺς παῖδας.

527 = Synt. Laur. 529 Harp. cf. Bk. 236, 13 530 = Bk. 241, 3 531 Harp. 532 Proc. h. a. 23, 17—8 533 — vs. 18 τοῦ = Bk. 186, 19; ἢ pr. sq. = Sabb. 534 Harp. 535 — ἔγκλημα Harp. = Et. M. 267, 22 Διαγράφω sq. cf. An. Ox. 4, 290, 25 536 = Zen. III 18; l. cf. Ar. Pl. 1036 537 = Synt. Laur. 538 cf. Ambr. 634, H 539 αἰτιατικῇ cf. Synt. Laur. διαφεύγει = Ba 193, 27, H

528—9 Z 523 et 505 531—3 Z 513, ex quo Lex. Cant. 534—5 Z 539 539 καὶ διαδρᾶναι ex 544 539—40 Z 540 540 Vind. 72

A(GITFVM) 3 Διαγωνίζω AI: καὶ Δ. M 4 γὰρ] δὲ GIT 9 τῷ GVM: τὸ AIF cf. Harp. 12. 13 δηλοῦσα om. V 18 ἢ pr. FM Sabb. Zon.: ἢ τὰ AV τὸ τὰ G δ τὰ I τὸ T τυχόντος] τοῦ ἄρχοντος Hemst. 19 παρὰ VM Sabb.: περὶ rell. Zon. 28 τάχα—στέμμα om. GIT; τάχα—ἔνδεμα post vs. 29 διαφεύγει A 29 καὶ διαδρᾶναι ex M; post vs. 28 διαδρᾶναι add. A

541 Διαδικασία· διαδικασία ἐστίν, ἣν ποιοῦνταί τινες τοῖς μέλ- Σ
λουσι χορηγεῖν, οὓς ἂν ὁρισθῆναι βούλωνται, πότε χρὴ λειτουργεῖν αὐτούς.

542 Διαδορατίζω. Δ

543 Διαδόσεις: τὰς ἐκ διαιρέσεως ἴσης ἐπιβαλλούσας δόσεις. Λυσίας. Harp.

544 Διαδρᾶναι: διαφυγεῖν. Σ

545 Διαδρασιπολίτας: ἀντὶ τοῦ δειλούς, ἀποδιδράσκοντας τὴν Ar.
πολιτείαν.

546 Διαδρομαί: ἐπὶ τῶν ἐπὶ παρατάξει κινημάτων. καὶ ἥ γε ἵππος E
παρῆλασε πρώτη εὐτάκτως τε καὶ σὺν κόσμῳ, εἶτα διηρέθησαν καὶ ἀλλήλοις ἀντιπρόσωποι στάντες μαχομένων σχήματα ἐπεδείξαντο. κἄτα ἐνόπλιοι διαδρομαί τινες ἐγίνοντο καὶ ἐξελίξεις καὶ περίοδοι.

547 Διαζεύγνυμι· γενικῆ. Synt.

548 Διαζηλοτυπούμενοι: φθονερῶς διακείμενοι. οἱ δὲ διαζηλο- E
τυπούμενοι πρὸς τὸν Σκιπίωνα ἐπεβάλοντο διασύρειν τὰς πράξεις αὐτοῦ.

549 Διάζομαι τὸν στήμονα. Σ

550 Διάζωμα: τὸ περὶ τὰ αἰδοῖα σκέπασμα.

551 Διαζωννύω· αἰτιατικῆ. Synt.

552 Διαείδεται: γνωρίζεται, φαίνεται. ἔνθ' ἀρετὴ διαείδεται Δ
ἀνδρῶν, κατὰ τὸν ποιητήν· μᾶλλον δέ, ὅπου ζητεῖται τὸ μέγεθος τῆς ἀρετῆς.

553 Διαήσει: διαπέμψει. Διάησι δὲ διέρχεται. παρ' Ἡσιόδῳ. Δ

554 Διαθέουσα: διατρέχουσα. Σ

555 Διαθέσθαι: ἀντὶ τοῦ ἀποδόσθαι.

556 Διάθεσις· ὅτι ἐπειδὴ οὐκ ἄσχετός ἐστιν ὁ δεσμὸς τῆς ψυχῆς Phil.
πρὸς τὸ σῶμα ἀλλὰ συμπαθής, διαβαίνει γοῦν ἐκ τῶν τῆς ψυχῆς κινημάτων ἴχνη πρὸς τὸ σῶμα καὶ ἐκ τοῦ σώματος πρὸς τὴν ψυχήν. ἄλλο γοῦν τὸ εἶδος τοῦ διανοουμένου καὶ ἄλλο τοῦ λυπουμένου, καὶ ἐπὶ τῶν λοιπῶν ἐμφαίνεται ἴχνος ἐν τῷ σώματι τῆς κινήσεως τῆς ψυχῆς, ὅθεν καὶ οἱ φυσιογνώμονες ἐκ τῆς τοῦ σώματος ἰδέας τεκμαίρονται τὰς τῆς ψυχῆς διαθέσεις. ὅτι δὲ καὶ ἐκ τῶν παθῶν τοῦ σώματος διαβαίνει τι καὶ πρὸς τὴν ψυχήν, πρόδηλον· ἀλγοῦντι γὰρ συναλγεῖ καὶ εὐθυμοῦντι συνήδεται. ὅτι δὲ καὶ ἐμποδίζει αὐτῇ τὸ

542 = Ambr. 802 543 Harp.; Lys. fr. 312 544 = Ba 193, 30, H 545 sch. Ar. Ran. 1014 cf. Phryn. 61, 13 547 = Synt. Laur. 548 ὁ sq. Polyb. 36, 8, 2 549 cf. Poll. 7, 32, sch. Ar. Av. 4 552 — γνωρίζεται cf. sch. Θ 535, Et. M. 267, 4 φαίνεται = L, sch. N 277, H ἔνθ' sq. Dam. fr. 29; — ἀνδρῶν N 277 553 — διαπέμψει cf. Ambr. 687; Ἡσιόδῳ O. 514 554 = Ba 193, 32 cf. H 556 Philop. 155, 17—34

543 Z 512 544 hinc 589 fin. 545 Z 506 546 hinc v. Ε 1617. Z 513 548 Z 540 550 Z 523 552 Z 540. Dam. cf. v. φῶτα 553 Z 542 555 Z 542; sch. Dem. 2, 23 ed. Paris. 1570 556 cf. v. πάθος 2

10 διηρέθησαν VM: διηρέθισαν rell. 12 ἐξελίξεις T: ἐξελλίξεις rell. cf. A(GITFVM) v. Ε 1617 21 ζητεῖται] ζητεῖ FVM 30 συμφαίνεται FV

cῶμα τοίωc ἢ τοίωc διακείμενον, οὐδεὶc ἀγνοεῖ, ὅπερ οὐκ ἂν ἐγένετο, τὸ ἐμποδίζecθαι αὐτὴν ὑπ' αὐτοῦ, εἰ μὴ διέβαινεν ἀπὸ τῆc πρὸc αὐτὸ cχέceωc cυμπάθειά τιc ἐπὶ τὴν ψυχήν· οὕτωc ὡc τοῦ ἐγκεφάλου κοιλίαc μὲν παθούcηc τῆc ὄπιcθεν τὸ μνημονευτικὸν πάcχειν, ἄλλωc δὲ αὐτὸ τὸ λογιcτικόν, καὶ τοίωc μὲν διακειμένου φανταcτὸν εἶναι τὴν ψυχήν, τοίωc δε δυcφάνταcτον. καὶ αἱ διάφοροι δὲ τῶν ψυχῶν ἐπιτηδειότητεc καὶ τὸ εἰc τάδε ἢ τάδε τὰ πάθη ἐπιρρεπῶc ἔχειν ἐκ τῆc πρὸc τὸ cῶμα cχέceωc καὶ cυμπαθείαc παραγίνεται· ὅθεν καὶ νενομίκαcί τινεc ταῖc τοῦ cώματοc κράceciν ἕπecθαι τὰc τῆc ψυχῆc δυνάμειc.

Rhet. 557 Διάθεcιc καὶ Διατίθecθαι: ἑκάτερον αὐτῶν κεῖται ἐπὶ τοῦ διαθήκαc γράφειν. Ἰcαῖοc ἐν τῷ πρὸc Ἀριcτογείτονα· μετὰ ταύτην τοίνυν τὴν ἀπόκριcιν ἑτέραν διαθήκην ἐκόμιcαν, ἣν ἔφαcαν Ἀρχέπολιν ἐν Λήμνῳ διαθέcθαι. καὶ Λυcίαc ἐν τῷ πρὸc Τιμωνίδην· πῶc δ' ἂν τῆc διαθέceωc τοῦ τετελευτηκότοc ἀμελήcαιμεν, ἣν ἐκεῖνοc διέθετο οὐ παρανοῶν οὐδὲ γυναικὶ πειcθείc. ἐχρήcαντο δὲ καὶ ἐπὶ τοῦ πωλεῖν ἑκατέρῳ αὐτῶν. παρ' Ἰcοκράτει δὲ ἐπὶ τοῦ πάcχειν κεῖται τὸ διατίθecθαι, ὥc φηcιν ἐν Ἑλένηc Ἐγκωμίῳ· γνοίη δ' ἄν τιc κἀκεῖθεν, ὅcον διαφέρει τῶν ὄντων, ἐξ ὧν αὐτοὶ διατιθέμεθα πρὸc ἕκαcτον τῶν καλῶν. Ἀντιφῶν δὲ τῇ διαθέceι ἐχρήcατο ἐπὶ γνώμηc ἢ διανοίαc. ὁ αὐτὸc καὶ ἐπὶ τοῦ διαθεῖναι λόγον, τουτέcτιν ἐπὶ τοῦ ἐξαγγεῖλαί τι. ἐν τῷ β' τῆc Ἀληθείαc ὁ αὐτὸc κέχρηται αὐτῷ καὶ ἐπὶ τῆc διακοcμήceωc.

Harp. 558 Διάθεcιc: Ἰcοκράτηc ἀντὶ τοῦ πρᾶcιc. Ἀντιφῶν δὲ ἀντὶ τοῦ διοίκηcιc. καὶ διαθέcθαι ἐπὶ τοῦ διοικῆcαι. παραλαμβάνεται δὲ τὸ διαθέcθαι καὶ ἀντὶ τοῦ cυνθέcθαι, ὡc Ὑπερίδηc καὶ Δημοcθένηc.

Phil. 559 Διαθέceιc οὐ μόνον αἱ ἐπιcτῆμαι καὶ αἱ τέχναι, ἀλλὰ καὶ αἱ ἀρεταί. ὑπάρχει δὲ τῇ τέχνῃ τὸ φαῦλον καὶ cπουδαῖον. τῶν γὰρ τεχνῶν αἱ μέν εἰcι φαῦλαι, αἱ δὲ cπουδαῖαι. τῷ δὲ τῆc ἐπιcτήμηc ὀνόματι Ἀριcτοτέληc ἀντὶ τῆc τέχνηc χρῆται κοινότερον. ὑπάρχοι δ' ἂν καὶ τῇ διαθέceι, γένοc οὖcῃ τέχνηc, τὸ φαῦλόν τε καὶ cπουδαῖον. Διαθέceιc λέγονται, ἅ ἐcτιν εὐκίνητα καὶ ταχὺ μεταβάλλονται, οἷον θερμότηc καὶ ψύξιc καὶ νόcοc καὶ ὑγεία. διάκειται μὲν γάρ πωc κατ'

557 cf. Et. M. 267, 48; Bk. 241, 25—30, sch. Dem. 2, 16; Isae. fr. 7; Lys. fr. 230; Isocr. 10, 55; Antiph. fr. 165 et 112 558 Harp. = An. Ox. 2, 492, 25; Isocr. 11, 14; Antiph. fr. 85; Hyper. non inv. ap. Blass; Dem. e. g. 2, 16 559 — vs. 31 cπουδαῖον Alex. Aphr. 158, 24—9 vs. 32 Διαθέceιc sq. cf. Io. Dam. PG 94, 633 b c; — p. 57, 3. 4 προcαγορεύοι Aristot. Cat. p. 8 b 35—9 a 3

557 + 558 sch. Dem. 2, 23 ed. Paris. 1570 558 Z 542 559 fin. hinc v. E 1767 fin.

A(GITFVM) 1 τοιῶcδε ἢ τοιῶcδε T, Trincavelli in ed. Philop. 3 ἐπὶ om. FV 16 ἐχρήcατο A 17 αὐτῶν GIT: αὐτῷ rell. 18 ὡc] ὃc pr. 26 καὶ alt.] κατὰ Harp. plen. 27 αἱ sec. om. F, Alex. 28 καὶ] καὶ τὸ A cf. Alex. 32 Διαθέceιc nov. gl. GIT

αὐτὴν ὁ ἄνθρωπος, ταχὺ δὲ μεταβάλλει ἐκ θερμοῦ εἰς ψυχρὸν καὶ ἐκ τοῦ ὑγιαίνειν εἰς τὸ νοσεῖν. εἰ μή τις διὰ χρόνου πλῆθος ἤδη πεφυσιωμένη ἀνίατός ἐστιν ἢ δυσκίνητος, ἣν ἄν τις ἴσως ἔξιν ἤδη προσαγορεύοι. καὶ διαφέρει ἕξις διαθέσεως· ἡ μὲν γὰρ ἕξις δυσκίνητος, ἡ δὲ διάθεσις εὐκίνητος.

560 Διαθέτης: διοικητής, ἐπιμελητής. ἦν δὲ καὶ τἄλλα σοφὸς οἴκου διαθέτης καὶ πολύ τι τῆς ἡμέρας μέρος εἰς ταῦτα ἀνήλισκε, τὰ μὲν αὐτουργῶν, τὰ δὲ διατάττων.

561 Διαθείη: διαπράξει. Σ

562 Διαθητή. Suid.

563 Διαθήκη: δυικῶς ἐκφωνεῖται. ἡ μὲν ἐπὶ θνησκόντων διατάξεως Σ καὶ ἐνταλμάτων χαρακτῆρα φέρουσα. θατέρα δὲ διαθήκη καὶ ἡ θεοῦ πρὸς Ἀβραὰμ καὶ τοὺς λοιποὺς προπάτορας γενομένη ἐπαγγελία, ἐκ τοῦ σπέρματος αὐτῶν ἀναστήσειν τὸν κύριον ἡμῶν καὶ θεὸν Ἰησοῦν Χριστόν. καὶ παρὰ Ἀριστοφάνει διαθήκη, ἡ συνθήκη. ἦν μὴ διάθωνται διαθήκην ἐμοί. καὶ Διατίθεμαι, ἀντὶ τοῦ συντίθεμαι. Ar.

564 Διαθήκη καὶ ὁ νόμος. Δαβίδ· ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ. εἴρηκε γάρ, ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν. οἱ δὲ οὐκ ἤκουσαν αὐτοῦ. Thdr.

565 Διαθήκην διαθώμεθα, ἣν διέθετο πίθηκος τῇ γυναικί· ἀντὶ τοῦ συνθήκην. αἰσχρὸς γάρ τις τὴν ὄψιν συνεχῶς τῇ γυναικὶ διαπληκτιζόμενος διέθετο ἐπὶ φίλων, μήτε τύπτειν μήτε τύπτεσθαι μήτε δάκνειν, ὡς αὐτὸν φιλοῦντα, μήτε δάκνεσθαι. οἷον, σὺ μὲν οὐχ ἑλκύσεις τῶν ὀρχιπέδων, οὐδὲ ἐγὼ τῶν τριχῶν. ἔοικε δὲ τὸν Πανάιτιον κωμῳδεῖν· ὡς καὶ ἐν Νήσοις· καταλιπὼν ἀναίτιον πίθηκον. ἔνθα καὶ μαγείρου πατρὸς εἶναι λέγει αὐτόν. πίθηκον μὲν διὰ τὸ πανοῦργον, μαχαιροποιὸν δὲ τὸν μαχαίραις ἐργαζόμενον, ὡς μάγειρον. αὐτόθεν οὖν φησιν αὐτὸν μαχαιροποιόν. ὁ γὰρ Πανάιτιος μάγειρος μικροφυὴς ἦν. διαβάλλει δὲ αὐτὸν Ἀριστοφάνης ὡς καταλαβόντα τὴν γυναῖκα αὐτοῦ μοιχευομένην· ἐδυναστεύετο γὰρ ὑπ' αὐτῆς μεγάλης οὔσης. Ar.

566 Διαθλίβειν· ζήτει ἐν τῷ βλιμάζειν.

567 Διαθλοῦντες: πονοῦντες. καὶ Διαθλῶ· αἰτιατικῇ. Σ Synt.

568 Διάθρυπτε. Δ

569 Διαθρύπτεται: χαυνοῦται, διαλύεται. Σ

560 ἦν sq. Dam. fr. 24 = Phot. bibl. p. 336b 26—8 561 = Σ^a, Ba 193, 31 563 — θατέρα = Σ^a, Et. Gud.; — φέρουσα = Ba 194, 2, Zon. 511 vs. 15 διαθήκη—ἐμοί sq. Ar. Av. 439 c. sch.; Διατίθεμαι sq. sch. Ar. Av. 444 564 Thdr. in Ps. 54, 21, PG 80, 1280b 565 Ar. Av. 440—1 c. sch.; Ar. fr. 394 567 — πονοῦντες = Ba 194, 1 Διαθλῶ sq. = Synt. Laur. 569 = Ba 194, 8

562 ex v. ῥυσμός 565 hinc v. πίθηκος 1, v. ὀρχιπέδων, v. Πανάιτιος 2 fin., v. Γ 503

4 γὰρ ex FVM 9 διαπράξοι Σ^a 562 ex M 14 αὐτὸν GVM A(GITFVM) 17 Δαβίδ om. FV mg. AM 20 ἦν] ἣν γὰρ V 568 om. G; διαμέριζε add. T

Ar. 570 Διακαυνίcacθαι: διακληρώcacθαι.

Ar. 571 Διακεκαυμένον: πῦρ ἐν ἑαυτῷ ἔχον. Ἀριστοφάνης· δός μοι cπυρίδιον διακεκαυμένον λύχνῳ. τί δ', ὦ τάλας, τοῦδ' ἔχῃ πλέκους χρέος; χρέος μὲν οὐδέν, βούλομαι δ' ὅμως λαβεῖν. οἱ γὰρ πρεcβύτεροι διὰ τὸ μόλις βαδίζειν ἐν cπυρίδι ἔκρυπτον τὸν λύχνον, ὥcτε cῴζειν τὸ πῦρ.

Σ 572 Διακεκναιcμένη: διεφθαρμένη. καὶ Διακεκναιcμένος, Ar. ἠμαυρωμένος. εἰ γενοίμην ὠχρός, ὡς οἱ περὶ τὸν Cωκράτην, καὶ ἀνυπόδετος καὶ ῥυπῶν. οἱ γὰρ ἱππεῖc εὔχροι καὶ ὑποδεδεμένοι καὶ ἐν γυμναcίοις ἐξεταζόμενοι καὶ παλαίcτραις. καὶ ἐν Ἱππεῦcι· μὴ φθονεῖτε ἡμῖν κομῶcι μηδ' ἀπεcτλεγγιcμένοις. τουτέcτι λιπῶcι. τοῦτο οὖν καὶ νῦν ὁ νεανίcκος δεδοικέναι φηcί, τὸ ἀπεχθέcθαι τοῖc περὶ τὴν ἱππικὴν ἔχουcιν, εἰ καταλιπὼν τὸ κοcμεῖν τὸ cῶμα καὶ μετιέναι τὰ τῶν ἱππέων ἐπιτηδεύματα, τῶν φιλοcόφων μετέλθω. καὶ ἐν Νεφέλαιc· οὐ γὰρ ἂν τλαίην ἰδεῖν τοὺc ἱππέαc τὸ χρῶμα διακεκναιcμένος.

Σ 573 Διακέκοπται: οἷον ἀδόκιμόν ἐcτι. διέκοπτον γὰρ τὸ ἀδόκιμον νόμιcμα οἱ παλαιοί.

Σ 574 Διακεκορῆcθαι: διαπεπαρθενεῦcθαι, τετμῆcθαι τῇ μίξει.

Σ 575 Διακεκριμένωc. διακεχωριcμένωc.

Synt. 576 Διακελεύω· δοτικῇ.

577 Διακενῆc: ἄνευ τινὸc προφάcεωc. Δαβίδ· αἰcχυνθήτωcαν οἱ ἀνομοῦντεc διακενῆc.

Δ 578 Διάκενοc: ἡ κενή.

Ε 579 Διακεχαραγμένοc: ξίφει πεπληγμένος. ὁ δὲ διεcώθη εἰc τὸν Νάρcην διακεχαραγμένος τὸ cῶμα.

Synt. 580 Διακεχείρικε· γενικῇ. ὥcθ' ἅπαντα τὸν βίον ὑπεύθυνον εἶναι ὁμολογῶν, ὧν διακεχείρικεν, ἢ πεπόλιται παρ' ἡμῶν. Διαχειρίζω δὲ αἰτιατικῇ. καὶ αὐτὸc ἑαυτὸν διεχείριcε. καὶ διαχειρίcαc ὀρθῶc τὴν οὐcίαν παρέδωκε τοῖc υἱέcι.

570 cf. sch. Ar. Pac. 1081, H, Et. M. 267, 18 571 Ar. Ach. 453—5 c. sch. 572 — διεφθαρμένη = Ba 194, 18, Et. M. 267, 15 cf. sch. Ar. Nu. 120, Ludw. 16, 16 Διακεκναιcμένος sq. Ar. Nu. 119—20 c. sch., Ar. Eq. 580 573 = Et. M. 267, 12, Et. Gen., Phryn. fr. 301 574 = Ba 194, 16 575 = Zon. 535 et 555; l. = Ba 194, 19 διακεχωριcμένωc cf. H = sch. 1 220 577 αἰcχυνθήτωcαν sq. Ps. 24, 3 578 cf. Ambr. 559 579 ὁ sq. Men. Prot. attr. Bhd. 580 cf. Synt. Gud. 590; — ἡμῶν = Bk. 132, 11; — γενικῇ cf. Synt. Laur.; ὥcθ'—ἡμῶν Dem. 18, 111. Διαχειρίζω αἰτιατικῇ = Bk. 134, 9

571 cf. v. χρέος 1 et v. cπυρίδιον 572 Ar. Eq. cf. v. K 1980 574 hinc 687 et v. πεπαρθενεῦcθαι cf. 591 et 904 577 Z 535 = 555

A(GITFVM) 1 Διακαυνίcacθαι] Διακαινίcacθαι ITF διαγωνίcacθαι G Διακαυνιάcαι Ar. H Et. 3 cπυρίδιον Ar.: cπυρίδι T cπυρίδα F cp. roll. cf. s. v. ἔχῃ] ἔχθῃ V 11 φθονεῖcται V λιμῶcι FV 12 ἀπέχεcθαι GVM 14 τῶν alt.] τὰ τῶν sch. 15 τλαίην ITM: τλαίη A τλαίειν F πλαίην G παλαίειν V διακεκναιcμένους AGIM 19 διαπεπαρθενεῦθαι FV cf. 687 20 διακεχωριcμένωc om. FVM Ba 580 om. TFV post 581 G

581 Διακεχρημένον: ἀντὶ τοῦ κατὰ μέρος δεδανεισμένον. Δη- Harp.
μοσθένης.

582 Διακεχυμένοι: ἐκλελυμένοι τὴν ψυχὴν ὑπὸ χαρᾶς. τινὲς δὲ E
τῶν νεανίσκων ἀπήντων πρὸς Γάϊον διακεχυμένοι καί τι καὶ προσπαί-
ζοντες ἀλλήλοις.

583 Διακλιμακίσας: διαπαλαίσας. κλίμαξ γὰρ καὶ κλιμακισμός, Σ
πάλαισμα ποιόν.

584 Διακλεισθέντες: ἐξαπορήσαντες, κωλυθέντες, εἰρχθέντες. καὶ E
πάσης ἀθρόον ἀγορᾶς διακλεισθέντες ἐν ἀκαρεῖ χρόνῳ ἐκινδύνευον
διαφθαρῆναι.

585 Διακλῶν: διαθρύπτων. Σ

586 Διακναιόμενος: ξεόμενος, ἢ λυπούμενος. Ἀριστοφάνης· Σ
ἄτοπος δ' ἔγκειταί μοί τις πόθος, ὅς με διακναίσας ἔχει. Ar.

587 Διακναισθήσεται: διαφθαρήσεται. διακναίειν ἐστὶ κυρίως τὸ Ar.
ξύειν τυρὸν τῇ κνῆστι.

588 Διακομισθείς: διελθών. Σ

589 Διακόνιον: οἱ μὲν τὴν τοῦ πλακοῦντος κρηπῖδα, Μενεκλῆς δὲ Σ
ἐν τῷ Γλωσσοκόμῳ ταῦτα εἴρηκε περὶ αὐτοῦ· Ἀθηναῖοι τῷ Ἀπόλλωνι
τὴν καλουμένην εἰρεσιώνην ὅταν ποιῶσι, πλήττοντες λύραν τε καὶ
κοτύλην καὶ κλῆμα καὶ ἄλλ' ἄττα κυκλοτερῆ πέμματα ταῦτα καλοῦσι
διακόνιον. λέγεται δ' ἐπί τινος ἐγκρατοῦς. ὁμοίως δὲ καὶ Ἀμερίας
διακόνια τὰ κατὰ τὴν εἰρεσιώνην τῷ Ἀπόλλωνι πλασσόμενα πέμματα.
τινὲς δὲ λέγουσι ζωμὸν ποιόν, τινὲς δὲ μᾶζαν.

590 Διάκονος: μακρὸν τὸ α. ὁ δὲ ἦν ἱερεύς, διάκονος τὴν Δ EL
τιμήν. καὶ Φιλοκτήτης· ἀλλ' ἢ τεθνήκασ', ἢ τὰ τῶν διακόνων, ὡς Soph.
εἰκὸς οἶμαι, τοὐμὸν ἐν σμικρῷ μέρος ποιούμενοι, τὸν οἶκαδ' ἤπειγον
στόλον. καὶ Διακονῶ. δοτικῇ. Δ

591 Διακορεῦσαι: διαπαρθενεῦσαι· οἱονεὶ διατεμεῖν. Σ

581 Harp. = An. Ox. 2, 492, 23; Dem. 27, 11 582 l. cf. Σ^{a} τινὲς sq. Polyb. 8, 27, 4 583 = Et. M. 267, 16 cf. H 584 καὶ sq. [Polyb.] fr. 120 fort. Aelian. 585 = Ba 194, 20, H 586 — λυπούμενος = Σ^{a}, Et. M. 267, 14 cf. Ambr. 682 ἄτοπος sq. Ar. Eccl. 957—8 587 sch. Ar. Pac. 251 588 = Ba 194, 21, H 590 l. = Ambr. 466 ὁ—τιμήν Proc. bell. 7, 16, 5 = EL 112, 7—8 ἀλλ'—στόλον Soph. Phil. 497—9 Διακονῶ sq. = Synt. Laur.; Διακονῶ = L 591 = Ba 194, 15 cf. Ambr. 593, 618

588 cf. v. K 1749 584 cf. vv. A 3680, Є 254 et 1102 586 Ar. cf. v. A 4374 591 cf. 574

4 τι] τοι AF 6 Διακλιμακίσας cett. AM Et. Hes.: Διακλειμακίσας cett. A(GITFVM) rell., v. K 1749 7 ποιῶν A^{ac} 12 ξετόμενος V 13 πόθος] πόρος V 19 πλήττοντες] πλάττοντες Arsenius (Paroem. ed. Leutsch 2, 365) et H. Stephanus; aut φοροῦντες post κοτύλην inserendum putat Stephanus 20 ἄλλ' ἄττα Arsen. Dobr.: ἄλλα τὰ omnes 21 λέγεται—ἐγκρατοῦς ad 590 vel ad aliam glossam rettulit Bhd. 22 πλασσόμενα] πεπλασμένα F 24 μικρὸν A 25 Φιλοκτήτ M Φιλοκτή AGI Φιλοκτήμων F Φιλοκτησίαν V τεθνήκασ'] τὸ τεθνηκὸς I τὸ τεθηκὸς G 26 ποιούμενος GI

E 592 Διακορεῖς: πεπληρωμένους. ἰδὼν αὐτοὺς διακορεῖς μέθης ὄντας.

Σ 593 Διακορής: μεμεστωμένος.

Δ 594 Διακορῶ: κόρην διαφθείρω.

Phil. 595 Διακόσμησις: τοῦ παντὸς ἡ διάθεσις. μέση ἡ γῆ κέντρου λόγον ἔχουσα, μεθ' ἣν τὸ ὕδωρ σφαιροειδές, ἔχον τὸ αὐτὸ σχῆμα τῇ γῇ, ὥστε τὴν γῆν ἐν ὕδατι εἶναι· μετὰ τὸ ὕδωρ δὲ ἀέρα ἐσφαιρωμένον. κύκλους δὲ εἶναι ἐν τῷ οὐρανῷ ε'.

Synt. 596 Διακούω· γενικῆ. διακούετε ἀνὰ μέσον τῶν ἀδελφῶν ὑμῶν καὶ κρίνετε δικαίως. ὁ Μωϋσῆς φησιν ἐν τῷ Δευτερονομίῳ.

Ecl.? 597 Διακουράζεσθαι: ἀτενὲς βλέπειν. διὰ τὸ τοὺς ὀφθαλμοὺς κόρας λέγεσθαι.

Δ 598 Διακωδωνίζω: διαφημίζω. καὶ Διακωδωνισθέντες,
Σ διαφημισθέντες. ὡς ἐπὶ πλεῖστον δὲ ἐπὶ τῶν διαπαιζομένων λαμβάνεται.

Σ 599 Διακωδωνίσαντες: δοκιμάσαντες. διακωδωνίσας δὲ ὁ παιδευτὴς τὰ μειράκια, λέγε, ἔφη, ὅτι βούλει· πρὸς Ἱππόδρομον διαλεγόμενος τὸν σοφιστήν.

Ar. 600 Διακωδωνίσω: οἷον δοκιμάσω· Ἀριστοφάνης. διότι τινὰ τῶν ὀρνέων δοκιμάζεται τῷ τοῦ κώδωνος ψόφῳ. καὶ τοὺς ἵππους οὕτως ἐδοκίμαζον κώδωσιν, εἰ ψοφοδεεῖς εἶεν. ἢ ἀπὸ τῶν ὀρτύγων· οἱ γὰρ ὑπομένοντες τὸν ἦχον τοῦ κώδωνος ἐπιτηδείως ἔχουσι πρὸς μάχην. τινὲς δὲ ἀπὸ τῶν ἀγγείων τῶν καθρῶν, ἐπεὶ οὕτως δοκιμάζουσι διακρούοντες. τινὲς δὲ ἀπὸ τῶν φυλάκων. βέλτιον δὲ τὸ ἐπὶ τῶν ἵππων καὶ τῶν ἀγγείων. τὰ δ' ἄλλα ἐσχεδίασται. τὸ δὲ τοὺς φύλακας ἐγρηγορέναι κώδωσι διεσήμαινον, ὅπως ἀντιφθέγγωνται. καὶ Ἰάμ-
E βλιχος· ἐπειδὴ διακωδωνίζων ἕκαστον τῶν ποιμένων οὐχ οἷός τε ἦν ἀκοῦσαι καὶ μαθεῖν, οἵτινες ἦσαν οἱ παῖδες.

Σ 601 Διακωχή: διάλειψις.

Synt. 602 Διακωλύω· αἰτιατικῆ.

Δ 603 Διακραδαίνων: σείων.

Σ 604 Διακριδόν: διακεκριμένως.

592 ἰδὼν sq. fort. Iambl. vel Aelian. 593 Tim. = Et. M. 268, 32 594 cf. L, H v. διακορεύει; l. = Ambr. 754 595 l. = H; μέση sq. Laert. 7, 155 596 — γενικῆ = Synt. Laur. διακούετε sq. Deut. 1, 16 597 cf. Et. M. 267, 24 = Et. Gen. 598 l. = Ambr. 794 Διακωδωνισθέντες sq. = Ba 194, 29. Et. Gen. cf. Et. M. 267, 27, H 599 — δοκιμάσαντες = Ba 194, 28 cf. H v. διακωδωνίσει, Et. M. 267, 31 (= Lex. rhet. in Et. Gen.) διακωδωνίσας sq. Philostr. vit. soph. 2, 27, 5 600 — ἀντιφθέγγωνται sch. Ar. Ran. 78 ἐπειδὴ sq. Iambl. fr. 2 601 = Ba 194, 31 sch. Thuc. 3, 87, 1 603 = Ambr. 676 604 = Ba 194, 22, sch. O 108, L, Et. M. 267, 33 cf. Ap. S. 58, 24, Ps. Herodian. 20; l. = Ambr. 853

A(GITFVM) 596 om. FV mg. AM post 602 GI post 605 T post 596 τουτέστιν add. M 10 Διακουράζεσθαι AM Et., et ordo poscit: Διακοράζεσθαι rell. 11 κήρας A 13 ἐπὶ] ἐπὶ τὸ I Hes. Zon. 537 20 post κώδωσιν lac. in A 22 ἀγγεῖον A

605 Διακριθέν: διαχωρισθέν, διϋλισθέν. καὶ μέντοι διακριθὲν πρότερον ὑπὸ τοῦ λεγομένου ἠθμοῦ.

606 Διακρίνεται: ἀμφιβάλλει, ἀπιστεῖ, διαχωρίζεται. καὶ Διακρίνομαι, τὸ χωρίζω· δοτικῆ. Σ Synt.

607 Διακρούεσθαι: ἐξωθεῖν· ἢ ὑπερτίθεσθαι, καὶ ἄλλοτε ἄλλως διαναβάλλεσθαι. καὶ Διακρούω· αἰτιατικῆ. Σ Synt.

608 Διάκτωρ: διάκονος, ἄγγελος, ἀπαγγέλλων. Σ

609 Διακυβιστῶ· αἰτιατικῆ. Synt.

610 Διακυκῶσι: διαταράττουσι. Σ

611 Διαλαβών: διαδεξάμενος. καὶ διαλαβόντες, ὅσα χρυσοῦ καὶ ἀργύρου εἶχετο συγχωνεύσαντες. ἢ καὶ διαλαβόντες ἐξῆλθον νυκτός. Σ E

612 Διαλαβών: προκατασχών. ὁ δὲ διαλαβὼν τὰς ὁδοὺς φυλακαῖς. E

613 Διαλλαγή: εἰρήνη. ὦ Κύπριδι τῇ καλῇ καὶ Χάρισι ταῖς φίλαις ξύντροφε διαλλαγή. ἐπειδὴ γάμοι καὶ ἑορταὶ ἐν καιρῷ τῆς εἰρήνης ἄγονται. ἢ ὅτι ἡδίστη καὶ ἐπίχαρίς ἐστιν. Ar.

614 Διαλλαγῆναι: τὸ δι' αὐτοῦ τοῦ ἐχθροῦ παρακληθῆναι καὶ φιλωθῆναι. ἐναλλαγῆναι δὲ τὸ ἀπὸ φιλίας εἰς φιλίαν ἄλλου μεταπηδῆσαί τινος, ἐχθροῦ ὄντος τὸ πρότερον. Thuc.

615 Διαλαγχάνειν: διαμερίζεσθαι, διακληροῦσθαι. τὸ διαιρεῖσθαι κλήρῳ. διάληξις δὲ τὸ πρᾶγμα. Σ Suid.

616 Διαλλακτής: φιλώτης. Ἀριστοφάνης· διαλλάττεσθε καὶ ξυμβαίνετε. ἀντὶ τοῦ φιλιοῦσθε. Σ Ar.

617 Διαλαμβάνει· αἰτιατικῆ. ὑπονοεῖται. ἡ δὲ εὐμηχάνως διαλαμβάνει καὶ δεῖται τῶν Καβείρων τιμωρῆσαι αὐτῇ καὶ μετελθεῖν τὸν ἐπίορκον. E

618 Διαλαμβάνων: ὑπομνηματίζων, συγγράφων. Σ

605 — διαχωρισθέν cf. ad 606. διϋλισθέν cf. v. H 155 καὶ sq. Artem. 5, 5 606 — διαχωρίζεται = Ba 194, 23; διαχωρίζεται cf. sch. Γ 98 et 102, H Διακρίνομαι sq. cf. Bk. 131, 25 607 — διαναβάλλεσθαι = Ba 194, 24, H Διακρούω sq. = Synt. Laur. 608 = Ba 194, 26, H; ἄγγελος cf. sch. α 84 609 = Synt. Laur. 610 = Ba 194, 27, H 611 — διαδεξάμενος = Ba 194, 32 612 ὁ sq. Polyb. 4, 67, 8 613 Ar. Ach. 989 c. sch. 614 sch. Thuc. 1, 120, 2 615 — διακληροῦσθαι Tim. cf. Bk. 242, 1 616 — φιλότης = Ba 195, 7, H διαλλάττεσθε sq. Ar. Av. 1682 c. sch. 617 αἰτιατικῆ cf. Synt. Laur. ἡ sq. Aelian. fr. 213 618 = Ba 195, 1

605 cf. vv. H 155 et I 240 607 Z 537 610 Z 537 612 cf. v. Ε 2211. Z 530 613 cf. v. Χάριτι 614 hinc v. Ε 1105 615 Z 530. τὸ sq. ex 634 617—8 Z 530

1 διηυλισθέν V διηλυσθέν M 3 καὶ—4 δοτικῆ om. TFV 4 τὸ—δοτικῆ A(GITFVM) mg. A χωρίζω GM: διαχωρίζω AI 10 καὶ om. M 11 ἢ καὶ διαλαβόντες del. Bhd. 15 Χάριτι A 21 τὸ—22 πρᾶγμα om. FV 23 φιλότης FV φιλιώτης T Ba Hes. 26 Καβείρων pr.: Καβήρων omnes

Ar. 619 Διαλλάττειν πρὸς ἡμᾶς ἀνδράσι Λακωνικοῖς, οἵσι πιστὸν οὐδέν, εἰ μή περ λύκῳ κεχηνότι. ἡ παροιμία ἐπὶ τῶν τὰ ἀλλότρια διαρπαζόντων. ὃν γὰρ τρόπον λύκοις οὐκ ἔστι πίστις, οὐδὲ τούτοις. τὸ δὲ κεχηνότι, ἐπὶ τῶν μάτην χαινόντων.

Synt. 620 Διαλλάττω· τὸ συμβιβάζομαι· δοτικῇ. ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου. διαλλάττω δὲ αἰτιατικῇ· διαλλάξαντες τὰ ὅπλα πρὸς ἀλλήλους.

Said. 621 Διαλαχεῖν: τὸ διανεμεῖσθαι οἱ ῥήτορες εἰρήκασιν, ἀπολαχεῖν δέ τὸ διανείμασθαι τὰ πατρῷα· ζήτει ἐν τῷ ἀπολαχεῖν.

622 Διὰ λαίλαπος.

Δ? 623 Διαλέγεσθαι: τὸ συνουσιάζειν.

Synt. 624 Διαλέγομαι· δοτικῇ.

Σ 625 Διαλέγουσαν: διοικοδομοῦσαν. λέγειν γὰρ τὸ οἰκοδομεῖν. καὶ Διαλέγου, διορύττου. Θουκυδίδης.

Σ 626 Διαλέγοιντο γυναιξίν: ὁμιλοῖεν ἢ συνουσιάζοιεν. οὕτως Ἡροκλῆς.

Δ 627 Διαλεκτική: ἡ ἀποδεικτική. ὀλίγα διαλεκτικῆς ἁψάμενος.


Phil. Διαλεκτική ἐστιν ἐπιστήμη ἀληθῶν καὶ ψευδῶν καὶ οὐδετέρων. τυγχάνει δ' αὐτὴ ἐπὶ σημαίνοντα καὶ σημαινόμενα. ἢ οὕτως, μέθοδος δι' ἐνδόξων περὶ παντὸς τοῦ προκειμένου συλλογιστική. καλεῖται δὲ διαλεκτικὴ ἀπὸ τοῦ διαλέγεσθαι· τὸ δὲ διαλέγεσθαι ἐν ἐρωτήσει τε καὶ ἀποκρίσει. Διάλεκτος· ζήτει ἐν τῷ γλῶττα· καὶ ζήτει ἐν τῷ γυμνασία. ὅτι διαφέρει ἡ διαλεκτικὴ τῆς ῥητορικῆς. καὶ ζήτει ἐν τῷ διεξοδικούς. ὅτι

Phil. Διάλογος λόγος ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως συγκείμενος, περί τινος τῶν φιλοσοφουμένων καὶ πολιτικῶν μετὰ τῆς πρεπούσης ἠθοποιΐας τῶν παραλαμβανομένων προσώπων καὶ τῆς κατὰ τὴν λέξιν κατασκευῆς. διαλεκτικὴ δέ ἐστι τέχνη λόγων, δι' ἧς ἀνασκευάζομέν τι ἢ κατασκευάζομεν ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως τῶν προσδιαλεγομένων. τοῦ δὴ λόγου τοῦ Πλάτωνος δύο εἰσὶ χαρακτῆρες, οἱ ἀνωτάτω.

619 Ar. Lys. 628—9 c. sch. 620 cf. Synt. Laur.; — σου cf. An. Ox. 4, 290, 4; — δοτικῇ = Bk. 135, 13 (aliter 133, 16); ὕπαγε—σου Matth. 5, 24 διαλλάξαντες sq. fort. Cass. D. 623 = H 624 Synt. Laur. 625 λέγειν —οἰκοδομεῖν = H s. v. λέγειν cf. sch. o (ed. Dindorf) 359 διορύττου cf. sch. Ar. Lys. 720 Θουκυδίδης ad aliam glossam refert G. Dind. 626 = Ba 195, 4; Hierocl. fr. 3 (Berl. Klass. T. 4) 627 ὀλίγα—ἁψάμενος Dam. fr. 223 vs. 17 διαλεκτική—σημαινόμενα cf. Laert. 7, 42—3 οὕτως—ἀποκρίσει Alex. Aphr. 3, 5—9 vs. 23 Διάλογος—p. 63, 12 φιλοσόφως Laert. 3, 48—50

621 ex v. A 3378 623 cf. 626. Z 530 625 cf. v. Ε 77; hinc v. λέγω extr., Z 530 626 cf. 623. Z 530 627 Z 511. Dam. cf. vv. A 278 et Ε 1929

A(GITFVM) 620 om. GTFV mg. post 621 A, post 621 I 5 τὸ συμβιβάζομαι ante l. A om. M 6 διαλλάττω δὲ om. M, add. δέ post αἰτιατικῇ 621 om. GTFV post 626 I 7 ἐλαχεῖν A 11 Διαλέγομαι AI: καὶ Δ. M 12 τὸ οἰκοδομεῖν] τὴν οἰκοδομήν A^{ec} 13 Διαλέγου] διαλέγουσι FV, v. λέγω cp. A διορύττουσι F, v. λέγω 22 ὅτι ex M: om. AI 29 κατωτάτω ss. ἀνωτάτω AVM (ad schemata marg. respicientes)



ἀλλ' οὗτοι τραγικῶς μᾶλλον ἢ φιλοσόφως διαιροῦσιν. ὁ δὲ μὴ ὢν διάλογος αὐτοδιήγητος λέγεται λόγος.

628 Διάλεξις· Ἀριστοφάνης Νεφέλαις· διάλεξιν ἡμῖν παρέχουσι. Ar.
τουτέστι λόγων ἐμπειρίαν. καὶ νοῦν, τουτέστι τὰ νοηθέντα φράζειν. διαφέρει δὲ διάλεξις διαλέκτου, ὅτι διάλεκτος μέν ἐστι φωνῆς χαρακτὴρ ἐθνικός, διάλεξις δὲ τῆς συνήθους φωνῆς ἐκτροπὴ ἐπὶ τὸ σεμνότερον καὶ ἀγροικότερον.

629 Διαλεπτολογοῦμαι: διαλέγομαι. ὥσπερ καὶ ὁ Σωκράτης ἔφη· Ar.
ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον· ἵνα μὴ ἕλκῃ τὴν ἰκμάδ' ἐς τὰ κάρδαμα. οὕτω καὶ ὁ πρεσβύτης· διαλεπτολογοῦμαι ταῖς δοκοῖς τῆς οἰκίας.

630 Διάλειμμα: διάστημα. καὶ Διαλείποντα, τὰ διαχωρήματα. Σ
Ἀρριανός· φυλακαὶ δὲ ἐπὶ τὰ διαλείποντα τῆς τάφρου ἐτετάχατο. E

631 Διαλείμματος: διαχωρισμοῦ. Σ

628 Ar. Nu. 317 c. sch. 629 Ar. Nu. 1496 c. sch.; ἀεροβατῶ—κάρδαμα Ar. Nu. 225—6 630 — διάστημα = Ba 195, 6, H cf. Et. M. 268, 47 = Et. Gen. φυλακαὶ sq. Arr. Parth. vel Exc. fr. 8 631 = Σ^{a}, H, Ba 195, 2 cf. Et. M. 268, 47 = Et. Gen.; Ambr. 633

628 Z 511 629 hinc v. A 561 et v. περιφρονεῖν extr., Z 530
630 hinc 841, Z 523

1 ὁ pr.—13 λόγος om. FM mg. ad 632 sqq. AV textu et mg. G, mg. I(T) A(GITFVM) ὁ διαλεκτικός praemiserunt GIT 3 θεωρητικὸν T Laert. 4 καὶ ὁ] ὁ δὲ V δὲ pr. om. V ὁ δὲ] καὶ V 5 πολιτικόν] πρακτικόν V 8 καὶ τοῦ ἀγωνιστικοῦ om. V 13 αὐτοδιήγητος AGI: αὐτοδίδακτος V 23. 24 διαχωρήσαντα FV

Ε 632 Διαλείπουσαι: ἀλλήλων ἀπέχουσαι. Ἀρριανός· διαλείπουσαι ὅσον ξύμμετρον εἰς τὸ συνορᾶν τε ἀλλήλους καὶ κατακούειν εὐπετῶς.

Ε 633 Διαλειπούσῃ: διακοπτομένῃ. ὑφειμένῃ οὖν καὶ διαλειπούσῃ πολλαχῇ τῇ φωνῇ ἐδεῖτο ξυγγνῶναί οἱ βασιλέα.

Harp. 634 Διάληξις: διαλαγχάνειν μέν ἐστι τὸ διαιρεῖσθαι κλήρῳ, διάληξις δὲ τὸ πρᾶγμα.

Σ 635 Διάληψις: ἐνθύμησις, ἢ γνῶσις. Πολύβιος· διὰ γὰρ τὴν Ε ὑπερβάλλουσαν ἐπὶ τοῦτο τὸ μέρος ἐπιθυμίαν ἦν ὑπὲρ αὐτοῦ διάληψις, ὡς οὐδὲν προὐργιαίτερον ποιουμένου κατὰ τὸν βίον τοῦ κυνηγετεῖν.

Ε οἱ γὰρ πολλοὶ τῶν ἀνθρώπων οὐκ ἐκ τῶν κατὰ λόγον, ἀλλ' ἐκ τῶν συμβαινόντων ἀγαθοὶ ποιεῖσθαι τὰς διαλήψεις. τὰς τοῦ νοὸς ὁρμάς. ἄρτι γὰρ δι' αὐτὸ τοῦτο προκεχειρισμένοι τὸν Πασίστρατον διὰ τὸ πρᾶξιν ἔχειν τινα καὶ τόλμαν, παραχρῆμα μετέπιπτον ἐς τἀναντία ταῖς γνώμαις διὰ τὴν περιπέτειαν. καὶ αὖθις· παραπλησίως καὶ τὰ πλήθη ὁμοίως τούτοις ἔχει τὰς διαλήψεις ὑπὲρ τῶν κοινῶν, τῆς φύσεως αὐτοὺς δι- Ε δασκούσης. καὶ Πολύβιος· οἱ δὲ Ῥωμαῖοι οὐκ ἐκ καταφορᾶς, ἀλλ' ἐκ διαλήψεως χρώμενοι ταῖς μαχαίραις, πρακτικοῦ τοῦ κεντήματος περὶ αὐτὰς ὑπάρχοντος, τύπτοντες ἐς τὰ στέρνα καὶ εἰς τὰ πρόσωπα διέφθειραν πάντας.

Thdr. 636 Διαλογή: διάλεξις, ὁμιλία· Δαβίδ· ἡδυνθείη αὐτῷ ἡ διαλογή μου.

637 Διάλογος· ζήτει ὀπίσω ἐν τῷ διαλεκτική.

638 Διαλοιδορεῖται. δοτικῇ συντάσσεται. Ar. ὁ γὰρ Ἀριστοφάνης οὐ φιλῶν Πρόδικον ταῦτά φησιν, ὅσον μισῶν Σωκράτην. ἐν γὰρ τοῖς Ὄρνισι διαλοιδορεῖται Προδίκῳ.

Synt. 639 Διαλύω· αἰτιατικῇ. πνεῦμα μέν ἐστιν, ἀλλὰ διαλύον ὁρῇ.

Σ 640 Διαμαδῶντες: διαβρέχοντες.

ΔΣ 641 Διαμαρτία: ἡ ἀποτυχία. καὶ Διαμάρτοι, ἀποτύχοι. Δ μέλλοντος σημασία.

Synt. 642 Διαμαρτάνω· γενικῇ. καὶ τοῦ σκοποῦ δοκοῦσιν ἔμοιγε διαμαρτάνειν.

632 διαλείπουσαι alt. sq. Arr. An. 5, 11, 2 634 Harp. 635 — γνῶσις = Ba 195, 3 cf. H vs. 7 διὰ—9 κυνηγετεῖν Polyb. 8, 25, 6 vs. 10 οἱ—14 περιπέτειαν Polyb. 21, 7, 6—7; — διαλήψεις = EV 2, 166, 22—4 vs. 16 οἱ sq. Polyb. 2, 33, 6 636 Thdr. in Ps. 103, 34, PG 80, 1708a 638 ὁ sq. fort. sch. Ar. Nu. 361; Av. 693 639 = An. Ox. 4, 290, 16; — αἰτιατικῇ = Synt. Laur. 640 = Ba 195, 13 641 Διαμάρτοι, ἀποτύχοι = Ba 195, 8 cf. H v. διαμαρτάνει et v. διαμαρτών 642 — γενικῇ = Synt. Laur. et Gud. cf. Bk. 131, 30

633 cf. v. ὑφειμένοι 634 hinc 615 635 Z 511. Polyb. 21, 7 cf. v. Παμφιλίδας 636 Z 511 640 Z 543 641 extr. cf. 646—7

A(GITFVM) 4 συγγνῶναι AT 12 προκεχειρισμένοι A: προκεχειρισμένον rell. Πασίστρατον F cf. v. Ε 3377 et v. πυρφόρος: Πεισίστρατον rell. cf. v. Παμφιλίδας 14 ὁμοίας Bhd. 15. 16 διδάσκουσα V 18 τὸ πρόσωπον AIF 22 ὀπίσω A: πάντα GI 23 συντάσσεται F: σύνταξις V om. T cp. rell. 24 οὐ] οὐ τόσον Port. 639 om. GTFV mg. I 26 μέν om. A 27 Διαμυδῶντες G Ba cf. Zon. 29 μέλλοντος σημασία om. T 642 om. GTFV mg. I partim mg. M post 646 A; Διαμαρτάνω· γενικῇ post 643 T, iterum post 641 AI 30 Διαμαρτάνω] καὶ Δ. M

643 Διαμάρτυραι: βεβαίωσαι. καὶ Διαμαρτυρεῖν, τὸ προ- Δ
λέγειν τῆς ἀπειθείας τὴν τιμωρίαν καὶ τῆς εὐπειθείας τὴν ὠφέλειαν. Thdr.
644 Διαμαρτυρία καὶ Διαμαρτυρεῖν: τρόπος τις ἦν ἡ μαρτυρία Harp.
παραγραφῆς· πρὸ γὰρ τοῦ εἰσαχθῆναι τὴν δίκην εἰς τὸ δικαστήριον
ἐξῆν τῷ βουλομένῳ διαμαρτυρῆσαι, ὡς εἰσαγώγιμός ἐστιν ἡ δίκη ἢ
οὐκ εἰσαγώγιμος. διαφέρει δὲ τῆς παραγραφῆς τῷ τὴν μὲν δια-
μαρτυρίαν γίνεσθαι οὐ μόνον ὑπὸ τῶν φευγόντων, ἀλλὰ καὶ ὑπὸ τῶν
διωκόντων. καὶ πρότερόν γε ὁ διώκων προὐβάλλετό τινα μαρτυροῦντα
εἰσαγώγιμον εἶναι τὴν δίκην, καὶ περὶ τούτου πρῶτον ἐγίνετο ἡ κρίσις
πρὸς αὐτὸν τὸν διαμαρτυρήσαντα, οὐ πρὸς τὸν ἐξ ἀρχῆς δικαζόμενον.
εἰ δὲ μὴ προβάλοιτο μάρτυρα ὁ διώκων, τότε ἐξῆν τῷ φεύγοντι
προσαγαγεῖν τινα μαρτυροῦντα μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, καὶ
πάλιν πρὸς τὸν διαμαρτυρήσαντα ὁ ἀγὼν ἐγίνετο. ἐπεσκήπτοντο δὲ
ψευδομαρτυριῶν καὶ ταῖς διαμαρτυρίαις, ὥσπερ ταῖς μαρτυρίαις. τάχα
δὲ ἐπὶ μὲν ταῖς τοῦ ἀποστασίου δίκαις ἐκεκώλυτο τὸ διαμαρτυρεῖν, ἐν
δὲ ταῖς τοῦ ἀπροστασίου οὐκέτι.
645 Διαμάρτῃ ἐκεῖνος· αὐθυπότακτον. Δ
646 Διαμαρτύρωμαί σοι: ἀντὶ τοῦ βεβαιώσω σε· μέλλοντα σημαίνει. Δ
ἐπὶ δὲ ἐνεστῶτος διὰ τοῦ ο μικροῦ· ὡς ἐν τῷ, ἄκουσον λαός μου,
καὶ λαλήσω σοι Ἰσραήλ, καὶ διαμαρτύρομαί σοι.
647 Διαμαρτυρομένους: προλέγοντας, ἀποτρέποντας. ἀπέστειλαν Ε
πρεσβευτὰς διαμαρτυρομένους μήτε τὴν πόλιν οἰκίζειν μήτε παρὰ τὰς
συνθήκας ποιεῖν μηδέν. καὶ Διαμαρτύρασθαι, βεβαιῶσαι. ἐβου-
λήθησαν οὖν καὶ διαμαρτύρασθαι τοῦτο τρόπον τινά.
648 Διὰ μαχαιρῶν καὶ πυρὸς ῥιπτεῖν χρή: ἐπὶ τῶν παρα- Prov.
βόλως τι ποιούντων.
649 Διὰ μάχης ἐλθεῖν· οὐδενὸς τοπαράπαν θαρρήσαντος διὰ μάχης Ε
αὐτοῖς ἐλθεῖν οὔτε μὴν ἀντιτάξασθαι ἐς τὸ παντελές.
650 Διαμέλλει: ἀναβολῇ χρῆται. ὁ δὲ πρὸς ὀργὴν ὑπεριδὼν Σ
καὶ μὴ πάνυ πιστεύσας διεμέλλησεν. Ε

643 — βεβαίωσαι = Ambr. 683 Διαμαρτυρεῖν sq. Thdr. in Ps. 80, 9, PG 80, 1524a 644 Harp. = Sabb. cf. Bk. 236, 28 645 = Ambr. 837 extr. 646 — μέλλοντα = Ambr. 697 ἐνεστῶτος = Ambr. 696 ἄκουσον sq. Ps. 49, 7 647 ἀπέστειλαν—μηδέν fort. Aelian.; Polyb. attr. Tittm. 648 cf. Paroem. ed. Gsf. 35, n. 343 649 οὐδενὸς sq. Arr. Parth. fr. 66 650 — χρῆται = Ba 195, 9, H ὁ sq. Arr. Parth. p. 13 R. (sed non in fr.)

643 cf. 646. Z 513 et 530 644 Z 513 646 cf. 641, 643 v. μαρτύρομαι. Z 530 648 cf. 514 650 Z 531

644 om. T 6 τῷ] τὸ FV Sabb. 8 προὐβάλετο FV Sabb. 11 προ- A(GITFVM)
βάλοιτο FV Harp. ep.: προβάλλοιτο rell. 15 δὲ] μὲν A 16 ἀπροστασίου] ἀποστασίου IFV Harp. ep. Sabb. 18 Διαμαρτύρομαι AIV Zon. σοι] σε GITF ἀντὶ] καὶ V βεβαιῶ FV cf. Ambr. 696 μέλλοντα IT: μέλλοντος FV cp. AGM σημαίνει] cp. M ἡ σημασία F, 641; καὶ γράφεται διὰ τοῦ ω μεγάλου· ὅσα γὰρ μέλλοντος σημαντικὰ διὰ τοῦ ω μεγάλου γράφεται, οἷον γένωμαι, τράπωμαι, διαμαρτύρωμαι, ἀπόλωμαι καὶ ἕτερα add. F 21 ἀπέστειλε M 22 διαμαρτυρουμένους V μήτε pr.] μετὰ VM 28 οὔτε] οὐδὲ Roos

Harp. 651 Διαμεμετρημένη ἡμέρα: μέτρον τί ἐστιν ὕδατος πρὸς μεμετρημένον ἡμέρας διάστημα ῥέον· ἐμετρεῖτο δὲ τῷ Ποσειδεῶνι μηνί, ὡς δὴ τούτῳ ἠγωνίζοντο οἱ μέγιστοι καὶ περὶ τῶν μεγίστων ἀγῶνες. διενέμετο δὲ τρία μέρη τὸ ὕδωρ, τὸ μὲν τῷ διώκοντι, τὸ δὲ τῷ φεύγοντι, τὸ δὲ γ′ τοῖς δικάζουσιν. ἐπισκεπτέον δὲ τῷ παρ' Ἰσαίῳ, ὃς μεμετρημένης ἡμέρας ὁτὲ μὲν χωρὶς ὕδατός φησι γίνεσθαι τοὺς ἀγῶνας, ὁτὲ δὲ πρὸς ὕδωρ.

Harp. 652 Διὰ μέσου τείχους· τριῶν ὄντων τειχῶν ἐν τῇ Ἀττικῇ, ἀπὸ τοῦ Βορείου καὶ τοῦ Νοτίου καὶ τοῦ Φαληρικοῦ, διὰ μέσου τῶν παρ' ἑκάτερα τὸ Νότιον ἐλέγετο· οὗ μνημονεύει καὶ Πλάτων ἐν Γοργίᾳ.

Δ 653 Διάμετρος: γεωμετρικόν τι εἶδος. Εὐνάπιος· ὡς κατά τινας
Ε διαμέτρους κεραίας κεχιῶσθαι τὴν γλῶτταν ταῖς ἀντιτύποις συμβολαῖς
Harp. τῶν ἀκίδων. Δείναρχος δὲ διάμετρον λέγει τὸ ἐλλεῖπον ἀπὸ τοῦ δικαίως μετρηθέντος.

Ε 654 Διαμησάμενος: διορύξας. διαμησάμενος γὰρ πᾶσαν τὴν ὑπὸ τὰ κράσπεδα τοῦ Ὀλύμπου ἄμμον ὕδωρ πολὺ καὶ πότιμον εὗρεν.
Ε καὶ αὖθις· διαμησάμενος τὴν χιόνα τὴν ἐπ' αὐτῇ ἐξωκοδόμει τὸν κρημνόν.

Δ 655 Διαμείνῃς· αὐθυπότακτον.

Σ 656 Διαμῆσαι: διακόψαι.

ΔΣ 657 Διαμώμενος: θερίζων. καὶ Διαμώμενοι, διασκάπτοντες,
Ε ζητοῦντες. Θουκυδίδης· διαμώμενοι τὸν κάχληκα ἐπὶ τῇ θαλάσσῃ
Ε ἔπινον οἷον εἰκὸς ὕδωρ. καὶ αὖθις· οἱ δὲ ἐσκήνουν ἐπὶ τῆς χιόνος διαμώμενοι καὶ μεταξὺ ἐκκαθαίροντες.

658 Διαμνημονεύω· αἰτιατικῇ συντάσσεται. οὐκ καὶ διαμνημονεῦσαι καθέκαστον ὁ λόγος διὰ τὸ πλῆθος καὶ πρὸς ὄνομα διελθεῖν παρῃτήσατο.

Σ 659 Διαμπάξ: διόλου, διαπαντός.

Δ 660 Διαμπερέως.

651 Harp. = Sabb. cf. H, Aristot. Ath. Pol. p. 78; Isae. fr. 40 652 Harp.; Pl. Gorg. 455e 653 — εἶδος cf. H Εὐνάπιος (fr. 100) sed ὡς—ἀκίδων est Th. Simoc. 2, 6, 2, Byz. Zt. 21, 418 Δείναρχος (fr. XVIII 2) sq. Harp. 654 vs. 16 διαμησάμενος sq. Polyb. 3, 55, 6 655 = Ambr. 842 extr. 656 = Ba 195, 10 cf. H, sch. Γ 359 657 — θερίζων = Ambr. 701 Διαμώμενοι pr.– ζητοῦντες = Ba 195, 14, Σ[A] cf. sch. Thuc. 4, 26, 2 vs. 23 διαμώμενοι—ὕδωρ Thuc. 4, 26, 2 οἱ sq. Arr. Parth. p. 27 R. (sed non in fr.) 658 οὐκ sq. Dam. fr. 306, sed verisim. Metaphr. 659 = Ba 195, 11, Et. M. 268, 40, Lex. αἰμ. 623, 27 cf. H, An. Ox. 2, 357, 19, Byz. Zt. 16, 60 vs. 31 660 cf. Ambr. 852, H

651 hinc v. Ποσειδεών 654 cf. v. A 1578. Z 531 656 Z 531 658 — αἰτιατικῇ cf. v. μνημονεύω

A(GITFVM) 2 Ποσειδεῶνι A Harp.: Ποσειδαιῶνι FVM cf. v. Ποσειδεών, Ποσειδῶνι GIT Sabb. 7 δὲ om. FVM 8 τείχους] τοῦ τείχους V cf Harp. 10 μνημονεύων FV 12 γεωργικόν M 13 κεχρῶσθαι FV 26 Διαμνημονεύων VM οὐκ—27 παρῃτήσατο om. FV οὐκ AM: ὃς G: ὡς T

661 Διαμπερές: διόλου διῆκον. ὁ δὲ διῆγεν αὐτοὺς ἐπί τι ὄρυγμα, Σ
ὃ διαμπερὲς μὲν ἦν ὀρωρυγμένον ἐπὶ σταδίους λ', εἶχε δὲ ἔξοδον ἐπὶ E
θάτερα τοῦ ὀρύγματος.
662 Διαμοιρωμένη: διαιροῦσα, καὶ μερίζουσα. ἢ τὰς μοίρας Δ
μεμφομένη.
663 Διαμυδαίνεται: ἀντὶ τοῦ διαπηδᾷ καὶ διαρρεῖ καὶ διηθεῖ. Σ
664 Διαμυλλαίνῃ, αἰσχρῶς πράττεις. καί, οὗτος δὲ διεμύλλαινεν Ar.
ὡς δὴ δεξιός. Ἀριστοφάνης φησί.
665 Διάνδιχα: διχῶς. Δ
666 Διανενεύκαμεν: ἀντὶ τοῦ ἐπεραιώθημεν. Σ
667 Διανεῦσαι: διακολυμβῆσαι. διανεῦσαι ἐθελήσαντες ἐβαπτί- E
ζοντο ὑπὸ τῆς πανοπλίας.
668 Διανεῖμαι: μερίσαι. Δ
669 Διανείμης· αὐθυπότακτον. Δ
670 Διανηξάμενος: διακολυμβήσας. Δ
671 Διανίζεται: διανίπτεται, διαρρύπτεται, καθαρίζεται. Σ + x
672 Διανθίζω: τὸ τὰ ἄνθη συλλέγω. καὶ Διηνθισμένας. Δ
673 Διανοεῖσθαι: τοῦτο ἐνέργειά ἐστι καὶ διέξοδος τῆς ψυχῆς. Phil.
ἐπίστασθαι μὲν γὰρ πολλὰ δυνατὸν εἶναι, διανοεῖσθαι δὲ ἅμα πολλὰ
ἀδύνατον. πᾶς γὰρ ὁ διανοούμενος ἕν τι διανοεῖται. ὡς γὰρ ἀδύνα-
τον ἅμα λέγειν πολλοὺς λόγους, οὕτως διανοεῖσθαι ἅμα πολλά. λόγος
γάρ τις ἡ διάνοια, αὐτῆς τῆς ψυχῆς ἐφ' ἑαυτῆς λεγούσης.
674 Διάνοια Εὔριπος: ἐπὶ τῶν ῥᾳστα μεταβαλλομένων καὶ ἀσταθμήτων ἀν- Suid.
θρώπων.
675 Διάνοια· ζήτει ἐν τῷ δόξα.
676 Διανταίᾳ πληγῇ· τοῦ γὰρ περὶ τὸν βραχίονα τραύματος δι- E
ανταίᾳ πληγῇ καταβαροῦντος κατεξανέστη τῶν ἀλγηδόνων.
677 Διανύω· αἰτιατική. Synt.
678 Διανυσθῆναι: τελειωθῆναι. Σ
679 Διαξαίνειν: ἀναιρεῖν, διακόπτειν. ὁ δὲ ἑάλω, καὶ ἔμελλεν ὁ E
δῆμος διαξαίνειν αὐτόν. ὁ δὲ οὐκ ἀφῆκεν, ἀλλ' εἴασεν αὐτὸν γῆν
πρὸ γῆς ἀπιέναι. καὶ αὖθις· ὁ δὲ φόνους ἐργασάμενος ἐναγεῖς καὶ
διαρρήξας καὶ διαξήνας τοὺς νόμους καὶ τὴν ἀνδρῶν ἀπειπάμενος
φύσιν καὶ γήμας ἀθύτους τε καὶ ἀγάμους ἐκεῖνος γάμους.

661 — διῆκον Tim. cf. Ambr. 852, H, Ba 195, 12, sch. Ε 284 ὁ sq. Iambl. fr. 4 cf. Phot. Bibl. p. 74 a 28—9 662 — μερίζουσα = H 663 = Bk. 238, 16, Et. M. 269, 1 664 οὗτος sq. Ar. Vsp. 1315 665 = Ambr. 854, sch. A 189 cf. H 666 Tim. 667 — διακολυμβῆσαι cf. sch. Luc. 193, 12 668 = Ambr. 677 cf. H 670 cf. H, Zon. 538 671 praeter διαρρύπτεται = Ba 195, 15 cf. H 672 — συλλέγω = L 673 Alex. Aphr. 204, 7—10 677 = An. Ox. 4, 290, 23, Synt. Laur. 678 = Ba 195, 16, H 679 vs. 30 ὁ pr.—32 ἀπιέναι Aelian. fr. 131. vs. 32 ὁ sq. Aelian. fr. 124

662—3 Z 531 666—7 Z 531 672 hinc 1011 674 ex v. A 2536 679 Z 531. Aelian. fr. 131 cf. v. πρὸ γῆς; Aelian. fr. 124 cf. v. A 773

16 διαρρύπτεται] διαθρύπτεται V om. FM 20 ἕν τι AM Alex.: ἑνί τινι rell. A(GITFVM)
22 ἑαυτῆς] αὐτῆς AFV 674—5 om. AFV 23 ἐπὶ—25 δόξα om. GIT

Ar. 680 Διαξῆναι: διαλῦσαι. Ἀριστοφάνης· ἐπὶ ταῖς ἀρχαῖς διαξῆναι. τῶν γὰρ ἐρίων οἱ μαλλοὶ ἔχουσι τὰς ἀρχὰς καὶ τὰς κορυφὰς πεπιλημένας· καὶ ἐπὰν τιλθῶσι, διαλύεται ὁ μαλλός. πρὸς ἑκάτερον οὖν καὶ τὰς κορυφὰς τοῦ ἐρίου πεπιλημένας ἐν τῷ πόκῳ καὶ τὰς κεφαλὰς τῶν πονηρῶν συνισταμένων τοῖς πράγμασι διαλῦσαι χρή.

Synt. 681 Διαπαλαίω· δοτικῇ.

Σ 682 Διαπαρατριβαί: ἐνδελέχειαι.

Σ 683 Διαπαρθενεῦσαι: μιγῆναι παρθένῳ. ἐλέγετο δὲ οὕτως καὶ τὸ παρθενοτροφῆσαι καὶ διαφυλάξαι παρθένον.

Ar. 684 Διαπατταλευθήσῃ χαμαί. ἀπὸ τῶν τὰς βύρσας διατεινόν-
Σ των. σημαίνει δὲ τὸ διερευνᾶν καὶ ζητεῖν ἐπιμελῶς.

Ar. 685 Διαπατταλευθήσῃ: ἀντὶ τοῦ ἐκταθήσῃ χαμαί. τὰς γὰρ βύρσας ἐκτείνοντες ἐπὶ τῆς γῆς, ἵνα μὴ συνάγοιντο καὶ συστέλλοιντο ἐκ τῆς τοῦ ἡλίου καύσεως, κατὰ τὰ ἄκρα παττάλοις κατακρούοντες ἐκτείνουσιν.

Synt. 686 Διαπαίζω· δοτικῇ.

Suid. 687 Διαπεπαρθενεῦσθαι: τετμῆσθαι τῇ μίξει.

Σ 688 Διαπεπονημένης: κατορθωθείσης.

Σ 689 Διαπεράναντες: διακεντήσαντες.

Σ 690 Διαπερᾶναι: τελειῶσαι.

x+E 691 Διαπεσούσης: ἀποτυχούσης. ἔδοξεν οὖν αὐτῷ ἐπισφαλὲς ἔχειν τι τὸ κοινωνῆσαι αὐτοῖς τῆς πράξεως, καὶ διαπεσούσης καὶ συντελεσθείσης τῆς ἐπιβουλῆς. καὶ Διαπίπτων, ἀποτυγχάνων.

Ar. 692 Διαπέσοιμι: οἷον διαμαρτήσαιμι τῆς ἐλπίδος. Ἀριστοφάνης· μή σ' ἀπολέσαιμ', εἴ τι τῶν ἐμῶν ψευσμάτων ἐνείη, διαπέσοιμι παντα-
χῆ.

693 Διαπεφώνηκεν: ἀντὶ τοῦ ἐσχάτην καὶ τελευταίαν φωνὴν ἀφῆκε· τουτέστιν ἀπέθανεν. ὅτε δὲ λέγει, ὅτι διαπεφώνηκε δὲ τούτων οὐδὲ εἷς, περὶ τῆς ὁμοφωνίας τῶν δ' εὐαγγελιστῶν φησιν ὁ Χρυσόστομος.

Ar. 694 Διαπεινῶμεν ἀεὶ πρὸς τὸ πῦρ: παρὰ προσδοκίαν. ὡσεὶ ἔφη, διαπίνομεν ἀεὶ πρὸς τὸ πῦρ· ὁ δὲ εἶπε διαπεινῶμεν· οἱ γὰρ πότοι χειμῶνος πρὸς τὸ πῦρ γίνονται. εἴρηκε δὲ οὕτω διὰ τὸν λιμόν. τουτέστιν ἐσχάτως πεινῶμεν, ὥστε καὶ τὰ ἱμάτια ἀποδυόμενοι καθεζόμεθα πρὸς τὸ πῦρ διὰ τὸ ῥῖγος. ἢ διαπύρως καὶ ἐκτόπως πεινῶμεν· ὃ καὶ βέλτιον.

680 Ar. Lys. 578 c. sch. 681 = Synt. Laur. 682 = Ba 195, 17, H 683 = Ba 195, 19; l. = Bk. 88, 17 684 l. = Ar. Eq. 371 ἀπὸ sq. = Et. Gen., Et. M. 269, 40 685 sch. Ar. Eq. 371 686 = Synt. Laur. 688 = Ba 195, 18 689 = Ba 195, 21 cf. H v. διαπείραντες 690 = Σ^{s}, H cf. Zon. 538 691 ἔδοξεν—ἐπιβουλῆς Polyb. fr. 125 692 Ar. Eq. 694—5 c. sch. 693 — ἀφῆκε cf. L ὅτε sq. in Num. 31, 49 694 sch. Ar. Ach. 751

680 hinc v. Ε 2976, Ζ 532 682 Ζ 512 683—5 Ζ 532 687 ex 574 cf. v. πεπαρθενεῦσθαι 688—9 Ζ 532 691 cf. 935. Ζ 532 692 cf. v. Ε 1278. Ζ 532 694 hinc 700

A(GITFVM) 4 πεπιλημένας om. FV 10 ἀπὸ—12 Διαπατταλευθήσῃ om. GIT 686—7 om. GTFV mg. I 17 Διαπεπαρθενεῦθαι IM cf. 574 21 ἔχον M 693 om. TFV 29 ὁμονοίας M

695 Διὰ πείρας συχνῆς: ἀντὶ τοῦ ἀκρίβειαν. τοῦτον ἐπίσταμαι διὰ πείρας συχνῆς μάλα τήν τε ἀγαθοειδῆ προαίρεσιν προβεβλημένον καὶ τὴν τοῦ πατρὸς οὐ πολύ τι λειπόμενον κατὰ τὴν εὐσεβῆ προθυμίαν.

696 Διαπειρωμένη: ἀπόπειραν ποιουμένη. ὁ δὲ ἐξώρκισεν αὐτήν, εἰ ταῦτα οὕτως ἐγνωκυῖα λέγει ἡ διαπειρωμένη αὐτοῦ. ἡ δὲ ὤμοσεν, ἢ μὴν τῷ ὄντι καὶ φρονεῖν ταῦτα καὶ λέγειν. E

697 Διαπηδῶ· αἰτιατικῇ. Synt

698 Διαπηνικίσαι: ἐξαπατῆσαι. πηνίκην γὰρ οἱ ἀρχαῖοι Ἀττικοὶ τὴν ἐκ τῶν τριχῶν περιθετὴν κόμην. καὶ τὸ φενακίσαι τινὲς ἀπὸ τούτου εἰρῆσθαι λέγουσιν. Σ

699 Διαπιθηκίσαι: τὸ διαπαῖξαι· ἀπὸ τῶν πιθήκων· φιλοπραγμονέστατον γὰρ τὸ ζῷον. Σ

700 Διαπίνομεν ἀεὶ πρὸς τὸ πῦρ· ζήτει παράνω ἐν τῷ διαπεινῶμεν. Suid.

701 Διαπίπτω· γενικῇ. Synt.

702 Διαπλέκειν: διαποικίλλειν, διάγειν. Ἀριστοφάνης Ὄρνισι· εἰ με τῶν ὀρνίθων τις ὑμῶν βούλεται διαπλέκειν ζῶν ἡδέως τὸ λοιπὸν ὡς ἡμᾶς ἴτω. Ar.

703 Διαπλέω· αἰτιατικῇ. Synt.

704 Διαπληκτίζονται· δοτικῇ. διαμάχονται. Σ

705 Διαπλώσας: διαπλεύσας, διελθών. ὦ σὺν ἀοιδᾷ πάντα διαπλώσας καὶ σὺν ἔρωτι βίον. Anth.

706 Διαπνεῖν καὶ ἀποπνεῖν τὸ πέρδεσθαι. εὐσχημονέστερον τοῦ ἀποψοφιεῖν. Suid.

707 Διαπολεμῶ· δοτικῇ. Synt.

708 Διὰ πολλοῦ χρόνου· ὁ γὰρ γέρων, ὡς ἔπιε διὰ πολλοῦ χρόνου, ἤκουσέ τ' αὐλοῦ, περιχαρὴς τῷ πράγματι, ὀρχούμενος τῆς νυκτὸς οὐδὲν παύεται τἀρχαῖ' ἐκεῖν', οἷς Θέσπις ἠγωνίζετο. Ar.

709 Διαπονεῖν: ἀσκεῖσθαι. Σ

710 Διαπορηθέντες: διαποροῦντες. Δ

711 Διαπορήσω: ζητῶ, ἀμφιβάλλω. Σ

712 Διαπορεία: ἡ διαπόρευσις. Δ

695 τοῦτον sq. Dam. fr. 119 696 ὁ sq. Iambl. fr. 10ᵉ R. 697 = Synt. Laur. 698 cf. Et. M. 269, 31 = Et. Gen., H 699 = Et. M. 269, 38, Et. Gen., Bk. 238, 13 701 = Synt. Laur., An. Ox. 4, 289, 27 702 Ar. Av. 754—5 c. sch. 703 = Synt. Laur., An. Ox. 4, 290, 20 704 δοτικῇ cf. Synt. Laur. διαμάχονται = Ba 195, 22, H 705 ὦ sq. Anth. 7, 23, 7—8 707 = Synt. Laur. 708 Ar. Vsp. 1476—9 709 = Ba 195, 23 711 = Σᵃ cf. Ba 195, 24 712 = Ambr. 592

695 cf. v. A 4174 698 cf. v. πηνίκη. Z 532 699 hinc v. πιθώ 700 ex 694 702 cf. v. Ε 2546. Z 533 704 Z 538 706 ex v. A 3659 708 cf. v. Ει 281

1 τοῦ] τοῦ κατ' Port. τούτων M 3 τὴν pr. om. M, v. A 4174 A(GITFVM) 7 καὶ alt. om. A 9 Διαπηνηκίσαι VMᵃᶜ Hes. cf. Et. Διαπηνηκέσαι F πηνήκην FVM 10 παραθετήν GITFM κόμην om. FVM 700 ex AᵐᵉM 706 om. AFV 23 εὐχσημονέστερον M, v. A 3659: εὐχρηστότερον GIT 26 περιχαρὴς F: περιχαρεὶς rell. 28 ἀρκεῖσθαι FVM

Σ 713 Διαπορθμεύεται: διακομίζεται, διαπερᾷ.
Σ 714 Διαπορθμεύσων: διαπεράσων, διακομίσων.
Σ 715 Διαπραξάμενον ἐλευθερίαν: κατασκευασάμενον.
Σ 716 Διαπρέπειν: διαφαίνεσθαι, διαφέρειν.
Σ 717 Διαπρεπής: ἔκδηλος, ἐπίσημος.
Δ 718 Διαπρήσει: διανύει, τελειοῖ.
Σ 719 Διαπρύσιον: διὰ παντὸς δεξιόν, μέγα, ἐξάκουστον, διαβόητον.
Synt. 720 Διαπτύω· αἰτιατικῇ.
Σ 721 Διαπυνθάνεται: ἐρωτᾷ.
Δ 722 Διαπυρώτατος: ὁ θερμός.
723 Διάρας (διατείνας) τὸ ὄμμα εἰς οὐρανόν.
724 Διαράμενον· ὡς οὐκ εἰκός τε αὐτὸν διαράμενον βλοσυροῖς ὀφθαλμοῖς ἀντιβλέψαι χρυσίῳ. τοὐναντίον μὲν οὖν.
725 Διάργεμοι: πῇ μὲν λευκοί, πῇ δὲ μέλανες. ἀλλ' οἱ μὲν ὑμῶν μέλανες, οἱ δὲ τεφρώδεις, ἕτεροι ξανθοὶ καὶ διάργεμοι στήθη.
Σ 726 Διαρραῖσαι: διαφθεῖραι.
Σ 727 Διαρρέουσα: τρυφηλή.
Σ 728 Διαρρεῖν: διαχεῖσθαι, χαυνοῦσθαι. οὗ διαρρεῖ πολὺ καὶ κλεινὸν
E ὄνομα. ἀντὶ τοῦ εὐφημία γεραίρει.
Σ 729 Διαρρήδην: σαφῶς, φανερῶς. διαρρήδην ἀπειπὼν μήτε
E μάχην συνάπτειν μήτε περαιτέρω ἰέναι μήτε ἄλλο πράττειν μηθέν.
Δ 730 Διαρρήξωμεν· αἰτιατικῇ. διακόψωμεν.
Σ 731 Διαρθρώσας: διατυπώσας.
ΔΣ 732 Διαρκῶς: καρτερῶς. δαψιλῶς. Αἰλιανός· ὁ δέ, οὐ γὰρ
E ἐλελήθει τὰ ἔνδον, ὑπερήδετο καὶ τὴν ἐλπίδα ὑπὲρ τῶν παρόντων ἐλάμβανεν εἰς τὸ κρεῖττον καὶ ἔτι μᾶλλον τῇ πολιορκίᾳ διαρκῶς ἐνεκαρτέρει.

713 = Σ^a, gl. Dionys.; — διακομίζεται = Ba 195, 25; διαπερᾷ = An. Ox. 2, 433, 3 714 = Ba 195, 26 cf. H 715 — ἐλευθερίαν = Σ^a 716 = Σ^a, Ba 195, 27 cf. H 717 = Σ^a, H, Ba 195, 28 718 = Ambr. 675 719 = Ba 195, 30, Σ^a cf. H; Et. M. 269, 12 = Et. Gen., sch. Θ 227; Apion, L, Ambr. 644 720 = Synt. Laur., An. Ox. 4, 290, 11 721 = Ba 195, 29, H 722 = Ambr. 526 cf. H v. διάπυρος 724 Synes. de regno, PG 66, 1105a 725 ἀλλ' sq. Babr. 85, 14—5 726 = Ba 196, 4, H, sch. B 473 727 = H cf. Σ^a; l. = Ba 196 (, 5) 728 — χαυνοῦσθαι = Ba 196, 5 cf. H οὗ—ὄνομα Aelian. fr. 83 729 — φανερῶς = Ba 196, 6, H, Et. M. 269, 47, Lex. αἰμ. 623, 24, An. Ox. 2, 478, 2 cf. Ambr. 851 διαρρήδην alt. sq. cf. Eutrop. p. 31, 4, est Io. Antioch. 730 αἰτιατικῇ = Synt. Laur. διακόψωμεν = Ambr. 692, An. Ox. 2, 432, 16 731 = Σ^a, Ba 196, 2 732 δαψιλῶς = Ba 196, 1, Ludw. 16, 17 cf. H ὁ sq. Aelian. fr. 59

715—6 Z 533 717 Z 505 cf. 524 721 cf. 939. Z 538 728 Z 538. Aelian. cf. v. K 2098 732 Z 555

A(GITFVM) 6 Διαπρήσει] Διαπρέπειν A cf. vs. 5 Διαπρήσσει Bas. 7 δεξιόν omnes, Hes.: δεξίου Ba, Σ^a διεξιόν Kust. 10 Διαπυρότατος AGITM 11 οὐρανούς AF 21 μηδέν V 22 Διαρρήξομεν et διακόψομεν M 25 ἐλελύθει FM

733 Δίαρμα· Πολύβιος· ἅμα δὲ πρὸς τὸν ἀπὸ Λιβύης πλοῦν καὶ πελάγιον δίαρμα λίαν εὐφυῶς ἔκειτο τοῖς Καρχηδονίοις ἡ πόλις. καὶ αὖθις· ἦν μὲν γὰρ ἀπὸ τοῦ χάρακος ἐπὶ θάλατταν ρκ′ στάδια· τὸ δὲ δίαρμα βραχὺ πλεῖον ξ′. καὶ διὰ τοῦτο ἦν ἀδηλότης καὶ εὐχέρεια τῆς ἐπιφάσεως. καὶ αὖθις· εἶδον ὄψιν γεγεφυρωμένου τοῦ θαλαττίου διάρματος ἀπὸ τοῦ Βυζαντίου ἕως Καλχηδόνος. E

734 Διὰ ῥωπήϊα: τὰ παρ' ἡμῖν ῥωπάκια.

735 Δίαρσις: ἔπαρσις εἰς ὕψος. Πολύβιος· οἱ δὲ Ῥωμαῖοι συνδραμόντες εἰς τὰς χεῖρας τοὺς Κελτοὺς ἀπράκτους ἐποίησαν, ἀφελόμενοι τὴν ἐκ διάρσεως αὐτῶν μάχην· ὅπερ ἐστὶν ἴδιον Γαλατικῆς χρείας διὰ τὸ μηδαμῶς κέντημα τὸ ξίφος ἔχειν. Δ E

736 Διαρτᾶν: κυρίως ἀντὶ τοῦ διαίρειν. καὶ τὸ ἀρτῆσαι ἐπὶ τοῦ ἀνακρεμάσαι. Δ

737 Διαρτῆσαι: τὸ ἐξαπατῆσαι. οὕτως Μένανδρος. Διαρτίσαι δὲ διὰ τοῦ ι, ἀναπλάσαι, καταρτίσαι. Διαρτίζω γὰρ πλάττω καὶ τελειῶ. Διαρτῶ δὲ τὸ κρεμῶ. Δ+Σ

738 Διαρτία: ἡ διάπλασις. εὐτελοῦς διαρτίας Χριστὲ γεγονώς.

739 Διαρτίζεται: ὁρμᾷ.

740 Διαρτώμενος: ὁ δὲ Ἡρακλῆς τοῖς μὲν ἴχνεσι διαρτώμενος (τουτέστιν ἐξαπατώμενος), οὐδὲν δὲ ἧττον οἰόμενος εἶναι διερευνήσασθαι τὸν χῶρον. καὶ αὖθις· πολλαχόθεν ἀκροβολισμοῖς χρώμενοι, ἵνα διαρτώμενοι τῇ δοκήσει τῶν κατὰ πρόσωπον ἐπιόντων, μηδεμίαν αἴσθησιν λάβωσι τῶν ὑπὲρ κεφαλῆς. καὶ Διαρτῶ, τὸ κρεμῶ. καὶ Διαρτωμένων, καταρτιζομένων. E Δ Σ

741 Διάρροια: πάθος περὶ τὰς ὦς γινόμενον. τρία δέ εἰσι πάθη βράγχη, κραῦρα, διάρροια. ἡ μὲν οὖν βράγχη μέρους τινὸς τοῦ σώματος, ἡ δὲ κραῦρα πυρετὸς σὺν κεφαλῆς πόνῳ. σημειοῦται δὲ τοῦτο τῷ καταβεβλῆσθαι τὰ ὦτα καὶ κατηφὴς εἶναι τὸ ὄμμα. ἡ μὲν οὖν διάρροιά ἐστιν ἀθεράπευτος, τὴν δὲ κραῦραν οἱ νομεῖς ἐγχυματίζουσι, τῆς δὲ βράγχης περιτέμνουσι τὰ σεσηπότα τῶν σαρκιδίων.

742 Διαρρυῆναι: φθαρῆναι. Δ

733 ἅμα—πόλις Polyb. 10, 8, 2 ἦν—ἐπιφάσεως Polyb. coll. v. ὀρθῆς attr. Toup. 734 l. Ψ 122 = H 735 οἱ sq. Polyb. 2, 33, 5 736 διαίρειν cf. H v. διαρτᾷ 737 — ἀναπλάσαι cf. Philop. diff.; ἐξαπατῆσαι cf. Bk. 241, 13; Men. com. fr. 1006; Διαρτίσαι—καταρτίσαι cf. Σ^a, Ba 196, 7, H Διαρτῶ sq. = Ambr. 791 738 — διάπλασις cf. Byz. Zt. 16, 60 vs. 28 εὐτελοῦς sq. Cosmae Hieros. Can. 2, 40 cf. Byz. Zt. 16, 57 739 cf. Ba 196, 3 740 ὁ—χῶρον Dionys. Hal. 1, 39, 3 Διαρτῶ, κρεμῶ = Ambr. 791 Διαρτωμένων sq. = Ba 196, 9, H 741 verisim. Ar. Byz. Epit. cf. Studi italiani 12, 444 742 = Ambr. 712, H

734 cf. v. ῥώπαξ 736 cf. vv. A 2927 et 4033 737 cf. 740 et 1022. Z 533 739 Z 533 740 extr. cf. 737 741 hinc v. B 515, Z 514; cf. v. κραῦρα

3 θαλάττης M 4 πλοῖον A ξ′] ἑπτά M 5 γεφυρωμένου VM A(GITFVM) 6 Καρχηδόνος GIVM 12 ἐπὶ] ἀντὶ GIT τοῦ] τὸ FVM 17 εὐτελοῦς—γεγονώς om. GTFV mg. AI. 28 κατηφὴς AGT: κατηφεῖς I κατηφὲς FV κατηφῆ M Zon. τὸ ὄμμα] τὰ ὄμματα FVM Zon.

Ar. 743 Διασαλακωνίσαι: διαθρύψαι. ὠδὶ προβὰς τρυφερόν τι διασαλακώνισον. οἱ νεώτεροι διαφθεῖραι καὶ βιάσασθαι ἐπὶ τοῦ αὐτοῦ
Σ τάττουσιν ἀδιαφόρως.

744 Διασαφηνίζειν: τὸ τῇ γλώττῃ ἀκριβοῦν.

Δ 745 Διασαφῆσαι: ἑρμηνεῦσαι.

Metaphr. 746 Διασαφούσης: ἀντὶ τοῦ φωτιζούσης. σελήνης τὸν ζόφον διασαφούσης.

Ar. 747 Διασείων τοὺς ὑπευθύνους, εἰ πέπων ἢ μὴ πέπων· αἰτιατικῇ. ἀντὶ τοῦ ἁπαλῶς καὶ ῥᾳδίως διασεισθῆναι δυνάμενος. μεταφορικῶς δὲ ἀπὸ τοῦ συκάζειν κέχρηται τοῖς ὀνόμασιν Ἀριστοφάνης. ὥσπερ οὖν ἐπὶ τῶν καρπῶν ἐκ μὲν τῶν πεπόνων ἔστι δρέψασθαι καὶ φαγεῖν, ἐκ δὲ τῶν ἀώρων οὐκέτι· οὕτω, φησί, καὶ ἐπὶ τῶν ἀνθρώπων ὁ Κλέων διελογίζετο καὶ διέκρινε, τίς ἐπιτήδειος διασεισθῆναι, καὶ τίς σκληρὸς καὶ δυσκαταμάχητος. ἀντὶ δὲ τοῦ εἰπεῖν, πένης ἢ πλούσιος, ἐνέμεινε τῇ μεταφορᾷ ὡς ἐπὶ σύκων.

Harp. 748 Διασείστους· ἐοίκασιν ὠνομάσθαι οἱ διάσειστοι παρὰ τὸ κινεῖσθαι καὶ διασείεσθαι πρότερον, εἶτα βάλλεσθαι, ἵνα ἀκακούργητοι μᾶλλον ὦσι.

Σ 749 Διασήθειν: διαξύειν, ἀπαλείφειν, παράπτεσθαι.

Suid. 750 Διασηκῶσαι· ὅτι βαστάσαι οὐ τὸ ἆραι δηλοῖ παρὰ τοῖς Ἀττικοῖς, ἀλλὰ τὸ ψηλαφῆσαι καὶ διασηκῶσαι καὶ διασκέψασθαι τῇ χειρὶ τὴν ὁλκήν.

Δ 751 Διάσημος: ὁ λαμπρός. καὶ Διασημότατος.

Ar. 752 Διάσια: ἑορτὴ Ἀθήνησι Μειλιχίου Διός· προσαγορεύεται δὲ Διάσια, ἀπὸ τοῦ διαφυγεῖν αὐτοὺς εὐχαῖς τὰς ἄσας. καὶ Ἀριστο-
Suid. φάνης· ὅτ' ἐπριάμην σοι Διασίοις ἀμαξίδα.

Ar. 753 Διασκανδικίσεις: μὴ ἀποδειλιάσῃς, μὴ εὐριπιδίσῃς, μὴ ἀμελήσῃς. σκώπτει δὲ τὸν Εὐριπίδην ὡς λαχανοπώλιδος υἱόν. σκάνδιξ γὰρ εἶδος λαχάνου λεπτοῦ. καὶ ἀλλαχοῦ· σκάνδικά μοι δὸς μητρόθεν δεδεγμένος.

Suid. 754 Διασχεδάζω· αἰτιατικῇ.

748 — διασαλακώνισον Ar. Vsp. 1169 c. sch. cf. Et. M. 270, 38, Et. Gen. διαφθεῖραι sq. cf. Moer. 193, 14, Thom. 56, 9 744 l. cf. Ambr. 828 et 688 745 cf. Ambr. 688 746 σελήνης sq. Metaphr. PG 116, 1077c 747 Ar. Eq. 259 c. sch. 748 Harp. = Et. M. 270, 32 749 διαξύειν sq. = Tim. v. διαγείρειν cf. H v. διαγράφειν 751 — λαμπρός = Ambr. 460 cf. H Διασημότατος = L 752 — ἄσας sch. Ar. Nu. 408 cf. Et. M. 270, 14 753 — λεπτοῦ sch. Ar. Eq. 19 cf. sch. Ach. 478, H, Et. M. 270, 50 σκάνδικα sq. Ar. Ach. 478 754 = An. Ox. 4, 290, 9 cf. Synt. Laur.

744 Z 533 746 cf. v. A 4129 749 Z 533 750 ex v. B 178 752 καὶ sq. ex v. A 1488 753 cf. v. σκάνδιξ

A(GITFVM) 1. 2 διασαλακωνίσαι FV διασαλα A 2 οἱ—3 ἀδιαφόρως post 744 praemisso κώνισον AFV; alibi collocandum esse perspexit Kust. 2 καὶ] τε M 3 ἀδιαφθόρως FV 746 om. GFV mg. A post 747 I post 748 T 8 ἁπλῶς I ἁπαλὸς sch. 10 πεπάνων FVM^{ac} 750 om. FV 19 ὅτι—20 ὁλκήν om. T 21 καὶ Διασημότατος om. FV 23 καὶ—24 ἀμαξίδα om. FV

755 Διασκεδαννύουσι: διασκορπίζουσι. λέγεται δὲ καὶ Δια- Σ
σκίδνησιν. Ἰώσηπος· οὔτε γὰρ ἀταξία διασκίδνησιν αὐτοὺς τῆς συν- E
τάξεως τῆς ἐν ἔθει.

756 Διασκευαζόμενα. Εὔπολις, Ἀθηναῖος, κωμικός, ἔγραψε τόσα Hesy.?
καὶ ἄλλα διασκευαζόμενος. καὶ Διασκευάσασθαι, ἀντὶ τοῦ συ- Harp.
σκευάσασθαι. ἴσως.

757 Διασκευή. ἀπὸ τῆς κλίνης σοι γέγραφα μόλις ἀνεχόμενος Δ
εἰς διασκευὴν τῶν γραμμάτων. τουτέστι συνθήκην.

758 Διασκηνητέον: καταλυτέον. Ξενοφῶν· ἐδόκει διασκηνητέον
εἶναι εἰς τὰς κώμας εἰς στέγας. E

759 Διασμῶμενος: ἐρευνῶν. Δ

760 Διασμύχων: διαξύων. διακαίων. Σ Δ

761 Διασπαθᾶν: ἀφειδῶς δαπανᾶν.

762 Διασπεύσας: διεγείρας, παρορμήσας. τοὺς μὲν στρατιώτας E
διασπεύσας, τοὺς δὲ χιλιάρχους παρακαλέσας ἅψασθαι τῆς πράξεως.

763 Διασπείρω· αἰτιατικῇ. Synt.

764 Δι' ἀσπιδέος πεδίοιο: οἱ μὲν διὰ τὸ πολλὰς ἀσπίδας ἐν Hom.
αὐτῷ ἐρρίφθαι, οἱ δὲ ἀσπιδοειδοῦς διὰ τὸ τοῦ πεδίου περιφερές, οἱ
δὲ ἀπὸ μήκους.

765 Διασπώμενος: συντρίβων καὶ κατακλῶν. Δ

766 Διάστασις: Ἀντιφῶν ἀντὶ τοῦ διακόσμησις. Harp.

767 Διαστελλόμενος: διαχωριζόμενος. Σ

768 Διαστῆσαι: ἀντὶ τοῦ διαταράξαι καὶ οἷον ἀδύνατον ποιῆσαι. Harp.

769 Διαστήτην: ἐχωρίσθησαν. Hom.

770 Διαστείχειν: διέρχεσθαι. Σ

771 Διαστείχοντας: διαπορευομένους. καὶ Διαστείχουσαν, δι- Σ
ερχομένην.

772 Διαστολή: διαχώρησις, ἐξοχή. οὐ χρὴ θαυμάζειν, εἰ φιλο- E
τιμότερον ἐξηγούμεθα τὰ κατὰ τὸν Σκιπίωνα καὶ πᾶν τὸ ῥηθὲν ὑπ'
αὐτοῦ μετὰ διαστολῆς ἐξαγγέλλομεν.

773 Διασύρω· αἰτιατικῇ. Synt.

755 — διασκορπίζουσι = Ba 196, 8 cf. sch. Є 526; H v. διασκεδάσει οὔτε sq. Ios. Bell. 3, 74 756 διασκευαζόμενος] v. Λυδοὶ Μάγνητος contulit Bhd. Διασκευάσασθαι sq. Harp; Isae. fr. 76 757 ἀπὸ—γραμμάτων fort. Iulian. Imp. 758 ἐδόκει sq. Xen. An. 4, 4, 14 759 = Ambr. 729 760 — διαξύων = Ba 196, 10, Σ^a διακαίων = Ambr. 674 762 τοὺς μὲν sq. Polyb. fr. 126 763 = Synt. Laur. 764 sch. Λ 754 cf. H, Et. M. 271, 9 765 — συντρίβων = Ambr. 709 766 Harp.; Antiph. fr. 113 767 = Ba 196, 14 768 Harp. 769 sch. A 6 cf. Ambr. 710, Et. M. 270, 53 770 = Ba 196, 11 771 = Ba 196, 12 et 13 cf. H 772 οὐ sq. Polyb. 36, 8, 6 773 = Synt. Laur.

756 cf. v. Є 3657 757 Z 514 759 Z 533 761 Z 533 766 Z 514 767—8 Z 533 771 Z 538 772 Z 514

5 διασκευαζόμενα I cp. AG καὶ alt. om. FVM, nov. gl. 6 ἴσως om. T A(GITFVM) Ἰσαῖος Harp. plen. 7 ἀνερχόμενος FVM 12 διαξίων A διαξέων Ba Σ^a 17 τὸ] τὰς FM 768—9 extra ord. 28. 29 φιλοτιμώτερον A 29 Σκηπίωνα $A^{ac}I^{ac}M^{ac}$

Σ 774 Διασφάξ: διατομὴ ὄρους. καὶ Διασφάγες, διεστῶσαι
Hdt. πέτραι.
Σ 775 Διαςχών: διελθών, διαστήσας. Πολύβιος· ὁ δὲ διαςχὼν τῶν
E πολεμίων ὡς τρία στάδια κατεστρατοπέδευσε, μεταξὺ λαβὼν τὸν ποταμόν.
E 776 Διατάγματα· ὁ δὲ διατάγματα προθεὶς ἱκέτευε τὸν δῆμον εἰς διαλλαγὰς ἐλθεῖν καὶ αὐτοῖς ἀμνηστίαν ὑπισχνεῖτο. ἀντὶ τοῦ λήθην τῶν ἐπταισμένων.
Σ 777 Διαττᾶν: σήθειν.
E 778 Διατατικώτερον· Πολύβιος· τοῦτ' ἄμεινον ὑπολαμβάνοντες εἶναι καὶ διατατικώτερον, τὸ μήτε τῷ καιρῷ μήτε ταῖς ἐκκλησιαστικαῖς καὶ παραστατικαῖς διαθέσεσι περιγίνεσθαι τῶν ἐναντίων.
Σ 779 Διαταφρεύει: διασκάπτει.
780 Διατάχους· ἐπίρρημα· διὰ ταχέων δέ.
Δ 781 Διατεθώκηται: τεθρόνισται, διεχώρισται.
Σ 782 Διατεθρυλημένος τὰ ὦτα: οἷον κατηδολεσχημένος. ἢ οἷον πλειστάκις καὶ περὶ τῶν αὐτῶν πλεῖστα ἀκηκοώς.
Σ 783 Διατεθρυμμένος: διακεκλασμένος.
Σ 784 Διατεκμαίρεται: στοχάζεται.
Δ 785 Διατερσαίνω: ξηραίνω.
Σ 786 Διάττειν: ὁρμᾶν, διατρέχειν. ἢ δάκνειν.
Σ 787 Διατείνεται: διαβεβαιοῦται.
Σ 788 Διατίθεται· δοτικῇ. πράττει.
Σ 789 Διατιμᾶται: δοκιμάζεται.
Σ 790 Διατιμητικός: δοκιμαστικός.
Σ E 791 Διατιτρᾶν: διατρυπᾶν. ἐς τὰ ἀποκρημνότατα ἄνω διατι-
E τράντες. καὶ αὖθις· μαχαιριδίοις διατιτρᾶν τοὺς ἀσκούς.
E 792 Διατορηθῆναι· δύο δὲ τῶν ὀρυγμάτων ὑπόβρυχα καὶ κατωτέρω τοῦ χάρακος διατορηθῆναι τὴν γῆν ὑπὸ τὸν περίβολον αὐτὸν ἐξενεχθήτην. διατορηθῆναι οὖν ἀντὶ τοῦ διακοπῆναι, διατρυπηθῆναι.

774 — ὄρους Tim. Διασφάγες sq. gl. Hdt. 3, 117 cf. H, Et. M. 270, 27 775 — διαστήσας = Σ^a, Ba 196, 15 cf. H ὁ sq. Polyb. fr. 28 777 Tim. = Ael. D. ap. Eust. I. 749, 14 cf. H = Et. M. 271, 33 778 Polyb. fr. 29 779 = Ba 196, 16 780 — ἐπίρρημα = Et. M. 271, 1 781 praeter τεθρόνισται = H 782 Pl. Rep. 358c c. expl. 783 Tim. 784 = Ba 196, 18 cf. H 785 = L cf. Ambr. 673, H 786 = Σ^a, Ba 196, 24, Et. M. 271, 33 cf. Lex. αἰμ. 623, 4, H 787 = Ba 196, 17 cf. H v. διατείνεσθαι 788 δοτικῇ cf. Synt. Laur. πράττει = Ba 196, 19 789 = Ba 196, 20 cf. H 790 = Ba 196, 21 791 — διατρυπᾶν = Ba 196, 22 ἐς—διατιτράντες Cass. D. attr. Toup., fort. Arr.

774 Z 514 776 λήθην cf. v. A 1612 779 Z 533 785 Z 539 786 cf. 796 790 Z 506 791 extr. cf. vv. Al 106 et K 2036 792 cf. v. Al 106

A(GITFVM) 7 ἀντὶ—8 ἐπταισμένων om. F; λήθην—ἐπταισμένων om. in lac. V 13 Διαταφρεύει—p. 79, 29 Νεφέλαις om. F 780 ex mg. IM 15 τεθρόνισται mg. V ante l. A 16 Διατεθρυλλημένος TVM 28 δύο] διὰ Bhd. 30 τρυπηθῆναι V

793 Διάτορον: ἐξάκουστον, ὀξύτερον, μεγαλόφωνον. Σ
794 Διατορώτατον: τρανότατον. Δ
795 Διὰ τοῦ τοίχου λαλεῖν: ἐπὶ τῶν ἀναισθήτως τι διαπρατ- Prov.
τομένων.
796 Διατρέχοντες: οἱ διάττοντες ἀστέρες, οἱ ἀποσπινθηρίζοντες. Ar.
797 Διατριβή: τόπος ἐν ᾧ τινες μανθάνουσιν. ἢ καιρὸς καθ' ὃν Σ
ἀναστρεφόμεθα περί τι. ἢ διάλεξις φιλόσοφος. σημαίνει δὲ καὶ τὸ Ar.
ἐπιτήδευμα καὶ τὸ ἀσχόλημα, δίαιταν, διαγωγήν, πρόφασιν ἀφ' ἧς
μέλλομεν περὶ τὰ πράγματα διατρίβειν. Ἀριστοφάνης Πλούτῳ· εἰ μὴ
φανεῖται διατριβή τις τῷ βίῳ. καὶ ἡ ἀργία. ἐγίνετο δὲ αὐτῷ Δ?
ἑκούσιος ἡ διατριβὴ καὶ τῆς ἐφόδου ἡ σχολαιότης, τοῦ τε ἀτάκτου
ἕνεκα καὶ τοῦ ἐς τὸ ἀποβησόμενον προμηθοῦς.
798 Διατροπή: συμπάθεια, οἶκτος. τῶν δὲ Καρχηδονίων πολὺν EL
κλαυθμὸν μετὰ δακρύων προϊεμένων, διατροπὴ μεγάλη τὸ συνέδριον
ἐπέσχεν.
799 Διατοιχεῖ: ἀντὶ τοῦ ποτὲ μὲν ἐπὶ τοῦ δεξιοῦ τοίχου τοῦ Σ
πλοίου, ποτὲ δὲ ἐπὶ τοῦ ἀριστεροῦ γίνεται.
800 Διατυπῶν: διατιθέμενος ἐπὶ τὸ βέλτιον. καὶ διατυπῶν τὸ Δ+Ε
ἀτύπωτον καὶ μεταπλάττων πρὸς εὐσχημοσύνην τὸ ἄτακτον.
801 Διαυανθῆναι: ξηρανθῆναι. Σ
802 Διαύγεια: ἡ ἔλλαμψις. Δ
803 Διαυγία· ὁ Θεολόγος· μὴ λίθων διαυγίαις. τοῦτο διὰ τοῦ ι Greg
γράφεται καὶ παροξύνεται· προπαροξύνεται δὲ ἐν τῷ ἀττικίζειν. εἰ
δὲ ὁ παρὼν λόγος ἀττικίζει, προπαροξύνειν ὀφείλομεν διαύγειαν λέ-
γοντες, ὡς ἀμέλειαν.
804 Διαύλειον προσαυλεῖ τις: τοῦτο παρεπιγραφή. φασὶ δὲ Ar.
διαύλειον λέγεσθαι, ὅταν ἡσυχίας πάντων γινομένης, ἔνδον ὁ αὐλητὴς
ἄσῃ. Ἀριστοφάνης Βατράχοις.
805 Διαυλίζων: βαθύνων, ἢ μηκύνων. Σ
806 Δίαυλος: ὁ διστάδιος τόπος. ἢ μέτρον πήχεων ς'. Δίαυ- Σ?
λος καὶ ἡ μακρὰ περίοδος. τούτους δὴ τοὺς μακροὺς διαύλους
ποιεῖσθαι. Ε

793 = Ba 196, 23 cf. H 794 cf. Ambr. 529 et 629 795 = Paroem. ed. Gsf. 35, n. 342 796 sch. Ar. Pac. 839 797 — φιλόσοφος cf. sch. Pl. Clitoph. 406 a ἐπιτήδευμα—βίῳ Ar. Pl. 923 c. sch. ἐγίνετο sq. fort. Dam. 798 τῶν sq. Diodor. 32, 6, 1 = EL 404, 27—9 799 cf. Phryn. 62, 1 800 — διατιθέμενος cf. H διατυπῶν alt. sq. Th. Simoc. 3, 12, 7 801 = Ba 196, 25 802 l. = Ambr. 588 803 — διαυγίαις Greg. Naz. PG 35, 1173a τοῦτο sq. sch. in hoc, Ann. 253, n. 141 804 Ar. Ran. 1264 c. sch. cf. H 805 = Ba 196, 26 806 — τόπος cf. Ba 194, 10 H v. δίαυλος. μέτρον πήχεων = H (in schol. Ar. Av. non recepit White) τούτους sq. Proc. h. a. 12, 21

796 cf. 786. Z 533 797 cf. v. σχολή. Z 515 798 Z 515 799 Z 534 800 Z 534 802—3 Z 516 804 Z 528 805 Z 534 806 Z 506

3 τείχου A ἀναισθήτως] ἀναισθήτων ὡς V 10 τῷ] ἐν τῷ T 16 τοίχου] A(GITVM) τοῦ τοίχου GI^{pc}T 18 καὶ om. V 20 Διαβανθῆναι AVM 30. 31 Δίαυλος nov. gl. GITV 31 δὴ] διὰ AV

Ar. 807 Δίαυλος: ὁ διττὸν ἔχων τὸν δρόμον ἐν τῇ πορείᾳ, τὸ πληρῶσαι τὸ στάδιον καὶ ὑποστρέψαι. δολιχοδρόμοι δὲ οἱ ζ′ τρέχοντες. διὸ καὶ δολιχοδρόμοι· οἱ γὰρ σταδιοδρόμοι διπλοῦν ἐποίουν τὸν δρόμον. ὁπλίτης δὲ δρόμος, ὅταν μεθ' ὅπλων ἀγωνίζωνται· ἡ δέ εἰσιν ἀγωνίσματα, στάδιον, δίαυλος, δόλιχος, ὁπλίτης, πυγμή, παγκράτιον,
Suid. πάλη καὶ ἅλμα. δόλιχος τὸ ἱπποδρόμιον ἀπὸ τοῦ κάμπτειν· δολιχὸς δὲ ὁ μακρός.

Δ 808 Διαυλωνίζειν: τὸ διὰ στενοῦ ῥεῖν.

Ε 809 Διαυχενίζεσθαι: ὁ δὲ τὰ φρονήματα καὶ τοὺς θυμοὺς τῶν στρατιωτῶν ἀνηρέθιζε καὶ διαυχενίζεσθαι πρὸς τὸ ἀγέρωχον ταῖς μελέταις ἐξεκάλει καὶ φιλοκίνδυνον. ἀντὶ τοῦ ὑψοῦ τὸν αὐχένα ἔχειν.

Phil. 810 Διαφανές· διαφανές φασιν εἶναι φύσιν τινὰ ἐν πλείοσιν ὑπάρχουσαν, διαπορθμευτικὴν τῶν χρωμάτων, ἥτις φωτὸς μὲν μὴ παρόντος δυνάμει ἐστὶν αὐτὸ τοῦτο διαφανές, ἐνεργείᾳ δὲ γίνεται διαφανὲς φωτὸς παρόντος. ἔστι δὲ διαφανῆ οὐκ ἀὴρ μόνον καὶ ὕδωρ, ἀλλὰ καὶ πολλὰ τῶν στερεῶν σωμάτων, οἷον φεγγῖται λίθοι, κέρατα, ὕελος, γύψος καὶ ἕτερα. ἔστιν οὖν τοῦ διαφανοῦς ἡ φύσις, ἥτις ἐν πλείοσιν οὐσίαις ὑποκειμέναις ἔχει τὸ εἶναι, ἑτέρα αὐτῶν οὖσα, ὥσπερ καὶ ἐπὶ τῶν ἑτέρων ποιοτήτων ὁρῶμεν. μετέχει δὲ τῆς διαφανείας καὶ τὸ ἀΐδιον τὸ ἄνω σῶμα, οἷον τὸ χῦμα τῶν σφαιρῶν· διαφανὲς γὰρ ἅπαν. καὶ γὰρ ὁρῶμεν τὰ ἐν τῇ ἀπλανεῖ ἄστρα διὰ τούτου. καὶ αἱ μὲν σφαῖραι διαφανεῖς εἰσι, τὰ ἄστρα δὲ οὐκέτι, ὅθεν καὶ ἐπιπροσθοῦσιν ἀλλήλοις. ἐντεῦθεν γοῦν ἡ τοῦ ἡλίου ἔκλειψις ἐπιπροσθουμένου ὑπὸ τῆς σελήνης ἐναργῶς φαίνεται γινεσθαι.

Ar. 811 Διαφανῆ χιτώνια: οὐ τὰ λαμπρά, ἀλλὰ τὰ ἰσχνά, δι' ὧν διαφαίνεται τὰ σώματα τῶν γυναικῶν. καὶ Ἡσαΐας ὁ προφήτης· καὶ τὰ διαφανῆ Λακωνικά.

Σ 812 Διαφανῶς: σαφῶς, ἢ συμφώνως.

Σ 813 Διαφαίνει: διαδείκνυσιν.

814 Διαφέρεσθαι: ἐρίζειν, φιλονεικεῖν. τοῦτον οὖν ὁμόδουλος
Ε κύων ὑπέρ τινος παραπεσόντος ἐδέσματος οἰηθεῖσά οἱ διαφέρεσθαι, προσπαίζοντος ἄλλως, ἡ δὲ ἠγανάκτησεν.

Σ 815 Διαφέρει μοι: ἀντὶ τοῦ τυμόν ἐστι.

807 — ἀγωνίζωνται sch. Ar. Av. 292 808 cf. Ambr. 793 809 ὁ—φιλοκίνδυνον Eunap. fr. 103, FHG 4, 55 810 Philop. 319, 14—17; 324, 2—25 811 — γυναικῶν sch. Ar. Lys. 48 Ἡσαΐας 3, 22 812 = Ba 196, 28 813 = Ba 196, 27, Σ[e], H 814 φιλονεικεῖν = sch. Luc. 255, 4 τοῦτον sq. Aelian. fr. 92 815 Ba 197, 7 διαφέρει μόνον contulit Wentzel

807 vs. 6 δόλιχος sq. ex 1336 et 1339 809 cf. 1026 et v. A 2428. Z 534 810 hinc v. Ε 464 extr. 811 Z 528 812 Z 535 = 556 814 cf. 817. Z 534

A(GITVM) 6 δόλιχος—7 μακρός ex mg. AM 12 διαφανές alt. om. T mg. M φησιν A 14 διαφανές pr. GlT Philop.: διαφανής rell. 20 τὸ ἄνω om. V 21 ἀπλανῆ ATV[oc] 22 τὰ] καὶ τὰ VM 28 συμφῶνος A[oc] 31 ἐδέσματος ed. pr.: ἐδέσματα omnes 33 τοῦ ex AT

816 Διαφερόντως: ἐξαιρέτως. Σ

817 Διαφερώμεθα: φιλονεικήσωμεν. Σ

818 Διαφέρων: παρασκευάζων. παρέργως τὰ πρότερα τὸν πόλεμον διαφέρων Ἰουστινιανὸς ἀξιολογωτάτην αὐτοῦ πεποίηται τὴν παρασκευήν. καὶ Διαφερόντων, ἀντὶ τοῦ ἐπιλέκτων. πυνθανόμενος τὴν πόλιν ὠχυρῶσθαι καὶ πλῆθος ἀνθρώπων διαφερόντων εἰς αὐτὴν ἠθροῖσθαι. E

819 Διαφερούσῃ· πληθυούσῃ. ὁ δὲ ἐστρατοπέδευσεν ἐν χώρᾳ πάντα τὰ γεννήματα διαφερούσῃ. E

820 Διαφέρω: τὸ διαλλάσσω. γενικῇ. τοσοῦτον διαφέρομεν τῶν προγόνων. δοτικῇ δὲ ἐπὶ τοῦ ἐχθραίνω. ὑπὲρ οὗ καὶ τότε καὶ νῦν καὶ ἀεὶ ὁμολογῶ πολεμεῖν καὶ διαφέρεσθαι τούτοις. καί, τίνι διαφέρει στιγμὴ ὑποστιγμῆς; χρόνῳ. Synt.

821 Διαφεύγω· αἰτιατικῇ. Synt.

822 Διαφεῖναι: διαλῦσαι. καὶ Διαφείς, ἀντὶ τοῦ ἀπολύσας, ὁρίσας. ὁ δὲ διαφεὶς τοὺς ἡγεμόνας ἐκίνει τὴν πρωτοπορίαν. Σ E

823 Διαφημίζω ἀεί. Δ

824 Διαφθείρω· αἰτιατικῇ. Synt.

825 Διαφθονούμενος· ὁ δὲ διαφθονούμενος Ζήνωνι ἐν ἡσυχίᾳ ἔμενεν.

826 Διαφθορά: θάνατος. Ps.

827 Διάφορα: ἀναλώματα. Θουκυδίδης. Σ

828 Διαφορά: ἔχθρα. Διαφορά, τὸ ἐν τῇ συνηθείᾳ ἡ παραλλαγή, καὶ ἀνομοιότης. Σ

829 Διαφορηθῶ: διασπασθῶ. καὶ Διαφορηθῆναι, ἀντὶ τοῦ διασπασθῆναι. Ar.

830 Διαφόρημα: τὸ παίγνιον. καὶ Διαφορήσει, διάφορος γένηται. Δ

831 Διαφορῆσαι· τοὺς δὲ ἵππους εἶναι ἀγρίους, ὑπό τε τῷ ἀήθει τοῦ δεσμοῦ καὶ ὑπὸ τοῦ ἀπηρτημένου βάρους ἔτι μᾶλλον ἀνασοβηθέντας διαφορῆσαι αὐτόν. Suid.

816 = H, Ba 197, 2, Ludw. 16, 17 817 = Ba 197, 5 818 παρέργως—παρασκευήν Proc. bell. 8, 26, 7 πυνθανόμενος sq. Polyb. 3, 18, 8 819 ὁ sq. Polyb. 3, 87, 1 820 γενικῇ—προγόνων (Isocr. 8, 54) = Bk. 135, 3; δοτικῇ + ὑπέρ—τούτοις (Dem. 18, 31) = Bk. 132, 5; τίνι sq. Dionys. Thrac. Gramm. Gr. 1, 1 p. 8, 1 821 = Synt. Laur., An Ox. 4, 290, 8 822 — διαλῦσαι = Ba 197, 1 ὁ sq. Polyb. 8, 28, 10 823 l. = L 824 = Synt. Laur. 825 fort. Dam. cf. v. Z 82 vel historici Byzantini, ut Malchi cf. v. Z 83 826 cf. An. Ox. 2, 432, 22 827 cf. H v. διάφορον; in Θουκυδίδης vitium latet 828 = Ba 197, 6, Σ[a]; ἔχθρα cf. H, Bk. 88, 33 829 — διασπασθῶ fort. sch. Ar. Av. 355; διαφορηθῆναι sq. sch. Ar. Av. 338 830 — παίγνιον = Ambr. 636, H

816 Z 535 = 555 817 cf. 814 818—9 Z 534 822 hinc v. K 1859, Z 534 823 cf. 978. Z 536 825 Z 536 827 Z 524 828 cf. 833. Z 516 829 Z 535 830 Z 528 et 535 831 ex v. A 2072 cf. v. Δ 834

4 Ἰουστινιανοῦ GIT cp. A 6 εἰς] ἀντὶ τοῦ εἰς A 8 πληθυνούσῃ IT A(GITVM) 819 extra ord. 820 om. TV post 818 GIM 10 τοσούτων AG 11 ὁμολογῶ M: ὁμολογῶν AGI 826 om. ATV post 824 GI 26. 27 γενήσεται ed. pr. 831 om. TV 28 δὲ om. AM

Δ 832 Διαφορότης: ἡ διαφορὰ παρὰ Αἰλιανῷ.

Σ 833 Διάφοροι: ἐχθροί. παρὰ τὸ διαφορεῖσθαι τὰς γνώμας. λέγεται
E δὲ καὶ Διάφορον πρᾶγμα, τὸ τίμιον. ἐστρέβλωσαν δὲ πολλοὺς τούτων, οἷς ἠπίστησαν ἔχειν κεκρυμμένον διάφορον ἢ κατασκεύασμα ἢ ἄλλο τι τῶν πλείονος ἀξίων.

Ar. 834 Διαφορουμένης τῆς κρόκης ὑπὸ τῶν ἀλεκτρυόνων:
E ἀντὶ τοῦ διασπωμένης. Ἀρριανός· τοὺς δὲ ἵππους ἀνασοβηθέντας διαφορῆσαι αὐτόν.

Ar. 835 Διαφρήσετε: διαφορήσετε, διαπέμψετε.

836 Διὰ φροντίδος ἦν αὐτῷ: ἀντὶ τοῦ ἐβουλεύετο, ἐσκέπτετο.
E Αἰλιανός· ὁ δὲ θεὸς λέγει ἐκείνους μὴ πολυπραγμονεῖν, αὐτῷ γὰρ εἶναι διὰ φροντίδος.

Σ 837 Διαφρυκτοῦν: διαψηφίζειν, διακληροῦν. τὸν γὰρ κύαμον ἐκάλουν φρυκτόν. ἀντὶ δὲ ψήφων κυάμους ἐφόρουν οἱ τῶν Ἀθηναίων δικασταί.

Σ 838 Διαχειρίσαι· αἰτιατικῇ. φονεῦσαι.

Harp. 839 Διαχειροτονία: διάκρισίς τις χειροτονίας ἐν πλήθει γινομένης. τοῦτο Δημοσθένης.

Σ 840 Διαχεῖται: χαίρει, διαχέεται.

Suid. 841 Διαχωρήματα: τὰ διαλείποντα. Ἀρριανός· φυλακαὶ δὲ ἐπὶ τὰ διαλείποντα τῆς τάφρου ἐτετάχατο.

E 842 Διαχώρους: τὰ διαστήματα τῶν λόχων. οὕτω τε ἀνεπλήρωσε τῇ πυκνότητι τοῦ στρατοῦ τοὺς διαχώρους.

Ar. 843 Διὰ χρόνου: ἀντὶ τοῦ μετὰ πολὺν χρόνον. ἆρ' ἂν βλαβῆναι διὰ πολλοῦ χρόνου τί σοι δοκῶ, ὦ δέσποθ' Ἑρμῆ, τῆς Ὀπώρας κατελάσας; οὔκ, εἴ γε κυκεῶν' ἐπιπίοις γληχωνίαν. καὶ γὰρ οἱ διὰ χρόνου ἐσθίοντες ὀπώραν πολλὴν βλάπτονται καὶ οἱ συνουσιάζοντες συνεχῶς. οἱ οὖν πολλὴν ὀπώραν ἐσθίοντες, ἐὰν γλήχωνα πίωσιν, οὐ βλάπτονται διὰ τὸ ὑπὸ τοῦ οἴνου κατεσθίεσθαι τὴν καρδίαν. ἵνα οὖν ἡ δριμύτης ἀποστύφῃ, γλήχωνα πίνουσιν.

Σ 844 Διάχυσις: χαρά, τέρψις.

832 = Ambr. 560; Aelian. var. hist. 2, 21 833 — γνώμας = Ba 197, 9 ἐστρέβλωσαν sq. Polyb. 4, 18, 8 834 — διασπωμένης Ar. Lys. 896 c. sch. τοὺς sq. Arr. Parth. fr. 88 835 sch. Ar. Av. 192 836 ὁ sq. Aelian. fr. 52 837 cf. Et. M. 271, 50 = Et. Gen., H v. διάφρυκτος 838 αἰτιατικῇ cf. Synt. Laur. φονεῦσαι = Ba 197, 10 cf. H 839 Harp. cf. H; Dem. 24, 25 et 22, 9 840 = Ba 197, 11, H 843 Ar. Pac. 710—12 c. sch. cf. Zacher Jahrb. cl. Ph. Suppl. 16, 732 844 = Ba 197, 12 cf. H

832 Z 516 833 cf. 828 834 Z 535; Arr. cf. 831 et v. A 2072 835 cf. v. οὐ διαφρήσετε et v. ὡς Πυθῶδ'. Z 536 837 hinc v. φρυκτός 2, Z 536 839 Z 516 841 ex 630 842 Z 510 843 cf. v. B 839 844 Z 517

A(GITVM) 5 πλειόνως A 10 ἐπεβουλεύετο GIT 14 ἐφόρουν] ἐκάλουν V 840 om. GIT 841 om. TV post vs. 22 λόχων A post 837 I 22 Διαχώρους—λόχων om. GIT οὕτω—23 διαχώρους mg. A 26 κενεῶν' V 27 χρόνους A οἱ om. A

845 Διαψαλάττεσθαι: τὸ διαστέλλεσθαι εἰς ἔρευναν. τὸ γὰρ Σ
ἀψάλακτον, ἄθικτον. οὕτως Κράτης. Ar. Σ
846 Διάψαλμα: μέλους ἐναλλαγή. Δ
847 Διαψᾶν: διορύττειν, διασκαλεύειν. κελεῦσαι πάντας διαψᾶν τὴν E
ἄμμον καὶ ποιεῖν βοθύνους εὐμεγέθεις.
848 Διαψαίρουσι: διαπνέουσι. ψαίρειν γὰρ τὸ πνεῖν οἱ ναυτικοὶ Σ
λέγουσιν.
849 Διαψεύδονται· γενικῆ. ἐκπίπτουσιν, ἀποτυγχάνουσιν. διὸ τοῦ
μὲν καλοῦ διαψεύδονται, τοῦ δὲ παρ' αὐτοῖς συμφέροντος ὡς ἐπίπαν
οὐκ ἐπιτυγχάνουσι.
850 Διαψήφισις καὶ Ἀποψήφισις· οἱ πολῖται συνίασιν ἕκαστοι Σ
κατὰ τοὺς αὐτῶν δήμους καὶ περὶ τῶν αἰτίαν ἐχόντων ἢ παρεγγε-
γραμμένων εἰς τὴν πολιτείαν ψῆφον φέρουσι κρύβδην· οἷον Ἀχαρνεῖς
περὶ Ἀχαρνέων καὶ περὶ Ἐλευσινίων οἱ Ἐλευσίνιοι καὶ οἱ λοιποὶ
δημόται παραπλησίως. καὶ τοῦτο διαψήφισις καλεῖται. οἱ μὲν οὖν
πλειόνων ψήφων τυγχάνοντες ἀναμφισβητήτως τὴν πολιτείαν ἔχουσιν,
ὅσοι δ' ἂν ἐλάττονας ψήφους λάβωσιν, οὐκέτι νομίζονται, καὶ τοῦτό
ἐστιν ἡ ἀποψήφισις.
851 Διαψήφισις: ἰδίως ἐπὶ τῶν ἐν τοῖς δήμοις ἐξετάσεων, αἳ γί- Harp
νονται περὶ ἑκάστου τῶν δημοτευομένων, εἰ τῷ ὄντι πολίτης καὶ δη-
μότης ἐστίν, ἢ ξένος ὢν παρεγγέγραπται.
852 Διβητήσια: διβίκια. Δ
853 Διγῆρες: οἱ λαμπροί. ἢ οἱ στρουθοί. Δ
854 Δίγλωσσος: ὁ δύο γλώσσας ἐπιστάμενος. Ἀνάχαρσις Σκύθης Δ
ἦν, μητρὸς δὲ Ἑλληνίδος. διὸ καὶ δίγλωττος ἦν· ὃς ἔθηκεν νόμους
Σκύθαις.
855 Δίγνωμος: ὁ ἐπαμφοτερίζων τῇ γνώμῃ.
856 Διδαξάμενος: τελέσας τι ὑπὲρ ἑτέρου διδασκάλῳ. Σ
857 Διδάξομαι· Ἀριστοφάνης Νεφέλαις· ἀλλ' εὐξάμενος τοῖς θεοῖσιν Ar.
διδάξομαι. ἀντὶ τοῦ διδαχθήσομαι. νῦν μὲν παθητικῶς ἀποδεκτέον,

845 — ἔρευναν = H τὸ—ἄθικτον sch. Ar. Lys. 275 (Stein) Κράτης fr. 46 848 = Et. M. 271, 55, Et. Gen. cf. H, sch. Av. 1717 849 γενικῆ cf. Synt. Laur., Bk. 135, 1 850 cf. Psell. PG 122, 1012a, Bk. 186, 7, sch. Dem. 57, 26 851 Harp. = sch. Dem. 57, 26 853 οἱ στρουθοί = Ambr. 447, H 854 Ἀνάχαρσις sq. Laert. 1, 101 856 Tim. 857 Ar Nu. 127 c. sch.

845 cf. v. A 4723. Z 536 847 Z 536 848 Z 530 849 Z 536 850 cf. v. A 3658 854 hinc v. Σκύθης extr. cf. v. A 2130 855 Z 506 856—7 Z 543 857 cf. v. Ε 282

1 διαψαλλάττεσθαι A 4 ὀρύττειν V 5 βοθύνας A 11 ἕκαστοι Bas.: A(GITFVM) ἑκάστοις omnes; Bhd.: latet accurata temporis significatio 12. 13 παρεγγραμμένων V 16 ἀναμφισβήτως V ἀμφισβήτως M 21 παραγέγραπται TVM cf. Harp. 25 νόμης A 26 Σκύθης A 28 ante διδασκάλῳ longum spatium in A; διδασκάλῳ nov. gl. GI om. T 29 ἀλλ'] inc. rursus F θεοῖς GIT Ar. 30 παθητικῶς G^{cp}T sch.: παθητικόν A^{cp}IM cp. V παθους F

τουτέστι διδαχθήσομαι. ἔστι δὲ τῶν μέσων, παθητικὸν μὲν γὰρ ἔχει τὸν σχηματισμόν, ἐνέργειαν δὲ δηλοῖ. εἶποι γὰρ ἂν διδάξομαι τὸν υἱὸν φιλοσοφεῖν κυριώτερον ἢ διδάξω. διδάξω μὲν γὰρ ὁ διδάσκαλος ἐρεῖ, διδάξομαι δὲ ὁ πατὴρ καὶ πᾶς ὁ παραδιδοὺς ἕτερον μανθάνειν. δυνατὸν οὖν καὶ νῦν μὲν εἶναι τὸ αὐτό· ἵν' ᾖ νοούμενον, διδάξομαι, ἐπεὶ οὐ τὸν υἱόν, ἐμαυτόν. τοῦ μέτρου οὐκ ἐπιτρέποντος εἰπεῖν ἐμαυτὸν διδάξας, ἔφη αὐτὸς βαδίζων εἰς τὸ φροντιστήριον.

Δ 858 Διδασκαλεῖον: τὸ σχολεῖον. Διδασκάλιον δὲ αὐτὸ τὸ μάθημα.

Harp. 859 Διδάσκαλον· ἰδίως διδασκάλους λέγουσι τοὺς ποιητὰς τῶν διθυράμβων ἢ τῶν κωμῳδιῶν ἢ τῶν τραγῳδῶν. καὶ Σοφοκλῆς· οἱ δ' ἀκοσμοῦντες βροτῶν διδασκάλων λόγοισι γίνονται κακοί.

Suid. 860 Διδάσκαλος· κανών· δαίω, τὸ μανθάνω, δαίσω, δαΐσκω, καὶ ἀποβολῇ τοῦ ι, δάσκω· ἐπειδὴ τὰ εἰς κω κοινολεκτούμενα οὐ θέλουσι δίφθογγον ἔχειν· ἀναδιπλασιασμῷ διδάσκω, καὶ ἐξ αὐτοῦ διδάσκαλος.

Synt. 861 Διδάσκω· αἰτιατική.

Σ 862 Διδαχή: ἀντὶ τοῦ διδασκαλία. Ἡρόδοτος γ'.

Δ 863 Δίδημι: τὸ δεσμεύω.

Δ 864 Διδίας: ὄνομα κύριον.

865 Διδούς, διδόντος, ἢ καὶ διδοῦντος.

Σ 866 Δίδραχμον: συντέλεσις, εἰσφορά, λειτουργία. ἔχει δὲ τὸ δίδραχμον οὐγγίας ϛ', κ' ὀβολοί, γράμματα ἓξ.

Δ 867 Δίδωμί σοι: παρέχω σοι.

Suid. 868 Διδυμαχίας: ὄνομα κύριον. ὅτι Ἀσωπόδωρος καὶ Διδυμαχίας ὁ ἀδελφὸς αὐτοῦ ἐπὶ σμικρότητι σώματος διεβέβληντο.

Δ 869 Δίδυμαῖος.

870 Δίδυμον ξύλον: ἡ παρὰ Ῥωμαίοις φοῦρκα. εὗρον δὲ Ἰλλοῦστον φθορέα ἐκρέμασεν ἐπὶ διδύμου ξύλου. οὓς δὲ ὤντας ἐκ διδύμων ξύλων ἀπαρτῶν.

Hesy. 871 Δίδυμος, Ἀτήϊος ἢ Ἄττιος χρηματίσας, φιλόσοφος Ἀκαδημαϊκός. Πιθανῶν καὶ σοφισμάτων λύσεις ἐν βιβλίοις β'. καὶ ἄλλα πολλά.

858 = L, Ambr. 643 et 646, Ps. Herodian. 268 859 — τραγῳδῶν Harp. = Lex. Rhet. in Et. Gen., Et. M. 272, 22 cf. Sabb. οἱ sq. Soph. Phil. 387—8 861 = Synt. Laur., An. Ox. 4, 290, 13 862 Hdt. 3, 134, 4 863 = H 866 — ϛ' = Ba 197, 16, Σ^{a}. κ' ὀβολοί cf. Levit. 27, 25. γράμματα ἓξ cf. Et. Gud. e sch. Greg. Naz. 19, 13 867 = Ambr. 695 869 = L cf. Ambr. 464, Et. M. 272, 44

858 Z 528 860 ex 122 862 Z 517 863 cf. v. Ε 234. Z 543 864 Z 506 868 ex v. A 4193 cf. v. Δ 879 870 hinc v. I 325 et v. φοῦρκα

A(GITFVM) 7 εἰς] ὡς A 10. 11 διθυράμβων] διὰ θυράμβων A 11 τραγωδιῶν GTF Et. M. Harp. plen. 12 γίγνονται GF 860 om. TFV mg. A 13 Διδάσκαλος ex M κανών ss. AI ante gl. G om. M 865 ex I^{mg}M 868 ex I (post 870), T (post 869), M cf. 879 24 ὅτι—25 διεβέβληντο om. T 870 non nov. gl. VM 27 εὗρον IV 27. 28 Ἰλλοῦς τὸν Kust. 31 Πιθανῶν] numerum excidisse putat Diels Doxogr. 86

872 Δίδυμος, Διδύμου ταριχοπώλου, γραμματικὸς Ἀριστάρχειος, Hesy.
Ἀλεξανδρεύς, γεγονὼς ἐπὶ Ἀντωνίου καὶ Κικέρωνος καὶ ἕως Αὐγούστου· Χαλκέντερος κληθεὶς διὰ τὴν περὶ τὰ βιβλία ἐπιμονήν· φασὶ γὰρ αὐτὸν συγγεγραφέναι ὑπὲρ τὰ τρισχίλια πεντακόσια βιβλία.

873 Δίδυμος νέος, Ἀλεξανδρεύς, γραμματικός, ὃς ἐσοφίστευσεν ἐν Hesy.
Ῥώμῃ. ἔγραψε Πιθανά, Περὶ ὀρθογραφίας καὶ ἄλλα πλεῖστα καὶ ἄριστα.

874 Δίδυμος, ὁ Κλαύδιος χρηματίσας, γραμματικός. Περὶ τῶν Hesy.
ἡμαρτημένων παρὰ τὴν ἀναλογίαν Θουκυδίδῃ, Περὶ τῆς παρὰ Ῥωμαίοις ἀναλογίας, Ἐπιτομὴν τῶν Ἡρακλέωνος· καὶ ἄλλα τινά.

875 Δίδυμος, ὁ τοῦ Ἡρακλείδου, γραμματικός, ὃς διέτριψε Hesy.
παρὰ Νέρωνι καὶ ἐχρηματίσατο· μουσικός τε ἦν λίαν καὶ πρὸς μέλη ἐπιτήδειος.

876 Δίδυμος, Ἀλεξανδρεύς· Γεωργικὰ ἐν βιβλίοις ιε'. Hesy.

877 Δίδυμος καὶ ὁ ἀπόστολος Θωμᾶς.

878 Δίδυμοι: συνήθως ἡμῖν καὶ οἱ συμφυεῖς, ἰδίως οἱ μόνοι· ἢ δισσῶς· καί, αὐλοῖς διδύμοις. Σ

879 Διδυχμίας καὶ ὁ ἀδελφὸς αὐτοῦ Ἀσωπόδαρος ἐπὶ σμικρότητι Ar.
σώματος διεβέβληντο.

880 Διαίνεσθαι: βρέχεσθαι. Διαίνω γὰρ τὸ ὑγραίνω. Σ Δ

881 Διαίρεσις: ἡ διαχώρισις. Δ

882 Διαιωνιεῖ: δι' αἰῶνος παραμενεῖ. Σ

883 Διαιρῶν· αἰτιατικῇ. ἀναπτύσσων, δοκιμάζων καὶ διακρίνων τὰ Ar.
πράγματα καὶ οἷον διαίρεσιν αὐτῶν ποιῶν.

884 Δίαιτα: ἡ καθ' ἑκάστην ἡμέραν τροφή. καὶ ἡ κρίσις. τὴν Δ
τῶν ἐγκλημάτων δίαιταν ἐπίτρεψον ἄλλοις. E

885 Διαίταις: ταῖς χωρὶς δικαστηρίου κρίσεσι. διαίτης οὖν ἐν ἡδονῇ καὶ τύφῳ τιθεμένης, τὸ καλὸν ἐθὰς γενόμενος καὶ τὴν ὑποτυφομένην ἀλαζονείαν ἐπὶ τῇ βασιλικῇ καραδοκίᾳ διὰ τῶν προσώπων ἀπεμφαίνων ἀκροβατεῖν τε ἤρξατο καὶ μετέωρον τὸν αὐχένα E

878 = Ba 197, 13 cf. Et. M. 272, 31, H v. διδυμάονες, Ap. S. 58, 26, Aristarch. in sch. A ad Ψ 638; αὐλοῖσι sq. τ 227 879 sch. Ar. Av. 17 880 cf. Et. M. 266, 56; — βρέχεσθαι = Ba 197, 28 cf. H, Ps. Herodian. 242, Ludw. 83, 10 ὑγραίνω cf. Et. Gud. 881 = L, Ambr. 547 882 = Ba 194, 12 883 αἰτιατικῇ cf. Synt. Laur. ἀναπτύσσων sq. sch. Ar. Nu. 742 884 — τροφή cf. H; τροφή = Ambr. 570, Ps. Herodian. 19 κρίσις cf. Moer. 195, 13, Et. Gud., H v. διαιτός τὴν sq. Ios. Ant. 3, 69 885 διαίτης sq. Malch. fr. 9, FHG 4, 118b

872 hinc v. Χαλκέντερος, Ps. Hesych. 21 879 cf. 868, v. A 4193, v. Θ 52 884 Z 515 885 cf. v. Z 84

6 θεογραφίας I 10 Ἡρακλέωνος] ὀνομάτων suppl. Rohde, de Polluc. 13, 3 A(GITFVM)
877 om. FV non nov. gl. M 17 αὐλοῦσι A 878—922 om. T 879 om. GI
21 διαχώρησις AIFV Ambr. 25 ἡμέρα A cp. I ἡ alt. om. A
28 ἐθεὰς FV γενόμενος GIF v. Z 84: γενόμενον M ep. V γινόμενον A
28. 29 ὑποτυφωμένην VM cf. v. Z 84

αἴρειν καὶ συλλήβδην φάναι, προσέχων πᾶσιν ὥσπερ οἰκέταις ἀνθρώποις.

Δ 886 Διαιτῆσαι: κρῖναι, γνῶναι. καὶ Διαιτητής, ὁ κριτής.

Σ 887 Διαιτηταί· τοὺς ὑπὲρ πεντήκοντα ἔτη γεγονότας καὶ καθαροὺς πάσης αἰτίας ὑπειλημμένους, ἀπὸ τοῦ ληξιαρχικοῦ γραμματείου κληρώσαντες τὰ τῶν πολιτῶν διαιτᾶν ἐποίουν. ξένοις μέντοι γε ἐπὶ τοῦτο ἐλθεῖν οὐ συγκεχώρητο. ἔξεστι δὲ τοῖς μεμφομένοις δίαιταν ἐκκαλεῖσθαι τὸ δημόσιον δικαστήριον.

Harp. 888 Διαιτηταῖς: ἕτεροι παρὰ τοὺς δικαστάς εἰσιν οἱ διαιτηταί. οἱ μὲν γὰρ ἐν δικαστηρίοις ἐδίκαζον καὶ τὰς ἀπὸ τῶν διαιτητῶν ἀφεσίμους ἔκρινον, οἱ δὲ διαιτηταὶ πρότερον κλήρῳ λαχόντες ἢ ἐπιτρεψάντων αὐτοῖς τοῖς κρινομένοις διήτουν. καὶ εἰ μὲν ἤρεσκε τοῖς ἀντιδίκοις, τέλος εἶχεν ἡ δίκη· εἰ δὲ μή, τὰ ἐγκλήματα καὶ τὰς προβλήσεις καὶ μαρτυρίας, ἔτι δὲ καὶ τοὺς νόμους καὶ τὰς ἄλλας πίστεις ἑκατέρων ἐμβαλόντες εἰς καδίσκους καὶ σημηνάμενοι παρεδίδοσαν τοῖς εἰσαγωγεῦσι τῶν δικῶν.

Δ 889 Διαιτητήριον: ἐν ᾧ διαιτῶνται.

Σ Synt. 890 Διαιτῶν: δικάζων. καὶ Διαιτῶν, τὸ ἴσον νέμων. δοτικῇ.

891 Δι' αἰφνιδίου ὁπός: τουτέστι τῆς ἐνθουσιαστικῆς.

Σ 892 Διέβαλεν: ἐξεπάτησε. καὶ Θουκυδίδης οὕτως κέχρηται καὶ

Ar. Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις. διέβαλέ μ' ἡ γραῦς. ἀντὶ τοῦ ἐξεπάτησε.

Δ 893 Διεγείρωμεν: παροτρύνωμεν.

Σ 894 Διέγνωκα: κέκρικα.

Harp. 895 Διεγγύησιν: ἀντὶ τοῦ κατάστασιν ἐγγυητῶν. Δημοσθένης.

Δ 896 Διέδριον. ὡς δὲ οὐκ ἴσχυον τῇ εἰσόδῳ χρήσασθαι, ἄρανΕ τες αὐτὸν διεδρίῳ κατὰ τοὺς οἴκους τῶν λεγομένων σχολῶν εἰσεκόμιζον.

Δ 897 Δίεδρος.

Σ 898 Διεδοιδύκησε: διέγραψε τῇ χειρὶ στρογγύλην αὐτὴν ποιήσας ὡς δοίδυκα.

886 cf. Et. M. 267, 3; Διαιτής sq. = H 887 — γεγονότας cf. Bk. 186, 1, 235, 23, H, Psell. PG 122, 1013 d, sch. Pl. Leg. 920 d; vs. 5 ἀπὸ sq. = Sabb. 888 Harp. = Sabb. 889 = Ambr. 650 890 = Ba 194, 9 δοτικῇ cf. Synt. Laur. 892 Θουκυδίδης cf. ad 500; Ar. Th. 1214 διέβαλε sq. Ar. Th. 1214 c. sch. 894 = Ba 197, 18, H 895 Harp.; Dem. 24, 73 897 cf. H 898 = Lex. rhet. ap. Et. M. 273, 43, Et. Gen. cf. H; l. = fr. com. ad. 974

887—90 sch. Dem. Bav. 21, 83 888 Vind. 8 891 hinc v. ὁπός 2 892 cf. 500 894 Z 544 895 Z 517 896 Z 524 898 Z 544

A(GIFVM) 1 προσέχειν coniecit Bhd. 4 Διαιτητάς GIM 5 γραμματείου I: γραμματίου rell. 7 δίαιταν AFV: διαιτᾶν GIM 10 ἐφεσίμους F Harp. plen. 11 ἐπιστρεψάντων AFV 18 καὶ—δοτικῇ om. FV 19 αἰφηδίου A ὁπός] ἤγουν φωνῆς ss. V 21 καὶ διέβαλέ M 23 παροτρύνομεν FV 26 χρῆσθαι F 897 om. GI

899 Διέζευξε: διεχώρισε. καὶ παρὰ τοῖς μουσικοῖς διεζευγμένον λέγεται τὸ τετράχορδον. καὶ συνεζεῦχθαι λέγουσι τὸ ἐν τῷ αὐτῷ εἶναι.

900 Διέθει: διέτρεχεν. Σ

901 Διεθρόησαν· Θουκυδίδης· οἱ δὲ πρέσβεις τῶν Ἀθηναίων διεθρόησαν, ὡς χρήματα πολλὰ ἴδοιεν. ἀντὶ τοῦ διελάλησαν, διεθορύβησαν. E

902 Διέκδυσιν: διεξέλευσιν. τῶν δὲ δεσμωτῶν εἷς ἀπορρήξας τὰ δεσμὰ καὶ διεκδύς, εἶτα καταφεύγει ἐπὶ τὰ τῆς Δήμητρος πρόθυρα. ἀντὶ τοῦ ὑπεξελθών, ἐκφυγών. Σ E

903 Διεκερμάτισε τὴν δραχμὴν ἐν τοῖς ἰχθύσιν: ἀντὶ τοῦ . . . Ar.

904 Διεκόρησας τὴν παῖδα: διεπαρθένευσας. Σ

905 Διεκορκορύγησε: κορκορυγεῖν λέγουσι τὸ λαλεῖν τὴν γαστέρα. ἐμιμήσατο δὲ τῇ φωνῇ τῶν ἐντέρων τὸν ἦχον. Ἀριστοφάνης Νεφέλαις· εἶτ' ἐταράχθης τὴν γαστέρα, καὶ κλόνος αὐτὴν ἐξαίφνης διεκορκορύγησε. κλόνος δὲ στρόφος, ἴλιγξ. Ar.

906 Διεκοσμήθησαν: διετάχθησαν. Σ

907 Διεκωδώνισεν: ἀντὶ τοῦ διεπείρασε καὶ ἐξηπάτησεν. ἡ δὲ μεταφορὰ ἢ ἀπὸ τῶν περιπολούντων τοῖς κώδωσι νυκτὸς τὰς φυλακάς· ἢ ἀπὸ τῶν δοκιμαζόντων τοὺς μαχίμους ὄρτυγας τῷ ἤχῳ τοῦ κώδωνος. Harp.

908 Διεκπατῆσαι: τοῦ πάτου παρεξελθεῖν. λέγουσιν Ἐπιμενίδην χρόνον ἕνα διεκπατῆσαι ἀσχολούμενον περὶ ῥιζοτομίαν.

909 Διεκπέσαντες: διεκτρυπήσαντες, διεκδραμόντες. Σ

910 Διέκπλοι: τὸ ἐμβάλλειν καὶ διασχίζειν τὴν τῶν ἐναντίων τάξιν καὶ πάλιν ὑποστρέφειν καὶ αὖθις ἐμβάλλειν. ἀναστροφαὶ δέ εἰσιν αἱ εἰς τοὐπίσω ὑποχωρήσεις. Thuc.

911 Διεκπερδικίσαι: διαδρᾶναι, ἐκφυγεῖν, ἐξαπατῆσαι. ἀπὸ τοῦ πέρδικος, πανούργου ὄντος καὶ ἀποδιδράσκοντος. Σ

899 — διεχώρισε cf. H v. διέζευκται 900 = Ba 197, 19, H 901 — ἴδοιεν Thuc. 6, 46, 4 902 l. = Σ^{a}, H cf. Ba 197, 23 τῶν—πρόθυρα Aelian. fr. 51 903 Ar. Vsp. 789 904 cf. H; l. = Σ^{a}, Ba (mg.) 905 Ar. Nu. 386—7 c. sch. 906 = Ba 197, 25 907 Harp. = Et. M. 273, 47, Et. Gen.; cf. Bk. 238, 4 908 λέγουσιν—ῥιζοτομίαν Laert. 1, 112 909 = Ba 197, 26 910 sch. Thuc. 1, 49, 3 et 2, 89, 8 911 cf. sch. Ar. Av. 768, H v. διαπερδικίσαι, Et. M. 269, 37 (= fr. com. ad. 87)

900 cf. Z 549 901 Z 544 902 Z 517 et 544 904 cf. 574 et 591 905—6 Z 544 907 cf. vv. A 947, Ε 546, K 1257 909 Z 544 910 Z 517 911 cf. v. Ε 562

1 διεχώρησε AF 11 ἀντὶ τοῦ om. AF; post gl. lac. in omn. A(GIFVM) 13 λέγουσι—λαλεῖν om. I τὸ λαλεῖν om. F 14 ἐμιμήσατο Zon. sch. Kust.: ἐμιμήσαντο omnes 17 διεταράχθησαν V Zon. 18 ἐξηπάτησεν] ἐξήτασεν Harp. Et. 19 κώδωσιν ἐκτὸς V 23 ἕνα GM: α′ AIFV τινά Laert. 24 Διεκπέσαντες] Διεκπαίσαντες Kust. Valck. 27 εἰς] ἐκ A ἀναχωρήσεις V 911 om. A post 909 I; extra ordinem 28 ἐκφυγεῖν] ἀποφυγεῖν GI ἀπὸ] ἐκ V

Δ 912 Διέκυψαν. χόρτῳ παραπλησίως ἀπὸ τῆς γῆς διακύψαντες
E ἤνθησαν.
Ps. 913 Διελέσθαι: διαμερίσαι.
Δ 914 Διέλιπεν: ἀφῆκεν.
Ar. 915 Διεμήρισαν ἄνδρες ἐρασταί. καὶ Διαμηρίζοιμι, ἀντὶ τοῦ συνουσιάσοιμι. Ἀριστοφάνης· τῆς διακόνου πρώτης ἀνατείνας τὼ σκέλη διαμηριῶ.
Ar. 916 Διεμπολᾶν: τὰ πρὸς πραγματείαν ἐπιτήδεια ἀγοράζειν.
Suid. 917 Δι' ἐναντίας.
Σ+Ar. 918 Διενέγκαντες: ὑπερενέγκαντες. πολλὰ γὰρ δὴ πράγματα διήνεγκαν μεθ' ἡμῶν, εἰσβολάς τε καὶ μάχας. καὶ αὖθις· οὕτω δὲ διενέγκαντός μου ἐπὶ μῆνα ἡμερῶν.
E 919 Διενεγκεῖν: ἀγαγεῖν. Εὐνάπιος· κατὰ τούτους τοὺς χρόνους ὑπὸ τῆς ἀνδρώδους γυναικὸς ἔργον τι κατετολμήθη καὶ συνεπράχθη γενναῖον οὕτω καὶ ἀνδρῶδες ὥστε ἄπιστον εἶναι διενεγκεῖν εἰς τὴν
Synt. διήγησιν. καὶ Διενέγκω· δοτική. καὶ Διενέγκης· αὐθυπό-
Δ τακτον.
Δ 920 Διενήνοχα: διαφέρω.
Harp. 921 Δι' ἐνιαυτοῦ: ἀντὶ τοῦ δι' ὅλου τοῦ ἐνιαυτοῦ· καὶ δι' ἡμέρας ἀντὶ τοῦ δι' ὅλης τῆς ἡμέρας.
Synt. 922 Διένοχλῶ σοι· καὶ αἰτιατική.
Δ 923 Διεντέρευμα: τὸ ἐρώτημα.
E 924 Διεξάγοντας: διοικοῦντας. μεθυσκομένους καὶ ῥᾳδίως διεξάγοντας τὰ κατὰ τὴν φυλακήν.
E 925 Διεξέπεσε· τὰ ὅπλα ἀνελόμενος διεξέπεσε διὰ τῶν πολεμίων. τουτέστι διήλασε, διῆλθε, διέφυγεν.
E 926 Διέξειν: ὑπάρξειν. οὕτω γὰρ διέξειν τὰς χεῖρας καὶ φροντιεῖν τοῦ μηδὲν ἀδίκημα ποιήσειν τὸν Προυσίαν εἰς αὐτούς.
Δ 927 Διεξῆεσαν.
Δ 928 Δίεξιν: διεξέλευσιν.

913 = An. Ox. 2, 432, 26 cf. H 914 = Ambr. 716 915 — ἐρασταί Ar. Av. 706; διαμηρίζοιμι—συνουσιάσοιμι sch. Ar. Av. 668; τῆς sq. Ar. Av. 1253—4 916 sch. Ar. Ach. 971 918 — ὑπερενέγκαντες cf. Ba 197, 27 = Σ^{a} v. ξυνδιήνεγκαν πόλλα—μάχας Ar. Eq. 596—7 919 κατὰ—διήγησιν Eunap. fr. 101, FHG 4, 54 920 = Ambr. 719 cf. H = Zon. 549 921 Harp. cf. An. Ox. 2, 492, 28 923 = Ambr. 638 cf. sch. Ar. Nu. 166 924 μεθυσκομένους sq. Polyb. 4, 57, 3 926 οὕτω sq. Polyb. fr. 127

912 Z 545 915 init. cf. v. A 3442 916 Z 545 918 cf. v. ξυνδιήνεγκαν 918—9 Z 545 923 Z 525 924—6 Z 545 928 Z 517

A(GITFVM) 912—3 om. T 913 om. FV mg. A post 909 G 6 τὼ] τὰ A τὸ I 917 ex mg. AI 10 ὑπερενέγκαντες] ὑπενέγκαντες Ba Σ, om. F 11 οὕτω sq. locus obscurus Bhd.; vs. 12 μὴ ἡμέρας coni. Dr. 14 τῆς om. V 16 καὶ pr.—αὐθυπότακτον om. FV; καὶ alt.—αὐθυπότακτον mg. M 923 inc. rursus T 27 ὑπάρξειν] ἀπείρξειν pr. 29 διῆλθον add. T διαμαχέσαν περὶ τῆς χώρας add. F cf. p. 85, 1

929 Διεξιφίσω: διεμαχέσω περὶ τῆς χώρας. ἐν Μαραθῶνι πολεμήσας Ar.
πρὸς τοὺς Μήδους τοῖς ξίφεσι κατ' αὐτῶν ἐχρήσω. Μαραθὼν δὲ
τόπος τῆς Ἀττικῆς, εἰς ὃν ἐνωρμίσατο Δᾶτις καὶ Ἀρτάβαζος Μηδικοὶ
στρατηγοῦντος, μόνων Πλαταιέων συμμαχησάντων αὐτῷ χιλίοις ἀνδράσι καὶ
οὕτω πληρωθέντος τοῦ ἀριθμοῦ τῆς Ἑλληνικῆς δυνάμεως τῆς Περσικῆς
καὶ τοῖς Ἕλλησι τῆς ἐλευθερίας αἴτιοι κατέστησαν, μόνοι ἐξ ἁπάντων
τῶν Ἑλλήνων τὸν πρῶτον τῶν Περσῶν διαφθείραντες.

930 Διεξοδικούς· περὶ διαλεκτικῆς φησιν ὁ Ἀφροδισιεὺς Ἀλέξαν- Phil.
δρος, ὅτι διαφέρει ἡ διαλεκτικὴ τῆς ῥητορικῆς τῷ τὴν διαλεκτικὴν
περὶ πᾶσαν ὕλην τῇ δυνάμει χρῆσθαι καὶ μὴ διεξοδικοὺς ποιεῖσθαι
τοὺς λόγους, ἀλλ' ἐν ἐρωτήσει καὶ ἀποκρίσει (ἀπὸ γὰρ τούτου καὶ
ὅλον τὸ ὄνομα αὐτῇ), καὶ καθολικωτέρας καὶ κοινοτέρας τὰς ἀπο-
φάσεις ποιεῖσθαι, τὴν δὲ ῥητορικὴν μήτε περὶ πᾶσαν ὕλην ὁμοίαν εἶναι
τῇ διαλεκτικῇ (περὶ γὰρ τὴν πολιτικὴν μᾶλλον ὁ ῥήτωρ), καὶ διεξοδι-
κῶς γε ὡς ἐπὶ τὸ πλεῖστον χρῆσθαι λόγῳ καὶ περὶ τῶν καθέκαστα
μᾶλλον λέγειν πρὸς περιστάσεις καὶ τύχας καὶ καιροὺς καὶ τὰ πρόσωπα
καὶ τοὺς τόπους καὶ τὰ τοιαῦτα τοὺς λόγους σχηματίζει, ἅπερ ἐν τοῖς
καθέκαστά ἐστι· περὶ τοιούτων γὰρ αἵ τε συμβουλαὶ καὶ τὰ ἐγκώμια
καὶ αἱ δίκαι. Διεξοδικοὺς οὖν ἀντὶ τοῦ πλατυτέρους, καθολι-
κωτέρους. Διεξῳδηκὸς δὲ τὸ διωγκωμένον. Δ

931 Διεξοδικῶς: λεπτομερῶς. καὶ Διεξοδικώτερον, λεπτο- Δ
μερέστερον.

932 Διέξοδοι: ἐκπνοαί, ἐκκρίσεις. λήθουσι γάρ τοι καὶ ἀνέμων
διέξοδοι θήλειαν ὄρνιν, πλὴν ὅταν τόκῳ σπαρῇ. ἔστι δὲ ταῦτα ἐκ
τοῦ Οἰνομάου Σοφοκλέους.

933 Διεξόδους ὑδάτων: ἀντὶ τοῦ κρουνηδὸν ἐφέροντο τὰ δάκρυα. Thdr.
Δαβίδ· διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου. Διέξοδοι Ps.
οὖν ὑδάτων οἱ ὀχετοί.

934 Διεπεραιώθη: διειλκύσθη, διῆλθε. κολεῶν ἐρῦστὰ διεπεραιώθη Soph.
ξίφη. ἀντὶ τοῦ ἐγυμνώθη. εἰ μὴ γὰρ εἰς πέρας ἑλκυσθῇ, οὐκ ἐξέρχεται.

929 sch. Ar. Eq. 781 930 — vs. 21 δίκαι Alex. Aphr. 5, 7—16
vs. 21 Διεξοδικοὺς—πλατυτέρους cf. L 931 — λεπτομερῶς aliter Ambr. 856, H
932 λήθουσι sq. Laert. 4, 35; Soph. fr. 436 933 — μου Thdr. in Ps. 118, 136,
PG 80, 1864a b Διέξοδοι sq. fort. in Ps. 1, 3 cf. An. Ox. 2, 432, 15
934 Soph. Ai. 730 c. sch.

929 cf. Z 545 932 hinc v. λήθω 933—8 Z 517

3 ἐνωρμήσατο V ἐνορμήσατο F Ἀρτάβαζος] Ἀρταφέρνης E cf. 89 et A(GITFVME)
Hdt. 6, 119 7 τῆς Περσικῆς om. V cf. sch.; τῆς τε Περσικῆς δυνάμεως περι-
εγένοντο, omissis τῆς Ἑλληνικῆς, ed. pr. 8 αἴτιον M 10 φησιν] φύσεως F
19 τόπους] πόδ⟨ας⟩ V 25 λήγουσι GI 26 τόκος παρῇ Laert. παρῇ τόκος
Plut. qu. conv. 8, 1, 5 p. 718a 28 κρανηδὸν V 29 διέξοδοι—30 ὀχετοί
om. FV 31 ἐρυσταὶ V 32 ξίφη AT: ξίφει rell.

Δ? 935 Διέπεσεν: ἀπέτυχεν. καὶ ἡ μὲν κατὰ τὸν Βιθίαν ἐλπὶς
E τούτῳ τῷ τρόπῳ διέπεσεν.
Σ 936 Διέπει: ἐνεργεῖ, διοικεῖ, καθίσταται.
937 Διεπίμπρατο.
Σ 938 Διέπτυξε: διεσαφήνισεν.
Σ 939 Διεπυνθάνετο: ἠρώτα.
Suid. 940 Διερά· ὅτι τὰ χείλη τῶν ποταμῶν ἄνδηρα λέγουσι διὰ τὸ εἶναι ἔνικμα καὶ διερά.
E 941 Διεργάζεται: ἀναιρεῖ, κτείνει. Ἰώσηπος· πλήξας δὲ αὐτὸν κάτωθεν ἐπὶ τὸν βουβῶνα δόρατι παραχρῆμα διεργάζεται. καὶ
Σ Διεργασθείς, ἀναλωθείς.
Σ 942 Διερέττοντα: διακωπηλατοῦντα.
Synt. 943 Διερευνῶ· αἰτιατικῇ.
Σ 944 Διέρρει: δύο σημαίνει, τὸ διεφθείρετο καὶ ἀντὶ τοῦ ἐπεφήμιστο.
E διέρρει δὲ φήμη λέγουσα καὶ εὐπατρίδην αὐτὸν εἶναι.
Σ 945 Διερειδόμεθα: στηριζόμεθα.
Call. Δ 946 Διερήν: δίυγρον. καὶ Διερός, ὁ ὑγρός.
Σ? 947 Διερικνοῦντο: διεκαμπυλοῦντο.
EL 948 Διέρριψαν· τήν τε οὐσίαν καὶ τὰ ὀστᾶ αὐτοῦ, ἐπειδὴ φθάσας ἑαυτὸν προαπεχρήσατο, διέρριψαν.
Synt. 949 Διερμηνεύω· δοτικῇ.
Δ 950 Διερρωγώς: διεσχισμένος. καὶ Διερρωγότα.
E 951 Διερρύη: διέδραμε, διῆλθε. τὸ γάρ τοι κλέος τῶν τετολμημένων
E+Σ διερρύη πολύ. λέγεται καὶ διέρρει. Αἰλιανός· διέρρει τοίνυν ὑπὲρ τῆς ἀνθρώπου κλέος σοβαρώτατον. ἀντὶ τοῦ λαμπρόν, ἐπηρμένον.
Ar. 952 Διερρυηκόσιν· ἠλίθιον ἐφθέγξω καὶ τοῖς χείλεσι διερρυηκόσι. τουτέστι μωρῶς καὶ ἀνοήτως καὶ ἀπαιδεύτως, καὶ τοῖς χείλεσι κεχαλασμένοις καὶ κεχηνόσιν· ἀντὶ τοῦ οὐ συνεστραμμένοις.

936 = Ba 198, 1 cf. H, Zon. 549, Eust. O. 1705, 53 (= Ael. D. fr. 128), sch. B 207, Ap. S. 58, 28 938 = Ba 198, 2 939 = Ba 198, 3 941 πλήξας —διεργάζεται Ios. Bell. III 335 διεργασθείς sq. = Ba, Σ[a] 942 = Σ[a]; Ba 198, 5 = Ambr. 715 cf. H 944 διεφθείρετο = Ba 198, 6 διέρρει sq. Aelian. fr. 210 945 = Ba 198, 4 cf. H, sch. Eur. Hec. 66 946 — δίυγρον cf. sch. Luc. 195, 22, H v. διερούς, sch. Ar. Nu. 337, Ap. S. 58, 31 veris. sch. in Call. fr. 7 K., 245 S. Διερός sq. = Ambr. 463, Et. M. 274, 1 cf. H v. διερόν, Apion 947 cf. H, glossa comica sec. Bhd. 948 Cass. D. fr. 36 = EL 410, 7—8 949 = Synt. Laur. 950 — διεσχισμένος cf. Ambr. 667 Διερρωγότα cf. H 951 τὸ—πολύ Aelian. fr. 211 διέρρει alt.—σοβαρώτατον Aelian. fr. 12 952 Ar. Nu. 872—3 c. sch. plenior.

935 — ἀπέτυχε cf. 691. καὶ sq. hinc v. B 283 938 Z 545 939 cf. 721 940 ex v. A 2145 941 cf. 993. Z 545 944 Z 545 946 Z 517 947 Z 546 951 cf. v. σοβαρός 2 952 Z 546

A(GITFVM) 937 om. ATFV 940 om. TFV mg. A post 937 GIM, sed ordinem correxit M 17 ὑγρός] δίυγρος F 23 et 24 Διερρύν A 27. 28 κεχαλασμένοις Bas.: κεχαλασμένος AF κεχαλασμένως GIVM cp. T

953 Διεσαρδάνισε: διεγέλασεν, οὐκ ἐπὶ διαχύσει, ἀλλ' οἷον Σαρ- Σ
δάνιον γέλωτα.

954 Δίεσιν: διαχωρισμόν. καὶ ἡ πρὸ μουσικῆς ᾠδῆς κίνησις. Σ
δίεσις λέγεται τὸ ἐλάχιστον μέτρον τῶν ἐναρμονίων διαστημάτων, ὅπερ
ἀπολωλὸς ἐκ τῆς ἡμετέρας αἰσθήσεως καὶ τὸ ἐναρμόνιον προσαπώλεσεν,
ἀγυμνάστου πρὸς αὐτὸ τῆς ἀκοῆς ἀπολελειμμένης.

955 Δίεσις: τὸ χώρισμα. ἢ ἄνεσις. Δ |

956 Διεσκαριφησάμεθα: ἀντὶ τοῦ διελύσαμεν. σκάριφον γάρ ἐστι Σ
τὸ κάρφος καὶ φρύγανον. ἔστι δὲ τὰ τοιαῦτα εὐδιάλυτα καὶ εὐφύσητα.
οὕτως Ἰσοκράτης. σκαριφήσασθαί ἐστι τὸ ἐπισεσυρμένως τι ποιεῖν Harp.
καὶ μὴ κατὰ τὴν προσήκουσαν ἀκρίβειαν.

957 Διεσκεδασμένον: διατετυπωμένον. καὶ Διεσκέδασε, δι- Σ Ps.
εσκόρπισεν.

958 Διεσκευασμένην: μετὰ δόλου γεγραμμένην. Πολύβιος· ἐκ- E
πέμπουσι τῶν Κρητῶν τινας ὡς ἐπὶ ληστείαν δόντες ἐπιστολὴν δι-
εσκευασμένην.

959 Διεσκήριπτεν: ἐπεστήριζεν. ἦλθε πόθ' ἑρπύζουσα σὺν δρυὸς Anth.
ξύλῳ, τό μιν διεσκήριπτε τὴν τετρωμένην.

960 Διεσκίασται: ἀποκέκρυπται. Σ

961 Διεσμιλευμένον: διεσχισμένον, ἠκριβωμένον, ἐξεσμένον, περι- Σ
κεκαθαρμένον.

962 Διεσπαθηκότα: διερριφότα.

963 Διεσπευσάμην: ἀντὶ τοῦ διὰ σπουδῆς ἐποιησάμην. ἢ ἀντὶ τοῦ
διεπραξάμην.

964 Διεσπλεκωμένῃ· Ἀριστοφάνης Πλούτῳ· οὐκ ἂν διαλεχθείην Ar.
διεσπλεκωμένῃ ὑπὸ μυρίων ἐτῶν τε καὶ τρισχιλίων. τὸ πλέκειν ἐπὶ
τοῦ συνουσιάζειν τάττουσιν, οὐχ ὡς προηγουμένως τοῦ σημαινομένου,
ἀλλ' ὁμοίως πολλοῖς συμβολικοῖς ὀνοματοποιοῦντες, καὶ μάλιστα ἐν
οἷς τὸ εὐθυρημονεῖν ἐνίσταται.

965 Διέστειλεν: ἀντὶ τοῦ οὐκ ἀναμφιβόλως ἐχρήσατο τοῖς λόγοις. Thdr
περὶ Μωσέως δέ ἐστι. Δαβίδ· καὶ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτῶν.

953 = Et. M. 273, 45, Et. Gen. 954 — διαχωρισμόν = Ba 198, 7; μουσικῆς cf. H δίεσις sq. Dam. fr. 127 cf. Phot. Bibl. 344 b 19—22 955 — χώρισμα = Ambr. 546, Et. Gud. 956 = Et. M. 273, 33, Et. Gen.; — εὐφύσητα = Bk. 239, 20; Isocr. 7, 12 σκαριφήσασθαι sq. Harp. = An. Ox. 2, 492, 30 957 — διατετυπωμένον = Ba 198, 9 cf. H Διεσκέδασε sq. cf. An. Ox. 2, 432, 20 = Zon. 550; H 958 ἐκπέμπουσι sq. Polyb. 7, 14 b 959 ἦλθε sq. Anth. 6, 203, 3—4 960 = Ba 198, 8 961 = Ba 198, 10, Et. M. 273, 53, Et. Gen.; ἠκριβωμένον cf. H 964 Ar. Pl. 1082—3 c. sch. plenior. 965 Thdr. in Ps. 105, 33 PG 80, 1730 c, 1732 a

953 Z 546 955 Z 517 956 hinc v. σκάριφον 958 Z 546 959 cf. v. Γ 428, v. Παιώνιον, v. πύστεις 960 Z 546 963 Z 546 964 cf. v. πλεκοῦν partim hinc 965 Z 546

1. 2 Σαρδώνιον V Zon. cf. Et. 3 πρὸ] προκατὰ FV 4 μέτρον om. V A(GITFVM)
ἁρμονίων A 5 προσαπώλεσας M 10 ἐπισεσυρμένοις FV 12 καὶ—διεσκόρπισεν om. FV 12. 13 καὶ διεσκόρπησεν A 14 Διεσκεδασμένον A
15. 16 διεσκεδασμένην A 17 ἐπεστήριξεν IV

Δ 966 Διεσφαιρίσθη: ὥσπερ σφαῖρα κατηνέχθη.
Ar. 967 Διεσφηκωμένον: διαδεδεμένον.
Σ 968 Διέσχεν: διῆλθεν. Ἀρριανός· οἱ μὲν γὰρ διέσχον τὴν φά-
Ε λαγγα ἀντὶ τοῦ διεχώρισαν· τῶν δὲ ὑπερκυλισθεῖσαι αἱ ἅμαξαι ὀλίγα ἔβλαψαν.
Δ 969 Δίεται: διέρχεται.
970 Διέτεινε: διαρρήδην εἶπεν.
971 Διετέτατο· ἀλλ' οὐ διετέτατο. ξύλοις τέσσαρσι διετέτατο.
Harp. 972 Διετείνοντο: ἰδίως Ἀντιφῶν. ἀντὶ τοῦ διὰ συντόνου σπουδῆς ἀπηρνήσαντο.
973 Διετής, διετοῦς. ἀπὸ διετοῦς καὶ κατωτέρω. ὁ Εὐαγγελιστής.
Ε 974 Διετίτρη· τῶν Λιβύων τὰ σκάφη μικρὰ ὄντα, ταῖς Ῥωμαϊκαῖς ναυσὶν ὑποτρέχοντα διετίτρη τὰς πρύμνας καὶ τὰ πηδάλια ἐξέκοπτεν.
Δ 975 Διευθετῶ: τὸ καλῶς διατίθεμαι.
Σ 976 Διευκρινῆ: σαφῆ. καὶ Διευκρίνησις, ἡ σαφήνεια.
Σ 977 Διευκρινημένοι: διακρίνοντες. καὶ Διευκρινήσας, καλῶς
Ε διαχωρίσας. τοὺς ἀλκιμωτάτους τοῦ πλήθους διευκρινήσας.
Δ 978 Διευφημῶ, Διαφημίζω δέ.
Ε 979 Διέφερον· Ἀππιανός· οἱ δὲ Κελτοὶ ἐς Ῥωμαίους τι μήνιμα ἐκ πολλοῦ διέφερον. ἀντὶ τοῦ εἶχον, ἐνεκότουν.
Thuc. 980 Διέφερον: παρὰ Θουκυδίδῃ ἀντὶ τοῦ διήνυον ἢ ὑπέμενον ἢ
Ε ἐπιμελῶς ἐξήνυον. οἱ δὲ Ἀθηναῖοι τὸν πόλεμον διέφερον.
Ε 981 Διεφθαρμένος: τοῦ πρέποντος παρατραπεὶς τὸν νοῦν. ἤδη γὰρ Ἀντώνιος τῷ Κλεοπάτρας ἔρωτι διεφθαρμένος ἥττων ἦν ἐν πᾶσι τῆς ἐπιθυμίας.
Ε 982 Διεφορήθη· χρημάτων δὲ ἄπιστον πλῆθος διεφορήθη. ἀντὶ τοῦ ἐξηνέχθη, ἐξεκομίσθη.
Thuc. 983 Διεφόρησαν: μετεκόμισαν. τάς τε καταλειφθείσας ἐν τῷ
Ε χάρακι κατασκευάς, πολλαὶ δ' ἦσαν, ὡς ἐς χρόνιον πολιορκίαν διεφόρησαν.

966 = Ambr. 690 967 sch. Ar. Vsp. 1072 cf. H 968 — διῆλθεν = Ba 198, 12, H, sch. Υ 416 οἱ sq. Arr. Exp. 1, 1, 10 c. expl. 969 = Ambr. 723 aliter Ap. S. 58, 35 = H 971 ξύλοις sq. fort. Metaphr. 972 Harp. cf. An. Ox. 2, 492, 33; Antiph. 5, 46 973 Matth. 2, 16 974 App. Lib. 122 975 aliter Ambr. 776 976 — σαφῆ = Ba 198, 13, Σ^a cf. H 977 — διακρίνοντες = Ba 198, 14 cf. H τοὺς sq. Th. Simoc. 2, 10, 8 979 οἱ—διέφερον App. fr. III p. 14, 10 Schweigh. 980 — ἐξήνυον sch. Thuc. 1, 11, 2 οἱ sq. Thuc. 1, 11, 2 981 ἤδη sq. Ios. Bell. 1, 359 cf. Byz. Zt. 23, 84, 1 (falso Arr. Parth. fr. 23) 983 — μετεκόμισαν cf. sch. Thuc. 6, 100, 3 τάς sq. Arr. Parth. fr. 29, 2

966 Z 546 968 Z 546 970 Z 546 972 Z 546 974—81 Z 547 978 cf. 823 982—3 Z 548

A(GITFVM) 4 διεχώρησαν AGIT 969—70 om. T 971 om. TVF post 968 GIM 8 Διετέτατο] Διατέτατο GM^{oc} 973 om. FV post 971 AGI post 975 T 15 Διευκρινεῖ IM^{ac} Σ^a cf. H καὶ—σαφήνεια om. FV ἡ om. M 19 μήνιμα] τιμὴν μὰ A 29 χρόνον A

984 Δι' ἔχθρας γενήσομαι: ἀντὶ τοῦ ἐχθρὸς ἔσομαι. Ἀριστο- Ar.
φάνης· οὐ γὰρ δι' ἔχθρας οὐδετέρῳ γενήσομαι. τὸν μὲν γὰρ ἡγοῦμαι
σοφόν, τῷ δὲ ἥδομαι. τὸν Αἰσχύλον σοφόν, ἥδομαι δὲ τῷ Εὐριπίδῃ.
985 Διεχρήσατο· αἰτιατική. Suid. + Synt.
986 Διέχουσαν: ἀπῳκισμένην οὖσαν. ἐς Σελεύκειαν πόλιν ἐπι- EL
θαλασσίαν ἀφίκετο, Ἀντιοχείας ρ' καὶ λ' σταδίους διέχουσαν.
987 Διεψευσμένοι: ἠγνοηκότες. Πολύβιος· πάντων τούτων ἦσαν E
διεψευσμένοι οἱ Αἰτωλοί. καὶ αὖθις· διεψεύσθησαν δὲ τοῖς λογισμοῖς· E
κατετάχησε γὰρ αὐτοὺς Ἀννίβας ἐξελὼν τὴν πόλιν.
988 Διζημένη καὶ Διζήμενος, ζητῶν. Δ
989 Διειδές: λαμπρόν, διαυγές. καὶ καθαρὸν ὕδωρ. Σ Δ
990 Διεῖλεν: ἐχώρισεν. Δ
991 Δίειμι: διέρχομαι. Σ
992 Διεῖπεν: διῴκει, περιήρχετο. Σ
993 Διειργάσατο: ἐφόνευσεν, ἀπέκτεινεν. ὁ δὲ καὶ τῶν ἄλλων E
ἑκάτερον διειργάσατο.
994 Διείργω· γενικῇ. οὔτε ἡ ἀρχὴ τῷ ἀρχῇ εἶναι τοῦ ἀνάρχου διείργεται. Synt.
αἰτιατικῇ δέ· οὐ μόνον πλοῦτον διεῖργον τῶν ὀρεκτῶν κόλπων τοῦ Ἀβραάμ.
995 Διείρεο. Δ
996 Διείρουσι: τὸ ἐπιβάλλουσιν. Δ
997 Διειρωνόξενοι: ἐξαπατῶντες τοὺς ξένους καὶ ψευδόμενοι δι' Ar.
εἰρωνείας καὶ ὑποκρίσεως. οἱ Λάκωνες· παρ' οἷς καὶ ὁ τῆς ξενηλασίας
ἔκειτο νόμος. ὅτι δὲ αἰσχροκερδεῖς καὶ μικρολόγοι οἱ Λάκωνες, δηλοῖ
ὁ χρησμός· ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ, ἄλλο δὲ οὐδέν. ἦσαν δὲ
καὶ περὶ τοὺς ξένους ἀπάνθρωποι, καὶ οὐκ ἐξὸν ξένῳ τινὶ ἀεὶ τῆς
Σπάρτης ἐπιβαίνειν, ἀλλ' ὡρισμέναις ἡμέραις.
998 Διείς: ἐκτείνας, ἁπλώσας. διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο
αὐτούς.
999 Δίειςι: διέρχεται. Δ
1000 Διῆγε: παρεξέτεινεν. Ἰωάννης Ἀντιοχεύς· ὃς ἐρυμνὰ χωρία E

984 Ar. Ran. 1412—3 c. sch. plenior. 985 cf. Synt. Laur. 986 ἐς sq. Proc. bell. 2, 11, 1 = EL 100, 10—11 987 πάντων—Αἰτωλοί Polyb. fr. 30 διεψεύσθησαν sq. Polyb. 3, 16, 6 988 l. cf Ambr. 569; H = sch. Δ 88; Διζήμενος sq. = Ambr. 721 989 — διαυγές = Ba 197, 20 cf. H, gl. Dionys. PG 4, 25 καθαρὸν sq. = Ambr. 628 cf. Artem. 2, 27 init. 990 = Ambr. 711 991 = Ba 197, 21, H, Ambr. 694 992 = Ba 197, 22 cf. sch. B 207 993 ὁ sq. Proc. bell. 4, 20, 16 994 γενικῇ et αἰτιατικῇ cf. Synt. Laur.; οὐ sq. Greg. Naz. PG 36, 445b 995 cf. Ambr. 727 = H (in A 550) 997 sch. Ar. Pac. 622 998 — ἁπλώσας aliter Ambr. 668 διεὶς sq. Deut. 32, 11 999 cf. Ambr. 669 1000 ὃς sq. Io. Antioch. fr. 52, FHG 4, 557

985 Διεχρήσατο ex v. A 2810 986 Z 548 989 Z 524 991 cf. 1039 993 cf. 941 999 cf. 1039 1000 cf. v. A 1528

985 om. FV mg. AM 12 ἐχώρησεν A διεχώρεσεν F 994 om. TFV mg. A A(GITFVM)
18 δέ] δὲ οὕτως GI οὐ om. A πλοῦτον μόνον A 22 ἀποκρίσεως A
23 αἰσχροειδεῖς FV 30 Ἰωάννης] Ἰω VM Ἰώσηπος AGF Ἰώσηπος Ἰω I
Ἀντιοχεύς F Kust.: Ἀντιοχείας V Ἀντίοχος AGl cp. M

κατειληφὼς ἐπὶ πολὺ διῆγε τὸν πόλεμον, ἀμβλύνων τὴν τοῦ Ἀννίβου ὀξύτητα χρονίαις διατριβαῖς.

Σ 1001 Διηγκυλημένον: τὸ ἀκόντιον μεταχειριζόμενον. ἀντὶ τοῦ
E ἐν μασχάλῃ κρατῶν τὸ δόρυ. Ξενοφῶν· ὁ δὲ πᾶσι παρήγγελλε διηγκυλημένους ἰέναι, ὡς ὁπόταν σημήνῃ ἀκοντίζειν δεήσοι· καὶ τοὺς τοξότας ἐπιβεβλῆσθαι ἐπὶ ταῖς νευραῖς, ἢ οὕτως ὡς ὁπόταν σημήνῃ, τοξεύειν δεῆσον. καὶ τοὺς γυμνῆτας λίθων ἔχειν μεστὰς διφθέρας.

Σ 1002 Διηθεῖν: διυλίζειν. καὶ Διηθεῖται, ἀφυλίζεται. Δι-
Δ ήθησις γὰρ ἡ διύλισις.

Δ 1003 Διῆκαν: διέπεμψαν.

Σ 1004 Διήκει: διέρχεται. ὁ δὲ εἶπεν, ἀλλὰ πιστεύω· πάνυ γάρ σου κλέος ἐπ' ἀρετῇ διήκει.

Σ 1005 Διήκουσαν: διελθοῦσαν, διερχομένην.

Δ| 1006 Διήκουσεν. ἠκροάσατο.

Harp. 1007 Διήλλαξεν: ἀντὶ τοῦ μετήλλαξεν, ἐτελεύτησεν. ἢ ἀντὶ τοῦ
Δ ἤμειψεν.

Δ 1008 Διήλυσις: ὁ χωρισμός.

1009 Διήνεγκαν· γενικῇ. ὑπέμειναν, ἐκαρτέρησαν. Προκόπιος·
E Ῥωμαίων δὲ ἱππεῖς ἦσαν ἄρχοντες ἱππέων, οἳ τὰ πρότερα τὴν ἐς Δάρας μάχην διήνεγκαν. τουτέστιν ὑπερήνεγκαν, ἢ διεπράξαντο.
E καὶ αὖθις· ἐπ' ἐννέα διήνεγκε τὴν πολιορκίαν ἔτη.

Σ 1010 Διηνέχθη: ἐμαχέσατο.

Suid. 1011 Διηνθισμένας: ἐκ τοῦ διανθίζω, τοῦ τὰ ἄνθη συλλέγω.

Σ+E 1012 Διηρέθιζεν: ἀνεκίνει, ἀνετάραττεν, ἀνερρίπιζεν. ὁ δὲ τὸ θηριῶδες καὶ ἄγριον ὑπεκίνει καὶ διηρέθιζεν, εἴ που κύριος γένηται τοῦ χωρίου.

1013 Διῆρες πλοῖον.

E 1014 Διήρει: διέτεμε, διεμέριζεν. ὁ δὲ πρεσβύτης ὢν διήρει τὰς μοίρας τῶν κρεῶν.

Δ 1015 Διήρηκε: διεχώρισεν.

Δ 1016 Διήρης ναῦς: ὑπὸ δύο ἐρετῶν ἐλαυνομένη.

Δ 1017 Διήρησαι: δέδεσαι.

1001 vs. 4 ὁ sq. Xen. An. 5, 2, 12 1002 — διυλίζειν Tim. cf. H, Ambr. 720, L Διηθεῖται, ἀφυλίζεται = Ba 198, 18 Διήθησις sq. = Ambr. 552 cf. H 1004 — διέρχεται = Ba 198, 19 ὁ sq. fort. Iambl., ad Soph. OC 305—6 allud. 1005 = Σ^a cf. H, Ba 198, 20 1007 — ἐτελεύτησεν Harp. cf. An. Ox. 2, 492, 32 ἤμειψεν = Ambr. 689 1008 cf. H; aliter Ambr. 554 1009 — γενικῇ cf. Bk. 135, 5, Synt. Laur. Ῥωμαίων—vs. 20 διήνεγκαν Proc. bell. 1, 18, 6 1010 = Ba 198, 21, Σ^a, H 1012 — ἀνερρίπιζεν cf. ad v. A 2309 ὁ sq. fort. Aelian. 1014 ὁ sq. Iambl. fr. 4[a] 1015 cf. Ambr. 714 et 728 1016 = Ambr. 556, Et. Gud.; l. = H 1017 = Ambr. 728b cf. H v. διήρτησαι

1001 Z 551 1002 hinc 1285 1007 Z 551 1009 hinc 68. Z 551 1010 Z 551 1011 ex 672 1012 hinc v. A 357; cf. v. A 2309

A(GITFVM) 4 παρήγγελε A^{ac}TVM 6 ἢ οὕτως om. FVM 7 δεήσων GM 9 διύλησις FV item vs. 17 cf. 1285 14 ἠκροάσατο om. FV 19 πρότερον GIM 20 ὑπήνεγκαν F 1011 om. ATFV 28 διέτεμνε coni. Bhd. 31 ὑπὸ] ἡ ὑπὸ T Ambr.

1018 Διηρθρωμένον: δεδηλωμένον, ἠκριβωμένον. Σ

1019 Διήρκεσε: διέμεινε, παρέμεινεν. αἱ δὲ ἐντολαί, ἃς τοῖς Σ E
βασιλεῦσιν ἐνετείλατο, καὶ τὰ ἐπεσταλμένα τοῖς Κελτοῖς εἰς τοσόνδε
διήρκεσεν εἰς ἐπανόρθωσιν τῶν ἀδικημάτων ὥστε ἀπέδοσαν μὲν τὰ
ἁρπασθέντα. καὶ τὰ λοιπά.

1020 Διῆρξα: ἀντὶ τοῦ διὰ τέλους ἦρξα. Λυσίας. Harp.

1021 Διιπόλεια: ἑορτὴ Ἀθήνησιν, ἐπιτελουμένη Διί. Σ

1022 Διήρτησεν: ἐξηπάτησεν, ἐπλάνησεν. Σ

1023 Διήσειν: διαφήσειν. οὔς οὔτε δέξασθαι οὔτε διήσειν διὰ τῆς EL
χώρας ὠμωμόκεσαν.

1024 Διηύθυνεν: ἐκώλυσεν. Σ

1025 Διηυχενίζετο: ὑψηυχένει. ἕτερα δὲ οὐ πολύ τι μείω ἀν- E
ωρθοῦτο καὶ διηυχενίζετο, ἀλλὰ τούτων βαρύτερα καὶ κεραυνῷ προς-
εμφερῆ.

1026 Διηυχενίζετο: τὸν αὐχένα ὄρθιον εἶχεν. Εὐνάπιος· ὁ δὲ E
ἐπὶ τὰ λειπόμενα τῶν πραγμάτων διεξανιστάμενος ἀνωρθοῦτο καὶ
διηυχενίζετο πρὸς τὸν λεγόμενον Λέοντα, ὅπως αὐτὸν φονεύσειεν.

1027 Διήφυσεν: διέκοψεν. Hom.

1028 Διηχή: ἡ τῶν ἤχων διαπορθμευτικὴ δύναμις, ἢ διὰ τῶν μηνίγ- Phil.
γων καὶ τοῦ ἔνδοθεν πνεύματος ἐνεργεῖται.

1029 Διθυραμβοδιδάσκαλοι περὶ μετεώρων καὶ περὶ τῶν νεφε- Ar.
λῶν λέγουσι πολλὰ καὶ συνθέτους δὲ λέξεις ἐποίουν καὶ ἔλεγον ἐνδια-
εριαιερινηχέτους· οἷος ἦν Ἴων ὁ Χῖος, ὁ ποιητής. ἐποίησε δὲ ποίημα, οὗ
ἡ ἀρχή· ἀοῖον ἠεροφοίταν ἀστέρα μῆνα μὲν ἀελίου λευκῇ πτέρυγι
πρόδρομον. παίζων δὲ Ἀριστοφάνης ἀοῖον αὐτὸν ἀστέρα φησὶ κλη-
θῆναι. περιβόητος δὲ ἐγένετο. ἔγραψε δὲ κωμῳδίας καὶ ἐπιγράμ-
ματα· καταλογάδην καὶ Πρεσβευτικὸν λεγόμενον. καὶ Σωκράτους τοῦ
φιλοσόφου ἐστὶ λόγος εἰς αὐτόν. καὶ Καλλίμαχος ἐν Χωλιάμβοις
μέμνηται αὐτοῦ, ὅτι πολλὰ ἔγραψε.

1030 Διθύραμβος: ὕμνος εἰς Διόνυσον. ὁ δὲ Ἀπολλώνιος λόγων Σ
ἰδέαν ἐπήσκει οὐ τὴν διθυραμβώδη καὶ φλεγμαίνουσαν ποιητικοῖς ὀνόμασι.

1018 = Ba 198, 22 1019 — παρέμεινεν = Ba 198, 23 1020 Harp. = An. Ox. 2, 493, 1; Lys. fr. 177 1021 cf. Bk. 238, 21 et ad 1045 1022 cf. Bk. 241, 13; l. = Σ^{a}, Ba 198, 25 1023 οὓς sq. Cass. D. 71, 11, 3 = EL 431, 16—7 1024 = Σ^{a}, Ba 198, 24 1025 ἕτερα sq. Eunap. fr. 107, FHG 4, 55—6 1026 ὁ sq. Eunap. fr. 76, FHG 4, 48 1027 = Et. M. 274, 41, Et. Gen., sch. τ 450, Ap. S. 59, 1 1028 cf. Philop. 354, 15 1029 sch. Ar. Pac. 831 et 835; Ion. fr. 10 Bergk; Call. fr. 83 b S. 1030 — Διόνυσον Tim. = gl. Hdt. 1, 23 cf. sch. Pl. Rep. 394 c, Ambr. 472 ὁ sq. Philostr. 1, 17

1021 cf. 1045 1022 cf. 737 1026 cf. 809 1029 hinc v. Є 1174. cf. vv. Ι 487 et 489 1030 Philostr. cf. v. K 912

3 εἰς del. Bhd. 7 Διηπόλια F, ordo poscit Ἀθηναίων IM cp. A A(GITFVM)
12 μείων IT 20 ἐνεργεῖ coniecit Bhd. 1029—33 extra ord. 21 περὶ τῶν μετεώρων VM 23 οἷος] οὗ FV Ἴων] ἴσον V 24 μῆνα—25 ἀστέρα om. A μὲν ἀελίου] μετὰ ἕλίου I 26 κωμῳδίας sch., Kust.: κωμῳδίαν GF cp. AIVM 27 καὶ καταλογάδην sch.

Ar. 1031 Διθυράμβων νοῦν ἔχεις ἐλάττονα: ἐπὶ τῶν ἀδιανοήτων.
Σ 1032 Διθύροις: διπτύχοις, διπλαῖς θύραις.
Suid. 1033 Δίθυρcον· Ἀρριανός. τὸ δίθυρcον, τὸ λογχωτὸν καὶ τὸ περιcφύριον, οἷς ἀνέδην ἐβάκχευεν, ὅτ' ἐc Διόνυcον ἐφοίτα.
Σ 1034 Διιέναι: διέρχεcθαι.
Δ 1035 Διιέντα: ἐκπέμψαντα.
Δ 1036 Διίεται: διέρχεται.
Δ 1037 Διιθύτης: ὁ διευθύνων.
Σ 1038 Διιείc: διαπέμψας.
Δ 1039 Διίημι: διέρχομαι. καὶ Διίηcιν.
Δ 1040 Διικνείcθω· γενικῇ. φθασάτω. καὶ Διικνούμενοc, διερχόμενος.
Δ 1041 Δίιοc ὀργὴ καὶ Δίιοc βωμός.
Δ 1042 Διῖχθαι: διέρχεcθαι.
Σ 1043 Διιππαcία καὶ Ἀνιππαcία: τῶν ἵππων ἅμιλλα, ὥcπερ δὴ διωμοcία καὶ ἀντωμοcία τὸ αὐτὸ ἄμφω δηλοῖ.
Δ 1044 Διιπετέοc: τοῦ ὑπὸ Διὸc πληρουμένου.
Harp. Ar. 1045 Διιπόλεια: ἑορτή τις Ἀθήνηcι τὰ Διιπόλεια. καὶ Διιπολειώδη καὶ τεττίγων ἀνάμεcτα. Διιπόλεια, τὰ λεγόμενα Διάcια. ἑορτὴ οὕτωc ἐλέγετο, διότι τῷ Πολιεῖ Διὶ ἐθύετο.
Synt. 1046 Διίπταται· αἰτιατικῇ.
E 1047 Διιcθμήcαντα: τὸν ἰcθμὸν διαβιβάcαντα. παρεκάλει αὐτὸν βοηθεῖν, τοὺc λέμβουc διιcθμήcαντα.
Ar.? 1048 Διιcθμονίcαι: τὸ διὰ τοῦ Ἰcθμοῦ ἕλκειν τὴν ναῦν· ὅπερ ἐποίουν ἐν τῷ Ἰcθμῷ οἱ Κορίνθιοι.
Σ 1049 Διιcτάc: διαχωρίζων.
Σ 1050 Διίcταται· γενικῇ. διαχωρίζεται.

1031 l. sch. Ar. Av. 1393 1032 = Ba 198, 26 cf. H 1034 = Ba 198, 27 1035 = Ambr. 672 cf. H 1036 = Ambr. 723, H 1037 = Ambr. 437 cf. H 1038 = Σ^{a}, H cf. Ba 198, 28, Ambr. 668 et 662 1039 — διέρχομαι = Ambr. 694 Διίηcι cf. Ambr. 669 1040 γενικῇ cf. Synt. Laur. φθασάτω = Ambr. 670b Διικνούμενοc sq. = Ambr. 726, Ba 198, 30, H 1041 — ὀργή = Ambr. 619 Δίιοc βωμός = Ambr. 521 1043 = Sabb., Lex. rhet. in Et. Gen., Et. M. 274, 55 1044 = H, Ambr. 445, Et. M. 275, 12, sch. P 263 cf. Ap. S. 58, 33 1045 — Διιπόλεια sec. Harp. cf. sch. Ar. Pac. 419, H, Ambr. 653 καὶ pr. sq. Ar. Nu. 984 c. sch. cf. sch. Pac. 419—20, H, Et. M. 275, 1 1047 παρεκάλει sq. Polyb. 4, 19, 7 1048 cf. sch. Ar. Th. 648 1049 = Σ^{a} cf. Ba 198, 29, H 1050 γενικῇ cf. Synt. Laur. διαχωρίζεται = Ba 198, 31, H cf. Ambr. 708

1033 ex v. A 2220 cf. v. λογχωτόν et v. περιcφύριον 1036 Z 552 1039 cf. 991 et 999 1042 Z 552 1043 hinc 1235 extr., v. A 2475 et 2758 extr., Z 518. cf. v. A 2758 1045 cf. 1021 1047—8 Z 552 1048 cf. v. I 640

A(GITFVM) 1 διανοήτων V 1033 om. FV 1037 extra ord. 11 γενικῇ om. T, mg. I, fort. genuinum 15 ἅμιλλαι AIT 1044 om. G 18 καὶ ex FV 19 Διιπόλεια—20 ἐθύετο post 1048 GI(T) 19 οὐ Διιπόλεια FV 23 διιcθμήcια A

1051 Διίςχω cou, τὸ κρατῶ cou καὶ ἄρχω cou. καὶ Διιcχύω· Δ
γενικῇ. Syn.

1052 Διιcχυρίζομαι: ἀνθίσταμαι, ἀμφιβάλλω. περὶ τούτων οὐδὲν διιcχυρίζομαι.

1053 Διιτρέφης ἀνεπτέρωκεν: ἐπὶ τῶν ἀναπειθόντων ἐπί τι Ar.
πρᾶγμα. Ἀριστοφάνης· δεινῶς τέ μου τὸ μειράκιον ἀνεπτέρωκεν ὥcθ' ἱππηλατεῖν. οὗτος γὰρ πρότερον πυτινοπλόκος ἦν, ἔπειτα ἐγένετο φύλαρχος καὶ ἵππαρχος.

1054 Διιτρέφης πυτιναῖα ἔχων πτερά· οὗτος πολυπράγμων Ar.
ἐγένετο, ὃc θάλλινα ποιῶν ἀγγεῖα ἐπλούτηcε καὶ ἱππάρχηcε καὶ ἐφυλάρχηcεν. Εὐφρόνιος δὲ τὰ περὶ τῷ τραχήλῳ τῆς πυτίνης κρεμώμενα ἱμαντάρια ἑκατέρωθεν πτερὰ καλεῖcθαι· καὶ ὅτι οὗτος πυτίνας ἔπλεκε. τινὲς δὲ εἰc πέντητα εἰρῆcθαι διὰ τὸ ἀνυπόκριτον. ὡς εἰ ἔφη, μηδὲν ἄλλο ἔχων ἀλλ' ἢ πίθου πόδας καὶ χύτρας ὀμφαλούc. οὗτος δὲ ἦν νεόπλουτος καὶ ἅρπαξ καὶ πονηρός. Πλάτων ἐν Ἑορταῖc· καὶ ξένον, τὸν μαινόμενον, τὸν Κρῆτα, τὸν μόγις Ἀττικόν· πυτίνη δέ ἐcτι πλέγμα. ὃc ἡρέθη φύλαρχος, ἵππαρχος, εἶτ' ἐξ οὐδενὸc μεγάλα πράττει κἄcτι νῦν ξουθὸc ἱππαλεκτρυών. ἀντὶ τοῦ ἤδη μέγας ὄρνιc γέγονε καὶ οὐχ ὁ τυχών. ἢ βουλευτής· ὁ γὰρ ἀλεκτρυὼν ἐν τοῖc ὄρνιcιν ἐντιμότερος.

1055 Δικάζεcθαι Βίαντοc τοῦ Πριηνέωc κρείccων. καὶ
Πριήνη δίκη, ἐπὶ τῶν ἰcχὺν ἐχόντων ἐν τῷ δικάζεcθαι. Prov.?

1056 Δικάζω· αἰτιατικῇ. τὸ ἐγκαλῶ. καὶ cτρατηγῷ δικάζομεν. Syn.

1057 Δικαϊκόν· τρέχε ἐπὶ τὸ ceαυτοῦ ἡγεμονικόν, ἵνα νοῦν δικαϊκὰν αὐτὸ ποιήcῃc.

1058 Δικαcπόλοι: δικαcταί. Σ

1059 Δίκαc πραττόμενοι: ἀντὶ τοῦ τιμωρίαν ἐπιζητοῦντεc. Σ

1060 Δικαcταὶ αἱρετοί· ζήτει ἐν τῷ Ἀμφικτυόνεc.

1061 Δικαιάρχεια: πόλιc. Δικαιαρχία δὲ ἡ δικαίωc ἄρχουca. Δ

1062 Δικαίαρχοc, Φειδίου, Cικελιώτης, ἐκ πόλεωc Μεccήνης, Ἀρι- Hesy.
cτοτέλουc ἀκουcτής, φιλόcοφοc καὶ ῥήτωρ καὶ γεωμέτρης. Καταμετρήceιc τῶν ἐν Πελοποννήcῳ ὀρῶν, Ἑλλάδοc βίον ἐν βιβλίοιc γ'.

1051 — κρατῶ cf. Ambr. 698 1052 l. cf. Ambr. 814 1053 Ar. Av. 1440—1 c. sch. 1054 Ar. Av. 798—800 c. sch.; Pl. com. fr. 31 1055 — κρείccων Hipponact. fr. 79 ex Laert. 1, 84 1056 cf. Bk. 132, 19; καὶ sq. Dem. 19, 335 1057 Marc. 9, 22, 1—2 1058 = Ba 198, 32 (in A 238), Et. Gud., cf. H 1061 — πόλιc = Ambr. 604; Δικαιαρχία sq. cf. Ambr. 611 = L; H

1051 Z 552 1053 cf. v. πυτιναῖα 1054 cf. v. πυτίνη 1055 cf. v. B 270 1061 Z 519

1 καὶ alt.—γενικῇ om. GTFV post cou pr. IM 7 ὁ οὗτοc A A(GITFVM)
11 κρεμόμενα AFV κρεμάμενα sch. 13 εἰc] καὶ εἰc V 16 πυτίνη s. v., Port.: πυτίον V πυτίων rell. 21 Πριηνέω AFV 1056 om. TFV 23 καὶ] οὐ Bk. Dem. 24 δικαϊκὸν] δικανικὸν V cf. Marc. 1060 ex M 29 Δικαιάρχειαι et Δικαιαρχεία V 30 Σικελειώτης AFV Μεcήνης VM

οὗτος ἔγραψε τὴν πολιτείαν Σπαρτιατῶν· καὶ νόμος ἐτέθη ἐν Λακεδαίμονι καθ' ἕκαστον ἔτος ἀναγινώσκεσθαι τὸν λόγον εἰς τὸ τῶν Ἐφόρων ἀρχεῖον, τοὺς δὲ τὴν ἡβητικὴν ἔχοντας ἡλικίαν ἀκροᾶσθαι. καὶ τοῦτο ἐκράτει μέχρι πολλοῦ.

Hesy. 1063 Δικαίαρχος, Λακεδαιμόνιος, γραμματικός, ἀκροατὴς Ἀριστάρχου.

Harp. 1064 Δικαιογένης: ὄνομα κύριον, ὃς τραγῳδίας καὶ διθυράμβους ἔγραψεν.

Δ 1065 Δικαιοδοσία. Πολύβιος· ὅταν ἢ τὸ δίκαιον ἐκλαβεῖν παρὰ
E τῶν ἀδικησάντων ἢ κατὰ νόμους ἢ κατά τινας ἄλλας ὑποκειμένας δικαιοδοσίας. ἀντὶ τοῦ εὐλόγους ἀφορμάς.

Δ 1066 Δικαιοδότης: ὁ δικαστής.

Harp. 1067 Δικαιόπολις: πόλις ἐν Θράκῃ, πλησίον Αὐδήρων.

E 1068 Δικαιοπραγεῖν· καὶ μηδενὶ δικαιοπραγεῖν παρὲξ τῶν προστattομένων.

1069 Δίκαιον πρᾶγμα: ὅτι τῷ νόμῳ ἐστὶ σύμφωνον καὶ κοινωνίας ποιητικόν.

1070 Δίκαιος· κατὰ τὸν Αἰσχύλον οὐ δοκεῖν δίκαιος, ἀλλ' εἶναι θέλων, βαθεῖαν τῷ ὄντι καὶ αὐτὸς αὔλακα διὰ φρενῶν καρπούμενος.

Suid. ὅτι ἡ κωμῳδία τὸν δίκαιον οὐ πολιτικὸν οὐδ' ἥμερον καλεῖ.

1071 Δίκαιος· δοκῶ δὲ ἐγὼ τοῦτον δειλιᾶν τῷ ξυνειδέναι, οὐ δίκαιος ὢν περὶ βασιλέα· ὢν ἐπάξιος τυχεῖν ἦν, ταῦτα ὡς καὶ πεισόμενος ἤδη δειμαίνει.

1072 Δίκαιος· ὅτι ἔφη τις τῶν ὁσίων· ἄλλους μὲν γὰρ οὐ πάντες ἀπαιτούμεθα σῶσαι, ἑαυτοὺς δὲ πάντες πάντως. καὶ ἄλλος· σῴζων σῷζε τὴν σεαυτοῦ ψυχήν. καὶ ὁ Προφήτης ὡς ἐκ θεοῦ· ἐν τῷ ἀποστρέψαι δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ ποιῆσαι ἀδικίαν πᾶσαι αἱ δικαιοσύναι αὐτοῦ, ἃς ἐποίησεν, οὐ μὴ μνησθῶσιν· ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ ἀποθανεῖται. καὶ δικαιοσύνη δικαίου οὐ μὴ ἐξέληται αὐτόν, ἐν ᾗ ἂν ἡμέρᾳ πλανηθῇ.

Phil. 1073 Δικαιοσύνη: ἐπιστήμη ὧν αἱρετέον καὶ εὐλαβητέον καὶ οὐδετέρων. δικαιοσύνη οὖν ἡ κοινὴ ἀρετὴ καὶ ἡ ἀντιδιαιρουμένη ταῖς ἄλλαις ἀρεταῖς ὁμωνύμως. διαφέρει δὲ ἀνδρία καὶ δικαιοσύνη, ὁμο-

1062 vs. 1 καὶ sq. Hesychio abiudicavit Flach 1064 Harp. 1065 ὅταν—δικαιοδοσίας Polyb. fr. 31 1067 Harp. 1068 cf. Polyb. 8, 26, 9 1070 — καρπούμενος Dam. fr. 26 cf. Phot. Bibl. 337a 4—6; Aeschyl. Sept. 592 1071 fort. Iul. Imp. 1072 vs. 25 σῴζων—ψυχήν Gen. 19, 17; vs. 26 ἐν—29 ἀποθανεῖται Ezech. 18, 24; vs 29 δικαιοσύνη sq. Ezech. 33, 12 1073 — vs. 31 οὐδετέρων Laert. 7, 92; vs. 32 δικαιοσύνη sq. Alex. Aphr. 114, 15—16, 116, 2—10

1065 Polyb. cf. v. Ε 455. εὐλόγους ἀφορμάς cf. 1081. Z 519 1070 Dam. cf. 1827. ὅτι sq. ex v. A 2061 1072 hinc v. σῷσαι cf. v. ὁσίων 1073 Z 518

A(GITFVM) 4 ἐκράτησε M cp. V 14 μηδενὶ δικαιοπραγεῖν] μηδὲν ἰδιοπραγεῖν Polyb. 20 ὅτι—καλεῖ om. ATFV 21 οὐ] δὲ οὐ Bhd. 21. 22 δίκαιος] δίκαιον F 22 ὢν] ω A πεισόμενος ed. pr.: πεισόμενον G πεισομένη F cp. rell. 25 ἄλλος] ἄλλως A 33 (et 95, 4) ἀνδρεία GIV Alex.

γενεῖς οὖσαι ὑπὸ τὸ αὐτὸ γένος, τὴν ἀρετήν· οἷον ἄλλως μὲν ἡ ἀνδρία μεσότης, ἄλλως δὲ ἡ δικαιοσύνη· ἡ μὲν γὰρ δύο κακιῶν, θρασύτητος καὶ δειλίας, ἡ δὲ πλεονεξίας καὶ μειονεξίας ἐξ ὧν ἡ ἀδικία· ἐν γὰρ τούτοις τῇ ἀδικίᾳ τὸ εἶναι. καὶ περὶ ἄλλα μὲν ἡ ἀνδρία, περὶ γὰρ τὰς τῶν κινδύνων ὑπομονάς· περὶ ἄλλα δὲ ἡ δικαιοσύνη, περὶ γὰρ τὸ ἴσον, τό τε ἐν διανομῇ καὶ τὸ ἐν τοῖς συναλλάγμασι. καὶ οὕτω μὲν τὰ ὁμογενῆ.

1074 Δικαιοσύνη: οὐχ ἡ πολιτικὴ ἀρετή, ἀλλ' ἡ μείζων, τῷ δὲ αὐτῷ ὀνόματι χρωμένη. δικαιοσύνην δὲ τὴν ἑκάστῃ τῶν λοιπῶν ἀρετῶν οἰκειοπραγίαν ἀρχῆς πέρι καὶ τοῦ ἄρχεσθαι. καὶ Δικαιοσύνη, ἀποχὴ κερδῶν.

1075 Δικαιοσύνη καὶ ἡ τελεία ἀρετὴ καὶ ἡ δικαία αἴτησις, ὡς ὁ ψάλλων· Δαυίδ· εἰσάκουσον, κύριε, δικαιοσύνης μου. Thdr.

1076 Δικαιότερον σταχάνης: ἐπὶ τῶν τὰ δίκαια ἀγαπώντων· σταχάνην γὰρ οἱ Δωριεῖς τὴν τρυτάνην καλοῦσιν, ἴσως παρὰ τὴν στάσιν. καὶ ἑτέρα παροιμία. Δικαιότερος τρυτάνης. Prov.

1077 Δικαιούμενος: κολαζόμενος. δίκης τυγχάνων. Σ |

1078 Δικαιοῦν: δύο δηλοῖ, τό τε κολάζειν καὶ τὸ δίκαιον νομίζειν· οὕτως Ἡρόδοτος. δικαιῶν τοῖς αὐτοῖς ἀμύνεσθαι τοὺς Σκύθας, οἷς δὴ καὶ αὐτοὶ ἐς Ἀθηναίων τοὺς ἐνδόντας τὴν ἄκραν ὑπῆρξαν παρασπονδήσαντες. καὶ αὖθις Ἀππιανός· ξυμβάσεις ποιεῖν, ἐφ' οἷς ἂν Γάβιοι δικαιῶσιν. ἀντὶ τοῦ δίκαιον εἶναι νομίζωσι. καὶ Ἰώσηπος· οἱ δὲ ἐφ' ὕβρει τὴν δικαίωσιν λογιζόμενοι, κατασπάσαντες τῶν ὅπλων πολλά, ᾤχοντο εἴς τι χωρίον. E Σ E E

1079 Δικαιοῦσαν· αἰτιατικῇ. καταδικάζουσαν. ὑπὲρ δὴ τούτων τὴν Ἄρτεμιν μηνίσαι καὶ μετελθεῖν ⟨δικαιοῦσαν⟩ αὐτοὺς τῆς γῆς ἀγονίᾳ. E

1080 Δικαίωμα· ὅτι οὐδὲν δικαίωμα τῶν ὅπλων ἰσχυρότερον· πᾶς γὰρ ὁ δυνάμει προὔχων δικαιότερα ἀεὶ καὶ πράττειν καὶ λέγειν δοκεῖ. ὅτι Ἀρχέλαος, ὁ Φυσικὸς τὴν αἵρεσιν ἐπικληθείς, ἐδόξασε τὸ δίκαιον καὶ αἰσχρὸν οὐ φύσει εἶναι, ἀλλὰ νόμῳ. E Suid.

1074 δικαιοσύνην sq. cf. Pl. Rep. 434 c, 443 b; fort. Dam. 1075 Thdr. in Ps. 16, 1, PG 80, 965 a cf. 889 b, 956 a 1076 — στάσιν = Zen. III 16 1077 — κολαζόμενος Tim. cf. H = Poll. 8, 25 1078 Ἡρόδοτος 3, 42, 2 et 1, 100, 2 vs. 19 δικαιῶν—20. 21 παρασπονδήσαντες fort. Dex.; — ἀμύνεσθαι cf. Thuc. 2, 67, 4 vs. 21 ξυμβάσεις—22 δικαιῶσιν App. Bas. 8 vs. 23 οἱ sq. Ios. Ant. 18, 315 1079 αἰτιατικῇ cf. An. Ox. 4, 290, 26, Synt. Laur. ὑπὲρ sq. Aelian. fr. 46 (= 226) 1080 — δοκεῖ Cass. D. 61, 1, 2

1074—5 Z 518 1076 cf. v. σταχάνη et v. τρυτάνη 1078 cf. v. Ε 237—8. Z 552 1079 Z 552. Aelian. cf. v. Α 297 1080 Cass. hinc v. Γ 340. vs. 30 ὅτι sq. ex v. Α 4084

1. 2 ἀνδρεία GITV Alex. 2 μεσίτης V 9 τὴν] τῶν G 13 Δαυὶδ A(GITFVM) om. FV mg. AM 16 καὶ—παροιμία om. TFV Δικαιότερος τρυτάνης om. T 26 ⟨δικαιοῦσαν⟩ ex v. Α 297 suppl. Kust. 27 ἀγονίᾳ A: ἀγωνίᾳ rell. 30 ὅτι—31 νόμῳ ex M

E 1081 Δικαιώματα: εὐλόγους ἀφορμάς. ἐάν τε γὰρ νικῶμεν ἡμεῖς, ἔξεις πρὸς ἐμὲ δικαιώματα μεγάλα, διότι κεκοινώνηκας ἡμῖν τῶν μεγίστων κινδύνων.

Thdr. 1082 Δικαιώματα, νόμος, ἐντολαί, κρίματα· νόμον καλεῖ τὸν ὑπὸ τοῦ θεοῦ διὰ τοῦ Μωσέως δεδομένον, ἐντολὰς δὲ καὶ προστάγματα πάλιν τὸν αὐτὸν ὡς βασιλικῶς ἐνταλθέντα καὶ προσταχθέντα, δικαιώματα, ὡς δικαιοῦν τὸν κατορθοῦντα δυνάμενον, κρίματα δὲ ὡς τὰς θείας ψήφους ὑποδεικνύντα καὶ τὰς ἀξίας ἀντιδόσεις τῶν τε ἐνόμως καὶ παρανόμως βιούντων, μαρτύρια δὲ ὡς διαμαρτυρούμενον καὶ δεικνύντα, οἵαις ὑποβληθήσονται οἱ ταῦτα παραβαίνοντες. δικαιώματα δὲ καὶ αἱ κατακρίσεις.

Ar. 1083 Δικαίως ἀδίκως: ἀντὶ τοῦ παντὶ τρόπῳ. Ἀριστοφάνης Πλούτῳ· ἡ γὰρ οἰκία αὕτη ἐστίν, ἣν δὴ χρημάτων σήμερον μεστὴν ποιῆσαι, καὶ δικαίως καὶ ἀδίκως. τουτέστι πάσῃ τέχνῃ.

Δ? E 1084 Δικαίωσις: κατάκρισις. οὐ γάρ τί που μετὰ μακρὸν ἐκ-
E λάθη δικαιώσει. δικαιωθέντων πάντων τῶν ἀδελφῶν Ἀρισταίου τοῦ γίγαντος δικαίωσιν τὴν πρεπωδεστάτην.

Harp. 1085 Δικαιώσεις: Λυσίας τὰς δικαιολογίας, Θουκυδίδης δὲ τὰς κολάσεις λέγει.

Σ 1086 Δικαιωτήρια: οἷον δικαστήρια.

Δ E 1087 Δίκελλα: γεωργικὸν ἐργαλεῖον. οὐ βουσὶ καὶ δικέλλῃ πο-
Δ ριζομένοις τὸν βίον, ἀλλ' ἵππῳ καὶ μαχαίρᾳ. καὶ Δικελλίτης.

Anth. 1088 Δικέραιον: δύο κέρατα ἔχουσαν. ἐν Ἐπιγράμμασι· δέρμα δὲ καὶ δικέραιον ἀπὸ στόρθυγγα μετώπων σπασάμενος κούρᾳ θέτο παρ' ἀγρώτιδι.

Σ 1089 Δίκη: ἡ ὑπὲρ ἰδιωτικῶν ἀδικημάτων συνισταμένη κατηγορία,
E καὶ ἧς τὸ τίμημα ὥρισται τοῖς νόμοις. ὁ δὲ δίκην ἄδικον δικάσας
καὶ διαφυγὼν μὴ ἀπολέσθαι πρότερος τούτων περιῆν. καὶ δίκην γενέ-
Σ σθαι ἄδικον. αἱ τοιαῦται δίκαι οὕτω λέγονται αἱ εἰς ἄκαιρον ἀποκαθιστάμεναι ἤτοι διὰ πολιτικὴν αἰτίαν ἢ τῶν μαρτύρων ἁλόντων ψευδοκατηγόρων.

1082 Thdr. in Ps. 118, 2, PG 80 1821b 1083 Ar. Pl. 231—3 c. sch. 1084 — κατάκρισις cf. sch. Thuc. 8, 66, 2 οὐ—δικαιώσει Aelian. fr. 225 δικαιωθέντων sq. Aelian. fr. 214 1085 Harp. = An. Ox. 2, 493, 2 cf. sch. Thuc. 8, 66, 2, Lys. 9, 8 1086 cf. H, Poll. 8, 25 (in Pl. Phaedr. 249a) 1087 — ἐργαλεῖον = Ps. Herodian. 19, Ambr. 565 cf. Bk. 240, 3 Δικελλίτης = L cf. Ambr. 449 1088 δέρμα sq. Anth. 6, 111, 5—6 1089 — νόμοις = Ba 199, 3 cf. Bk. 241, 6, sch. Pl. Euthyphr. 2a, Lex. Cant. vs. 27 ὁ—29 ἄδικον fort. Aelian. vs. 29 αἱ sq. cf. H v. ἀνάδικοι

1081 cf. 1065. Z 525 1082 cf. v. νόμος 7. Z 525 1083 Z 556 1084—5 Z 519 1086 Z 526 1089 Z 519

A(GITFVM) 1081 om. M 7 κρίματα] κρῖμα FV 10 οἵαις τιμωρίαις ὑποβληθήσονται Zon. οἵαις ὑπ. τιμωρίαις Thdr. 13 'στίν] ἐστίν AIF 14 καὶ alt. om. AGI 1084 post 1085 GIT, ordo poscit 24 θέτο] θέτω A θῆκε Anth. 27 δίκην] δίκη FVM 28 πρότερον Bhd.

1090 Δίκη: κρίσις. σημαίνει μὲν καὶ ἄλλα, ἰδίως δὲ ἐπὶ τῶν Σ
ἰδιωτικῶν ἐγκλημάτων λέγεται, ὡς Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος Harp.
δῆλον ποιεῖ.

1091 Δίκη δίκην ἔτικτε καὶ βλάβη βλάβην: ἐπὶ τῶν φιλοδί- Prov.
κων καὶ συνειρόντων δίκας δίκαις. καί, Δίκην ὑφέξειν, κἂν ὄνος
δάκῃ κύνα. ἐπὶ τῶν ἐπὶ μικροῖς συκοφαντουμένων.

1092 Δίκην: τρόπον. καὶ ὁ μὲν ἐξετρίβη πίτυος δίκην ῥιφεὶς εἰς Σ + E
θάλασσαν, καὶ δίδωσι δίκας αὐτῷ γένει.

1093 Δίκης: δικαιοσύνης, ἢ τιμωρίας. ἥξομεν κομιούμενοι παρ' Σ
ἀνδρῶν ἀνοσίων καὶ ψευδόρκων δίκας. ὅτι τὴν δίκην φασὶν οἱ
παλαιοὶ εὐθεῖάν τε εἶναι καὶ ἀκλινῆ καὶ ἄτρεπτον. καὶ τοῦτο ᾄδουσι E
μὲν πλεῖστοι, ἤδη δὲ καὶ ἀνάγκη· φύσιν γὰρ δήπου τὸ δίκαιον τοι-
αύτην εἴληχεν. Ἡσίοδος δὲ αὐτὴν λέγει καὶ παρθένον καὶ ἀδιάφθορον,
τῇ τε ἄλλῃ καὶ μέντοι καὶ ὑπ' εὐνῆς ἀφροδισίου, αἰνιττόμενος ὅτι μὴ
χρὴ δολοῦν τὸ δίκαιον, μήτε ἄλλως πεισθέντα μήτε λέχει παρατρα-
πέντα. φησὶ δὲ καὶ μετιέναι αὐτὴν τιμωρουμένην τούτους, οἵσπερ
οὖν ὕβρις μέμηλε κακὴ καὶ σχέτλια ἔργα. τοῖς γε μὴν ἐκείνην σέβουσι
τήν τε γῆν καὶ τὰ οἰκεῖα βρύειν φησὶν ἀγαθὰ καὶ τὴν θάλατταν χο-
ρηγεῖν ὅσα τίκτει καὶ τρέφει μάλ' ἀφθόνως. ἀκούω δὲ αὐτὴν καὶ παρ'
αὐτοῦ Διὸς καθῆσθαι θρόνῳ καὶ κοινωνὸν τῶν ἀρίστων βουλευμάτων
εἶναι. καὶ Ὅμηρος δὲ μέγα αὐτῆς τὸ κράτος ὑμνεῖ καὶ λέγει τοῖς
ἀτιμάζουσιν αὐτὴν μηνιεῖν τὸν θεὸν καὶ λάβρους καταντλεῖν ὑετοὺς
αὐτὴν καὶ χειμάρρους ἐπ' αὐτοὺς ὠθεῖσθαι καὶ ἀφανίζειν πόλεις
αὐτῶν καὶ ἔργα καὶ ποίμνας. καὶ ταύτῃ κολάζεσθαι τῇ τιμωρίᾳ
ὕβρεως καὶ ἀτασθαλίας ἔργα ὑπομένοντας πρεπωδέστερα καὶ ἕτερα ἄττα.

1094 Δίκης ἀνάκρισις· οὐ πάσας δίκας κελεύουσιν οἱ νόμοι εἰς- Σ
άγεσθαι, ἀλλ' ὅταν ὁ φεύγων ἀντιλέγῃ καὶ παραγράφηται, λέγων
εἰσαγώγιμον μὴ εἶναι αὐτήν, πρότερον ἐπὶ τούτῳ γίνεται κρίσις, ἥτις
δίκης ἀνάκρισις λέγεται.

1095 Δίκης δικαιότερος: καθ' ὑπερβολὴν ἐπὶ τῶν σφόδρα δι-
καίων.

1096 Δίκης ὀφθαλμός· ὡς καὶ πάντας ἀνθρώπους ὁμολογῆσαι, EV
διότι κατὰ τὴν παροιμίαν ἔστι δίκης ὀφθαλμός, ἧς μηδέποτε κατα-
φρονεῖν ἀνθρώπους ὑπάρχοντας.

1090 — κρίσις = Ba 199, 1, Σ^a cf. H v. δίκης σημαίνει sq. Harp. = Sabb., Dem. 54, 1 1091 — δίκαις Zen. III 28. vs. 5 Δίκην sq. = Zen. III 20 1092 — τρόπον cf. H v. δίκης, Tim., Et. Gud. καὶ ὁ sq. Aelian. fr. 207 1093 — τιμωρίας = Ba 199, 2 cf. Et. M. 276, 8, An. Ox. 2, 470, 12 vs. 10 ὅτι sq. Aelian. fr. 25; Hesiod. O. 256 et 238; Π 388 sqq. 1094 cf. Bk. 185, 30 1095 = Diogen. IV 22, Paroem. ed. Gsf. 34, n. 333 1096 Polyb. 23, 10, 3 = EV 2, 171, 1—3; fr. trag. ad. 421

1090 Z 519 1092—4 Z 519 1096 cf. v. Ε 8228

5 ὑφέξει GI ὄνος] ὄνομα V 6 μίκροις A Paroem.: μάκροις rell. A(ΘITFVM)
13 καὶ alt. om. VM 14 ὅτι om. FV 18 καὶ pr. del. Bas., Hercher
19. 20 παρ' αὐτοῦ] παρὰ τοῦ FV 20 κοινῶν A 23 αὐτὴν] αὐτῶν Kuehn
24 ποίμνας] πρύμνας V

Σ 1097 Δείκηλα: μιμήματα, εἰκάσματα. τὸ δει δίφθογγον. κυρίως τὸ ὁμοίωμα καὶ εἴκελον τῷ Διί, καταχρηστικῶς δὲ πᾶν ὁμοίωμα.

Hesy. 1098 Δικηλιστῶν καὶ Μιμηλῶν: εἶδός ἐστι κωμῳδίας, ὥς φησι Σωσίβιος ὁ Λάκων.

Δ 1099 Δικητροπεῖ: φυγαδεύει. ἀλλ' ἔστιν ἔνθα χὴ δίκη βλάβην

Soph. φέρει. ἀντὶ τοῦ καταδίκην.

Ar. 1100 Δικιδίοις: ὑποκοριστικῶς ταῖς δίκαις.

Δ 1101 Δικλίς, δικλίδος καὶ δικλίδας, δίθυρον. ἐν Ἐπιγράμμασι·

Anth. δικλίδας ἀμφετίναξεν ἐμοῖς Γαλάτεια προσώποις.

Σ 1102 Δικορραφεῖν: δίκας συρράπτειν, ἐν τοῖς δικαστηρίοις ἀνα-

στρέφεσθαι.

1103 Δίκορος· ὅτι Ἀναστάσιος ὁ τῶν Ῥωμαίων βασιλεὺς Δίκορος ἐλέγετο

Σ 1104 Δίκορσον: δικόρυφον.

Σ 1105 Δικραές: δικέφαλον.

E 1106 Δίκρανα· παρεσκεύαστο δὲ καὶ δίκρανα ὥστε ἀπωθεῖσθαι τὴν τῶν λεγομένων σκαλῶν προσαγωγήν.

Δ 1107 Δίκραιρος. δικραίρῳ δικέρωτα, δασυκνάμῳ δασυχαίταν.

Anth. ἐν Ἐπιγράμμασι.

1108 Δίκροτα: διήρη. πλοῖα μονήρη, ἔστιν ἃ καὶ δίκροτα κατε-

E σκευάσαντο. τινὰ δὲ καὶ ἐκ τῆς πρύμνης καὶ ἐκ τῆς πρώρας ἑκατέρωθεν πηδαλίοις ἤσκηντο, ὅπως αὐτοί τε μὴ μετιστρεφόμενοι καὶ ἐπιπλέωσι καὶ ἀναχωρῶσι καὶ τοὺς ἐναντίους ἐν τῷ πρόσπλῳ καὶ ἀπόπλῳ αὐτῶν σφάλλωσιν.

Ar. 1109 Δικροῖς: διφυέσι ξύλοις, δικρανίοις. Ἀριστοφάνης· δικροῖς ἐώθουν τὴν θεὸν κεκράγμασι. τὴν εἰρήνην λέγων. ἔδει δὲ εἰπεῖν ξύλοις, καὶ εἶπε κεκράγμασιν, ἐπειδὴ οἱ ῥήτορες δημηγοροῦντες τῇ κραυγῇ ἔπειθον μὴ ποιῆσαι εἰρήνην.

Δ 1110 Δικτατωρεία: ἀρχὴ ἀνυπεύθυνος.

Σ 1111 Δικτάτωρ: ὁ διπλασίαν τὴν ἀρχὴν ἔχων. ὃς παρὰ Ῥωμαίοις δισύπατος καλεῖται. ἀρχὴ δ' ἦν πρόσκαιρος, οὐ διὰ βίου, καὶ ἀνεύθυνος. ἦ ὁ μονάρχης πάντων κρατῶν.

1097 — εἰκάσματα Tim. cf. H. κυρίως sq. cf. Et. M. 260, 28, H 1099 — φυγαδεύει = H ἀλλ'—φέρει Soph. El. 1042 1100 sch. Ar. Nu. 1108 1101 — δικλίδος cf. Ambr. 561; δίθυρον cf. H, sch. M 455, Ap. S. 59, 2 δικλίδας sq. Anth. 5, 255, 1 1102 = Ba 199, 5 1104 = Ba 199, 7, Lex. Rhet. ap. Eust. I. 947, 28 (= fr. 235 Schwabe) cf. Ludw. 15, 23, H 1105 = Ba 199, 8, Lex. Rhet. ap. Eust. I. 947, 28 cf. H 1107 δικραίρῳ—δασυχαίταν Anth. 6, 32, 1 1108 πλοῖα sq. Cass. D. 74, 11, 3 (III p. 335) 1109 Ar. Pac. 637 c. sch. cf. Et. M. 276, 21 1110 l. = Ambr. 600 1111 — καλεῖται = Ba 199, 9; — ἔχων = H

1097 hinc 308 1098 cf. v. Σωσίβιος 1100 Z 526 1101 Z 520 1102 Z 552 1104—5 Z 525 1109 Z 525 1110 Z 520 1111 Z 507

A(GITFVM) 1 Δίκηλα M^{ac} Tim. Hes., ordo poscit 8 δίθυρον nov. gl. AFV 12 Δίκορος alt.] Δίκηρα A 21 τῆς pr. om. A 22 ἀποστρεφόμενοι V 23 πρόσπλῳ AF: προάπλῳ rell. 29 Δικτατωρεία Port. Zon. Ambr.: Δικτατόρεια omnes

1112 Δικτάτωρ· ἐπειδὴ Μάλιος, ἀνὴρ Λατῖνος μὲν γένος καὶ μέγα παρὰ τοῖς ὁμοφύλοις δυνάμενος, ἀναστήσας πανδημεὶ τὸ Λατίνων γένος χεῖρά τε μισθοφόρον πολλὴν ἀγείρας τιμωρεῖν τοῖς κηδεσταῖς ἀτίμως παρεωσμένοις ἠξίου τῆς δυναστείας, ἡ βουλὴ καταδείσασα τὸ πλῆθος τοῦ πολεμίου νέφους καινὸν ἡγεμονίας εὑρίσκει γένος, προχειριαμένη τότε πρῶτον δικτάτορα, ὃς καθ' Ἑλλάδα γλῶτταν κληθείη ἂν εἰσηγητὴς τῶν λυσιτελῶν, ὑπερέχων μὲν τῆς τῶν ὑπάτων ἀρχῆς, τοῖς δὲ βασιλεῦσι προσφερέστατος· ἀνυπεύθυνόν τε γὰρ τῶν ὅλων εἶχε τὸ κράτος καὶ ἰσοτύραννον ἐν τῷ καθεστηκότι χρόνῳ τὴν ἐξουσίαν. τοιγαροῦν Γάϊος Καῖσαρ πρότερος καὶ μετὰ τοῦτον Αὔγουστος Ὀκταούιος, ὧν ὕστερον κατὰ τοὺς οἰκείους χρόνους μνημονεύσομεν, ὑπὸ τῷδε ὀνόματι τῆς μοναρχίας ἀντιλαμβάνεσθαι διέγνωσαν. E

1113 Δικταῖον σπήλαιον. Δ

1114 Δικτυεύς: ὁ ἁλιεύς· τῷ δικτυεῖ. Δ

1115 Δίκτυον. καὶ παροιμία· Δικτύῳ ἄνεμον θηρᾷς, ἐπὶ τῶν μάτην καὶ ἀνοήτως τι ποιούντων. καί, Δίκτυον φυσᾷς, ἐπὶ τῶν ὁμοίως ἀνοήτων. Δ Prov.

1116 Δικτυωτή: καγκελλωτή. καὶ Δικτυωτός, ὁ πολύπλοκος. Σ Δ

1117 Δίκτυς, ἱστορικός. ἔγραψεν Ἐφημερίδα· ἔστι δὲ τὰ μεθ' Ὁμηρον καταλογάδην ἐν βιβλίοις θ', Ἰταλικά, Τρωικοῦ διακόσμου. οὗτος ἔγραψε τὰ περὶ τῆς ἁρπαγῆς Ἑλένης καὶ περὶ Μενελάου καὶ πάσης Ἰλιακῆς ὑποθέσεως. Hesy.

1118 Δίκτυς· ὅτι ἐπὶ Κλαυδίου τῆς Κρήτης ὑπὸ σεισμοῦ κατενεχθείσης καὶ πολλῶν τάφων ἀνεωχθέντων εὑρέθη ἐν ἑνὶ τούτων τὸ σύνταγμα τῆς ἱστορίας Δίκτυος, τὸν Τρωικὸν περιέχον πόλεμον, ὅπερ λαβὼν Κλαύδιος ἐξέδωκε γράφεσθαι.

1119 Δίκυμα: τὰ διδυμοτόκα πρόβατα.

1120 Δίλημμα: τὸ διττῶς λαμβανόμενον φρόνημα.

1121 Διλήμματον: διχῶς νοούμενον. Σ

1122 Διλιμνῖται. Δ

1123 Διλοχία: δύο λόχοι. καὶ ὁ ἡγούμενος αὐτῶν διλοχίτης. Tact.

1124 Διμήτωρ: ὁ Διόνυσος. Δ

1112 Io. Antioch. fr. 45, FHG 4, 555 sq. cf. Eutrop. 19, Exc. Plan. 5 ap. Cass. D. 1, p. CXV; — vs. 6 δικτάτορα = E I, 63, 14—20 cf. Byz. Zt. 21, 399 1113 cf. Ambr. 630, Et. M. 276, 20 1114 — ἁλιεύς = Ambr. 454 1115 Δικτύῳ —ποιούντων = Zen. III 17 1116 — καγκελλωτή = Σ^a, H Δικτυωτός sq. = Ambr. 442 1120 aliter Ambr. 637 1121 = Σ^a, Ba 199, 11 1122 = Ambr. 536 1123 Lex. Tact. n. 9 1124 cf. L, Ambr. 542, Stud. An. 268

1114 Z 507 1116 Z 520 et 507 1118 Z 507 1119—21 Z 526 1123 Z 520 1124 Z 507

1 καὶ—3 γένος om. A 3 μισθοφόρον VM Exc.: μισθοφόρων AGI ἀγείρας A 10 πρότερον A 12 post ὑπὸ lac. in GI τῷδε GIM: τῷ A τῷδε οὖν V τῷδε τῷ ignotus 16 καὶ alt.—17 ἀνοήτων om. F; ἐπὶ τῶν et ἀνοήτων om. V 18 καγκελλωτή IF Zon. Hes.: καγκελωτή M Σ^a καγγελωτή ATV καὶ κελλωτή G Δικτυωτός] Δικτυωτής GIT 19 Ἐφημερίδας Meursius 20 Ἰταλικά] Ἰλιακά Allatius A(GITFVM)

Δ 1125 Δημήτριος: ὄνομα κύριον. Διμίτριος δὲ διὰ τοῦ ι, ὁ δύο μίτρας ἔχων.

Σ 1126 Διμοιρίτης: τοῦτο ἐνίοτε τριώβολον ἀποδεδώκασιν, ἐπειδὴ τοῦτο δίμοιρόν ἐστι τῆς δραχμῆς. ὁ οὖν τοῦτο λαμβάνων στρατιώτης διμοιρίτης ἐλέγετο. ἔστι δέ τις καὶ στρατιωτικὴ ἀρχή, ὡς λοχαγός,
Tact. διὰ τὸ παρ' ἄλλους στρατιώτας δύο μοίρας λαμβάνειν. οἱ δὲ διμοιρίαν καὶ ἡμιλοχίαν τὸ αὐτό φασι. καὶ διμοιρίτης καὶ ἡμιλοχίτης, ὁ ἄρχων τῆς διμοίρας καὶ τῆς ἡμιλοχίας.

Suid. 1127 Δινδύμοις· ὅτι οἱ ἐν Δινδύμοις τῆς Μιλησίας οἰκοῦντες Ξέρξῃ χαριζόμενοι τὸν νεὼν τοῦ ἐπιχωρίου Ἀπόλλωνος τοῖς βαρβάροις προὔδοσαν. καὶ ζήτει ἐν τῷ Βραγχίδαι.

Σ 1128 Δῖναι: αἱ τῶν ὑδάτων συστροφαί. καὶ Δίνης, τῆς συστροφῆς τῶν ὑδάτων.

Σ 1129 Δινεύοντες: στρέφοντες.

Σ 1130 Δινήεντος: δίνας ἔχοντος, συστροφὰς ὕδατος περιφερεῖς τινας πεποιημένας.

Σ 1131 Δινήσας: στρέψας. Ἀρριανός· δῖναί τέ ἐστιν ὅπῃ ἀτόπως
E ἐπιστρέφουσαι, ὡς μὴ πρόσθεν ἐμπίπτειν χρῆναι τὴν ἑπομένην τῇ προπλεούσῃ νηΐ ⟨ἢ⟩ τὴν φθάνουσαν τῇ ἄγαν εἰρεσίᾳ ἐκ τῆς δίνης ἐξελαθεῖσαν ἐς εὐθὺ τοῦ πλοῦ καταστῆναι.

Ar. 1132 Δῖνος: ἡ περιδίνησις ἡ αἰθερία, ἡ συστροφή. Ἀριστοφάνης Νεφέλαις· ἀλλ' αἰθέριος δῖνος. οἱ δέ, ὅτι κεραμεοῦν ἐστιν ἀγγεῖον· τουτέστι βαθὺ ποτήριον, ὃ καλεῖται δῖνος. δῖνόν φησιν Ἀριστοφάνης καὶ τὰς νεφέλας θεούς.

Δ 1133 Δινωτήν: περιφερῆ.

1134 Δινωτοῖς: λιθοστρώτοις.

1135 Διό: σύνδεσμος.

1136 Διόβλητος: ὁ ὑπὸ κεραυνοῦ βληθείς. ὁ δὲ τοῦ τολμήματος
E ἡγεμὼν διόβλητος γενόμενος εἶτα κατεπρήσθη.

E 1137 Διόβλητοι: οὐρανόθεν βαλλόμενοι. σκηπτοί τε κατωλίσθανον καὶ ἐγίνοντο διόβλητοι ἅπαντες.

1125 cf. Et. Gud., Ps. Herodian. 265; — κύριον = Ambr. 337 Διμίτριος sq. cf. Ambr. 455 et 542, L 1126 — vs. 6 λαμβάνειν cf. Bk. 242, 23, sch. Luc. 281, 20; vs. 5 ἔστι—6 λαμβάνειν = Sabb. vs. 6 οἱ sq. Lex. Tact. n. 5
1128 = Ba 199, 13 et 18 cf. sch. B in Δ 541, Apion; Ambr. 548 = Et. M. 276, 44
1129 = Ba 199, 14, sch. Σ 543 1130 = Ba 199, 15 cf. sch. B 877
1131 — στρέψας = Ba 199, 17, H cf. sch. Γ 378 δῖναί sq. Arr. Parth. fr. 60
1132 Ar. Nu. 380 c. sch. cf. Et. M. 277, 14; συστροφή = Ps. Herodian. 20
1133 cf. Et. M. 277, 11, aliter Ambr. 568 1136 ὁ sq. Aelian. fr. 351 1137 σκηπτοί sq. Aelian. fr. 250

1125 Z 507 1126 Tact. cf. post littera Ψ 1127 ex v. B 514 1137 Z 508

A(GITFVM) 1125 non nov. gl. A 1 ὄνομα—δὲ om. F διὰ τοῦ ι om. TFV 1. 2 ὁ ἔχων δύο μίτρας VM deinde Δημοτική add. VM^{ms}, ante gl. I 3 τετρώβολον Dr. cf. sch. Luc. 5 λοχαγὸς I^{oe}T Sabb.: λόγος AGI^{oe} λόγος λοχαγὸς FVM 8 διμοιρίας V 1127 om. GITF mg. A 10 καὶ—11 Βραγχίδαι om. V 16 πεποιημένου Dr. 19 ⟨ἢ⟩ add. Bas. 30 κατωλίσθησαν GI

1138 Διογενές: εὐγενέστατον. Σ

1139 Διογενειανός, Ἡρακλείας Πόντου, γραμματικός, γεγονὼς ἐπὶ Hesy.
Ἀδριανοῦ βασιλέως.

1140 Διογενειανός, Ἡρακλείας ἑτέρας, οὐ τῆς Πόντου, γραμματι- Hesy.
κός, γεγονὼς καὶ αὐτὸς ἐπὶ Ἀδριανοῦ βασιλέως. ἐπιστατέον δὲ μή-
ποτέ ἐστιν ὁ ἐκ τῆς Ἀλβάκης Ἡρακλείας τῆς ἐν Καρίᾳ ἰατρός· ἦν
γὰρ οὗτος παντοῖος λόγος· οὐ γὰρ εὗρον ῥητῶς τὸ ἐξ Ἡρακλείας
αὐτὸν εἶναι τῆς ἐν Πόντῳ, ἀλλ' οὕτω παρά τισι δεδόξασται. ἔστι δὲ
αὐτοῦ βιβλία ταῦτα· Λέξεις παντοδαπὴ κατὰ στοιχεῖον ἐν βιβλίοις ε'·
ἐπιτομὴ δέ ἐστι τῶν Παμφίλου λέξεων βιβλίων ε' καὶ τετρακοσίων
καὶ τῶν Ζωπυρίωνος· Ἐπιγραμμάτων ἀνθολόγιον, Περὶ ποταμῶν,
λιμνῶν, κρηνῶν, ὀρῶν, ἀκρωρειῶν, Περὶ ποταμῶν κατὰ στοιχεῖον ἐπί-
τομον ἀναγραφήν, Συναγωγὴν καὶ πίνακα τῶν ἐν πάσῃ γῇ πόλεων·
καὶ λοιπά.

1141 Διογένης: ὄνομα φιλοσόφου, τοῦ καὶ Κυνός. τί χρὴ περὶ
τῆς ἀνδρείας Διογένους λέγειν, τῆς πραότητος Ξενοκράτους, τῆς
Ἀριστοτέλους εὐμουσίας, τῆς Θεοφράστου βαρύτητος, Ζήνωνος τῶν
αὐστηρῶν καὶ γενναίων τρόπων, Πλάτωνος σεμνότητος, Πολέμωνος
ἐγκρατείας· τούτων γὰρ οὐκ ἔστιν ὅστις οὐ πάντα ἀγαθὸς ὢν διέφερεν
ὅμως τοῦ πλησίον καταπολύ. φέρεται καὶ ἐπίγραμμα εἰς αὐτόν· Διόγενες, Suid.
ἄγε, λέγε, τίς ἔλαβέ σε μόρος ἐς ἄϊδος; ἔλαβέ με κυνὸς ὀδάξ. τὸ δὲ ἐπίγραμμα
διὰ βραχέων.

1142 Διογένης, ἢ Οἰνόμαος, Ἀθηναῖος, τραγικός· γέγονεν ἐπὶ τῆς Hesy.
τῶν λ' καταλύσεως. δράματα αὐτοῦ, Ἀχιλλεύς, Ἑλένη, Ἡρακλῆς,
Θυέστης, Μήδεια, Οἰδίπους, Χρύσιππος, Σεμέλη.

1143 Διογένης, Ἱκεσίου υἱὸς τραπεζίτου, Σινωπεύς. ὃς φυγὼν τὴν
πατρίδα διὰ τὸ παρακόψαι νόμισμα ἦλθεν εἰς Ἀθήνας καὶ Ἀντισθένει
παραβαλὼν τῷ Κυνικῷ ἠράσθη τοῦ ἐκείνου βίου καὶ τὴν Κυνικὴν φι-
λοσοφίαν ἠσπάσατο, πολλῆς οὔσης αὐτῷ ὑπεριδὼν οὐσίας. γηραιὸς δὲ
ὢν ὑπὸ πειρατοῦ Σκιρτάλου ἐλήφθη καὶ πραθεὶς ἐν Κορίνθῳ Ξενιάδῃ
τινὶ παρὰ τῷ πριαμένῳ διέμεινεν, οὐχ ἑλόμενος λυθῆναι ὑπὸ Ἀθη-
ναίων ἢ τῶν οἰκείων καὶ φίλων. ἐπὶ δὲ τῆς ριγ' Ὀλυμπιάδος Hesy.
κατέστρεψε τὸν βίον δηχθεὶς ὑπὸ κυνὸς τὸ σκέλος καὶ θεραπείας
ὑπεριδών, κατὰ τὴν αὐτὴν ἡμέραν ὅτε καὶ ὁ Μακεδὼν Ἀλέξανδρος
ἐν Βαβυλῶνι ἀπέθανεν.

1138 = Ba 199, 19, Σ^a cf. sch. A 337 = H 1141 — ὄνομα = Ambr. 496, Ps. Herodian. 20 1142 cf. Laert. D. 6, 80, Meineke, Anal. in Ath. 307, Rohde, Kl. Schr. 1, 182 1143 cf. Laert. D. 6, 20 et 79

1141 φέρεται sq. ex v. A 180 cf. v. ὀδάξ

1139 om. V 2 γραμματικὸς—4 Πόντου om. M 7 παντοῖος] παντοίως coll. A(GITFVM) 1174 Toup. παντοίοις ed. pr. λόγος] ἐν λόγοις T λόγιος coll. 1174 Toup. λόγοις ed. pr. λόγους Bhd. 13 post πίνακα lac. in M τῇ γῇ VM 15 τί—22 βραχέων om. F 16 ἀνδρίας A τῆς tert.] τοῦ V 17. 18 τῶν αὐστηρῶν καὶ γενναίων τρόπων M^{ac}: acc. sing. rell. 20 φέρεται—22 βραχέων om. T mg. A καὶ om. VM 23 Οἰονόμαος A τῆς om. VM 32 καὶ om. T ριγ'] ρι' GITV

1144 Διογένης, Ἀντισθένους ὁμιλητής, ὃς πρῶτος Κλέων ἐπεκλήθη· ἐν πίθῳ δὲ διέτριβεν. ἐρομένῳ δὲ αὐτῷ, πῶς ἂν πρωτεύσειεν, ἐπολιτεύετο δέ, ὁ θεὸς ἀνεῖλεν, εἰ παραχαράξειεν. ὁ δὲ τὸ νόμισμα παρεχάραξεν· ἐφ' ᾧ φυγὼν ἦλθεν ἐς Ἀθήνας. ἐντυχὼν δὲ Ἀντισθένει κατὰ δόξης διαλεγομένῳ ἐφιλοσόφησε. πλέων δὲ ὑπὸ καταπονtιστῶν ληφθεὶς ἐπράθη. κηρυττόμενος δὲ καὶ ἐρωτώμενος, τί εἰδείη, ἄρχειν ἀνθρώπων, ἔφη. καὶ θεασάμενος Κορίνθιον πλούσιον ἄσωτον, τούτῳ με, ἔφη, πώλησον· δεσπότου γὰρ δεῖται. ὁ δὲ ὠνεῖται καὶ εἰς Κόρινθον ἄγει καὶ τῶν παίδων ἀποδείκνυσι παιδαγωγόν. ἔλεγε δὲ δαίμονα ἀγαθὸν εἰς τὴν οἰκίαν εἰσεληλυθέναι.

E 1145 Διογένης· ὅτι Διογένης εἶχεν ἐρῶντα παῖδα καὶ πικρὸς ὢν πατὴρ οὐ συνεγίνωσκε νέου ῥᾳθυμίᾳ, ἀλλὰ ἀνείργων αὐτὸν καὶ ἀναστέλλων τοῦ πόθου μᾶλλόν οἱ τὸ πάθος παρώξυνε. καὶ ἦν τοῦ κακοῦ δεινὴ ἐπίτασις· ἐξερριπίζετο γὰρ ὁ ἔρως, ἐμποδὼν ἱσταμένου τοῦ Διογένους, καὶ ἐς τὴν παροῦσαν νόσον μᾶλλον ἐξήπτετο ὁ νέος. ἦκεν οὖν εἰς Δελφούς, ὡς ἑώρα φιλόνεικον ὂν τὸ κακόν, καὶ δυσανασχετῶν τε ἅμα καὶ περιαλγῶν ἐρωτᾷ, εἴ οἱ πέπαυται νοσῶν ποτε ὁ παῖς. ἡ δέ, ὡς εἶδεν οὐ πάντη φρενήρη γέροντα οὐδὲ ἐρωτικαῖς συγγνώμονα ἀνάγκαις, λέγει ταῦτα· λήξει παῖς σὸς ἔρωτος, ὅταν κούφῃ νεότητι Κύπριδος ἱμερόεντι καταφλεχθῇ φρένας οἴστρῳ. ὀργὴν οὖν πρήϋνον ἀμειδέα μηδ' ἐπιτείνειν κωλύων· πράσσεις γὰρ ἐναντία σοῖσι λογισμοῖς. ἢν δ' ἐφ' ἡσυχίην ἔλθῃς, λήθην τάχος ἕξει φίλτρον καὶ νήψας αἰσχρᾶς καταπαύσεται ὁρμῆς. ἀκούσας τοίνυν ὁ Διογένης ταῦτα τὸν μὲν θυμὸν κατεστόρεσεν, ἐλπίδος δὲ ὑπεπλήσθη χρηστῆς, ἔχων τῆς τοῦ παιδὸς σωφροσύνης ἐγγυητὰς ἀξιόχρεως· καὶ ἐν ταὐτῷ βελτίων ἐγένετο ὁ πατὴρ ἡμερωθείς τε καὶ πραϋνθεὶς τὸν τρόπον. τοῦτό τοι καὶ ὁ τραγικὸς Αἵμων, ὁ τοῦ Σοφοκλέους, ἀπεδείξατο, τῆς Ἀντιγόνης ἐρῶν καὶ πικρῷ ζυγομαχῶν πατρὶ τῷ Κρέοντι· καὶ γάρ τοι καὶ ἐκεῖνος ὁμοίως ἐλαυνόμενος ξίφει πρὸς τὸν ἔρωτα καὶ τὸν πατέρα τὴν νόσον διελύσατο.

Hesy. 1146 Διογένης ἢ Διογενειανός, Κυζικηνός, γραμματικός. ἔγραψε Πάτρια Κυζίκου, Περὶ τῶν ἐν τοῖς βιβλίοις σημείων, Περὶ ποιητικῆς, Περὶ στοιχείων.

Δ 1147 Διόγνητος: ὄνομα κύριον.

Δ 1148 Διοδεία: ἡ διέλευσις.

1144 cf. Laert. D. 6, 20 et 74 1145 Aelian. fr. 103 1147 = Ambr. 494 1148 cf. L; l. = Ambr. 582

1145 hinc v. A 1567 extr.

A(GITVM) 3 παραχαράξας V 4 φυγὼν] καὶ φυγὼν V 12 ῥᾳθυμίαν GI 13 τοῦ om. V 14 δεινοῦ V 16 εἰς] ὡς G 17 ἐρωτᾷ om. V πεπαύσεται Perizonius ποτε] ποτε καὶ A 22 δέ γ' ἐφ' coniecit Gsf. φίλτρον AM^{ac}: φίλτρων rell. 24 μὲν om. IV 26 τοι GIM: τι A μοι V

1149 Διόδωρος, μονάζων, ἐν τοῖς χρόνοις Ἰουλιανοῦ καὶ Οὐάλεντος Hesy
ἐπισκοπήσας Ταρσῶν τῆς Κιλικίας. οὗτος ἔγραψεν, ὥς φησι Θεόδωρος Ἀναγνώστης ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ, διάφορα. εἰσὶ δὲ τάδε· Ἑρμηνεῖαι εἰς τὴν παλαιὰν πᾶσαν· Γένεσιν, Ἔξοδον καὶ ἐφεξῆς· καὶ Εἰς Ψαλμούς· Εἰς τὰς δ' Βασιλείας· Εἰς τὰ ζητούμενα τῶν Παραλειπομένων, Εἰς τὰς Παροιμίας, Τίς διαφορὰ θεωρίας καὶ ἀλληγορίας, Εἰς τὸν Ἐκκλησιαστήν, Εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων, Εἰς τοὺς προφήτας, Χρονικόν, διορθούμενον τὸ σφάλμα Εὐσεβίου τοῦ Παμφίλου περὶ τῶν χρόνων, Εἰς τὰ δ' Εὐαγγέλια, Εἰς τὰς πράξεις τῶν Ἀποστόλων, Εἰς τὴν ἐπιστολὴν Ἰωάννου τοῦ Εὐαγγελιστοῦ, Περὶ τοῦ, εἷς θεὸς ἐν τριάδι, Κατὰ Μελχισεδεκιτῶν, Κατὰ Ἰουδαίων, Περὶ νεκρῶν ἀναστάσεως, Περὶ ψυχῆς κατὰ διαφόρων περὶ αὐτῆς αἱρέσεων, Πρὸς Γρατιανὸν κεφάλαια, Κατὰ ἀστρονόμων καὶ ἀστρολόγων καὶ εἱμαρμένης, Περὶ σφαίρας καὶ τῶν ζ' ζωνῶν καὶ τῆς ἐναντίας τῶν ἀστέρων πορείας, Περὶ τῆς Ἱππάρχου σφαίρας, Περὶ προνοίας, Κατὰ Πλάτωνος περὶ θεοῦ καὶ θεῶν, Περὶ φύσεως καὶ ὕλης, ἐν ᾧ, τί τὸ δίκαιόν ἐστι, Περὶ θεοῦ καὶ ὕλης Ἑλληνικῆς πεπλασμένης, Ὅτι αἱ ἀόρατοι φύσεις οὐκ ἐκ τῶν στοιχείων, ἀλλ' ἐκ μηδενὸς μετὰ τῶν στοιχείων ἐδημιουργήθησαν, Πρὸς Εὐφρόνιον φιλόσοφον κατὰ πεῦσιν καὶ ἀπόκρισιν, Κατὰ Ἀριστοτέλους περὶ σώματος οὐρανίου, Πῶς θερμὸς ὁ ἥλιος, Κατὰ τῶν λεγόντων ζῷον τὸν οὐρανόν, Περὶ τοῦ πῶς ἀεὶ μὲν ὁ δημιουργός, οὐκ ἀεὶ δὲ τὰ δημιουργήματα, Πῶς τὸ θέλειν καὶ τὸ μὴ θέλειν ἐπὶ θεοῦ ἀϊδίου ὄντος, Κατὰ Πορφυρίου περὶ ζώων καὶ θυσιῶν.

1150 Διόδωρος, ὁ Οὐαλέριος ἐπικληθείς, φιλόσοφος, μαθητὴς Τηλε- Hesy.
κλέους, Ἀλεξανδρεύς, υἱὸς Πωλίωνος τοῦ φιλοσόφου, τοῦ γράψαντος τὴν Ἀττικὴν λέξιν· γεγονὼς ἐπὶ τοῦ Καίσαρος Ἀδριανοῦ.

1151 Διόδωρος, Σικελιώτης, ἱστορικός. ἔγραψε Βιβλιοθήκην· ἔστι Hesy.
δὲ ἱστορία Ῥωμαϊκή τε καὶ ποικίλη ἐν βιβλίοις μ'. γέγονε δὲ ἐπὶ τῶν χρόνων Αὐγούστου Καίσαρος καὶ ἐπάνω.

1152 Διόδωρος, καὶ αὐτὸς κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Hesy.
Αὐλητρίς, ὡς Ἀθήναιος ἐν τῷ δεκάτῳ τῶν Δειπνοσοφιστῶν λέγει. ἐν Hesy.?
δὲ τῷ ιβ' φησίν, ὅτι καὶ Ἐπίκληρος καὶ Πανηγυρισταί.

1153 Δίοδοι: αἱ ὁδοί, ἀπὸ τοῦ διοδεύειν. Ἀριστοφάνης· αἱ δὲ Ar.
γυναῖκες κατὰ τὰς διόδους προσπίπτουσαι τοῖς ἀπὸ τοῦ δείπνου, τάδε λέξουσι· δεῦρο παρ' ἡμᾶς, ἐνθάδε μεῖραξ ἔσθ' ὡραία.

1149 cf. Wentzel TU 13, 3, 35 sq., Hieron. vir. ill. 127, Phot. Bibl. cod. 223
1152 Ath. 10, 431c; cf. 6, 235d et 239a 1153 Ar. Eccl. 693—6 c. sch.

1150 cf. v. Πωλίων 2 1153 cf. v. προσπίπτουσαι

5 Ψαλμούς· καὶ εἰς VM 6 Τίς—7 ᾀσμάτων om. V 11 Μελχισεδεκιστῶν V A(GITFVM)
12 κατὰ] καὶ Kust. 19 πρὸς Εὐφράσιον Harnack TU n. F. 6, 4, 41 et 42, 3
20 οὐρανοῦ ITV Πῶς] καὶ Πῶς GIT 22 τὸ μὴ] μὴ τὸ V 28 τε om. V 32 ιβ'] β' F Daub (Jb. Suppl. 11, 484, n. 61) ς' Reinesius

E 1154 Διοκαισάρεια, ἡ νῦν λεγομένη Ἀνάζαρβα, πόλις ἐν Κιλικίᾳ· πρότερον δὲ Κύϊνδα ἐλέγετο. καὶ ζήτει ἐν τῷ Ἀνάζαρβα.

Hesy. 1155 Διοκλῆς, Ἀθηναῖος ἢ Φλιάσιος, ἀρχαῖος κωμικός, σύγχρονος Σαννυρίωνι καὶ Φιλυλλίῳ. δράματα αὐτοῦ Θάλαττα, Μέλιτται, Ὄνειροι, Βάκχαι, Θυέστης β′. τοῦτον δέ φασιν εὑρεῖν καὶ τὴν ἐν τοῖς ὀξυβάφοις ἁρμονίαν ἐν ὀστρακίνοις ἀγγείοις, ἅπερ ἔκρουεν ἐν Ξυλιφίῳ. τὸ δὲ Θάλαττα ἑταίρας ὄνομά ἐστιν, ὡς Ἀθήναιός φησιν.

EV 1156 Διοκλητιανός, βασιλεὺς Ῥωμαίων. ἐπὶ τούτου καὶ Μαξιμιανοῦ γαμβροῦ αὐτοῦ διωγμὸς κατὰ Χριστιανῶν ἐκινήθη φρικωδέστατος· προσέταξαν γὰρ κατὰ χώραν καὶ πόλιν τάς Χριστοῦ ἐκκλησίας καταστρέφεσθαι καὶ τὰς θείας αὐτῶν γραφὰς κατακαίεσθαι, τοὺς δὲ Χριστιανοὺς εὑρισκομένους ἀναγκάζεσθαι θύειν τοῖς δαίμοσιν. ἡττηθέντες δὲ τῷ πλήθει τῶν ἀναιρουμένων Χριστιανῶν ἐξέθεντο δόγμα ὥστε τοὺς εὑρισκομένους Χριστιανοὺς ἐξορύττεσθαι τὸν δεξιὸν ὀφθαλμόν, οὐ μόνον διὰ τὸ ὀδυνηρόν, ἀλλὰ διὰ τὸ ἄτιμόν τε καὶ πρόδηλον καὶ τῆς τῶν Ῥωμαίων πολιτείας ἀλλότριον· οὓς ἡ θεία δίκη ἐνδίκως μετελθοῦσα δικαίως ἐξέκοψε· καὶ ὁ μὲν ἐσφάγη ὑπὸ τῆς συγκλήτου, ὁ δὲ ἀπήγξατο. οὗτος ὁ ἄνους καὶ μισόχριστος μνήμῃ καὶ ὀργῇ τῶν περὶ τὴν ἀρχὴν νεωτερισθέντων περὶ τὴν Αἴγυπτον οὐ μετρίως οὐδὲ ἡμέρως τῷ κρατεῖν ἀπεχρήσατο, ἀλλὰ προγραφαῖς τε καὶ φόνοις τῶν ἐπισήμων μιαίνων ἐπῆλθε τὴν Αἴγυπτον. ὅτε δὴ καὶ τὰ περὶ χημείας ἀργύρου καὶ χρυσοῦ τοῖς παλαιοῖς αὐτῶν γεγραμμένα βιβλία διερευνησάμενος ἔκαυσε πρὸς τὸ μηκέτι πλοῦτον Αἰγυπτίοις ἐκ τῆς τοιαύτης περιγίνεσθαι τέχνης μηδὲ χρημάτων αὐτοὺς θαρροῦντας περιουσίᾳ τοῦ λοιποῦ Ῥωμαίοις ἀνταίρειν. ἦν δὲ τὸ ἦθος ποικίλος τις καὶ πανοῦργος, τῷ δὲ λίαν συνετῷ καὶ ὀξεῖ τῆς γνώμης ἐπεκάλυπτε πολλάκις τὰ τῆς οἰκείας φύσεως ἐλαττώματα, πᾶσαν σκληρὰν πρᾶξιν ἑτέροις ἀνατιθείς. ἐπιμελὴς δὲ ὅμως καὶ ταχὺς ἐν ταῖς τῶν πρακτέων ἐπιβολαῖς καὶ πολλὰ τῶν τῆς βασιλικῆς θεραπείας ἐπὶ τὸ αὐθαδέστερον παρὰ τὰ καθεστηκότα Ῥωμαίοις πάτρια μετεσκεύασεν.

E ὅτι Διοκλητιανὸς καὶ Μαξιμιανὸς τὴν βασιλείαν ἀφέντες τὸν ἰδιώτην μετῆλθον βίον. καὶ ὁ μὲν ἐς Σάλωνας, πόλιν Ἰλλυρικήν, ὁ δὲ ἐς τὴν Λευκανῶν ἀφίκετο. καὶ ὁ μὲν Μαξιμιανὸς πόθῳ τῆς ἀρχῆς ἐς μεταμέλειαν ἦλθε, Διοκλητιανὸς δὲ ἐν ἡσυχίᾳ κατεγήρα ἐν ἔτεσι τρισίν,

1155 vs. 7 Ἀθήναιός 13, 567 c 1156 — vs. 18 ἀπήγξατο Georg. 477, 9—15, 481, 12—19 = EV 1, 146, 14—25 vs. 18 οὗτος—30 μετεσκεύασεν Io. Antioch. fr. 165, FHG 4, 601 sq. = EV 1, 196, 3—16 ὅτι sq. cf. Eutrop. 167, fort. Io. Antioch.

1154 cf. v. A 1866 et v. Κύϊνδα 1155 hinc v. ὀξύβαφον extr. et v. Ξυλιφίων; cf. v. A 3977 (p. 364, 11—13) 1156 Io. Antioch. cf. v. χημεία

A(GITVM) 2 Κυΐναδα A 15 ἀλλὰ καὶ διὰ T Exc. Georg. 20 ἡμέρως VM 22 περὶ om. A χημείας GITM^{ec}: χειμείας AM^{ac} μοιχείας V 23 βιβλίοις M cp. A 24 αὐτοὺς] αὐτῶν VM

ὑπερβάλλουσαν ἀρετὴν ἐνδειξάμενος, τῆς δὲ Ἑλληνικῆς θρησκείας οὐδ' ὅλως ἀποστάς.

1157 Διοκωχή: ἀνακωχὴ χρόνου. ἐν μάχαις τισὶν αὐτοὺς νικήσας καὶ διοκωχὴν αἰτήσασιν ἔδωκεν. Σ E

1158 Διολισθαίνω. καὶ Διολισθεῖν, ἐκφυγεῖν. ὥστε τοὺς χρήστας διολισθεῖν. τουτέστι τοὺς δανειστὰς ἐκφυγεῖν. Δ Ar.

1159 Διολκή. Σ

1160 Διόλου: ἐπίρρημα, Δι' ὅλου δὲ καιροῦ. Δ

1161 Διόμεια: δῆμος τῆς Αἰγηΐδος φυλῆς· ἀπὸ Διόμου τοῦ Ἡρακλέους. Ἀριστοφάνης· ἐφρόντισα, ὁπόθ' Ἡράκλεια τἀν Διομείοις γίνηται. τὸ δὲ Ἡράκλειον ἱερὸν Ἡρακλέους. καὶ Διομειαλαζόνας λέγει ἀπὸ Διομείων τοῦ δήμου, ὃς ὠνόμασται οὕτως ἀπό τινος Διόμου. Ar.

1162 Διομήδεια: ἡ νῆσος. Δ

1163 Διομήδειον ἔπος. Δ

1164 Διομήδειος ἀνάγκη. λέγεται καὶ ἵππος. παροιμία, ἀπὸ τοῦ Τυδέως ἢ ἀπὸ τοῦ Θρᾳκός· ὃς ἠνάγκαζε τοὺς ξένους αἰσχραῖς οὔσαις ταῖς θυγατράσιν αὐτοῦ μίσγεσθαι (ἃς καὶ ἵππους ἀλληγορεῖ), εἶτα ἀνῄρει. οἱ δέ, ὅτι Διομήδης καὶ Ὀδυσσεὺς τὸ Παλλάδιον κλέψαντες νυκτὸς ἐπανῆεσαν. ἐπόμενος δὲ ὁ Ὀδυσσεὺς τὸν Διομήδην ἐβουλήθη ἀποκτεῖναι. ἐν τῇ σελήνῃ δὲ ἰδὼν τὴν σκιὰν τοῦ ξίφους ὁ Διομήδης, δείσας τὸν Ὀδυσσέα ἐποίησε προάγειν παίων αὐτοῦ τῷ ξίφει τὸ μετάφρενον. τάττεται δὲ ἐπὶ τῶν κατ' ἀνάγκην τι πραττόντων. διὰ τοῦτο λέγει, ὅτι ἵππους ἀνθρωποφάγους εἶχεν ὁ Διομήδης. ὅτι Διομήδης εἰς τὸν ἀπόπλουν καταχθεὶς εἰς τὰ ἴδια οὐκ ἐδέχθη, ἀλλὰ διωχθεὶς ἀπῆλθεν εἰς Καλαβρίαν καὶ κτίζει πόλιν, ἣν ἐκάλεσεν Ἀργυρίππην, τὴν μετονομασθεῖσαν Βενεβεντόν. Ar. Suid.

1165 Διόμνυται: ὀμνύει. Δ

1166 Διομολογῶ· αἰτιατικῇ. Synt.

1167 Δῖον: ἔνδοξον. Σ

1157 — χρόνου cf. Ba 199, 25 = Σ^a; H 1158 Διολισθεῖν sq. Ar. Nu. 434 c. sch. 1159 cf. Ba 199, 25 = Σ^a 1161 — vs. 11 Ἡρακλέους Ar. Ran. 650—1 c. sch. cf. An. Ox. 1, 83, 2, Et. M. 277, 21. Διομειαλαζόνας sq. sch. in Ar. Ach. 603 1162 = Ambr. 578 cf. Eust. in Dion. 483 1164 ἵππος cf. Ambr. 517 — vs. 23 πραττόντων cf. Zen. III 8, sch. Pl. Rep. 203 d, Eust. I. 822, 19, H, sch. Ar. Eccl. 1029; vs. 19 οἱ—23 πραττόντων = Sabb. vs. 24 διὰ—Διομήδης sch. Ar. Eccl. 1029 1165 = L cf. Ambr. 660 1166 = Synt. Laur. 1167 = Ba 199, 26, Et. M. 278, 15

1157 Z 521 1158 cf. v. στρεψοδικῆσαι. Z 552 1161 cf. v. πανοῦργος 1162 Z 521 1163 Z 526 1164 vs. 24 ὅτι alt. sq. ex v. B 287 1167 cf. 1202

1 τῆς—2 ἀποστάς mg. A 1. 2 οὐδ' ὅλως] οὐκ VM οὐαὶ αὐτῷ καὶ μετὰ τὴν ἄσκησιν mg. add. AM post gl. GIT 3 ἐν—4 ἔδωκεν om. GIT mg. A 1160 om. F 8 Δι'—καιροῦ om. T 9 Διόμου] Δ. ἐρωμένου sch. 16 λέγεται καὶ ἵππος ex GI 17 ὃς—27 Βενεβεντόν] καὶ τὰ ἑξῆς F 18 μίσγεσθαι AGI: μίγνυσθαι TVM 24 ὅτι—27 Βενεβεντόν om. GT mg. A A(GITFVM)

Σ? 1168 Διονύσια: ἑορτὴ παρ' Ἀθηναίοις. καὶ παροιμία· ἐξ αὐτοῦ
Ar. σχεδὸν τοσοῦτον, ὅσον ἐκ Διονυσίων. ἔθος ἦν Ἀττικοῖς λέγειν τὰ ἔτη καὶ τὸν ὑπερπίπτοντα ἀριθμὸν ἀπὸ τῶν Διονυσίων. καὶ αὖθις· ὦ Διονύσια· αὗται μὲν ὄζους· ἀμβροσίας καὶ νέκταρος. εἴρηται ἐπὶ τῶν ἀποδοχῆς ἀξίων. προσδοκῶν εἰρήνης οὔσης τῶν Διονυσίων τὴν πανήγυριν ἔσεσθαι. ἀντὶ τοῦ ἥδισται, ἄξιαι τῶν Διονυσίων. Διονύσια οὖν ἑορτὴ Διονύσου, ἣν ἦγον Ναυπάκτιοι.

Hesy. 1169 Διονυσιάδης, Φυλαρχίδου, Μαλλώτης, τραγικός. ἦν δὲ οὗτος τῶν τῆς Πλειάδος, καὶ γέγραπται αὐτῷ μεταξὺ ἄλλων καὶ Χαρακτῆρες ἢ Φιλοκώμῳδοι, ἐν ᾧ τοὺς χαρακτῆρας ἀπαγγέλλει τῶν ποιητῶν.

Suid. ὅτι Ἀπολλώνιον βραχέως τὸ ἱερὸν τοῦ Ἀπόλλωνος.

Hesy 1170 Διονύσιος ὁ Ἀρεωπαγίτης, ἐπίσκοπος Ἀθηνῶν, ἀνὴρ ἐλλογιμώτατος καὶ τῆς Ἑλληνικῆς παιδείας εἰς ἄκρον ἐληλακώς, ἀκουστὴς Παύλου πρὸς τὴν τοῦ Χριστιανισμοῦ θρησκείαν καὶ ὑπ' αὐτοῦ κατασταθεὶς εἰς αὐτὰς τὰς Ἀθήνας ἐπίσκοπος. πρὸς δὲ τὴν πάτριον τῶν Ἑλληνικῶν μαθημάτων ἄσκησιν πάντων προὐκέκριτο· ἑκάστης γὰρ ὡς εἰπεῖν αἱρέσεως τῆς ὑπ' αὐτῶν πρεσβευομένης ἐν πολλῇ καθεστήκει τῇ πείρᾳ. οὗτος ἤκουσε Παύλου δημηγοροῦντος ἐν Ἀθήναις καὶ τὸν Χριστὸν καὶ τὴν ἀνάστασιν μετὰ παρρησίας τοῖς Ἕλλησιν εὐαγγελιζομένου. καὶ πιστεύσας τῷ Παύλου κηρύγματι ὑπ' αὐτοῦ καὶ τῆς πόλεως ἐπισκοπεῖν τάττεται. κατὰ γοῦν τὴν ἀρχὴν Τιβερίου Καίσαρος, ὅτε δὴ καὶ τὴν ἡλικίαν ἤκμαζεν, ἀπῆρεν εἰς Αἴγυπτον τοῖς ἐκεῖσε σοφοῖς ὁμιλήσαι γλιχόμενος. συνῆν δὲ αὐτῷ καὶ Ἀπολλοφάνης ἐκεῖνος ὁ σοφιστής, οὗ Πολέμων ὁ Λαοδικεὺς ἐν Σμύρνῃ διήκουσεν, ὁ διδάσκαλος Ἀριστείδου. κατὰ γοῦν τὸν καιρὸν τοῦ σωτηρίου πάθους τοῦ δεσπότου Χριστοῦ, ἄμφω ἦστην ἐν Ἡλιουπόλει τῇ ἐν Αἰγύπτῳ. καὶ δὴ τῆς ἡλιακῆς ἐκλείψεως οὐ κατὰ φύσιν γεγενημένης, οὐ γὰρ ἦν συνόδου καιρός, εἰπεῖν λέγεται πρὸς τὸν μακάριον Διονύσιον τὸν σοφιστὴν Ἀπολλοφάνην ταῦτα· ὦ καλὲ Διονύσιε, ἀμοιβαὶ θείων πραγμάτων. μνημονεύει δὲ τούτων ἁπάντων ὁ αὐτὸς Διονύσιος ἐν τῇ πρὸς Πολύκαρπον τὸν μέγαν ἐπιστολῇ, τὸν Σμύρνης ἐπίσκοπον·

1168 — Ἀθηναίοις cf. Bk. 235, 6 = H, sch. Pl. Rep. 475 d; L vs. 1 ἐξ— 2 Διονυσίων Ar. Th. 750 c. sch. vs. 4 ὦ sq. Ar. Ach. 196—7 c. sch. 1170 Bibliotheca hagiographica gr.³ n. 558. cf. Wentzel TU 13, 3, 39 sq.; p. 107, 3 σὺ— 33 εἴρηκεν Dionys. Ar. ad Polycarp. PG 3, 1080 a—1081 c cf. 4, 628 c—629 a; p. 108, 24 ἱστέον—31 λόγων = sch. ad Dionys. Ar. PG 4, 21 d

1168 cf. 1183; Ar. Ach. cf. v. ὄζουσιν 1169 hinc v. Μαλλώτης. ὅτι sq. ex v. A 3418 1170 vs. 24 cf. v. Πολέμων 3

A(GITFVM) 1 καὶ—7 Ναυπάκτιοι om. F 5 προσδοκῶν—7 Ναυπάκτιοι om. V cf. p. 111, 2 οὔσης—Ναυπάκτιοι om. GIT et in lac. M; ἐντεῦθεν εὑρέθη φύλλον ἄγραφον ἐν τῷ ἑτέρῳ βιβλίῳ ὡς δοκεῖν ἐλλελεῖφθαι πολὺ ἐκ τοῦ τοιούτου τόπου mg. add. M 1169 ex A 9 μεταξὺ ἄλλων corruptum esse vidit Bhd.: 10 Φιλοκώμῳδος Mein. ante 1170 lac. in A 12 Ἀρεοπαγίτης GI^{ac}TVM^{ac} 13 ἀκουστὴς— p. 109, 20 ἑξῆς om. F 14 πρὸς—θρησκείαν ex A 15 πρὸς—21 τὴν] οὗτος ὁ Ἀρεωπαγίτης κατὰ τὴν GITVM 22 ὅτε—ἤκμαζεν ex A 23 ὁμιλῆσαι γλιχόμενος A: ὁμιλήσων rell. ἐκεῖνος ex A 26 τοῦ δεσπότου Χριστοῦ ex A τῇ] τὴν A 28 εἰπεῖν—p. 107, 18 συνεστῶτε] ἀλλὰ GITVM 30 ὁ αὐτὸς A: αὐτὸς ὁ Wentzel

ἦν γὰρ ὁ Ἀπολλοφάνης τῷ Διονυσίῳ τοῦ Χριστιανισμοῦ ἕνεκα διαλοιδορούμενος· καί φησι· σὺ δὲ φῂς λοιδορεῖσθαί μοι τὸν σοφιστὴν Ἀπολλοφάνην καὶ πατραλοίαν ἀποκαλεῖν, ὡς τοῖς Ἕλλησιν ἐπὶ τοὺς Ἕλληνας οὐχ ὁσίως χρωμένῳ. καίτοι πρὸς αὐτὸν ἡμᾶς ἦν ἀληθέστερον εἰπεῖν, ὡς Ἕλληνες τοῖς θείοις οὐχ ὁσίως ἐπὶ τὰ θεῖα χρῶνται διὰ τῆς σοφίας τοῦ θεοῦ τὸ θεῖον ἐκβάλλειν πειρώμενοι σέβας. καὶ μετὰ μικρόν· ἀλλὰ καὶ αὐτὸς Ἀπολλοφάνης οὐχ ὁσίως τοῖς θείοις ἐπὶ τὰ θεῖα χρῆται. τῇ γὰρ τῶν ὄντων γνώσει καλῶς λεγομένῃ πρὸς αὐτοῦ φιλοσοφίᾳ καὶ πρὸς τοῦ θείου Παύλου σοφίᾳ θεοῦ κεκλημένῃ πρὸς τὸν αἴτιον καὶ αὐτῶν τῶν ὄντων καὶ τῆς γνώσεως αὐτῶν ἐχρῆν ἀνάγεσθαι τοὺς ἀληθεῖς φιλοσόφους. καὶ μετὰ βραχέα· ἔδει συνιδεῖν Ἀπολλοφάνην σοφὸν ὄντα μὴ ἂν ἄλλως ποτὲ δυνηθῆναι τῆς οὐρανίας τι παρατραπῆναι τάξεως καὶ κινήσεως, εἰ μὴ τὸν τοῦ εἶναι αὐτὴν καὶ συνοχέα καὶ αἴτιον ἔχειν εἰς τοῦτο κινοῦντα, τὸν ποιοῦντα πάντα καὶ μετασκευάζοντα, κατὰ τὸν ἱερὸν λόγον. καὶ αὖθις μετὰ μικρόν· εἰπὲ δὲ αὐτῷ, τί λέγεις περὶ τῆς ἐν τῷ σωτηρίῳ σταυρῷ γεγονυίας ἐκλείψεως; ἀμφοτέρω γὰρ τότε κατὰ Ἡλιούπολιν ἅμα παρόντε καὶ συνεστῶτε παραδόξως τῷ ἡλίῳ τὴν σελήνην ἐμπίπτουσαν ἐωρῶμεν, οὐ γὰρ ἦν συνόδου καιρός, αὖθίς τε αὐτὴν ἀπὸ τῆς ἐνάτης ὥρας ἄχρι τῆς ἑσπέρας εἰς τὸ τοῦ ἡλίου διάμετρον ὑπερφυῶς ἀντικατασταῖσαν. ἀνάμνησον δέ τι καὶ ἕτερον αὐτόν· οἶδε γὰρ ὅτι καὶ τὴν ἔμπτωσιν αὐτὴν ἐξ ἀνατολῶν ἑωράκαμεν ἀρξαμένην καὶ μέχρι τοῦ ἡλιακοῦ πέρατος ἐλθοῦσαν, εἶτα ἀναποδίσασαν, καὶ αὖθις οὐκ ἐκ τοῦ αὐτοῦ καὶ τὴν ἔμπτωσιν καὶ τὴν ἀνακάθαρσιν, ἀλλ' ἐκ τοῦ κατὰ διάμετρον ἐναντίου γεγενημένην. τοσαῦτα τοῦ τότε καιροῦ τὰ ὑπερφυῆ καὶ μόνῳ Χριστῷ τῷ παναιτίῳ δυνατά, τῷ ποιοῦντι μεγάλα καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός. ταῦτα, εἴ σοι θεμιτόν, εἰπέ, καὶ δυνατόν, Ἀπολλόφανες, ἐξέλεγχε καὶ πρὸς ἐμὲ τὸν τότε συμπαρόντα σοι καὶ συνεωρακότα καὶ συνανακρίναντα πάντα καὶ συναγάμενον. ἀμέλει καὶ μαντείας τότε οὐκ οἶδ' ὅθεν ὁ Ἀπολλοφάνης ἀπάρχεται, καὶ πρὸς ἐμὲ ὥσπερ τὰ γινόμενα συμβάλλων ἔφη ταῦτα· ὦ καλὲ Διονύσιε· θείων ἀμοιβαὶ πραγμάτων. τοσαῦτα ὡς κατ' ἐπιστολὴν εἴρηκεν ὁ μέγας Διονύσιος πρὸς τὸν θεοφόρον Πολύκαρπον. τῆς δέ γε σοφίας αὐτοῦ καὶ τῆς εὐγλωττίας ἔνδειξις ἀκριβὴς ἡ τῶν παρ' αὐτοῦ γραφεισῶν βίβλων ἀνυπέρβλητος φράσις· τῇ τε γὰρ παρὰ τῶν ἔξωθεν καλουμένῃ παιδείᾳ, τῇ τε θείᾳ καὶ ἡμετέρᾳ, πολλὴν εἶχε τὴν ἐπιστήμην ἐν ἑκατέρᾳ. εἰ

1 Χριστιανισμοῦ Ald.: Χριστιανισμῷ A 14 ἔχειν A ἔσχεν Dionys. Kust. A(GITVM) 18 τὴν—19 αὐτὴν] τῆς σελήνης ἐμπιπτούσης καὶ GITVM 20 ἀντικατασταῖσαν —22 ἀρξαμένην] ἀντικαταστάσης· ἦν γὰρ ἡ ἔμπτωσις αὐτῆς ἐξ ἀνατολῶν ἀρξαμένη GITVM 23 ἐλθοῦσαν—ἀναποδίσασαν] ἐλθοῦσα—ἀναποδίσασα GITVM 24 τὴν pr.—ἀνακάθαρσιν] ἡ ἔμπτωσις (ἔκπτωσις I) καὶ ἡ ἀνακάθαρσις GITVM 25 γεγενημένην—p. 108, 3 γέγραπται] γεγενημένη· ἃ οὐκ ἔξεστιν ἄλλως γενέσθαι, εἰ μὴ ὁρισμῷ καὶ οἰκονομίᾳ μόνου τοῦ παντοδυνάμου. τούτων τῶν ὑπερφυῶν οὕτω τότε καινουργηθέντων ἔφη ὁ σοφιστὴς Ἀπολλοφάνης ὥσπερ προφητευσάμενος· ὦ καλὲ Διονύσιε· ἀμοιβαὶ θείων πραγμάτων. ὁ αὐτὸς Διονύσιος ἔφη· ἢ τὸ θεῖον πάσχει ἢ τῷ πάσχοντι συμπάσχει· ἔγραψε δὲ ὁ αὐτὸς GITVM cf. p. 106, 29

γάρ τις ἀπίδοι πρὸς τὰ κάλλη τῶν αὐτοῦ λόγων καὶ τὰ βάθη τῶν νοημάτων οὐκ ἀνθρωπίνης φύσεως ταῦτα νομίσοι γεννήματα, ἀλλά τινος ἀκηράτου καὶ θείας δυνάμεως. καὶ τοίνυν αὐτῷ γέγραπται τάδε· Πρὸς Τιμόθεον ἐπίσκοπον Ἐφέσου, καὶ αὐτὸν μαθητὴν Παύλου τυγχάνοντα, περὶ θείων ὀνομάτων βιβλία ιβ′, περὶ ἡνωμένης καὶ διακεκριμένης θεολογίας, περὶ τοῦ, τίς ἡ τῆς εὐχῆς δύναμις, καὶ περὶ τοῦ μακαρίου Ἱεροθέου, περὶ εὐλαβείας καὶ συγγραφῆς θεολογικῆς, περὶ ἀγαθοῦ, φωτός, καλοῦ, ἔρωτος, ἐκστάσεως, ζήλου· καὶ ὅτι τὸ κακὸν οὔτε ὂν οὔτε ἐξ ὄντων οὔτε ἐν τοῖς οὖσιν, περὶ τοῦ ὄντος, ἐν ᾧ καὶ παραδείγματα, περὶ ζωῆς, περὶ σοφίας, νοῦ, λόγου, ἀληθείας, πίστεως, περὶ δυνάμεως, δικαιοσύνης, σωτηρίας, ἀπολυτρώσεως, περὶ μεγάλου καὶ μικροῦ, ταὐτοῦ, ἑτέρου, ὁμοίου, ἀνομοίου, στάσεως, κινήσεως, ἰσότητος, περὶ παντοκράτορος, παλαιοῦ ἡμερῶν· ἐν ᾧ καὶ περὶ αἰῶνος καὶ χρόνων· περὶ εἰρήνης, καὶ τί βούλεται αὐτὸ τὸ αὐτοεῖναι, περὶ ἁγίου ἁγίων, βασιλέως βασιλέων καὶ κυρίου κυρίων καὶ θεοῦ θεῶν. ἑτέρα βίβλος πρὸς τὸν αὐτὸν Τιμόθεον περὶ ἐκκλησιαστικῆς ἱεραρχίας περιέχουσα κεφάλαια ιε′, ἑτέρα βίβλος πρὸς τὸν αὐτὸν Τιμόθεον περὶ τῆς οὐρανίου ἱεραρχίας περιέχουσα καὶ αὐτὴ κεφάλαια ιε′, ἄλλη πρὸς τὸν αὐτὸν Τιμόθεον βίβλος περὶ μυστικῆς θεολογίας περιέχουσα κεφάλαια ε′, Περὶ τῶν οὐρανίων ταγμάτων καὶ ὅσα τῷ ἀριθμῷ. φέρονται δὲ αὐτοῦ καὶ ἐπιστολαὶ πρὸς Γάϊον θεραπευτὴν δ′, πρὸς Δωρόθεον λειτουργὸν α′, πρὸς Σώπατρον ἱερέα α′, πρὸς Πολύκαρπον ἱεράρχην Σμύρνης α′, πρὸς Δημόφιλον θεραπευτὴν α′, πρὸς Ἰωάννην τὸν Θεολόγον, τὸν ἀπόστολον καὶ εὐαγγελιστὴν α′. ἱστέον δέ, ὥς τινες τῶν ἔξω σοφῶν καὶ μάλιστα Πρόκλος θεωρήμασι πολλάκις τοῦ μακαρίου Διονυσίου κέχρηται καὶ αὐταῖς δὲ ξηραῖς ταῖς λέξεσι. καὶ ἔστιν ὑπόνοιαν ἐκ τούτου λαβεῖν ὡς οἱ ἐν Ἀθήναις παλαιότεροι τῶν φιλοσόφων σφετερισάμενοι τὰς αὐτοῦ πραγματείας, ὧν αὐτὸς μνημονεύει πρὸς Τιμόθεον γράφων, ἀπέκρυψαν, ἵνα πατέρες αὐτοὶ ὀφθῶσι τῶν θείων αὐτοῦ λόγων. ὁ τοίνυν θεοφάντωρ Διονύσιος ἤδη που μακρὸν ἐλάσας χρόνον καὶ πλήρης ἡμερῶν γεγονὼς τῷ τοῦ πνεύματος μαρτυρίῳ τῷ ὑπὲρ Χριστοῦ τελειοῦται ἐπὶ Τραϊανοῦ Καίσαρος, ὅτε καὶ ὁ θεοφόρος Ἰγνάτιος ἐν Ῥώμῃ τὸν τῆς ἀθανασίας διήθλησεν ἀγῶνα. ὅτι εἰς τὸν μέγαν Διονύσιον ἔγραψεν ἐγκώμιον Μιχαὴλ Σύγκελλος Ἱεροσολύμων, ἐν ᾧ φησιν· ὅσα δὲ δι' ἀγράφου παραδόσεως ἢ ἐγγράφως

1070 vs. 35 ὅσα sqq. Mich. Syncelli Encom. Dionys. PG 4, 625 d, 628 a—c

1070 vs. 34 hinc v. Μιχαὴλ 2

A(GITVM) 2 νομίσοι A: ἄν νομίσαι Wentzel 5 τυγχάνοντα ex A 6 καὶ ex A 8 ὅτι] ὅτε A 9 οὔτε ἐν τοῖς—οὖσιν ex A ἐν—10 παραδείγματα ex A 10 παραδείγματα Ald.: παραδειγμάτων A 13 ἐν ᾧ καὶ ex A 14 χρόνων AVM^{ac}: χρόνου GITM^{pc} περὶ εἰρήνης om. A καὶ alt.—αὐτοεῖναι ex A 15 καὶ pr. ex A καὶ alt. ex A 16 ἑτέρα—Τιμόθεον ex A 17 περιέχουσα —Τιμόθεον ex A 18 περιέχουσα—19 βίβλος ex A 19 περιέχουσα—20 ε′ ex A 20 Περὶ—ἀριθμῷ om. A 21 φέρονται—31 καὶ] οὗτος GITVM 31 τῷ pr. Bas.: τῶν omnes 31. 32 τῷ ὑπὲρ Χριστοῦ ex A 33 ἐν—p. 109, 3 Διονύσιος ex A

παρειλήφαμεν, ἥκομεν ὑμῖν τοῖς φιλακροάμοσι παραθησόμενοι. τοιοῦτος οὖν εἰς ἡμᾶς κατήντηκε λόγος, ἀνέκαθεν πρὸς πατρὸς παιδὶ παραδεδομένος, ὡς ὁ μέγας Διονύσιος οὗτος κατὰ τὸν τοῦ σωτηρίου πάθους καιρόν, ἡνίκα μεσούσης ἡμέρας ὁ ἥλιος ἐκρύπτετο, ἐπὶ τῷ παραδόξῳ σφόδρα τεθηπὼς καὶ τὴν ἀνθρωπείαν ὑπερβεβηκὼς γνῶσιν, κατανοήσας τὸ γεγονός, ἄγνωστος, ἔφη, πάσχει θεός, δι' ὃν τόδε τὸ πᾶν ἐζόφωταί τε καὶ σεσάλευται. καὶ παραχρῆμα τὸν χρόνον, καθ' ὃν τουτὶ τὸ παγκόσμιον ἐτετέλεστο τερατούργημα, τεκμηριωσάμενος ἐτήρει παρ' ἑαυτῷ, τοὐντεῦθεν διαγγελούμενον καραδοκῶν. μέμνηται μέντοι καὶ αὐτὸς ἐν τῇ πρὸς Πολύκαρπον ἐπιστολῇ τῆς ἡλιακῆς ἐκλείψεως ἐκείνης τῆς φρικωδεστάτης. Ἀπολλοφάνους γάρ, ἀνδρὸς φιλοσόφου, τὴν θρησκείαν Ἕλληνος τυγχάνοντος, νεμεσῶντός τε καὶ λοιδορουμένου τῷ τρισολβίῳ τούτῳ ὡς ἑταίρῳ δῆθεν ὄντι φιλτάτῳ καὶ ὁμογενεῖ, τὰ πατρῷα μὲν μυσαττομένῳ σεβάσματα, τὴν δὲ τῶν Χριστιανῶν προτιμῶντι καὶ ἀσπαζομένῳ πίστιν καὶ ταύτης ἀγωνιστικώτατα προασπίζειν, καὶ τοῖς Ἕλλήνων κατὰ τῶν Ἑλλήνων χρωμένῳ, τὴν λοιδορίαν καὶ νέμεσιν ἀνασκευάζειν πειρώμενος, μᾶλλον δὲ ὑποτιθέμενος τῷ Πολυκάρπῳ, πρὸς ὃν καὶ ὁ συστρατιώτης ἐποιεῖτο τὰ σκώμματα, τάδε φησί· σὺ δὲ φῆς λοιδορεῖσθαί μοι τὸν σοφιστὴν Ἀπολλοφάνην καὶ πατραλοίαν ἀποκαλεῖν· καὶ τὰ ἑξῆς.

1171 Διονύσιος, Ἁλικαρνασεύς, γεγονὼς ἐπὶ Ἀδριανοῦ Καίσαρος, σοφιστής, καὶ Μουσικὸς κληθεὶς διὰ τὸ πλεῖστον ἀσκηθῆναι τὰ τῆς μουσικῆς. ἔγραψε δὲ Ῥυθμικῶν ὑπομνημάτων βιβλία κδ', Μουσικῆς ἱστορίας βιβλία λς'· ἐν δὲ τούτοις αὐλητῶν καὶ κιθαρῳδῶν καὶ ποιητῶν παντοίων μέμνηται· Μουσικῆς παιδείας ἢ διατριβῶν βιβλία κβ', Τίνα μουσικῶς εἴρηται ἐν τῇ Πλάτωνος Πολιτείᾳ βιβλία ε'. Hesy.

1172 Διονύσιος, Ἀλεξανδρεύς, Θρᾷξ δὲ ἀπὸ τοῦ πατρὸς Τήρου Τῆρος τοὔνομα κληθείς, Ἀριστάρχου μαθητής, γραμματικός. ὃς ἐσοφίστευσεν ἐν Ῥώμῃ ἐπὶ Πομπηΐου τοῦ μεγάλου καὶ ἐξηγήσατο Τυραννίωνι τῷ προτέρῳ. συνέταξε δὲ πλεῖστα γραμματικά τε καὶ συνταγματικὰ καὶ ὑπομνήματα. Hesy.

1173 Διονύσιος, Ἀλεξανδρεύς, ὁ Γλαύκου υἱός, γραμματικός· ὅστις ἀπὸ Νέρωνος συνῆν καὶ τοῖς μέχρι Τραϊανοῦ καὶ τῶν βιβλιοθηκῶν προὔστη καὶ ἐπὶ τῶν ἐπιστολῶν καὶ πρεσβειῶν ἐγένετο καὶ ἀποκριμά- Hesy.

1172 cf. Et. M. 277, 52

1170 vs. 1—7 hinc v. A 2231

3 κατὰ—4 ἡνίκα] ἡνίκα ἐν τῷ καιρῷ τοῦ σωτηρίου πάθους GITVM A(GITFVM) 4 πάθους] πάθος A ἐπὶ—6 ἔφη] ἔφη· ἄγνωστος GITVM 6 τόδε ex A, v. A 2231 7 τε ex A καὶ alt.—20 ἑξῆς] δ καὶ ἐτεκμηριώσατο σημειωσάμενος τὸν καιρόν GITVM 16 προασπίζειν A: προασπίζοντι Bas. Syncell. 1171—2 om. GITVM 22 σοφιστής—31 ὑπομνήματα om. F καὶ] ὁ καὶ Daub 28 Τῆρος del. Hemst. 29 Ῥώμῃ A: Ῥόδῳ coll. v. Τυραννίων 1 et Ath. 11, 489a coni. Reines. καὶ—30 προτέρῳ post 28 γραμματικός transposuit Flach 32 ὅστις—36 Ἀλεξανδρείᾳ om. F 33 Νέρωνος] ἦν καὶ add. Rohde, Kl. Schr. 1, 119, 2 τοῖς post ὅστις transposuit Daub

των. ἦν δὲ καὶ διδάσκαλος Παρθενίου τοῦ γραμματικοῦ, μαθητὴς δὲ Χαιρήμονος τοῦ φιλοσόφου, ὃν καὶ διεδέξατο ἐν Ἀλεξανδρείᾳ.

Hesy. 1174 Διονύσιος, Ἀλεξάνδρου, Ἁλικαρνασσεύς, ῥήτωρ, καὶ παντοίως λόγιος· γέγονε δὲ ἐπὶ Καίσαρος τοῦ Σεβαστοῦ, πρόγονος τοῦ ἐπὶ Ἀδριανοῦ γεγονότος Ἀττικιστοῦ.

Hesy. 1175 Διονύσιος, Μιτυληναῖος, ἐποποιός. οὗτος ἐκλήθη Σκυτοβραχίων καὶ Σκυτεύς. τὴν Διονύσου καὶ Ἀθηνᾶς στρατιάν, Ἀργοναῦται ἐν βιβλίοις ϛ′· ταῦτα δέ ἐστι πεζά· Μυθικὰ πρὸς Παρμένοντα.

Hesy. 1176 Διονύσιος, Βυζάντιος, ἐποποιός. Περιήγησιν τοῦ ἐν τῷ Βοσπόρῳ ἀνάπλου, Περὶ θρήνων· ἔστι δὲ ποίημα μεστὸν ἐπικηδείων.

Hesy. 1177 Διονύσιος, Κορίνθιος, ἐποποιός. Ὑποθήκας, Αἴτια ἐν βιβλίῳ α′, Μετεωρολογούμενα· καὶ καταλογάδην Ὑπόμνημα εἰς Ἡσίοδον· Οἰκουμένης περιήγησιν δι' ἐπῶν. ταῦτα δὲ εὗρον καὶ ἐν Διονυσίῳ τῷ τὰ Λιθιακὰ γράψαντι· πότερος οὖν αὐτῶν οὐκ οἶδα.

Hesy. 1178 Διονύσιος, Σικελίας τύραννος· ἔγραψε τραγῳδίας καὶ κωμῳ-
E δίας καὶ ἱστορικά. ὅτι καὶ ἕτεροι ἐτυράννησαν, ἀλλ' ἡ τελευταία καὶ μεγίστη κάκωσις πάσαις ταῖς πόλεσιν ἡ Διονυσίου τυραννὶς ἐγένετο. περὶ Διονυσίου τοῦ τυράννου ζήτει περὶ Φιλοξένου διθυραμβοποιοῦ ἐν τῷ ἄπαγέ με εἰς τὰς λατομίας.

Hesy. 1179 Διονύσιος, υἱὸς τοῦ Σικελίας τυράννου καὶ αὐτὸς τύραννος καὶ φιλόσοφος. Ἐπιστολὰς καὶ Περὶ τῶν ποιημάτων Ἐπιχάρμου.

Hesy. 1180 Διονύσιος, Μιλήσιος, ἱστορικός. Τὰ μετὰ Δαρεῖον ἐν βιβλίοις ε′, Περιήγησιν οἰκουμένης, Περσικὰ Ἰάδι διαλέκτῳ, Τρωικῶν βιβλία γ′, Μυθικά, Κύκλον ἱστορικὸν ἐν βιβλίοις ζ′.

Hesy. 1181 Διονύσιος, Μουσωνίου, Ῥόδιος ἢ Σάμιος, ἱστορικός· ἦν δὲ καὶ ἱερεὺς τοῦ ἐκεῖσε ἱεροῦ τοῦ ἡλίου. Ἱστορίας τοπικὰς ἐν βιβλίοις ϛ′, Οἰκουμένης περιήγησιν, Ἱστορίας παιδευτικῆς βιβλία ι′. ὑπολαμβάνω ὅτι Διονύσιος ὁ Περιηγητὴς Βυζάντιος ἦν, διὰ τὸν ποταμὸν Ῥήβαν.

Hesy. 1182 Διονύσιος, Ἀλεξανδρείας· οὗ εὗρον ὑπόμνημα εἰς τὸν Ἐκκλησιαστὴν Σολομῶντος, λίαν εὐφραδές.

1181 ὑπολαμβάνω sq. cf. Wentzel TU 13, 3, 62

1178 ὅτι sq. hinc v. τύραννος 1 extr.

A (GITFVM) 2 Χαιρήμωνος A 3 Ἀλέξανδρος V παντοῖος GF cf. p. 101,7 4 τοῦ pr. om. GIT 6 ὁ Μιτυληναῖος A ἐποποιός coll. vs. 7 del. Gutschmid 7 καὶ pr.] ἢ Iacoby, qui lacunam post Σκυτεύς statuit Διονυσίου GI στρατείαν Port. 7. 8 Ἀργοναύτας V cp. T 8 Μυθικὰ πρὸς Παρμένοντα ad 1176 rettulit Gutschmid. πρὸς Παρμένοντα ad 10 θρήνων rettulit Bhd., reliqua sic refingens: Μυθικά, τὰ κατὰ τὴν Διονύσου καὶ Ἀθ. στρατείαν καὶ Ἀργοναῦται, ἐν β. ἕξ. 12 καὶ—Ἡσίοδον male collocata 13 Οἰκουμένης περιήγησιν cf. 1180 et 1181 15 ἔγραψε—17 ἐγένετο om. F 18 περὶ—19 λατομίας ex $A^{ms}IM^{ms}$ 19 ἐν τῷ AM: ζήτει I 22 μετὰ] κατὰ Gutschmid 23 Περιήγησιν οἰκουμένης ad 1173 rettulit Gutschmid, sed cf. 1177 et 1181 Τρωικῶν—24 γ′ ad 1175, Μυθικὰ ad 1176, κύκλον—ζ′ ad Samium 1181 rettulit Gutschmid 25 ἱστορικός—27 ι′ om. F 26 τοῦ alt. om. A Ἱστορικὰ V ἐν βιβλίοις AVM: βιβλία GIT 27 Ἱστορίαν A ὑπολαμβάνω—28 Ῥήβαν om. TF (V hac in parte glossas marginales habet) 29 οὗ εὗρον] οὗτος εὗρεν A 30 Σολομῶντα IM cp. V λίαν—p. 111, 11 ἀργαλεώτερος om. T εὐφραδέως GI

1183 Διονυσίων σκώμματα. ποτὲ μὲν βάλλων καὶ σκώπτων τοῖς ἐκ Διονυσίων σκώμμασιν. ἑορτὴ δὲ ἦν τὰ Διονύσια. ὃς λοξὰ Suid. βλέπων καὶ δεδορκὼς ἄλλο μὲν ἔκευθε φρεσίν, ἄλλο δὲ ἔφασκεν· οὗ ἁρᾶς καὶ πικρίας καὶ δόλου τὸ στόμα ἔγεμεν· ὃν ἐνδίκως ἡ δίκη δικάσασα κατεδίκασεν· ὃς κατὰ τὸν ποιητὴν ἐτώσιον ἄχθος ἀρούρης ἐτύγχανεν ὤν. ἀλλ' ἐς κόρακας βέβληται καὶ οἴχεται ἄϊστος, ἄπυστος, γιγλύμου πολυστροφώτερος ἐν τοῖς πρακτέοις ἀποδεικνύμενος, ἐρρέσθω, οἰχέσθω, μηδ' ἐν περιδείπνῳ ἐπαινεθησόμενος ὁ τρισβδέλυρος καὶ κυκῶν καὶ φύρδην καὶ μίγδην ποιῶν ἅπαντα, τὸ Κυκλώπειον τέρας· ὁ εἰδεχθὴς καὶ ἐμβρόντητος καὶ πλουτίνδην ἠρημένος βιῶναι, θεοῦ ὅπιν οὐκ ἀλέγων οὐδὲ κατεπτηχὼς ἀδράστειαν ἄφυκτον· ὁ βωμολοχεύων ἀεὶ καὶ πέρπερα γλιχρευόμενος, ὁ κυνῶν κύντερος καὶ δαιμόνων ἀργαλεώτερος.

1184 Διονυσόδωρος: ὄνομα κύριον. Δ

1185 Διόνυσος, ὁ Σεμέλης υἱός. παρὰ τὸ διανύειν ἑκάστοις τὸν ἄγριον βίον ζῶσιν. ἢ παρὰ τὸ διανοεῖν ἕκαστα τοῖς τὸν ἄγριον βίον ζῶσι.

1186 Δι' ὀξείας δραμεῖν: ἐπὶ τῶν διακινδυνευόντων. ὀξεῖαν γὰρ Prov. λέγουσι τὴν λόγχην.

1187 Διοπετές: ἐξ οὐρανοῦ κατερχόμενον. ὅτι οἱ παρ' Ἕλλησι Σ τὰ ξόανα κατασκευάζοντες φόβον ἐμποιῆσαι βουλόμενοι τοῖς ὁρῶσιν E ἔφασκον, ὅτι τὸ ἄγαλμα ἐξ οὐρανοῦ παρὰ τοῦ Διὸς ἐπέμφθη καὶ κατέπτη, κρεῖττον ὑπάρχον πάσης ἀνθρωπίνης χειρὸς καὶ ἀνάλωτον, ὅθεν καὶ διοπετὲς αὐτὸ καὶ οὐράνιον βρέτας ἐκάλουν, παρὰ τὸ βροτῷ ἐοικέναι. ὅπερ οὐχ οὕτως ἦν ἡ περὶ τῶν ἀγαλμάτων ματαία καὶ πεπλανημένη δόξα· ἀλλὰ τοὺς ἀγαλματοποιοὺς ἢ ἀποκτένοντες ἢ φυγαδεύοντες, ἵνα μηδένες εἰπεῖν ἔχοιεν ὅτι χειροποίητόν ἐστι τὸ ξόανον, φήμην πλάσαντες ἐν ταῖς ἀκοαῖς τῶν πεφενακισμένων ἠφίεσαν, ἥτις καὶ τὴν Ἐφεσίων ἐπλάνα πόλιν. ὅτι δὲ ἀληθές ἐστι τοῦτο, μαρτυρεῖ τὸ ἐν Ἀλεξανδρείᾳ γενόμενον· Πτολεμαῖος γὰρ συναγαγὼν τεχνίτας ὥστε τὸν τῆς Ἀρτέμιδος ἀνδριάντα ποιῆσαι, μετὰ τὸ ἔργον βόθρον μέγαν ὀρύξας καὶ τὸν δόλον κρύψας ἐκέλευσε τοὺς τεχνίτας

1183 ποτὲ—σκώμμασιν Synes. Dio PG 66, 1117c ὃς sq. Aeliano attr. et ad Dionysium mercatorem (fr. 71) rettulit Bhd. Byzantini aevi mihi videntur 1184 = Ambr. 477 1185 παρὰ sq. Artem. 2, 37 (p. 140, 29 sq.); διανύειν cf. Et. M. 277, 42 1186 = Zen. III 3 1187 — κατερχόμενον = Ba 199, 29, H vs. 18 οἱ sq. Georg. 2, 585, 23—586, 16

1183 Synes. cf. v. B 86 ἑορτὴ—Διονύσια ex 1168 1186 cf. v. ὀξεῖα 1187 Z 526. Georg. cf. v. B 534

1 σκώμματα AIF: σκωμμάτων GVM 2 Διονυσίου GI ἑορτὴ— A(GITFVM) 11 ἀργαλεώτερος om. F; μιχ αχ h. e. Μιχαὴλ μοναχοῦ mg. add. I(V)M ἦν om. V Διονύσια] ἦν ἦγον οἱ Ναυπάκτοι· εἰρήνης δὲ οὔσης ἐτελεῖτο add. V cf. p. 106, 7 3 καὶ δεδορκὼς om. V ἔκευθε] οὐκ εὖθε A ἄλλο alt.] ἄλλα GI οὗ—4 κατεδίκασεν om. V 5 ὢν ἐτύγχανεν VM 6 ἄπυστος] ἄπιστος A 7 ἐρρώσθω V 10 καταπτηχὼς I κατεπτυχὼς V 1184 om. MV 14 διανοεῖν] διανύειν VM 20 ἐξ οὐρανοῦ om. VM καὶ om. GIT 21 καὶ ἀνάλωτον om. VM 22 ὅθεν—p. 112, 2 κομισάμενοι om. F 23 ὅπερ—24 ἀλλὰ] τοῦτο δὲ οὕτως ἐκήρυττον VM 24 ἢ pr. om. V ἀποκταίνοντες V cf. Georg. 25 μηδένες—ἔχοιεν] μὴ λέγοιεν VM ἐστι om. VM 26 καὶ φήμην V ταῖς AVM: πάσαις GIT 27 ὅτι—28 μαρτυρεῖ] καὶ μαρτυρεῖ τοῦτο VM 28 γενόμενον A Georg.: ἄγαλμα rell. ὁ γὰρ Πτολεμαῖος V

ἐν αὐτῷ δειπνῆσαι· οἵτινες δειπνοῦντες ἐκεῖσε κατεχώσθησαν καὶ ἀπέθανον ἄξιον μισθὸν τῆς κακουργίας κομισάμενοι.

Δ Hesy. 1188 Διοπείθης: ὄνομα κύριον, καὶ κλίνεται εἰς ους. Ἀθηναῖος.

Suid. Αἰλιανὸς περὶ Διοπείθους· οὗτος νόμον εἰσάγει τὸν ἀπὸ τοῦ ἄστεος ἐν Πειραιεῖ μείναντα, τοῦτον τεθνάναι. οὗτος οὖν ὠψίσθη ποτὲ ἄκων καὶ κατέμεινεν ἐν τῷ Πειραιεῖ· καὶ αὐτὸν οἱ ἐχθροὶ εἰς δίκην ὑπάγουσιν.

Σ 1189 Διοπομπεῖσθαι: ἀποτροπιάζεσθαι καὶ ἀποκαθαίρεσθαι. καὶ Δ Ἀποδιοπομπείσθω.

Harp. 1190 Δίοπος: ὁ διέπων καὶ ἐποπτεύων. ὁ τῆς νεὼς ἐπιμελητής.

Σ καὶ Δίοποι, οἱ βασιλεῖς· παρὰ τὸ διοπεῖν ἢ διοπτεύειν.

Σ 1191 Διοπτεύσων: διοψόμενος, κατασκοπήσων.

Σ 1192 Διοπτῆρα: κατάσκοπον, οἰκονόμον. Διοπτὴρ καὶ μηχανικόν τι ὄργανον, δι' οὗ ἐστοχάζοντο ὕψος ἐπάλξεων. ἢ διόπτρα.

Ε 1193 Διοπτῆρες: οἱ ἐπιτηρηταί, οἱ προφύλακες. καταχεομένου τοῦ ἐξ ἐπιτεχνήσεως ὄμβρου τῶν Ἀβάρων καὶ συννεφοῦς ὄντος τοῦ ἀέρος καὶ ἐσέτι σκοτώδους οὐχ οἷοί τε ἐγένοντο οἱ διοπτῆρες διαγνῶναι ἐπιόντας τοὺς δυσμενεῖς.

Δ Ar. 1194 Διόπτης. ὦ Ζεῦ διόπτα καὶ κακόπτα πανταχῆ. ταῦτά φησιν, ἐπειδὴ πολύτρητα ἦν τὰ ῥάκη, δι' ὧν ἦν πάντα ἐπισκοπῆσαι. ἀντὶ τοῦ παντεπόπτα.

Σ 1195 Διόπτρα: μηχανικὸν τεχνούργημα, δι' οὗ οἱ γεωμέτραι ἀπηκρίβουν τὴν τῶν ἐπάλξεων ἐκ διαστήματος ἀναμέτρησιν. Πισίδης· ταῦτα πρὸ πολλοῦ τῇ διόπτρᾳ σου βλέπεις.

Synt. 1196 Διορθοῦμαι· αἰτιατικῇ.

Synt. 1197 Διορίζω· δοτικῇ. Διορῶ δὲ αἰτιατικῇ.

Σ 1198 Διορία: προθεσμία. εἰ δὲ διὰ τοῦ ω μεγάλου, καιρὸν δηλοῖ, διωρία γραφόμενον.

Δ 1199 Διορίσκος.

Σ 1200 Διοριστέον: διαχωριστέον.

1188 — ους = Ambr. 480 1189 — ἀποκαθαίρεσθαι cf. Phryn. 9, 12, H 1190 — ἐποπτεύων Harp. v. διοπεύων 1190 ὁ alt. sq. cf. Et. Gen., Et. M. 278, 7, Ar. Byz. fr. 29 apud Erotian. p. 31, 6, Bk. 237, 23, H, Poll. 7, 139 1191 = Ba 199, 30 cf. H, Et. M. 278, 11, sch. K 451 1192 — οἰκονόμον = Ba 199, 31; — κατάσκοπον = sch. K 562, H, Et. Gen. 1193 καταχεομένου sq. Men. Prot. coll. fr. 21 extr. attrib. Bhd. 1194 ὦ sq. Ar. Ach. 435 c. sch. 1195 — γεωμέτραι cf. H ταῦτα sq. Pisid. fr. 71 1197 — δοτικῇ = An. Ox. 4, 290, 3; διορῶ sq. = Synt. Laur. 1198 cf. H, Ps. Herodian. 268, Phryn. ecl. p. 26, Thom. 288, 6 1199 cf. Ambr. 448 (= 553), L 1200 = Ba 199, 32, H, cf. Ambr. 850

1188 Ἀθηναῖος cf. v. Μένανδρος 1. Αἰλιανὸς sq. ex v. Γ 892 cf. v. ὠψίσθη 1189 cf. v. A 3297. Z 552 1190 Z 508 1192 cf. 1195 1192—4 Z 508 1195 cf. 1192. Z 521 1198 Z 521 1200 Z 553

A(GITFVM) 1. 2 καὶ ἀπέθανον om. V 2 τῆς κακουργίας om. VM 3 ὄνομα om. FVM Ἀθηναῖος om. FVM 4 Αἰλιανὸς—6 ὑπάγουσιν ex IM 8 Ἀποδιοπομπεῖσθαι F 11 κατασκοπήσας VM 13 τι om. ITFV οὗ] δ FVM ὕψος] εἶδος M 18 κατόπτα Ar. Kust.

1201 Διορυγή: ἡ ὄρυξις. Διώρυξ δὲ διώρυγος. καὶ Διορωρυγμένος. Δ

1202 Δῖος: ὄνομα μηνὸς παρὰ Μακεδόσιν, ὁ Νοέμβριος, ὁ νέος δὲ καὶ ὁ ἔνδοξος. ἡ κλητικὴ ὦ δῖε. σημαίνει δὲ καὶ ὄνομα τόπου. Δ

1203 Διὸς ἄνθος: φυτὸν ἀκανθῶδες.

1204 Διὸς ἐγκέφαλος: τὸ κάλλιστον βρῶμα. οὕτω λέγουσιν οἱ Σ Πέρσαι ἐπὶ τῶν ἡδυπαθούντων· ἢ βασιλέως ἐγκέφαλος. Prov.

1205 Διοσημεία: θεομηνία. παρῆσαν δὲ οἱ χίλιοι Σκύθαι, πάσης Δ ὀξύτεροι διοσημείας ἤτοι ἀστραπῆς ἢ πρηστῆρος ἢ κεραυνοῦ ἢ σκηπτοῦ E ἢ διάττοντος ἀστέρος. ἢ Διοσημία ἐστὶν ὁ παρὰ καιρὸν χειμών. Ar. Ἀριστοφάνης· διοσημία ἐστί, καὶ ῥανὶς βέβληκέ με. τοὺς Θρᾷκας ἀπιέναι, παρεῖναι δ' εἰς ἔνην· οἱ γὰρ πρυτάνεις λύουσι τὴν ἐκκλησίαν. ἐπὶ τῶν ἀναβαλλομένων. παρεφυλάττοντο δὲ Ἀθηναῖοι τὰς θεοσημίας καὶ διέλυον τὰς ἐκκλησίας διοσημίας γενομένης, ἢ ἄλλο τι μέλλοντες ἀνύειν. καὶ Εὐνάπιός φησι περὶ Καρίνου τοῦ βασιλέως· καὶ πάντα E ἦν αὐτοῦ βαρύτερα διοσημίας καὶ ἐλύττα ἐν μέσοις τοῖς ὑπηκόοις.

1206 Διοσκορίδης, Ἀναζαρβεύς, ἰατρός, ὁ ἐπικληθεὶς Φακᾶς διὰ Hesy. τοὺς ἐπὶ τῆς ὄψεως φακούς. συνῆν δὲ Κλεοπάτρᾳ ἐπὶ Ἀντωνίου. καὶ γέγραπται αὐτῷ βιβλία κδ', τὰ πάντα ἰατρικὰ περιβόητα.

1207 Διὸς Κόρινθος: ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων παροιμία. ἐρρέθη Σ δὲ δι' αἰτίαν τοιαύτην· Μεγαρεῖς ὑπακούοντες Κορινθίοις ἐβαροῦντο τοῖς ἐπιτάγμασι καὶ φανεροὶ δυσανασχετοῦντες ἦσαν ἐπὶ τούτῳ. Κορινθίων δὲ πρέσβεις ἦλθον εἰς τὰ Μέγαρα καὶ τοῦ δήμου μὴ προσέχοντος αὐτοῖς ἀγανακτοῦντες ἐβόων· οὐκ ἀνέξεται ταῦτα ὁ Διὸς Κόρινθος. φασὶν οὖν τοὺς Μεγαρεῖς ἐκβάλλοντας αὐτοὺς παίειν καὶ λέγειν· παῖε τὸν Διὸς Κόρινθον.

1208 Διοσκόριος, Μυραῖος, γραμματικός, ὕπαρχος πόλεως καὶ Hesy. πραιτωρίων, ὁ διδάξας τὰς θυγατέρας Λέοντος τοῦ βασιλέως ἐν Βυζαντίῳ.

1201 — διώρυγος cf. Ambr. 550—1, L, Ps. Herodian. 205 1202 — μηνὸς = Ambr. 441 ὁ ἔνδοξος = Ambr. 441, Ps. Herodian. 20, Apion; ὄνομα τόπου = Ambr. 532 1203 cf. Theophrast. (hist. pl. 6, 1, 1—2) ap. H 1204 — βρῶμα = Paus. Att. fr. 129 ap. Eust. I. 757, 52 οὕτω sq. cf. Zen. III 41 1205 l. cf. L, Ambr. 597 παρῆσαν—ἀστέρος Dexippo coll. EL 386, 15 temere attr. Mai vs. 10 Διοσημία—15 ἀνύειν Ar. Ach. 171—3 c. sch. vs. 15 καὶ πάντα sq. Eunap. fr. 4, FHG 4, 14 1206 cf. Steph. Byz. v. Ἀναζαρβά 1207 = Sabb. cf. sch. Ar. Ran. 439, sch. Pl. Euthyd. 292e, H, Zen. III 21

1201 cf. 1252—3 1202 cf. 1167 1205 Eunap. cf. v. K 391 1206 hinc v. φακός extr. 1208 cf. v. Νικόλαος 4. hinc v. Θ 580 extr.

1 Διώρυξ δὲ διώρυγος om. FV διόρυγος A καὶ Διορωρυγμένος ex M A(GITFVM)
3 ὄνομα—καὶ om. FV ὁ Νοέμβριος ex GIT ὁ νέος δὲ ex M καὶ om. A
8 Διοσημία A^{ac}GITM 10 Διοσημεία FV 11 Ἀριστοφάνης—16 ὑπηκόοις om. V; τοὺς—16 ὑπηκόοις om. F 13 θεοσημίας A^{ac}I: θεοσημείας A^{ac} διοσημίας GM διοσημείας T 14 μέλλοντος GIT 1206 duos Dioscorides confusos esse vidit Kust. 17 ὁ—19 περιβόητα om. F 18 καὶ—19 περιβόητα om. V 19 περιβόητα AM: περὶ βοτάνων GIT 23 καὶ Κορινθίων δὲ V μὴ ex F 27 πόλει M cp. AF

1209 Διόσκουροι: Κάστωρ καὶ Πολυδεύκης. Αἰλιανός· καὶ μέντοι
E καὶ Διοσκούρων ἦν ἀγάλματα β′ νεανίαι μεγάλοι, γυμνοὶ τὰς παρειὰς ἑκάτερος, ὅμοιοι τὸ εἶδος καὶ χλαμύδας ἔχοντες ἐπὶ τῶν ὤμων, ἐφημμένην ἑκάτερος· καὶ ξίφη ἔφερον τῶν χλαμύδων ἠρτημένα καὶ λόγχας εἶχον παρεστώσας, καθ' ἃς ἠρείδοντο, ὁ μὲν κατὰ δεξιάν, ὁ δὲ κατὰ λαιάν.

Σ 1210 Διὸς κώδιον· οὗ τὸ ἱερεῖον Διὶ τέθυται. θύουσί τε τῷ τε Μειλιχίῳ καὶ τῷ Κτησίῳ Διί. τὰ δὲ κώδια τούτων φυλάσσουσι Δία προσαγορεύοντες. χρῶνται δ' αὐτοῖς οἵ τε Σκιροφορίων τὴν πομπὴν στέλλοντες καὶ ὁ δᾳδοῦχος ἐν Ἐλευσῖνι, καὶ ἄλλοι τινὲς πρὸς τοὺς καθαρμοὺς ὑποστορνύντες αὐτὰ τοῖς ποσὶ τῶν ἐναγῶν.

Phil. 1211 Δίοσμος: ἡ διαπορθμευτικὴ δύναμις τῶν ὀσφραντῶν παρὰ Θεοφράστῳ. οὐκ ἔστι δὲ ἡ ῥὶς τὸ αἰσθητήριον, ἀλλ' ἡ μαστοειδὴς τοῦ ἐγκεφάλου ἀπόθεσις.

Soph. 1212 Διὸς φήμη: ἡ μαντεία. ὁ γὰρ Ἀπόλλων ὑποφήτης τοῦ πατρός, καὶ παρ' ἐκείνου λαμβάνειν τὰς μαντείας καὶ τοῖς ἀνθρώποις ἐκφέρειν. καὶ Ὅμηρος· Διὸς ἄγγελος ὅσσα δεδήει.

Σ 1213 Διὸς ψῆφος: οὕτως καλεῖται, ἐν ᾧ Ἀθηνᾶ καὶ Ποσειδῶν ἐκρίθησαν. Κρατῖνος Ἀρχιλόχοις· ἔνθα Διὸς μεγάλου θᾶκοι πεσσοί τε καλοῦνται. ὁ γὰρ τόπος, ἐν ᾧ ἐκρίθησαν, Διὸς ψῆφος καλεῖται. τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἱερῶν καὶ ἀθίκτων.

Σ 1214 Διότι: ἔσθ' ὅτε καὶ ἀντὶ τοῦ ὅτι λαμβάνεται. οὕτως γὰρ ἄλλοι
Phil. τε πολλοὶ καὶ Ἱεροκλῆς. ὅτι κατὰ τρεῖς τρόπους τὸ σαφέστερον ἡμῖν θεωρεῖται· καθ' ἕνα μὲν τὸ ὅτι τοῦ διότι· σαφέστερον γὰρ ἡμῖν καὶ πρῶτον εἰς γνῶσιν· καὶ γὰρ ὅτι ἔχομεν ψυχὴν καὶ ὅτι ἀθάνατος, προχειρότερον εἰς νόησιν τοῖς πολλοῖς μᾶλλον ἢ τὸ παραχωρῆσαι καὶ ἐπιβάλλειν τῷ λόγῳ τῷ ταῦτα κατασκευάζοντι. δεύτερον τὸ καθόλου καὶ συγκεχυμένον τοῦ μερικοῦ καὶ διηρημένου, οἷον τὸ εἰδέναι ἁπλῶς ὅτι σῶμα ἢ ὅτι τοιόνδε σῶμα, τουτέστιν οὐράνιον ἢ γήϊνον ἢ τοιῶνδε ἢ τοιῶς κεκραμένον. τρίτον τὸ ὡς πρὸς ἡμᾶς μὲν πρῶτον, ὕστερον δὲ τῇ φύσει· τῶν γὰρ ἁπλουστέρων, ἅπερ ἐστὶ τῇ φύσει πρῶτα ἡμῖν, τὰ συνθετώτερα γνωριμώτερα.

Harp. 1215 Διότιμος: ὄνομα κύριον.

Σ 1216 Διοτρεφής: ὑπὸ Διὸς τεθραμμένος.

1209 vs. 1 καὶ μέντοι sq. Aelian. fr. 61 1210 cf. Eust. O. 1935, 9 e Paus. Att. (1935, 6). — τέθυται = H. χρῶνται sq. = Sabb. 1211 Philop. 354, 13, 14; 353, 29—30 cf. 392, 32 1212 sch. Soph. OT 151; B 93 1213 = Sabb. cf. H v. Διὸς θᾶκοι; Crat. fr. 7 1214 — Ἱεροκλῆς (fr. 4, Berl. Klass. T. 4) = Ba 200, 11 vs. 23 ὅτι sq. Philop. 226, 10—19 1215 Harp. 1216 = Σ^{e}, Ba 200, 1 cf. Ap. S. 59, 10, sch. B 98

1211 hinc v. ῥίς, cf. v. ὀσφραντικόν 1212 hinc v. A 3411 extr.

A(GITFVM) 4 ἑκατέραν VM 5 καθ' ἃς AGIT: ἐν αἷς VM 8 Κτησιδίῳ V 11 ὑποστρωννύντες VM ὑπὸ στρονυύντες Sabb. ποσὶ] παισὶ GIT 18 οὕτος AVM 20 καλοῦνται] καλεῖται GI καλοῖτε T 24 γὰρ ἡμῖν] μὲν γὰρ VM

1217 Διοφάνης· οὗτος Μεγαλοπολίτης ἦν. ὃς μεγάλην ἔξιν εἶχεν ἐν τοῖς πολεμικοῖς διὰ τὸ πολυχρονίου γεγονότος τοῦ πρὸς Νάβιν πολέμου τοῖς Μεγαλοπολίταις ἀκτυγείτονος πάντα συνεχῶς τὸν χρόνον ὑπὸ τὸν Φιλοποίμενα τεταγμένος τριβὴν ἐσχηκέναι τῶν κατὰ πόλεμον ἔργων ἀληθινήν. χωρίς τε τούτων κατὰ τὴν ἐπιφάνειαν καὶ κατὰ τὴν σωματικὴν χρείαν ἦν ὁ ἀνὴρ δυνατὸς καὶ καταπληκτικός. τὸ δὲ κυριώτατον, πρὸς πόλεμον ὑπῆρχεν ἀνὴρ ἀγαθὸς καὶ τοῖς ὅπλοις ἐχρῆτο διαφερόντως. EV

1218 Διοφανοῦς, τῷ Διοφανεῖ. Δ

1219 Διόφαντος: ὄνομα κύριον. Harp.

1220 Δι' ὄχλου: ἐπιβαρές. Ἀριστοφάνης· κεἰ δι' ὄχλου τοῦτ' ἐστὶ τοῖς θεωμένοις, ὅμως ἔχει τι τερπνὸν καὶ κωμῳδικόν. Ar.

1221 Διοχλῶ· δοτικῇ· τὸ μὲν ὅτι τι πᾶσι διοχλεῖ τοῖς ἐμοῖς, καὶ διοχλεῖς μοι. διοχλοῦμαι δὲ αἰτιατικῇ. πᾶσαν διοχλεῖσθαι γυναικωνῖτιν. Syn.

1222 Διώβολον καὶ Τριώβολον, καὶ Ἡμιωβόλιον ὁμοίως. Δ

1223 Διωγκωμένον: πεφυσημένον. Δ

1224 Διῴδει: ἐφλέγμαινε. Δ

1225 Διῳδηκότα: ἐξωγκωμένον. ὅσοι γὰρ ἐκ τῆς αὐτῆς σπορᾶς γεγόνασι, κάτω τὸν πόδα τὸν δεξιὸν ἔχουσι διῳδηκότα καὶ βάδιζιν ἀσθενῆ τε καὶ νωθῆ. καὶ Διῳδηκὼς ὁμοίως. Δ+E Σ

1226 Διωθεῖτε: ἀποστρέφετε. καὶ Διωθούμενοι, ἀνατρεπόμενοι, ἐκβαλλόμενοι. Δ Σ

1227 Δίωκε ἀρετήν: ζήλου, ἐπιτήδευε. Σ

1228 Διώκειν: εἰς ἀγορὰν ἄγειν. τοῦτο λέγεται, ὅταν προὐπορύγῃ τις. τάττεται δὲ καὶ ἐπὶ τοῦ συντόνως ἐλαύνειν. καὶ Διωκόμεθα, ἀντὶ τοῦ κατηγορούμεθα. Ar. Σ Ar.

1229 Διώκειν: ἐπὶ τοῦ ἄγειν εἰς κρίσιν καὶ κατηγορεῖν καὶ ἐπὶ τοῦ ἐπιθυμεῖν καὶ ὀρέγεσθαι· διώκειν γάρ φαμεν ἀρετήν. καὶ ἐπὶ τοῦ διελθεῖν. αἱ δὲ νῆες ἐς φυγὴν κατασταῖσαι πολλοὺς μετεδίωξαν τόπους· αἱ μὲν γὰρ εἰς Ἰόνιον κόλπον ἐξέπλευσαν, αἱ δὲ ἄλλη. Σ E

1230 Διῳκίσατο: διεχώρισεν, ἀπ' ἀλλήλων ἐποίησε. διῳκίσατο τοὺς ἀνθρώπους ἀπὸ θεοῦ ἡ ἀνοσιότης. ὅστις δὲ δι' ἀρετῆς καὶ ὁσιότητος ἀπάγων ἑαυτὸν ἀπὸ τῶν ἀνθρωπίνων πραγμάτων καὶ σπουδασμάτων

1217 Polyb. 21, 9, 1—3 = EV 2, 167, 1—8 1218 cf. Ambr. 504 1219 Harp. 1220 Ar. Eccl. 888—9 c. sch. 1221 cf. Synt. Laur. 1222 Διώβολον cf. Ps. Herodian. 20, L 1223 = L cf. Ambr. 702 1224 = H 1225 — ἐξωγκωμένον cf. L, Ambr. 663 ὅσοι sq. Aelian. fr. 37 διῳδηκὼς cf. Σ^a = Ba 199, 20 1226 — ἀποστρέφετε cf. Ambr. 664 Διωθούμενοι sq. Ba 200, 23 cf. H 1227 praeter ἀρετήν = Ba 200, 16, H 1228 — ἄγειν sch. Ar. Eccl. 452 Διωκόμεθα sq. sch. Ar. Ach. 699

1218 cf. v. Πωλίων 1 1225 Z 554 1227—9 Z 554

1218 ex AGI 11 ὄχλου alt.] ὅπλου V ὅπλουτον F 1221 om. GTFV(M) A(GITFVM mg. AI; Διοχλῶ· γενικῇ· διοχλοῦμαι δὲ αἰτιατικῇ textu AM 14 γυναικωνῖτιν I: αἰκανῖτιν A 33 ἀπάγων extra structuram pos. sec. Bhd.

ἐπ' αὐτὸν τὸν θεόν, καὶ ζῶν τυγχάνει παρόντος καὶ τελευτήcας μετψκίcατο πρὸς αὐτόν.

Σ 1231 Διψκιcμένος· γενικῆ. κεχωριcμένος.

Δ 1232 Διώκω cε: ἐλαύνω cε. τὸ δὲ κατηγορῶ γενικῆ. ὁ γὰρ διώκων
Synt. τοῦ ψηφίcματος. καὶ, ἃ μὲν διώκει τῶν ψηφιcμάτων, ταῦτά ἐcτιν.

Σ 1233 Διωλύγιον: μέγα. καὶ παροιμία· Διωλύγιον κακόν,
Prov. ἐπὶ τῶν μέγα τι καὶ δεινὸν ὑφιcταμένων. διωλύγιον γάρ ἐcτι τὸ μέγα καὶ ἐπὶ πολὺ διῆκον. οὕτως ὀνοπαλίζειc διωλύγιος φλυαρία. Πλάτων. καὶ Δαμάcκιος· ταῦτα οὐ διωλύγιος φλυαρία δόξειεν ἂν εἶναι, καὶ δικαίως οὐ κατὰ γραῶν ὕθλον λεγόμενον, ἀλλὰ πέρα τοῦ μεγίcτου φληνάφου;

Σ 1234 Διωμοcία: ὅρκοι οἱ ὑπὸ τῶν δικαζομένων γιγνόμενοι, τοῦ μὲν ὀμνύντος, ὅτι παθὼν ἐγκαλεῖ, τοῦ δὲ ἄρα, ὅτι οὐκ ἐποίηcα.

Σ 1235 Διωμοcία καὶ ἀντωμοcία· ὅταν οἱ κατηγοροῦντες ὀμνύωcιν, ὡc ἀληθῶc κατηγοροῦcι, τοῦτο διωμοcία· ὅταν δὲ οἱ κατηγορούμενοι ὀμνύωcι τὸν αὐτὸν ὅρκον, διαλυόμενοι τὰ ἐγκλήματα, τοῦτο ἀντω-
Suid. μοcία. διιππαcία καὶ ἀνιππαcία, τῶν ἵππων ἅμιλλα· ὥcπερ δὴ διωμοcία καὶ ἀντωμοcία τὸ αὐτὸ ἄμφω δηλοῖ.

Δ 1236 Διώμοτος. διωμότους cυνίcτacθαι τοῖc διαφερομένοις ἐκέ-
E λευε τοὺc ῥήτορας. τουτέcτι τοὺc cυνηγόρους. ὅτι ὁ Cιμόκατος
E ἐπὶ τοῦ ὅρκου ἐχρήcατο τῷ διωμοcία λέγων· οἱ Μαυρούcιοι διωμοcίαν κατὰ τῶν Ῥωμαίων ἐποιήcαντο.

Δ 1237 Διώμνυτο: παρατατικός.

Hesy. 1238 Δίων, Ἱππαρίνου, Cυρακούcιος, φιλόcοφος Πλατωνικός, τοῦ Cικελίας τυράννου Διονυcίου τοῦ προτέρου τῆc γαμετῆc Ἀριcτομάχης ἀδελφός· ὃc καὶ ἐκράτηcε τῆc Cικελίας τυραννίδος, ἐκβαλὼν τὸν τοῦ προτέρου Διονυcίου υἱὸν Διονύcιον· οὗ πάλιν ἀδελφὸc Νικαῖος ἐξέβαλε Δίωνα τοῦτον. ἔγραψεν ἐπιcτολὰc πρὸc Πλάτωνα καὶ ἄλλους τινάc.

Hesy. 1239 Δίων, ὁ Κάccιος χρηματίcας, ὁ ἐπίκλην Κοκκήϊος· οἱ δὲ Κοκ-
κηϊανός· Νικαεύc, ἱcτορικός, γεγονὼc ἐπὶ τῶν χρόνων Ἀλεξάνδρου

1231 γενικῆ cf. Synt. Laur. κεχωριcμένος = Ba 200, 17, Ambr. 703 cf. H 1232 κατηγορῶ—ψηφίcματος = Synt. Laur.; κατηγορῶ γενικῆ + ἃ sq. = Bk. 132, 8; ὁ—ψηφίcματος Dem. 18, 59; ἃ sq. Dem. 18, 56 1233 — μέγα cf. Ambr. 649, Ba 199, 27 (non Σ^a), Et. M. 280, 55, H, sch. Pl. Theaet. 162a, Harp., An. Ox. 2, 493, 6; Bk. 238, 10 = Et. M. 281, 1 Διωλύγιον sec.—Πλάτων = Zen. III 34; ἐπὶ πολὺ διῆκον cf. sch. Pl. Theaet. 162a, Tim., H; οὕτως—φλυαρία Pl. Theaet. 162a (corruptum) vs. 9 ταῦτα sq. Dam. fr. 77 1234 Tim. 1236 cf. Bk. 186, 16, sch. Pl. Ap. 19b 1236 διωμότους—ῥήτορας Proc. h. a. 26, 2 οἱ sq. Th. Simoc. 7, 6, 6 1237 l. = L sub διο- 1238 cf. sch. Pl. Epist. 320a 1239 cf. Phot. Bibl. cod. 71

1231 Z 554 1238 hinc 1314. Z 526 et 558 1234 Z 522 1235 Vind. 23. διιππαcία sq. ex 1045 1239 cf. v. K 1914

A(GITFVM) 1. 2 μετεψκίcατο AGI 4 τὸ—5 ἐcτιν om. FV 8 οὕτως ὀνοπαλίζειc corruptum 9 Δαμάcκιος GI: Δάμους rell. 13 ἐποίηcε Tim. Zon. 17 διιππαcία—18 δηλοῖ ex AI^{mg}; ζήτει περὶ διωμοcίας καὶ ὅπιcθεν ἐν τῷ διιππαcία M 19 cυνίcτηcι GIT 21 τῷ] τῇ VM 1237 extra ord. 27 οὖ] οὖν V 28 ἄλλας Hemst. 30 Κάcιος $T^{ac}M$ 30. 31 Κοκκιανός V, s. v.

τοῦ Μαμαίας. ἔγραψε Ῥωμαϊκὴν ἱστορίαν ἐν βιβλίοις π′· διαιροῦνται δὲ κατὰ δεκάδας. Περσικά, Γετικά, Ἐνόδια, Τὰ κατὰ Τραϊανόν, Βίον Ἀρριανοῦ τοῦ φιλοσόφου.

1240 Δίων, ὁ Πασικράτους, Προυσαεύς, σοφιστὴς καὶ φιλόσοφος, ὃν Hesy.
Χρυσόστομον ἐκάλεσαν. ἀντεποιεῖτο δὲ σεμνότητος ὡς καὶ λεοντῆν φορῶν προϊέναι. ἦν δὲ λεπτὸς τὸ σῶμα καὶ διέτριψε τὸ πλεῖστον παρὰ Τραιανῷ τῷ Καίσαρι, ὡς καὶ συγκαθέζεσθαι ἐν τῷ βασιλικῷ ὀχήματι. ἔγραψεν Εἰ φθαρτὸς ὁ κόσμος, Ἐγκώμιον Ἡρακλέους καὶ Πλάτωνος, Ὑπὲρ Ὁμήρου πρὸς Πλάτωνα δ′, Περὶ τῶν Ἀλεξάνδρου ἀρετῶν η′. οὗτος διαβάλλει καὶ τὸν Ὅμηρον ὡς ψευδῶς τὰ περὶ τὸ Ἴλιον γεγραφότα.

1241 Διώνασσα: ὄνομα κύριον. Δ

1242 Διωναία: ἡ Ἀφροδίτη. καὶ Διώνη, ἡ αὐτή. Δ

1243 Διώνυμον: διαβόητον, ὀνομαστόν, περίφημον. Σ

1244 Διώνυμοι· ἐν τοῖς Ἕλλησι διώνυμοι κόλακες καὶ κεκηρυγμένοι E
περιηχοῦσιν ἡμᾶς, Κλείσοφοί τε καὶ Στρουθίαι καὶ Θήρωνες καὶ οἱ περὶ τὴν Διονυσίου βομβοῦντες τράπεζαν καὶ οἱ περὶ τὴν δαῖτα Ἀλεξάνδρου μεμηνότες.

1245 Διωξικέλευθα κέντρα. Anth

1246 Διώξιππος, Ἀθηναῖος, κωμικός. δράματα αὐτοῦ Ἀντιπορνο- Hesy
βοσκός, Φιλάργυρος, Ἱστοριογράφος, Διαδικαζόμενοι.

1247 Διώξομαί σε δειλίας: ἀντὶ τοῦ κατηγορήσω σου. ἐς δι- Ar.
καστὰς αὐτὸν ἀγαγόντες ἐδίωξαν κατηγορήσαντα τυραννίδος. E

1248 Διώρης: ὄνομα κύριον. Δ

1249 Διωρία: ἀνακωχή. δόξαν δ' ἐπανεῖναι τὴν πολιορκίαν καὶ Δ
διωρίαν βουλῆς τοῖς στασιασταῖς παρασχεῖν. E

1250 Διώρθου ἐκεῖνος τὰ πράγματα. ὑπερσυντελικός.

1251 Διώροφον: τὸ οἴκημα τὸ β′ ἔχον στέγας. Δ

1252 Διώρυξ, διώρυγος. Δ

1240 cf. Phot. Bibl. cod. 209 (Wentzel TU 13, 3, 54 sq.) 1241 = Ambr. 571 1242 — Ἀφροδίτη = Stud. An. 269 cf. Ambr. 621—2 Διώνη cf. Ambr. 573 1243 = Ba 200, 18 cf. H 1244 Aelian. fr. 107 (perperam ab διώνυμοι incipiens) 1245 Anth. 6, 246, 1 1247 — σου Ar. Eq. 367 c. sch. ἐς sq. fort. Aelian. 1249 l. = Ambr. 606 δόξαν sq. Ios. Bell. 5, 348 1250 ὑπερσυντελικός aliter Ambr. 699 1251 cf. Ambr. 627, Ps. Herodian. 20 1252 = Ambr. 550, Ps. Herodian. 205

1242 Z 522 1244 Aelian. cf. v. B 374 1245 cf. v. K 1838 1252—3 cf. 1201

1 Μαμαίας $V^{ac}M^{ac}$: μικροῦ F Μαμέου rell. 2 Περσικά Dinonis esse monuit Gutschmid A(GITFVM) Γετικά coll. Philostr. vit. Soph. 1, 7 ad 1240 rettulit Kust. 6 φορῶν] φοροῦντα FVM; γρ. καὶ λεοντῆν φορῶν ss. V mg. M 10 η′] καὶ ἄλλα πλεῖστα add. T οὗτος—11 γεγραφότα ex IM^{ms} ὡς om. I τὸ Ἴλιον M: τὸν ἥλιον I 12 Διώναα M Ambr. 13 Διωνάα ἡ Ἀφροδίτης A αὐτή] ἀπή A 1244 om. T non nov. gl. ed. pr. 15 καὶ om. GI 16 Στρουθία AGI καὶ οἱ—18 μεμηνότες om. A 23 κατηγορήσαντα del. Valck. 27 ὑπερσυντελικός om. TFV mg. I 28 στέγους A

Σ 1253 Διωρυχή: διάνοιξις τοίχων ἢ χωμάτων. Διορυγὴ δὲ ἡ Δ ὄρυξις.

Σ 1254 Διωσόμεθα: ἀπωσόμεθα καὶ ἀποπεμψόμεθα.

Σ 1255 Διωστῆρσιν: ἀναφορεῦσι τοῖς ἀναβαστάζουσιν.

Soph. 1256 Δίπαλτος: ἀμφοτέραις ταῖς χερσίν. οἷον περιδεξίως, παντὶ σθένει. Σοφοκλῆς· πᾶς δὲ στρατὸς δίπαλτος ἄν με χειρὶ φονεύοι. ἢ οὕτως· ὁ στρατός με φονεύοι λαβὼν τὰ δίπαλτα δοράτια.

Tact. 1257 Διπλασιάσαι: διχῶς λέγεται· ἢ γὰρ τὸν τόπον, ἐν ᾧ ἡ φάλαγξ μένοντος τοῦ πλήθους τῶν ἀνδρῶν, ἢ ἀριθμὸν αὐτόν. γίνεται δὲ ἑκάτερον διχῶς ἢ κατὰ λόχους ἢ κατὰ ζυγά. ταυτὸν δὲ εἰπεῖν κατὰ μῆκος ἢ κατὰ βάθος. κατὰ μῆκος μὲν οὖν γίνεται διπλασιασμὸς ἀνδρῶν, ὅταν μεταξὺ τῶν προϋπαρχόντων λόχων παρεμβάλωμεν, ἢ παρεμπλέκωμεν ἄλλους αὐτοῖς ἀριθμούς, τὸ μῆκος φυλάττοντες τὸ αὐτὸ τῆς φάλαγγος, ὥστε πύκνωσιν γενέσθαι μόνον ἐκ τῆς τῶν ἀνδρῶν διπλασιάσεως. κατὰ βάθος δέ, ὅταν μεταξὺ τῶν προϋπαρχόντων ζυγῶν παρεμβάλωμεν ἢ παρεμπλέκωμεν ἄλλα αὐτοῖς ἰσάριθμα, ὥστε κατὰ βάθος πύκνωσιν εἶναι μόνον. κατὰ μῆκος δὲ τόπου γίνεται διπλασιασμός, ὅταν τὴν προειρημένην κατὰ μῆκος πύκνωσιν μανότητι μετατάττωμεν, ἢ οἱ παρεντεθέντες ἐξελίσσωσι κατὰ μῆκος· κατὰ βάθος δὲ τόπου γίνεται διπλασιασμός, ὅταν τὴν προειρημένην κατὰ βάθος πύκνωσιν μανότητι μετατάττωμεν, ἢ οἱ παρεντεθέντες ἐξελίξωσι κατὰ βάθος. ἔνιοι δὲ τοὺς τοιούτους ἀποδοκιμάζουσι, καὶ μάλιστα ἐγγὺς ὄντων τῶν πολεμίων, ἐφ' ἑκάτερα δὲ τῶν κεράτων τοὺς ψιλοὺς καὶ τοὺς ἵππους ἐπεκτείνοντες τὴν ὄψιν τοῦ διπλασιασμοῦ χωρὶς ταραχῆς τῆς φάλαγγος ἀποδιδόασιν. ζήτει περὶ τούτου εἰς τὸ τέλος τοῦ βιβλίου ἐν τῷ διπλασιάσαι.

1258 Διπλαῖ: τὸ θηλυκὸν πληθυντικόν. τὸ ἁπλᾶ καὶ διπλᾶ καὶ πολλαπλᾶ
Suid. καὶ πάντα τὰ τοιαῦτα περισπῶσιν οἱ Ἀττικοί. ἀργυρᾶ, χρυσᾶ, κεραμεᾶ, ἀπὸ τοῦ κεράμεος, καὶ φοινικᾶ, ἀπὸ τοῦ φοινικιοῦν.

Δ 1259 Διπλόη: ἡ ἀπάτη.

1260 Διπλόη: ἡ ἔξωθεν ἀρετὴ φαινομένη, ἔσωθεν δὲ γέμουσα κακίας. καὶ οἱ φιλίαν μὲν ὑπισχνούμενοι, προϊέμενοι δὲ αὐτὸν τοῖς

1253 — χωμάτων = Ba 200, 19 Διορυγὴ sq. = Ambr. 551
1254 = Ba 200, 21 cf. H, sch. Φ 244 1255 = Ba 200, 22 cf. H 1256 Soph. Ai. 408—9 c. sch. 1257 — vs. 25 ἀποδιδόασιν Tact. 40 1259 cf. L

1253 Z 523 1255 Z 510 1256 Z 509 1257 cf. post litt. Ψ 1258 τὸ ἁπλᾶ sq. ex v. A 3221 cf. v. πολλαπλᾶ et v. χρυσᾶ 1259—60 Z 521

A(GITFVM) 1 Διορυγὴ] Διωρυγὴ A cf. Zon. et Thom. 94, 8 13 παρεμπλέκωμεν post litt. Ψ, Coisl. 347: παραπλέωμεν omnes ἄλλους] ἄλλοις VM 15 διπλάσεως V 16 παρεμπλέκωμεν AGM: παραπλέκωμεν T παρεμπλέωμεν FV παραπλέωμεν I; ἄλλους αὐτοῖς ἀριθμοὺς τὸ μῆκος φυλάττοντες τὸ αὐτὸ τῆς φάλαγγος ὥστε add. AGIT cf. vs. 13—14 19 μεταπλάττωμεν V ἐξελίσσωσι—21 παρεντεθέντες ex AGI, post litt. Ψ, Tact. ἐξελίσσωσι GI 22 ἀποδοκιμάζοντες M 25 ζήτει—26 διπλασιάσαι ex A^{ms} 1258 om. TFV post 1260 A 27 Διπλῆ G ἁπλᾶ cett.] ἁπλῶ cett. GI 28 καὶ κεραμεᾶ A cf. sᾶ v. A 3221 29 φοινικεοῦν G φοινικοῦν I 32 αὐτὸν] τὸν φίλον Zon.

πολεμίοις. Πισίδης· ἐπέσχεν ὑμῶν τὴν βολὴν ἠπειγμένην ἡ τοῦ χιτῶνος ἐμπεσοῦσα διπλόη. τάττεται δὲ ἡ λέξις καὶ ἐπὶ τῶν σκο- Σ?
λιῶν τοὺς τρόπους.

1261 Διπλοῦν Κ: ἀντὶ τοῦ κακά. καὶ διπλῆν ἑορτήν.

1262 Διπλοῦν κάππα: ἀντὶ τοῦ διπλοῦν κακόν. καὶ Τρία κάππα κάκιστα: Καππαδοκία, Κρήτη καὶ Κιλικία.

1263 Διποδία: εἶδος ὀρχήσεως. Ἀριστοφάνης· ἵν' ἐγὼ διποδιάξω Ar.
γε, κἀείσω καλὸν ἐς τοὺς Ἀχαιοὺς τε καὶ ἡμᾶς ἅμα. ἀντὶ τοῦ Ἀθηναίους.

1264 Διπτύχια: δύο περιβόλαια ἔχοντα, ὡς τὸ μὲν ὑπεστρῶσθαι, Σ
τὸ δὲ ἕτερον ὑποβεβλῆσθαι.

1265 Δίπυρος ἄρτος: ὁ παρὰ Ῥωμαίοις λεγόμενος παξαμᾶς. σισύρας ἐπὶ τῶν ὤμων φέροντες, ἐν αἷς δὴ ἄλλο οὐδέν, ὅτι μὴ δι- E
πύρους ἄρτους οἴκοθεν ἐμβεβλημένοι ἀφίκοντο.

1266 Δίρκη: ἡ πηγή. καὶ ὄνομα κύριον. ζήτει ἐν τῷ Ἀντιόπῃ. Δ

1267 Δὶς ἑπτὰ πληγαῖς πολύπους πιλούμενος: ἐπὶ τῶν Prov
κολάσεως ἀξίων, παρόσον ὁ πολύπους θηρευθεὶς τύπτεται πολλάκις πρὸς τὸ πίων γενέσθαι. καὶ ἑτέρα παροιμία· Δὶς καὶ τρὶς τὸ καλόν, οὕτω χρὴ τὸ καλὸν πολλάκις λέγειν. καὶ Δὶς παῖδες οἱ γέροντες, ἐπὶ τῶν πρὸς τὸ γῆρας εὐηθεστέρων εἶναι δοκούντων. καὶ Δὶς πρὸς τὸν αὐτὸν αἰσχρὸν προσκρούειν λίθον, ἐπὶ τῶν ἐκ δευτέρου τοῖς αὐτοῖς ἀτοπήμασι περιπιπτόντων.

1268 Διςκεύων: ἐκδεχόμενος· ἢ κυλίων. καὶ ἐν Ἐπιγράμμασι· Σ
καὶ νῦν δίσκος ἐμοὶ κρόταλον. Anth.

1269 Δίσκος: ὁ σόλος. Δ

1270 Διστάζω· αἰτιατική. Synt.

1271 Διτάλαντον· κατασκήσαντες διτάλαντον πετροβόλον τὰ μὲν E
κατέβαλλον τῶν τειχῶν, τὰ δὲ διέσειον.

1272 Δὶς κράμβη θάνατος.

1273 Διοιγνύντες: ἀνοίγοντες. Δ

1260 vs. 1 ἐπέσχεν—2 διπλόη Pisid. fr. 72 1262 Τρία sq. = Constant. Porphyrog. de them. 1, 7 (p. 21, 9 ed. Bonn.) 1263 Ar. Lys. 1242—3 c. sch. cf. H, Poll. 4, 101 1264 = Σ[e], Ba 200, 8, H cf. Ap. S. 59, 12 1265 σισύρας sq. Proc. h. a. 6, 3 1266 — πηγή = Ambr. 625, Ps. Herodian. 20 cf. H 1267 — γενέσθαι = Zen. III 24. vs. 18 Δὶς—19 λέγειν = Zen. III 33, Empedocles ap. sch. Pl. Gorg. 498e. vs. 19 Δὶς—20 δοκούντων = Paroem. ed. Gsf. 34, n. 327, sch. Pl. Ax. 367b. vs. 21 Δὶς sq. = Zen. III 29 1268 — κυλίων = Ba 200, 3 καὶ νῦν sq. Anth. 5, 18, 2 1269 = Ambr. 467 1270 = Synt. Laur. 1273 = Ambr. 725, H

1261—2 hinc v. K 824 1263 Z 521 1264 Z 528 1265 hinc v. παξαμᾶς, Z 509. Proc. cf. v. σισύρα 1267 hinc v. πολύπους. cf. v. K 497 1268 Anth. cf. v. K 2477. Z 553 1273 Z 553

4 καὶ διπλῆν ἑορτήν ex M 1262 om. FV mg. A post 1263 GI A(GITF-VM)
7 Δισποδία VM Ἀριστοφάνης—9 Ἀθηναίους om. GT δισποδιάξω A[ac]VM
11 ὑπερβεβλῆσθαι coni. Dr. 15 καὶ—Ἀντιόπῃ om. FV κύριον ὄνομα M
ζήτει—Ἀντιόπῃ om. T καὶ ζήτει M 17 κολάσεων FVM 1272 ex GIM; παροιμία ἀντὶ τοῦ οἰκουμένη add. G cf. p. 120, 2

Σ 1274 Διοιδούντων: ἐκφυσώντων.
1275 Διοιδοῦσα: ἀντὶ τοῦ ὀγκουμένη.
Harp. 1276 Διοικιεῖν: ἀντὶ τοῦ διαιρήσειν ὥστε μὴ ἐν ταυτῷ πάντας οἰκεῖν, ἀλλὰ χωρὶς καὶ κατὰ μόνας.
ΔΣ 1277 Διοικίζω: τὸ διαχωρίζω. καὶ Διοικίζεσθαι, χωρίΔ ζεσθαι. Διοικῶ δὲ τὸ τελειῶ.
Δ 1278 Διοιμώζειν.
Σ 1279 Διοίσασα: διαπεράσασα.
Δ 1280 Διοίσεται: διαφορὰν σχῇ.
Soph. 1281 Διοίσεται· Σοφοκλῆς· τροφῆς στερηθεὶς σοῦ διοίσεται μόνος. ἀντὶ τοῦ διάξει, βιώσεται.
Σ 1282 Διοίσειν: διαφέρειν. πίστεις τε ἔδοσαν ὡς καὶ προθύμως Ε σφίσι τὸν πόλεμον διοίσοντες. ἀντὶ τοῦ συνδιενεγκόντες. τὸν πίθον οὔτε ἐπιεικὲς διοίσειν οὔτε ἀσφαλὲς καινὸν ὄντα. ἀντὶ τοῦ ἀνοῖξαι.
Ar. καὶ παροιμία· οὐδὲν διοίσεις Χαιρεφῶντος τὴν φύσιν. ἐπὶ τῶν ὠχρῶν καὶ ἰσχνῶν· ἐπεὶ τοιοῦτος καὶ ὁ Χαιρεφῶν τὴν φύσιν καὶ τὴν ἰδέαν ἅτε σοφίᾳ συντετηκώς· ὅθεν καὶ νυκτερὶς ἐκαλεῖτο. καὶ Ἀριστοφάνης· οὐδὲν διοίσονθ' ἅντικρυς τῶν Ἡρακλειδῶν οὐδ' ὁτιοῦν τῶν Παμφίλου. οὗτος τραγῳδιοποιὸς ἐγένετο καὶ ἔγραψε τὰ συμβάντα τοῖς Ἡρακλείδαις.
1283 Διοίσομαι: ἀμφιβαλῶ. οὐ μὴν κατὰ τοῦτο διοίσομαι οὐδέν.
Δ 1284 Δίυγρος: ὁ ἀσθενής.
Suid. 1285 Διύλισις: ἡ διήθησις.
Δ 1286 Διυπνίζω: ἐξανιστῶ. καὶ Διύπνισεν, ἐξύπνισεν.
Tact. 1287 Διφαλαγγία ἀντίστομος: ἥτις μὲν ἡγεμόνας ἔχει μέσους τεταγμένους, τοὺς δὲ οὐραγοὺς ἔξω ἔχουσα ἐξ ἑκατέρων τῶν μερῶν ἐν παραγωγαῖς τεταγμένους, οἷς μὲν ἐν δεξιᾷ, οἷς δὲ ἐν εὐωνύμῳ, τοὺς δὲ οὐραγοὺς ἐν μέσῳ τεταγμένους. Διφαλαγγία, αἱ β' φαλαγγαρχίαι· ἄνδρες ,ηρϙβ'. τοῦτο δὲ καὶ μέρος ὑπ' ἐνίων καλεῖται,

1274 = Ba 199, 21 1276 Harp. = An. Ox. 2, 493, 4 1277 — διαχωρίζω = L Διοικίζεσθαι, χωρίζεσθαι = Ba 199, 22 Διοικῶ aliter Ambr. 768 1279 = Ba 199, 23 1280 cf. sch. Ar. Pl. 384 1281 Soph. Ai. 511 c. sch. cf. H 1282 — διαφέρειν = Ba 199, 24 cf. H vs. 15 οὐδὲν —17 ἐκαλεῖτο Ar. Nu. 503 c. sch. (504). vs. 18 οὐδὲν sq. Ar. Pl. 384—5 c. sch. 1286 Διυπνίζω = Ambr. 831 1287 Tact. 50 et 18

1276—7 Z 553 1279 Z 553 1281 cf. v. συνδιοίσεις 1282 Ar. Nu. cf. v. Χαιρεφῶν 3; hinc v. νυκτερινοί fin. 1285 ex 1002 1287 cf. post litt. Ψ. Z 522

A(GITFVM) 1 ἐκφυσούντων A ἐμφυσούντων Ba ἐμφυσιώντων Σ[a] 1275 om. FV 2 ἀντὶ τοῦ ὀγκουμένη om. G cf. p. 119, 29 4 καὶ om. GIT μόνας] μέρος Harp. 10 τροφῆς Ald. Soph.: τροφηθεὶς omnes 11 διάξει] διδάξει GI διατάξει V 13 διοίσονται GIT 15 ἐπὶ—16 φύσιν om. G ὠχρῶν] αἰσχρῶν IT 16 καὶ sec. om. ed. pr. εἰδέαν A 18 διοίσοντες AVM 21 οὐ μὴν] οὐδὲν M 1284 om. T post vs. 24 ἐξύπνισεν A 22 ὁ ἀσθενής om. I; ἀσθενής om in lac. AFVM 1285 om. TFVM post 1283 A post vs. 24 ἐξανιστῶ GI 23 Διύλησις GI 24 καὶ—ἐξύπνισεν om. TFV post 1285 AGI 27 ἐν pr.] ἐκ A 28 Διφαλαγγία] nov gl. GITFV

ἀλλὰ καὶ κέρας, καὶ ὁ ἡγούμενος κεράρχης. Ζήτει περὶ ταύτης ἐν τῷ τέλει τοῦ βιβλίου.

1288 Διφασία: ἡ δικαιολογία καὶ δικαιοσύνη.

1289 Διφάσια· ἐν τοῖς τρώματα μεγάλα διφάσια Μιλησίων ἐγένετο ἔν τε Λιμενηΐῳ χώρης τῆς σφετέρης μαχεσαμένων καὶ ἐν Μαιάνδρου πεδίῳ. Suid.

1290 Διφθέρα: ποιμενικὸν περιβόλαιον ἐκ δερμάτων. ὅτι ἀσκώματα λέγονται τὰ ἐν ταῖς κώπαις σκεπαστήρια ἐκ δέρματος, οἷς χρῶνται ἐν ταῖς τριήρεσι, καθ' ὃ τρῆμα ἡ κώπη βάλλεται· εἰς διφθέρας γὰρ τὰς διανοίας ἑαυτοῦ γράψας ὁ Θωρακίων ἔπεμπε τοῖς πολεμίοις ἐν τῇ Λακωνικῇ. Ar. Suid.

1291 Διφρεία: ἡ τοῦ ἅρματος περιφέρεια. Δ

1292 Διφρηλατῶν: ἁρματηλατῶν. Σοφοκλῆς· σὺ δ', ὦ τὸν αἰπὺν οὐρανὸν διφρηλατῶν ἥλιε, πατρῴαν τὴν ἐμὴν ὅταν χθόνα ἴδῃς, ἐπίσχων χρυσόνωτον ἡνίαν ἄγγελον ἅτας τὰς ἐμὰς μόρον τ' ἐμόν. ὁ Αἴας φησί. καὶ Διφρηλάτης. Soph. Suid.

1293 Διφρίσκος: τὸ σκεῦος, ἐν ᾧ ἐφεστῶτες οἱ ἡνίοχοι ἐλαύνουσιν. ὑποκοριστικῶς δὲ εἶπε διὰ τὸ κούφους εἶναι καὶ μικροὺς τοὺς ἀγωνιστικούς. Ar.

1294 Δίφρον: σελλίον. ἅρμα· ἢ καθιστήριον. καὶ Διφροφόρος, ἡ τὸ σελλίον βαστάζουσα. Ἀριστοφάνης· δίφρον διφροφόρει. ταῖς γὰρ κανηφόροις σκιάδειον καὶ δίφρον ἠκολούθει τις ἔχουσα. καὶ Διφροφορουμένους, φορείοις φερομένους. ΔΣ Ar. Hdt.

1295 Διφροφόροι· Στράττις ἐν Ἀταλάνταις. Διφροφορουμένους· Ἡρόδοτος· παρὰ Πέρσαις φορείοις φερομένους. καὶ τεθέντος αὐτῷ δίφρου τινός, ἰζήσας κήρυκας διεπέμπετο τοῖς ἐν τῷ τείχει σφᾶς ἐκδιδόναι παραινῶν. Δίφρος, καὶ τὸ ἅρμα. παρὰ τὸ δύο φέρειν, τὸν παραβάτην καὶ τὸν ἡνίοχον. ἐξ οὗ καὶ διφρηλάτης. Σ Hdt. E Δ

1296 Διφυᾶ: δύο φύσεις ἔχοντα. Σ

1297 Διφῶν: ζητῶν, ἐρευνῶν. Hom.

1298 Δίχα. Δ

1288 aliter Ambr. 615 (= Zon. 521), H; L 1290 — δερμάτων sch. Ar. Nu. 72 1291 l. = Ambr. 589 1292 — φησί Soph. Ai. 845—8 c. sch. 1293 sch. Ar. Nu. 31 1294 ἅρμα ἢ καθιστήριον = Σ^{e}, H Διφροφόρος—βαστάζουσα sch. Ar. Eccl. 734; vs. 19 δίφρον—20 ἔχουσα Ar. Av. 1552 c. sch. 1551 cf. Et M. 279, 38 = H Διφροφορουμένους sq. Gl. Hdt. 3, 146 = H 1295 — Ἀταλάνταις Strattid. fr. 8 (1, p. 713 K.) Διφροφορουμένους—φερομένους Gl. Hdt. 3, 146 = Et. M. 279, 39 vs. 25 Δίφρος—27 ἡνίοχον cf. Et. M. 279, 30, Et. Gen., sch. Γ 262, An. Ox. 1, 111, 27; — φέρειν = Ambr. 461; ἅρμα = Ps. Herodian. 20. Διφρηλάτης cf. Ambr. 462, L 1296 = Ba 200, 13, H 1297 sch. Π 747 = Et. M. 279, 47 cf. H 1298 cf. Et. M. 279, 51

1289 ex v. Γ 472 cf. v. τρώματα 1290 Z 521. ὅτι sq. ex v. A 4183 1291 Z 522 1292 cf. vv. Al 274 et Ε 2655. Διφρηλάτης ex 1295 extr. 1294 cf. 1295 1295 cf. 1292 et 1294 1296 Z 510

1 Ζήτει—2 βιβλίου ex mg. M 1289 om. TFV 6 ὅτι—9 Λακωνικῇ om. TFV A(GITFVM) 7 δερμάτων IM 8 ἑαυτοῦ A, v. A 4183: ἑαυτῶν GIM 9 Θωρακίων A: Θωρυκίων v. A 4183 Ἐρκίων GIM τῷ Λακωνικῷ A 12 χθόνα om. FVM 14 καὶ Διφρηλάτης om. FV 21 φορουμένους VM 25 Δίφρος] nov. gl. GITF 26 παραιβάτην GITV 1297 extra ordinem

E 1299 Διχαζούσης: κλινούσης. ἤδη δὲ τοῦ καύματος ἀκμάζοντος καὶ διχαζούσης τῆς ἡμέρας.

Σ 1300 Διχῆ: διχῶς.

1301 Δίχηλα ζῷα: βοῦς, ἔλαφος, δόρκων, οἷς συμβέβηκεν ἐν τοῖς ὀπισθίοις ποσὶν ἀστραγάλους ἔχειν.

Σ 1302 Διχομηνία: τοῦ μηνὸς τὸ ἥμισυ. καὶ Διχομηνιαία, πεντεκαιδεκαταία τοῦ μηνὸς ἢ τῆς σελήνης.

Δ 1303 Διχόθεν: ἀπὸ τῶν δύο μερῶν.

Tact. 1304 Διχοτομία φάλαγγος: ἡ εἰς δύο ἴσα τομή. ταύτης δὲ τὰ μέρη καλεῖται κέρατα, ὧν τὸ μὲν εὐώνυμον κέρας λέγεται καὶ οὐρά, τὸ δὲ ἕτερον δεξιὸν κέρας καὶ κεφαλὴ καὶ δεξιὸν ἀκρωτήριον καὶ δεξιὰ ἀρχή. ἀραγὸς καὶ ὀμφαλὸς καὶ συνοχή· φράγμα, ὡς ἔνιοι, καὶ

Synt. στόμα, ὡς ἕτεροι, ἡ διχοτομία καλεῖται. καὶ Διχοτομῶ· αἰτιατικῇ.

1305 Δίψα, τῷ δίψει. ὅτι καὶ τὸ δίψος καταχρηστικώτερον εὑρίσκεται ὅπερ ἡ δίψα. δίψη δὲ τότε γράφεται η, ὅταν ἔχῃ ἐπαγόμενον θηλυκὸν ἐπισημαῖνον αὐτό. ὡς ἂν δίψῃ τῇ ἐπιγινομένῃ. εἰ δὲ μὴ οὕτως εἴη, διὰ διφθόγγου τῷ δίψει. περὶ δίψης ζήτει ἐν τῷ Ἰουλιανός.

Greg. 1306 Διψάς: εἶδος ὄφεως. ἔστι δὲ ἔχεως ὀλιγωτέρα, ἀποκτεῖναι δὲ ὀξυτέρα. οἱ δὲ δηχθέντες ἐξ αὐτῆς ἐξάπτονται εἰς δίψος ὥστε ῥήγνυσθαι. λευκὴ δέ ἐστι καὶ ἔχει ἐν τῇ οὐρᾷ γραμμὰς β′. πρηστῆρα δὲ αὐτήν τινες καλοῦσιν, καύσωνα δὲ ἄλλοι. γίνονται δὲ ἐν Λιβύῃ καὶ Ἀραβίᾳ μᾶλλον. καλοῦσι δὲ αὐτὴν καὶ μελάνουρον καὶ ἀμμοάτιν καὶ κεντρίδα.

Δ 1307 Διψῶ· αἰτιατικῇ. τὸ ἐπιθυμῶ. θεῷ γὰρ βούλομαι ἀρέσκειν καὶ πρὸς ἐκεῖνον ὁρᾶν καὶ τῇ ἐκείνου βουλήσει ἕπεσθαι τῷ οἴακι τῷ

Δ ἐκείνου διψῶν. καὶ Δίψα, ἡ ἐπιθυμία. Δημοσθένης· διψῶ τοῦ

Synt. κωνείου.

Δ 1308 Διψώης: εὐκτικόν.

Σ 1309 Δμηθέντα: δαμασθέντα, ὑπείξαντα.

Δ 1310 Δμηκότες: δαμάσαντες.

1300 = Σ^a, Et. M. 279, 51, H; l. = Ambr. 857 1301 Ar. Byz. Epit. 3, 14 —4, 1 1302 = H; Διχομηνιαία sq. = Ba 200, 14 1303 = Ludw. 16, 20 cf. Ambr. 858 = H 1304 — vs. 13 καλεῖται Tact. 23 Διχοτομῶ sq. = An. Ox. 4, 290, 21, Synt. Laur. 1306 cf. sch. Greg. Cat. Bodl. 39; Aelian. n. a. 6, 51 1307 l. = Ambr. 750; αἰτιατικῇ aliter An. Ox. 4, 289, 28 = Bk. 135, 22; ἐπιθυμῶ cf. Artem. 1, 66 (p. 60, 24) Δημοσθένης sq. cf. Bk. 135, 22. Δημοσθένης ὁ μικρός h. e. Liban. decl. 2 de Socr. V p. 132, 7 Foerster 1309 = Ba 200, 24 cf. sch. Δ 99, H, Et. M. 281, 7 1310 = Ambr. 866

1299 Z 554 1301 hinc 1307 fin. Z 526 1302 Z 522 1304 cf. post litt. Ψ 1306 cf. v. A 1616. Z 522 1307 cf. v. Ε 242 1307—8 Z 554 1309—10 Z 557

A(GITFVM) 4 συμβέβληκεν A 12 ἀραρὸς post litt. Ψ, Tact. 1305 om. TFV mg. A 14 Δίψα om. A ὅπερ M: ἥπερ A ὥσπερ GI 15 θηλυκὸν om. GM αὐτό GI: αὐτ̃ AM 16 τῷ] τὸ M περὶ—17 Ἰουλιανός ex M^{mg} 18 ἔχεως] ὄχεως A 21 γίνεται F 24 γὰρ] δὲ FV 26 διψῶν] διψῶ Bekk. Δημοσθένης—27 κωνείου om. GTF mg. AI 30 Δμηκότες F Zon. Ambr.: Δεδμηκότες rell.

1311 Δμῆcιc: ἡ δάμαcιc. Δ
1312 Δμωίc: ἡ δούλη. Δ
1313 Δμώc: ὁ δοῦλοc. καὶ Δμωόc. Δ
1314 Δνοπαλίζω· οὕτωc δνοπαλίζειc διωλύγιοc φλυαρία. Suid.
1315 Δνοπαλίξειc: τουτέcτι διὰ τῶν χειρῶν κινήcειc καὶ ἐκτινάξειc. ἡ εὐθεῖα Δνοπάλιξιc. Σ Δ
1316 Δνοφερόν: μέλαν, cκοτεινόν. ὠλοφύρατο χερcὶν ἀμήcας ἀνδροφόνοις δνοφερὰν κρατὸc ὕπερθε κόνιν. Σ Anth.
1317 Δοάξω: ἀμφιδόξω. Δ
1318 Δόβειρα: ὄνομα πόλεωc. Δ
1319 Δογματίζει: θεολογεῖ, φυcιοῦται. Δογματίζειν ἐcτὶ τὸ δόξαν τιθέναι, ὡc τὸ νομοθετεῖν νόμουc τιθέναι. δόγματα δὲ ἑκατέρωc καλεῖται, τό τε δοξαζόμενον καὶ ἡ δόξα αὐτή. τούτων δὲ τὸ μὲν δοξαζόμενον πρότακίc ἐcτιν, ἡ δὲ δόξα ὑπόληψιc. ὁ τοίνυν Πλάτων περὶ μὲν ὧν κατείληφεν ἀποφαίνεται, τὰ δὲ ψευδῆ διελέγχει, περὶ δὲ τῶν ἀδήλων ἐπέχει. καὶ περὶ τῶν αὐτῷ δοκούντων ἀποφαίνεται διὰ τεccάρων προcώπων, Cωκράτουc, Τιμαίου, τοῦ Ἀθηναίου Ξένου. εἰcὶ δ' οἱ Ξένοι, οὐχ ὥc τινεc ὑπέλαβον, Πλάτων καὶ Παρμενίδηc, ἀλλὰ πλάcματά ἐcτιν ἀνώνυμα. περὶ δογμάτων. οἱ μὲν γενητόν, οἱ δὲ ἀγένητον, καὶ οἱ μὲν ἔμψυχον, οἱ δὲ ἄψυχον. Ἀναξαγόραc δὲ καὶ Πυθαγόραc εἰc Αἴγυπτον ἀφικόμενοι καὶ τοῖc Αἰγυπτίων καὶ Ἑβραίων αὐτόθι cοφοῖc ὁμιλήcαντεc τὴν περὶ τῶν ὄντων γνῶcιν ἠκουτίcθηcαν· ὕcτερον δὲ καὶ Πλάτων, ὡc Πλούταρχοc ἐν τοῖc Παραλλήλοιc φηcίν. οὐ μὴν δὲ ἀλλὰ καὶ θεοὺc Αἰγύπτιοι πρῶτοι τὸν ἥλιον καὶ τὴν cελήνην ὠνόμαcαν καλέcαντεc τὸν μὲν ἥλιον Ὄcιριν, τὴν δὲ cελήνην Ἶcιν, ἅτε ὁρῶντεc αὐτοὺc δρόμῳ ἰόνταc καὶ θέονταc θεοὺc ἐκ τοῦ θέειν καὶ ἰέναι. Σ Phil. E
1320 Δοθιῆνι cκορόδῳ ἡμφιecμένῳ ἔοικεν. Ar.
1321 Δοθιών: φῦμα φλυκταίνῃ ἐοικός. ἔχουcα δοθίωνα ὑποφυόμενον ἄρτι. Ar. Ar.

1311 = H, aliter Ambr. 865, sch. P 476 1312 = Ambr. 863 cf. H 1313 = Ambr. 860; — δοῦλοc = sch. ω 256, Apion, H 1314 l. = Ambr. 872 1315 — ἐκτινάξειc = Ba 200, 25 cf. Et. M. 281, 18, H, Ap. S. 59, 21 Δνοπάλιξιc cf. Ambr. 870, L 1316 — cκοτεινόν = Ba 200, 27, Et. M. 281, 14, H; — μέλαν = sch. I 15, Π 4, Ambr. 871, Ap. S. 59, 20 ὠλοφύρατο sq. Anth. 7, 241, 3—4 1317 cf. sch. N 458 = Et. M. 281, 41, H 1318 cf. L, Ambr. 933 1319 — φυcιοῦται = Ba 200, 28 vs. 11 Δογματίζειν—19 ἀνώνυμα Laert. 3, 51—2 vs. 19 περὶ sq. Georg. 75, 20—76, 12 1320 Ar. Vsp. 1171—2 1321 — ἐοικόc sch. Ar. Vsp. 1172

1311—3 Z 556 1314 ex 1233 1316 cf. v. A 1578 1318 cf. v. A 26 1319 Georg. hinc v. Al 77 extr. 1320—1 Z 558

3 κλίνεται δμωός F cf. Ambr. 1314 om. GITFV mg. A 10 Δόβηρα A(GITFVM) Ambr. Zon. 561 17 Cωκράτουc om. in lac. V Ἀθηναίου Ξένου F Laert.: Ἀθ. Ξένου AM Ἀθηναῖοc Ξένου V Ἀθηνοξένου GI 19 ἀντώνυμα VM γεννητόν AG cf. Georg. 20 ἀγένητον F: ἀγέννητον AGIM ἀγένητοι V cf. Georg. 27 ἰέναι ὠνόμαcαν A

Δ 1322 Δοκεύει: ἐπιτηρεῖ.

Σ 1323 Δόκησις: ὑπόνοια. ἢ τὸ μὴ ὄν, νομιζόμενον δέ. ὅ ἐστι φαντασία καὶ σκιὰ καὶ ὄναρ.

Thuc. 1324 Δόκησις ἀληθείας: περιφραστικῶς ἡ ἀλήθεια παρὰ Θουκυδίδῃ.

Ar. 1325 Δοκησίσοφος: ἀντὶ τοῦ φρόνιμος. Ἀριστοφάνης· νεανίας δοκησίσοφος.

Δ 1326 Δοκίδες: ἀστέρων ὀνόματα.

Σ 1327 Δοκιμάσας· αἰτιατικῇ. κρίνας. καὶ Δοκιμασθείσαις,
EL κριθείσαις, βεβαιωθείσαις. μαθὼν ὡς ταῖς ἤδη ὑπὸ Ζαχαρίου δοκιμασθείσαις σπονδαῖς οὐ στέργουσι Ῥωμαῖοι, ἐπαφίησι Τανχοσδρὼ κατὰ τῆς Ῥωμαίων ἐπικρατείας. καὶ Αἰσχύλος φησίν, οὐ γὰρ δοκεῖν δίκαιος, ἀλλ' εἶναι θέλω.

Harp. 1328 Δοκιμασθείς: Δημοσθένης μὲν ἀντὶ τοῦ εἰς ἄνδρας ἐγγραφείς. λέγει γὰρ καὶ ἐπὶ τῶν ἀρχόντων τὸ δοκιμασθῆναι. ἐλέγετο δὲ καὶ ἐπὶ τῶν πολιτευομένων τὸ δοκιμασθῆναι, εἰ καὶ μηδ' ἥντινα ἦρχον ἀρχήν· ἐνίοτε δὲ καὶ αὐτῶν ἐξητάζετο ὁ βίος. Λυκοῦργος δὲ γ' δοκιμασίας φησὶ κατὰ τὸν νόμον γίνεσθαι. καὶ γὰρ μία μέν ἐστιν, ἣν οἱ θ' ἄρχοντες δοκιμάζονται· ἄλλη δέ, ἣν οἱ ῥήτορες, τρίτη δέ, ἣν οἱ στρατηγοί, λέγει δὲ ἐν τῷ αὐτῷ λόγῳ καὶ ἱππέων δοκιμασίαν.

Σ 1329 Δοκιμασίαν ἐπαγγεῖλαι: τὸ δίκην ἑταιρήσεώς τινα καταγγεῖλαι. γίνεται δὲ ἡ τῆς ἑταιρήσεως δοκιμασία οὐ πᾶσιν, ἀλλὰ πολιτευομένοις ῥήτορσι καὶ ψηφίσματα γράφουσιν.

Δ 1330 Δοκιμαστῆρες: οἱ ἑταστοί. ὁ δὲ ὢν καὶ πρότερον ἔν γε
EL Ἰταλιώταις πᾶσι δόκιμος μεῖζον ὡς τὸ εἰκὸς ἐπὶ φιλανθρωπίᾳ κλέος ἀπήνεγκεν.

Δ 1331 Δόκιμος καὶ Δοκίμων.

1332 Δοκιμώταται τῶν πόλεων.

Δ 1333 Δοκός: τὸ μέγα ξύλον.

1334 Δοκοῦντα· δοτικῇ. ἀντὶ τοῦ ἀρέσκοντα. πολλὰ λέγει παρά-

1322 = Ambr. 965, sch. Θ 340, Ap. S. 60, 14 cf. Ps. Herodian. 23, H, Et. M. 281, 45 1323 = Ba 200, 29 cf. H 1324 sch. Thuc. 2, 35, 2 1325 Ar. Pac. 44 c. sch. (? cf. Poll. 4, 9) 1326 cf. L, Artem. 2, 34 (p. 131, 1) 1327 αἰτιατικῇ cf. An. Ox. 4, 290, 29, Synt. Laur. κρίνας = Σ^{a}, H μαθὼν—ἐπικρατείας Men. Prot. fr. 40, FHG 4, 241 = EL 199, 27—29 Αἰσχύλος sq. Dam. fr. 26; Aeschyl. Sept. 592 1328 Harp.; Dem. 30, 6 et 57, 25; Lycurg. fr. 24 1329 cf. Bk. 185, 32, 241, 15 1330 ὁ sq. Proc. Bell. 7, 16, 6 = EL 112, 12—14 1331 Δοκίμων cf. Ambr. 913 et 916 1332 fort. Metaphr. 1333 = Ambr. 930, Ps. Herodian. 23 cf. H, Et. M. 281, 56 1334 δοτικῇ cf. An. Ox. 4, 290, 27, Synt. Laur. vs. 30 πολλὰ sq. Dam. fr. 240

1322 Z 566 1323—4 Z 561 1326 cf. v. K 1996. Z 561 1327 cf. v. Ε 245. Z 566. Dam. cf. 1070 1328 Z 566 1330 Z 558

A(GITFVM) 9 Δοκιμασθείσαις σπονδαῖς FV 11 Ταγχοσδρὼ A^{ac}M, s. v., v. Ε 982: Ταχοσδρὼ A^{ac} Exc. τὰν Χοσδρὼ IG τὸν Χοσρόην GΫPTF τὸν Χοσρόην Ταγχόσδρω V 1332 om. TFV post 1330 AGI 28 Δοκιμώτατοι M^{ac}

δοξα καὶ δοκοῦντα τοῖς φιλοσόφοις, πολλὰ τῶν καθ' ᾠδου, οὔπω τινὰ ἀκοὴν φέροντι τῷ Ἰσιδώρῳ τοσούτων ἀκουσμάτων.

1335 Δολίωνος: ὄνομα κύριον. Δ

1336 Δολιχά: μακρά, πολλά. Δόλιχος, τὸ ἱπποδρόμιον. ἀπὸ Σ τοῦ κάμπτειν· στάδιον δὲ ὁ ὀρθὸς δρόμος.

1337 Δολιχεύουσι: περιοδεύουσιν. Αἰλιανός· Διονύσιος τοὔνομα, Σ ἔμπορος τὸ ἐπιτήδευμα, δολιχεύσας πολλοὺς πολλάκις πλοῦς περι- Ε βάλλεται πλοῦτον εὖ μάλα ἀδρόν.

1338 Δολιχόν: μακρόν, ἢ πολύ. ἔχειν δὲ δόρυ οὐ κατὰ τὸν ἐξ Σ ἵππου μαχόμενον δολιχόν, ἀλλ' ὥστε μόνον τὴν ἐπιδορατίδα ὑπερέχειν Ε ἐς ὕψος.

1339 Δόλιχος: τὸ ὄσπριον· καὶ τὸ ὄνομα τοῦ δρόμου, προπαροξυ- Δ τόνως. δολιχὸς δὲ τὸ ἐπίθετον, ὁ μακρός, ὀξυτόνως. ἔστι δὲ ὁ Soph. δόλιχος κ' στάδια.

1340 Δολιχόσκιον: τὸ μακροπόρευτον. Δ

1341 Δολοβέλλας: ὄνομα κύριον. Δ

1342 Δολόμητις: δολιόβουλος. Σ

1343 Δόλος: ἡ ἐπὶ λύμῃ τῶν ἀδελφῶν ἐπιβουλή τε καὶ μηχανὴ παρὰ τῷ Ἀποστόλῳ.

1344 Δόλοψ: ὄνομα κύριον. Δ

1345 Δόλων: οὕτω καλεῖται ὁ παρὰ τοῖς Κυζικηνοῖς τὴν Ἄρτεμιν Ε θεραπεύων γυναικεῖος θίασος, ὡς φησιν Αἰλιανός. καὶ Δόλων, Δ ὃ παρὰ Ὁμήρῳ. καὶ φυλάττει.

1346 Δόλωνες: τὰ μικρὰ ἱστία. χαλάσαντας τὰ μεγάλα ἄρμενα, Δ Ε τοῖς μικροῖς, ἃ δὴ δόλωνας καλοῦσιν, ἔπεσθαι. καὶ αὖθις Δόλωνες. Δ προβαλόμενος τοῦ παντὸς στόλου ναῦς ὀλίγας, ταύταις τοὺς δόλωνας Ε ἐπαράμενος ἔπλει. οἱ δὲ Ῥωμαῖοι πλησίον γενόμενοι καθεῖλον Ε τοὺς δόλωνας.

1347 Δολώνεια: πόλις. Δ

1348 Δόμα: τὸ διδόμενον δῶρον. Δ

1335 l. = L cf. Ambr. 893 et 917 1336 — πολλά = Ba 200, 32 cf. H, sch. Δ 533 1337 — περιοδεύουσιν = Ba 200, 35 cf. H Διονύσιος sq. Aelian. fr. 71 1338 — πολύ cf. Σ^a = sch. Luc. 229, 4; Et. M. 282, 8; H = Ap. S. 60, 2, Ps. Herodian. 23 1339 — ὄσπριον + δολιχὸς—ὀξυτόνως cf. An. Ox. 1, 112, 3; 2, 294, 5, Herodian. gr. 2, 450, 8; — ἐπίθετον = Philop. diff. Wiener St. 3, 295; μακρός = H ἔστι sq. sch. Soph. El. 684 1340 cf. Ambr. 960; sch. Γ 346 = Et. M. 282, 10, Ap. S. 60, 3 1341 = Ambr. 901 1342 = Ba 200, 33 cf. H 1343 = Oecum. in Rom. 1, 29, PG 118, 348d 1344 = Ambr. 892 (cf. 928), Et. M. 282, 17 1345 — θίασος Aelian. fr. 46 Δόλων alt. cf. Ambr. 891; φυλάττει = Ambr. 910 1346 — ἱστία cf. H χαλάσαντας—ἔπεσθαι Proc. Bell. 3, 17, 5 1347 = Ambr. 941 1348 δῶρον = Ambr. 949, Ps. Herodian. 23

1336 hinc 807 extr., Z 558, 561 1337 Aelian. cf. v. K 2199. Z 567
1339 hinc 807 extr., Z 561 1343 Z 563 1346 Z 558 1347 Z 561

2 φέροντα A^{ac} τῷ] τοῦ GIT Ἰσιδώρῳ V: cp. rell. 4 Δόλιχος] A(GITFVM) nov. gl. GITF 10 τὴν] τῆς Bhd. ἐπιδορατίδος A, Bhd. 16 Δολαβέλλας A 1344 post 1342 V 22 φασιν V 25 δὴ om. FV

1349 Δόμεν, ὅς κεν δῷ· καὶ μὴ δόμεν, ὅς κεν μὴ δῷ: ὁ Ἡσίοδός φησιν. ἀντὶ τοῦ δόμεναι καὶ μὴ δόμεναι.

1350 Δομέστικοι: οἱ τῶν Ῥωμαίων ἱππεῖς. ἢ κατὰ Ῥωμαίους οἰκειακοὶ στρατιῶται.

EV 1351 Δομετιανός, βασιλεὺς Ῥωμαίων, ἀδελφὸς Τίτου νεώτερος, Νέρωνι καὶ Καλλιγούλᾳ καὶ Τιβερίῳ, τοῖς αἴσχιστα καὶ φαυλότατα προστᾶσι τῆς ἡγεμονίας, ἥπερ τῷ πατρὶ καὶ τἀδελφῷ προσεοικὼς τὸν τρόπον. μετρίοις γὰρ δὴ τῆς ἀρχῆς προοιμίοις χρησάμενος εὐθὺς ἐς πλείονά τε καὶ ἄτοπα τῆς γνώμης ἐκπίπτει μειονεκτήματα, πλεονεξίαν τε νοσῶν ἄμετρον καὶ ἀσέλγειαν, θυμοῦ τε ἀκρατὴς ὢν καὶ ἀπαραίτητος ἐν ταῖς κολάσεσι, φιλαπεχθήμων τε καὶ φιλάργυρος εἰ καί τις ἕτερος. ταχέως γοῦν τὸ πρὸς ἁπάντων μῖσος ἐφειλκύσατο ὡς τό τε τοῦ ἀδελφοῦ καὶ τοῦ πατρὸς ἀποσβέσαι κλέος. σφαγαῖς τε γὰρ τῶν ἐπισήμων τῆς βουλῆς ἑκάστης ἡμέρας ἐμίαινε τὴν πόλιν, τάς τε ἴσας τοῖς κρείττοσι μεταδιώκων τιμὰς οὐχ ὑπέμενεν ἑτέρων αὐτῷ γενέσθαι κατὰ τὸ Καπιτώλιον ἀνδριάντων στάσιν ἐκ χρυσοῦ τε καὶ ἀργύρου πεποιημένων. ἀπείχετο δὲ οὐδὲ τοῦ τῶν συγγενῶν φόνου, ἀλλ' ἐπὶ πάντας τοὺς ἀφ' αἵματος τὴν ἀνοσίαν ἤγαγε δεξιάν, οὔτε θεοὺς ὁμογνίους οὔτε δίκην αἰδούμενος, ἀλλ' ὁμοῦ τά τε θεῖα περιφρονῶν καὶ τὰ ἀνθρώπινα.

EV 1352 Δομετιανός, βασιλεὺς Ῥωμαίων, ἀδελφὸς Τίτου, οὗ διάδοχος γενόμενος οὐ τὴν πατρικὴν καὶ ἀδελφικὴν ἐζήλωσεν ἄριστον πολιτείαν, ἀλλὰ τὴν Τιβερίου καὶ Νέρωνος ἀνοσιουργίαν ἐκ διαμέτρου. καὶ δὴ πᾶν εἶδος κακίας ἐπελθὼν μιαιφονίας τε καὶ γυναικομανίας ἅμα καὶ ἀνδρομανίας ἀνάπλεως γενόμενος ἑαυτὸν ὁ ἄθεος τελευταῖον ἀπεθέωσε. κἀντεῦθεν οὖν ἔχθιστον ἅπασι καὶ ἀπόβλητον διὰ τὸ φονικόν τε καὶ θηριῶδες τῆς μιαρᾶς γνώμης ἑαυτὸν ὁ τάλας ἀποφήνας, εἰκότως μάλα τὰ ἐπίχειρα τῆς οἰκείας δυσμενείας κομισάμενος αἰσχίστῳ μόρῳ
E? τὸν μυσαρὸν καὶ βέβηλον κατεστρέφει βίον. οὗτος σὺν τῷ βασκάνῳ δαίμονι νεμεσήσας τῷ ἀδελφῷ τοῦτον ἀναιρεῖ φαρμάκῳ, ἔρωτι τῆς ἀρχῆς. καὶ πονηρῶς τὰ πράγματα Ῥωμαίων διαθεὶς οὐδὲν ὠμότητος οὐδὲ πλεονεξίας οὐδὲ φονικῆς ἐνεργείας ἢ ἑτέρου τινὸς παραλέλοιπεν εἶδος ἢ σπούδασμα, μετὰ τοῦ καὶ ἀκρατὴς εἶναι καὶ ἀκόλαστος τὰ περὶ τὸ σῶμα. οὕτος καὶ Νέρβαν μετέστησεν ὡς ἐπιβουλεύοντα τῇ βασιλείᾳ, καὶ Ἀπολλώνιον τὸν Τυανέα ὡς φίλον Νέρβᾳ, συλλαβὼν

1349 Hesiod. O. 354 c. sch. 1350 οἰκειακοὶ sq. = Lex. Rom. Barocc. 1351 Io. Antioch. fr. 106, FHG 4, 579 = EV 1, 186, 13—29 1352 — vs. 29 βίον Georg. 2, 444, 1—11 = EV 1, 136, 20—29 vs. 34—p. 127, 5 cf. Philostr. 8, 8, de Boor, Byz. Zt. 2, 210

1350 Z 559

A(GITFVM) 1349 om. TFV mg. AI 1 ὁ om. A 6 Καλλιγόλᾳ A 15 ὑπέμενεν AM: ὑπέμειναν GIT 16 ἢ ἐκ Vales. lac. indicavit Büttner-W 1352 om. F 21 Δομετιανός—34 σῶμα om. TV 22 ἀριστοπολιτείαν Bekk. 29 βασκάνων A 31 Ῥωμαίων M: Ῥωμαίοις GI cp. A ὠμότατον M 33 καὶ pr. ss. A 35 Νέρβαν M

ἀπέκειρε καὶ δέσμιον εἰς δικαστήριον ἤγαγε. καὶ ἐπεὶ ὁ φιλόσοφος οὐκ ἐνεδίδου ἐπεγγελῶν τὰ γινόμενα παρ' αὐτοῦ καὶ ἐπιπλήττων τοῖς πραττομένοις, αἰσχυνθεὶς διαφῆκεν αὐτόν. τότε φασὶ καὶ τὸ πολυθρύλητον ἔπος εἰπεῖν τὸν Ἀπολλώνιον· οὐ μέν με κτενέεις, ἐπεὶ οὔ τοι μόρσιμός εἰμι· ἄφαντον γενέσθαι παραχρῆμα. οὗτος καὶ τοὺς φιλοσόφους καὶ μαθηματικοὺς ἐφυγάδευσεν ἀπὸ Ῥώμης. ἐπὶ τούτου καὶ Ἰωάννης ὁ Εὐαγγελιστὴς εἰς Πάτμον ἐξορίζεται. καὶ τοὺς ἀπὸ τοῦ γένους Δαβὶδ ἀναιρεῖσθαι προσέταξε, καὶ Χριστιανοὶ πολλοὶ ἐπ' αὐτοῦ μαρτυροῦσι. Νέρβας δὲ ἀπολύει τῆς ἐξορίας Ἰωάννην τὸν Θεολόγον. Ἀδριανὸς δὲ πολλὰ ἀνορθώσας καὶ Λαζοῖς ἤτοι Κόλχοις βασιλέα ἐπέστησεν. οὐκ εὐβούλως δὲ τῆς Μεσοποταμίας παραχωρεῖ Πέρσαις δεηθεῖσιν αὐτοῦ, κτηθείσης ὑπὸ Τραιανοῦ Ῥωμαίοις, καὶ τὸν Εὐφράτην ὅρον ποιεῖται τῆς ἀρχῆς. οὗτος διὰ τὸ φονικὸν καὶ E θηριῶδες ἔχθιστος ὢν πρὸς τῶν οἰκείων συστάντων ἐπ' αὐτῷ κατακτείνεται καὶ παρασκευασαμένους εἰσπέμψαι ξὺν ξιφιδίῳ Στέφανον τὸν ἀπελεύθερον· καὶ τοῦτον προσπεσόντα Δομετιανῷ καθεύδοντι τὸ μεθημερινὸν πατάξαι μέν, οὐ μὴν καιρίαν, ἀναπηδήσαντος γοῦν ἐκείνου.

1353 Δομέτιος: ὄνομα κύριον. Δ

1354 Δομίτιος: ὄνομα κύριον. Δ

1355 Δομνῖνος, φιλόσοφος, Σύρος τὸ γένος ἀπό τε Λαοδικείας καὶ Λαρίσσης πόλεως Συρίας, μαθητὴς Συριανοῦ καὶ τοῦ Πρόκλου συμφοιτητής, ὥς φησι Δαμάσκιος. ἐν μὲν τοῖς μαθήμασιν ἱκανὸς ἀνήρ, ἐν δὲ τοῖς ἄλλοις φιλοσοφήμασιν ἐπιπολαιότερος. διὸ καὶ πολλὰ τῶν Πλάτωνος οἰκείοις δοξάσμασιν διέτρεψε. καὶ διαλυμηνάμενος ἀποχρώσας ὅμως εὐθύνας τῷ Πρόκλῳ δέδωκε, γράψαντι πρὸς αὐτὸν ὅλην πραγματείαν, καθαρτικὴν ὡς φησιν ἡ ἐπιγραφὴ τῶν δογμάτων τοῦ Πλάτωνος. ἦν δὲ οὐδὲ τὴν ζωὴν ἄκρος οἷον ἀληθῶς φιλόσοφον εἰπεῖν· ὁ γὰρ Ἀθήνησιν Ἀσκληπιὸς τὴν αὐτὴν ἴασιν ἐχρησμῴδει Πλουτάρχῳ τε τῷ Ἀθηναίῳ καὶ τῷ Σύρῳ Δομνίνῳ, τούτῳ μὲν αἷμ' ἀποπτύοντι πολλάκις καὶ τοῦτο φέροντι τῆς νόσου τὸ ὄνομα, ἐκείνῳ δὲ οὐκ οἶδα ὅ τι νενοσηκότι. ἡ δὲ ἴασις ἦν ἐμπίπλασθαι χοιρείων

1352 vs. 10 Ἀδριανὸς—13 ἀρχῆς cf. Eutrop. 139 vs. 13 οὗτος sq. Io. Antioch. fr. 107, FHG 4, 579 sq. = EI 82, 3—5, 15—18 1353 = Ambr. 896 1354 = Ambr. 898 1355 Dam. fr. 134

2 καὶ—3 πραττομένοις om. VM 3 ἀφῆκεν VM καὶ om. GIT A(GITFVM)
5 οὔ τοι] οὕτω GIT ἄφαντον—παραχρῆμα] καὶ οὕτως ἄφαντον γ. παραχρῆμα τὸν Ἀπολλώνιον V 7 ἐξωρίζετο V 9 αὐτῷ V 9. 10 τὸν Θεολόγον Ἰωάννην M Ἰωάννην om. V 10 πολλοὺς V 12 κτηθεῖσιν GIT Ῥωμαίοις AGI: Ῥωμαίων VM om. T 13 ποιῆτε A 14 τὸ θηριῶδες M τῶν] τὸν A 15 ξὺν GI: ξὶν A σὺν TM 17 τὸ μεθημερινὸν GIT Exc.: τῷ μεθημερινῷ AM γοῦν om. M 1354 om. G 1355 om. T 22 καὶ alt.—p. 128, 20 ὁμιλίαν om. F καὶ alt.] οὗτος V 24 ἐπιπολαιότερος Toup. Hemst.: ἔτι παλαιότερος AM cf. p. 162, 15 ἔστι παλαιότερος GI καὶ om. GI τῶν] τοῦ V 25 διέστρεψε I διέτριψεν V ἀνέτρεψε M 30 Πύρῳ A

κρεῶν. ὁ μὲν δὴ Πλούταρχος οὐκ ἠνέσχετο τῆς τοιαύτης ὑγιείας καίτοι οὐκ οὔσης αὐτῷ παρανόμου κατὰ τὰ πάτρια, ἀλλὰ διαναστὰς ἀπὸ τοῦ ὕπνου καὶ διαγκωνισάμενος ἐπὶ τοῦ σκίμποδος ἀποβλέπων εἰς τὸ ἄγαλμα τοῦ Ἀσκληπιοῦ (καὶ γὰρ ἐτύγχανεν ἐγκαθεύδων τῷ προδόμῳ τοῦ ἱεροῦ), ὦ δέσποτα, ἔφη, τί δὲ ἂν προσέταξας Ἰουδαίῳ νοσοῦντι ταύτην τὴν νόσον; οὐ γὰρ ἂν καὶ ἐκείνῳ ἐμφορεῖσθαι χοιρείων κρεῶν ἐκέλευσας. ταῦτα εἶπεν, ὁ δὲ Ἀσκληπιὸς αὐτίκα ἀπὸ τοῦ ἀγάλματος ἐμμελέστατον δή τινα φθόγγον, ἑτέραν ὑπεγράψατο θεραπείαν τῷ πάθει. Δομνῖνος δὲ οὐδὲ κατὰ θέμιν πεισθεὶς τῷ ὀνείρῳ, θέμιν τὴν Σύροις πάτριον, οὐδὲ παραδείγματι τῷ Πλουτάρχῳ χρησάμενος ἔφαγέ τε τότε καὶ ἤσθιεν ἀεὶ τῶν κρεῶν. λέγεταί που μίαν εἰ διέλειπεν ἡμέραν ἄγευστος ἐπιτίθεσθαι τὸ πάθημα πάντως, ἕως ἐνεπλήσθη. τούτῳ οὖν ἤδη προσγεγηρακότι νεώτερος ὢν ἐντυχεῖν ὁ Ἀσκληπιόδοτος λέγεται, ἰδεῖν δὲ ἄνθρωπον ἔχοντά τι περιττὸν καὶ ἀτεμφὲς οὐκ ἀξιοῦντα λόγου πολλοῦ τοὺς ἐντυγχάνοντας ἰδιώτας ἢ ξένους, ἄλλως τε καὶ τοὺς ἐπὶ τῷ διαφέρειν αὐχοῦντας, ἀμέλει καὶ ἑαυτῷ προσενεχθῆναι τραχύτερον. ἐπειδὴ περὶ ἀριθμητικοῦ ὅτου δὴ θεωρήματος οὐκ ἠξίου ὁμολογεῖν πρὸς αὐτόν, οἷα δὲ νέος ὢν οὐδὲ ἐνδιδόναι τι μαλθακόν, ἀλλὰ διελέγχειν τὸν λόγον οὕτω θρασέως ὥστε τὸν Δομνῖνον μηκέτι προσέσθαι αὐτὸν εἰς ὁμιλίαν.

Δ 1356 Δόμνος: ὄνομα κύριον.

Δ 1357 Δόμορ.

Δ 1358 Δόμος: ὁ οἶκος.

ΣΔ 1359 Δόνακες: κάλαμοι ἁλιευτικοί, ἢ αὐλοί. ἡ εὐθεῖα Δόναξ.

1360 Δονᾶτος: ὄνομα κύριον.

Ar. 1361 Δονεῖται: κλονεῖται, σαλεύεται. Ἀριστοφάνης· πάνυ γάρ τις ἔρως με δονεῖ τῶνδε βοστρύχων. ἀντὶ τοῦ κινεῖ, ἐρεθίζει.

Σ 1362 Δόξα: ὑπόνοια, ὑπόληψις. Δόξα δέ ἐστιν ὁ παρὰ τῶν πολλῶν ἔπαινος· εἰ δὲ τῶν πολλῶν, ὅτι τῶν οὐκ εἰδότων.

Phil. 1363 Δόξα: τὸ λογικὸν καὶ γνωστικὸν μέρος τῆς ψυχῆς διαιρεῖται εἰς νοῦν, διάνοιαν, δόξαν. ἡ μὲν οὖν δόξα καταγίνεται τὸ καθόλου

Harp. 169 Αἰκίας: εἶδος δίκης ἐστὶν ἰδιωτικῆς ἐπὶ πληγαῖς λαγχανομένης, ἧς τὸ τίμημα ἐν τοῖς νόμοις οὐκ ἔστιν ὡρισμένον, ἀλλ' ὁ μὲν κατήγορος τίμημα ἐπιγράφεται ὁπόσου δοκεῖ ἄξιον εἶναι τὸ ἀδίκημα, οἱ δὲ δικασταὶ ἐπικρίνουσιν.

Σ 170 Αἰκίζει: κακοῖ, τύπτει, καθυβρίζει.

Δ 171 Αἰκισμός.

Δ 172 Αἰκίστρια: ἡ αἰκίζουσα. καὶ Αἰκίστριος.

Δ 173 Αἶκλος: ὄνομα κύριον.

Δ 174 Αἶκνον: τὸ σύνδειπνον.

Δ 175 Αἰκόλος: ὄνομα κύριον. καὶ ὄνομα ὄρους.

Prov. 176 Αἱ λαχάνων προσθῆκαι: ἐπὶ τῶν μὴ μίαν ὄψιν ἐμποιούντων.

Δ 177 Αἰλία: ὄνομα πόλεως. ἡ Ἱερουσαλήμ.

Hesy. 178 Αἰλιανός, ἀπὸ Πραινεστοῦ τῆς Ἰταλίας, ἀρχιερεὺς καὶ σοφιστής, ὁ χρηματίσας Κλαύδιος· ὃς ἐπεκλήθη μελίγλωσσος ἢ μελίφθογγος· καὶ ἐσοφίστευσεν ἐν Ῥώμῃ αὐτῇ ἐπὶ τῶν μετὰ Ἀδριανὸν χρόνων.

Ε 179 Αἰλιανός· οὗτος ἐπὶ Οὐάλεντος ἐστρατήγησεν. ἦν δὲ ἐκ Συέδρων, ἐλεύθερος ἄγαν, καὶ ἀνεστηκὼς ἐκ παιδὸς τὴν ψυχὴν γενόμενος ἀφθόνως ἐχορηγήθη τὰ περὶ τοῦ σώματος· τὰ γὰρ ὄργανα συνεπεπήγει καὶ ἐνέτρεχε τοῖς τῆς ψυχῆς κινήμασιν, ὥσθ' ἅμα τι

165 Ἀθηναίων sq. Ar. Ran. 981—8 c. sch. 983 et 986 166 = Ambr. 222, H. sch. A 128 167 — ἔμπληγος = Ba 43, 30, P cf. Σ^{e} = H, Et. M. 33, 53 καὶ pr. sq. Thuc. 7, 75, 6 168 = Ambr. 216 169 Harp. = P, Ba 44, 9; — ὡρισμένον = An. Ox. 2, 488, 26 170 = P cf. Ba 44, 3, Σ^{e} 171 cf. Ambr. 204 172 = Ambr. 217 et 203 173 = Ambr. 205 174 = Ambr. 218 cf. Ps. Herodian. 29, Et. M. 34, 2 175 = Ambr. 206 et 208 176 cf. Paroem. ed. Gsf. 16, n. 170 177 — πόλεως cf. Ambr. 230. ἡ Ἱερουσαλήμ = Ps. Herodian. 31 179 Eunap. fr. 36, FHG 4, 27

166 Z 97 170 Z 91 172 Z 80 173—8 Z 68 = 71 174 Z 87 175 Z 69 179 cf. v. A 2329; hinc v. Συέδρων

A(GITFVM) 4 ἐλαίας GIT 7 καὶ ἡ ἰσομοιρία A, v. l. Thuc. 8 τὸ om. GIT κούφησιν AFV 9 ῥᾳδίω GI τῷ] τὸ A δοξάζεται GIT 169 non nov. gl. AM 11 ἰδιωτικόν A 13 δοκεῖ] δηλοῖ GIT post 169 αἰκίζομαι ὑπὸ σοῦ· καὶ αἰκίζομαί σε· τὸ αἰκίζω ποιητικώτερον add. F ante 178 Αἰλία⟨νός⟩· ποικίλη ἱστορία add. F 24 ὁ om. AGIT Κλαύδιος Bas.: Κλαυδίῳ omnes 28 περὶ IVM: παρὰ AGT 29 ἐπέτρεχε GIT συνεξέτρεχε Wyttenbach ὥσθ'—τι] ὡς θαύματι V

πρᾶξαι ἐδέδοκτο καὶ ἐπέπρακτο. καὶ παιδείας οὔτε ἐντὸς ἦν οὔτε ἄμοιρος, ἀλλ' ἦν ἀγροικότερος, ὅσον θυμοειδέστερος, καὶ τὸ θηριῶδες τοῦ θυμοῦ καὶ ἄγριον οὐκ ἐξημέρωτο καὶ κατείργαστο ὑπὸ τοῦ λόγου.

180 Αἴλινον: εἶδος θρήνου καὶ ᾠδῆς. ⟨αἴλινον⟩ ὠκυμόρῳ με Δ
λεχωίδι τοῦτο κεκόφθαι τῆς Διοδωρείου γράμμα λέγει σοφίης. Anth.

181 Αἴλινον: κοινῶς καὶ ἐπὶ θρήνου καὶ ἐπὶ ὕμνου ἐστίν· ἀπὸ Σ
Αἰλίνου τοῦ Καλλιόπης.

182 Αἴλινος: ὀδυρτική, θρηνητική. οὐκ ἐμάλαξε τεὸν θράσος αἴλινος Anth.
αὐδή.

183 Αἴλιος Ἀδριανός· ζήτει ἐν τῷ βδέλυγμα ἐρημώσεως.

184 Αἴλιος: ὄνομα ἐθνικόν. Δ

185 Αἴλουρος: τὸ ζῷον. Δ

186 Αἷμα: τὸ ζωτικὸν τοῦ ἀνθρώπου.

187 Αἷμα: καὶ τὸ γένος. ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι Σ
εἶναι. καὶ τὸ ἐν ἡμῖν τεσσάρων χυμῶν τὸ καιριώτατον. Σοφοκλῆς δ' ἐν Ἠλέκτρᾳ τὴν μάχαιραν αἱμά φησιν.

188 Αἱμαλέας· ὀκτὼ θώρηκας, τόσσας δ' αἱμαλέας κοπίδας. Anth.

189 Αἱματιά· τὸ ἐκ χαλίκων ᾠκοδομημένον τειχίον ἄνευ πηλοῦ Σ + Hdt.
παρὰ Ἡροδότῳ· ἦν τινες ἄρπεζον. καὶ Ἴωνες οὕτω χρῶνται. δηλοῖ δὲ Ἡρόδοτος ἐν τῇ πρώτῃ. φαύλως δὲ οἱ πολλοὶ τὸ χωρίον τοῦτο αἱματιῶν περιεχόμενον αἱματιὰν καλοῦσιν.

190 Αἱματιαῖς: τοῖς φραγμοῖς κυρίως τοῖς ἠκανθωμένοις. Σ

191 Αἱμάτη. Δ

192 Αἵματι κλαίειν: καθ' ὑπερβολήν, οὐ δάκρυσιν. ἐφ' ὧν μὴ Prov.
δύναιντο πεῖσαι πάντα πράττοντες, οὕτως ἔλεγον οἱ ἀρχαῖοι. οὐδ' ἂν Σ
πείσῃ αὐτόν, οὐδ' αἵματι κλαίων. λέγουσι δὲ καί, οὐδ' ἂν αἵματι Prov.?
στένων πείσειεν.

193 Αἱματόεντα: αἱματώδη. Σ

180 — ᾠδῆς = Ambr. 231 cf. sch. Soph. Ai. 627, Ambr. 229 et 223 (= Ps. Herodian. 31) ὠκυμόρῳ sq. Anth. 6, 348, 1—2 181 = P, Ba 47, 13 cf. Et. M. 35, 1, H 182 οὐκ sq. Anth. 5, 247, 3 184 cf. Ambr. 228 185 = Ambr. 224, Ps. Herodian. 31, Et. M. 34, 8 187 = P, Ba 44, 26 cf. H, Ap. S. 17, 6, Apion, sch. Z 211; Soph. El. 1395 188 Anth. 6, 129 189 — τειχίον + τινες sq. = P, Ba 44, 14, 16 cf. Ael. D. fr. 19 ap. Eust. O. 1851, 13; lex. Rhet. ap. Et. M. 35, 10 = Et. Gen.; — πηλοῦ gl. Hdt. 1, 180 190 = P cf. Ba 44, 15, Σ^{e}, Eust. O. p. 1851, 13 (Paus. Att. fr. 19 attr. Heyden), Ambr. 250, Ps. Herodian. 32, Et. M. 35, 10, Et. Gen. 191 cf. Ambr. 249 = Theognost. An. Ox. 2, 5, 32 192 — δάκρυσιν = Paroem. ed. Gsf. 7, n. 63 ἐφ'—κλαίων = Ba 44, 22 cf. H 193 = P, Ba 44, 4, Σ^{e} cf. H, sch. Ξ 7

182 Z 80 187 Z 87 189 Z 80

1 παιδείαις GIT 4 ⟨αἴλινον⟩ suppl. Kust. 5 σοφίας GIT A(GITFVM)
6 κοιναῖς A 7 Αἰλίνου] Ἑλλήνου M 9 αὐδή] ἀδή A ᾠδή IT 10 τῆς ἐρημώσεως M 11 Αἴλινος V 14 καὶ pr. om. FVM Phot. Ba γένος] ταύτης τὸ γένος add. GI τοι FV Phot. Ba: τη A τῆς GITM 188 post 191 A^{ac} ibid. iterav. GI 17 θώρακας GIM 19 ἅρπαζον GM ἥρπαζον I
20 τοῦτο] τὸ ὑπὸ TM cf. Ba 24 ἐφ' M Ba: ἀφ' rell.

Δ 194 Αἱματοπότης: ὁ φονεύς. οἰκείως δὲ ἐπὶ τοῦ δράκοντος,
Ar. αἱματοποτεῖ γὰρ τὸ ζῷον, καὶ ἐπὶ τοῦ ἀλλαντοπώλου· τὰ γὰρ ἔντερα καὶ τοὺς ἀλλᾶντας μετὰ αἵματος καὶ πιμελῆς καὶ ἀλφίτων φυρῶντες πληροῦσιν. αἱματοπότην οὖν τὸν τὸ αἷμα καταναλίσκοντα καὶ ὥσπερ ἐκροφοῦντα. διὰ τοῦ ω μεγάλου ὡς ὑδροπώτης.

Σ 195 Αἵματος ἄσαι Ἄρηα: αἵματος κορέσαι. ἢ αἵματι μολῦναι καὶ χρῶσαι. ἄσῃ γὰρ ἡ ῥυπαρία. ὅθεν καὶ ἀσάμινθος, ἐν ᾗ τὴν ἄσην μινύθοντες ἐλούοντο. ὅ ἐστι τὴν ῥυπαρίαν μειοῦντες.

Δ 196 Αἱματωπός: ὁ τοὺς ὤπας ἡμαγμένους ἔχων.

Σ 197 Αἱμηρόν: αἵματος πλῆρες.

EV 198 Αἰμιλία, Σκιπίωνος τοῦ μεγάλου γυνή· ᾗ συνέβαινε μεγαλοπρεπῆ τὴν περίστασιν ἔχειν ἐν ταῖς γυναικείαις ἐξόδοις, ἅτε συνηκμακυῖαν τῷ βίῳ καὶ τῇ τύχῃ τῇ Σκιπίωνος· χωρὶς γὰρ τοῦ περὶ τὸ σῶμα καὶ τὴν ἀπήνην κόσμου καὶ τὰ κανᾶ καὶ τὰ ποτήρια καὶ τἄλλα τὰ πρὸς θυσίαν ἀργυρᾶ καὶ χρυσᾶ πάντα συνεξηκολούθει κατὰ τὰς ἐπιφανεῖς ἐξόδους αὐτῇ, τό τε τῶν παιδισκῶν καὶ τὸ τῶν οἰκετῶν τῶν παρεπομένων πλῆθος ἀκόλουθον ἦν τούτοις. ταύτην δὴ τὴν περικοπὴν ἅπασαν (τουτέστι τὴν ὕπαρξιν) εὐθέως μετὰ τὸν Αἰμιλίας τάφον ἐδωρήσατο τῇ μητρί, ᾗ συνέβαινε κεχωρίσθαι μὲν ἀπὸ τοῦ Λευκίου πρότερον ἤδη πολλοῖς χρόνοις, τὴν δὲ τοῦ βίου χορηγίαν ἐλλιπεστέραν ἔχειν τῆς κατὰ τὴν εὐγένειαν φαντασίας. διὸ τὸν πρὸ τοῦ χρόνον ἀνακεχωρηκυίας αὐτῆς ἐκ τῶν ἐπισήμων ἐξόδων, τότε κατὰ τύχην οὔσης ἐπιφανοῦς καὶ πανδήμου θυσίας, ἐκπορευομένης αὐτῆς ἐν τῇ τῆς Αἰμιλίας περικοπῇ καὶ χορηγίᾳ, καὶ πρὸς τοῖς ἄλλοις καὶ τῶν ὀρεωκόμων καὶ τοῦ ζεύγους καὶ τῆς ἀπήνης τῆς αὐτῆς ὑπαρχούσης, συνέβη τὰς γυναῖκας θεωμένας τὸ γεγονὸς ἐκπλήττεσθαι τὴν Σκιπίωνος χρηστότητα καὶ μεγαλοψυχίαν.

Δ 199 Αἰμιλιανός: ὄνομα κύριον.

EV 200 Αἰμίλιος: ὁ ὕπατος, ὁ τὸν Περσέα τὸν τῶν Μακεδόνων βασιλέα χειρωσάμενος, ἀνὴρ ἦν σώφρων καὶ φέρειν εὐπραγίας εἰδὼς

194 — φονεύς = Ambr. 233 οἰκείως—ἐκροφοῦντα sch. Ar. Eq. 198 cf. Zacher Jb. Suppl. 16, 717 sq. διὰ sq. cf. P et Ael. D. fr. 48 ap. Eust. O. 1716, 37 195 = P, Ba 47, 15, H; κορέσαι = sch. Θ 289 196 = Ambr. 235 197 = Ba 44, 25, Σ^{e} 198 Polyb. 31, 26, 1—8 = EV 2, 190, 20—191, 12 199 = Ambr. 239, Ps. Herodian. 33 200 Io. Antioch. fr. 57, FHG 4, 558 = EV 1, 170, 19—171, 14 cf. Eutrop. 69 et 71

194 cf. 207. Z 69 195 cf. v. A 4123. hinc v. μινύθει 196 Z 69 197 Z 87 198 cf. v. περίστασις, v. περικοπή 1. hinc v. A 3167, v. περικοπή 2 199—200 Z 69

A(GITFVM) 1 Αἱματοπώτης FV v. l. sch. Ar. 2 τῶν ἀλλαντοπώλων GIT 4 αἱματοπώτην FV v. l. sch. Ar. 5 διὰ—ὑδροπώτης ex FV 6 αἵματι] αἵματος GIT 9 Αἱματοπός A 12 γυναικείοις M 12. 13 συνηκμακυῖα τὸν βίον VM 13 τῇ alt. AIG Exc.: τοῦ TVM 16 αὐτῆς VM τὸ alt. ex A Exc. 17 δὴ] δὲ VM 20 ἤδη] δὴ V 24 Αἰμιλίας] ὁμιλίας M 30 ἀνὴρ] οὗτος ἀνὴρ VM

καὶ ἱκανὸς ὤν. ἅμα γὰρ βασιλικῇ θεραπείᾳ τὸν ἄνδρα ὑπεδέξατο, πεσεῖν τε βουληθέντα πρὸς τοῖς γόνασιν αὐτοῦ ἀναστήσας καὶ ἐπειπών, ἄνθρωπε, τί μου καταβάλλεις τὸ κατόρθωμα; ἐπί τινος βασιλικοῦ θρόνου πάρεδρον ἑαυτῷ κατεστήσατο. Μακεδόνας δὲ καὶ Ἰλλυριοὺς τῆς πρόσθεν δουλείας ἀπηλλαγμένους ἐλευθέρους εἶναι καὶ αὐτονόμους προστάττει τὸ συνέδριον δασμόν τε φέρειν βραχὺν καὶ πολλῷ τινι τοῦ πάλαι κομιζομένου τοῖς ἑκατέρων βασιλεῦσι καταδεέστερον, ὡς ἂν ὁμολογοῖτο πρὸς ἁπάντων, ὅτι Ῥωμαίους τῶν ὑπαρξάντων ἐς αὐτοὺς ἀδικημάτων ἧπερ ἐφέσει τῆς Μακεδονικῆς ἡγεμονίας ἐξενηνοχέναι τὸν πόλεμον. ὁ γοῦν Αἰμίλιος ἐς τὴν ἁπάντων τῶν παρόντων ἀκοὴν (ἦσαν δὲ πολλοὶ καὶ ἐκ πολλῶν ἐθνῶν συνειλεγμένοι) τὸ τῆς βουλῆς ἐξενεγκὼν δόγμα ἐλευθέρους εἶναι τοὺς ἄνδρας ἀπεφήνατο· τούς τε πρὸς αὐτὸν ἀφικομένους τῶν Εὐρωπαίων πρέσβεις εἱστία πολυτελῶς τῇ λαμπρότητι τοῦ συμποσίου φιλοτιμούμενος. ἔλεγε γὰρ δὴ τῶν αὐτῶν ἀνδρῶν εἶναι, τῷ τε πολέμῳ κρατεῖν καὶ ταῖς παρασκευαῖς τῶν συμποσίων ἐπιμελεῖς τε καὶ φιλοτίμους φαίνεσθαι.

201 Αἴμιλλος: ὄνομα κύριον. Δ

202 Αἷμνιον: τὸ ἄγγος. τὸ αἱμοδόχον. Δ Suid.

203 Αἱμοβόρος: ὁ αἷμα ἐσθίων. Δ

204 Αἱμονία: ὄνομα κύριον. Δ

205 Αἱμόνιος, Ῥωμαῖος, κατὰ τὸν Περσῶν πρὸς Ἀθηναίους πόλεμον τραυματίας δραμὼν εἰς Ἀθήνας καὶ εἰς τοὺς πρυτάνεις εἰσελθὼν εἶπεν αὐτοῖς· χαίρετε καὶ χαίρομεν. καὶ πεσὼν ἀπέθανεν.

206 Αἱμόρρους: γένος ἔχεως ἐν τοῖς πετρώδεσι χηραμοῖς ἔχον τὰς διατριβάς.

207 Αἱμοπότης: ὁ φονεύς. Δ

208 Αἱμωδεῖν: τὸ αἱμωδιᾶν· καὶ τοὺς ὀδόντας ὀδυνᾶσθαι. Σ

209 Αἱμωδία. Δ

210 Αἱμωπούς: αἱματοχαρεῖς. ἃ πάρος αἱμωποὺς ἐστυφέλιξε λύκους. Anth.

211 Αἱμύλα. καὶ Αἱμύλος, κόλαξ, ἀπατεών. τῶν μέν τινες Δ Σ

202 — ἄγγος = Theognost. An. Ox. 2, 5, 33, Ambr. 258 cf. sch. γ 444 203 = Ambr. 234 cf. H 204 = Ambr. 253 205 cf. Plut. glor. Ath. 3 p. 347 c 208 — αἱμωδιᾶν cf. Phryn. 14, 3, P. τοὺς sq. = Methodius in Et. Gen. et Et. M. 35, 16, Lex. αἱμ. p. 617, 30 cf. Ambr. 259, P, H 209 = Ambr. 254 210 — αἱματοχαρεῖς aliter Ambr. 237 ἃ sq. Anth. 6, 35, 4 211 Αἱμύλα cf. L, H Αἱμύλος—ἀπατεών = Ba 45, 2, Σ^{c} cf. P = Ba 52, 9 τῶν—p. 172, 1 παίζειν Aelian. fr. 34

202 cf. v. σφαγεῖον. Z 8 7 203 Z 69 204 Z 80 206 hinc v. Ε 4015 extr., Z 69 207 cf. 194. Z 69 208 Z 91 210—1 Z 69

4 Ἰλλυρικοὺς V 9 ἐξενήνοχε GIT 10 γοῦν] γὰρ VM 11 καὶ A(GITFVM) om. VM 18 τὸ αἱμοδόχον om FV 21 τὸν] τῶν AIF^{ac} 22 εἰσελθών] ἐλθὼν VM 23 χαίρωμεν IFVM^{ac} 207 extra ord. 27 καὶ αἱμωδιᾶν τὸ GIT Zon. 28 Αἱμωδίαι GIT Αἱμωδούς M (non nov. gl.) 210 non nov. gl. IV 29 Αἱματοπούς F ἃ A: αἱ rell. ἐστυφέλιξαν VM

E αἰμύλων καὶ κομψῶν οἰήσονταί με παίζειν. παροξυτόνως τὸ αἰμύ-
| Δ λος, Τερτύλος, Ῥωμύλος, Αἰσχύλος. καὶ Αἰμυλώτατος.
Δ 212 Αἰμύλιος: ὄνομα κύριον.
Δ 213 Αἰναρέτη. καὶ Αἰναρέτης, ὁ ἐπὶ κακῷ τὴν ἀρετὴν κεκτη-
Σ μένος.
Δ 214 Αἰνέας: ὄνομα κύριον.
Hesy.? 215 Αἰνείας· οὗτος ἔγραψε περὶ πυρσῶν, ὡς φησι Πολύβιος, καὶ περὶ στρατηγημάτων ὑπόμνημα.
Δ 216 Αἰνειάδες: οἱ ἐκ τοῦ Αἰνείου καταγόμενοι. Αἰνειᾶνες δὲ ὄνομα ἔθνους. καὶ Αἰνιεῖς, πληθυντικῶς.
Synt. 217 Αἰνεῖτε· αἰτιατική.
Δ 218 Αἰνή: ἡ δεινή. Αἶνη δὲ τὸ τῆς Σικελίας ὄρος.
Δ Suid. 219 Αἱ νῆτται: αἱ νῆσσαι. Αἰνῖται δὲ οἱ ἀπὸ τῆς Αἴνου.
Δ 220 Αἰνίζω καὶ Αἰνίσσω: τὸ ἐν παραβολαῖς λαλῶ.
Σ 221 Αἰνίγματα: ζητήματα.
Hesy. 222 Αἴνικος, Ἀθηναῖος, κωμικός. ἔστι δὲ τῆς ἀρχαίας κωμῳδίας. δράματα αὐτοῦ Ἄντεια. ἔστι δὲ καὶ Αἶνιος σοφιστής, οὔτινος βιβλία αἱ Μετάβολοι.
Soph. 223 Αἰνικτά: ἄγνωστα, κεκρυμμένα. ὡς πάντα γ' αἰνικτὰ κἀσαφῆ μοι λέγεις.
Δ + Harp. 224 Αἶνιον καὶ Αἰνίους: πόλεις. συνέβαινε δὲ τοὺς Αἰνίους πάλαι μὲν
Suid. στασιάζειν, προσφάτως δὲ ἀπονεύειν τοὺς μὲν πρὸς Εὐμένη, τοὺς δὲ πρὸς Μακεδονίαν.
Harp. 225 Αἶνος: πόλις ἐστὶ τῆς Θρᾴκης, ἣν Ἕλληνες τὰ πρῶτα Ἀλωπεκοννησίοις κατῴκισαν, ὕστερον δὲ· ἐκ Μιτυλήνης καὶ Κύμης ἐπηγά-
Δ γοντο ἐποίκους. καὶ ἐξ αὐτοῦ Αἰνίτης, ὁ πολίτης.

211 Αἰμυλώτατος = Ambr. 245 212 cf. Ambr. 247 213 Αἰναρέτη = Ambr. 277 Αἰναρέτης sq. = Ba 45, 3 cf. Theognost. An. Ox. 2, 6, 12; sch. Π 31 = Et. M. 36, 8; Ambr. 265 214 = Ambr. 262 215 cf. Polyb. 10, 44, 1—2, Byz. Zt. 23, 26 216 — Αἰνείου cf. L, Ambr. 269. Αἰνειᾶνες—ἔθνους = Ambr. 270 cf. Ps. Herodian. 34. Αἰνιεῖς = Ambr. 272 218 — δεινή = L, H cf. Ambr. 274 = Zon. 80. Αἶνη sq. = Ambr. 278 219 — αἰνῆσσαι = Ambr. 276 220 Αἰνίζω = Ambr. 288. Αἰνίσσω sq. cf. H v. αἰνιττόμενος 221 = Ba 45, 5, Σ° cf. H 223 Soph. OT 439 c. sch. 224 Αἰνίους: πόλεις cf. Harp. = P, Ba 47, 4 225 — ἐποίκους Harp. = P, Ba 47, 4; — Θρᾴκης = Et. M. 35, 55 cf. H v. Αἰνόθεν, Ps. Herodian. 34 ἐξ sq. cf. P

211 hinc vv. Ῥωμύλος et Τερτύλος 212 cf. Z 64 213—6 Z 70 215 cf. v. K 1726 218 Z 80 219 cf. v. νῆσσα. Αἰνῖται sq. ex 225 220 Z 92 221 Z 87 222 Z 70 224 Z 87. συνέβαινε sq. ex v. A 3451 225 hinc 219 extr. et v. A 1389, Z 80

A(GITFVM) 1 ὀγήσονται M 2 καὶ Αἰμυλώτατος om. FVM 6 Αἰνεύας A 9 καὶ Αἰνειάδες AV οἱ—δὲ om. V; οἱ—καταγόμενοι om. in lac. F καταγόμενοι om. GIT Αἰνειᾶνες AGI Ps. Herodian.: Αἰνιᾶνες TFM Ambr. δὲ om. F, nov. gl. 10 καὶ—πληθυντικῶς om. FV 218—9 mg. A post 220 GI post 231 T 13 Αἰνῖται—Αἴνου om. AF 222 om. GIT 16 Εὔνικος Poll. 10, 100 et Ath. 13, 567c cf. Mein. fr. com. 1, 249 sq. 17 Αἴνειος M 18 Μετάβολοι AM: Μετάβα FV 21 συνέβαινε—22 Μακεδονίαν om. GITFV mg. A 22 προσφάτους A καταγεύειν M 24 ἦν οἱ Ἕλληνες FVM πρῶτα] πατρῷα FV 26 αὐτοῦ AF: αὐτῆς T αὐτῶν rell.

226 Αἰνίττεται: ἀντὶ τοῦ δηλοῖ. Ἀριστοφάνης· δοκέω μὲν ὡς Ar.
Κλέωνα τοῦτ' αἰνίττεται. καὶ αἰνίττεσθαι δὲ τὸ λεληθότως περί τινος
λέγειν.
227 Αἰνοβίας: πολεμικός. Ἀβδήρων προθανόντα τὸν αἰνοβίην Anth.
Ἀγάθωνα πᾶς' ἐπὶ πυρκαϊῆς ἤδ' ἐβόησε πόλις.
228 Αἰνόθεν αἰνῶς: λίαν δεινῶς· ἐκ δεινοῦ· τὸ γὰρ αἰνόθεν γενική. Δ
229 Αἰνόμορος: ὁ κακόμορος. Δ
230 Αἶνος: λόγος παροιμιώδης. ἢ ἔπαινος, καὶ ἐγκώμιον. αἶνός τίς Σ
ἐστιν· ὡς ἀνήρ τε καὶ οὐκ ἀνήρ, ὄρνιθα κοὐκ ὄρνιθα, ὄρνιθα δ' ὅμως,
ἐπὶ ξύλου με κοὐ ξύλου καθημένην, λίθῳ τε κοὐ λίθῳ με βαλὼν
διώλεσεν. εὐνοῦχος, νυκτερίς, νάρθηξ, κίσσηρις. αἶνος διαφέρει
μύθου τῷ τὸν αἶνον μὴ πρὸς παῖδας, ἀλλὰ πρὸς ἄνδρας πεποιῆσθαι
καὶ μὴ πρὸς ψυχαγωγίαν μόνον, ἀλλὰ καὶ παραίνεσιν ἔχειν τινά.
βούλεται γὰρ ἐπικρυπτόμενος παραινεῖν τι καὶ διδάσκειν· ὅπερ καὶ
Ἡσίοδος φαίνεται πεποιηκώς. Αἶνὸς δὲ ὀξυτόνως ὁ δεινὸς Δ
ἄνθρωπος. καὶ Αἶνος, ἔπαινος, ὕμνος, δόξα. Ps.
231 Αἰνῶ: παραιτοῦμαι. Σοφοκλῆς. καὶ ἐπαινῶ. καὶ Αἰνῶ σε. Σ Synt.
232 Αἰνών· ἀπὸ τοῦ εὐαγγελίου. ἦν δὲ καὶ Ἰωάννης βαπτίζων ἐν Αἰνὼν ἐγγὺς
τοῦ Σαλήμ.
233 Αἰνοίην: ἀντὶ τοῦ συγκατένευσα.
234 Αἴνυτο: ἀφῄρητο, ἐλάμβανε. καὶ Αἴνυσθαι ὁμοίως. Δ
235 Αἴξ, αἰγός. καὶ παροιμία· ἡ αἴξ δοῦσα τὴν μάχαιραν. Δ
Κορινθίων γὰρ Ἥρᾳ Ἀκραίᾳ θυόντων, ἣν λέγεται ἱδρῦσαι Μήδειαν, Σ
οἱ ἐν τῇ παρόχῳ μεμισθωμένοι γῇ κρύψαντες τὴν μάχαιραν ἐσκήπτοντο
ἐπιλελῆσθαι. ἡ δὲ αἴξ αὐτὴν τοῖς ποσὶν ἀνεσκάλευσεν.
236 Αἴξ τὴν μάχαιραν. Suid.

226 Ar. Pac. 47 c. sch. 227 Ἀβδήρων sq. Anth. 7, 226 228 cf. L, Ambr. 290, sch. H 97, Hes. 229 cf. sch. X 481, aliter Ambr. 260 230 — ἀνὴρ alt. = P, Ba 44, 20; — παροιμιώδης = Philop. diff.; ἔπαινος cf. ad extr. vs. 8 αἶνός— 11 κίσσηρις cf. sch. Pl. Rep. 475 d, Ath. 10, 452 c (= Clearch. fr. 66, FHG 2, 322) vs. 11 αἶνος—15 πεποιηκώς Iul. or. 7, 207 a b; Hesiod. O. 202 vs. 15 δεινὸς cf. Et. M. 35, 58, H v. αἰνόν (aliter Ambr. 261 et 281 = H) vs. 16 Αἶνος— ὕμνος cf. H v. αἶνου; — ἔπαινος = An. Ox. 2, 428, 24, L, Ps. Herodian. 34 et 167 cf. Apion 231 — ἐπαινῶ = Ba 47, 12, P cf. H, Et. M. 36, 22; ἐπαινῶ = Ambr. 286, Ps. Herodian. 34; Soph. fr. 105 vs. 17 Αἰνῶ σε = Synt. Laur. 232 ἦν sq. Ioh. 3, 23 234 — ἐλάμβανε sch. O 459 = H cf. L = sch. Λ 579; Ambr. 284 235 — αἰγός cf. Ps. Herodian. 35, L, Ambr. 292 vs. 22 ἡ sq. = P v. ἡ αἴξ cf. H = Zen. I 27

228 Z 97 230 cf. v. νυκτερίδος αἶνος. hinc v. μῦθος, Z 63 231 Z 92 233 Z 92 234 cf. v. A 2799 235 cf. 69 236 ex 69

2 δὲ om. FVM 6 ἐκ—γενική om. T ἐκ] ὡς ἐκ VM τὸ γὰρ] τὴν G A(GITFVM)
τὸν I 8 αἶνός—11 κίσσηρις om. T 10 με alt. om. GI sch. 11 εὐνοῦχος—κίσσηρις
ex V, sch. mg. I ss. ad verba F κίσσηρις F: κίσσηρ V om. I αἶνος
nov. gl. GIFM 12 μύθους A πεποιεῖσθαι AF 14 καὶ alt. ex A Iul.
16 καὶ—δόξα om. TFV post 232 GI 17 καὶ Αἰνῶ σε ex AM; καὶ αἰνεῖτε GI
cf. 217 232 om. FV, non nov. gl. AM 18 ἀπὸ τοῦ εὐαγγελίου om. GIT
21 Αἶνυτο] Αἶνος A Αἴνυτον I Αἰνοῖσθαι V 24 μεμισθωμένη GV μεμυστω-
μένοι F 236 ex AM

Σ 237 Αἶξ οὐρανία: τὰ τοῦ λευκοῦ κυάμου γένη, ᾧ ἐπεψήφιζον καὶ ἐχειροτόνουν. ὁ δὲ Κρατῖνος καθάπερ τοῦ Διὸς αἶγα Ἀμαλθείαν τροφόν, οὕτως καὶ τῶν δωροδοκούντων αἶγα οὐρανίαν. οἱ δὲ τὰ εἰς τὸ ἀργυρίζεσθαί τιςιν ἀφθόνως ἀφορμὴν παρέχοντα οὕτως εἰώθασι
Prov. λέγειν κωμῳδοῦντες καὶ καταλαμβάνειν. Αἶξ οὖν οὐρανία, ἐπὶ τῶν τυγχανόντων ὅσων βούλονται. τὴν γὰρ αἶγα τὴν Διὸς τροφὸν κατηστερίσθαι φασί. καί φασι τὸν ἐπιφθασάμενον ἐπιτέλλουσαν αὐτὴν ἐπιτυγχάνειν ὅσα ἂν εὔξηται.

Prov. 238 Αἶξ Σκυρία: ἐπὶ τῶν τὰς εὐεργεσίας ἀνατρεπόντων· φασὶ γὰρ αὐτὰς πολὺ γάλα ἐχούσας, ἐπειδὰν ἀμελχθῶσιν, ἀνατρέπειν τὸ ἀγγεῖον.

Σ 239 Αἰξωνεύεσθαι: τὸ κατηγορεῖν βλασφημοῦντα. μετῆκται δὲ ἀπὸ τοῦ δήμου τῶν Αἰξωνέων· βλάσφημοι γὰρ κωμῳδοῦνται.

Δ 240 Αἰξωνεύς: ὁ βλάσφημος. σημαίνει δὲ καὶ τὸν τὰς αἶγας ὠνούμενον.

Δ 241 Αἰξωνεία: ἡ βλασφημία.

Harp. 242 Αἰξωνηίς: δῆμός ἐστι φυλῆς Κεκροπίδος. ἐκωμῳδοῦντο δὲ ὡς βλάσφημοι. ἀφ' οὗ καὶ τὸ κακῶς λέγεσθαι αἰξωνεύεσθαι ἔλεγον.

Prov. 243 Αἰξωνίδα τρίγλην· δοκοῦσιν αὗται κάλλισται εἶναι καὶ τῶν ἄλλων διαφέρειν ταύτῃ.

Ar. 244 Αἰόλαν: πηδητικήν. αἰόλαν χορείαν ἐφθεγξάμεθα βρεκεκέξ.

Δ 245 Αἰόλαν: σκοτεινήν.

Σ 246 Αἰόλλει: ποικίλλει, στρέφει, πλανᾷ.

Σ 247 Αἰόλη νύξ: ἤτοι μέλαινα, ἢ ποικίλη διὰ τὰ ἄστρα.

Δ 248 Αἰόλιος: ὄνομα κύριον.

Δ 249 Αἰολοκέντaυρος.

Δ 250 Αἰολομίτρης: ποικίλην ἔχων μίτραν.

Δ 251 Αἰολόπωλος: ποικίλους ἵππους ἔχων.

Δ 252 Αἴολος: ὄνομα κύριον.

Σ 253 Αἰόλος: εὐκίνητος, ποικίλος. ἢ ταχύς· παρὰ τὴν ἄελλαν,
Ecl. ἤτις ἀπὸ τοῦ ἄειν καὶ εἱλεῖν.

237 — vs. 5 καταλαμβάνειν = P cf. Zen. I 26, H; Cratin. fr. 244 238 cf. Zen. II 18, Diogen. II 33 239 cf. sch. Pl. Lach. 197c, Tim.; Et. M. 36, 57 = Et. Gen.; H 240 = Ambr. 291 241 = Ambr. 293 242 Harp. = Ba 47, 7, P cf. sch. Ar. Vsp. 895 243 cf. H, Cohn Z. d. P. 72, n. 3, P; (Cratin. fr. 221) 244 Ar. Ran. 248 c. sch. 246 = Ba 48, 27 cf. H, P, sch. υ 27, Ambr. 309 247 = Ba 47, 19, H, P cf. sch. Soph. Tr. 94 248 = Ambr. 300 249 = Ambr. 299 250 cf. L, sch. Ε 707, Et. M. 37, 21 251 = Ambr. 298 252 = Et. M. 37, 5, Ps. Herodian. 26 253 — ποικίλος = Ba 45, 1, P, H cf. sch. M 167, Apion; ποικίλος = Ambr. 297 cf. 307 = Ps. Herodian. 26, sch. H 222 ταχύς—ἄελλαν cf. Et. M. 37, 3; ταχύς = sch. T 404. ἄελλαν sq = Et. M. 19, 44

237 cf. v. οὐρανία αἴξ. hinc v. Ε 2749 et v. φθασάμενον 239 Z 71 et 80 240 Z 71 241 Z 80 242—5 Z 81 246 Z 92 247 Z 81 248 Z 71 250 Z 71 cf. 81 253 Z 71

A(GITFVM) 2 Ἀμαλθίαν AT Phot. Ἀμαλθείας V 3 τῶν] τὸν A 5 καὶ καταλαμβάνειν ut ex 297 ortum del. Reitz. 6 τὴν alt.] τοῦ IV 11 βλασφημοῦντες A μετῆκται] μήκετι V 12 ⟨ὡς⟩ βλάσφημοι Bhd. 18 αὗται] αὐτὰ A 27 ἵππου A

254 Αἰονῶ: τὸ βρέχω. Δ
255 Αἰών: ὁ νωτιαῖος μυελός· ἢ χρόνος ἀΐδιος. σημαίνει δὲ ϵ′. Hom. + Σ
Αἰὼν καὶ ὁ παρὼν βίος. Δαβίδ· ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου.
256 Αἰῶνα: ζωήν, βίον. Σοφοκλῆς· ὡς οὐκ ἂν αἰῶν' ἐκμάθοις Σ
βροτῶν, πρὶν ἂν θάνῃ τις, οὔτ' εἰ χρηστός, οὔτ' εἰ κακός. ἐγὼ δὲ Soph.
τὸν ἐμὸν καὶ πρὶν εἰς ᾅδου μολεῖν, ἔξοιδ' ἔχουσα δυστυχῆ τε καὶ βαρύν.
257 Αἰωνίζει: διὰ παντὸς μένει. Σ
258 Αἰωνίου μακαριότητος. Metaphr.?
259 Αἰωνοάριος: ὁ Ἰαννουάριος μήν. οὕτως Λογγῖνος αὐτὸν ἑρμηνεῦσαι βιάζεται, ὡσανεὶ αἰῶνος πατέρα.
260 Αἰῶνος ἄγαλμα· ζήτει ἐν τῷ διαγνώμων.
261 Αἰώρα: ἀγχόνη, ὕψωσις, ἔπαρσις. ὡς δ' οὐκ ἐφικνεῖτ', ἀλλ' Σ
ἔκαμνε πηδῶσα, οὐδὲν κρεμαστῆς σχοῦσα πλεῖον αἰώρας, παρῆλθεν οὕτω βουκολοῦσα τὴν λύπην.
262 Αἰωρηθέντες: ἀντὶ τοῦ μετεωρισθέντες. Hdt.
263 Αἰώρημα. Δ
264 Αἰωρήσεις: κρεμάσεις. Σ
265 Αἰωροῦνται: κρέμανται. εἰς ὃν τὰ τῶν Καρχηδονίων αἰω- Σ
ρεῖτο πράγματα. E
266 Ἅιπερπερ: ὥσπερ. Σ
267 Αἴπει: τῷ ὑψηλῷ. ἡ εὐθεῖα αἶπος οὐδετέρως. Δ
268 Αἴπεια: ὄνομα πόλεως.
269 Αἰπεινή: ὑψηλή. αἰπεινὴν ἐλάτην ἔρις ὤρορεν αἴσυλα φάσθαι. Δ
καὶ Αἰπειναῖς, ὑψηλαῖς, μακραῖς. ἐν Μύθοις· αἰπειναῖς ἐλάταις ἔρισε βάτις· ἡ μὲν ἔειπε καὶ ναῦς καὶ νηοὺς τεμνομένη τελέειν.
270 Αἰπεινός: ὁ χαλεπός. Δ

254 = Ambr. 310, Ps. Herodian. 26 255 — ϵ′ cf. Et. M. 41, 15, Et. Gen.; — μυελός = sch. T 27, Erotian. p. 20, n. 70, H cf. Apion. μυελός—αἴδιος = Ba 45, 30 cf. P vs. 3 ὁ alt. sq. Ps. 89, 8 256 — βίον = sch. Pl. Gorg. 448c cf. P, H, Apion; Et. M. 41, 9 = Et. Gen. ὡς sq. Soph. Tr. 2—5 257 cf. P, Ba 45, 31 258 fort. Metaphr. 259 οὕτως sq. Preger 152, 12—14 = Lyd. de mens. p. 64, 6—8 Wuensch 261 — ἔπαρσις = Σ^{c}, P, Ba 45, 32 cf. sch. Pl. Phaed. 111e ὡς sq. Babr. 19, 6a b, 7 262 gl. Hdt. 6, 116 263 cf. Ambr. 432 264 = P, Ba 46, 1, Σ^{e} cf. Ambr. 433 265 — κρέμανται = P, Ba 46, 2, Σ^{e} 266 = P, H, sch. Ar. Ach. 759 267 cf. Ambr. 326 et 324, H, Et. M. 37, 34 268 = Ambr. 320, Et. M. 37, 38, H 269 — ὑψηλή = Ambr. 319, Et. M. 37, 37 cf. sch. B 573, H αἰπεινὴν—φάσθαι Babr. p. 215. αἰπειναῖς alt. sq. Babr. p. 220 270 cf. Ambr. 314

254 Z 92 255—6 Z 71 257 Z 92 259 cf. v. l 89. Z 71 262 cf. v. Є 1900 262—5 Z 92 263—4 cf. v. Є 1899 265 cf. vv. Є 1898 et H 415 268—9 Z 81 269 cf. 339

3 καὶ] δὲ καὶ M 5 ἐκμαθὼν A 6 θάνῃ AV: θάνοι rell. 258 om. FV A(GITFVM) post 259 A 20. 21 αἰωρεῖται pr. 25 ὥρωρεν VM ὄρωρεν F cf. 339 26 Μύθοις V: Μύθῳ GIM cp. AF

Δ 271 Αἰπήεσσα: ὑψηλή.

Δ 272 Αἰπολή.

Σ Δ 273 Αἰπόλια: αἰγονόμια. καὶ Αἰπόλος, αἰγονόμος. καὶ
Synt. Αἰπολῶ· δοτικῇ.

Hom. 274 Αἰπύ: ὑψηλόν, μέγα. Λευκάδος αἰπὺν ἔχων ναύταις τηλέ-
Anth. σκοπον ὄχθον. σὺ δ' ὁ τὸν οὐρανὸν διφρηλατῶν ἥλιε, πατρῴαν
Soph. τὴν ἐμὴν ὅταν χθόνα ἴδῃς, ἐπισχὼν χρυσόνωτον ἡνίαν ἄγγελον ἅτας τὰς ἐμάς.

Δ 275 Αἰπύκερως ἔλαφος: ὑψηλὰ κέρατα ἔχων.

Δ 276 Αἰπύς: ὁ ὀλέθριος.

Hom. 277 Αἰπὺ οἱ ἐσσεῖται μάλα περ μεμαῶτι μάχεσθαι: μεταφορικῶς ἀντὶ τοῦ δυσπρόσβατον, δυσχερές.

Δ 278 Αἶρα: ὁ σῖτος. σημαίνει δὲ καὶ τὴν σφαῖραν. καὶ ὄνομα πόλεως.

Σ 279 Αἴρασθαι: προσενέγκασθαι. Κρατῖνος Τροφωνίῳ· οὐ σῖτον αἴρεσθ', οὐχ ὕπνου λαχεῖν μέρος.

Soph. 280 Αἶρε: πρόσφερε. Ὅμηρος· μή μοι οἶνον ἄειρε. καὶ Ἀριστο-
Ar. φάνης· αἶρ', αἶρε μάζαν ὡς τάχιστα κανθάρῳ.

Σ 281 Αἶρε δάκτυλον: παροιμία. τίθεται ἐπὶ τῶν ἀπαγορευόντων ἐν τῇ ἀγωνίᾳ. ἐπαίρεσθαι γὰρ τὴν χεῖρα σύμβολον τοῦ νενικῆσθαι.

E καὶ Πολύβιος· ὁ δὲ προσπεσὼν αἴρεται νίκην εὐτυχεστάτην.

Σ 282 Αἱρεθέν: θεληθέν.

Σ 283 Αἶρε μαχάλην: ἐπὶ τοῦ ὀρχήσασθαι.

Ar. 284 Αἶρε πλῆκτρον: τουτέστιν ὅπλον ἀμυντήριον. ἡ μεταφορὰ ἀπὸ τῶν ἀλεκτρυόνων· κἀκεῖνοι γὰρ ἔχουσι πλῆκτρα, ἐν οἷς μάχονται· ἃ ἡμεῖς κέντρα λέγομεν τῶν ὀρνίθων, οἱ δὲ πλῆκτρα. πλῆκτρα δέ εἰσι τὰ ἐμβαλλόμενα τοῖς πλήκτροις τῶν ἀλεκτρυόνων τὰ χαλκᾶ.

271 in Υ 87 273 — αἰγονόμια = P, Ba 45, 7, H, sch. B 474, Et. M. 37, 49 cf. Ambr. 322 Αἰπόλος, αἰγονόμος = H, Et. M. 37, 44 cf. Ambr. 312 Αἰπολῶ sq. = Bk. 129, 15, Synt. Laur. 274 — μέγα sch. B 603 cf. H, Ambr. 326, Et. M. 37, 29 Λευκάδος—ὄχθον Anth. 6, 251, 1 σὺ sq. Soph. Ai. 845—8 275 praeter ἔλαφος = Ambr. 315, Et. M. 37, 38, Et. Gen., Theognost. An. Ox. 2, 6, 23 cf. Ps. Herodian. 35 276 cf. Ambr. 313 277 N 317 c. sch. A (Aristonic.) 278 — σῖτος cf. Ambr. 332 = Ps. Herodian. 218, L. σφαῖραν = L, Et. M. 38, 36 cf. Orion 18, 1; P = Ba 48, 6, H, Theognost. An. Ox. 2, 6, 28. ὄνομα cf. Ambr. 334 279 = P, Ba 46, 15; Crat. fr. 218 280 — ἄειρε sch. Soph. Ai. 545 cf. Ba 46, 17, sch. Ar. Pac. 1, sch. Z 264; Z 264 αἶρ' sq. Ar. Pac. 1 281 — νενικῆσθαι = P, Ba 46, 11 ὁ sq. Polyb. fr. 2 282 = P, Ba 45, 8, Σ^{c} 283 = Ba 45, 10, P cf. H v. αἴρειν μ. 284 Ar. Av. 759 c. sch.

271 Z 81 273 Z 87 274 Soph. cf. v. Δ 1293 et v. Ε 2655. Z 72 et 87 276 Z 72 280 cf. 299, v. A 635, v. μᾶζα. Z 93 284 cf. v. πλῆκτρον, partim hinc

A(GITFVME) 1 Αἰπήεσσα pr., Zon. Υ 87: Αἰπήεσα omnes 3 τὰ αἰγονόμια GIT ὁ αἰγονόμος GIT 3 καὶ—4 δοτικῇ om. FV 5 ἐπὺν ἔχον A 6 σὺ] καὶ Σοφοκλῆς praemis. TE τὸν αἰπὺν οὐρ. T Soph. 7 ὅταν om. A χρυσήλατον G 12 δυσπρόβατον AF δυσχερές—14 σῖτον om. V 13 σφαῖραν omnes, Et.: σφῦρα(ν) Orion, P, Ba, H, Theognost. cf. Ps. Herodian. καὶ ὄνομα πόλεως om. F 15 αἶρεσθ'] αἴρασθ' T Phot. 17 κανθάρᾳ A 18 παροιμία ss. TV mg. AITV

285 **Αἵρεσις**: καταστροφή, κατάλυσις. διὸ καὶ πρώτῳ τῶν ἄλλων ἐπέθεντο δι' ἐπιβουλῆς, ἵνα σφίσι τὸ λεγόμενον ἐξ ἄκρας ἡ αἵρεσις γένηται τῶν θεοφιλῶν καὶ ἀρχαιονόμων ἠθῶν τε καὶ ἐπιτηδευμάτων.

286 **Αἵρεσις**: ἡ λόγῳ τινὶ κατὰ τὸ φαινόμενον ἀκολουθοῦσα ἢ δοκοῦσα ἀκολουθεῖν. Ἱππόβοτος δὲ θ' φησὶν αἱρέσεις εἶναι τῶν φιλοσόφων καὶ ἀγωγάς· α' Μεγαρικήν, Ἐρετριακήν, Κυρηναϊκήν, Ἐπικούρειον, Ἀννικέρειον, Θεοδώρειον, Ζηνώνειον, τὴν καὶ Στωικήν, Ἀκαδημαϊκήν, Περιπατητικήν· οὔτε δὲ Κυνικὴν οὔτε Ἡλιακὴν οὔτε Διαλεκτικήν. τὴν γὰρ Πυρρώνειον οὐδ' οἱ πλείους προσποιοῦνται διὰ τὴν ἀσάφειαν. εἰ γὰρ αἵρεσιν νοοῖμεν πρόσκλισιν ἐν δόγμασιν ἀκολουθίαν ἔχουσαν, οὐκέτ' ἂν προσαγορεύοιτο αἵρεσις ἡ Πυρρώνειος· οὐ γὰρ ἔχει δόγματα. ἔτι δὲ καὶ Ἐκλεκτή τις εἰσήχθη ὑπὸ Ποτάμωνος τοῦ Ἀλεξανδρέως, ἐκλεξαμένου τὰ ἀρέσαντα ἐξ ἑκάστης τῶν αἱρέσεων. κριτήρια δέ φησιν εἶναι τάληθῆ· τὸ μέν ὡς ὑφ' οὗ γίνεται ἡ κρίσις, τουτέστι τὸ ἡγεμονικόν· τὸ δὲ ὡς δι' οὗ, οἷον τὴν ἀκριβεστάτην φαντασίαν. ἀρχάς τε τῶν ὅλων τήν τε ὕλην καὶ τὸ ποιοῦν, ποίησίν τε καὶ τόπον· ἐξ οὗ γὰρ καὶ ὑφ' οὗ καὶ ποίῳ καὶ ἐν ᾧ. τέλος δὲ εἶναι ἐφ' ᾧ πάντα ἀναφέρεται, ζωὴν κατὰ πᾶσαν ἀρετὴν τελείαν, οὐκ ἄνευ τῶν τοῦ σώματος κατὰ φύσιν καὶ τῶν ἐκτός. Phil.

287 **Αἱρέσιος**: ὄνομα κύριον. Δ

288 **Αἱρεσιῶτις πολιτεία**: ἡ τῶν αἱρετικῶν. ζήτει περὶ αἱρέσεως ἐν τῷ Ἀρειανός.

289 **Αἱρετίζω**: τὰ τῶν αἱρετικῶν φρονῶ. καὶ αἰτιατικῇ· **Αἱρετίζω** Δ σημαίνει τὸ προαιροῦμαι. ἐξ οὗ καὶ αἱρετισάμενος. καὶ ᾑρετίσατο.

290 **Αἱρετικός**. ζήτει ἐν τῷ Ἀπολινάριος. Δ

291 **Αἱρετόν**: ἐπιθυμητόν. τοῦτο τριχῶς λέγεται· τὸ καλόν, τὸ ἡδύ, τὸ συμφέρον. ᾧ δὴ ταῦτα πάντα ὑπάρχει καὶ διὰ πάντα αἱρετόν, τοῦτο τῶν μὴ πάντα ἐχόντων αἱρετώτερον· οἷον ἡ φρόνησις. καὶ αὖθις· ὁ δὲ Αὐρηλιανὸς ὁ βασιλεὺς μᾶλλον ἀναγκαῖος ἦν στρατηγὸς ἢπερ αἱρετὸς βασιλεύς, ἐν παντὶ καιρῷ δυσχερὴς ὢν καὶ ἀπρόσιτος, ὡς μηδὲ τῶν οἰκείων αἵματος διαμεῖναι καθαρός. Σ Phil. EV

285 διὸ sq. Philoni temere attr. Tittm., Dam. ego 286 Laert. 1, 19—20 289 l. = L; αἰτιατικῇ = Synt. Laur., An. Ox. 4, 286, 8 προαιροῦμαι aliter Ambr. 347 290 Αἱρετικός = L cf. Ambr. 329 291 — ἐπιθυμητόν = Ba 45, 9, H τοῦτο—vs. 29 φρόνησις Alex. Aphr. 271, 5—8, 11 vs. 30 ὁ sq. Io. Antioch. fr. 155, FHG 4, 599 = EV 1, 195, 16—18

285 Z 82 init. 286 hinc v. I 554 287 Z 72 289 αἰτιατικῇ cf. v. H 494. Z 93 291 Z 88. Io. A. cf. v. A 4458

1 πρῶτον GIT πρώτων V^{ac} 8 Ζηνώρειον V καὶ] δὲ V 11 πρόσ- A(GITFVM)
κλησιν AV^{ac}M 12 Πυρρώνειος V: Πυρρωνίου T cp. rell. 13 Ἐκλεκτική ed. pr., Laert. 14 ἐξ om. GITF 15 τὸ] τὰ V γένηται M 16 τὸ alt.] τὰ V οἷον om. GIT 19 ζωὴ M 24 αἰτιατικῇ ex M ss. I Αἱρετίζω alt. om. M, Αἱρετίζομαι Bhd. 25 τὸ] δὲ τὸ A καὶ ᾑρετίσατο om. FV Zon. 26 Αἱρετικός —27 ἐπιθυμητόν om. I ζήτει—Ἀπολινάριος om. FV 31 ἢπερ] ὅπερ ὁ M

292 Αἱρετοὶ δικασταί· ζήτει ἐν τῷ Ἀμφικτυόνες.

Δ 293 Αἱρετώτερον: προκριτώτερον. οὐκ ἐκ παραλλήλου κεῖται
Phil. τὸ αἱρετώτερον τοῦ βελτίονος, ἀλλ' ἐπὶ πλεῖον τὸ βέλτιον τοῦ αἱρετωτέρου. τὸ μὲν γὰρ αἱρετώτερον ἐν τοῖς αἱρετοῖς καὶ μόνοις, τὸ δὲ βέλτιον καὶ ἐν ἄλλοις· καὶ γὰρ ἐν θεωρητικοῖς καὶ φυσικοῖς καὶ λογικοῖς ἡ ζήτησις ἡ τοῦ βελτίονος· ὁ γὰρ ζητῶν ποτέρα βελτίων οὐσία, ἡ κινουμένη ἢ ἀκίνητος, φυσικὸν μεταχειρίζεται πρόβλημα, λογικὸς δὲ ὁ ζητῶν πότερον βέλτιον ἐπαγωγὴ ἢ συλλογισμός, θεωρητικὸς δὲ ὁ ζητῶν πότερον ἡ φρόνησις πρακτικωτέρα ἢ θεωρητικωτέρα.

Δ 294 Αἱρεύμενος: ἀφαιρούμενος.

Suid. 295 Αἱρετρία: πόλις.

296 Αἱρεῖ: ἀναιρεῖ, φονεύει. Σοφοκλῆς· πόλεμος γὰρ οὐδέν'
Soph. ἄνδρ' ἑκὼν αἱρεῖ πονηρόν, ἀλλὰ τοὺς χρηστοὺς ἀεί.

Σ 297 Αἱρεῖ: καταλαμβάνει. καὶ Αἱρεῖν, κατὰ κράτος τι λαμβάνειν, καὶ καταλαμβάνειν.

Σ 298 Αἴρειν: αὔξειν. ἢ τράπεζαν παρατιθέναι, ἢ αἴρειν.

Σ 299 Αἴρειν ἔξω πόδα πηλοῦ: ἐπὶ τῶν βουλομένων μὴ ἐν πράγμασιν εἶναι. λέγεται δὲ καὶ αἴρειν ἔξω πόδα αἰτίας. Αἴρειν καὶ τὸ προσφέρειν δηλοῖ. αἶρ', αἶρε μᾶζαν ὡς τάχιστα κανθάρῳ. Ἀριστοφάνης Εἰρήνῃ. καὶ μετὰ τῆς προθέσεως Φερεκράτης Πετάλῃ· πρόσαιρε τὸ κανοῦν, εἰ δὲ βούλει, πρόσφερε. ἐτίθεσαν δὲ τὴν λέξιν καὶ ὡς ἡμεῖς ἐπὶ τοῦ παρακειμένην ἀφελεῖν τὴν τράπεζαν. Μένανδρος Κεκρυφάλῳ· εἶτ' εὐθὺς οὕτω τὰς τραπέζας αἴρετε· μύρα, στεφάνους ἑτοίμασον, σπονδὰς ποίει. καὶ Συναριστώσαις· ἂν ἔτι πιεῖν μοι δῷ τις. ἀλλ' ἡ βάρβαρος ἅμα τῇ τραπέζῃ καὶ τὸν οἶνον ᾤχετο ἄρασα ἀφ' ἡμῶν.

Σ 300 Αἱρεῖς: δοξάζεις, ἡγῇ. ἐκ τοῦ Θεολόγου· καὶ ὁ λόγος αἱρεῖ μὴ τιθέναι πρόσκομμα.

Σ 301 Αἱρεῖσθαι: ἐργάζεσθαι.

Ar. 302 Αἱρῇ: βούλει. ἐπείπερ αὐτὸς αἱρῇ λέγειν.

293 — προκριτότερον cf. Ambr. 337 οὐκ sq. Alex. Aphr. 220, 14—20; 219, 10—11 294 = Ambr. 344 cf. sch. Π 353 296 πόλεμος sq. Soph. Ph. 436—7 297 — καταλαμβάνει = P, Ba 45, 14, sch. Γ 446, sch. Pl. Theaet. 142b cf. Σ°. Αἱρεῖν sq. = P 57, 1 cf. Ba 48, 7, H 298 — αὔξειν = Ba 48, 8, P 57, 1 cf. H. τράπεζαν sq. = Ba 48, 10 cf. P 54, 25 299 — αἰτίας = P. vs. 19 Αἴρειν sq. = P, Ba 46, 17 cf. 48, 10 (Phryn. fr. 112?); Ar. Pac. 1, Pherecr. fr. 137, Men. com. fr. 273 et 451 300 — ἡγῇ = P, Ba 48, 9, H καὶ sq. Greg. Naz. PG 35, 409a 301 = P, Ba 46, 14 302 Ar. Ach. 494 c. sch.

293 Z 88 295 ex v. Ε 2940 296—8 Z 93 297 cf. 305 et v. H 496 299 cf. 280 et v. Ε 675 300—2 Z 93

A(GITFVM) 3 πλεῖστον V 4 αἱρετικοῖς V 9 πρακτικώτερον M cp. AF θεωρητικώτερον M θεωρηκοτέρα V 295 ex M 14 χρηστοὺς] χρωμένους M 18 πόδας V 19 Αἴρειν] nov. gl. FVM 22 ὡς καὶ A 25 πιεῖν GV: ποιεῖν AIFM 28 Αἱρεῖ I Bhd. ἐκ—29 πρόσκομμα om. GTVM mg. A post 299 I

303 Αἱρηκαμένων: βουλευκαμένων. Σ
304 Αἱρήκασθαι: λαβεῖν. Σ
305 Αἱρήσεται: λήψῃ. Δ
306 Αἱρήσειν: κρατήσειν, συλλαβεῖν, ἑλκύσαι, χειρώσασθαι, πορθῆσαι. Σ
307 Αἱρήσω τάχα: οἱ πειρώμενοι μετελθεῖν τινας εἰώθασι τοῦτο λέγειν. καὶ Αἱροῦντες ἡρήμεθα, ἐπὶ τῶν ἐλπισάντων κρατήσειν τινῶν καὶ ὑπ' ἐκείνων ἁλόντων. αἱροῦντες οὖν ἡρήμεθα, δοκοῦντες κρατεῖν ἐλήφθημεν. Prov.
308 Αἱρήσομαι: λήψομαι, σκέψομαι, βουλεύσομαι. Σ
309 Αἱρείτω: κατασχέτω. Δ
310 Αἱρισέων: ὄνομα ἔθνους. καὶ Αἱρισεύς. Δ
311 Αἱρόμενος: φερόμενος. Σ
312 Αἱρόπινον: σκοτεινόν· καὶ τὸ κόσκινον, ἐν ᾧ πυροὶ σήθονται, ὑπὲρ τοῦ τὰς αἴρας διελθεῖν. Σ
313 Αἱρούμενος: βουλόμενος. καὶ Δεῖπνον αἱρουμένοις, ἀντὶ τοῦ ἑλομένοις δειπνεῖν. καὶ Αἱρῇ, ἀντὶ τοῦ λαμβάνεις, μετέχεις. σῖτόν τε αἱρῇ τὸν αὐτὸν ἐκείνοις καὶ πόμα παραπλήσιον. Σ|
314 Αἶρω: τὸ ἐπαίρω· αἰτιατικῇ. Synt.
315 Αἶσα: ἡ μοῖρα. ἐν Ἐπιγράμμασιν· οὐ φθονέω· τὴν σὴν ἤθελον αἶσαν ἔχειν. καὶ Αἶσα, ἡ μανία. τὸν αἶς' ἅπλαστος ἴσχει. τουτέστιν ἡ μανία. Δ Anth Suid.
316 Αἴσακος: ὁ κλάδος τῆς δάφνης, ὃν κατέχοντες ὕμνουν τοὺς θεούς. Σ
317 Αἴσηπος: ὄνομα ποταμοῦ. Δ
318 Αἴσιμα: τὰ προσήκοντα, παρὰ τὴν αἶσαν. ἐνίοτε δὲ τὰ καθήκοντα, ἢ τὰ ἀγαθά. ἔσθ' ὅτε δὲ τὰ εἱμαρμένα. Σ
319 Αἰσιμία: ἡ μαντεία. Δ

303 = P, Ba 46, 10, Σ^{c}, H 304 = H cf. P = Ba 45, 15, Σ^{c} 305 cf. L, Ambr. 342 306 = P, Ba 45, 12 cf. Σ^{c}, sch. B 37, Apion, H 307 — λέγειν cf. Philol. Suppl. 6, 230 n. 3. Αἱροῦντες pr.—ἁλόντων Zen. I 35, fr. trag. ad. 576 αἱροῦντες alt. sq. fort. Greg. Naz. 308 = P, Ba 45, 17 cf. Σ^{c}, H, Ambr. 345 309 = Ambr. 343 311 = P, Ba 45, 16, Σ^{c} 312 = P, Ba 48, 12, H cf. Et. M. 38, 47, Poll. 10, 114, Phryn. 37, 4 313 — βουλόμενος = P, Ba 47, 3 cf. H, Ps. Herodian. 36 314 cf. An. Ox. 4, 286, 7, Synt. Laur.; — ἐπαίρω = Ambr. 338, Ps. Herodian. 36 315 — μοῖρα = L, Ps Herodian. 37, Theognost. An. Ox. 2, 7, 3, H, Et. M. 38, 50, sch. A 416 aliter Ambr. 383 οὐ—ἔχειν Anth. 5, 294, 2 316 = Ba 48, 14, H, P cf. Et. M. 38, 48, Theognost. 7, 7, Ambr. 358 317 cf. H, Nicet. p. 656, Ambr. 382 et 359 318 = P, Ba 48, 18 cf. Ap. S. 16, 13, Et. M. 39, 23 cf. 3, Ba 45, 19, Ambr. 396, Theognost. An. Ox. 2, 7, 3, sch. Z 62 319 = Et. M. 39, 3, Ambr. 392

303—4 Z 93 305 cf. 297 et v. H 496. Z 93 306 cf. v. H 502. Z 93 308—9 Z 94 310 Z 72 311 Z 94 312 Z 87 313 Z 94 315 Z 82. καὶ Αἶσα sq. ex v. A 3224 316 Z 72 318 Z 88 319 Z 82

1 αἱρουμένων GIT 314 om. GTFV mg. I 18 τὸ AI: καὶ M 19 φονέω A 20 καὶ—21 μανία om. FV 21 μανία om. T 24 ποταμοῦ] τόπου F Ambr. 359 A(GITFVM)

Ar. 320 Αἴσιμος: ὁ χωλὸς καὶ ἄτιμος καὶ ἀμαθής. Ἀριστοφάνης· σκοπεῖσθ' ἕκαστος ὅ τι κερδανεῖ· τὸ δὲ κοινόν, ὥσπερ Αἴσιμος κυλίνδεται.

Δ+Σ 321 Αἴσιον: τὸ καλόν, μέτριον, δίκαιον. καὶ Ὑπεραίσιον, τὸ
Suid. ὑπὲρ τὴν μοῖραν, ὑπὲρ τὸ προσῆκον.

Σ 322 Αἴσιος: ὁ καθήκων, ἀληθής. Μένανδρος· ἀλλ' οὐκ αἰσίως
E αὐτοῖς ἀπέπνευσεν ἡ τύχη· οἱ γὰρ ἐθελοκακοῦντες οὐχ ὑπεστάλη-
E σαν. καὶ αὖθις· καὶ τοῦτο οὐκ αἴσιον δόξαι ἂν βασιλεῖ. ὅτι
Suid. Δημοσθένης συνεφιλολόγησεν Αἰσίωνι τῷ Ἀθηναίῳ.

323 Αἰσθεσθαι· γενικῇ· ἐνεστῶτος· αἰσθέσθαι δὲ ὑπερσυντελικός.

Phil. 324 Αἰσθάνεσθαι· γενικῇ. τοῦτο δύο σημαίνει, τὸ κατὰ δύναμιν καὶ κατ' ἐνέργειαν. αἰσθάνεσθαι τοίνυν λέγονται οἱ κοιμώμενοι δύναμιν ἔχοντες τοῦ αἰσθάνεσθαι.

Σ+Rhet. 325 Αἰσθέσθαι καὶ Αἰσθάνεσθαι διαφέρει. τὸ μὲν γὰρ αἰσθέσθαι ἐπὶ τοῦ ἀκριβῶς εἰδέναι τι, τὸ δὲ αἰσθάνεσθαι ἐπὶ τοῦ ὑπονοεῖν τι. καὶ περὶ μὲν τοῦ αἰσθάνεσθαι Ἀντιφῶν ἐν Προοιμίοις· ἐγραψάμην ταύτην τὴν γραφὴν ἠδικημένος ὑπὸ τούτου νὴ Δία πολλά, ἔτι δὲ καὶ πλείω ὑμᾶς ἠσθημένος ἠδικημένους καὶ τοὺς ἄλλους πολίτας. τὸ δὲ αἰσθάνεσθαι ἐπὶ τοῦ ὑποπτεύειν καὶ οὐκ ἐπὶ τοῦ βεβαίως εἰδέναι. Λυσίας ἐν τῷ πρὸς Ἀλκιβιάδην φησίν· οἶμαι μὲν τοίνυν καὶ ἐκεῖνο ὑμᾶς αἰσθάνεσθαι, ὅτι Ἀρχιβιάδης οὐκ ἄλλο τι ἐζήτει κομίσασθαι, ἀλλὰ τῶν ἐμῶν ἡμφισβήτει. ἔταξαν δὲ αὐτὸ καὶ ἐπὶ τοῦ εἰδέναι. Ἰσαῖος· τὰ δὲ τοιούτων δὴ μαρτυριῶν οἱ δικάζοντες τὰ μὲν αὐτοὶ συνειδότες, ὅτι ὑγίανεν ὁ παῖς, τῶν ἑωρακότων αἰσθανόμενοι μαρτυρούντων, τὰ δὲ ἀκοῇ πυνθανόμενοι.

Phil. 326 Αἰσθήσεις ε'· ὅτι τρανεστέρα ἡ ὄψις τῆς ἀκοῆς, καὶ αὕτη τῆς ὀσφρήσεως, ἡ ὄσφρησις τῆς γεύσεως καὶ τῆς ἁφῆς. ἡ μέντοι ἁφὴ δοκεῖ μηδὲ αἴσθησις εἶναι· ἑκάστη γὰρ τῶν ἄλλων αἰσθήσεων περὶ μίαν τινὰ τῶν αἰσθητῶν τὴν ἀντίθεσιν ἐνεργεῖ καὶ ταύτης μεταξύ, οἷον ὄψις μὲν περὶ τὸ μέλαν καὶ τὸ λευκὸν καὶ τὰ τούτου μεταξὺ

320 Ar. Eccl. 207 c. sch. 321 — καλόν cf. H v. αἴσιος. μέτριον—ὑπὲρ = P, Et. M. 39, 21 cf. Ba 48, 21; δίκαιον = Ps. Herodian. 37, sch. Ω 376 322 — ἀληθής = P, Ba 45, 20; — καθήκων = Ambr. 356; ἀληθής = Σ^{c} ἀλλ'—ὑπεστάλησαν Men. Prot. fr. 68, FHG 4, 269 324 γενικῇ cf. Synt. Laur. τοῦτο sq. Alex. Aphr. 148, 23—5 325 — vs. 15 τι alt. + 16 Ἀντιφῶν (fr. 70) + vs. 19 ἐπὶ τοῦ ὑποπτεύειν + 20 Lysiae (fr. 12) = P, Ba 47, 22 cf. Bk. 216, 7, 8; 183, 9; Isae. fr. 134 326 — p. 181, 6 δύναται Philop. 229, 12—24

320 Z 72 321 cf. v. ὑπεραίσιον ex quo τὴν sq. 322 Z 72. vs. 8 ὅτι sq. ex v. Δ 454 323—5 Z 94

A(GITFVM) 2. 3 κυλίνδεται F: κυλίνδετε AGIM cp. T 5 ὑπὲρ pr.—προσῆκον] ὑπερι in lac. F ὑπεριαι V 7 ἐπέπνευσεν Niebuhr post οὐχ lac. indicavit Bhd. 8 καὶ αὖθις om. GIT ὅτι—9 Ἀθηναίῳ om. TFVM mg. A 9 Αἰσίῳ GI 323 ex mg. AM 11 γενικῇ om. A 324 om. G 18 πλείων GIT ἠδικημένος GIT 20 Ἀρχεβιάδην Vales. Taylor cf. 21 μὲν] δὲ V om. A Zon. 21 Ἀλκιβιάδης TF 22 ἐμῶν—pr. 186, 18 βεβῶσαν propter fol. deperd. om. I 29 αἰσθητῶν] αἰσθήσεων A

χρώματα, ἀκοὴ περὶ τὸν βαρὺν καὶ τὸν ὀξὺν φθόγγον καὶ τοὺς μεταξύ, ὄσφησις περὶ τὸ εὐῶδες καὶ τὸ δυσῶδες, γεῦσις περὶ τὸ γλυκὺ καὶ τὸ πικρὸν καὶ τὰ τούτου μεταξύ. ἡ μέντοι ἁφὴ περὶ πλείους ἀντιθέσεις ἔχει οὐκ οὔσας ὑπαλλήλους· περί τε γὰρ τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὸ ὑγρὸν καὶ τὸ ξηρὸν καὶ τὸ σκληρὸν καὶ μαλακόν, τὸ βαρὺ καὶ τὸ κοῦφον, τὸ μανὸν καὶ τὸ πυκνόν· ἅπερ ὑπάλληλα εἶναι οὐ δύναται. ὅτι αἱ αἰσθήσεις τῶν μειζόνων αἰσθητῶν ἀντιλαμβανόμεναι οὐκέτι μετ' ἐκείνων τῶν ἡττόνων ἀντιλαμβάνεσθαι δύνανται· ὁ γὰρ πληκτικωτέρων χυμῶν γευσάμενος τῶν ἠρεμαιοτέρων οὐκ ἐπαισθάνεται, καὶ ὁ μεγάλων ψόφων ἀκηκοὼς πρὸς τοὺς ἥττους ἐστὶν ἀνεπαίσθητος, καὶ ὁ πρὸς ἥλιον ἀτενίσας ἀναγνῶναι οὐ δύναται οὐδὲ τῶν ἄλλων ἀκριβῶς ὁρατῶν ἀντιλαμβάνεσθαι· ὁμοίως καὶ ἐπὶ τῆς ἁφῆς. ὁ δὲ νοῦς τούτοις ἐναντίως ἔχει· ὅσῳ γὰρ τῶν μειζόνων νοητῶν ἀντιλαμβάνεται, τοσοῦτον καὶ ἀκριβέστερός ἐστι πρὸς τὴν ἀντίληψιν τῶν ἡττόνων. καὶ τὰς μὲν αἰσθήσεις αἱ ὑπερβολαὶ τῶν αἰσθητῶν φθείρουσιν· ὑπερβολὴ γὰρ φωτὸς ἢ ζόφου ἔφθειρε τὴν ὄψιν· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων· τὸν δὲ νοῦν τῶν μειζόνων νοητῶν ἡ ἀντίληψις ὀξυδερκέστερον ποιεῖ.

Ζήτει καὶ ἄλλα περὶ αἰσθήσεως ἐν τῷ μήνιγΕ. ὅτι κοινὰ αἰσθητὰ ε΄· Phil. α΄ κίνησις, β΄ ἠρεμία, γ΄ ἀριθμός, δ΄ σχῆμα, ε΄ μέγεθος. κοινὰ δὲ ταῦτα εἶναι λέγονται, οὐχ ὅτι ἓν ἕκαστον αὐτῶν πάσαις ταῖς αἰσθήσεσιν ὑποπίπτει, ἀλλ' ὅτι ἕκαστον πλείοσι καὶ οὐ μιᾷ, τινὰ δὲ καὶ πάσαις ἅμα. τὸ μὲν γὰρ μέγεθος κοινόν ἐστιν αἰσθητὸν ὄψεως καὶ ἁφῆς· ὁρῶμεν γὰρ ὅτι μέγας ἐστὶ τυχὸν ὁ ἄνθρωπος, καὶ ἁπτόμενοι αἰσθανόμεθα ὅτι μέγας ἢ μικρὸς ὁ προσπεσὼν ὄγκος, καὶ τὸ διάστημα. ἤδη δὲ καὶ ψόφου λέγομεν ἠσθῆσθαι μεγάλου ἢ μικροῦ, ἀλλ' ἐνταῦθα κατὰ ἀναλογίαν τὸ μέγεθος εἴληπται, οὐ κυρίως. μέγεθος γὰρ νῦν λέγομεν τὸ συνεχὲς τῶν κοινῶν εἶναι αἰσθητῶν· ὁ μέντοι μέγας ψόφος ποσότητός ἐστιν ἐπιτεταμένης καὶ ἀνειμένης δηλωτικός, διὸ τὸ ἀμυδρὸν ἢ σφοδρὸν κυριώτερον ἐπὶ τῶν ψόφων ἁρμόζει λέγειν. τὸ δὲ σχῆμα κοινὸν ὄψεως καὶ ἁφῆς. σχῆμα δὲ οὐ τὸ τρίγωνον ἢ κύκλος (τοῦτο γὰρ λόγου ἐστὶ τὸ εἰπεῖν ὅτι σχῆμά ἐστι τὸ ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον ἢ ὑπὸ τριῶν ἢ ὁσωνδήποτε), ἀλλ' ὅ τι ἁπλῶς περιγέγραπται, πᾶσα δὲ περιγραφὴ κατά τι τῶν σχημάτων γίνεται. καὶ τὰ ἄλογα γοῦν ὅταν ἐπὶ μικρὸν ὕψος καὶ ἐπανάστημα γῆς ἐμπέσωσιν, ἐπιβαίνουσι διελθεῖν, ἅτε δὴ ἐπιστάμενα ὡς περιγέγραπται τὸ μέγεθος, καὶ οἷά τέ ἐστι διελθεῖν· εἰς δὲ ὑψηλὸν καὶ ἀπόκρημνον ἐμπεσόντα οὐκ ἐπιχειρεῖ παρελθεῖν συναισθόμενα τοῦ μεγέθους τοῦ σχήματος. ὁ

326 vs. 7 ὅτι—17 ποιεῖ Philop. 262, 29—263, 11 vs. 18 κοινὰ—p. 182, 3 ἀκούοντες Philop. 311, 8—32

1 ἀκοὴ] ἀκοὴ δὲ M 6 ὥσπερ V 11 τὸν ἥλιον M Philop. 12 δὲ om. M A(GTFVM)
20 αὐτῶν—21 ἕκαστον om. A 24 ὅτι] καὶ ὅτι GT 26 γὰρ νῦν AV Philop.: νῦν γὰρ GT γὰρ M 27 κρινῶν A 28 διὸ] διὰ GT 29 κυριώτερον GTV Philop.: κυριότερον A κυριώτατον F κυριότης M 30 τρίγωνον Philop.: Δ VFM (∇ cp. pro τρίγωνον est) δ' A τετράγωνον GT κύκλος cp. AVM: τὸ βον F ὀκτάγωνον GT 32 τριῶν] τοῦ GT ὅσον δήποτε FVM

δὲ ἀριθμὸς κοινόν ἐστιν αἰσθητὸν πασῶν· ὁρῶμεν γὰρ ὅτι ε′ τυχὸν ἄνθρωποι, ἀλλὰ καὶ ψηλαφῶντες τοῦτο αὐτὸ ἴσμεν, καὶ μὴν καὶ ἀκούοντες. ὅτι αἴσθησις διαφέρει φαντασίας. καὶ ζήτει ἐν τῷ φαντασία.

Δ 327 Αἰσθητήριον καὶ Αἰσθητόν.

Δ 328 Αἴσθομαί σου: τὸ αἰσθήσεως ἐπιλαμβάνομαι.

EL 329 Αἰσθόμενοι· γενικῇ. νοήσαντες. οἱ δὲ τὴν προθυμίαν τοῦ Καίσαρος ἰδόντες καὶ τὰ ἔργα ὁμολογοῦντα ταῖς ἐλπίσιν αἰσθόμενοι.

Σ 330 Αἴσθων: αἰσθανόμενος, καὶ βασανιζόμενος, ἢ ἐκπνέων.

Δ 331 Αἰσούρ: ὄνομα κύριον.

332 Αἰσώπειον αἷμα: ἐπὶ τῶν ἀδίκως ἀναιρουμένων. οὐ γὰρ
Prov. ἐνδίκως ἀπέκτειναν τὸν Αἴσωπον οἱ Δελφοί. Αἰσώπειον οὖν αἷμα, ἐπὶ τῶν δυσαποπτοίτοις ὀνείδεσι καὶ κακοῖς συνεχομένων. Δελφοῖς γὰρ συνέβη τὸ δαιμόνιον ὀργισθῆναι, ἀδίκως ἀνελοῦσιν Αἴσωπον.

Hesy. 333 Αἴσωπος, Μιθριδάτου ἀναγνώστης. ἔγραψε περὶ Ἑλένης· ἐν ᾧ φησι Πᾶνα ἰχθὺν καλεῖσθαι κητώδη. ἐν τούτῳ δὲ τὸν ἀστερίτην λίθον εὑρίσκεσθαι, ὃς ὑπὸ τῷ ἡλίῳ ἀνάπτεται, ποιεῖ δὲ πρὸς φίλτρα. ἔγραψε καὶ Μιθριδάτου ἐγκώμιον.

Hesy. 334 Αἴσωπος, Σάμιος ἢ Σαρδιανός, Εὐγείτων δὲ Μεσημβριανὸς εἶπεν, ἄλλοι Κοτυαέα Φρύγα. ἐγένετο δὲ λογοποιός, ὅ ἐστιν εὑρετὴς λόγων καὶ ἀποκριμάτων. διέτριψε δὲ παρὰ Κροίσῳ φιλούμενος, τοῖς χρόνοις πρὸ Πυθαγόρου· ὃς μεσοῦν ἐπὶ τῆς μ′ Ὀλυμπιάδος. ἔγραψε τὰ ἐν Δελφοῖς αὐτῷ συμβάντα ἐν βιβλίοις β′. μᾶλλον δέ τινές φασι τὸν Αἴσωπον ἀποκρίματα γεγραφέναι μόνον. ἐν γὰρ Δελφοῖς ἀδίκως ἀπολέσθαι ὑπ' αὐτῶν κατακρημνισθέντα ἀπὸ τῶν Φαιδριάδων καλουμένων πετρῶν κατὰ τὴν νδ′ Ὀλυμπιάδα. οἰκέτην δὲ γενέσθαι Ξάνθου τοῦ Λυδοῦ, ἄλλοι ἀνδρός τινος Σαμίου Ἰάδμονος, οὗτινος καὶ ἡ Ῥοδῶπις δούλη ἦν· ἣν ἑταίραν γενομένην, Θρᾷσσαν τὸ γένος, Χάραξος ὁ ἀδελφὸς Σαπφοῦς ἔλαβε γυναῖκα καὶ ἐξ αὐτῆς γεννᾷ.

327 = L 328 — σου cf. Ambr. 399 329 γενικῇ cf. An. Ox. 4, 286, 17, Synt. Laur. οἱ sq. Cass. D. 38, 34, 1 = EL 418, 28—9 330 = P, Ba 48, 16 cf. Herodian. schem. N. Jb. 149, 338, Ap. S. 16, 16, sch. Π 468 332 Αἰσώπειον alt. sq. cf. Zen. I 47, Paroem. ed. Gsf. 8, n. 77 et 107, n. 877 333 Πᾶνα—φίλτρα = Ptolem. Hephaest. ap. Phot. Bibl. 153b 22—5 334 cf. Hdt. 2, 134, 3—4, sch. Ar. Av. 471, Heraclid. X 5, FHG 2, 215

328—30 Z 95 331 Z 72 332 Z 90 333 hinc vv. l 788, Πάν 2, Ps. Hesych. 12 334 cf. v. Ῥοδώπιδος ἀνάθημα, v. Χάραξος. hinc v. I 4, v. Φαιδριάς

A(GTFVM) 1 αἰσθητῶν GTV, v. l. Philop. 2 καὶ tert. om. GVM 3 ὅτι—φαντασία ex $A^{ms}G$ ὅτι om. A 327 non nov. gl. A 5 Αἰσθάνομαι V Zon. 8 αἰσθανόμενος AT Zon. Phot. Ba: αἰσθόμενος rell. Ap. S. 12 δυσαπονίπτοις V Paroem.: δυσαπορρίπτοις rell. καὶ om. A 16 Πᾶν GT 17 τοῦ ἡλίου GT 19 Σαρδανὸς A Σαρδυιανὸς M Εὐγείων Cuper. Εὐγαίων Mein. Μαρμαριανὸς G 20 Κοτιαέα VM 22 ὃς—τῆς] ὡς μεσοῦν τῆς νε′ καὶ τῆς coni. Gsf. (ms.); ὡς etiam Gutschmid 24 Δελφικοῖς M 29 αὐτῆς] αὐτοῦ V cp. M post 334 lac. VM

335 Αἴσωπος: ὁ τῶν μύθων ποιητής, Σάμιος, δοῦλος οὐ τὴν τύχην μᾶλλον ἢ τὴν προαίρεσιν, οὐκ ἄφρων μὲν οὐδὲ κατ' αὐτὸ τοῦτο ἀνήρ. ᾧ γὰρ ὁ νόμος οὐ μετεδίδου παρρησίας, τούτῳ προσῆκον ἦν ἐσκιαγραφημένας τὰς συμβουλὰς καὶ πεποικιλμένας ἡδονῇ καὶ χάριτι παραφέρειν, ὥσπερ καὶ τῶν ἰατρῶν οἱ μὲν ἐλεύθεροι τὸ δέον ἐπιτάττουσιν, ἐὰν δέ τις οἰκέτης γένηται τὴν τύχην καὶ τὴν τέχνην ἰατρός, πράγματα ἔχει κολακεύειν ἅμα καὶ θεραπεύειν τὸν δεσπότην ἀναγκαζόμενος. ὅτι Αἴσωπον ἀπὸ δείπνου βαδίζονθ' ἑσπέρας Ar. θρασεῖα καὶ μεθύση τις ὑλάκτει κύων. κἄπειτ' ἐκεῖνος εἶπεν· ὦ κύον, κύον, εἰ νὴ Δί' ἀντὶ τῆς κακῆς γλώττης ποθὲν πυροὺς πρίαιο, σωφρονεῖν ἄν μοι δοκῇς. ὅτι τὸν Αἴσωπόν φασί τινες ὡς τοσοῦτον ἄρα Suid. θεοφιλῆ γενέσθαι ὡς καὶ ἀναβιῶναι αὐτόν, καθάπερ οὖν τὸν Τυνδάρεων καὶ τὸν Ἡρακλέα καὶ τὸν Γλαῦκον. καὶ Πλάτων φησὶν ὁ κωμικός· καὶ νῦν δμοσόν μοι μὴ τεθνάναι τὸ σῶμα. ἐγώ. ψυχὴ δ' ἀπὸ νίκης ὥσπερ Αἰσώπου ποτέ.

336 Αἴστωρ: ὁ ἁγνός. Δ

337 Αἰσυῆται, τοῦ Αἰσυήτου. Δ

338 Αἰσυητῆρι: χοιροβοσκῷ. Σ

339 Αἴσυλα: παράνομα, ἄδικα. ἐν Μύθοις· αἰπεινὴν ἐλάτην ἔρις Σ ὤρορεν αἴσυλα φάσθαι.

340 Αἰσύμη: πόλις. καὶ Αἰσύμνη, πόλις. Δ

341 Αἰσυμνητήρ: ὁ βασιλεύς. Δ

342 Αἰσυμνῆται: οἱ ἀγωνοθέται. οἱ τοῦ ἀγῶνος προεστῶτες· ἢ Δ οἱ νεανίαι· ἢ οἱ νεμηταί· ὅ ἐστι βραβευταί. καὶ Αἰσυμνήτας. Σ

343 Αἰσυμνῆτις: ἡ δέσποινα. Δ

344 Αἴσυμνος: ὄνομα κύριον. Δ

345 Αἰσύφηλος: ὁ δειλός. Δ

346 Αἰσχίνης, Χαρίνου, ἀλλαντοποιοῦ, φιλόσοφος Σωκρατικός. τινὲς Hesy. δὲ Λυσανίου παῖδά φασιν, Ἀθηναῖον, Σφήττιον. διάλογοι δὲ αὐτοῦ Μιλτιάδης, Καλλίας, Ῥίνων, Ἀσπασία, Ἀξίοχος, Τηλαύγης, Ἀλκιβιάδης καὶ οἱ καλούμενοι Ἀκέφαλοι, Φαίδων, Πολύαινος, Δράκων, Ἐρυξίας, Περὶ ἀρετῆς, Ἐρασίστρατοι, Σκυθικοί.

335 — vs. 8 ἀναγκαζόμενος Iulian. or. 7, 207c d Αἴσωπον—11 δοκῇς Ar. Vsp. 1401—5 336 = Ambr. 353 cf. Theognost. An. Ox. 2, 7, 9 337 cf. Ambr. 365, Zon. 73 338 = P, Ba 45, 21, Σ^{c} cf. H 339 — ἄδικα = Et. Gen., Et. M. 39, 40 cf. 31; sch. Ε 403 = Ap. S. 16, 6; H αἰπεινὴν sq. Babr. p. 215 340 — πόλις pr. = Ambr. 388 cf. H, Steph. Byz. Αἰσύμνη cf. Ambr. 400, L 341 = Ambr. 349, Et. M. 39, 24 cf. 15, Aristarch. in sch. A ad Ω 347 342 — ἀγωνοθέται sch. θ 258 = L οἱ alt. sq. = P, Ba 48, 22 cf. H, Ap. S. 18, 3, sch. θ 258, Et. M. 39, 12, Ambr. 351 344 = Ambr. 366 345 cf. H, Theognost. An. Ox. 2, 7, 6, L; l. = Ambr. 350 346 cf. Laert. 2, 60—61

335 Ar. cf. v. μεθύση. vs. 11 ὅτι sq. ex v. A 1806 cf. v. Z 87 336 Z 72 338 Z 73 339 cf. 269 340 Z 82 342 Z 63 344—6 Z 73 346 cf. v. A 2822

1 Σάμιος—14 ποτέ om. F Σάμιος, δοῦλος om. M 2 ἢ om. V 3 τούτῳ] A(GTFVM) τοῦτο A 4 ἦν om. V 5 δέον]δὲ V 6 τὴν τύχην om. M 8 ὅτι—14 ποτέ om. T 10 ἀντὶ] ἀντὸν V γλώττης] λύττης G 11 ὅτι—14 ποτέ om. GV mg. A 15 ἁγνὸς G^{ac} ἁγνὸς Bas. 19 ὤρορεν A: ὄρωρεν GTVM ὥρωρεν F cf. 269 23 καὶ Αἰσυμνήτας om. FV 28 παῖδες M 31 Ἐριξίας A Ἐρασίστρατοι AM: Ἐρασίστρατος T cp. G Ἐρεσύστρατοι V σκυτικοί coll. Laert. 2, 122 Bhd.

Hesy. 347 Αἰσχίνης, Ἀθηναῖος, ῥήτωρ, υἱὸς Ἀτρομήτου καὶ Γλαυκοθέας, μαθητὴς δὲ κατὰ τὴν ῥητορικὴν Ἀλκιδάμαντος τοῦ Ἐλεάτου. τινὲς δὲ καὶ δούλους τοὺς γονεῖς αὐτοῦ γεγραφήκασιν. οὗτος ἐπειδὴ συναίρων ἐν δίκῃ τινὶ διέφθειρε τοὺς δικαστάς, ἐμβληθεὶς ἅμα αὐτοῖς ἐν τῷ δεσμωτηρίῳ καὶ κώνειον πιὼν ἀπέθανεν, καὶ τὰ πράγματα αὐτῶν ὡς ἀτέκνων ἐδημοσιώθη. ᾤκησε μέντοι ἐν Ῥόδῳ καὶ ἐπαίδευσεν, ἡσσηθεὶς ὑπὸ Δημοσθένους τὸν περὶ τοῦ στεφάνου ἀγῶνα. πρῶτος δὲ πάντων τὸ θεῖως λέγεις ἤκουσε διὰ τὸ σχεδιάζειν, ὡς ἐνθουσιῶν.

Hesy. 348 Αἰσχίνης, Ἀθηναῖος, Ἀτρομήτου γραμματοδιδασκάλου καὶ Λευκοθέας τῆς τελεστρίας, αὐτὸς ὑποκριτής, εἶτα γραμματεύς, εἶτα ῥήτωρ, προδότης, ὁ Κερσοβλέπτην καὶ Φωκέας προδούς. γραψάμενος δὲ παρανόμων Κτησιφῶντα, στεφανοῦν γράψαντα Δημοσθένην, ἡττήθη καὶ ἔφυγεν εἰς Ῥόδον καὶ ἐπαίδευσεν ἐκεῖ.

349 Αἰσχίνης, ὁ τοῦ Λυσανίου. οὗτος παρὰ Διονύσιον εἰς Σικελίαν ὑπὲρ χρημάτων ᾤχετο. Πλάτων δὲ τρὶς ἀναμετρῆσαι λέγεται τὴν Χάρυβδιν ὑπὲρ πλούτου Σικελικοῦ. Ἀρίστιππος δὲ ὁ Κυρηναῖος καὶ Ἑλίκων ἐκ Κυζίκου καὶ Φοίτων, ὅτε ἔφευγε Ῥήγιον, οὕτω τι ἐς τοὺς Διονυσίου κατέδυσαν θησαυροὺς ὡς μόγις ἀνασχεῖν ἐκεῖθεν. καὶ μὴν καὶ τὸν Κνίδιόν φασιν Εὔδοξον ἐς Αἴγυπτόν ποτε ἀφικόμενον ὑπὲρ χρημάτων τε ὁμολογεῖν ἥκειν καὶ διαλέγεσθαι τῷ βασιλεῖ ὑπὲρ τούτου. καὶ ἵνα μὴ πλείους διαβάλω, Σπεύσιππον τὸν Ἀθηναῖον οὕτω τι ἐρασιχρήματον γενέσθαι φασίν, ὡς ἐπὶ τὸν Κασσάνδρου γάμον ἐς Μακεδόνας κωμάσαι, ποιήματα ψυχρὰ ξυνθέντα δημοσίᾳ ταῦθ' ὑπὲρ χρημάτων ᾄσαι.

Ar. 350 Αἰσχίους: ἄνδρας ἀμόρφους.

Σ 351 Αἰσχίω: χείρω.

Σ 352 Αἶσχος: ἀτιμία.

353 Αἰσχρὰ γυνή: ἄμορφος. καὶ Αἰσχρόν, ἐπὶ κακοῦ. ταῦτα E αἰσχρὰ μέν οἱ ἀμφ' αὐτὸν ἐγίνωσκον καὶ τὴν ἀποχώρησιν οὔτε ἐν τῷ παραυτίκα εὐπρεπῆ οὔτε ἀσφαλῆ ἐς τὰ μέλλοντα.

347 cf. Pap. Oxyrrh. 15, n. 1800 fr. 3, 40 sqq., vita Apollonii in Aeschin. ed. Schultz 2 (= Westermann, Biogr. 265). πρῶτος sq. cf. Philostr. vit. soph. 1, 18 (p. 216, 6—7) 348 cf. Pap. Oxyrrh. 15, n. 1800 fr. 3, 40 sqq. 349 Philostr. 1, 35 350 sch. Ar. Eccl. 625 351 = P, Ba 45, 22, Σ^{c}, H 352 = P, Ba 45, 23, Σ^{e} 353 — ἄμορφος cf. sch. Ar. Eccl. 617 ταῦτα sq. Arr. Parth. vel Exc. fr. 1

347 hinc v. Ε 226 extr. 350 Z 73

A(GTFVM) 2 δὲ om. VM Ἀλεάτου V Ἐλαΐτου Bhd. 5 καὶ alt.—6 ἐδημοσιώθη om. V 6 ἐδημοσιεύθη G 8 λέγεις omnes: λέγειν Philostr., pr. 348 om. TV 10. 11 Λευκοθέας—14 ἐκεῖ] τὰ ἑξῆς F 11 ὁ αὐτὸς Gutschmid 12 Κερσοβλέπτην ed. pr.: Κερσοβλέπτας AGM Φακέας A 13 Δημοσθένης A 15 Διονυσίῳ V 16 τρεῖς VM 18 ἐκ om. V καὶ Φοίτων VM: ἐφοίτων AG ἔφευρε V 24 Μακεδόνας cp. VM: Μακεδόσιν G Μακεδονίαν Philostr. cp. A 28 ἀτιμίας A 29 κακοῦ] κακοῦ ταῦτα V; κακοῦ ταῦτα ἐπὶ κακοῦ M 31 τὰ] τὸν GT

354 Αἰσχρίων, Μιτυληναῖος, ἐποποιός, ὃς συνεξεδήμει Ἀλεξάνδρῳ τῷ Φιλίππου. ἦν δὲ Ἀριστοτέλους γνώριμος καὶ ἐρώμενος, ὡς Νίκανδρος ὁ Ἀλεξανδρεὺς ἐν τῷ περὶ τῶν Ἀριστοτέλους μαθητῶν. Hesy.

355 Αἰσχροκερδής· καὶ θηλυκὸν Αἰσχροκέρδεια. Δ

356 Αἰσχρόν· Σοφοκλῆς· αἰσχρὸν γάρ ἐστι τοῦ μακροῦ χρήζειν βίου κακοῖσιν ὅστις μηδὲν ἐξαλλάσσεται. τουτέστιν ὅστις ἀεὶ ἐν κακοῖς ἐξετάζεται. αἰσχροῦ εἶδη δ'· ἄδικον, δειλόν, ἄκοσμον, ἄμορφον. Soph.

357 Αἰσχύλος, Ἀθηναῖος, τραγικός, υἱὸς μὲν Εὐφορίωνος, ἀδελφὸς δὲ Ἀμενίου, Εὐφορίωνος καὶ Κυναιγείρου, τῶν εἰς Μαραθῶνα ἀριστευσάντων ἅμα αὐτῷ. ἔσχε δὲ καὶ υἱοὺς τραγικοὺς δύο, Εὐφορίωνα καὶ Εὐαίωνα. ἠγωνίζετο δὲ αὐτὸς ἐν τῇ θ' Ὀλυμπιάδι ἐτῶν ὢν κε'. οὗτος πρῶτος εὗρε προσωπεῖα δεινὰ χρώμασι κεχρισμένα ἔχειν τοὺς τραγικοὺς καὶ ταῖς ἀρβύλαις τοῖς καλουμένοις ἐμβάταις κεχρῆσθαι. ἔγραψε δὲ καὶ ἐλεγεῖα καὶ τραγῳδίας ϛ'· νίκας δὲ εἴλεν η' καὶ κ', οἱ δὲ τρισκαίδεκά φασι. φυγὼν δὲ εἰς Σικελίαν διὰ τὸ πεσεῖν τὰ ἱκρία ἐπιδεικνυμένου αὐτοῦ, χελώνης ἐπιρριφείσης αὐτῷ ὑπὸ ἀετοῦ φέροντος κατὰ τῆς κεφαλῆς, ἀπώλετο ἐτῶν νη' γενόμενος. Hesy.

358 Αἰσχύνει: αἰκίζεται, λυμαίνεται, αἶσχος περιτίθησιν. Σ

359 Αἰσχύνη πόλεως πολίτου ἁμαρτία. Σ

360 Αἰσχύνομαι· αἰτιατικῇ. καὶ Αἰσχῦναι. Synt.

361 Αἰσχύνομαι ταῖς προτέραις ἁμαρτίαις. Ar.

362 Αἰσχυνόμενος περιπλέκει τὴν συμφοράν: ἐν συνουσίᾳ. Σ

363 Αἴτημα: ἡ ἐπιθυμία. Δαβίδ· καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν. Thdr.

364 Αἰτήσασθαι: τὸ χρήσασθαι. Μένανδρος Τίτθῃ· ἦν ἄν τις ὑμῶν παιδίον ᾐτήσατο ἢ κέχρηκεν, ἄνδρες γλυκύτατοι. καὶ ἐν Ὑμνίδι· οὐ πῦρ γὰρ αἰτῶν οὐδὲ λοπάδα αἰτούμενος. Σ

365 Αἴτησις· παρὰ Ἀριστοτέλει αἴτησίς ἐστι τοῦ ἐναντίου ἡ ἐν λόγοις παραγωγή, τὸ λαμβάνειν τι παρὰ τοῦ ἀποκρινομένου καὶ μετὰ Phil.

355 = Ambr. 357 et 389 356 — ἐξετάζεται Soph. Ai. 473—4 c. sch. 474
357 cf. Westermann Biogr. p. 117 sqq. = Aeschyl. ed. Wilam. p. 3 sq.
358 = P, Ba 48, 25, H 359 — πόλεως cf. Aeschin. 3, 241 361 Ar. Eq. 1355
362 = P, Ba 47, 20, Phryn. 2, 9 363 Thdr. in Ps. 105, 15, PG 80, 1725 b
364 = P cf. Ba 48, 26; Men. com. fr. 461 et 476 365 Alex. Aphr. 579, 10—13

354 Z 73 357 hinc v. χελώνη μυιῶν extr. 358 Z 95 359 Z 82, 3
361 Z 95 363 Z 88 364 cf. 377. Z 95 365 Z 85

2. 3 Μένανδρος G 356 non nov. gl. M 7 ἐξατάζεται VM αἰσχροῦ] A(GTFVM) nov. gl. GT δ'] δην A 8 τραγικός om. V ἀδελφὸς—9 Εὐφορίωνος ex AGV 9 Ἀμενίου] Ἀμεινίου Kust. vita Westermann p. 117, 3 10 ἔσχε —11 κε' om. V sed cf. ad vs. 17 11 Εὐαίωνα A: Εὐβίωνα GM Εὐθίωνα T Βίωνα pr. θ'] ξθ' Casaub. ο' coll. v. Πρατίνας Meursius 12 χρώμασι om. VM καὶ χ. Kust. 13 τραγικοὺς] τραγῳδοὺς Bhd., ὑποκριτὰς add. Daub χρῆσθαι Bhd. 14 δὲ pr.—καὶ sec. om. V καὶ pr. om. M 15 οἱ—φασι om. VM 16 αὐτοῦ] αὐτὴν M 17 νη'] ξη' Hermann γενόμενος] ἦν δὲ κε' ἐτῶν ὅτε ἠνίζε τοὺς ἐνίκησε νίκας κη' add. V cf. ad vs. 10 19 Αἰσχύνει A πολιτείας V 360 om. GTFV post 362 A 361—2 om. T 362 non nov. gl. V 25 Μένανδρος Meurs. Phot. Ba: ἀνδρὸς omnes, Zon. cf. ad 26 ἦν ἄν] ἢ ἄν Phot. ἤδη CF Hermann 26 καὶ ἐν] ἐν VM Μένανδρος Bas. cf. ad 25

ταῦτα πειρᾶσθαι τὸ ἀντικείμενον αὐτῷ παρ' αὐτοῦ λαμβάνειν καὶ διὰ τούτου τοῦ τρόπου δεῖξαι τὴν ἐναντιολογίαν τῶν ἀποκρίσεων.

Δ 366 Αἰτήσιος: ὁ αἰτῶν.

EL 367 Αἰτηταί: οἱ παρά τινος τὶ αἰτοῦντες. οἱ δὲ Ῥόδιοι τῷ Περσεῖ οὐκ αἰτηταὶ τῆς εἰρήνης μᾶλλον ἢ δόται ὄντες ὑπερήφανα τοῖς Ῥωμαίοις διελέχθησαν.

Δ 368 Αἰτία καὶ Πανταιτία.

Δ 369 Αἰτίζων: ποιητικῶς. αἰτίζων ἀκόλους, οὐκ ἄορας, οὐδὲ λέβητας.

Phil. 370 Αἴτιον· ὅτι τετραχῶς τὰ αἴτια· ὡς ὕλη, ὡς εἶδος, ὡς τέλος, ὡς ποιητικόν. καὶ τῶν αἰτίων τὰ μὲν προκαταρκτικά, τὰ δὲ συνεργὰ ἢ συναίτια, τὰ δὲ τελικά.

Phil. 371 Αἰτιῶδες ψεῦδος: ἤτοι ὃ ἀπὸ ψεύδους ἄρχεται ἢ μὴ εἰς ἀκόλουθον λήγει ἢ ἔχει τῷ λήγοντι τὸ ἀρχόμενον ἀκόλουθον. οἷον διότι νύξ ἐστι, Δίων περιπατεῖ. σύνταξις· οἱ δὲ πεφευγότες ἦσαν ἀπὸ τῆς Μυσίας αἰτίαις τοιαῖσδε..

Δ 372 Αἰτιῶμαι. δοτικῇ. ἔστιν δὲ καὶ αἰτιατικῇ· εἰ μὴ καὶ τὸν ἰατρὸν

Synt. αἰτιᾶτό τις. τί ἡμῖν αἰτιᾷ ὡς αἰτίοις.

Soph. 373 Αἰτναία πῶλος: ἡ μεγάλη. Αἰτναίας ἐπὶ πώλου βεβῶσαν.

Σ 374 Αἰτναῖον πῦρ: τὸ Σικελικὸν πῦρ, ἐκ τοῦ ὄρους τοῦ λεγομένου Αἴτνη. καὶ αἰτνίζοντος.

Δ 375 Αἴτνη: ὄρος Σικελίας.

Prov. 376 Αἰτναῖος κάνθαρος: ὁ μέγας. διὸ καὶ τὸ ὄρος μέγα.

Ε Ἀρισταῖον μόνον τὸν γίγαντα περισωθῆναί φασι, καὶ οὔτε πῦρ οὐράνιον ἐπ' αὐτὸν ἦλθεν, οὔτε Αἴτνη πιέζει αὐτόν.

Σ 377 Αἰτούμενος: κιχράμενος. Μένανδρος Ὑμνιδι· οὐ πῦρ γὰρ αἰτῶν, ἀλλὰ λοπάδα αἰτούμενος. τὸ μὲν αἰτῶν, εἰσαεὶ ἔξων, τὸ δὲ αἰτούμενος, λαβών, αὖθις ἀποδώσων.

Δ 378 Αἰτῶ· αἰτιατικῇ. αἰτοῦμαι.

Δ 379 Αἰτωλία: χώρα.

366 = Ambr. 402 367 οἱ sq. Cass. D. fr. 66, 2 = EL 413, 19—21 369 l. cf. Ambr. 416; ρ 222 370 — ποιητικόν Philop. 273, 8—9 371 — περιπατεῖ Laert. 7, 75 372 — τις cf. Synt. Gud. 588; — αἰτιατικῇ cf. Zon. 95, Bk. 119, 27; αἰτιατικῇ—τις = An. Ox. 4, 286, 30, Synt. Laur. 373 Soph. OC 312 c. sch. cf. H, Philol. Suppl. 6, 258, n. 62 374 = Ba 45, 25, P, Σ° cf. Ps. Herodian. 38; l. = Ambr. 412 375 = H, Et. M. 40, 29, Ps. Herodian. 38 cf. Ambr. 410 376 — μέγα cf. Philol. Suppl. 6, 258, n. 60, Cohn Z. d. P. 72, n. 6, sch. Ar. Pac. 73 Ἀρισταῖον sq. Aelian. fr. 214 377 — vs. 26 αἰτούμενος = P, Ba 48, 1 cf. Ammon. p. 8, Et. Gud; Men. com. fr. 476. αἰτῶν sq. cf. Bk. 81, 17, sch. Thuc. 6, 46, 3, Thom. 41, 2 378 — αἰτιατικῇ = An. Ox. 4, 287, 1 cf. Synt. Laur.; l. = L 379 = Ambr. 411

366—7 Z 73 369 Z 95 370—1 Z 89 373 Z 85 375—6 hinc v. A 3898 extr. 376 Z 73 377 cf. 364 et v. H 622. Z 95 379 Z 86

A(GITFVM) 7 Αἰτίω GT καὶ] ἡ M Πανταιτίω GT Παναιτία F 9 τὸ αἴτιον GT 13 ἀκόλουθον] ἀνακόλουθον e Laert. Kust. 14 σύνταξις om. GTM 16 δοτικῇ—17 αἰτίοις om. FV ἔστιν—αἰτιατικῇ] αἰτιατικῇ δὲ M 17 τί—αἰτίοις om. T post 16 δοτικῇ GM 374 inc. rursus I 19 πῦρ alt. om. V 377 om. T 25 κιχρώμενος GI κιχώμενος F 26 ἔζων GM

380 Αἰτώλιος. Δ
381 Αἰτωλός: ὁ ἀπὸ Αἰτωλίας. Δ
382 Αἱ Οἰδίποδος ἀραί: ἐπὶ τῶν μεγάλως δυστυχούντων. Prov.
383 Αἰφηρητιάδης: πατρωνυμικόν. Δ
384 Αἴφνης: ἐξαίφνης. Δ
385 Αἰφνίδιον: αἰφνιδίως. Δ
386 Αἱ Χάριτες γυμναί: ὅτι δεῖ ἀφελῶς καὶ φανερῶς χαρίζεσθαι· ἢ ὅτι οἱ ἀχάριστοι τὸν ἑαυτῶν κόσμον περιῄρηνται. Prov.
387 Αἰχμαλωτίζω. καὶ Αἰχμαλωτεύω· αἰτιατικῇ. Δ Synt.
388 Αἰχμάλωτος. Δ
389 Αἰχμάccουcι: δορατομαχήσουσιν. Σ
390 Αἰχμή: ἡ ἐπιδορατίς, ὁ σίδηρος τοῦ δόρατος. Σ
391 Αἰχμητής: πολεμικός. Σ
392 Αἶψα: θᾶττον. λάζεο, τιμήεσσα Κυθηριάς, ὑμνοπόλοιο αἶψα τάδε κλυτοῦ δῶρα Λεωνίδεω. ἐν Ἐπιγράμμασι. Anth.
393 Αἶψα: ἀντὶ τοῦ ταχέως. καὶ Ὅμηρος· αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν. Δ
394 Αἰψηρήν: ἀντὶ τοῦ αἰψηρῶς, ταχέως. λῦσαν δ' ἀγορὴν αἰψηρήν. οὐκ ἐπὶ τῆς ἀγορᾶς. καὶ Αἰψηρός, ὁ ταχύς. ἀπὸ τοῦ ψαίρειν, ὃ σημαίνει τὸ ταχύνειν. Σ Δ

380 = Ambr. 405 381 cf. Ambr. 401 = Zon. 73; Ps. Herodian. 38; l. = L 382 = Diogen. II 51 383 = Ambr. 418 (ex Ψ 376 ortum) 384 cf. Ambr. 420, Ps. Herodian. 38 385 l. = Ambr. 421, Ps. Herodian. 38 386 = Zen. I 36 387 aliter Synt. Laur. 389 = P, Ba 45, 24 390 = P, H cf. Σ^{c}; Ba 45, 27 = Ambr. 424, Apion; Ap. S. 15, 12 391 = P, Ba 45, 28, Ps. Herodian. 39 cf. sch. A 290; Σ^{c} = Ambr. 423 392 λάζεο sq. Anth. 6, 190, 1—2 393 — ταχέως = Ambr. 426, Ps. Herodian. 40, sch. A 303, Et. M. 41, 4, Ap. S. 17, 19; τ 360 394 — αἰψηρήν = Aristarch. ap. Ap. S. 17, 20, H; β 257 Αἰψηρός, ὁ ταχύς = Ambr. 425, Ps. Herodian. 40 cf. Et. M. 41, 8

386 cf. v. χάριτας 389 Z 95 391 Z 73 392 cf. v. Λεωνίδεω 393 Z 97 394 cf. v. ταχύ et v. ψαρόν. Z 86 et 73

380 non nov. gl. AG 2 Αἰτωλίας F: αὐτῆς T 'Ιταλίας rell. 4 Αἰφηρητιάδης Ambr.: Αἰφηρητιάδ AFVM Αἰφρητιάδης I Αἰφνητιάδης GT πατρωνυμικόν GI Ambr.: cp. AVT πατρώνους FM 7 ἀφελῶς] ἀφειδῶν F cf. Paroem. 387—8 Thom. 1, 1—3 interiecto om. F 9 καὶ—αἰτιατικῇ om. IVM 11 Αἰχμάσουσι VM Phot. Hes. 15 ἐν Ἐπιγράμμασι om. FVM A(GITFVM)

Hom. 1 Ἔα: συγχώρει.

Δ 2 Ἐάγη: ἐθραύσθη, ἐκλάσθη.

Σ 3 Ἔα δή: ἄγε δή.

Δ 4 Ἐαδότα: ἀρέσκοντα. ἥδω ἥσω ἦδα, διαλύσει ἔαδα, ἐαδὼς ἐαδότος ἐαδότα.

Σ 5 Ἐακότες: παρῃτημένοι, ἀποπεπαυκότες.

ΔΣ 6 Ἑάλω: ἥλω, ἐκρατήθη. καὶ Ἑάλωκεν, ἐλήφθη. καὶ Ἐαλωκὼς καὶ Ἐαλωκότων καὶ Ἑάλωσαν.

Σ 7 Ἐάν· ὁλοκλήρως οἱ περὶ Θουκυδίδην τότε λέγουσιν ὅτε προτέτακται ὁ η, ὅταν δὲ μὴ οὕτως ἔχῃ τάξεως, συνῃρημένως λέγει. ἐν δευτέρᾳ· ἢ ἐὰν οἱ πολέμιοι νηῖτῃ στρατῷ ἐπιπλέωσιν. ἢ ἐὰν βιασθῇ ὑπάρχει τοῖς ἀποστήσασι πολεμίοις.

Δ 8 Ἑανόν: τὸ λεπτόν.

Hom. 9 Ἑανῷ λιτί: οὕτω κέκληκε τὸν λεπτόν. καὶ αὖθις· ἁ μεγάλα
Anth. δ' Αἴγυπτος ἑανῷ δάψατο χαίτην.

Σ 10 Ἔαρ: εὐκρασία τοῦ ἀέρος· ὥρα τοῦ ἔτους κατὰ τὴν πρὸς ἡμᾶς
Eel. τοῦ ἡλίου πορείαν. κλίνεται δὲ ἔαρος καὶ κράσει ἦρος· καὶ ἡ
δοτικὴ ἔαρι καὶ κράσει ἦρι. ἔαρ λέγεται καὶ τὸ αἷμα διὰ τὸ ἐν τῷ
Call. ἔαρι πλεονάζειν. ἦχι κονίστραι ἄξεινοι λύθρῳ τε καὶ εἴαρι πεπλήθασι. πλεοναςμῷ τοῦ ι.

Ar. 11 Ἔαρος χρῄζει: ἐπειδὴ παλαιὸν χιτῶνα ἔχει. καὶ Ἀριστοφάνης· δεῖσθαι δ' ἔοικεν οὐκ ὀλίγων χελιδόνων. μία γὰρ χελιδὼν ἔαρ οὐ ποιεῖ.

Δ 12 Ἐαρινὴ καὶ Ἐαρινῆσι: τοῦ ἔαρος.

1 sch. A 276 2 cf. H; ἐκλάσθη = Ambr. 27 3 = Σ[a], H, Ba 204, 17 4 cf. Et. M. 306, 57; — ἀρέσκοντα = sch. I 173, Ambr. 15, H cf. Ap. S. 61, 24 5 = Ba 204, 18 cf. Ambr. 28 6 ἐκρατήθη = Ambr. 14, H ἑάλωκεν, ἐλήφθη = Ba 204, 19 Ἐαλωκὼς cf. Ambr. 7. Ἐαλωκότων cf. Ambr. 24 = H. Ἑάλωσαν cf. Ambr. 26 7 vs. 11 ἢ—ἐπιπλέωσιν Thuc. 2, 24, 1; ἢ alt. sq. Thuc. 3, 47, 2 8 cf. Ambr. 9 = Ps. Herodian. 25 9 — λεπτόν cf. sch. Σ 352, Ap. S. 61, 28, H, Ambr. 6 ἁ sq. Anth. 7, 241, 5 10 — ἀέρος cf. Hellad. ap. Phot. Bibl. 535b 15 vs. 18 ἔαρ—19 πλεονάζειν = Orion. 56, 15 (ex quo Et. M. 307, 44), sch. Nicand. Al. 314 cf. H, Ambr. 12 ἦχι—πεπλήθασι = Eust. O. 1851, 44; Call. fr. 77 K., an. 20 S. 11 sch. Ar. Av. 1416 12 Ἐαρινὴ = Ambr. 4

1 Z 593 3 Z 593 4 cf. v. Εἰ 7 5 Z 593 6 cf. 288. Z 593 8 cf. v. Εἰ 9. Z 591 9 hinc v. Δ 102. Z 591 10 Z 592. Call. hinc v. A 2801

A(GITFVM) 1 συνεχώρει V 3 ἄγε δή om. V 4 Ἐαδήτα A post 4 κλίνεται add. M, κλίνεται, κανών mg. A κανών mg. ITM 6 παρητησάμενοι F ἀποπεπτωκότες GIT 10 ἐν] ἂν GI δευτέρῳ V 12 ἀποστήσασι A Thuc.: ἀπιστήσασι F ἀποστατήσασι GIM 19 εἴαρι] εἶτι V 21 ἔχει om. GT 24 ἔαρος] ἀέρος A

13 Ἐαρινός: ὁ κατὰ τὸν καιρὸν τοῦ ἔαρος. Δ
14 Ἕαται· ἑῶ ἔημι ἕεμαι ἧμαι, κάθημαι, ἧνται, ἕαται Ἰωνικῶς καὶ Δ?
πλεοναςμῷ εἵαται, ὡς μέμνηται μεμνέαται.
15 Ἑαυτῷ: ἐπὶ γ′ προσώπου. οἱ Ἀττικοὶ δὲ καὶ ἐπὶ β′ προσώπου Σ
κέχρηνται.
16 Ἑαυτούς: ἀντὶ τοῦ ἀλλήλους οἱ Ἀττικοὶ λέγουσιν. Σ
17 Ἑάφθη: ἐπηκολούθησεν. ἔπω, ἕψω, ἧφα, ἧμμαι, ἥφθην καὶ Hom.
διαλύσει ἑάφθην, τὸ γ′ ἑάφθη.
18 Ἔβα με: κατέλαβέ με. Ἀριστοφάνης Νεφέλαις· τί χρέος ἔβα με Ar.
μετὰ τὸν Πασίαν;
19 Ἐβαρύνετο· κυριώτερον· οὐ δεῖ γὰρ λέγειν ἐβαροῦντο ἢ Thuc.
βαροῦμαι ἢ βαρούμενος οὐδὲ ἄλλην τινὰ κλίσιν ποιεῖσθαι τοῦ βα-
ροῦμαι ῥήματος· ἀλλὰ βαρύνομαι καὶ βαρυνόμενος. καὶ αὖθις·
ὁρῶν δὲ τοῦτο βαρυνομένην τὴν σύγκλητον. E
20 Ἐβαρυώπησαν: βαρεῖς ἔσχον τοὺς ὀφθαλμούς. Δ
21 Ἔβασον: ἔασον. Δ
22 Ἐβάστασεν: ἀντὶ τοῦ ἐδοκίμασεν. πάσας δ' ἰδέας ἐξήτασε πάντα Σ + Ar.
δ' ἐβάστασε φρενί, πυκνῶς τε ποικίλως λόγους ἀνεῦρεν.
23 Ἐβδελύχθησαν: ἀπερρίφησαν. Ps.
24 Ἑβδομάτη: ἑβδόμη. Σ
25 Ἑβδομαῖος: ἕβδομος. ὅτι ἐπὶ ἓξ σελήναις βοῦν ἕβδομον ἔπεττον, Δ Suid.
κέρατα ἔχοντα κατὰ μίμησιν τῆς πρωτοφαοῦς σελήνης. ἕβδομον οὖν βοῦν, ἐπὶ
τῶν ἀναισθήτων. τὸν ἕβδομον βοῦν ἡ σοφὴ παροιμία.
26 Ἑβδομευόμενα: τοῖς ἀποτεχθεῖσι παιδίοις τὰς ἑβδομάδας καὶ Harp.
τὰς δεκάτας ἦγον καὶ τά γε ὀνόματα ἐτίθεντο αὐτοῖς, οἱ μὲν τῇ
ἑβδόμῃ, οἱ δὲ τῇ δεκάτῃ.
27 Ἔβελος: τὸ ξύλον. καὶ Ἔβενος ὁμοίως. Δ
28 Ἐβιάζοντο: καὶ ἐπὶ τῶν πασχόντων Θουκυδίδης. Σ
29 Ἐβληχῶντο: ἐπὶ τῶν προβάτων. Δ

13 = Ambr. 1 cf. Zon. 592 14 cf. An. Ox. 1, 142, 25 ex quo Et. M. 308, 4; sch. B in Γ 134; H 15 Tim. 16 — ἀλλήλους = H 17 cf. sch. A in N 543 (= Herodian. gr. II, 1, 87, 11), Et. M. 307, 27, Ap. S. 61, 30 18 Ar. Nu. 30 c. sch. (Jb. Suppl. 16, 657) 19 — vs. 13 βαρυνόμενος sch. Thuc. 2, 16, 2 ὁρῶν sq. fort. Polyb. vel Diodor. 20 cf. H; l. = Ambr. 51 21 = Ambr. 52 cf. H, Et. M. 308, 27 22 πάσας sq. Ar. Th. 438—40 23 cf. An. Ox. 2, 441, 10 24 = Ba 204, 20, Ambr. 38 25 — ἕβδομος = Ambr. 32 26 Harp. = Lex. rhet. ap. Et. M. 308, 40 = Et. Gen. 27 = Ambr. 30 cf. Zon. 594, Ps. Herodian. 26 28 Thuc. 5, 3, 1 29 l. = L

18 cf. v. Ει 11 14 hinc v. Ει 18. Z 593 16 Z 591 17 Z 593 18 hinc v. Πασίας, Z 594 19 Z 594 22 ἐδοκίμασεν cf. v. B 178. Z 595 24 Z 594 25 ὅτι sq. ex v. A 2082 cf. v. B 458 29 cf. v. B 336. Z 595

1 ἔαρος] ἀέρος AF 2 ἕεμαι] ἕεμα A ad 14 κλίνεται κανών mg. A A(GITFVM)
κανών mg. IT 3 μέμνηνται coll. sch. Vict. Bhd. 4 οἱ om. GIT καὶ
om. A Tim. ad 17 κλίνεται κανών mg A κανών mg. GIT 12 κλίσιν sch.:
κλῆσιν omnes 15 ἔσχον τοὺς] ἔχοντας A 18 τοὺς λόγους GITM
23 om. FV 21 ὅτι—23 παροιμία om. TFV post 26 M 22 πρωτοφαοῦ A
βοῦν] οὖν A 24 καὶ om. A 27 Ἔβαινος A

Δ 30 Ἐβόησεν: ἐφώνησεν.

Δ 31 Ἐβόμβησεν: ἤχησεν.

32 Ἔβισκος: κατὰ ἰατροὺς ἡ μαλάχη, ἡ καὶ ἀλθαία λεγομένη.

33 Ἐβούλετο· ἀλλ' οὐκ ἠβούλετο· Ἀττικώτερον γὰρ τὸ ἐβούλετο.

Δ 34 Ἐβόων: ἔκραζον. καὶ Ἔβωσεν, ἔκραξεν.

Δ 35 Ἐβουλιμίασαν: λίαν ἐπείνησαν. καὶ ζήτει ἐν τῷ βουλιμιᾷ.

Δ 36 Ἐβραγχίασεν: κεκοπίακεν.

Anth. 37 Ἔβρασεν: ἐκ τῆς θαλάσσης εἰς τὴν γῆν ἔρριψε. μυριόπουν σκολόπενδραν ὑπ' Ὠρίωνι κυκηθεὶς πόντος Ἰαπύγων ἔβρασ' ἐπὶ σκοπέλους.

38 Ἑβραῖοι: ἀπὸ Ἔβερ υἱοῦ Σάλα, ὃς ἐμέρισε τοῖς ἔθνεσι τὴν γῆν τοὺς προσοίκους ὀνομάσας Ἑβραίους. οὗτος οὐ συνεπόνησε τοῖς πυργοποιοῖς, καὶ διέμεινεν ἡ διάλεκτος αὐτοῦ ἀμετάβλητος.

Δ 39 Ἐβρόμησεν: ἤχησεν.

Δ 40 Ἐβρόντησεν: ἤχησεν.

Ar. 41 Ἔβρος, ποταμὸς Θρᾴκης, τὰ ῥεύματα ἔχων ἐκ Ῥοδόπης τοῦ Θρᾳκικοῦ ὄρους.

Δ 42 Ἐβρυάζοντο: εὐφραίνοντο.

Ar. 43 Ἐβύνουν: ἐπλήρουν, ἔφραττον. Ἀριστοφάνης· χρυσίῳ τούτων ἐβύνουν τὸ στόμα. τουτέστι τῶν ῥητόρων.

Ar. 44 Ἐγανώθην: ἐχάρην, εὐφράνθην. ἀπὸ τοῦ γάνυμαι. Ὅμηρος· γάνυται δέ τε φρένα ποιμήν. ἀπὸ μεταφορᾶς τῶν λαμπρυνομένων χαλκωμάτων.

Σ 45 Ἐγγαστρίμυθος: ἐγγαστρίμαντις· ὃ νῦν τινες Πύθωνα, Σοφοκλῆς δὲ στερνόμαντιν, Πλάτων ὁ φιλόσοφος Εὐρυκλέα ἀπὸ Εὐρυκλέους τοιούτου μάντεως. Ἀριστοφάνης Σφηξί· μιμησάμενος τὴν Εὐρυκλέους μαντείαν καὶ διάνοιαν. Φιλόχορος δ' ἐν γ' περὶ μαντικῆς καὶ
Greg.? γυναῖκας ἐγγαστριμύθους. αὗται τὰς τῶν τεθνηκότων ψυχὰς ἐξεκαλοῦντο. μιᾷ δὲ αὐτῶν ἐχρήσατο Σαούλ, ἥτις ἐξεκαλέσατο τὴν ψυχὴν Σαμουὴλ τοῦ προφήτου.

Σ 46 Ἐγεγήθει: ἔχαιρεν.

31 = Ambr. 48 33 cf. Thom. 130, 11 34 Ἔβωσεν sq. cf. H, Ambr. 57 35 l. cf. L 36 = Ambr. 47 37 μυριόπουν sq. Anth. 6, 222, 1—2 38 cf. Georg. 52, 5 sqq., Malal. p. 11, 15 sqq. 39 = Ambr. 45 40 = Ambr. 44 41 sch. Ar. Av. 774 42 = H, Ambr. 49 43 Ar. Pac. 645 c. sch. 44 sch. Ar. Ach. 7; N 493 45 — vs. 28 ἐγγαστριμύθους = sch. Pl. Soph. 252c cf. H, Poll. 2, 162, Phot. Ep. 64; Soph. fr. 56; Pl. Soph. 252c; Ar. Vsp. 1019; Philoch. fr. 192, FHG 1, 416 αὗται sq. sch. Greg. sec. Gsf. 46 = Ba 204, 29, H

30—31 Z 595 32 cf. v. A 1265 33 cf. 270 et v. H 24 34—6 Z 595 37 cf. v. K 2635. Z 596 38 Z 594 39—40 Z 596 41 Z 594 42 cf. v. B 567. Z 595 43 cf. v. B 592. Z 596 44 Z 605 45 cf. v. Ε 3721. Greg. Z 599 46 cf. v. Γ 231. Z 605

A(GITFVM) 32 om. FV mg. A 3 μαλάχη] μὲν λάχη A ἀλθαιγομένη A 33 ex mg. AM 4 ἠβούλετο ego: ἐβούλετο AM 6 βουλιμιᾶν M 12 ὠνομάσας FV 24 δ] οἳ GI δν Γ 26 Σφηξί Bas.: Σφιγξί omnes 30 προφήτου] κατὰ φαντασίαν τοῦ δαίμονος ἀπεικασθέντος εἰς τὸν Σαμουήλ add. V 31 Ἐγεγήθη IV

47 Ἐγγελῴη: γελάσοι. Δ

48 Ἐγένετο: ἐγεγόνει. Ἐγεγώνει δὲ διὰ τοῦ ω μεγάλου, ἀντὶ Δ τοῦ ἐβόησεν.

49 Ἐγένετο καὶ Μάνδρωνι cυκίνη ναῦc: λέγεται ἐπὶ τῶν Prov. παρ' ἐλπίδα καὶ παρ' ἀξίαν εὐτυχησάντων, εἶτα θρυπτομένων ἐπὶ τοῖc παροῦcιν. ὁ γὰρ Μάνδρων παρ' Ἀθηναίοις ναύαρχος ἡρέθη, ἀνάξιος ὢν τῆc ἀρχῆc. ἡ δὲ cυκίνη ναῦc τὸ εὐτελὲc δηλοῖ.

50 Ἐγενήθη: ἐπὶ τῆc ποιήcεωc δι' ἑνὸc ν, ἐπὶ δὲ τῆc κυήcεωc διὰ δύο. καὶ Δαβίδ· ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτοc. τουτέcτιν Thdr. οἷόν τινα τροφὴν ποιοῦμαι τὰ δάκρυα.

51 Ἔγγεον: τὸ ἀcφαλέc. Σ?

52 Ἔγεcτα: πολεμικὸν μηχάνημα, ἐκ λίθων καὶ ξύλων καὶ χοῦ E ἐγειρόμενον. τοῦτο δὲ οἱ ἐργαζόμενοι προκάλυμμα τιθέαcιν ἐξ αἰγείων τριχῶν, τῶν λεγομένων Κιλικίων, ἃ δὴ πάχουc τε καὶ μήκουc διαρκῶc ἔχοντα, ἀναρτήcαντεc ἐκ ξύλων μακρῶν ἐπίπροcθεν ἐτίθεντο. ἐνταῦθα γὰρ οὔτε πυρφόροι ὄῖcτοὶ οὔτε ἄλλα βέλη ἐξικνεῖcθαι εἶχον, ἀλλ' αὐτοῦ ἐπὶ τῶν προκαλυμμάτων ἔμενον. οἱ δὲ διὰ τοῦ α ἄγεcτά φαcι τὸ τοιοῦτον μηχάνημα.

53 Ἐτεύcαντο· καί πού τινεc ἀλλήλων ἐγεύcαντο. ἀντὶ τοῦ ἑαυτῶν. οὕτωc Suid. Εὐριπίδηc καὶ Θουκυδίδηc.

54 Ἐγγείνωνται: γεννήcωcιν. Ὅμηροc· εὐλὰc ἐγγείνωνται, ἀικίc- Δ cωcι δὲ νεκρόν.

55 Ἔγγειον: χέρcον, ξηράν. Πιcίδηc· ταύτην, κράτιcτε, τὴν ἀπεξενωμένην ὁδὸν περάcαc, ὥcπερ ἔγγειον δρόμον. Ἔγγειον· ὁ δὲ E κιτεκληρούχει τὴν χώραν διδοὺc ἑκάcτῳ ταλάντιον κλῆρον, οὕτωc ὑπολαμβάνων cτῆναι τὰ κατὰ τὴν πόλιν, προcδεθέντων τῶν ἀνθρώπων ταῖc ἐγγείοιc κτήcεcι. τινὲc ἐπὶ τοῦ ἐγγυτέρω. οὐχ οὕτω δὲ Σ οἱ ῥήτορεc ἔταccον, ἀλλ' ὅταν τὸ ἐν γῇ θέλωcι δηλῶcαι· ὡc Δημοcθένηc ἐν τῷ πρὸc Ἀπατούριον· οὐκ ὄντοc ἐμοὶ πρὸc τοῦτον οὔτε ναυτικοῦ οὔτε ἐγγείου cυμβολαίου. καὶ Λυcίαc· τοῦ νόμου κελεύοντοc

47 = Ambr. 100 cf. H 48 = Ambr. 105—6 49 cf. Zen. III 44 50 vs. 9 ἐγενήθη sq. Thdr. in Ps. 41, 4, PG 80 1169 c 51 aliter Ambr. 90 52 — ἔμενον Proc. bell. 2, 26, 29—30 54 cf. Ap. S. 62, 1, Et. M. 309, 43; — γεννήcωcιν cf. H = sch. T 26; T 26 55 ταύτην—δρόμον Pisid. fr. 80 vs. 27 ἐγγυτέρῳ cf. ad p. 192, 2. vs. 28 οἱ—δηλῶcαι cf. Lex. rhet. ap. Et. M. 309, 17. vs. 29 οὐκ—30 cυμβολαίου Dem. 33, 3. vs. 30 τοῦ—p. 192, 2 ἀποφαίνει Lyg. fr. 265

47 Z 605 48 cf. v. Γ 97 49 hinc v. cúκινον extr. 50 cf. v. Γ 152 51 cf. 168 52 hinc v. A 203, Z 602 53 ex v. A 1188 55 init. Z 599 extr. cf. 63

48 om. GIT; post 48 Ἐγεγόνει: ἐγένετο· γεγώνει (ἐγεγόνει M) δὲ ἀντὶ τοῦ A(GITFVM) ἐβόησεν add. IM cf. Ambr. 8 δὲ om. FVM 14 Κιλίκων A 15 ἀναρτίcαντεc A 53 om. GTFV mg. AI 21 εὖλαι A 24 Ἔγγειον] nov. gl. IFV Ἔγγειον—p. 192, 2 ἐγγύτερον om. T 25 ἑκάcτοc A ταλάντειον M ταλαντιαῖον Bhd. 27 ἐγγείαιc A οὕτωc VM ὅτῳ F 29 τοῦτο V 30 ἐγγύου M Salmas. ἐγγαίου Dem.

τοὺς ἐπιτρόπους τοῖς ὀρφανοῖς ἔγγειον τὴν οὐσίαν καθιστάναι, οὗτος
Σ+Δ δὲ ναυτικοὺς ἡμᾶς ἀποφαίνει. Ἔγγιον δὲ διὰ τοῦ ι, τὸ ἐγγύτερον.
Σ 56 Ἔγγειον κτῆσιν: τὴν ἐπὶ γῆς.
Δ 57 Ἔγειραι: ἔγειραι σὺ αὐτός· διὰ διφθόγγου, ἀντὶ τοῦ ἐγέρθητι· ἔγειρε δὲ τὸν λίθον, διὰ τοῦ ε ψιλοῦ· ἐνέργειαν γάρ τινα σημαίνει.
Ar. 58 Ἐγείρεται τῆς νυκτός: οὕτως οἱ Ἀττικοί.
Synt. 59 Ἐγείρω· αἰτιατικῇ.
Δ 60 Ἐγήγαρτος: ὁ ἐπιχαρής.
Δ 61 Ἐγηγερμένος: διανιστάμενος.
Synt. 62 Ἐγγίζω σοι· δοτικῇ.
ΣΔ 63 Ἔγγιον: ἐγγύτερον. διὰ τοῦ ι.
Δ 64 Ἔγγιστα.
Σ 65 Ἐγκάθετος: δόλιος, κατάσκοπος. καὶ Ἐγκάθηνται, ἀντὶ
Ar. τοῦ ἐγκεκρυμμένοι εἰσίν· οἱ γὰρ κρυπτόμενοι ὑποκάθηνται. μὴ τοῖς
Suid. τρίβωσιν ἐγκάθηνταί που λίθοι. καὶ Ἐγκάθηται, ἐνεδρεύει.
Δ 66 Ἐγκαθειργνύντες: ἀποκλείοντες.
Thdr. 67 Ἐγκάθηται: ἐνεδρεύει. Δαβίδ· ἐγκάθηται ἐνέδρα μετὰ πλουσίων. ἢ ἐν ἕδρᾳ.
Δ 68 Ἐγκαθιέμενοι: ἀφιέντες.
Thdr. +E 69 Ἐγκαθίζουσιν: ἐνεδρεύουσιν. οἱ δὲ ἐγκαθίζουσι λόχους ἐν τοῖς ἐπικαίροις τῶν χωρίων τόποις.
Metaphr. 70 Ἐγκαλινδεῖσθαι σωματικοῖς παθήμασι.
Synt. 71 Ἐγκαλῶ· δοτικῇ. ἐγκαλῶ σοι ῥᾳθυμίαν. Ἐγκαλοῦμαι δὲ αἰτιατικῇ. ἡμεῖς τὰς αἰσχίστας σχεδὸν ὡς πράξεις ἐγκαλούμεθα.
E 72 Ἐγκαλλωπισαμένου: ἐναβρυνομένου. εἴτε τοῦ βασιλέως τῷ ψεύσματι ἐγκαλλωπισαμένου.

55 vs. 2 διὰ τοῦ ι cf. L. ἐγγύτερον = Σ^a, H, Ba 204, 23, Et. M. 309, 15 56 = Ba 204, 22 57 — ψιλοῦ cf. Ambr. 101—2, Ps. Herodian. 271, Et. Gud., Zon. 605 (Reitz. Ztschr. f. neutest. Wiss. 6, 203, GGA 1921, 167) 58 sch. Ar. Nu. 9 sec. Zacher, Jb. Suppl. 16, 653 (= Phryn. fr. 303) 60 cf. Ambr. 62 61 = Ambr. 98 62 = Synt. Laur., An. Ox. 4, 291, 8 63 — ἐγγύτερον = Σ^a, H, Ba 204, 23, Et. M. 309, 15 διὰ τοῦ ι cf. L 64 = Ambr. 137 65 — κατάσκοπος = Ba 205, 1 cf. sch. Pl. Ax. 368d, H, Bk. 96, 30, Phryn. Ecl. p. 333 Ἐγκάθηνται—λίθοι Ar. Ach. 343 c. sch. cf. sch. Ar. Th. 600 66 = Ambr. 107 cf. H 67 — πλουσίων Thdr. in Ps. 9, 8, PG 80, 933a b cf. sch. Pl. Ax. 368d 68 = Ambr. 104 70 fort. Metaphr. 71 — δοτικῇ = Bk. 136, 10, An. Ox. 4, 291, 13, Synt. Laur. Ἐγκαλοῦμαι sq. = An. Ox. 4, 291, 14 cf. Synt. Laur.

60 Z 596 61 Z 606 63 cf. 55 extr. 65 Z 598. extr. ex 67 66 Z 607 67 hinc 65 extr., Z 607 68—9 Z 607 69 cf. 2358 72 Z 607

A(GITFVMB) 2 ἔγγιον δὲ τὸ ἐγγύτερον mg. add. AM post 51 add. T 3 τὴν] τὸν A 63 om. TV 11 τὸ ἐγγύτερον GI 15 που—ἐνεδρεύει om. V 67 om. T post 65 F Ἐγκάθηται: ἐνεδρεύει om. F 18 ἢ ἐν ἕδρᾳ om. FV 70 om. TFV post vs. 23 δοτικῇ G 71 om. TFV post 72 A 23 ἐγκαλῶ alt. —24 ἐγκαλούμεθα om. A ἐγκαλῶ σοι ῥᾳθυμίαν ss. M ἐγκαλοῦμαι—24 ἐγκαλούμεθα ex MB

73 Ἐγκάναξον: ἔνσεισον, προσένεγκε, ἔγχεον. πεποίηται δὲ ἡ λέξις. Ar.
Ἀριστοφάνης· ἴθι νῦν ἄκρατον ἐγκάναξόν μοι πολύν. ἔλκυσον, ἐκρόφησον, ἔκπιε.

74 Ἔγκαρπον: ἔγκυον. ὁ δὲ Φίλιππος Ἀρσενόῃ ὁμιλήσας, εἶτα E
ἐξ ἑαυτοῦ κατέλιπεν ἔγκαρπον, καὶ ὅτε τὴν Ὀλυμπιάδα ἄγεται.

75 Ἐγκάρσιον: πλάγιον. Σ

76 Ἔγκασιν: ἐγκάτοις. ἐντέροις. Σ Hom.

77 Ἐγκατελέγησαν λίθοι: ἀντὶ τοῦ ἐγκατῳκοδομήθησαν. καὶ Thuc.
Ὅμηρος· αἱμασιάς τε λέγων.

78 Ἐγκατῳκοδόμησεν· ὁ δὲ πατὴρ μηνίσας τὸν παῖδα ἐπὶ τῇ ἑαυτοῦ Suid.
παλλακῇ ἐπήρωσεν αὐτὸν καὶ ἐγκατῳκοδόμησεν. ἱστορεῖ Ἱερώνυμος ἐν τῷ περὶ τραγῳδιοποιῶν.

79 Ἐγκαταζεύξας: συνθείς, συναρμόσας. νέας βουλὰς νέοις ἐγ- Soph.
καταζεύξας τρόποις. Σοφοκλῆς.

80 Ἐγκατέσκηψαν: ἐφώρμησαν, ἐπέδραμον, ἐπεδράξαντο. τὰ Σ
Αἰγυπτίων κακά, τὰ ἐν τῇ Ἀλεξανδρείᾳ πόλει, ἐγκατέσκηψε καὶ τῇ E
Ῥώμῃ. Οὐάρων φησίν.

81 Ἐγκατειλεγμένος: τεταγμένος. Δ

82 Ἐγκατειλημμένην: ληφθεῖσαν. Δ

83 Ἐγκαυχῶμαι· δοτικῇ. Synt.

84 Ἐγκαίνια: ἑορτὴ καθ' ἣν ἐκαινουργήθη τι.

85 Ἐγκαινίδες: μέρος τι τοῦ πλοίου. ξύλα ἰθυτενῆ καθά που
Ζυγὰ καὶ ἐγκαινίδας ὕπερθε κατὰ τὸ ἐγκάρσιον ἐνθέντες οὐ διὰ παν- E
τός, ἀλλὰ μόνον ἀμφὶ τὰ ἄκρα καὶ τὸ μεσαίτατον δεσμοῖς περι-
σφίγξαντες.

86 Ἐγκεκορδυλημένος: ἐντετυλιγμένος, ἐγκεκαλυμμένος καὶ συν- Ar.
εστραμμένος ὥστε μηδ' ἀνθρώπου σχῆμα δηλοῦν, ἀλλ' ἐξοχὴν φαίνεσθαι
τῶν στρωμάτων. κορδύλη γὰρ ἰδίως λέγεται τὸ ἐν τῇ κεφαλῇ ἐξέχον
οἴδημα, ὑπὸ πληγῆς εἰς ὕψος καὶ ὄγκον ἀρθέν, ὃ καλοῦμεν κόνδυλον.
Κρέων δὲ ἐν τῷ α′ τῶν ῥητορικῶν κορδύλην φησὶ καλεῖσθαι παρὰ
Κυπρίοις τὸ πρὸς κεφαλῆς προσείλημα, ὃ δὴ παρ' Ἀθηναίοις καλεῖται
κρώβυλον, παρὰ δὲ Πέρσαις νιδάριον. ὅτι δὲ νῦν παρὰ Ἀριστοφάνει
ἐγκεκορδυλημένος, ἀντὶ τοῦ ἐνειλημένος καὶ ἐγκρύψας ἑαυτόν, δῆλον

73 Ar. Eq. 105 c. sch. cf. Et. M. 310, 1, H 75 = Ba 205, 2, H, Et. M. 310, 24, L 76 — ἐγκάτοις = Ba 205, 3, Et. M. 310, 15 ἐντέροις sch. Λ 438 cf. H, Et. M. 310, 7 77 sch. Thuc. 1, 93, 2; c 358 79 Soph. Ai. 736 c. sch. 80 — ἐπεδράξαντο = Ba 205, 5 cf. H τὰ pr. sq. Aelian. fr. 288 81 = Ambr. 109 82 cf. Ambr. 111, H 83 = Synt. Laur. 84 l. cf. L; in Ioh. 10, 22 85 ξύλα sq. Agath. 5, 21, p. 325 86 sch. Ar. Nu. 10 cf. Et. M. 310, 48 = Et. Gen.; ἐντετυλιγμένος = L; συνεστραμμένος = Ambr. 116

73 Z 606 74 Z 603 75 cf. v. Κ 422. Z 603 77 cf. v. Δ 625. Z 606 78 ex v. Α 1842 80 cf. v. λῆξις 2. Z 606 81—2 Z 606 84 Z 604 85 Z 601 86 hinc vv. Κ 2489 extr., νιδάριον, φακιόλιον, Z 607

4 Ἀρσινόῃ ed. pr. 5 αὐτοῦ F 78 om. ATFV. 11 κατεπήρωσεν GI A(GITFVM) 26. 27 συνεγραμμένος A^{ac} 30 δὲ] γὰρ V 32 παρὰ—33 ἐγκεκορδυλημένος om. M 33 ἐγκεκορδυμένος V ἐνειλήμμενος VM cf. sch.

ἐκ τῶν ἐπιφερομένων· ἀλλ', εἰ δοκεῖ, ῥέγκωμεν ἐγκεκαλυμμένοι. ψῦχος γὰρ ἦν, ὡς εἰκός, καὶ περιεκαλύπτοντο. ὅθεν καὶ ε′ περιβόλαια περιβεβλῆςθαι τὸν υἱὸν εἶπεν.

Ar. 87 Ἐγκεκοιcυρωμένην: ἀντὶ τοῦ περιττῶς κεκοςμημένην, τὰ Κοιcύρας φρονοῦcαν. ἔcτι δὲ Ἐρετριακὸν τὸ ὄνομα. οὗτοι δὲ εἰς τρυφὴν διαβάλλονται. αὕτη δὲ ἐγαμήθη Πειcιcτράτῳ ἐπιχειρήcαντι τυραννεῖν. λέγει δὲ τὴν περιεργίαν τῆς κομμωτικῆς· πολλοῖς γάρ, οἷα εἰκός, ἐκέχρητο καλλωπίcμαcιν, τουτέcτι νίμμαcι, καὶ τοῖς τῆς κεφαλῆς πλέγμαcι καὶ τοῖς ἄλλοις, οἷς κοcμεῖcθαι γυναῖκας ἔθος.

Σ Ἐγκεκοιcυρωμένη οὖν οἷον τρυφῶcα· ἀπὸ Κοιcύρας γυναικὸς πλουcίας, Ἀλκμαίωνος γαμετῆς.

Ar. 88 Ἐγκεκύκληcαι: ἀνέcτρεψαι. Ἀριcτοφάνης· οὐκ οἶδ' ὅπη ἐγκεκύκληcαι.

Syn. 89 Ἐγκελεύομαι· δοτικῇ.

90 Ἐγκέλευcτοι: μετὰ προcτάξεως. Ξενοφῶν· προcῆγον τῷ

E Κυαξάρει δῶρα οἱ μὲν καθ' ἑαυτοὺς, οἱ δὲ ὑπὸ Κύρου ἐγκέλευcτοι.

Σ 91 Ἐγκεντρωθείc: ἀcφαλιcθείc.

92 Ἐγκεράcαι: ἐγχεῖν.

Ar. 93 Ἐγκέχοδα: ἀπεπάτηca διὰ φόβον τινά, ἔχεcον. Ἀριcτοφάνης Βατράχοις. κάλει θεὸν εἰc βοήθειαν.

Δ 94 Ἐγκεχρέα.

95 Ἐγκεχείρικα πάντα Τιμολέοντι.

Σ 96 Ἔγκειται: ἐπίκειται, λίαν ἐπιθυμητικῶς ἔχει. Λαχάρης δέ,

E ὀπηνίκα ἀπέδρα, ἁλώcεcθαι μέλλων, τῶν δαρεικῶν κατ' ὀλίγους τοῖς ἐγκειμένοις μεθείc, τελεώτατα τῷ δελεάματι ἐξέφυγε τὸ δυcμενές.

Σ 97 Ἐγκιλικίζεται: κακοηθεύεται, κακοποιεῖ. διεβέβληντο γὰρ ἐπὶ πονηρίᾳ οἱ Κίλικες. ἐντεῦθεν λέγεται καὶ Κιλίκιος ὄλεθρος. ἐγκιλικίζειν γὰρ τὸ κακοηθίζεcθαι.

Σ 98 Ἐγκιccήcωcι: cυλλάβωcιν, ἐπιθυμήcουcιν.

87 — ἔθος sch. Ar. Nu. 48 cf. Et. M. 310, 43 = Et. Gen. (Jb. Suppl. 16, 661) vs. 10 τρυφῶca = τὸ λεξικὸν ap. Et. M. 310, 46 = Et. Gen. Κοιcύρας sq. cf. H 88 Ar. Vsp. 699 c. sch. 90 προcῆγον sq. Xen. Cyr. 5, 5, 39 91 = Ba 205, 8, Ambr. 119 cf. H 93 sch. Ar. Ran. 479 94 = Ambr. 80 96 — ἐπιθυμητικῶς = Ba 205, 4, Σ^{a}; — ἐπίκειται = Ambr. 115, H Λαχάρης sq. falso Dam. fr. 84 cf. Polyaen. ed. Melber 3, 7, 1 97 — ὄλεθρος = H cf. Lex. rhet. ap. Et. M. 310, 54 et Et. Gen. 98 = Ba 205, 10; cυλλάβωcι cf. Ambr. 108; ἐπιθυμήcουcιν cf. H

87 cf. v. K 2568 88 cf. v. A 801. Z 608 90 Z 598 91 Z 608 93 Z 608 97 hinc v. K 1607 extr., Z 608

A(GITFVM) 2 εἰκὼς A 5 οὗτοι—11 γαμετῆς] καὶ τὰ ἑξῆς F 6 τροφὴν AI ἐπιχειρίcαντι A 8 τουτέcτι—9 ἔθος om. VM 11 γαμετῆς post vs. 19 τινά M, γαμετῆ V 16 Κυαξάρει F^{ac}: Κυαξάρῃ rell. 92 ex A^{ms}I (post 88) 19 ἔχεca T 21 Ἐγκενχρέα A Ἐγκέγχρεα G 95 non nov. gl. omnes 22 Ἐγκεχείρικε A Ἐγκεχείρηκα V 25 δελεάcματι V δυcμερές A δυcχερές Gsf. 29 ἐπιθυμήcωcιν F Ba Hes. sed cf. Zon. 608

99 Ἔγκλητον· ἔγκλητον λέγοντες δικαστήριον καὶ δίκην ἔγκλητον, Σ
ἐγκαλέσασθαι οὐ λέγουσιν.
100 Ἐγκλημάτισιν. Δ
101 Ἐγκλῖναι· αἰτιατικῇ. Synt.
102 Ἔγκλισις· Ἀναξαγόρας φησὶν ὥστε κατὰ κορυφὴν τῆς γῆς τὸν Phil.
ἀεὶ φαινόμενον εἶναι πόλον, ὕστερον δὲ τὴν ἔγκλισιν λαβεῖν. τουτέστι
παρατροπήν.
103 Ἐγκολεήσατο: καθῆκεν εἰς τὸν κολεὸν τὸ ξίφος.
104 Ἐγκολπίζονται· οἱ δὲ βάρβαροι τὸ πόλισμα ἐγκολπίζονται, Ε
προσχωρήσειν Ῥωμαίοις ὑποκρινάμενοι, οἱ υ′ τὸν ἀριθμόν.
105 Ἔγκομμα: τὸ πρόσκομμα. Δ
106 Ἐγκομβώσασθαι· Ἀπολλόδωρος Καρυστίοις Ἀπολιποῦσι· τὴν Σ
ἐπωμίδα πτύξασα διπλῆν ἄνωθεν ἐνεκομβωσάμην. Ἐπίχαρμος· εἴγε
μὲν ὅτι κεκόμβωται καλῶς. Ἀμύκῳ.
107 Ἐγκονέουσα: διεγείρουσα, ἐποτρύνουσα. δεινὸν μαιμώσαις Anth.
ἐγκονέουσα κυσίν.
108 Ἐγκόνει: ἀντὶ τοῦ σπεῦδε· μέλλοντας γὰρ ἐσθίειν ἐπέχεις Ar.
δειπνεῖν. κατακωλύεις πάλαι. καὶ Ἐγκονεῖν, ἐνεργεῖν. Σ
109 Ἐγκονεῖτε: ἐνεργεῖτε, ταχύνατε. ἢ ἐπεὶ οἱ τρέχοντες κόνεως Ar.
πληροῦνται ἢ ἀπὸ τῶν ἀθλητῶν· ἐν κόνει γὰρ ἐκείνων τὸ ἔργον· ἢ
ὅτι πρὸ τοῦ τῆς κόνεως ἅψασθαι νικῶσιν. Ἀριστοφάνης Πλούτῳ· ἴτ',
ἐγκονεῖτε, σπεύδεθ', ὡς ὁ καιρὸς οὐχὶ μέλλειν, ἀλλ' ἔστ' ἐπ' αὐτῆς
τῆς ἀκμῆς.
110 Ἐγκονητί. Δ
111 Ἐγκονίδες: αἱ ὑπηρέτιδες. Δ
112 Ἐγκοπεύς: ἐργαλεῖον λιθοξόον. Δ
113 Ἐγκοπή: ἔνεδρον, ἐμπόδιον. χωρὶς ἐγκοπῶν καὶ κλημακτή- Σ
ρων οὐκ ἦν ἐπιβῆναι τῆς πέτρας. Ε
114 Ἐγκορδυλῶ· δοτική. Synt.
115 Ἐγκοτῶ σοι· ἐνεκότει Ἡσαῦ Ἰακὼβ τῷ ἀδελφῷ αὐτοῦ. Synt.
116 Ἐγκώμιον: ἔνδημον. κώμη γὰρ τὰ τοῦ δήμου συστήματα. Σ
καὶ Ἐγκωμιάζω σε· αἰτιατικῇ. Synt.

100 cf. L 102 — λαβεῖν Laert. 2, 9 103 cf. H 104 Th. Simoc. 3, 5, 12—13 105 = Ambr. 88, H 106 = Et. Gen. ap. Miller, Mél. 97, Et. M. 311, 8 cf. Phot. Ep. 227; Apollod. Caryst. fr. 4 (3, 281 K.), Epicharm. fr. 7 107 δεινὸν sq. Anth. 6, 268, 4 108 — πάλαι Ar. Ach. 1088 c. sch. cf. H, sch. Ω 648 Ἐγκονεῖν sq. cf. Et. M. 311, 11 = Et. Gen., L, H, sch. Ω 648 109 Ar. Pl. 255—6 c. sch. 110 = Ambr. 138 111 cf. L 112 = Ambr. 59 113 — ἐμπόδιον = Ba 205, 9 cf. H 115 ἐνεκότει—Ἰακὼβ Gen. 27, 41 116 — συστήματα H, sch. Luc. 227, 23, Ba 205, 15 Ἐγκωμιάζω sq. = An. Ox. 4, 291, 16

102 Z 600 105 Z 604 107 cf. v. μαιμώωσα 111 Z 601 112 Z 598 113 cf. v. K 1776. Z 601 115 σοι cf. 1229

1 ἔγκλητον alt. om. M 2 οὐ] οὐ δὲ A 100 om. GFVmg.A 5 Ἔγκλισις FV: A(GITFVM) Ἔγκλησις A Ἔγκλιν GT Ἔγκλησιν I 6 εἶναι] εἶκε A 10 ὑποκρινόμενοι GI οἱ υ′ om. in lac. I, οἱ del. Bekk. 12 Καρύστιος Phot. Et. Gen. Gataker Ἀπολιποῦσι] Ἀπολείπουσι Et. Gen. Ἀπολειπούσῃ Phot. 13 ἐκομβωσάμην V 14 Ἀμίκῳ A Ἀμύκων GIT ad 111 ἀγκονίδες mg. A 27 κλιμακτήρων Kust. 29 δοτικῇ GIM: γενικῇ A 115 om. FV 32 σε A: om. GIT

Σ 117 Ἐγκώμιον ἐπαίνου διαφέρει· ἔπαινος μὲν γάρ ἐστι λόγος ἐπαινετικὸς μίαν πρᾶξιν ἐπαινῶν, ἐγκώμιον δὲ λόγος ἐγκωμιαστικὸς πολλὰς ἐν ἑαυτῷ πράξεις περιλαμβάνων. καὶ ἐπιστολὴ ἡ μίαν πρᾶξιν ἐπαινοῦσά τινος ἐπαινετικὴ καλεῖται, ἡ δὲ πολλὰς ἐγκωμιαστική.

Σ 118 Ἔγκοτον: ἐχθρόν, ἐνδιάθετον. καὶ Ἐγκότως, ὀργίλως. τίς φθόνος αἰὲν Θησείδας ἀγαθῶν ἔγκοτος αἰὲν ἔχει; Ἔγκοτος οὖν ἡ ἐπίμονος ὀργή. Anth.

Δ 119 Ἐγκώπαια: τὰ περιδέρραια.

Δ 120 Ἐγκραγγάνειν: ἐμβοᾶν.

Σ 121 Ἐγκραγών: λόγοις κατεξαναστάς, διαλοιδορησάμενος. δοτικῇ συντάσσεται.

Δ 122 Ἐγκρατέστερος. Θουκυδίδης· τήν τε ἀρχὴν ἐγκρατεστέραν ἐποίησαν καὶ κατεστήσαντο, καὶ αὐτοὶ ἐπὶ μέγα δυνάμεως ἐχώρησαν. E

Phil. 123 Ἐγκράτεια: διάθεσις ἀνυπέρβατος τῶν κατ' ὀρθὸν λόγον ἢ ἕξις ἀήττητος ἡδονῶν. ὅτι ἔστι δεικνύναι μεταλαβόντας, ὡς ποτὲ μὲν ὁ σπουδαῖος οὐ σώφρων, μεταλαβόντα τὸν σώφρονα εἰς τὸν ἐγκρατῆ· εἰ γὰρ τοῦ μὲν ἐγκρατοῦς οὐ συμφωνεῖ τὰ μέρη τῆς ψυχῆς πρὸς ἄλληλα, τοῦ δὲ σπουδαίου συμφωνεῖ, οὐκ ἂν εἴη ὁ σπουδαῖος ἐγκρατής· ὥστε οὐδὲ σώφρων, εἰ ταὐτὸν ἡ σωφροσύνη τῇ ἐγκρατείᾳ. πάλιν δ' αὖ δύναταί τις δεικνύναι τὸν σπουδαῖον ἐγκρατῆ μεταλαβὼν τὴν ἐγκράτειαν εἰς τὴν σωφροσύνην, εἴ γε ὁ μὲν σπουδαῖος ἐν ὁμολογίᾳ τῶν τῆς ψυχῆς δυνάμεων ⟨πρὸς⟩ ἀλλήλας εἴη, ἡ δὲ τῶν τῆς ψυχῆς δυνάμεων πρὸς ἄλληλα σωφροσύνη. οὕτω καὶ ὁ Δημοσθένης κατασκευάσαι βουληθείς, ὅτι μὴ δεῖ χάριν ἔχειν Φιλίππῳ ὑπὲρ ὧν ἔδωκε, μετέλαβε τὸ ἔδωκεν εἰς τὸ ἀπέδωκε· καὶ ὁ Θουκυδίδης βουληθεὶς παροξῦναι τοὺς Ἀθηναίους πρὸς τοὺς Μιτυληναίους, τὴν ἀπόστασιν αὐτῶν εἰς τὴν ἐπανάστασιν μετέλαβε. καὶ ἡ συνήθεια δὲ πλήρης τῆς τοιαύτης χρήσεως, μεταλαμβάνοντες ἀεὶ τὰ ὀνόματα πρὸς τὰ ἐμφαντικώτατα, τὸ τέμνειν εἰς τὸ κατατέμνειν, τὸ ἐσθίειν εἰς τὸ κατεσθίειν, τὸ μειδιᾶν εἰς τὸ γελᾶν· μεταλαμβάνουσι δὲ καὶ τὸν πανοῦργον εἰς τὸν φρόνιμον, τὸν δὲ τολμηρὸν εἰς τὸν ἀνδρεῖον, τὸν πρᾶον εἰς τὸν ἀργὸν καὶ ἀκίνητον, τὸν ἐλευθέριον εἰς τὸν ἄσωτον,

117 — περιλαμβάνων = Choer. Epim. Ps. 133, 30 ex quo Et. Gud. cf. sch. Isocr. 9, 5, Hermogen. ed. Rabe 15, 6, Nicol. Rhet. Gr. 11, 49, 3; Thom. 205, 2 118 — ἐνδιάθετον Tim. Ἐγκότως, ὀργίλως = Ba 205, 7, H τίς—ἔχει Anth. 7, 40, 3—4 119 = Ambr. 86 120 = H 121 διαλοιδορησάμενος cf. Synes. ep. 79, 225b 122 τὴν sq. Thuc. 1, 118, 2 123 — vs. 15 ἡδονῶν Laert. 7, 93. vs. 15 ἔστι—p. 197, 2 μεταλαμβάνει Alex. Aphr. 157, 18—158, 7. p. 197, 3 δεῖξαι sq. l. l. 176, 20—7

118 Anth. hinc v. Θ 366 119 Z 604 120—1 Z 608 123 hinc 804, Z 600, v. τολμηρός, v. οἰκονομία

A(GITFVM) 118 extra ord. 5 Εἰκότως V 6 Ἔγκοτος—7 ὀργή om. ATFV mg. ad 117 G post 115 I 10. 11 δοτικῇ συντάσσεται om. T 14 λόγων GIFM 16 μεταλαβόντος A cf. Alex. 22 ⟨πρὸς⟩ suppl. pr. = Alex. δὲ om. V 23 οὕτως FM Alex. 25 ἀποδέδωκεν M 29 τέμνειν] τέλειον GIT 30 μεταλαμβάνων GIT δὲ om. GIT

τὸν οἰκονομικὸν εἰς τὸν ἀνελεύθερον. οὕτω καὶ Καλλικλῆς ἐν τῷ Γοργίᾳ παρὰ τῷ Πλάτωνι τοὺς σώφρονας ἠλιθίους μεταλαμβάνει. δεῖξαι δὲ θέλοντες ὅτι ὁ σώφρων οὐκ ἔστιν ἐγκρατής, μεταληψόμεθα τὸν ἐγκρατῆ εἰς τὸν αὐτοκρατοῦντα (τοῦτο γὰρ σημαίνει τὸ ὄνομα), καὶ δείξαντες ὅτι ἔνθα τὸ κρατοῦν, ἐνταῦθα καὶ κρατούμενόν τι ἔσται, τὸ δὲ κρατούμενον ἀντισπᾶν καὶ μαχόμενον κρατεῖται, ἔνθα δὲ τὸ μὲν κρατοῦν τὸ δὲ κρατούμενόν ἐστι τῆς ψυχῆς, οὐκ ἔστιν ἐνταῦθα ὁμολογία, ὁ δὲ σώφρων ὁμολογοῦντα ἔχει τὰ τῆς ψυχῆς μέρη πρὸς ἄλληλα. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἀκρατοῦς καὶ ἀκολάστου.

124 Ἐγκράτεια σωφροσύνης διαφέρει· ἡ μὲν γὰρ σωφροσύνη ἠρεμαίας ἔχει τὰς ἐπιθυμίας, ἡ δὲ ἐγκράτεια σφοδράς. ἐγκρατὴς λέγεται οὐ κατὰ ἀπάθειαν, ἀλλὰ διὰ τὸ πάσχειν μέν, μὴ ἄγεσθαι δὲ ὑπὸ τῶν παθῶν. καὶ Ἐγκρατής, ὁ ἐπικρατέστερος. Phil. Δ

125 Ἐγκράτεια: ἡ τῶν κακῶν ἀποχή. Δ

126 Ἐγκρατής· ὁ δὲ πολλάκις ἐνόσησε, καὶ ἀνέρρωσεν αὐτὸν ὁ θεός. ἐπεὶ δὲ ἐγκρατὴς ἐγένετο ἑαυτοῦ καὶ τῆς ὑγιείας, τοῦ σωτῆρος οὐδεμίαν ὥραν ἐτίθετο. καὶ αὖθις· ἔλεγε δὲ ὁ λεωργὸς τῶν φθανουσῶν ἰάσεων τύχῃ μᾶλλον ἢ βουλήσει θεοῦ ἐγκρατὴς γεγονέναι. E E

127 Ἐγκρίνει: συντάττει. οὗτι που τοὺς μὲν ἐγκρίνει, τοὺς δὲ ἀποκρίνει.

128 Ἔγκρις: γλύκασμα ἐξ ἐλαίου ὑδαρές. Σ

129 Ἔγκρισις: ἱερὸς ἀγών.

130 Ἐγκρυφῆ.

131 Ἐγκρυφίας: ἄρτος ἐν σποδῷ κεκρυμμένος. τὰ δὲ γ′ μέτρα τῆς σεμιδάλεως, ἐξ ὧν ὁ ἐγκρυφίας ἐγίνετο, τὴν τριήμερον τοῦ ἄρτου τῆς ζωῆς ταφὴν ὑπαινίττεται.

132 Ἐγκυκλήθητι· εἰ μὴ σχολὴν ἔχεις κατελθεῖν, ἐγκυκλήθητι, τουτέστι συστράφηθι. ἐγκύκλημα δὲ λέγεται μηχάνημα ξύλινον, τροχοὺς ἔχον, ὅπερ περιστρεφόμενον τὰ δοκοῦντα ἔνδον ὡς ἐν οἰκίᾳ πράττεσθαι καὶ τοῖς θεαταῖς ἐδείκνυεν. λέγει οὖν, ὅτι κἂν φανερὸς γενοῦ. Ar.

133 Ἐγκύκλιον: ἁπανταχοῦ, καθολικόν. Εὐνάπιος περὶ Καρίνου φησίν· ἀλλ' ἦν ἐγκύκλιον αὐτῷ καὶ πρόχειρον τὸ τὰ τοιαῦτα ἁμαρ- Σ E

124 — σφοδράς Alex. Aphr. 121, 27—8. vs. 11 ἐγκρατὴς—13 παθῶν l. l. 345, 12—14 vs. 13 Ἐγκρατής cf. Ambr. 68 125 l. = Ambr. 81 126 — ἐτίθετο Aelian. fr. 41 ἔλεγε sq. fort. Aelian. 127 οὗτι sq. Synes. attr. Tittm. 128 = Ba 205, 12, H 129 cf. Artem. 1, 59 131 in Gen. 18, 6 132 sch. Ar. Ach. 408 133 — καθολικόν = Ba 205, 13, Et. M. 311, 51 cf. H ἀλλ'—ἁμαρτάνειν Eunap. fr. 4, FHG 4, 14

124 Z 600 et 597 126 Aelian. cf. v. A 2315 127 Z 609 128—9 Z 600 131 hinc v. σεμίδαλις 133 Eunap. cf. v. K 391 et v. ὕβρις l. Z 604 cf. 602

3 δεῖται A 4 αὐτὸν κρατοῦντα A αὐτοῦ κρατοῦντα FV cp. Alex. A(GITFVM) 5 καὶ τὸ κρατούμενόν F Alex. 6 δὲ alt. om. IFVM 8 μέρη om. FV 10 γὰρ om. A 11 ἠρεμαίας] ἀνειμένας GT ἐγκρατὴς] nov. gl. GITV 15 ἐνόησε V 17 δὲ om. M 22 Ἔγκρις FV 130 ex IM 25 ἐγένετο T 27 Ἐκκυκλήθητι cett. sch. 30 ἐγένου FVM 32 τὰ om. AGIT

Ar. τάνειν. τουτέστιν εἰς παῖδας ὑβρίζειν. οἱ δὲ ἀξιώματος ἀντιποιούμενοι τὴν ἐγκύκλιον ἐπαιδεύοντο παιδείαν. ἡ δὲ ἐγκύκλιος παιδεία διὰ πάσης ἐχώρει παιδεύσεως καὶ ῥυθμοῦ καὶ παντὸς κινήματος.

134 Ἐγκύκλιος: ἡ ἐτήσιος τῶν χρημάτων δόσις. τοῦ δὲ ΧαγάE νου τοῦ ἡγεμόνος τῶν Ἀβάρων ἐξαιτοῦντος τὸν ἐγκύκλιον πλοῦτον, 5
E ὃν ἀν' ἔτος ἕκαστον παρὰ Ῥωμαίων ἐλάμβανον. καὶ αὖθις· ὁ δὲ
E στρατηγὸς τὰς ἐγκυκλίους διανομὰς τῶν χρημάτων αὐτοῖς ἐποιήσατο.
E Θεοφύλακτος Σιμοκάτης. καὶ αὖθις· ἡ ἐγκύκλιος τῶν χρημάτων
Σ ἐπίδοσις τῷ Ῥωμαικῷ ἐχεῖτο συντάγματι. Ἐγκύκλια λέγεται καὶ
τὰ ποιητικά. 10

Σ 135 Ἔγκυκλον: ἱμάτιον. Ἀριστοφάνης· ἐγώ γ' ἂν κἂν εἴ με
Ar. χρεὶ' ἦ τοὔγκυκλον τουτὶ καταθεῖεν. καὶ ἀλλαχοῦ· φέρ' ἔγκυκλον τουτὶ λάμβαν' ἀπὸ τῆς κλινίδος. καὶ δῆλον, ὡς τὸ μὲν ἔγκυκλόν ἐστιν ἱμάτιον, ὁ δὲ κροκωτὸς ἔνδυμα.

Δ 136 Ἐγκύμονος: ἐγκύου οὔσης. καὶ Ἔγκυος γυνή. 15

Σ 137 Ἐγκυρῆσαι: ἀντὶ τοῦ ἐντυχεῖν. οὕτως Κρατῖνος.

Σ 138 Ἐγκύρτια: τὰ ἐν τοῖς κύρτοις ἐνυφάσματα. Πλάτων δὲ χρῆται ἐν Τιμαίῳ ἐπὶ τῆς φάρυγγος τῇ λέξει.

139 Ἐγκυτί: ἀντὶ τοῦ ἐγγύς. οὕτως Καλλίμαχος.

Σ 140 Ἐγλιξάμην: ἐπεθύμησα. οὕτως Πλάτων. 20

Δ 141 Ἐγγλωττογάστωρ. Ἐγγλωττογάστορες, οἱ ἀπὸ τῆς
Σ γλώττης βιοτεύοντες, ὡς Ἐγχειρογάστορες, οἱ ἀπὸ τῶν χειρῶν.

Ar. 142 Ἐγγλωττοτυπεῖν: τὴν γλῶτταν ψοφεῖν τὰ κατορθώματα καὶ σεμνολογεῖν τὰ ἐκείνων κατορθώματα καὶ ἀεὶ ἐπὶ τῆς γλώττης ἔχειν.

143 Ἔγνω: ἀντὶ τοῦ ἔκρινεν. ἔγνω οὖν αὐτοὺς ὁ βασιλεὺς 25
E ἀδικεῖν. οἱ δὲ φεύγουσι. καὶ Ἔγνωσαν, ἀντὶ τοῦ ἔκριναν. καὶ
EL τὸν Μαγκῖνον ἐκδοθῆναι τοῖς Νομάνταις ἔγνωσαν.

144 Ἐγνώκειτε.

133 vs. 1 οἱ sq. sch. Ar. Eq. 189 134 τοῦ—ἐλάμβανον Th. Simoc. 1, 8, 7 cf. EL 223, 11, 15 vs. 6 ὁ—7 ἐποιήσατο Th. Simoc. 6, 6, 4 ἡ—συντάγματι Th. Simoc. 2, 10, 5 Ἐγκύκλια sq. = Ba 205, 14 cf. sch. Greg. Naz. PG 36, 914c 135 — ἱμάτιον Paus. Att. fr. 144 ap. Eust. I. 976, 14 ἐγώ—καταθεῖεν Ar. Lys. 113—4 c. sch. φέρ' sq. Ar. Th. 261 c. sch. 136 cf. H, Ambr. 76 137 cf. Bk. 96, 14 (= Phryn. fr. 304?); Crat. fr. 35 138 Tim.; Pl. Tim. 78b 139 cf. Philop. Τονικὰ Παραγγ. p. 38, 21; l. cf. Ambr. 143 (= Et. M. 311, 42); Call. fr. 35 K., 311 S. 140 — ἐπεθύμησα = H; Pl. com. fr. 241 141 Ἐγγλωττογάστωρ = Ambr. 64 Ἐγλωττογάστορες sq. = Et. Gen., Ael. D. fr. 142 ap. Eust. O. 1825, 14 cf. H, Ambr. 64 et 66; Et. M. 313, 29 = Bk. 230, 13; Poll. 2, 108, Eust. O. 1471, 4 (ex Ar. Byz. Jb. Suppl. 12, 348) 142 sch. Ar. Eq. 782 143 vs. 26 καὶ alt. sq. Cass. D. fr. 79 (1 p. 325) = EL 415, 8

134 Z 600 135 cf. v. K 1809. hinc v. K 2460, Z 603 136 Z 601
138 Z 603 139 cf. 1506. Z 612 140 cf. v. Γ 291. Z 609 141 cf. 181
142 Z 605 143 hinc v. Μάγκινον, Z 609

A(GITFVM) 9 ἐχεῖτο] ἐχρῆτο GIT 11 Ἀριστοφάνης om. GIT κἂν om. GITM εἴ με AFV: εἶμι ITM εἴ μοι G 20 Πλάτων] Πλωτῖνος AGIT 25 αὐτὸς GIT 27 Μάγγινον Δ 144 om. FV 28 Ἐγνώκειται A

145 Ἐγνωμάτευεν· ὁ δὲ τῶν βαρβάρων ἡγούμενος ἐγνωμάτευε Ε
ξὺν τῷ ἀδελφῷ καὶ ἔλεξεν, ὡς ἐγὼ μὲν ἐνέδραν ποιήσομαι, σὺ δὲ
χρῶ ἀκροβολισμοῖς καὶ τοξεύμασιν. ἀντὶ τοῦ βουλὰς ἐδίδου καὶ
γνώμας. καὶ αὖθις· ὁ δὲ ἐγνωμάτευε πάντῃ ἀξύμφορον εἶναι EL
Πέρσαις φιλίαν θέσθαι ὡς πρὸς Τούρκους.
146 Ἐγνωσμένον: βεβουλημένον. ὁ δὲ φράζει, ὡς ἐγνωσμένον Ε
αὐτῷ εἴη ἔτι νυκτὸς ἐμβαλεῖν εἰς τοὺς πολεμίους.
147 Ἐγνωσμένον: κεκριμένον. Ἀρριανός· ἐγνωσμένον δὲ εἶναι Σ
σφίσιν, ἐπειδὰν ἐλάσωσιν ἐπ' αὐτοὺς οἱ Μαυρούσιοι, τοὺς μὲν κατὰ Ε
πρόσωπον αὐτῶν φεύγειν ὡς πεφοβημένους, τοὺς δὲ ἐφ' ἑκάτερα
τεταγμένους ἐς τὰ πλάγια ἐμβάλλειν τῶν διωκόντων.
148 Ἔγωγε: κατὰ ε′ τρόπους διαιρεῖται σύνθεσις ἀπὸ παραθέσεως·
κατὰ τόνον, κατὰ γραφήν, κατὰ πνεῦμα, κατὰ εἰσβολὴν μορίου, κατὰ
διάλεκτον. κατὰ τόνον ὥσπερ τὸ πάροδος· κατὰ γραφὴν ὥσπερ
τρισχίλιοι· κατὰ πνεῦμα ὡς ἔνεστι καὶ ἔξεστι· κατὰ εἰσβολὴν μορίου
ὡς τό, ὡσεὶ χνοῦς· κατὰ διάλεκτον ὥσπερ ἔγωγε.
149 Ἐγώγυον: ἀρχαῖον. Ὠγύγιον, τὸ ἀρχαῖον. Δ
150 Ἐγῴδα: ἐγὼ γινώσκω. περὶ Αἰσχύλου· ἐγῴδα τοῦτον καὶ Ar.
διέσκεμμαι πάλαι, ἄνθρωπον ἀγριοποιόν.
151 Ἐγὼ δὲ καὶ σὺ ταὐτὸν ἕλκομεν ζυγόν: ἐπὶ τῶν ὅμοια Prov.
καὶ παραπλήσια πασχόντων.
152 Ἐγὼ δ' ὁ πάντα κωφὸς ὁ πάντ' ἄϊδρις κατημέλησα: Soph.
ἀντὶ τοῦ ὁ ἀναίσθητος.
153 Ἐγῷμαι: ἀντὶ τοῦ ἐγὼ οἶμαι. Δ
154 Ἐγὼ μὲν ἐκ τοῦ καλοῦ εἰς καλὸν μετήνεγκα: ἐκ τοῦ Ar.
κιθαρῳδικοῦ καλοῦ ὄντος εἰς τὸ τραγικόν. ἐπὶ τῶν ὁμοίως τι πρατ-
τόντων.
155 Ἐγὼ ποιήσω πάντα κατὰ Νικόστρατον: ὁ Νικόστρατος Prov.
οὗτος κωμῳδίας ἦν ὑποκριτὴς δοκῶν κάλλιστα ὑποκεκρίσθαι.
156 Ἐγώ σου ὀναίμην: ἐγώ σου ἀπολαύσω. Σ
157 Ἐγγώνιος τράπεζα: ἡ μὴ στρογγύλη καὶ μὴ ἄγαν περιφερής. Ε
ἐν τῷ συνδείπνῳ τῷ τοῦ Μαικήνα τράπεζα ἐγγώνιος ἦν ὑπὸ τῇ

145 vs 1 ὁ—3 τοξεύμασιν Men. Prot. fr. 18, FHG 4, 225 = EL 450, 31—2
147 — κεκριμένον = Ba 205, 18 ἐγνωσμένον alt. sq. Arr. Parth. fr. 53
149 — ἀρχαῖον pr. = Ambr. 84, H. Ὠγύγιον sq. = Ba 420, 23 cf. H
150 ἐγῴδα alt. sq. Ar. Ran. 836—7 151 = Zen. III 43, Philol. Suppl. 6, 231
n. 43 152 Soph. Ai. 911 c. sch. 153 = Ambr. 113, H 154 Ar. Ran.
1298 c. sch. 155 cf. Paroem. ed. Gsf. 38, n. 364 156 = Ba 205, 27, H,
Ambr. 120; l. Pauli Ep. Philem. 20 157 ἐν sq. Aelian. fr. 108

145 hinc v. A 997, Z 609 146—7 Z 609 148 Z 611 149 Z 604
150 cf. v. A 358. Z 611 151 cf. v. τὴν ἐμήν 152 cf. v. A 678 153 cf.
v. ᾠμαι. Z 611 155 hinc v. Νικόστρατος 2 extr. 156 cf. v. ὀναίμην
157 cf. v. I 428 et v. Μαικήνας. Z 599

6 βεβουλευμένον Kust. 9 ἐπ'] εἰς M 18 παρὰ Αἰσχύων V 32 τῷ alt. A (GITFVM)
om. FVM Μακήνα AGIT ἐγκώνιος A ὑπὸ] ἐπὶ V

κλισίᾳ, τὸ μέγεθος μεγίστη καὶ κάλλος ἄμαχος· καὶ οἷα εἰκὸς ἐπῄνουν ἄλλοι ἄλλως αὐτήν. ὁ δὲ Ἰόρτιος οὐκ ἔχων ὅτι παρ' ἑαυτοῦ τερατεύεσθαι, σιγῆς γενομένης, ἐκεῖνο δὲ οὐκ ἐννοεῖτε, ὦ φίλοι συμπόται, ὡς στρογγύλη ἐστὶ καὶ ἄγαν περιφερής. ἐπὶ τοίνυν τῇ ἀκράτῳ κολακείᾳ, ὡς τὸ εἰκός, γέλως κατερράγη. Πλούταρχος.

Σ 158 Ἐγρήγορεν: ἔνηφεν.

Δ 159 Ἐγρήγορος: ὁ νηφάλεος.

Σ | 160 Ἐγρήγοροι: ἄγγελοι. οἱ τοῦ Σὴθ υἱοί.

Δ 161 Ἐγρηγορώς: ἄγρυπνος διατελῶν.

Suid. 162 Ἔγρυπε· σεισμός, φησί, γέγονε, καὶ ἔγρυπεν ἡ γῆ. Μελάνθιος. καὶ ζήτει ἐν τῷ γρυπάνιον.

Σ 163 Ἐγγύη: ἡ ἀσφαλὴς ἀντιποίησις καὶ σταθηρά. ἀπὸ τοῦ γῆ, γύη, καὶ ἐγγύη. καὶ γὰρ ἡ γῆ τῶν ἄλλων στοιχείων παγιωτέρα.

Δ 164 Ἐγγύη: ἡ περί τινος ἀναδοχή.

Σ 165 Ἐγγυήσασθαι· αἰτιατικῇ. μνηστεύσασθαι. καὶ Ἐγγυητὴ Εγυνή, ἡ μεμνηστευμένη. Προκόπιος· ἡ δὲ ἐγγυητὴ ὕστερον Βελισαρίῳ γυνὴ γέγονεν ἤδη παίδων μήτηρ γενομένη πολλῶν. εὐθὺς οὖν ἠξίου μοιχεύτρια τὸ ἑξῆς εἶναι.

Σ 166 Ἐγγύθετος: ὁ προσεδρεύων τόπος.

Harp. 167 Ἐγγυθήκη: σκεῦός τι πρὸς τό κρατῆρας ἢ λέβητας ἤ τι τοιοῦτον οὐκ ἀλλότριον ἐπικεῖσθαι ἐπιτήδειον εἶναι.

Σ 168 Ἔγγυον: ἀσφαλές. καὶ Ἔγγυος, ὁ ἐγγυητής. καὶ Ἐγγυωμένη, ἀσφαλιζομένη. Πισίδης· νῦν πανσέληνος ἡ σελήνη λαμπέτω, τοῦ Χοσρόου λήγοντος, ἐγγυωμένη Πέρσας τὸ λοιπὸν μὴ θεουργεῖν τὴν κτίσιν.

Σ 169 Ἐγγυῶ· δοτικῇ. ἐκδίδωμι.

Δ Synt. 170 Ἐγγυώμεθα: ἀντιφωνοῦμεν. Ἐγγυῶμαί σοι δὲ ἀντιφωνῶ.

Synt. 171 Ἐγγυμνῶ· αἰτιατικῇ.

158 = Ba 205, 19 159 = Ambr. 60 160 cf. Cedren. 1 p. 16, 20—1; — ἄγγελοι = Ba 205, 20 161 cf. Ambr. 99 et 142 163 cf. Et. M. 309, 18 = Et. Gen. 164 cf. Et. M. 309, 35; l. = L 165 μνηστεύσασθαι = Ba 204, 24, Et. M. 309, 36 vs. 16 ἡ sq. Proc. h. a. 1, 12 166 = Ba 204, 25 167 Harp. 168 — ἀσφαλές = Ba 204, 26, Ambr. 87, H. Ἔγγυος, ὁ ἐγγυητής cf. H, Bk. 245, 32 νῦν sq. Pisid. Heracl. 1, 6 169 — δοτικῇ = Synt. Gud.; l. = Ambr. 125 ἐκδίδωμι = Ba 204, 27, H 170 — ἀντιφωνοῦμεν = Ambr. 97 Ἐγγυῶμαι sq. = Bk. 140, 8 171 = Synt. Gud.

161 Z 609 162 ex v. Γ 468 163 Z 599 165 Z 605 et 599 166 Z 596 167 Z 599 168 cf. 51. Z 602, 596, 605 169 Z 605 170 Z 605

A(GITFVM) 1 κλισίᾳ] ἐκκλησίᾳ A 2 Ἰόρπιος G Ἰόρσιος I 3 τερατεύσαιτο in v. I 423 ed.pr. σιγῆς] οἱ γῆς V 4 τριγγύλη FV τῇ om. GIT 5 Πλούταρχος om. FV 7 νηφάλιος V Ambr. 162 om. GTFV 10 Μελάνθιος—11 γρυπάνιον om. in lac. I 12 γύη om. A 14 παρὰ GIT 16 ἡ μὲν μνηστευμένη A 24 Χρυσορόου V θουργεῖν A 25 κτῆσιν AV 26 δοτικῇ ex IM 170 non nov. gl. AM 27 Ἐγγυῶμαί—ἀντιφωνῶ ex M^{mg} cf. ad 171 171 ex AIM^{mg}; post gl. τὸ δὲ ἀντιφωνῶ δοτικῇ add. AM^{mg}

172 Ἐγχανών: ἀντὶ τοῦ καταγελάσας. Ἀριστοφάνης Νεφέλαις· σὺ δ' ἐγχανὼν τεθνήξῃ. καὶ αὖθις· οὐ γὰρ ἡμῶν γε στρατηγῶν ἐγχανεῖται τῇ πόλει, ἀλλὰ πλείτω χωρὶς αὐτὸς ἐς κόρακας. Ar.

173 Ἔγχεα: δόρατα. Δ

174 Ἐγχέλεις θηρώμενος: ἐπὶ τῶν διὰ κέρδος ἴδιον ταραχὰς ποιούντων. ὅταν γὰρ τὸ ὕδωρ καταστῇ, οὐδὲν λαμβάνουσιν· ὅτε δὲ ἄνω καὶ κάτω τὸ ὕδωρ ταράξουσιν, αἱροῦσι καὶ λαμβάνουσιν. οὕτω καὶ οὗτοι ταράττοντες τὴν πόλιν. Ar.

175 Ἔγχελυς: Ἀττικῶς. παρὰ Βοιωτοῖς δὲ ἔγχελις. Ar.

176 Ἐγχεσίμορος: ὁ πολεμιστής. Δ

177 Ἔγχει: ἔμβαλε. Δ

178 Ἐγχεία. ἀντιβίων τε πολλάκις ἐγχείην γευσαμένην χολάδων. Δ Anth.

179 Ἐγχεῖν: ἐγκεράσαι. Ξενοφῶν· ὁ δὲ τοῖς νεανίσκοις ἐγχεῖν ἐκέλευσεν εὔχεσθαί τε τοῖς θεοῖς. ἢ ἀντὶ τοῦ σπεῖσαι. E

180 Ἐγχειρίδιον: ξίφος, ὄργανον, τμητικὸν ὄργανον. Σ+Δ

181 Ἐγχειροτάστορες: οἱ ἀπὸ χειρῶν ζῶντες. Σ

182 Ἐγχειρῶ ἐγώ· δοτική. Ἐγχειρίζω δὲ ἕτερον. καὶ Ἐγχειρίζω· δοτικῇ. Δ Synt.

183 Ἔγχος: δόρυ. Ὅμηρος· ἔγχος ἔχ' ἑνδεκάπηχυ. τὸ γὰρ διπλάσιον, δύο καὶ εἰκοσίπηχυ. Σ Δ?

184 Ἔγχος: ἀλληγορικῶς παρὰ Σοφοκλεῖ ἡ βοήθεια, παρὰ τὸ ἔχεσθαι. οὐδὲ νῷ φροντίδος ἔγχος. οἷον οὐκ ἔστι τῷ νῷ φροντίδος ἔγχος, τουτέστι βουλῆς καὶ προμηθείας ἔργον. Soph.

185 Ἐγχώριον: οἰκεῖον. ἐγχώριοι γὰρ οὐ μόνον τὰς τῶν ἀνέμων στάσεις κατὰ τὴν παροιμίαν, ἀλλὰ καὶ τὰ τῶν ἐγχωρίων ἀνθρώπων ἤθη κάλλιστα γινώσκουσιν. Σ EV

186 Ἐγχρίπτεται: ἐγγίζει. τοῖς δὲ κριοῖς, ὁπότ' ἐπιφέροιντο, ἐπέβαλλον βάρη, ὡς ἐγχριπτομένοις ὀλλύοιτο ἡ βία. Σ E

172 — τεθνήξῃ Ar. Nu. 1436 c. sch. οὐ sq. Ar. Eq. 1313—4 173 = H 174 sch. Ar. Eq. 865 175 sch. Ar. Ach. 889 176 cf. Ambr. 61 = H; sch. B 692 177 = Ambr. 103 178 l. = Ambr. 82 cf. 75; ἀντιβίων sq. Anth. 6, 81, 1—2 179 ὁ—θεοῖς Xen. An. 4, 3, 13 180 — τμητικὸν = Ba 205, 22, Et. M. 313, 25, Et. Gen. τμητικὸν sq. = H 181 = Bk. 230, 13, Et. M. 313, 29 cf. L, H, Ambr. 66, Eust. O. 1825, 14; 1471, 4 182 — ἕτερον (praeter δοτικῇ) = Ambr. 121 et 128 δοτικῇ = Bk. 136, 26, An. Ox. 4, 291, 9, Synt. Laur. Ἐγχειρίζω alt. sq. = Synt. Laur., Bk. 137, 12 183 — δόρυ = Ba 205, 23, Apion, Ap. S. 62, 7, Et. M. 313, 1, Et. Gen., H ἔγχος alt. sq. cf. H; Θ 494, O 678 184 Soph. OT 170 c. sch. 185 — οἰκεῖον = Ba 205, 26 ἐγχώριοι sq. Polyb. 9, 25, 3 = EV 2, 117, 1—3 186 — ἐγγίζει = Σ^{a}, Ba 205, 24, H

172 cf. 2027 et 2760. hinc v. πλείτω, Z 610 173 Z 604 176 Z 598 177 Z 610 178 cf. v. χολάδες 179 Z 610 181 cf. 141. Z 598 183 Z 604 185 hinc v. A 2268, Z 604

5 Ἐγχέλης AF 6 ὅτε] οὔτε A 9 παρὰ Βοιωτοῖς δὲ] παραβολὴ A(GITFVM) τοῖςδε A 12 γευσαμένων T 15 ὄργανον alt. om. TFV 181 om. T 16 ἀπὸ τῶν χειρῶν GIFM 17 δὲ om. GIT καὶ ex AM: om. I 19 ἔχ' AFV Hes.: ἔςχ' rell.

Σ 187 Ἐγχρίπτων: προσπελάζων, προστρίβων.
Hom. 188 Ἐγχριμφθεῖσα: προσπελασθεῖσα. καὶ Ἐγχρίψαι παρ' Hdt. Ἡροδότῳ, ἐμπεσεῖν, παραπολαῦσαι.
Synt. 189 Ἐγχρονίζω· δοτικῇ.
Ε 190 Ἐγχρόνων: οὐ πρὸ πολλοῦ χρόνου συντεθεισῶν. Ἀππιανός· κατεφρόνουν τῶν σπονδῶν ἔτι ἐγχρόνων οὐσῶν.
Σ 191 Ἐγχυτρίστριαι: αἱ τὰς χοὰς τοῖς τετελευτηκόσιν ἐπιφέρουσαι. Μίνως ἡ Περὶ νόμου. ἔλεγον δὲ καὶ τὸ βλάψαι καταχυτρίσαι, ὡς Ἀριστοφάνης. ἐγχυτριστρίας δὲ λέγεσθαι καὶ ὅσαι τοὺς ἐναγεῖς καθαίρουσιν αἷμα ἐπιχέουσαι ἱερείου, καὶ τὰς θρηνητρίας, ἔτι γε μὴν καὶ τὰς μαίας τὰς ἐκτιθείσας ἐν χύτραις τὰ βρέφη.
Δ 192 Ἐδάϊσεν: ἐμέρισεν.
Σ 193 Ἐδάμη: ἐδαμάσθη.
Σ 194 Ἐδάσαντο: διεμερίσαντο.
Σ 195 Ἔδαφος: γῆ.
196 Ἐδαστινός.
Σ 197 Ἔδαισεν: εὐώχησεν.
Δ 198 Ἐδαίσατο: κατέφαγεν.
Σ 199 Ἐδέατρος: τὸ μὲν ὄνομα Ἑλληνικόν, ἡ δὲ χρεία Περσική. ἦν δὲ προγεύστης τὸ πρῶτον καὶ προήσθιε τοῦ βασιλέως εἰς ἀσφάλειαν. ὕστερον δὲ ἐνομίσθη ἐδέατρον καλεῖν τὸν ἐπιστάτην τῆς ὅλης διακονίας καὶ παρασκευῆς.
Σ 200 Ἐδεδίεσαν: ἐφοβήθησαν. καὶ Ἐδεδίζειν.
Ar. 201 Ἐδεδίσκετο: ἐξεφόβει.
Σ 202 Ἐδεδίξατο: ἐφοβήθη.
Σ+Δ 203 Ἐδέδμητο: ᾠκοδόμητο.
Call ? 204 Ἔδεθλον: ἔδρασμα.

187 = Σ^a, Ba 205, 25 cf. H = Ambr. 110 188 — προσπελασθεῖσα cf. sch. Ε 662 et H 272, H, Σ^a, Et. M. 313, 47, Ap. S. 62, 8 Ἐγκρίψαι sq. gl. Hdt. 2, 60 189 = Synt. Gud. 190 κατεφρόνουν sq. App. fr. 3 191 = Lex. rhet. ap. Et. Gen., sch. Pl. Min. 315c cf. Et. M. 313, 41, sch. Ar. Vsp. 289, H; Ar. fr. 793. Boetho attr. Cohn Jb. Suppl. 13, 798 sq., Paus. Att. ego 192 = Ambr. 198 cf. 233, H 193 = Ba 205, 29, H cf. sch. B 860 194 = Σ^a, Ba 205, 30 cf. H 195 = Ba 205, 31 cf. H, An. Ox. 2, 440, 32 196 = Ambr. 148 cf. 159 197 = Ba 205, 28, H cf. Ambr. 199, 235 198 = Ambr. 224 199 = Ael. D. fr. 147 ap. Eust. O. 1403, 40; πρῶτον λεξικόν ap. Et. M. 315, 37 = Et. Gen. cf. Artemidor. ap. Ath. 4, 171b, H, Ammon. 200 — ἐφοβήθησαν = Ba 205, 32 cf. Ambr. 229, 197, Phryn. Ecl. 180. Ἐδεδίζειν cf. Ba 206, 1 = Σ^a; Ambr. 230 = H 201 sch. Ar. Lys. 564 202 = Ba 206, 2 203 cf. Ba 206, 3 = Σ^a, H; Ambr. 237—8 204 fort. gl. in Call. Hec. cf. Call. h. Ap. 72

188 Z 610 191 cf. v. H 687 192 Z 614 193 cf. v. Δ 44 195 Z 613· 197 Z 614 200 cf. 220 et v. Δ 147. Z 615 201 cf. v. Δ 304. Z 615 203 cf. 215 et v. Δ 215

A(GITFVM) 187 non nov. gl. AM 1 Ἐγχρίμπτων T Ba 188 extra ord. 2 προσελασθεῖσα A 196 om. AGFV mg. M post 197 IT

205 Ἐδέκαζε πολλούς: ἐδωροδόκει πολλούς. Σ
206 Ἐδέμ: ὁ ἐν γῇ παράδεισος.
207 Ἔδεσα: πόλις Συρίας· εἰς ἣν ἀφικομένῳ Τραιανῷ ὑπαντιάζει Ε πρὸ τῆς πόλεως Αὔγαρος ἵππους τε δῶρ' ἄγων ν' καὶ ς' καὶ τοὺς καταφράκτους θώρακας ἱππεῦσι καὶ τοῖς ἵπποις ν' καὶ ς' καὶ βέλη ἑξακισμύρια. ὁ δὲ Τραιανὸς γ' λαβὼν θώρακας τἄλλα ξύμπαντα αὐτὸν ἔχειν ἐκέλευσεν.
208 Ἐδεσηνός: ἀπὸ πόλεως Ἐδέσης. παρὰ τῷ Ἡρωδιανῷ δὲ διὰ τοῦ η. Δ
209 Ἔδεσιν: ἱεροῖς. ἐκ τῆς Ἔδος εὐθείας. Σ Δ
210 Ἐδεστὰ κρέατα: τὰ τρωγόμενα. Δ
211 Ἐδεστή: βρωτή. Σ
212 Ἐδεύετο: ἐνδεὴς ἐγίνετο. ἐν ἑτέρῳ, ἐκορέννυτο, εὐφραίνετο, ἐβρέχετο. Σ
213 Ἔδει: ἔπρεπεν. Δ
214 Ἐδείματο: κατεσκεύασεν. ἐκ τοῦ δέμω, τὸ κατασκευάζω. Hom. Said.
215 Ἐδείμαντο: ᾠκοδόμησαν. καὶ Ἐδειμάτουν, ἀντὶ τοῦ ἐξεφόβουν, εἰς πτοίαν ἦγον καὶ δέος. δράκοντες δὲ μεγέθει μέγιστοι συνέστελλον αὐτοὺς καὶ ἐδειμάτουν, τὰ οὐραῖα μέρη ἐς σπείρας ἑλίξαντες. Σ E
216 Ἐδείναζον: δεινῶς ἔφερον. Σ
217 Ἐδεινολόγουν: ἐσχετλίαζον. οἱ δὲ ἐδεινολόγουν ἐπὶ τῇ τοῦ βασιλέως ῥᾳθυμίᾳ. καὶ Ἐδεινοπάθουν, ἀντὶ τοῦ δεινὰ πεπονθέναι ἔλεγον. διὸ πρὸς ἀλλήλους ἐδεινοπάθουν, εἰ γυναικῶν τρόπον γυμνώσουσιν ἑαυτοὺς ὅπλων. E EL
218 Ἔδειξεν: ὑπέδειξεν. Δ
219 Ἔδειραν: ἐξέδειραν. Ἔδηραν δὲ ἀντὶ τοῦ ἔτυψαν διὰ τοῦ η. Σ Δ
220 Ἔδεισα: ἐφοβήθην. Δ

205 = Ba 206, 9 206 cf. Euseb. Onom. ap. Lagarde 251, 93 207 Arr. Parth. fr. 47 208 — Ἐδέσης cf. Ps. Herodian. 27, Ambr. 147, 160, 176 Ἡρωδιανῷ 1, 181, 20; 2, 872, 38; 887, 11, 22, 28 (e Steph. Byz.) 209 — ἱεροῖς = Ba 206, 7, H Ἔδος cf. Ambr. 180 210 = Ambr. 182 211 = Ba 206, 8, H 212 = Σ^{a}, Ba 206, 10 cf. Lex. rhet. ap. Et. M. 315, 53 = Et. Gen.; H, sch. A 468 cf. Ap. S. 62, 11 213 = Ambr. 221 214 — κατεσκεύασεν sch. Z 9 215 — ᾠκοδόμησαν = Ba 206, 4 cf. Ambr. 210 (= Zon. 615), H δράκοντες sq. Aelian. fr. 252 216 = Ba 206, 5, H, Ambr. 212 217 διὸ sq. Diodor. 33, 16 = EL 406, 10—11 218 = Ambr. 204 219 — ἐξέδειραν = Ba 206, 6, sch. A 459, H 220 = Ambr. 203 cf. H = sch. A 33, Et. M. 315, 46

205 cf. v. Δ 174. Z 615 209 cf. 222 et 249 210 Z 613 212 cf. v. Δ 282. Z 614 213 cf. v. Δ 299 214 cf. v. A 2219. ἐκ sq. ex v. Δ 215 215 cf. 203 et v. Δ 325. Aelian. cf. vv. A 1968 et 2328, v. οὐραῖα, v. οἷον 2 216—7 Z 615 219 cf. v. Δ 123; hinc v. Δ 266, Z 615 220 cf. 200. Z 615

206 om. IFV mg. M post 207 GT post 206 iterum 204 A 5 κατα- A(GITFVM)
φράκτους ⟨καὶ τοὺς⟩ Roos τοῖς del. Roos 8 Ἐδεσηνός AM^{pc} (Ps. Herodian.): Ἐδεσινός rell. Ambr. παρὰ—9 η om. AFV mg. M δὲ om. M post παρὰ transpos. T 10 τῆς] τοῦ GIT 16 ἐκ—κατασκευάζω om. FV mg. A post vs. 17 Ἐδείμαντο M 19. 20 ἐλλίξαντες omnes 21 δεινὸς A 217 non nov. gl. AV

Δ 221 Ἐδεῖτο: ἐδέετο τοῦ θεοῦ. σημαίνει δὲ καὶ τὸ ἐδεσμεῖτο.
Σ Δ 222 Ἔδη: τὰ ἱερά. τὰ ἐδάφη. ἐκ τοῦ ἔδος.
Δ 223 Ἐδηδοκώς: καταφαγών. καὶ Ἐδήδοκα καὶ Ἐδηδώς.
Δ 224 Ἐδηλήσαντο: ἔβλαψαν.
Σ+E 225 Ἐδήμευσαν: δημόσιον ἐποίησαν. καὶ ἐκράτησεν ὁ φθόνος, καὶ τὴν οὐσίαν ἐδήμευσαν αὐτῷ. ὁ δὲ ὑπεξαιρεῖται χρυσίου ι′ τάλαντα.
Σ 226 Ἐδημοσίωσαν: δημόσιον ἐποίησαν. ὁ δὲ Θευδέριχος ἐπὶ
E Ζήνωνος ἐδημοσιώθη χιλίας καμήλους προπέμψας χρυσίου καὶ ἀργυ-
Said. ρίου. καὶ αὖθις· ὁ δὲ Αἰσχίνης, ἐπειδὴ συναίρων ἐν δίκῃ τινὶ διέφθειρε τοὺς δικαστάς, ἐμβληθεὶς ἅμα αὐτοῖς ἐν δεσμωτηρίῳ καὶ κώνειον πιὼν ἀπέθανε, καὶ τὰ πράγματα αὐτῶν ὡς ἀτέκνων ἐδημοσιώθη.
Σ 227 Ἐδημώθη: ἐν τῷ δήμῳ διεδόθη, δῆλος πᾶσιν ἐγένετο. οὕτως Δίων ἐν Ῥωμαϊκῶν ἑπτακαιδεκάτῳ· καί τις λόγος περὶ αὐτῶν τοιόσδε ἐδημώθη.
Δ 228 Ἔδηξεν: ἔδακεν.
Σ 229 Ἐδῄουν: παρὰ Θουκυδίδῃ ἀντὶ τοῦ διέκοπτον, διέφθειρον.
E Σ ἅπασαν κατεδῄουν τὴν ἀνατολικὴν χώραν. καὶ Ἐδῄωσαν, ὁμοίως.
Δ 230 Ἔδηςα: ἐδέσμευσα.
Σ 231 Ἐδητύος: βρώσεως.
Ar. 232 Ἐδιδαξάμην: ἐπαιδευσάμην δι' ἑτέρου, αὐτὸς ἐπιμεληθεὶς τούτου. παθητικὸν ἀντὶ τοῦ ἐνεργητικοῦ. δύναται εἶναι μεσότητος Ἀττικῶς, ἀντὶ τοῦ ἐξεπαίδευσα.
E 233 Ἐδίδαξεν: ἔπεισεν, ἠρέθισεν. ἐδίδαξεν αὐτοὺς ἀνάγκη κατασκηνῆσαι, οὗ πρῶτον εἶδον κώμας.
Δ 234 Ἐδίδη: ἐδέσμευεν.
Δ 235 Ἐδίδοσαν.
Δ 236 Ἐδικανόωντο: ἐδεξιοῦντο.
E 237 Ἐδικαίου: δίκαιον εἶναι ἔλεγε. καὶ μὴ τὴν βασιλείαν ἑαυτῷ ἀποδίδωσί τις, ἀλλὰ τοῦ γε ἀπαλλάσσεσθαι κύριος ἐδικαίου εἶναι

221 — ἐδέετο cf. H. ἐδεσμεῖτο = Ambr. 211 222 cf. H; — ἱερά = Ba 206, 12, Et. M. 317, 2 τὰ alt. sq. = Ambr. 187 et 180 cf. Dam. ap. Phot. Bibl. 350b 31 223 = Ambr. 194 et 196 224 = Ambr. 213, sch. A 156, Ap. S. 62, 12, Et. M. 316, 1 cf. H 225 — ἐποίησαν cf. ad 226 καὶ sq. fort. Aelian. 226 — ἐποίησαν = Ba 206, 16, Lex. rhet. ap. Et. M. 316, 8 et Et. Gen. ὁ sq. Malcho attr. Bhd. 227 = Ba 206, 13, Et. M. 316, 5, Et. Gen.; οὕτως sq. = Sabb.; Cass. D. fr. 80 228 = Ambr. 205 229 Θουκυδίδῃ 2, 12, 5 Ἐδῄωσαν sq. cf. Ba 206, 18 230 = Ambr. 202 231 = Ba 206, 17, sch. A 469, Ps. Herodian. 27, H cf. Et. M. 316. 31, Et. Gen. 232 sch. Ar. Nu. 1338; — τούτου = Tim. 233 ἐδίδαξεν alt. sq. Xen. An. 3, 4, 32 234 = Ambr. 200 235 cf. Ambr. 222 236 = Ambr. 217, H cf. sch. O 86

221 cf. 230 et v. Δ 299. Z 615 222 cf. 209 et 249 224 cf. v. Δ 404 225—7 Z 616 226 vs. 7 ὁ sq. ex v. Al 347 229 cf. v. Δ 482. Z 616 230 cf. 221 et v. Δ 299 232 cf. v. Δ 857. Z 616 233 Z 616 234 cf. v. Δ 863. Z 616 236 Z 617 237 Z 617. vs. 28 δίκαιον sq. cf. v. Δ 1078

A(GITFVM) 3 καὶ pr.—Ἐδηδώς om. F 9 καὶ—11 ἐδημοσιώθη ex A^{ms}I (post 225) 14 ἐδηλιώθη A 18 ἐδέσμευσαν A 21 τοῦ om. VM εἶναι] οὖν M 22 ἐξεπαίδευσαν A 25 ἐδέσμευσεν GF

αὐτός. Ἀππιανός· Σύφαξ δὲ τῶν γινομένων πυνθανόμενος ἐπ- E
εχείρει διαιτᾶν διαλύσεις καὶ ἐδικαίου μήτε Ῥωμαίους Λιβύης μήτε
Καρχηδονίους Ἰταλίας ἐπιβαίνειν ἐπὶ πολέμῳ. ἢν δέ τις ἀπειθῇ, τοῖς
πειθομένοις ἔφη συμμαχήσειν. καὶ αὖθις· ὁ δὲ Μάρκιος ἀντιλέγειν E+Σ
μὲν πρὸς οὐδὲ ἓν αὐτῶν ἐδικαίου. Ἐδικαίου τοίνυν ἀντὶ τοῦ
ἔκρινε, δίκαιον εἶναι ἐνόμιζεν.
238 Ἐδικαιώθησαν: δίκαιοι ἐκρίθησαν. σημαίνει δὲ καὶ τὸ ἐναν- Σ
τίον, κατεδικάσθησαν δικαίως. Δίων ἐν Ῥωμαϊκοῖς πεντεκαιδεκάτῳ·
ἔκ τε γὰρ τῆς ἀπὸ τοῦ πάνυ ἀρχαίου ἀξιώσεως καὶ ἐκ τῆς παλαιᾶς
πρὸς τοὺς Ῥωμαίους φιλίας οὐκ ἤνεγκαν δικαιωθέντες, ἀλλ' ἐπεχείρη-
σαν καὶ οἱ Καμπανοὶ τοῦ Φλάκκου καὶ οἱ Συρακούσιοι τοῦ Μαρκέλλου
κατηγορῆσαι, κατεδικαιώθησαν ἐν τῷ συνεδρίῳ. πολλαχοῦ δὲ οὕτος
κέχρηται τῇ λέξει ταύτῃ ἐπὶ τοῦ εἰρημένου σημαινομένου, ὡς καὶ ἐν
τῷ ις΄· πάντες ἀποθανεῖν ἐστε ἄξιοι· οὐ μέντοι καὶ ἐγὼ πάντας ὑμᾶς
θανατώσω, ἀλλ' ὀλίγους μέν, οὓς καὶ συνείληφα ἤδη, δικαιώσω, τοὺς
δὲ ἄλλους ἀφίημι. καὶ ἀλλαχοῦ δὲ πολλαχοῦ ὁμοίως.
239 Ἐδικαίωσαν: ἀντὶ τοῦ κατέκριναν. οἱ δὲ Ῥωμαῖοι καταγα- E
γόντες αὐτὸν ἐδικαίωσαν θανάτῳ.
240 Ἐδίνευον: κύκλῳ περιῆεσαν, ὠρχοῦντο. Σ
241 Ἐδίωσεν: ἐξέωσεν, ἐδίωξεν. Δ
242 Ἐδίψησαν: ἐπεθύμησαν. ὁ δὲ ἐλευθερῶσαι τὴν πατρίδα Δ
ἐδίψησεν. E
243 Ἕδνα: τὰ διδόμενα δῶρα ὑπὸ τοῦ γαμοῦντος τῇ γαμουμένῃ. Hom.
244 Ἑδναία: ἡ καθέδρα. Δ
245 Ἐδοκίμαζεν: ἔκρινε. σιωπηλὸς ἦν ἐπὶ τούτοις ἀποκρύπτειν Σ+x
ἐδοκίμαζε. καὶ Ἀππιανός· ὁ δὲ ἐπὶ τὰς οἰκίας χωρῶν συνελάμ- E
βανεν, ὅσους ἐδοκίμαζεν. ἀντὶ τοῦ ἔκρινεν ἐτάσεως εἶναι ἀξίους.
246 Ἐδοκίμασαν: προέκριναν, ἐκύρωσαν. πολλῶν δὲ ῥηθέντων εἰς E
ἑκάτερα λόγων οἱ πλείους γνῶναι τὴν προτέραν ἐδοκίμασαν.
247 Ἔδοξεν: εἰς ὑπόληψιν ἦλθεν. Δ
248 Ἕδος: τὸ ἄγαλμα, καὶ ὁ τόπος ἐν ᾧ ἵδρυται. Σ

237 Σύφαξ—συμμαχήσειν App. Pun. 17 vs. 4 ὁ—5 ἐδικαίου App. Ital. 5 b 238 = Σ^a, Ba 206, 20, Lex. rhet. ap. Et. M. 316, 9 et Et. Gen.; vs. 9 ἐκ pr. sq. = Sabb.; Cass. D. 15, fr. 46 a; 16, 47 239 οἱ sq. Eunap. attr. Gsf. 240 = Σ^a cf. sch. δ 19, Ap. S. 62, 15; ὠρχοῦντο = Ambr. 243, H v. ἔδινον 241 = Ambr. 214 et 216 cf. H 242 ὁ sq. Aelian.(?) fr. 216 243 sch. X 472 cf. Et. M. 316, 40; H = Ap. S. 62, 16 245 σιωπηλὸς—ἐδοκίμαζε sec. Dam. fr. 28 ὁ—ἐδοκίμαζεν tert. App. fr. 4 247 = Ambr. 201 248 Tim. = Et. M. 317, 1 cf. Paus. Att. fr. 148 ap. Eust. I. 872, 63, Bk. 246, 3, H, sch. Luc. 77, 24, Dam. ap. Phot. Bibl. 350 b 30

238 cf. v. Δ 1078 hinc v. Φλάκκος, Z 617 239 cf. 1055. Z 617 240 Z 617 241 Z 616 242 cf. v. Δ 1307. Z 616 244 cf. 262. Z 613 245 ἔκρινε cf. v. Δ 1327. Z 617 246—7 Z 617

1 γενομένων VM 7 σημαίνει—8 κατεδικάσθησαν hic Et. Ba Σ^a, et T, qui A(GITFVM) δικαίως—16 ὁμοίως om.; post 16 ὁμοίως rell. praeter V, qui σημαίνει—κατεδικάσθησαν et Δίων—16 ὁμοίως om. 7 καὶ om. A 10 τοὺς om. GI 12 κατεδικαιώθησαν AGF: κατεδικάσθησαν IM καὶ ἐδικάσθησαν Σ^a Ba Et. Sabb. 25 τούτοις ἃ Toup

Σ 249 Ἔδος: ἔδαφος, ἔδρασμα, ἱερόν, ναός. τό τε τῆς τύχης ἕδος
E τὸ πάτριον προσκυνήσας τὴν ἐπάνοδον αἰτεῖ.
Δ 250 Ἐδός: ὁ φαγᾶς.
251 Ἔδοσαν δίκην.
Δ 252 Ἐδοῦοι: ὄνομα ἔθνους.
Σ 253 Ἐδωδή: βρῶσις. τροφή.
Σ 254 Ἐδωδίμων: βρωσίμων. ἐπείπερ οὖν τὴν προπαρασκευὴν
E αὐτοῦ ἀγνοοῦντες οὐδὲν ἐδώδιμον ἐποίησαν ἐν ἀποθέτῳ, λυπρᾶς
οὔσης αὐτῶν τῆς γῆς, καὶ πάσης ἀθρόον ἀγορᾶς διακλεισθέντες.
Soph. + Σ 255 Ἐδώλια: τὰ σανιδώματα τῶν πλοίων· κυρίως, ἐφ' ὧν οἱ
Harp. ἐρέται καθέζονται. καθέδραι. ἢ ἑδράσματα, Σοφοκλῆς· ἀρχαιό-
Soph. πλουτα πατρὸς ἑδώλια. ἀντὶ τοῦ ἀρχαῖα οἰκήματα.
Δ 256 Ἐδωλιάσαι: συγκαθίσαι.
Σ (Rhet.) 257 Ἐδωλιάσαι καὶ Ἰκριῶσαι: ἑκατέρῳ αὐτῶν ἐχρήσαντο. τὸ μὲν
οὖν ἐδωλιάσαι οἷον συνθεῖναι ἔκ τινων ξύλων ἁπλῶς πρὸς τόπον
τινὰ συντιθέντων, τὸ δὲ ἰκριῶσαι δύναιτ' ἂν καὶ ὡς κοινότερον
λεχθὲν νοεῖσθαι· πολλοὶ γὰρ τῶν ἰδιωτῶν ἰκρίας καλοῦσι τὰς ἐκ τῶν
μακρῶν ξύλων συντιθεμένας στέγας ὑπὸ στέγαις ἑτέραις. καὶ
Hdt. Ἐδωλίοισι παρὰ Ἡροδότῳ ὑποστρώμασι νηός. Σοφοκλῆς· ἄκροι-
Soph. σιν ἤδη ναυτικοῖς ἐδωλίοις πυρὸς φλέγοντος.
Δ 258 Ἐδώμ: ὄνομα κύριον.
Σ 259 Ἔδων: ἐσθίων.
E 260 Ἐδωρεῖτο: δώροις ἐτίμα. ἐδωρεῖτο δ' ἐσθῆτι καὶ τοῖς ἄλλοις
κειμηλίοις.
E 261 Ἐδωρήσατο: ἐφιλοφρονήσατο. τὰ περιττὰ τῶν ὅπλων τοῖς
ἐπιτηδείοις προσανέδωκε, τισὶ δὲ τῶν ἡγεμόνων σκηνὰς ἐδωρήσατο
τῶν ἐπιτηδείων· καθόλου δὲ πᾶν τὸ πρόσφορον ἐπειρᾶτο ποιεῖν
ἑκάστοις.

249 — ναός = Ba 207, 6 cf. H, Et. M. 316, 56, Dam. ap. Phot. Bibl. 350b 31, Thom. 139, 13, Ambr. 180, Ps. Herodian. 27 τό τε sq. fort. Aelian. 250 cf. Ambr. 149, Zon. 612, Ps. Herodian. 27 252 = Ambr. 158 253 βρῶσις = Ap. S. 62, 20 cf. H. τροφή = Ba 207, 7, Ambr. 164, H cf. sch. Θ 504 et P 225 254 — βρωσίμων = Ba 207, 8, H cf. Ambr. 153 et 183 ἐπείπερ sq. [Polyb.] fr. 120, fort. Aelian. 255 — σανιδώματα cf. sch. Soph. Ai. 1277. κυρίως—καθέζονται = Et. M. 317, 5, Et. Gen. cf. H καθέδραι Harp. cf. Et. M. 317, 5 = Et. Gen.; Ps. Herodian. 27, gl. Hdt. 1, 24, H ἑδράσματα sq. Soph. El. 1393 c. sch. 256 = Ambr. 219 cf. Harp. = Et. M. 317, 7, Et. Gen. 257 — vs. 18 ἑτέραις cf. Bk. 259, 32, Et. M. 317, 12 vs. 19 Ἐδωλίοισι—νηός gl. Hdt. 1, 24 ἄκροισιν sq. Soph. Ai. 1277—8 258 = Ps. Herodian. 27 cf. L. Ambr. 155 259 = Ba 207, 9, H, sch. ι 297 260 ἐδωρεῖτο alt. sq. Ios. Bell. 3, 408

249 cf. 209 et 222. Z 613 252 Z 612 253 Z 613 254 cf. vv. A 3680 et Δ 584. Z 614 256 Z 618 260 cf. v. I 504. Z 618

A(GITFVM) 250 om. F 5 Ἐδοῦνοι I Ἐδοῦοι ἢ Ἐδοῦνοι T 7 ἐπείπερ—9 διακλεισθέντες om. TV 255 om. T 10 τῶν om. A κυρίως τῶν πλοίων VM κ. τ. πο[λλων GI 11 καθέδραν F καθέδρα I cp. G 256 post 254 GI 257 non nov. gl. TV 14 ἑκατέρων GI ἑκάτερον T 17 ἰκρία Kust. 18 καὶ—20 φλέγοντος post 255 transpos. pr. 19 Ἡροδότου A cp. IVM 26 σκηνὰς Port.: σκηναῖς omnes

262 Ἕδρα: βάσις, καθέδρα. Ἕδρα καὶ ἡ προεδρία παρὰ Ἀριστοφάνει· καί σ' ἀντὶ τούτων εἰς τὸ πρυτανεῖον καλῶ, ἐς τὴν ἕδραν θ', ἵν' ἐκεῖνος ἦν ὁ φαρμακός. καὶ Ἀρριανός· ὅτι με καὶ ὄμμασι καὶ φωνῇ καὶ ἕδρᾳ ἐτίμησας. ἀντὶ τοῦ καθέδρᾳ. Σ Ar E+Σ

263 Ἕδρα: καὶ ὁ σφιγκτὴρ τῶν ἀνθρώπων. καὶ τοῦτό φησιν ὁ προφήτης· καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὰ ὀπίσω, τῆς ἕδρας τὸ πάθος σημαίνουσα· σεμνότερον δὲ τοῦτο εἴρηκεν εἰπών, εἰς τὰ ὀπίσω. ὅτι ἕδραι λέγονται αἱ σέλλαι, σελλάρια, σωτήρια. Thdr. Suid.

264 Ἕδραν: τὴν μονὴν εἴρηκεν ε' Θουκυδίδης. καλοῦσι καὶ τὸ μέρος τοῦ σώματος ὡς ἡμεῖς ἕδραν. Σ

265 Ἑδράνων: θρόνων. Σοφοκλῆς· ἀλλ' ἄναξ ἑδράνων, ὅπου μακραίωνι στηρίζῃ σχολῇ. καὶ ἐν Ἐπιγράμμασι· νηῶν θ' ἕδρανον ἀσταθέων ἄγκυραν. ἀντὶ τοῦ ἕδρασμα. Soph. Anth.

266 Ἑδρασεν: ἐποίησεν, ἐκάθισεν. Σ

267 Ἑδραῖος καὶ Ἑδραίωμα. Δ

268 Ἑδριόωντο: ἐκαθέζοντο. Δ

269 Ἑδρῖται: οἰκέται. ἀπὸ τοῦ καταφεύγειν ἐπὶ τὴν ἑστίαν. Σ

270 Ἐδύνατο ἢ ἠδύνατο.

271 Ἔ ἔ: ἐπίρρημα σχετλιαστικόν. Δ

272 Ἑεδνωτής: ὁ προικιστής, ὁ πενθερός. Δ

273 Ἐέλδωρ: ἐπιθύμημα, βούλημα. Σ

274 Ἕεστο: ἐνεδέδυτο. Δ

275 Ἐέσχατος: ὁ ἔσχατος. Δ

276 Ἑετῶς: εὐχερῶς. Δ

277 Ἑζεκίας, βασιλεὺς Ἱερουσαλήμ, υἱὸς Ἄχαζ, ἁπάντων εὐσεβέστερος. οὐ γὰρ μόνον τὰ εἴδωλα κατέσκαψε καὶ τὰς στήλας αὐτῶν συνέτριψεν, ἀλλὰ καὶ τὰ ἐν τοῖς ὑψηλοῖς καθεῖλε καὶ τὰ ἄλση κατέκοψε καὶ τὸν ὄφιν, ὃν ἐκρέμασε Μωυσῆς (ἔτι γὰρ αὐτῷ πάντες

262 — καθέδρα = Σ^{A}, H cf. Ambr. 170, sch. Θ 162, Steph. Byz. Ἕδρα alt. —φαρμακός Ar. Eq. 1404—5 c. sch. cf. sch. Θ 162 ὅτι—ἐτίμησας Arr. Parth. vel Exc. fr. 9 263 καὶ sec.—ὀπίσω Thdr. in Ps. 77, 66, PG 80, 1500c d 264 Θουκυδίδης 5, 7, 2 265 — σχολῇ Soph. Ai. 194—5 c. sch. νηῶν—ἄγκυραν Anth. 6, 28, 6—7 266 = Σ^{A} cf. H 267 cf. Ambr. 154 et 186 268 = Ambr. 218, H, sch. K 198 269 = Lex. rhet. ap. Et. Gen., Et. M. 316, 52 cf. Steph. Byz. v. Ἕδρα 271 aliter Ambr. 262 272 — προικιστής = Ambr. 253 cf. sch. N 382 273 = Ba 207, 10 cf. H; — ἐπιθύμημα = sch. A 41, Ap. S. 62, 30, Et. M. 317, 17, L, Ps. Herodian. 192 cf. 240 274 = Ambr. 258, Et. M. 317, 32 275 cf. Ambr. 252 276 = Ambr. 263, H

262 cf. 244 263 Z 613. ἕδραι sq. ex v. A 4574 265 Soph. cf. v. A 1795 266 cf. v. Δ 1507. Z 617 268 Z 618 270 cf. 33 271 Z 619 272 Z 618 273 Z 619 275 Z 618 276 Z 619

3 ὄμμασι] ὀνόμασι recte Roos 4 ἀντὶ τοῦ καθέδρᾳ om. T 5 σφικτῆν A A(GITFVM)
5. 6 ὁ προφήτης] ἡ προφητεία Thdr. 7 σημαίνων T Bhd. 8 ὅτι—σωτήρια om. FV mg. A ὅτι om. GIT, nov. gl. 9 καὶ] δὲ καὶ GI 10 τοῦ σώματος om. M 12 στηρίζει ποτέ F cf. Soph. νηὸν A θ' om. FVM
13 ἀστυθέων V 267 non nov. gl. AF 17 ἱκέται v. l. in Et., Holsten. cf. Zon. 612 270 ex IM (post 265) 21 Ἐέλδων A 24 Ἕεστῶς A

ἐθυμίων) μετὰ λοιπῶν βδελυγμάτων ἠφάνιϲε τούϲ τε Ἰουδαίουϲ εἰδωλολατροῦντας ἐτιμωρεῖτο ἐκκόπτων τὰ μνημόϲυνα καὶ λείψανα τῆϲ ἀθεότητοϲ. τοϲοῦτον γὰρ θεοϲεβείαϲ ἀφεϲτήκεϲαν ὡϲ ὄπιϲθεν τῶν θυρωμάτων ζωγραφεῖν τὰ εἴδωλα καὶ προϲκυνεῖν, ἵν', εἴ τινεϲ τῶν παρ' Ἑζεκίου ἐρευνῷεν, ἀνοιγνυμένων τῶν θυρῶν, ϲκέποιτο τὰ βδελύγματα. καὶ μόνοϲ ἐβαϲίλευϲεν Ἰουδαίαϲ κατὰ προαίρεϲιν θεοῦ. φέρεται δέ τι καὶ τοιοῦτον. ἦν Ϲολομῶνι βίβλοϲ ἰαμάτων πάθουϲ παντόϲ, ἐγκεκολαμμένη τῇ τοῦ ναοῦ φλιᾷ. ταύτην ἐξεκόλαψεν Ἑζεκίαϲ, οὐ προϲέχοντοϲ τοῦ λαοῦ τῷ θεῷ διὰ τὸ τὰϲ θεραπείαϲ τῶν παθῶν ἐνθένδε τοὺϲ πάϲχονταϲ αὐτοὺϲ κομίζεϲθαι, περιορῶνταϲ αἰτεῖν τὸν θεόν. ἐπολέμηϲε δὲ καὶ μέχρι Γάζηϲ τοῖϲ ἀλλοφύλοιϲ Ἀϲϲυρίων ἀποϲτάϲ, πρότερον ὑπήκοοϲ ὤν.

Σ 278 Ἕζεϲθαι: καθέζεϲθαι. καὶ Ἕζετο.

Δ 279 Ἔζει: ἔβραζεν. Ἔζη δὲ διὰ τοῦ η, ἀντὶ τοῦ ζῶν ἦν.

Σ 280 Ἐζήλωϲεν: ἐπεθύμηϲεν.

281 Ἐζημίωϲεν: ἀνεῖλεν. ὁ δὲ Αὐρηλιανὸϲ ὁ βαϲιλεὺϲ τῶν πολι-
EV τῶν θανάτῳ πολλοὺϲ ἐζημίωϲεν. ἀντὶ τοῦ κατέκρινε, κατεδίκαϲεν.

Δ 282 Ἔζων: ἀντὶ τοῦ ζῶν ἦν.

Σ 283 Ἐζωϲμένοι: ἐκδεδυμένοι.

Ε 284 Ἐζυγοϲτατεῖτο: ἐφ' ἑκάτερα ῥοπὰϲ ἐλάμβανε. Πολύβιοϲ· ἐζυγοϲτατεῖτο τοῖϲ Ῥωμαίοιϲ ὁ πόλεμοϲ.

Δ 285 Ἐεικόϲοροϲ ναῦϲ καὶ Ἐεικοϲόροιο νηόϲ: τῆϲ εἰκοϲακώπου.

Δ 286 Ἐεικάμενοϲ: ὁμοιωθείϲ.

Δ 287 Ἔηκα: ϲυνεχώρηϲα.

Δ 288 Ἐήλακεν: ἐλήφθη.

Hom. 289 Ἐῆοϲ: τοῦ ἀγαθοῦ. ἀνδρὸϲ ἐῆοϲ, Ὅμηρόϲ φηϲιν.

Δ 290 Ἐϊκτόν: τὸ ὅμοιον.

Δ 291 Ἐῖϲη: ἡ ἴϲη. καὶ ἐῖϲαϲ ναῦϲ.

Δ 292 Ἐῖϲκω: τὸ ὁμοιῶ. αἰτιατικῇ.

Σ 293 Ἐθαγενής: ἐγχώριοϲ, ὁ ἐν τόπῳ ἰδίῳ γεγεννημένοϲ.

278 = Ba 207, 11—12, H cf. sch. A 48 = Ambr. 270 279 — ἔβραζεν = Ambr. 268; Ἔζη sq. cf. Ambr. 267 280 = Ba 207, 13 281 ὁ—ἐζημίωϲεν alt. Io. Antioch. fr. 155, FHG 4, 599 = EV 1, 195, 14—15 282 cf. Ambr. 266 283 = Ba 207, 14 284 ἐζυγοϲτατεῖτο alt. sq. Polyb. 1, 20, 5 285 = Ambr. 254 cf. H, Et. M. 317, 40 286 = Ambr. 257, sch. B 22, Et. M. 317, 42 cf. H 287 = Ambr. 279 288 = Ambr. 278, H 289 — ἀγαθοῦ cf. sch. A 393, H, Et. M. 318, 3, Ap. S. 63, 3, Ambr. 274; T 342 290 = Ambr. 322 291 = Ambr. 321; A 306 292 — ὁμοιῶ = Ambr. 323, Ps. Herodian. 25 et 247, sch. Γ 197, H 293 praeter ἰδίῳ = Ba 207, 15; — ἐγχώριοϲ = Ambr. 286, H. ἰδίῳ cf. Ambr. 284

279 cf. 282 280 Z 620 281 cf. v. A 4458. Z 620 282 cf. 279 283—4 Z 620 285 Z 619 287 Z 620 288 cf. 6. Z 621 289 cf. 3734. Z 620 290 Z 634 292 Z 637

A(GITFVM) 1 τῶν λοιπῶν I 10 πάϲχον A αὐτῷ V 25 Ἐεήλακεν V 29 τὸ ὁμοιῶ om. V τὸ om. ss. ἢ τὸ ἀπεικάζω F cf. Hes. αἰτιατικῇ om. GTFV ss. I 30 ἰδίῳ τόπῳ GIT

294 Ἐθάδας: συνήθεις, φίλους. Ἐθὰς ἡ εὐθεῖα. Σ·Δ
295 Ἐθανατώθη: ὡς ἔνοχος θανάτου ἐκρίθη. Σ
296 Ἐθέλγετο: ἐπείθετο, ἐθηλύνετο. Αἰλιανός· οὐ μὴν ἐθέλγετο ὁ Ε
ὕπατος τοῖς ὑπηρέταις σὺν ὀργῇ βριμούμενος.
297 Ἐθελημός: ἥσυχος. Δ
298 Ἐθελήσαι: ἀντὶ τοῦ ἐθελήσειεν. Δ
299 Ἐθελήσει: δυνηθείη. Ὅμηρος· οὐδ' ἔθελε προρρέειν. καὶ Δ
Ἀριστοφάνης· οὐδ' ἐθελήσει μαθεῖν. ἀντὶ τοῦ οὐ δυνηθῇ. Ar.
300 Ἐθελοδουλία. Δ
301 Ἐθελοθρησκεῖ: ἰδίῳ θελήματι σέβει τὸ δοκοῦν. Σ
302 Ἐθελοκακῆσαι: ἑκουσίως ἐλέσθαι τὸ κακόν. καὶ Ἐθελο- Δ
κακοῦντα, ἑκουσίως τὸ κακὸν αἱρούμενον. ἐθελοκακοῦντα αὐτὸν Σ + Ε
περὶ τὴν πορείαν καὶ καταληφθῆναι παραμένοντα.
303 Ἐθελοκακία. Δ
304 Ἐθελοκάκως: ἑκουσίως τὸ κακὸν ἐκλεγομένων. Ἀππιανός· Σ
τῷ δὲ στρατηγῷ στρατὸς ἦν δυσπειθὴς ὑπὸ μνησικακίας, ἐθελοκάκως τε Ε
ἠγωνίζοντο καὶ ἔφευγον ἐπιδησάμενοι τὰ σώματα ὡς τετρωμένοι καὶ
τὰς σκηνὰς διέλυον καὶ ἀναχωρεῖν ἐπεχείρουν ἀπειρίαν ἐπικαλοῦντες
τῷ στρατηγῷ. καὶ αὖθις· ἐθελοκακοῦντες αὐτῷ διὰ πλείους αἰτίας. Ε
305 Ἐθελοκώφων: μὴ βουλομένων ἀκούειν, θελήσει παρακουόντων. Σ
306 Ἐθελονταί: φερωνύμως ἐκλήθησαν οἱ δοῦλοι οἱ στρατευθέντες Ε
ἑκουσίως ὑπὲρ τῶν δεσποτῶν τῶν ἐν Κάνναις τελευτησάντων.
307 Ἐθελοντηδόν: Θουκυδίδης, διὰ τοῦ η. Σ
308 Ἐθελοντήν: ἐπίρρημα. τοὺς παραβόλους κινδύνους ἐθελον- Δ
τὴν ἀναδεδεγμένος. καὶ Πολύβιος· τοῖς βουλομένοις πάντα κίνδυ- Ε
νον ἐθελοντὴν ὑπομένειν. καὶ αὖθις· ἐκ παντὸς ἐπέλεξε τοῦ Ε
στρατεύματος ἐθελοντὴν τοὺς ἀρίστους. Ε

294 — φίλους = Σ^{a} cf. Ba 207, 17, H, Ps. Herodian. 28 Ἐθὰς cf. Ambr. 284, Ps. Herodian. 28 295 = Σ^{a} cf. Ba 207, 16 296 οὐ sq. Aelian. fr. 120 297 = Ambr. 285 cf. Et. M. 318, 43 299 Ὅμηρος (Φ 366) sq. Ar. Av. 581 c. sch. 300 = Ambr. 293—4, Ps. Herodian. 221 301 = Ba 207, 18 302 — ἑκουσίως pr. cf. Ambr. 304, 313, Et. Gud. 303 = Ambr. 295 304 — ἐκλεγομένων = Σ^{a}, Ba 207, 19, Ambr. 319 . vs. 15 τῷ—19 στρατηγῷ App. Ital. 7 ἐθελοκακοῦντες sq. ad v. Al 322 = Men. Prot. fr. 68, FHG 4, 269 rettul. Bhd. et Müller 305 = Ba 207, 20 306 cf. Festus v. volones 307 cf. Bk. 96, 23; Thuc. 8, 98, 2 308 vs. 24 τοὺς—25 ἀναδεδεγμένος Polyb. fr. 129 vs. 25 τοῖς—26 ὑπομένειν Polyb. fr. 34 vs. 26 ἐκ sq. Polyb. 1, 49, 5

294 Z 621 295 Z 624 296 cf. v. B 545. Z 623 297 Z 621 299 cf. v. Θ 105 et v. οὐ θελήσει. Z 623 301—2 Z 623 306 Z 621 307—8 Z 625

7 προρέειν V Hom. 8 οὐ om. V 9 Ἐθελοδουλεία GV 302—4 om. F A(GITFVM) 13 καταλειφθῆναι M περιμένοντα Bhd. 15 Ἐθελοκάκων GIT 16 τῶν δὲ στρατηγῶν GIT ὑπὸ V: ἦν ὑπὸ A ὑπὲρ GITM 23 διὰ τοῦ del. Gsf. Bk. 25 ἀναδεδειγμένος GITM

Σ 309 Ἐθελοντής: βουλόμενος. ἢ χωρητός. Ξενοφῶν· διερωτᾶν, εἴ τίς ἐστιν, ὅστις ἀνὴρ ἀγαθὸς ἐθέλοι ἂν γενέσθαι, ὑποστὰς ἐθελοντὴς πορεύεσθαι. προσλαβὼν ἐθελοντὰς ἐκ παντὸς τοῦ στρατεύματος.

Ε λέγεται καὶ Ἐθελοντίους. προσεδόκησεν ἐθελοντίους τοὺς Ἀραβίους ὁμολογήσειν.

Δ 310 Ἐθελοντί: ἐπίρρημα.

Thuc. 311 Ἐθελοπρόξενος: ὁ ἀφ' ἑαυτοῦ γενόμενος καὶ μὴ κελευσθεὶς ἐκ τῆς πόλεως. οἱ γὰρ πρόξενοι κελευόμενοι ἐκ τῆς ἑαυτῶν πόλεως ἐγίνοντο.

Σ 312 Ἐθελουργός: ἕτοιμος.

313 Ἐθελυμνοί: πυκνοί.

314 Ἐθέμην: ἔκρινα, ἐνόμισα. κἀγὼ ταύτην γνώμην ἐθέμην.

Ar. οἷον κἀμοὶ τοῦτο δοκεῖ σύμφορον, τὸ μὴ εἶναι δικαστήρια. Ἀριστοφάνης.

Σ 315 Ἔθεσαν: ἐποίησαν.

Δ| 316 Ἔθει: ἔτρεχεν. ὁ δὲ ἐξελθὼν ἐκ τῆς πόλεως ἔθει δρόμῳ.

Δ+Ε 317 Ἔθει: ἔτρεχεν, ἔπλεεν. ὁ δὲ ἄνεμος τὰ ἱστία ἐπλήρου, ἡ δὲ ναῦς ἔθει καλῶς.

Δ 318 Ἔθειρ: ἡ θρίξ. ἡ αἰτιατικὴ ἔθειρα.

Σ 319 Ἔθειραι: αἱ ἐξ ἔθους ἐπιμελούμεναι τρίχες. πρώτας ὁππότ'

Anth. ἔπεξε καλὰς Εὔδοξος ἐθείρας. ἀντὶ τοῦ ἐκτένισε. καὶ ἐν Ἐπιγράμμασι· χρυσῆς εἰρύσασα μίαν τρίχα Δωρὶς ἐθείρης.

Δ 320 Ἐθείρει: ἐξ ἔθους ἐπιμελεῖται.

Δ 321 Ἐθηήσαντο: ἐθαύμασαν.

Σ 322 Ἔθηκεν: ἐποίησε, καὶ κυρίως. ὁ δὲ Ἰουλιανὸς καὶ ἱππικὸν

Ε ἀγῶνα ἔθηκεν.

323 Ἐθηλύνθην: ἐκηλήθην· βαφῇ σίδηρος ὡς ἐθηλύνθην στόμα.

Soph. ἐν τῇ βαφῇ οὐκ ἀνίεται ὁ σίδηρος, ἀλλὰ σκληρύνεται· οὕτως οὖν διασταλτέον, κἀγὼ γάρ, φησίν, ὃς ἠπείλουν καὶ ἔζεον καὶ ἐβόων ὡς ἐν βαφῇ σίδηρος, νῦν ἐθηλύνθην ὑπὸ τῶν λόγων τῆς γυναικός· ἢ

309 — χωρητός = Ba 207, 22 vs. 1 διερωτᾶν—3 πορεύεσθαι Xen. An. 4, 1, 26. προσλαβὼν—στρατεύματος Xen. An. 4, 1, 27 προσεδόκησεν sq. Cass. D. 75, 12, 2 310 cf. Ambr. 316 311 sch. Thuc. 3, 70, 3 312 = Ba 207, 23 314 κἀγὼ sq. Ar. Eccl. 658 c. sch. 315 = Ba 207, 24, H, sch. A 290 316 — ἔτρεχεν = Ambr. 300 cf. H ὁ sq. Dam. fr. 84(?) 317 ὁ sq. cf. Aelian. fr. 84 vs. 10 318 = Ambr. 289 cf. Ps. Herodian. 28 = 224 319 — τρίχες Ap. S. 63, 9 cf. Orion. 53, 21; sch. Θ 42 = Et. M. 318, 49; H πρώτας—ἐθείρας Anth. 6, 279, 1. χρυσῆς sq. Anth. 5, 229, 1 320 = Ambr. 298 cf. Et. M. 318, 44, sch. Φ 347, Ap. S. 63, 9 321 = Ambr. 305, sch. θ 17 cf. Ambr. 309 322 — κυρίως = Σ^{A}, Ba 207, 25; — ἐποίησεν = H, sch. A 2, Apion, Ap. S. 63, 14 ὁ sq. fort. Eunap. cf. Liban. or. 18, 249 323 βαφῇ pr. sq. Soph. Ai. 651 c. sch.

311 Z 621 314—5 Z 623 316 cf. vv. Θ 95 et 202 317 Z 624 319 Z 621 321 cf. v. Θ 329. Z 624 322 cf. vv. Γ 484 et H 45. Z 625 323 hinc v. ciδηρέαν extr.

A(GITFVM) 8 αὐτῶν A 317 non nov. gl. AVM 20 ὁπότ' GFVM 23 ἐπιμελεῖσθαι A 27 Ἐθηλύνθη: ἐκηλήθη GITM

ὅτι διττῶς βάπτεται ὁ σίδηρος· εἰ μὲν γὰρ μαλθακὸν βούλονται αὐτὸν εἶναι, ἐλαίῳ βάπτουσιν, εἰ δὲ σκληρόν, ὕδατι.

324 Ἐθημοσύνη: συνήθεια, ἐθισμός. Σ

325 Ἔθιμος καὶ Ἐθιμοσύνη: συνήθεια, ἐθισμός. Δ

326 Ἐθνῖται: οἱ ἐκ τοῦ αὐτοῦ ἔθνους. Σ

327 Ἔθνος: τὸ πλῆθος. ἤγοντο μοιχοί, πόρνοι, τοιχωρύχοι, βαλαντιοτόμοι καὶ τὰ τοιαῦτα ἔθνη. Hom.

Ἔθνος οὐ μόνον τὸ μέγα καὶ πολυάνθρωπον γένος, ἀλλὰ καὶ ἰδίως μέρος τι τῆς πόλεως. οὕτως Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους καὶ ἐν τῷ θ′ τῶν Φιλιππικῶν. ἐθνοπάγκτου ὁ Ἰώσηπος λέγει ἐν τῇ ἱστορίᾳ τῶν Μακκαβαίων. Harp.

328 Ἔθος: ἀντὶ τοῦ σημεῖον. ἢ νόμος ἄγραφος, νόμος δὲ ἔθος ἔγγραφον. ὅτι τὸ ἔθος οὐκ ἔστιν εὕρεμα ἀνθρώπων, ἀλλὰ βίου καὶ χρόνου. καὶ ὁ μὲν νόμος εἴκασται τυραννίδι· φόβῳ γὰρ ἕκαστα καὶ μετὰ προστάγματος διαπράττεται· τὸ δὲ ἔθος μᾶλλον τῇ φιλανθρωπίᾳ τῆς βασιλείας· βουλόμενοι γὰρ αὐτῷ πάντες δίχα ἀνάγκης ἕπονται. καὶ ὁ νόμος τοσαύτης δικαιοσύνης καὶ φιλανθρωπίας μετόχος, ὥστε καὶ τοῖς ἀτυχοῦσι χρησιμώτερος καθέστηκε τῶν γένει προσηκόντων καὶ τοῖς ἀδικουμένοις ἰσχυρότερος τῆς αὐτῆς ἐκείνων ῥώμης καὶ πατράσιν υἱέων εὐνούστερος καὶ παισὶ γονέων καὶ ἀδελφοῖς ἀδελφῶν. πολλοὶ γὰρ ὑπὸ τῶν φίλων ἀδικούμενοι πρὸς τοῦτον καταφεύγουσι. καὶ ἄλλα πλείονά εἰσι περὶ νόμου.

329 Ἔθω: τὸ ἐξ ἔθους τι διαπράττομαι. ὡς τό, ἔθων Οἰνῆος ἀλωήν. Δ

330 Ἐθώπευον: ἐκολάκευον. Δ

331 Ἐθωύμαζον: ἀντὶ τοῦ ἐθαύμαζον.

332 Ἐθρίγκωσεν: περιετρόχωσεν, περιεχαράκωσεν. Δ

333 Ἔθρισεν: ἐκ τοῦ θερίζω. Δ

334 Ἐθρυλλίχθη: ἐταράχθη. Δ

335 Ἐθοινήσαντο: εὐωχήθησαν. Σ

336 Ἔθυσας, ἀντιθύσῃ: τοῦτο παρὰ Φιλοξένῳ ὁ Κύκλωψ λέγει πρὸς τὸν Ὀδυσσέα. ἀπεκδέχονται γὰρ τό, ἔνθα δὲ πῦρ κείαντες ἐθύ- Prov.

324 = Ba 207, 26 cf. H 325 Ἔθιμος = Ambr. 287; συνήθεια sq. cf. Ps. Herodian. 28, Ambr. 283 326 = Ba 207, 27 cf. H 327 — πλῆθος sch. Γ 32 = Et. M. 319, 13 ἤγοντο—ἔθνη Philostr. 4, 22 vs. 7 ἔθνος—10 Φιλιππικῶν Harp.; Dem. 23, 146 et 9, 26 329 = Ambr. 308 cf. sch. I 536, Ap. S. 63, 17, H; I 536 330 = Ambr. 303 cf. H 332 cf. sch. Ξ 10, L 333 cf. Ambr. 301 334 aliter H = sch. Ψ 396. l. = Ambr. 306 335 = Ba 207, 28 cf. H 336 — Ὀδυσσέα cf. Paroem. ed. Gsf. 52, n. 456, sch. A in I 219; Philoxen. fr. 10 Bergk; 1 231

325 Z 621 327 Philostr. cf. v. B 68. Z 622 328 Z 622 330 Z 625 331 cf. v. Θ 447 333 Z 624 334 cf. v. Θ 516. Z 624 335 cf. v. Θ 524. Z 625 336 Z 625

3 ἐθισμός] nov. gl. AGIT 325 non nov. gl. AI 4 ἐθισμός om. GIT A(GITFVM) 7 Ἔθνος] nov. gl. V Zon. 10 ἐθνοπάγκτου—Μακκαβαίων om. TFV iterum mg. A post 324 G post 326 M ἐθνοπάκτου M 11 δὲ] ἐστιν add. GIT 12 εὕρημα F Zon. 18 αὐτῆς] αὐτῶν Bhd. 331 om. FV mg. M 29 Ἔθυσας] Ἔθυσεν V ἀντιθύσῃ AM: ἀντὶ τοῦ θύσῃ rell. Zon.

καμεν, παρὰ τῷ ποιητῇ εἰρῆσθαι ἐπὶ τῶν ἀρνῶν, οὐχὶ δὲ τὸ ἀπεθύσαμεν νοεῖσθαι.

Ecl. 337 Ἑκάβη: ἡ ἔκαθεν βεβηκυῖα πρὸς τὸν ἄνδρα. ὁ γὰρ πατὴρ Δύμας, ὁ Φρύξ, εἰς Ἴλιον Πριάμῳ ἐξέδοτο. ὅθεν Πρίαμος Φρυξὶ συμμαχεῖ. ἤδη καὶ Φρυγίην εἰςήλυθον ἀμπελόεσσαν. Ὅμηρος.

Suid. 338 Ἑκαδημία: οὕτως πρότερον ἐκαλεῖτο ἡ Ἀκαδημία ἀπὸ Ἑκαδήμου τινὸς ἥρωος.

Σ 339 Ἔκαθεν: πόρρωθεν.

Δ| 340 Ἐκκακῶ: ἀπειροκακῶ. πλειστάκις τοῦτο ποιῶ.

Ar. 341 Ἐκκαλαμᾶται· ἡ θυγάτηρ παππίζουσ' ἅμα τῇ γλώττῃ τριώβολον ἐκκαλαμᾶται.

Δ 342 Ἐκαλαμήσαντο: ἀπεθέριςαν.

Ε 343 Ἐκκαλέσασθαι: παραθῆξαι, παρορμῆσαι. ἐκκαλέσασθαι σπουδάζων τοὺς ἐπὶ πραγμάτων ταττομένους πρὸς τὰς τῶν Ῥωμαίων ἐλπίδας.

Σ 344 Ἐκκαλεῖται: προκαλεῖται. ὁ δὲ Κεκίλιος θεωρῶν αὐτὸν κατατεθαρρηκότα, βουλόμενος ἐκκαλεῖσθαι τὴν ὁρμὴν αὐτοῦ, συνεῖχε τοὺς στρατιώτας ἐντὸς τῶν πυλῶν. ἀντὶ τοῦ προκαλεῖσθαι. καὶ Ἐκκαλούμενοι, προκαλούμενοι ἢ προμηθούμενοι. τῆς δὲ βουλῆς οὐδὲν προθυμουμένης, εἴτε τὴν καθ' αὑτῶν ἐκκαλούμενοι διαβολήν, ἵνα μὴ δοκοῖεν αὐτοὶ Μάρκιον ἐπάγειν ἐπὶ τὴν πόλιν, εἴτε τῷ δήμῳ φιλονεικοῦντες καὶ ἐθίζοντες αὐτὸν μὴ ῥᾳδίως ἀνδρὸς πατρικίου καταδικάζειν.

Σ+Ε

Δ 345 Ἑκάλη: ὄνομα κύριον. ἡ ἡρωὶς ἡ παρὰ Καλλιμάχῳ, ἡ πρὸς Ecl. ἑαυτὴν καλοῦσα. ἔχε γὰρ τεῖχος ἀκλήϊστον.

Harp. 346 Ἑκαλλίστρουν: Ἰακόν ἐστιν.

Ecl. 347 Ἑκαμήδη: ἡ Νέστορος παλλακίς. παρὰ τὸ ἑκὰς μήδεσθαι, ὅ ἐστι βουλεύεσθαι.

Σ 348 Ἔκαμον: ἐκοπίασαν.

Σ 349 Ἐκαπήλευσεν: ἐδόλωσεν.

337 = Seleuc. ap. Et. Gud., An. Ox. 2, 436, 12, Et. M. 319, 35; Γ 184 339 = Ba 211, 24, sch. B 456, H, Et. Gen., Et. M. 319, 50 cf. L 340 l. = Ambr. 463 341 Ar. Vsp. 607—9 342 = H, Ambr. 433 343 ἐκκαλέσεσθαι alt. sq. Polyb. 3, 69, 4 344 — προκαλεῖται = Ba 212, 24, H vs. 15 ὁ —17 πυλῶν Polyb. 1, 40, 3 vs. 18 τῆς—22 καταδικάζειν Cass. D. temere attr. Mai, Collect. Vat. 2 p. 565 345 — κύριον = Ambr. 379 ἡ pr.—καλοῦσα cf. Et. Gen. ap. Reitz. Ind. lect. Rost. 1890—1 p. 14 (Kapp p. 16), Et. M. 319, 43; ἡ tert. sq. = An. Ox. 2, 436, 10; Call. fr. 1 K., 41 S. 346 Harp. 347 cf. Seleuc. ap. Et. Gud., Et. Gen., Et. M. 320, 31, An. Ox. 2, 433, 27 348 = Ba 211, 25 cf. H 349 = Ba 211, 26

337 hinc v. Δ 1569 338 ex v. A 774 339 cf. 354. Z 680 340 Z 661 341 cf. v. παππίζω 342—3 Z 662 344 cf. 1605. Z 661—2 347 Eust. I. 861, 33 349 Z 662

A(GITFVM) 1 δὲ om. V 1. 2 ἀπεθύσαμεν] corruptelam perspexit Gsf. ἐθυμιάσαμεν Bhd. ἐπεθύσαμεν Hemst. 5 Ὅμηρος om. FV 338 om. FV 9 ἀπειροκακῶ] ἀποκακῶ Dindorf, ἀπαγορεύω, ἀποκακῶ coll. 1602 Bhd. ποιῶ] καὶ μὴ ἐκκακῶ suppl. Alberti 15 ὁ—24 ἀκλήϊστον om. F 15 Κικίλιος V 18 προμηθούμενοι] προθυμούμενοι Port. προθυμοποιούμενοι Zon. Bhd. 21 πατρικοῦ A 23 Καλλιμάχου A cp. ITV ἡ πρὸς] πρὸς V

350 Ἐκκαπηλεύειν: δολοῦν, πανουργεῖν. Σ
351 Ἐκαραδόκησεν: ἀπέβλεψεν. ἢ ἐμοὶ προσέθετο τὴν κεφαλὴν Ar.
μετεωρίσας. παρὰ τὸ Ὁμηρικόν· καί τ' Ὠρίωνα δοκεύει.
352 Ἐκκαρπωσάμενοι: προσόδους μεγάλας λαβόντες. Σ
353 Ἐκαρπώσαντο: μετειλήφασιν. οἱ ἡσσηθέντες φυγῇ ἐκαρπώ- E
σαντο τὸ εἶναι.
354 Ἑκάς: πόρρω. ὅτι μέντοι οὐχ ἑκὰς οὐδὲ ἀπὸ σφῶν τὸν Δ
κίνδυνον ἡγοῦντο, εἰ οἱ πολέμιοι κρατήσειαν, συνηγείροντο ἑκούσιοι E
καὶ οὐκ ἐπίκλητοι.
355 Ἑκαστάτω: πορρωτάτω. Προκόπιος· ἑκαστάτω τῆς τοῦ Hom.
βαρβάρου ἐπιβουλῆς ὄντες. E
356 Ἑκασταχῇ: ἀντὶ τοῦ πανταχοῦ. ταῦτα μὲν οὖν ἑκασταχῇ Δ
ἐπράσσετο.
357 Ἑκάστοτε: ἀντὶ τοῦ ἀεί. οὐ γὰρ λέγεται πάντοτε. Βάβριος· Σ
τῶν οὖν τριχῶν ἑκάστοθ' ἡ μὲν ἀκμαία ἔτιλλεν, ἃς εὕρισκε λευκανθι-
ζούσας. καὶ αὖθις· τοὺς μὲν φιλεῖν βουλομένους δεδοίκατε, τοὺς Ar.
δ' οὐκ ἐθέλοντας ἀντιβολεῖσθ' ἑκάστοτε. ἀντὶ τοῦ ἀεί. Σ
358 Ἐκ καταλόγου: τῶν εἰς στρατιώτας τελούντων. τὴν γάρ τοι E
πληθὺν καὶ τοὺς ἐκ καταλόγου ἐῶ νῦν. Αἰλιανός φησιν.
359 Ἑκαταῖος, Ἀβδηρίτης, φιλόσοφος· ὃς ἐπεκλήθη καὶ κριτικὸς Hesy.
γραμματικός, οἷα γραμματικὴν ἔχων παρασκευήν. γέγονε δ' ἐπὶ τῶν
διαδόχων. βιβλία αὐτοῦ ταῦτα· Περὶ τῆς ποιήσεως Ὁμήρου καὶ
Ἡσιόδου.
360 Ἑκαταῖος, Ἡγησάνδρου, Μιλήσιος, γέγονε κατὰ τοὺς Δαρείου Hesy.
χρόνους τοῦ μετὰ Καμβύσην βασιλεύσαντος, ὅτε καὶ Διονύσιος ἦν ὁ
Μιλήσιος, ἐπὶ τῆς ξε' Ὀλυμπιάδος· ἱστοριογράφος. Ἡρόδοτος δὲ ὁ
Ἁλικαρνασεὺς ὠφέληται τούτου νεώτερος ὤν· γέγονε γὰρ μετ' αὐτόν.
καὶ ἦν ἀκουστὴς Πρωταγόρου ὁ Ἑκαταῖος. πρῶτος δὲ ἱστορίαν πεζῶς
ἐξήνεγκε, συγγραφὴν δὲ Φερεκύδης· τὰ γὰρ Ἀγησιλάου νοθεύεται.
361 Ἑκάτειον: Ἑκάτης ἄγαλμα. καὶ παροιμία, Θεαγένους Ἑκάτειον· Ar.
οὗ ἐπυνθάνετο πανταχοῦ ἀπιών. ὃς Καπνὸς ἐκαλεῖτο. ἦσαν δὲ Θεα-

350 = Ba 212, 25; — δολοῦν = H 351 sch. Ar. Eq. 663; Σ 488
352 = Ba 212, 26 cf. sch. Thuc. 5, 28, 2 354 — πόρρω = Ps. Herodian. 29 cf. H, L 355 — πορρωτάτω sch. K 113 cf. H ἑκαστάτω alt. sq. Proc. Bell. 3, 2, 20 356 l. = Ambr. 498 357 — πάντοτε cf. Phryn. Ecl. p. 103; — ἀεί = H τῶν—λευκανθιζούσας Babr. 22, 8—9 vs. 16 τοὺς—17 ἑκάστοτε Ar. Eccl. 181—2 358 τὴν—νῦν Aelian. fr. 140 360 cf. ad 788 et Rohde, Kl. Schr. 1, 125, 2 361 — ἄγαλμα sch. Ar. Vsp. 804. Θεαγένους—ἀπιών sch. Ar. Lys. 64. ὃς sq. sch. Ar. Av. 822 cf. sch. Ar. Pac. 928

352—3 Z 662 354 cf. 339. Z 680 355 Vind. 264, Z 680 356 Z 680 357 Ar. cf. v. Δ 1596 358 cf. v K 630 extr. Z 651 359 cf. v. παρασκευή 360 hinc v. I 697 et v. συγγράφω extr. 361 cf. vv. Θ 80—1, ὑηνεία

1 δοκοῦν F 6 τὸ om. FVM 8 συνήγειρον FV 14 οὐ FV: οὐδὲ A(GITFVM) GITM καὶ A 15 ἔτελλεν VM 21 δ' om. M 26 ἐπὶ—Ὀλυμπιάδος om. V ὁ om. M 27 γέγονε—αὐτόν om. VM αὐτόν AG^{sec}F: αὐτῶν G^{sec}I 28 Πυθαγόρου Sevin. ὁ Ἑκαταῖος del. Gutschmid πεζὸς V 29 Ἀκουσιλάου Voss. 31 Καμνὸς FV

γένεις ἄλλοι β'· ὁ περὶ Ὁμήρου γράψας καὶ ὁ ἐπὶ μαλακίᾳ διαβεβλημένος.

Δ 362 Ἑκατηβελέτης: ὁ Ἀπόλλων, ὁ αὐτὸς καὶ ἑκατηβόλος.

Ar. 363 Ἑκάτην· ἀπὸ ταύτης ἔστι μαθεῖν εἴτε τὸ πλουτεῖν εἴτε τὸ πεινῆν ἐστι βέλτιον· φησὶ γὰρ αὕτη τοὺς μὲν ἔχοντας καὶ πλουτοῦντας δεῖπνον κατὰ μῆν' ἀποπέμπειν, τοὺς δὲ πένητας τῶν ἀνθρώπων ἁρπάζειν πρὶν καταθεῖναι. ἔθος γὰρ ἦν ἄρτους καὶ ἄλλα τινὰ κατὰ μῆνα τιθέναι τῇ Ἑκάτῃ τοὺς πλουσίους, λαμβάνειν ἐξ αὐτῶν τοὺς πένητας.

Greg.? 364 Ἑκάτην: οἱ μὲν τὴν Ἄρτεμιν, οἱ δὲ τὴν σελήνην, ἐν φάσμασιν ἐκτόποις φαινομένην τοῖς καταρωμένοις. τὰ δὲ φάσματα αὐτῆς δρακοντοκέφαλοι ἄνθρωποι καὶ ὑπερμεγέθεις, ὡς τὴν θέαν ἐκπλήττειν τοὺς ὁρῶντας.

Harp. 365 Ἑκάτης νήσου: πρὸ τῆς Δήλου κεῖταί τι νησύδριον, ὃ ὑπ' ἐνίων Ψαμίτη καλεῖται. καλεῖσθαι δὲ οὕτως φασὶν αὐτὴν διὰ τὸ τοῖς ψαμίτοις τιμᾶσθαι τὴν θεόν. ψάμιτον δέ ἐστι ψαιστῶν τις ἰδέα.

Harp. 366 Ἑκατομβαιών: μὴν Ἀθηναῖος. ἐκλήθη δὲ οὗτος ἀπὸ τοῦ πλείστας ἑκατόμβας θύεσθαι τῷ μηνὶ τούτῳ.

Harp. 367 Ἑκάτομνος: ὄνομα κύριον.

Δ 368 Ἑκατόμπεδος νεώς: ὁ Ἀθήνησι παρθενών. καὶ Ἑκατόμ-

Harp. πεδον· Λυκοῦργος. ὁ παρθενὼν ὑπό τινων Ἑκατόμπεδος ἐκαλεῖτο διὰ κάλλος καὶ εὐρυθμίαν, οὐ διὰ μέγεθος.

Δ 369 Ἑκατοστός: ὁ ἀριθμός.

370 Ἑκατοντάρχης.

Ar. 371 Ἐκκαυλίζων: ἀποκλῶν, ἀνασπῶν. ἀπὸ μεταφορᾶς τῶν τὰ λάχανα ἀνασπώντων.

Suid. 372 Ἐκβαλεῖν: λέγουσιν ἰδίως τὸ κροῦσαι ταῖς ναυσίν.

Synt. 373 Ἐκβάλλω· αἰτιατικῇ. τὸν Ἀδὰμ ἐξέβαλε τοῦ παραδείσου. Ἐκβάλλομαι δὲ γενικῇ· ἐξεβλήθη Ἀδὰμ τοῦ παραδείσου.

Σ 374 Ἐκβακχευθείς: ἐκμανείς. ὁ δὲ Οὐάλης ἐκβακχευθεὶς ἐπὶ

E τοὺς πολεμίους ἀθρόαν παρήγγειλεν ἔξοδον.

Σ 375 Ἐκβεβόλβισται: ἐξορώρυκται.

362 = Ambr. 364—5, Stud. An. 267 cf. Ps. Herodian. 29, H 363 Ar. Pl. 594—7 c. sch. 364 sch. in Greg. Naz. or. 39, PG 36, 340a sec. Gsf. 365 Harp. 366 Harp. cf. Bk. 247, 1, Et M. 321, 3, Et. Gen. 367 Harp. 368 — παρθενών pr. cf. Ambr. 328; Bk. 247, 24 = Et. M. 321, 20 Ἑκατόμπεδον sq. Harp.; Lycurg. fr. 3 369 = Ambr. 326 371 sch. Ar. Eq. 825 373 — γενικῇ cf. Synt. Laur. ἐξεβλήθη sq. = An. Ox. 4, 291, 18 374 — μανείς = Ba 211, 30 cf. sch. Pl. Rep. 561a ὁ sq. Eunapio attr. Tittm. 375 fr. com. ad. 992 cf. H, sch. Ar. Pac. 1123

363 cf. v. πλουτεῖν 365 hinc v. Ψαμίτη 371 Z 662 372 ex 934 374—5 Z 663

A(GITFVM) 6 δεῖπνον] καὶ δεῖπνον V 15 τοῖς]τῆς A 16 ψαμμίτοις AFVM cf. Harp. plen. τὴν]τὸν A ψάμμιτον FVM cf Harp. 370 om. FVmg. A 371 om. FV 25 ἀπὸ] ἐκ M 372 om. FV 373 om. TFV post 374 GI 374 post 372 GIT post 369 M 30 οὐδὲ Οὐάλις V 32 Ἐκβεβόλβισται A cf. Hes.: Ἐκβεβόλισται GITF Zon. Ἐκβεβόλαισται VM ἐξορύκτεται A

376 Ἐκβιαστής. ἄμφω γάρ εἰσιν ἐκβιασταὶ τῆς δίκης, νύττουσιν Δ
ἡμᾶς πρὸς τὸ τῆς δίκης πέρας. περὶ Γρηγορίου καὶ Βασιλείου φησίν.
377 Ἐκβαίνω· αἰτιατικῇ. καὶ Ἐκβῆς: ἐξέλθῃς. Synt. Δ
378 Ἐκβιβάσας: ἐξαγαγών. τὴν ἡδυμελῆ ξύμφωνον ἀηδόνα μούσης Ar.
5 κατάλειφ' ἡμῖν δεῦρ' ἐκβιβάσας, ἵνα παίσωμεν μετ' ἐκείνης. ἀντὶ τοῦ
χορεύσωμεν.
379 Ἐκβρασθῇ: ἐκβληθῇ, ἐκριφῇ. λέγεται δὲ καὶ ἐπὶ τῶν ὑπὸ τῆς Σ
θαλάσσης ἐκριπτουμένων. λέγεται δὲ καὶ ἐξεπτύσθη ὑπὸ τῆς
θαλάσσης.
10 380 Ἐκγαμηθῆναι· ὅταν εἰς ἕτερον γένος ἐκδοθῇ παρθένος, οἱονεὶ Σ
τοῖς μὴ προσήκουσι, τοῦτο ἐκγαμεῖσθαι λέγεται.
381 Ἐκγεγάμεν· Ὅμηρος· εὔχεται ἐκγεγάμεν. ἀντὶ τοῦ γεγενῆσθαι.
ἀπὸ τοῦ γῶ, γήσω, γέγημι· ἀπαρεμφάτως γεγάναι καὶ Δωρικῶς
γεγάμεν· ὡς τιθέναι, τιθέμεν.
15 382 Ἐκ γενετῆς τυφλός.
383 Ἐκ γειτόνων· ἐκ γειτόνων τῆς μεγαλοφροσύνης παροικοῦσαν
τὴν ἀλαζονείαν ἐκφεύγει. ἀντὶ τοῦ γειτνιῶσαν.
384 Ἐκδεδαρμένον δέρεις: ἐπὶ τῶν μάτην πονούντων. Prov.
385 Ἐκδεές: ἀτελές, ἐλλιπές. ἔδοξε δὲ αὐτοῖς πρότερον, ὡς μηδὲν Ε
20 ἐκδεὲς εἴη τῶν θείων λογίων, εἰς τὴν πόλιν εἰσελθεῖν, ⟨ὅπως⟩ τὸ
ἄγαλμα, εἰ δύναιντο, κλέψειαν τῆς Ἀθηνᾶς.
386 Ἐκδέξασθαι: οὐκ ἐπὶ τοῦ ἀναμεῖναι, ἀλλ' ἐπὶ τοῦ ἀναδέξασθαι Σ
καὶ ἀναλαβεῖν. Ἐκδέξασθαί ἐστι τὸ παρ' ἑτέρου λαβόντα αὐτὸν Harp.
ἐγχειρεῖν τὸ δεύτερον. ἐπισκεπτέον δὲ τὸ ἐν τῷ ε' Φιλιππικῷ ληφθέν·
25 καὶ τὸ δοκεῖν ἐκδέχεσθαι τῶν ἐκείνῳ πεπραγμένων.
387 Ἔκδεξαι: ἀντὶ τοῦ ἀληθεύων οὐ ψεύδομαι, πίστευσον ὑποσχο- Thdr.
μένῳ τῷ δούλῳ σου, αὐτὸς ἐγγυητὴς γενοῦ τῆς ἐμῆς ὑποσχέσεως.
388 Ἐκδέχεσθαι: ἀπείργειν, κωλύειν. γέρρα τε παρατεταμένα ἦν Ε
εἰς τὸ ἐκδέχεσθαι τὰ τῶν βαρβάρων τοξεύματα.
30 389 Ἐκδέχῃ: νοεῖς, ὑπολαμβάνεις. Πολύβιος· οὐκ ὀρθῶς, ὦ στρα- Ε
τηγέ, τοὺς ἡμετέρους ἐκδέχῃ λόγους. καὶ Ἐκδέχομαι· αἰτιατικῇ. Synt.

376 ἄμφω sq. Pisid. Sever. 652—3 377 = Synt. Laur. 378 Ar. Av. 659—60 c. sch. 379 — ἐκριπτουμένων = Σ^a, Ba 212, 1 380 cf. Bk. 259, 30 381 Ὅμηρος Ε 248. γεγενῆσθαι cf. H = sch. Ε 248 382 Sext. Emp. adv. Eth. 11, 238 cf. Io. 9, 1; fort. Metaphr. 383 — ἐκφεύγει Synes. ep. 142, p. 278d 384 = Paroem. ed. Gsf. 45, n. 403 385 ἔδοξε sq. Aeliano attr. Hemst., Nic. Dam. Bhd. 386 Ἐκδέξασθαι alt. sq. Harp.; Dem. 5, 18 387 Thdr. in Ps. 118, 122, PG 80, 1860a 389 οὐκ—λόγους Polyb. 10, 18, 12 = ES 139, 10 Ἐκδέχομαι sq. = Synt. Gud.

378 cf. v. παίσωμεν. Z 663 379 cf. 413. Z 663 380 Z 663
381 Z 663 383 Z 651 = 655 384 cf. v. K 2691 385 Z 659 386 Z 664
387 Z 663 388—9 Z 664

377 extra ordinem 3 Ἐκβαίνω· αἰτιατικῇ om. TFV mg. A Ἐκβαίνει I^{oc} M A(GITFVM)
καὶ om. ATFV 7 Ἐκβρασθῇ A Σ^a Ba: Ἐκβιασθῇ FVM Ἐκκρουσθῇ GIT
12 γεγεννῆσθαι Kust. 382 om. ATFV post 383 GI 20 ⟨ὅπως⟩ suppl. pr.
25 ἐκείνοις F Dem. cf. Harp. 28 παρατεταγμένα IF

Σ 390 Ἔκδεια: ἡ κεχρεωστημένη λοιπάς. ἔκδεια γάρ ἐστι τὸ μέρος καταβαλεῖν ὧν ὀφείλει τις, εἰ καὶ μὴ πάντα· ἔνδεια δὲ τὸ μηδὲν ὅλως καταβαλεῖν. ἢ ἔκδεια μέν ἐστι τὸ ἔχοντα μὴ καταβαλεῖν, ἔνδεια δὲ τὸ μηδὲν ἔχειν· ὡς εἶναι τὸ μὲν ἑκούσιον, τὸ δὲ ἀκούσιον.

Thuc.? Ἔκδεια μέν ἐστιν ἑκούσιος στέρησις χρημάτων, ἔνδεια δὲ ἀκούσιος.

Σ 391 Ἐκδειματοῦντες: ἐκφοβοῦντες.

392 Ἐκ διαμέτρου.

Σ 393 Ἐκδιαιτηθῆναι: διαπραθῆναι.

Σ 394 Ἐκδιήτησε: κακῶς διῴκησεν.

Δ 395 Ἐκδιαίτησις: ἡ τρυφή. ὁ δὲ τρυφαῖς μαλακαῖς καὶ ἐκδιαιτήσεσι διαλυθεὶς ἐπανῆει, νωθείᾳ τε καὶ μαλακίᾳ καὶ ἀβουλίᾳ τὰς τῆς Ε ἀρχῆς ἡνίας ἀφῆνσι. καὶ αὖθις· ἀπαγορεύει πρὸς τοὺς πόνους πόθῳ Ε τῆς ἐν Συρίᾳ ἐκδιαιτήσεως. καὶ αὖθις· τὴν Νέρωνος ἐς τρυφὴν ἐκδιαίτησιν.

Harp. 396 Ἐκδικάσασθαι: Ἰσαῖος, ἀντὶ τοῦ ἀνάδικον ἐκπρᾶξαι διὰ τὸ δικάσασθαι.

397 Ἐκδικία.

Σ+Ε 398 Ἔκδικον: τὸ ἔξω τοῦ δικαίου. Αἰλιανός· τετόλμητο μὲν αὐτῷ τὸ ἔκδικον ἐκεῖνο καὶ παράνομον ἔργον.

Σ 399 Ἐκδίκους: δικαίους καὶ ἔξω τοῦ δικαίου ὄντας. ὁ δὲ ἦν Ε ἔκδικός τε καὶ ἔκνομος. ἀντὶ τοῦ ἄδικος. καὶ Σοφοκλῆς· Θῆβαι

Soph. δ' οὐκ ἐπαίδευσαν κακόν. οὐ γὰρ φιλοῦσιν ἄνδρας ἐκδίκους τρέφειν. σὺ δ' ἀξίαν οὐκ οὖσαν αἰσχύνεις πόλιν τὴν αὐτὸς αὑτοῦ. καί σ' ὁ πληθύων χρόνος γέρονθ' ὁμοῦ τίθησι καὶ τοῦ νοῦ κενόν.

Ε 400 Ἐκδίκως· δεῖν χοὰς τοῖς ἐκδίκως τῶν Αἰτωλῶν τεθνεῶσιν Ε ἐπάγειν. καὶ αὖθις· καὶ μεγάλα ἀνάρσια ἀνηρημένος ἐκδίκως.

Δ 401 Ἔκδιος.

Harp. 402 Ἔκδοσις: τὸ ναυτικὸν δάνεισμα, οἱονεὶ ἔξω δόσις. οὕτω καὶ Δημοσθένης κατὰ Ἀφόβου πρῶτον.

Σ 403 Ἔκδοτος: προδεδομένος.

390 — ἀκούσιον = Σ^{a} cf. Ba 212, 3; vs. 3 ἔκδεια—4 ἀκούσιον = Sabb. vs. 5 Ἔκδεια sq. cf. sch. Thuc. 1, 99, 1 391 = Ba 212, 7, H 393 = Ba 212, 8 cf. H 394 = Ba 212, 9 395 ὁ—ἀφῆνσι fort. Eunap. ἀπαγορεύει—ἐκδιαιτήσεως Dam. fr. 135(?) 396 Harp. = Et. M. 321, 18, Et. Gen.; Isae. fr. 77 398 — δικαίου cf. ad 399 τετόλμηται sq. Aelian. fr. 141 399 — ὄντας cf. Ba 212, 10, Et. M. 321, 16; 323, 16, Et. Gen., An. Ox. 2, 362, 16 ὁ—ἔκνομος Aelian. fr. 217 Θῆβαι sq. Soph. OC 919—20, 929—31 400 δεῖν—ἐπάγειν Aelian. fr. 73 vs. 26 καὶ alt. sq. fort. Aelian. 401 = L 402 Harp. = An. Ox. 2, 493, 18; Dem. 27, 11 403 = Ba 212, 12, H

390 Z 655 393 Z 664 394 cf. 1591. Z 664 395 Z 655 396 Z 663 400 cf. 1097, vv. A 933, 2055, 2433 402 Z 655 403 cf. Z 659

A(GITFVM) 2 καταλαβεῖν GIT^{ac} πάντας A 3 τὸ] τὸν GIT καταλαβεῖν FV 5 ἀκούσιος—7 διαμέτρου om. M 13 ἐς] ἐκ G om. V 397 ex I (post 398) M^{mg} 17 Ἐκδικία M: Ἐκδικίαι I 18 αὐτῷ] αὐτὸ A 23 αὑτοῦ] ἐκ τοῦ A 26 ἀνηρημένως F cf. 1097 402 non nov. gl. GTVM

404 Ἐκδοχεῖον: τὸ ταμιεῖον. Δ
405 Ἐκ δυεῖν τρία βλέπεις: ἐπὶ τῶν διὰ γῆρας ἢ ἄλλο τι πάθος Prov.
οὐκ ὀξυδορκούντων οὐδὲ εἰλικρινεῖς ἐχόντων τὰς ὁράσεις.
406 Ἑκκαιδεκάδωρα: ἑκκαίδεκα παλαιστῶν. δῶρον γὰρ καλεῖται Hom.
ἡ παλαιστή. Ὅμηρος· τοῦ κέρα ἑκκαιδεκάδωρα πεφύκει.
407 Ἔκαινον: ἔκοπτον. Δ
408 Ἑκκαίω· αἰτιατικῇ. Synt.
409 Ἐκκαίομαί σου δὲ γενικῇ. ἐρῶ σου. Δ
410 Ἐκκέκοφθ' ἡ μουσική: φασὶν ὅτι τῶν παλαιῶν ἐν τοῖς Prov.
συμποσίοις φιλολόγῳ ζητήσει χρωμένων, οἱ ὕστερον τὰς μουσουργοὺς
καὶ κιθαριστρίας καὶ ὀρχηστρίας ἐπεισήγαγον. ὅθεν τὴν καινοτομίαν
τινὲς αἰτιώμενοι τῇ παροιμίᾳ ἐχρῶντο.
411 Ἐκεκράγειαν: ἔκραζον. Δ
412 Ἐκκεκρικώς: ἐκκεχωρικώς.
413 Ἐκκεκυμασμένους: ὑπὸ τῶν κυμάτων ἐκβρασθέντας. ὁ δὲ Σ + E
κατέλαβε τοὺς περὶ τὸν ἀδελφὸν νεκροὺς παρὰ τὸν αἰγιαλὸν ἐκκεκυ-
μασμένους.
414 Ἐκκέλευστος· καὶ κατήγορος ἐκκέλευστος, ὃς ἂν μὴ γράψηται
παρανομῶν, ἐάλωκεν.
415 Ἐκενώθησαν: ἠρημώθησαν. Σ
416 Ἐκεράϊζον: κατέτρεχον, ἐληίζοντο, ἐπόρθουν. Σ?
417 Ἐκερουτίας: τὴν κεφαλὴν ἀνέτεινες δίκην τῶν κερατοφορούν- Ar.
των ζώων, ὅτι εὐειδῆ γίνεται μετεωρίζοντα τὴν κορυφήν. δηλοῖ δὲ
τὸ γαυριᾶν. ὡς ἔλαφος, φησίν, ἠγάλλου τοῖς κέρασιν. Ἀριστοφάνης·
ἀνωρτάλιζες, κἀκερουτίας.
418 Ἐκεύθαινον: ἔκρυπτον. Δ
419 Ἐκεχειρία: ἄνεσις, ἀργία, συνθήκη, ἔνδοσις, ἀνοχὴ πολέμου. Σ
ἡ πρὸς ὀλίγον χρόνον τοῦ πολέμου ἀναβολὴ καὶ ἡσυχία. παρὰ τὸ
ἔχειν τὰς χεῖρας, ἐχεχειρία τις οὖσα. Ἰώσηπος· ὥσπερ τοῖς ὅπλοις E
συμπεφυκότες οὐδέποτε τῆς ἀσκήσεως λαμβάνουσιν ἐκεχειρίαν.

404 cf. Ambr. 400 405 cf. H = Diogen. V. II 56, Philol. Suppl. 6, 231, n. 50 406 — παλαιστή sch. Δ 109 = H τοῦ sq. Δ 109 408 = An. Ox. 4, 291, 22 409 (praeter γενικῇ) cf. Ambr. 409 410 — ἐπεισήγαγον = Zen. III 99; l. = fr. com. ad. 680. ὅθεν sq. cf. Paroem. ed. Gsf. 51, n. 445 411 = Ambr. 411 412 = Ba 212, 27, H, Σ[a] 413 ὁ sq. fort. Aelian. 414 Synes. ep. 73 p. 221b 415 = Σ[a], Ba 212, 13, H 416 ἐπόρθουν = gl. in Nicephor. An. Ox. 2, 439, 1 417 Ar. Eq. 1344 c. sch. 418 = Ambr. 428 cf. H = sch. Γ 453 419 — πολέμου pr. = Σ[a], Lex. rhet. ap. Et. Gen. cf. Ambr. 384, Et. M. 321, 24, Ba 212, 15, H, sch. Thuc. 4, 117, 1, sch. Ar. Pac. 908 vs. 28 ἡ —29 οὖσα cf. Et. M. 321, 26, Lex. αἱμ. 624, 19 ὥσπερ sq. Ios. Bell. 3, 72

404 Z 659 406 cf. vv. Δ 1480 et 1472. Z 661 407 Z 665 409 Z 665 413 cf. 379. Z 665 416 cf. v. K 1351. Z 665 417 cf. v. A 2568. Z 664 418 Z 664

5 Ὅμηρος—πεφύκει ex IM[mg] cf. post 452 et post 455 409 non nov. A(GITFVM) gl. AG 8 Ἐκκαίωμαί A σου om. T δὲ om. FVM γενικῇ om. FV 9 φασὶ] γὰρ ὅτι τῶν παλαιστῶν V 13 ἐκρίαζον A 413 ex IM 16 παρὰ] περὶ GIT 18 Ἐκκεκέλευστος utrob. GIT 23 γίνονται F 24 Ἀριστοφάνης om. M 25 καὶ ἀκερουτίας FV

Σ 420 Ἐκκεχιλωμένην: ἐψευσμένην· ἢ κεχερσωμένην. ὅτι ὁ χιλὸς ἐν χέρσῳ φύεται· τοῦτο δέ ἐστι χόρτος. οἷον ἐξημελημένην.

Σ 421 Ἔκζεσις: ἐκβρασμός. φασὶ δὲ αὐτὸν φθειρσὶν ἐκζέσαι.

Synt. 422 Ἐκζητῶ· αἰτιατικῇ.

Ar. 423 Ἐκζωπυρῆσαι: ἀνάψαι. κυρίως τὸ ἐκ μικροῦ φυσῶντα μεγάλην φλόγα κινῆσαι. ἡ μεταφορὰ ἀπὸ τῶν ἀνθράκων.

Δ 424 Ἐκεῖ, ἐκεῖσε, ἐκεῖθεν, ἐκείνοθι, ἐκείνοθεν καὶ κατὰ συγκοπὴν ἐκεῖθεν τὴν ἐν τόπῳ σχέσιν δηλοῖ.

425 Ἐκκείμεθα· μόνῳ σοι τῶν ζώντων ἐκκείμεθα. οὐ γάρ ἐστιν ἡ ἀλήθεια πρᾶγμα ἐκκείμενον οὐδὲ καταβεβλημένον οὐδὲ θήρᾳ ληπτέον. ἀντὶ τοῦ καταπεφρονημένον.

Ε 426 Ἐκείνῃ: ἐπίρρημα. ἀντὶ τοῦ τὰς αὐτόθι. τὰς ἐκείνῃ νάπας Ε διεξελθών. καὶ αὖθις· τοῖς τε Γέταις καὶ τοῖς ἐκείνῃ βαρβάροις.

Thuc. 427 Ἐκείνῃ: τὰ ἐκεῖσε. εἰς Παρθυαίαν ἐμβάλλειν καὶ τὰ ἐκείνῃ Ε ἄγειν καὶ φέρειν καὶ τῇ στρατιᾷ σῖτα παρέχειν.

Ar. 428 Ἐκεῖνος καὶ κεῖνος καὶ τὸ αὐτὸς ἀντὶ ὀνόματος παραλαμβάνουσιν οἱ ποιηταί. Ἀριστοφάνης Νεφέλαις· ἀλλ' εἶτιθ', ἵνα μὴ κεῖνος ἡμῖν ἐπιτύχῃ. καὶ Ὅμηρος τὴν Θέτιν παρεισάγει λέγουσαν· τίπτε μ' ἐκεῖνος ἄνωγε μέγας θεός; καὶ τό, αὐτὸς ἔφα, παρὰ τοῖς Πυθαγορείοις.

Δ 429 Ἔκηαν: ἔκαυσαν.

Δ 430 Ἑκηβολία.

Ε 431 Ἑκηβόλιος, σοφιστὴς Κωνσταντινουπόλεως. οὗτος ἐπὶ Κωνσταντίου διαπύρως χριστιανίζειν ὑποκρινόμενος ἐπὶ Ἰουλιανοῦ ἄλογος Ἕλλην ἐφαίνετο. ῥίψας γὰρ ἑαυτὸν πρὸ τῆς πύλης τοῦ εὐκτηρίου οἴκου, πατήσατέ με, ἐβόα, τὸ ἅλας τὸ ἀναίσθητον. τοιοῦτος ἦν κοῦφος καὶ εὐχερὴς Ἑκηβόλιος καὶ πρότερον καὶ ὕστερον.

Δ 432 Ἑκηβόλος: ὁ Ἀπόλλων.

Ε 433 Ἐκήδευσαν: κατ' ἐπιγαμίαν συνήφθησαν. ἐκήδευσάν τε αὐτοῖς δόντες γυναῖκας καὶ αὐτοὶ παρ' ἐκείνων λαβόντες.

Δ 434 Ἐκήκιεν: ἀνεφέρετο.

435 Ἔκηλος: ἡσυχος.

420 = Et. M. 322, 15, Et. Gen., Paus. Att. fr. 323 ap. Eust. I. 773, 1 421 — ἐκβρασμός = Σ^{a}, Ba 212, 14 φασὶ sq. Laert. 4, 4 422 = Synt. Laur. 423 sch. Ar. Pac. 310 (falso Phryn. fr. 305) 424 cf. Et. M. 321, 40, Et. Gud., Orion. 57, 7; — ἐκεῖθεν = Ambr. 505—7 425 — ἐκκείμεθα alt. Synes. ep. 95, p. 233 b. οὐ—ληπτέον Synes. Dio., PG 66, 1141 d 427 — ἐκεῖσε sch. Thuc. 3, 88, 3 εἰς sq. Arr. Parth. fr. 92 428 Ar. Nu. 195 c. sch.; Ω 90 429 = Ambr. 426 cf. sch. A 40, Et. M. 322, 9, H 430 cf. Ambr. 390 431 Socr. h. e. 3, 13 432 = Ambr. 365, Stud. An. 267 cf. Et. M. 321, 55 434 cf. sch. ϵ 455 435 = L, Et. M. 321, 51, Ps. Herodian. 29 cf. sch. Ε 759

420 hinc v. χιλή extr. 421 Z 655. Laert. cf. v. λείβει 423 Z 665 426 Z 680 429 Z 666 433—4 Z 666

A(GITFVM) 1 ὁ] ἡ GIT 7 ἐκεῖθεν] nov. gl. AM 12 τὰς pr.] τοὺς VM del. Dr. 13 διελθών V 14 Παρθυαίαν VM ἐκβάλλειν V 16 ἀντὶ] ἀντὶ τοῦ AVM 19 ἄνωτε GI αὐτὸς] αὐτοῖς GIV 435 om. AFV post 433 M

436 Ἐκήλει: cὺν ἡδονῇ ἔτερπεν. κηλῶ γὰρ τὸ ὑπ' αὐλὸν ᾄδομαι. x + E
οὕτω μὲν ὁ κατάρατος cυνήθως τὸν ἄνθρωπον ἐκήλει. καὶ αὖθις·
ὁ δὲ διηγεῖτο μυρία ὅca, δι' ὧν ἐκήλει τοὺc ἀκούοντας.
437 Ἐκηριώθην: ἐcκοτώθην, ἢ διὰ τὸ δέος κήρινος ἐγενόμην. Σ
438 Ἐκκήρυκτον: ἀπόβλητον. καὶ Ἐξεκήρυξαν, ἀντὶ τοῦ Σ |
ἀπεcκοράκιcαν.
439 Ἕκητι: ἀντὶ τοῦ ἕνεκα. cημαίνει δὲ καὶ χωρίc. Δ
440 Ἐκίccηcεν: ἐν γαcτρὶ ἔcχεν, μεθ' ἡδονῆc cυνέλαβεν, ἐγέννηcεν. Σ + Δ
441 Ἔκθαμβοc. Δ
442 Ἐκθανεῖν: ἀποθανεῖν.
443 Ἐκθεατρίζουcιν: ἐκπομπεύουcιν, ἐκφαυλίζουcιν, ἐξελέγχουcιν. E
οἱ γὰρ πολλοὶ τὰ μὲν ἔργα τῶν εὐτυχούντων οὐ πειρῶνται μιμεῖcθαι,
τὰ δὲ πάρεργα ζηλοῦντεc ἐκθεατρίζουcι τὴν ἑαυτῶν ἀκριcίαν.
444 Ἔκθεcμον: παράνομον. Σ
445 Ἔκθετα: ἐκριπτούμενα. Σ
446 Ἐκθεῖ: ἔξειcιν, ἐξέρχεται. Ἀριcτοφάνηc· ἐcδραμὼν εἰc τὸ πρυ- Ar.
τανεῖον κενῇ τῇ κοιλίᾳ ἐκθεῖ πλέᾳ. τουτέcτιν ἔξειcιν ἐκ τῆc πόλεωc,
γενόμενοc πλούcιοc, προcελθὼν τῇ πολιτείᾳ. ἐμφαντικῇ δὲ λέξει
κέχρηται, ἵνα δείξῃ αὐτὸν ἐπιπεπηδηκότα ἀναιcχύντωc τῇ πολιτείᾳ.
447 Ἐκθλίβω· αἰτιατικῇ. Synt.
448 Ἐκθειάcαι: θεοποιῆcαι. Σ
449 Ἔκθορεν: ἐξεπήδηcεν. Βάβριοc· φρίξαc δὲ χαίτην ἔκθορε Δ
φωλάδοc κοίληc.
450 Ἐκθορεῖν: ἐκδραμεῖν, ἐκφυγεῖν. Σ
451 Ἐκθρώcκειν: ἐκπηδᾶν. Σ
452 Ἐκθυμία: ἡ προθυμία. ἐπεὶ δ' ἔλαβε καιρὸν τῆc ἐκείνων Δ
ἐκθυμίαc κατὰ τὴν μάχην πρὸc τοὺc πολεμίουc, παρέcφαξεν αὐτούc. E
453 Ἐκθύμωc: προθύμωc. ὁ δὲ ἠγωνίζετο πεζὸc ἐκθύμωc. Σ E
454 Ἐκθύcacθαι: τὸ ἐξιλεώcacθαι καὶ ἐκμειλίξacθαι. Σ

436 οὕτω—ἐκήλει sec. Aelian. fr. 239 ὁ δὲ sq. fort. Dam. 437 cf. Et. M. 322, 13 = Et. Gen.; H 438 — ἀπόβλητον = Ba 212, 28, H 439 cf. H 440 praeter μεθ' ἡδονῆc = Ba 212, 23, Σ^{a}. μεθ' ἡδονῆc cυνέλαβεν = Ambr. 449 cf. An. Ox. 2, 369, 22; ἐγέννηcεν = H (in Ps. 50, 7) 441 cf. H 443 οἱ sq. Polyb. 11, 8, 7 444 = Ba 212, 18 cf. H 445 = Ba 212, 19, H 446 Ar. Eq. 280—1 c. sch. 447 = Synt. Laur. 448 = Ba 212, 17 449 — ἐξεπήδηcεν = H (in Π 427) φρίξαc sq. Babr. 82, 3 450 = Ba 212, 20 cf. H 451 = Ba 212, 21 cf. H, sch. K 95 452 — προθύμωc = Ba 212, 22, H 454 cf. H v. ἐκθύεcθαι, Eust. I. 1223, 51; in Hdt. 6, 91, 1

436 cf. v. K 1514. Z 666 437 hinc v. K 1535. Z 666 438 Z 655 cf. 652 439 Z 680 440 cf. v. K 1677 443 cf. 1598 et v. Θ 88. Z 667 444 Z 655 445 Z 659 446 cf. v. K 1846 449 Z 666. Babr. cf. vv. φωλάδι et φριξότριχα 450—1 Z 666 452 Z 655 453 Z 680 454 Z 666

1 κηλῶ] κηλοῦμαι Kust. αὐλῶν Kust. 7 δὲ om. A 8 μεθ' ἡδονῆc A(GITFVM)
om. FV Ba 442 om. FV 16 εἰc] ἐc GITM post 452 add. 406 (usque ad παλαιcτή) iterum G; post 454 ἑκκαίδεκα· ζήτει ἔμπροcθεν add. M; post 455, 406 (praeter ἑκκαίδεκα παλαιcτῶν) add. A

E 455 Ἐκλαβεῖν: ἀπολαβεῖν. Πολύβιος· ὅταν ᾖ τὸ δίκαιον ἐκλαβεῖν παρὰ τῶν ἀδικησάντων ἢ κατὰ νόμους ἢ κατ' ἄλλας τινὰς ὑποκειμένας δικαιοδοσίας.

Σ 456 Ἔκλαγξαν: ἤχησαν.

E 457 Ἐκλεγόμενος· αἰτιατικῇ. προκρίνων, προτιμῶν. ὁ δὲ καταπιστεύων τοῖς πράγμασιν ἔσπευδε δι' αὑτοῦ κρῖναι τὰ ὅλα. διόπερ οὐ τὸν τῶν πραγμάτων ἐκλεγόμενος καιρὸν ἀλλὰ τὸν ἴδιον, ἔμελλε τοῦ δέοντος σφαλήσεσθαι.

Σ 458 Ἐκλέγοντες: ἀπαιτοῦντες.

459 Ἐκλεκτός· ὀξυτόνως· ἐπίλεκτος δὲ προπαροξυτόνως. διότι τὸ μὲν ἐκ τοῦ ῥήματος, τὸ δὲ ἐκ τοῦ ὀνόματος συντέθειται. ὁ δὲ Σολομῶν φησι· χεὶρ ἐκλεκτῶν κρατήσει εὐχερῶς. τὸ μὲν γὰρ κρατεῖν ἐστιν ἴσως καὶ τῶν ἐπὶ πλεῖστον φαύλων ἢ φόβῳ ἢ αἰχύνῃ τὴν διὰ τοῦ σώματος ἐνέργειαν κωλυόντων μετὰ πολλῆς τῆς ἀνάγκης, τὸ δὲ ἔρωτι τῶν ἄνω μὴ ἡττηθῆναι τοῖς κάτω μόνων ἐστὶ τῶν φιλοθέων καὶ οὓς ἡ γραφὴ ἐκλεκτοὺς ὠνόμασεν.

Σ 460 Ἐκλελάκτικεν: ἀποβέβληκεν, ἀπέφυγεν.

E 461 Ἐκκλείεται: ἐμποδίζεται. ἐκκλείεται ἡ πάροδος ἡ εἰς τὴν Χερρόνησον διὰ τῆς πόλεως ταύτης.

E 462 Ἐκκλείουσι: κωλύουσιν, εἴργουσιν. Πολύβιος· ἐπεὶ τὸν Φίλιππον ἐκκλείουσιν οἱ καιροί, βούλεσθαι τὸν βασιλέα τὴν ἐπιγραφὴν τῆς πράξεως ἐκείνῳ περιποιῆσαι, ὡς ἐν εὐεργεσίᾳ προφέρων τούτῳ τοὺς λόγους.

Δ 463 Ἐκλειπία: ἡ συγχώρησις. ἄδικον ἡγεῖτο τὴν ἐκλειπίαν τῆς
E πρὸς τοὺς ὁμωμοκότας πίστεως καὶ σφάζει ἑαυτόν.

Σ 464 Ἔκλειψις καὶ Ἐξέλιπεν: ἑκάτερον αὐτῶν τέτακται ἐπὶ τῶν διαψηφίσεων τῶν γινομένων ἐν τοῖς δήμοις περὶ τῶν γινομένων εἰς τὸ ληξιαρχικὸν γραμματεῖον. ὅσοι μὲν ἐγκαλούμενοι, ὅτι μή εἰσιν ἀστοί, ἀπαντῶσι πρὸς τὰ ἐγκλήματα, περὶ τούτων οἱ δημόται ψῆφον φέρουσιν· ὅστις δὲ μὴ παρεγένετο κριθησόμενος, ἐξέλιπεν οὗτος τὴν
Suid. περὶ αὐτοῦ διάγνωσιν. καὶ τοῦτο ἔκλειψις καλεῖται. ὅτι ἡ τοῦ ἡλίου ἔκλειψις ἐπιπροσθουμένου ὑπὸ τῆς σελήνης ἐναργῶς φαίνεται γίνεσθαι. ζήτει ἐν τῷ διαφανές.

455 ὅταν sq. Polyb. fr. 31 456 = Ba 213, 17, Et. Gen., Et. M. 322, 49, H 457 αἰτιατικῇ cf. Synt. Laur. ὁ sq. Polyb. 3, 70, 7—8 458 = Σ^a cf. Ba 213, 18 459 — συντέθειται cf. An. Ox. 1, 113, 22 ex quo Et. M. 269, 9 χεὶρ sq. Prov. Salom. 12, 24 cum expl. 460 fort. in Men. com. fr. 16 462 ἐπεὶ sq. Polyb. fr. 36 463 ἄδικον sq. Ios. Ant. 19, 273 464 — vs. 31 καλεῖται cf. Bk. 259, 21

455 cf. v. Δ 1065 457 Z 667 458 Z 667 459 hinc 2437 460 Z 667 462 Z 667 463 Z 656 464 ὅτι sq. ex v. Δ 810

A(GITFVM) 10 προπαροξύτονος A 13 ἐστιν om. V πλείστων V 14 τὸ] τῷ AV δὲ] γὰρ V 15 μόνον A 19 Χερρόνησον F: Χερόννησον rell. 24 ἀσυγχώρησις Toup 26 et 30 Ἐξέλειπεν FV 27 γινομένων] γραφομένων Hemst. 29 ἀστοί] αὐτοί A^{ac}FVM 31 ὅτι—33 διαφανές om. FV 32 ζήτει—33 διαφανές om. GIT

465 Ἐκλειπέτωσαν.

466 Ἐκληδονίζετο: ἐμαντεύετο. Δ

467 Ἐκληπτέον: δεῖ λαμβάνειν. Δ

468 Ἐκκλήσεις· πρόδηλος γὰρ ἐγένετο φυγὴ καὶ τῶν ὑπεναντίων E
ἐκκλήσεις πρὸς ἐπίθεσιν.

469 Ἐκκλησιάζων: εἰς ἐκκλησίαν συγκαλῶν. ἡνίκα ἐκκλησιάζων E
ἐδίδου τὸ παράγγελμα.

470 Ἐκκλησία κυρία: οὕτω λέγεται κυρία, ἐν ᾗ ἐκύρουν τὰ ψη- Ar.
φίσματα. εἰσὶ δὲ νόμιμοι ἐκκλησίαι, αἱ λεγόμεναι κύριαι, τρεῖς τοῦ
μηνὸς Ἀθήνησιν, ἡ πρώτη καὶ ἡ ι′ καὶ ἡ τριακάς. εἰσὶ δὲ καὶ προσ-
κλητοῖς ἐναγόμεναι κατά τινα ἐπείγοντα πράγματα. αἱ μὲν οὖν
νόμιμοι καὶ ὡρισμέναι κύριοι καλοῦνται, αἱ δὲ πρὸς τὸ κατεπεῖγον
συναγόμεναι σύγκλητοι.

471 Ἐκκλησίαν: συναγωγὴν ὄχλου. Ἀριστοφάνης Πλούτῳ· ἐκ- Σ
κλησία δ' οὐχὶ διὰ πλοῦτον γίνεται; ἐκκλησιάζομεν γὰρ ἢ τῶν ἰδίων Ar.
τι σῶσαι βουλόμενοι ἢ τῶν ἀλλοτρίων τι σφετερίσασθαι. διαβάλλει δὲ
τὸ ἐπὶ φιλοδικίᾳ τῶν Ἀθηναίων τριώβολον.

472 Ἐκκλησίαν: σῶμα ἑαυτοῦ τὴν ἐκκλησίαν καλεῖ ὁ Χριστός, καὶ
διὰ ταύτης ἱερατεύει ὡς ἄνθρωπος· δέχεται δὲ τὰ προσφερόμενα ὡς
θεός. προσφέρει δὲ ἡ ἐκκλησία τὰ τοῦ σώματος αὐτοῦ καὶ τοῦ
αἵματος σύμβολα, πᾶν τὸ φύραμα διὰ τῆς ἀπαρχῆς ἁγιάζουσα. λύσις
ὀνείρου· ἐκκλησίαις ἑστῶσιν ἔγκλησιν φέρει. On.

473 Ἐκκλητεύειν: τὸ εἰς κρίσιν ἄγειν, ἵνα ἐπάναγκές τις μαρτυρῇ. Harp.
οὕτως Αἰσχίνης.

474 Ἐκκλητευθῆναι· τῶν ἐγκαταλιπόντων μαρτυρίαν τὰ ὀνόματα Σ
ἐν τῷ δικαστηρίῳ κηρύσσεται· ὅπερ ἔλεγον ἐκκλητευθῆναι καὶ ἐκ-
κλητεύοι.

475 Ἐκλήτευσεν: ἐκάλεσεν. Δ

476 Ἐκκλητικῶς: ἐκκαλούμενος. καὶ Ἐκκλήσεις· πρόδηλος Σ
γὰρ ἐγένετο φυγὴ καὶ τῶν ὑπεναντίων ἐκκλήσεις πρὸς ἐπίθεσιν. E

477 Ἔκκλητον: τὴν ἐπὶ συνόδῳ παραίτησιν. Σ

478 Ἐκκλίνω· αἰτιατικῇ. Syut

479 Ἐκλιπαρεῖ: παρακαλεῖ. Σ

466 = Ambr. 437 cf. H 467 = Ambr. 499 468 Polyb. fr. 131 469 ἡνίκα sq. Polybio attr. Tittm. 470 sch. Ar. Ach. 19 471 — ὄχλου = Ba 212, 29 cf. H ἐκκλησία sq. Ar. Pl. 171 c. sch. 472 ἐκκλησίαις sq. Astramps. 473 Harp. = Et. M. 322, 40; — ἄγειν = Ambr. 415; Aeschin. 1, 46 474 cf. Lex. Patm. 154, Bk. 188, 28 475 = Ambr. 435, H 476 — ἐκκαλούμενος = Ba 213, 1 477 = Ba 213, 7 479 = Ba 213, 19 cf. H

466—7 Z 667 468 cf. 476. Z 656 469 Z 667 471—2 Z 656 473—4 Z 667 475 cf. v. K 1792. Z 668 476 cf. 468. Z 668

465 om. ATFV post 467 G post 466 I 4 γὰρ om. V 9 τρὶς FVM A(GITFVM)
10. 11 προσκλητοὶ sch. 11 ἀναγόμεναι TM ἑαναγόμεναι I 15 πλοῦτον] τοῦτον T Ar. 18 ὁ om. A 23 μαρτυρεῖ $A^{ec}FM^{ec}$ Et. 25 ἐγκαταλιμπανόντων V 29 καὶ—30 ἐπίθεσιν del. Kust. 30 γὰρ] γὰρ καὶ A

Σ 480 Ἐκλογιστίαν: ἀρίθμησιν. καὶ Ἐκλογιζόμενος τὸ πλῆθος τοῦ στρατοῦ, ἀντὶ τοῦ ἀριθμῶν. καὶ ἀντὶ τοῦ διανοούΕ μενος. ἐμπείρως καὶ φρονίμως ἐκλογιζόμενος. ὁ δὲ καὶ ἐκλογισμοῖς
Metaphr.? καθυπεβάλλετο.

Δ 481 Ἔκλογεῖον: ἡ ἐκλογάς.

Harp. 482 Ἐκλογεῖς: οἱ ἐκλέγοντες καὶ εἰσπράττοντες τὰ ὀφειλόμενα τῷ δημοσίῳ.

Σ 483 Ἐκλογεῖς· ὁπότε δέοι χρήματα τοὺς πολίτας εἰσφέρειν, τούτους κατὰ δύναμιν οἱ καλούμενοι ἐκλογεῖς διέγραφον. ἀλλὰ καὶ οἱ τοὺς φόρους ἀπὸ τῶν ὑπηκόων ἀθροίζοντες πόλεων οὕτως ἐλέγοντο.

Δ 484 Ἐκλόνησεν: ἐτάραξεν. Ἐκλώνισε δὲ κλῶνας ἔκοψεν.

Harp. 485 Ἐκκλώζετο· κλωσμὸν ἔλεγον τὸν γινόμενον ἐν τῷ στόματι ψόφον, ᾧ πρὸς τὰς ἐκβολὰς ἐχρῶντο τῶν ἀκροαμάτων, ὧν οὐχ ἡδέως ἤκουον.

Σ 486 Ἐκλώπευον: ἀντὶ τοῦ ἔκλεπτον. Ξενοφῶν ἐν τῇ Ἀναβάσει.

Δ 487 Ἐκλωπίζω: ἐκδέρω.

Σ 488 Ἔκλυεν: ὑπήκουεν, ἐκέλευεν.

489 Ἐκλῦσαι.

Prov. 490 Ἐκ λύκου στόματος: ἐπὶ τῶν ἀνελπίστως παρά τινών τι λαμβανόντων, κατὰ τὸν μῦθον τοῦ λύκου καὶ τοῦ γεράνου.

Σ 491 Ἐκμαγεῖον: ἐκτύπωμα, καὶ ἀποσφράγισμα. ξυνειληθέντα τε EL καὶ κατασφαλισθέντα ἐκμαγείοις κηρίνοις καὶ ἐκτυπώμασι δακτυλίων ἐπεδόθη.

Δ 492 Ἐκμαγῆσαι: ἐκτυπῶσαι.

Σ 493 Ἐκμαλθακῶσαι: ἐκμαλάξαι, χαυνῶσαι. ἄλλα τε πλεῖστα EL ἐκμαλθακῶσαι οἵας τε ὄντα ἀλαζονείας ἀνάπλεα φρονήματα.

Σ 494 Ἐκμαρτυρεῖν φασι τὸ λέγειν, οὐχ ἅπερ αὐτὸς εἶδεν, ἀλλ' ἅπερ ἑτέρων ἤκουσε λεγόντων. ἐκμαρτυρία δὲ γεγραμμένη ἀναγινώσκεται, ὅταν τις ᾖ τελευτήσας ἢ ᾖ ὑπερόριος.

480 — ἀρίθμησιν = Ba 213, 20, H cf. Ambr. 387 ἐμπείρως—ἐκλογιζόμενος Polyb. 3, 33, 8 ὁ sq. fort. Metaphr. 481 = Et. Gud.; l. = Ambr. 401 482 Harp. = An. Ox. 2, 493, 20 483 = Sabb. cf. Psell. PG 122, 1016b (GGA 1897, 642), Bk. 245, 33 484 — ἐτάραξεν aliter Ambr. 431. Ἐκλώνισε sq. = Ambr. 432 485 Harp. = Lex. rhet. ap. Et. M. 322, 52 et Et. Gen. cf. Ambr. 412 486 Ξενοφῶν An. 6, 1, 1 487 cf. Ambr. 482 488 = Σ^{A}, Ba 213, 21 cf. sch. A 43, H 490 = Paroem. ed. Gsf. 45, n. 404 491 — ἀποσφράγισμα = Ba 213, 22, Et. Gen., Et. M. 323, 6, Lex. αἰμ. 625, 5 cf. H, L, Ambr. 399 ξυνειληθέντα sq. Men. Prot. fr. 11, FHG 4, 213b = EL 182, 33—183, 1 492 = Ambr. 441 cf. H 493 — χαυνῶσαι = Ba 213, 23, L ἄλλα sq. Men. Prot. fr. 5, FHG 4, 203b = EL 442, 31—443, 1 494 = Et. M. 324, 3 cf. Lex. Patm. 151, Bk. 188, 24

480 Z 656 et 668 482 Z 652 484 cf. v. K 1833 485 Z 668 486 cf. v. K 1835 492 Z 668 494 Z 668

A(GITFVM) 480 extra ord. 3 ὁ—4 καθυπεβάλλετο om. FV post 483 A 483 om. T, non nov. gl. VM 11 Ἐκλώνισε—ἔκοψεν post 485 omnes, transposuit Kust. δὲ] δὲ καὶ GI 12 Ἐκκλώζεται M Ἐκλώζετε Harp., v. l. Et. 489 ex M 21 ἐκσφάγισμα M Ba Et. M. Ambr. σφράγισμα Et. Gen. σφραγίς H, Zon. 660 τε om. FV 26 οἵας] οἷά Men. Prot. 27 εἶδεν] οἶδεν A, v. l. Et. ἴδε Lex. Patm.

495 Ἐκμαρτυρία διαφέρει τῆς μαρτυρίας· ὅτι ἡ μὲν τῶν παρόντων Harp.
ἐστίν, ἡ δὲ ἐκμαρτυρία τῶν ἀπόντων.
496 Ἐκμαρτυρίῳ: διαμαρτυρίῳ. οὐκ ὤκνησαν δὲ καὶ δευτέρῳ ἐκμαρτυρίῳ χρήσασθαι.
497 Ἐκμαίνω· αἰτιατικῇ. Synt.
498 Ἐκμελές: ἠμελημένον. ὁ δὲ δὴ Βῶνος οὐκ ἐς τὸ ἐκμελὲς E
αὐτῷ οὐδ' ἐς τὸ ῥᾳθυμότερον ἐτράπη ὁ νοῦς, ἀλλὰ συντόνῳ τῷ τάχει
πρὸς τὴν σωτηρίαν ἐχρῆτο. καὶ τἄλλα πάθη κατὰ τὴν ἐκμελῆ E
λύραν ἐθεραπεύετο. φησὶν Εὐνάπιος. Ἐκμελὴς οὖν ἦ κακόηχος.
ὅτι καὶ Θεοδόσιος ὁ βασιλεὺς ἐκμελὴς ἦν καὶ πάσῃ ῥᾳθυμίᾳ ἐκ- E
κείμενος.
499 Ἐκ Μασσαλίας ἥκεις: ἐπὶ τῶν θηλυδριῶν καὶ τεθρυμμένων, Prov.
παρόσον ἐκείνους φασὶ θηλύτερον στολίζεσθαι μεμυρισμένους καὶ τὰς
τρίχας ἀναδουμένους, καὶ διὰ ταύτην τὴν μαλακίαν ἀσχημονεῖν.
500 Ἐκ μέσων νυκτῶν λέγουσι καὶ ἐκ μεσημβρίας. Σ
501 Ἐκ μεταβολῆς· οἱ δὲ μετὰ ταῦτα ἐκ μεταβολῆς ὡς ἐπ' E
Ὀλυμπίας. τουτέστι μεταμελείας τῆς προτέρας ὁρμῆς.
502 Ἐκμειλίσσεσθαι: καταπραΰνειν. Σ
503 Ἐκμήνου: τῶν ἓξ μηνῶν. τῆς δ' ἐπιφερομένης ἐκμήνου παρ- E
είλετο.
504 Ἐκμήνῳ: μηνῶν ἓξ. λαβὼν δούλους σὺν τροφῇ ἐκμήνῳ ἠλευθέρωσεν.
505 Ἐκμηρυομένους· δυσχερῶς ἐκμηρυομένους καὶ μακρῶς τὰς E
δυσχωρίας. ἀντὶ τοῦ ἀναλεγομένους.
506 Ἐκμηρυσάμενος: ἐξελκύσας, ἐπεκτείνας. ἀπὸ μεταφορᾶς τῶν Σ
μηρυμάτων. ὁ δὲ ἐκμηρυσάμενος τὴν δύναμιν ἐκ τῶν δυσχωριῶν E
κατεστρατοπέδευσε. καὶ αὖθις· ὁ δὲ ἐκμηρυσάμενος τῷ πλῷ τὸν E
ποταμὸν πάντα κατὰ Χαλδᾶνος ἦν. ἀντὶ τοῦ διαπλεύσας.
507 Ἐκμηχανώμενος: κατασκευάζων. Σ
508 Ἐκμυζήσας: ἐκπιέσας, ἐκθλίψας. Σ
509 Ἐκμυκτηριεῖ: βδελύσσεται. Ps.

495 Harp. cf. Bk. 248, 3 496 οὐκ sq. fort. Iambl. vel Aelian. 498 vs. 6 ὁ—8 ἐχρῆτο Men. Prot. attr. Mai, Coll. Vat. 2, 570 vs. 8 καὶ—9 ἐθεραπεύετο Eunap. fr. 96, FHG 4, 54 vs. 10 ὅτι sq. Zos. 4, 50, 2 (falso Eunap. fr. 49) 499 cf. Prov. Plutarch. I 60 (ed. Leutsch 1 p. 330) 500 cf. Thom. 236, 6; 237, 7 501 οἱ—Ὀλυμπίας Polyb. 4, 10, 5 502 = Ba 213, 24, H 504 λαβὼν sq. Cass. D. 55, 31, 1 505 — δυσχωρίας Polyb. 3, 53, 5 506 vs. 26 ὁ—27 κατεστρατοπέδευσε Polyb. fr. 132 507 = Ba 213, 25, H, sch. Δ 218 cf. Ambr. 423 508 = Ba 213, 26, Et. Gen., Et. M. 323, 5 cf. H 509 = An. Ox. 2, 441, 14

495 hinc v. μαρτυρία, Z 656 496 Z 659 498 Z 659. Zos. cf. v. Θ 144 499 cf. 3161 501 Z 656 502 Z 668 505—8 Z 668

2 ἀπόντων] ἀπάντων AGIV 3 διαμαρτυρίᾳ A Bhd. οὐκ] τοὺκ A* A(GITFVM)
δὲ om. T καὶ om. M 8 τἄλλα] ἄλλα GI 499 extra ord. 12 τεθρυμμένων FV 27 τὸν] τὸ A om. FV 28 Χαλδαίους T 509 om. FV mg. A

Σ 510 Ἐκνάπτετο: ἐξύετο, ἐδαπανᾶτο.

Σ Suid. 511 Ἐκνενέμηται: ἐξῆλθεν. διαμεμέρισται.

512 Ἐκνευρίσας: ἀντὶ τοῦ ἀδυνάτους κατασ τήσας. ὁ δὲ ἀπεκρί-

E νατο κατακόψας πάντας, ἵνα πολλὴν δύναμιν τῆς Ῥώμης ἐκνευρίσῃ.

E καὶ αὖθις· εἰ δοίημεν αὐτὸν ἄνδρα εἶναι, διὰ τῶν Ἐπικούρου λόγων

τὴν ψυχὴν ἐκνευρισθεὶς καὶ θῆλυς γενόμενος.

Σ 513 Ἐκνεφίας: ἐκ νεφῶν ἄνεμος.

Hdt. 514 Ἔκνιζεν: ἔδακνεν. ἀπὸ τῆς πόας. Ἡρόδοτος.

Σ 515 Ἔκνισεν: ἐκίνησε, καθήψατο. Ἀππιανός· Σύφακα δ' ἄρα

E τὸν δυνάστην ἔρως ἔκνιζε τῆς παιδός. οἱ δὲ Καρχηδόνιοι ἔδωκαν

αὐτήν.

Ar. 516 Ἐκνομίως: ἀντὶ τοῦ μεγάλως, ὑπερβαλλόντως. κυρίως δὲ τὸ

ὑπὲρ τὸ νενομισμένον. Ἀριστοφάνης Πλούτῳ· καὶ γὰρ ἐκνομίως μ'

Δ ἠσχύνετο. λέγεται δὲ καὶ Ἐκνόμως.

Σ 517 Ἐκνόμοις: παρανόμοις.

Σ 518 Ἔκνοον: παρανενοημένον, ἔξω τοῦ νοός, σαλόν.

Σ 519 Ἐκνοσηλεύων: ἐκθεραπεύων.

Ar. 520 Ἔκνυεν: ἔξυεν ἠρέμα. παρὰ τὸ κνᾶν. Ἀριστοφάνης· οὗτος

πόθῳ μου ἔκνυεν ἐλθὼν τὴν θύραν.

521 Ἐκ Ἐυγκλύδων· Ζήτει ἐν τῷ συγκλύδων.

522 Ἐκκοβαλικεύεται· Ζήτει ἐν τῷ ὑπέρχεται.

Call. 523 Ἐκόησεν: ἐνόησεν. Ἰακῶς. παρὰ Καλλιμάχῳ.

Ar. 524 Ἐκκοκκίσας: ἐρημώσας. ἀπὸ μεταφορᾶς τῶν ῥοιῶν, τῶν τοὺς

κόκκους ἐκβαλλουσῶν· ὥσπερ γὰρ αἱ πόλεις σκέπαι τῶν ἀνθρώπων

εἰσίν, οὕτω καὶ αἱ ῥοιαὶ τῶν κόκκων. ἐχρήσατο δὲ τῇ μεταφορᾷ ὁ

ἄγροικος. Ἀριστοφάνης· ὦ Ζεῦ, λήσεις σεαυτοῦ τὰς πόλεις ἐκκοκ-

κίσας.

Ar.+Δ 525 Ἐκολάβησας: προσέκρουσας. τὸ δὲ ὅλον, κατεπάλαισας αὐτὸν

καὶ ἐκπεριελθὼν καὶ διασείσας ἀργυρίζῃ. παρὰ τὸ ἐπὶ κόλαις βαίνειν.

κόλα δὲ ἡ γαστήρ. ἢ ἔθραυσας, ἔκλασας, κατέπιες. ἀπὸ τοῦ κολ-

λάβου, ὅ ἐστι ψωμός. βούλεται δὲ λέγειν, ὅτι ὃν ἂν παραλάβῃ, ἄρδην

ἀπόλλυσιν.

510 in Soph. Ai. 1031 511 — ἐξῆλθεν = Ba 213, 27, H 512 εἰ sq. Aelian. fr. 10 513 = Ba 213, 28, Et. M. 323, 11, Et. Gen. cf. L, H, Ambr. 334 514 gl. Hdt. 6, 62 515 — καθήψατο = Ba 213, 29 Σύφακα sq. App. Iber. 37 516 — ἠσχύνετο Ar. Pl. 981 c. sch.; — μεγάλως = H, Et. M. 323, 14; 347, 35 517 = Ba 213, 30 519 = Ba 213, 31 520 Ar. Th. 481 c. sch. 523 Call. (fr. 78 K., 53 S.) c. sch. cf. Hellad. ap. Phot. Bibl. 531a 13 524 Ar. Pac. 62—3 c. sch. 525 sch. in Ar. Eq. 263 (uberiora)

510 Z 669 511 Z 669. διαμεμέρισται ex v. νεμήσασθαι 512 Aelian. cf. 3604 et v. χλοῦναι. Z 669 514 Z 669 515 hinc v. Σύφαξ, Z 669 516 Z 681 517 Z 654 520 Z 669 523 cf. v. K 1894. Z 670 524 cf. v. λήσεις. Z 670 525 cf. vv. K 1922—3. Z 671

A(GITFVM) 2 διαμερίσται om. TFV mg. A ss. M ante gl. GI 4 τὴν πολλὴν Bhd., locus corruptus 8 ἔδακεν VM gl. Hdt. (sed ἔδακνεν p. 465 Stein) 12 κυρίως] κοινῶς F 13 τὸ] τὸν A ἐκνομίμως V 19 πόθῳ] πτόθο F πτόθῳ V 28 κατεπάτησας V

526 Ἐκολῴα: ἐθορύβει. Σ
527 Ἐκκομιδήν: ἐκφοράν. Σ
528 Ἐκομπάσθη: ἠπάτηται, εἰς ὄγκον διετέθη. Σ
529 Ἐκομπολάκουν: κομπώδεσιν ἐχρῶντο λόγοις. Ar.?
530 Ἐκοντήν· Ἀρριανός· τὴν μέσην τῶν ποταμῶν γῆν ἑκοντὴν ἐν- E
διδόντων τῶν ἐποικούντων κατέσχεν.
531 Ἐκοντί: ἐθελοντί. καὶ παροιμία· ἑκὼν ἀέκοντί γε θυμῷ. Σ |
532 Ἐκόντων εἶναι: βουλομένων. οἱ δὲ ἐπεραιώσαντο τὸν Ἴστρον, E
δόντων ἑκόντων εἶναι τὴν δίοδον Ἰουθούγγων ἔχθει τῷ πρὸς Ῥω-
μαίους. καὶ Ἑκών γε εἶναι. ὁ δὲ ἐξηπάτητο πρὸς τῆς γυναικὸς E
ἑκών γε εἶναι.
533 Ἐκόπασεν: ἐπαύσατο. Ps.
534 Ἐκκόπτω· αἰτιατικῇ. Synt.
535 Ἔκκοπος: κατάκοπος. ὁ δὲ διανύσας υ′ σταδίους καὶ γενό- Δ
μενος ἔκκοπος ἐπέμεινεν. E
536 Ἐκκορακίζειν: ἀποδιώκειν.
537 Ἐκκορηθείης: παντελῶς ἀφανισθείης. Μένανδρος· ἐκκορηθείης Σ
σύ γε.
538 Ἐκορίζετο: ὑπεκορίζετο, εὐφημοτέροις ἐχρῆτο λόγοις. Σ
539 Ἐκορίζετο: ἐκολάκευεν· οἷα τοῖς μικροῖς παιδίοις ἔθος χα- Ar.
ριεντιζομένους προσπαίζειν τοὺς γονεῖς. Ἀριστοφάνης Νεφέλαις· τοῦτον
τὸν υἱὸν λαμβάνουσ' ἐκορίζετο.
540 Ἐκορωνία: ἐγαυρία. τὸ δὲ μειράκιον μετέωρον ὂν τῇ φύσει Δ
καὶ πάσης πονηρίας ἔμπλεων ἐκορωνία καὶ παρετρίβετο πρὸς τοὺς EV
ἐπιφανεῖς ἄνδρας.
541 Ἐκουρία: ἐδέετο κουρᾶς. Δ
542 Ἐκούσια: ἃ οὐχ ὑπόκεινται νόμῳ, ἀλλὰ προαιρέσει. καὶ
Βροχὴν ἑκούσιον· οὕτως οἱ ο′, ὁ δὲ Ἀκύλας ὄμβρον ἑκούσιον, ὁ δὲ Σύμ-
μαχος ὑετὸν ἑκούσιον. τὸ θηλυκὸν ἡ ἑκούσιος.
543 Ἐκουσιάζομαι: προσφέρω. Σ
544 Ἐκκόψαντες αὐτοῦ τοὺς ὀφθαλμούς: τουτέστι πηρώ-
σαντες, τυφλώσαντες.

526 = Ba 213, 32, Ambr. 442, sch. B 212, Et. Gen., Et. M. 323, 18, Ap. S. 65, 24, H 527 = Ba 213, 8 cf. H 528 = Ba 214, 1, H 529 aliter sch. Ar. Ran. 961 530 Arr. Parth. fr. 93 531 — ἐθελοντί = Ba 214, 2, H ἑκὼν sq. Δ 43 cf. Paroem. ed. Gsf. 16, n. 167 532 — Ῥωμαίους Dex. F Gr Hist 100 fr. 6 init. cf. EL 380, 19—20 ὁ sq. Proc. h. a. 1, 18 533 = An. Ox. 2, 440, 31, H 534 cf. Synt. Laur. 535 ὁ sq. Dam. fr. 84 (?) 537 ἐκκορηθείης alt. sq. Men. com. fr. 903 538 cf. H 539 Ar. Nu. 68 c. sch. 540 τὸ sq. Polyb. 27, 15, 6 = EV 2, 177, 6—8 541 = Ambr. 427 542 Βροχὴν —ἑκούσιον tert. sq. Ps. 67, 10 c. Origenis Hexapl. 543 = Ba 214, 3 cf. H

526 cf. v. K 1965. Z 671 531 cf. 549 532 cf. v. I 432 535 Z 654 536 Z 671 537 cf. v. K 2079. Z 671 538—9 Z 671 540 cf. v. K 2109. Z 671 541 Z 671 543—4 Z 671

4 Ἐκομπολάκουν Kust.: Ἐκομπαλάκουν omnes 533 om. FV post 535 A A(GITFVM)
23 ὄν] ὢν A 24 ἔμπλεον F Exc. 27 καὶ—29 ἑκούσιος om. TFV post 543 M

Σ 545 Ἐκκόψαι: ἀντὶ τοῦ νικῆσαι. οὕτως Ἄλεξις. καὶ ἐπὶ τοῦ
Δ πηρῶσαι τὸν ὀφθαλμόν. καὶ Ἐξεκόπη ἐπὶ τοῦ ἐπηρώθη.
Σ 546 Ἐκωδωνίζοντο: περιβόητοι ἐγένοντο. τέτακται καὶ ἐπὶ τοῦ ἐπειράθησαν. οὕτως Λυσίας.
Δ 547 Ἐκωθώνιζον: ἔπινον.
Anth. 548 Ἐκώμασε: μεθ' ἡδονῆς ἦλθεν. θρῆνος δ' εἰς ὑμέναιον ἐκώμασεν.
E 549 Ἐκὼν ἀέκοντί γε θυμῷ. ἔστω γάρ μοι νῦν τῆς ἐκείνου γνώμης ζωγράφος ὁμηρίζουσα γλῶττα.
E 550 Ἐκπαγλούμενος: ἐκπληττόμενος. Ῥωμαίοις μὲν γὰρ ἐκπαγλούμενος ὁ Πύρρος ταῦτά φησιν. ἢ ἀντὶ τοῦ σεμνυνόμενος.
551 Ἐκπαγλούμενοι: θαυμάζοντες, ἐκπληττόμενοι. ἐν εἰρήνῃ ἔνεμον ἐκπαγλούμενοι τὸν Ἡρακλέα.
552 Ἐκπαθεῖς: ὑγιεῖς, ἐκτὸς πάθους. ἵνα μὴ ὦσιν ἔκδιψοι καὶ προεκλελυμένοι, ἀλλ' ἐκπαθεῖς καὶ κεκαινοπεποιημένοι.
Δ 553 Ἐκπαθής. Αἰλιανός· ἐκπαθῆ δὲ γεγονότα καὶ πρὸς τὰς
EV ἀκρατοποσίας ὥστε καὶ μεθ' ἡμέραν πλεονάκις μεθύοντα καταφανῆ γενέσθαι τοῖς φίλοις.
554 Ἐκ παντός: διόλου. εἴγε οὖν τοῦτο καταμαθόντες οἱ πολέμιοι
E ἐκ παντὸς ἀπίασιν, οὐδὲν ἂν ἐκώλυσεν ἀπολωλέναι τὴν στρατιὰν πᾶσαν.
Prov. 555 Ἐκ παντὸς ξύλου: ἐλλείπει τὸ κοῦφον γένοιτ' ἄν. λέγεται δὲ καὶ ἐπὶ τῶν ὁραθῆναι μὲν εὐκαταφρονήτων, ἀναγκαίων δέ. οἱ δὲ ἐπὶ τῶν δόξαν παρασχόντων ὡς ἀγαθῶν, εὑρεθέντων δὲ ἑτεροίων.
Σ 556 Ἐκ παραλλήλου: ἐξ ὁμοίου.
557 Ἐκ παραλόγου· ὁ δὲ διαπλωθεὶς ἐκ παραλόγου θαλασσίου κλύδωνος. ἀντὶ τοῦ παρ' ἐλπίδα.
558 Ἐκπεράναι: ἐκπεπόνηται.

545 — Ἄλεξις (fr. 44; 2, 313 K.) cf. Bk. 92, 5 = Phryn. fr. 306 Ἐξεκόπη sq. = Ambr. 1269 (in Ar. Nu. 27) 546 = Et. Gen., Et. M. 325, 22; — ἐγένοντο = Ba 215, 17, H; τέτακται—ἐπειράθησαν cf. Bk. 187, 21; Lys. fr. 313 547 cf. Ambr. 413 = Zon. 679; H 548 θρῆνος sq. Anth. 7, 186, 3 549 Th. Simoc. 4, 15, 11 550 Ῥωμαίοις—φησιν Io. Antioch. cf. Eutrop. 37 551 — θαυμάζοντες cf. H ἐν sq. fort. Nic. Dam. 553 Αἰλιανός cf. Byz. Zt. 21, 418. ἐκπαθῆ sq. Polyb. 8, 9, 4 = EV 2, 109, 2—4 555 cf. Paroem. ed. Gsf. 39, n. 372 556 = Ba 214, 4 cf. H 557 — κλύδωνος fort. Metaphr.

545 cf. 1610. Z 671 546 cf. vv. A 947, Δ 907, K 1257. Z 679 548 cf. v. K 2258. Z 679 549 cf. 531 550—1 Z 671 552 hinc v. K 1235, Z 654 555 cf. v. K 2798 556 Z 654 et 660

A(GITFVM) 1 Ἐκοκόψαι A 4 ἐπειράθησαν AF Zon.: ἐπηράθησαν I ἐπηρώθησαν GVM cf. p. 225, 31. 32 et vs. 2 11 Πύρρος] Πῶρος V 15 προεκλημένοι M κενοπεποιημένοι F καινοπεποιημένοι V 17 πολλάκις F 19 εἴγε γοῦν F εἰ γοῦν Bhd. 20 ἀπίασιν] ἐπίασιν Hemst. ἐπῆεσαν Bhd. 22 κοῦφον] κύφων F Salmas. 557 om. TFV mg. A post 555 G 26 ὁ δὲ om. A 558 om. GTFV mg. A post p. 227, 7 περιόντος M 28 ἐκπεπόνηται A: Ζήτει ἐν τῷ ἐκπεπόνηται IM sed gl. ἐκπεπόνηται non exstat

559 Ἐκπελλευθῆναι: ἐκβληθῆναι. Δ?

560 Ἐκπελματῶσαι. Δ

561 Ἐκπεπολέμωται: ἐχθρωδῶς διάκειται. Σ

562 Ἐκπερδικίσαι: τὸ διαδρᾶναι. ἐκ μεταφορᾶς τῶν περδίκων, Σ
πανούργων ὄντων.

563 Ἐκ περιουσίας: ἐκ περιττοῦ. ἐκ περιουσίας λέγει ὁ Ἀρι- Σ Phil.
στοτέλης. μεταπεμψάμενοι ἐκ περιουσίας καὶ Παμπρέπιον. ἐκ
περιουσίας οὖν ἀντὶ τοῦ ἐκ πολλοῦ τοῦ περιόντος. ἐκ περιουσίας τοῦ Suid.
ἀναγκαίου διαφέρει. ἀναγκαῖα μὲν οὖν ἐστιν ὧν χωρὶς ἀδύνατον εἶναι· Phil.
ἐκ περιουσίας δὲ ὧν ἡ παρουσία οὐκ οὖσα ἀναγκαία, καὶ ὡς Ἀριστο-
τέλης λέγει, ὅταν ὑπαρχόντων τῶν ἀναγκαίων ἄλλα τινὰ προσκατα-
σκευάζηται τῶν καλῶν. οἷον τὸ μὲν ζῆν ἀναγκαῖον, ἐκ περιουσίας δὲ
τὸ εὖ ζῆν· τῇ γὰρ τοῦ εὖ παρουσίᾳ, οὐκ οὔσῃ πρὸς τὸ εἶναι ἀ-
ναγκαίᾳ, ἐπικοσμεῖται τὸ ζῆν ἀναγκαῖον. βελτίω δὲ τὰ ἐκ περιουσίας
τῶν ἀναγκαίων φησί· βέλτιον γὰρ τὸ εὖ ζῆν τοῦ ζῆν, τὸ δὲ εὖ λέγειν
τοῦ λέγειν. οὐκ ἀεὶ μὲν αἱρετώτερα τὰ βελτίω, εἰ καὶ ἁπλῶς αἱρε-
τώτερα· τὰ γοῦν ἡμῖν ἀδύνατα, εἰ καὶ βελτίω εἴη τῶν δυνατῶν, ἀλλ'
οὐχ αἱρετώτερα· βέλτιον μὲν γὰρ ἀθανασία μακροβιότητος, ἀλλ' ἡμῖν
οὐχ αἱρετωτέρα. καὶ τῶν ἐκ περιουσίας δὴ τὰ μὲν πρὸς τῷ βελτίω
εἶναι καὶ αἱρετώτερά ἐστιν, ὥσπερ τοῦ λέγειν τὸ εὖ λέγειν, τὰ δὲ
βελτίω ἐστίν, οὐ μὴν καὶ αἱρετώτερα. τὸ γὰρ φιλοσοφεῖν τε καὶ
θεωρεῖν βέλτιον μέν ἐστι τοῦ χρηματίζεσθαι, οὐ μὴν καὶ αἱρετώτερον
τοῖς ἐν ἐνδείᾳ οὖσι καὶ μὴ δυναμένοις ἄλλως εἶναι. οὕτω δὴ καὶ τὸ
ὑγιαίνειν τοῦ φιλοσοφεῖν τῷ νοσοῦντι αἱρετώτερον. καὶ Δημοσθένης Harp.
ἐν τῷ ὑπὲρ Κτησιφῶντος· ἐγὼ μὲν περὶ τῶν ἐσχάτων κινδυνεύω,
οὗτος δὲ ἐκ περιουσίας κατηγορεῖ. ἀντὶ τοῦ ἐκ πολλοῦ τοῦ περι-
όντος.

564 Ἐκ περιτροπῆς: ἐξ ἀποστροφῆς, ἐκ νίκης. Σ

565 Ἐκπέρσαι: ἐκπορθῆσαι. Σ

566 Ἐκπεσών: ῥηθείς, δοθείς. χρησμὸς δὲ ἐκπεσὼν περὶ Εὐτοκίου Ε
Θρᾳκός.

559 cf. Lex. Rom. Barocc., H 561 = Ba 214, 5 cf. H 562 = Et. M. 323, 52, Et. Gen. cf. H 563 — περιττοῦ = Ba. 214, 6 ἐκ tert.—Ἀριστοτέλης cf. Alex. Aphr. 257, 23—4 μεταπεμψάμενοι—Παμπρέπιον Dam. fr. 168 vs. 8 ἐκ alt.—24 αἱρετώτερον Alex. Aphr. 257, 21—258, 11 vs. 24 Δημοσθένης (18, 3) sq. Harp. = Sabb. 564 = Ba 214, 7, H 565 = Ba 214, 8, sch. A 19, Et. Gen., H 566 χρησμὸς sq. Eunap. fr. 106, FHG 4, 55; Malcho attr. Bhd.

559 hinc v. Ε 1767 extr., Z 672 561 Z 673 562 cf. v. Δ 911 563 Z 657 vs. 7 ἐκ—8 περιόντος ex vs. 26. Alex. cf. v. περιουσία 564 Z 657 565 Z 672 566 cf. 3770. Z 672

1 Ἐκπελλευθῆναι A Barocc.: Ἐκπελευθῆναι rell., Zon. cf. H 4 Ἐκπερδικῆσαι A(GITFVM) A^{ac}FM 6 λέγει] λόγος ὁ Ἀριστοτέλης μεταπεμψάμενοι ἐκ περιουσίας λόγος A 7 ἐκ alt.—8 περιόντος om. FV 8 ἐκ alt.] nov. gl. GIFM 10 καὶ ὡς] ὡς καὶ M 14 βελτίων A τὰ] τὸ GI 19 τῷ] τὸ A 20 ὥσπερ] ὡς GIT τὸ] τοῦ V 21 αἱρετώτερα] ἐστιν ὥσπερ τοῦ λέγειν τὸ εὖ λέγειν, τὰ δὲ βελτίω ἐστίν, οὐ μὴν καὶ αἱρετώτερα add. GI 23 ἐν om. F δὴ om. F

E 567 Ἐκπεφυσημένον: φιλοτίμως διατεθειμένον. ὁρῶν δὲ τὸν Μάρκον ἐκπεφυσημένον.

Synt. 568 Ἐκπειράζω· δοτικῇ.

Thuc. 569 Ἐκπήγνυσθαι: τὸ ἐκπλήττεσθαι.

Δ 570 Ἐκπηδῶ σου. γενικῇ.

Ar. 571 Ἐκπηνιεῖται: ἐξελκύσει. ἀπὸ τῶν τὴν κρόκα μηρυομένων εἰς πηνία. Ὅμηρος· πηνίον ἐξέλκουσα.

Synt. 572 Ἐκπίπτω· γενικῇ.

Synt. 573 Ἐκπίης· αἰτιατικῇ.

E 574 Ἐκπλαγεῖς: ἐκπλήξεως πλέοι. Πολύβιος· ἐκπλαγεῖς δὲ γενόμενοι οἱ Λίβυες διὰ τὸ παράδοξον, ἐγκλίναντες ἔφευγον. καὶ αὖθις·

Δ οὕτως ἐκπλαγεῖς ἦσαν καὶ κατάφοβοι τὸ μέλλον. καὶ Ἐκπλαγεῖς θηλυκῶς, ἀντὶ τοῦ θαυμασταί. ποιμένες ἀγραυλοῦντες ἐκπλαγοῦς φιλοτοφανείας ἔτυχον.

Σ 575 Ἔκπλεα: πλήρη. ἐσθῆτας δὲ καὶ τὰ ἐπιτήδεια ἔκπλεα παρ-

E εἶχεν. ἀντὶ τοῦ αὐτάρκη. καὶ αὖθις Αἰλιανός· οἱ δὲ κατάραντες εἰς αὐτόν, καὶ φιλοφροσύνης ἐκπλέας ἀπολαύσαντες.

Synt. 576 Ἐκπλέω σου.

E 577 Ἐκπλεύσαντες: ἔξω γενόμενοι. οἱ δὲ ἐκπλεύσαντες τῶν φρενῶν, εἶτα ἐνεοὶ ἐγένοντο.

E 578 Ἐκπλεύσειν: ἔξω γενέσθαι. μὴ γὰρ ἂν ἐκπλεύσειν ποτὲ τῶν φρενῶν ἐς τοσοῦτον ὡς ἀνθρώπους προτιμῆσαι θεῶν.

Δ 579 Ἐκπλήγδην: ἐκπληκτικῶς.

Δ 580 Ἔκπληξις: φόβος.

Synt. 581 Ἐκπλήξας· γενικῇ.

Σ 582 Ἐκπλήσει: πληρώσει.

Harp. 583 Ἐκπλινθεύσας: Ἰσαῖος ἀντὶ τοῦ διαλύσας καὶ ἐξελὼν τὰς πλίνθους.

Δ Suid. 584 Ἔκπλυτον: ἐξίτηλον. ἀφανές.

E 585 Ἐκ ποδὸς εἵπετο κατόπιν: ἀντὶ τοῦ σύνεγγυς.

567 ὁρῶν sq. Polyb. 3, 103, 7 568 = Synt. Laur. 569 sch. Thuc. 4, 125, 1 = Moer. 197, 9 cf. H v. ἐκπλήγνυσθαι, Thom. 151, 8 570 Ἐκπηδῶ = Ambr. 471 γενικῇ = Synt. Gud. cf. Synt. Laur. 571 sch. Ar. Ran. 578; Ψ 762 572 = Synt. Laur., An. Ox. 4, 291, 18 574 ἐκπλαγεῖς sec.—ἔφευγον Polyb. 1, 76, 7. οὕτως—μέλλον Polyb. 3, 107, 15 θαυμασταί cf. H ποιμένες sq. Cosm. Hieros. can. 2, 126—7 575 — πλήρη = Ba 214, 9 οἱ sq. Aelian. fr. 142 577 οἱ sq. Aelian. fr. 240 578 μὴ sq. Aelian. fr. 87 579 = Ambr. 512 580 cf. H 581 = Synt. Laur. 582 = Ba 214, 10 583 Harp. = An. Ox. 2, 493, 22; Isae. fr. 21 584 — ἐξίτηλον cf. H (gl. Platonica) 585 — κατόπιν Polyb. 3, 68, 1

567 Z 672 569 Z 672 571 hinc v. πηνίον extr., Z 672 574 Z 652 575 cf. 2685. Z 660 577—8 Z 672 578 cf. v. K 915 580 Z 657 582—3 Z 672 584 Z 660. ἀφανές ex 1778 585 Z 652

A(GITFVM) 5 γενικῇ om. TFV 10 δὲ om. FVM (Polyb.) 11 ἐκκλίναντες AF 13 ποιμένες—14 ἔτυχον om. TFV mg. A 20 ἐννεοὶ IF εὐνεοὶ G 24 ὁ φόβος AIT 581 om. TFV mg. A 29 ἀφανές om. FVM ἀσθενές Zon.

586 Ἐκποδών· γενικῆ. τὸ πρὸς ὀλίγον χρόνον ὑποστείλασθαι. Ἀριστοφάνης· οὗτος αὐτός ἐστιν ὃν ζητοῦμεν. ἀλλὰ δεῦρο πᾶς ἐκποδών. καὶ αὖθις· Ἀργεῖοι δὲ καὶ Θηβαῖοι ἐκποδὼν ἔστηταν. καὶ παροιμία· Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι. Ar. E Prov.

587 Ἐκποδὼν γενέσθαι: φυγεῖν, ἢ ἐξαλείφεσθαι, ἢ ἐκ τοῦ μέσου γενέσθαι. Σ

588 Ἐκποκιῶ: τὰς τρίχας ἐκσπάσω. Ἀριστοφάνης· ἐκποκιῶ σου τὰς κοκάδας. ἐπὶ γυναικείων τριχῶν ὡς τὸ πολύ. παρετυμολογεῖ δὲ τὸν πόκον. Λυκόφρων δὲ ἁπλῶς τὰς τρίχας. ἐμπλοκὴ δέ τις φαίνεται καὶ πλοκαμίδες σπανίως ποτὲ ἐπὶ ἀνδρῶν λέγεται. Ar.

589 Ἐκπολεμῶσαι· αἰτιατικῆ. ἀντὶ τοῦ εἰς πόλεμον κατασταῖσαι. γράφεται δὲ καὶ διὰ τοῦ η ἐκπολεμῆσαι, ὡς καὶ παρὰ Ξενοφῶντι. Ἐκπολεμῆσαι συντάσσεται μετὰ αἰτιατικῆς. Ἐκπολεμῶσαι δὲ τὸ πολεμίους ποιῆσαι, οἷον ἐπὶ πόλεμόν τινας παροξῦναι. Harp. Suid.

590 Ἐκ πολλοῦ: ἐκ παλαιῶν τῶν χρόνων. ἄγαλμα ἦν τιμώμενον ὑπ' αὐτοῦ ἐκ πολλοῦ. E

591 Ἐκ πολλῶν ἀχύρων ὀλίγον καρπὸν συνήγαγον: ἐπὶ τῶν πολλὰ μὲν πονούντων, ὀλίγα δὲ καρπουμένων. Prov.

592 Ἐκπομπεύων: ἀχρειῶν, λοιδορῶν. ὁ δὲ ἐκπομπευθῆναι μὲν τὰ ἅγια τῶν ἁγίων ποιεῖ. Metaphr.

593 Ἐκπορίζομεν: ἐξευρίσκομεν. Ar.

594 Ἐκπορίσας: συλλέξας. Ar.

595 Ἐκπορποῦσθαι: ἐκφιβλοῦσθαι. Σ

596 Ἐκπρεπεῖς: ἐπίσημοι. Σ

597 Ἐκ προνοίας: ἑκουσίως. Σ

598 Ἐκ προσαγωγῆς: ἀντὶ τοῦ πρὸς ἀνάγκην, καὶ οὐκ ἐκ φύσεως οὐδὲ ἁπλοϊκῶς. Harp.

599 Ἔκπωμα: φιάλη, ποτήριον. δῶρά τε λαμβάνει ἄλλα τε καὶ ἐκπώματα ἀπὸ ἀργυρίου. Σ E

586 — vs. 2 ἐκποδών Ar. Ach. 239—40 c. sch. Ἀνδρὸς sq. Zen. I 90 587 = Ba 214, 12 cf. H, Et. M. 323, 37, Ambr. 514, Lex. Greg. An. Ox. 2, 478, 29 588 Ar. Th. 567 c. sch. 589 — αἰτιατικῆ cf. Synt. Gud., Bk. 145, 18 ἀντὶ—Ξενοφῶντι (Hell. 5, 4, 20) Harp. 590 ἄγαλμα sq. Aelian. fr. 352 591 = Cohn Z. d. Par. 77, n. 46 592 ὁ sq. Dionys. Areop. PG 4, 597b i. e. Metaphr. cf. Bibl. hag. Gr.[3] p. 278 n. 555 593 sch. Ar. Pl. 461 594 sch. Ar. Lys. 421 595 = Ba 214, 14 cf. H 596 = Ba 214, 15 597 = Ba 214, 16 598 Harp. 599 — ποτήριον = Ba 214, 11 cf. Bk. 245, 13; ποτήριον = Ambr. 392 cf. H

586 Prov. cf. v. A 2190 et v. οἰκονομῶ 589 cf. v. πολεμῶσαι. Z 672. vs. 13 Ἐκπολεμῶσαι sq. ex 1088 590 Z 653 593—5 Z 673 598 Z 657 599 Z 660

3 καὶ alt. om. AM 7 ἐκποκιῶ] ἐκπιῶ A 8 παρετυμολογεῖται V 10 ἀνδρὸς F sch. 11 αἰτιατικῇ om. FV ἀντὶ—κατασταῖσαι om. GIT 13 Ἐκπολεμῆσαι—αἰτιατικῆς om. T; συντάσσεται μετὰ αἰτιατικῆς mg. I Ἐκπολεμῶσαι—14 παροξῦναι om. TFV 15 ἐκ παλαιῶν] ἐκπαλαι A 592 om. TFVM post 595 A post 597 G 599 extra ord. A(GITFVM)

Σ 600 Ἐκποίητον γενέσθαι: ἀποκηρυχθῆναι τοῦ γένους. οἱ δέ φασι διαφέρειν ἐκποίητον ἀποκηρύκτου, ὅτι ὁ μὲν ἀποκήρυκτος ἐπὶ κολάσει ἐκβάλλεται, ὁ δὲ ἐκποίητος ὑπὸ τοῦ φύσει πατρὸς εἰς ἕτερον οἶκον δίδοται τῇ προθέσει.

Σ 601 Ἔκπυστα: ἐξάκουστα. Ἔκπυστα καὶ Ἐκπύστου, ἀριηκόου, Ε πανταχόσε ἀκουσθείσης. φαίνεται δὲ ἐκπύστου τῆς πράξεως γεγενη- Ε μένης. καὶ αὖθις· ὁ δὲ παραγγείλας τῇ τοῦ ζῆν ἀντιδόσει ἔκπυστον μὴ ποιῆσαι τὴν πρᾶξιν ἀφῆκε πρὸς τὸν στείλαντα φοιτῆσαι.

Σ? 602 Ἐκκραγγανομένων: μετὰ κραυγῆς λεγομένων.

Δ? 603 Ἔκρεκες: ἀντὶ τοῦ ἦχει.

Δ 604 Ἐκρέαιϝεν: ἐτελείου.

Ε 605 Ἐκκρεμαννύμενοι: ἀπηρτημένοι. Θουκυδίδης· τῶν τε ξυσκήνων ἤδη ἀπιόντων ἐκκρεμαννύμενοι.

Ε 606 Ἐκρήγματα: τὰ ἐκ τῶν χειμάρρων γινόμενα ἐν τοῖς πεδίοις κοιλώματα.

Δ 607 Ἐκρήμνισεν: κατήγαγεν.

Δ 608 Ἔκρηξις: ἡ ἐκραγή.

Σ 609 Ἐκκεκρικώς: ἐκκεχωρηκώς.

Σ 610 Ἔκρινεν: ἐχώρισεν, ἐπελέξατο.

Σ 611 Ἐκκρίνεται: ἐκρίπτεται, ἐκρέει. λαμβάνεται δὲ ἐπὶ τῆς ἀν- θρωπίνης γονῆς, ἔτι γε μὴν καὶ τῆς τῶν κτηνῶν.

Σ 612 Ἐκκρίνειν: δοκιμάζειν.

Ar. 613 Ἐκρινόμεθα: ἐπὶ πολὺν χρόνον διεφερόμεθα καὶ διημφισβητοῦμεν. Ἀριστοφάνης Νεφέλαις· τέως μὲν οὖν ἐκρινόμεθα.

Synt. 614 Ἐκκρούομαι· αἰτιατικῇ.

Ε 615 Ἐκκρουόμενος: παρεκτείνων, παρατρέπων. ὁ δὲ ἔστη ἐν μεταιχμίῳ οὐ μονομαχήσων, ἀλλὰ τὸν καιρὸν τοῦτον τοῖς ἐναντίοις ἐκκρουόμενος.

Σ 616 Ἐκριπισθέντες: ἐξαφθέντες. ῥιπίζειν γὰρ τὸ ὀπτᾶν, ἀπὸ τῶν ῥιπίδων.

600 cf. Bk. 247, 10 et 215, 19, Et. M. 323, 38, Et. Gen., H 601 — ἐξάκουστα = Ba 214, 17, Et. M. 323, 50 φαίνεται—γεγενημένης Aelian. ὁ sq. fort. Iambl. 604 = Ambr. 440 cf. H v. ἐκραίαινεν 605 τῶν sq. Thuc. 7, 75, 4 606 Polyb. 12, 20, 4 607 aliter Ambr. 436 608 = Ambr. 367 609 = Ba 212, 27, Σ[a], H 610 = Ba 214, 18 cf. H, sch. A 309 611 = Ba 213, 10; — ἐκρέει = H 612 = Ba 213, 9 613 Ar. Nu. 66 c. sch. 615 ὁ sq. Proc. Bell. 8, 31, 17

600 hinc v. A 3350 extr. 602 Z 673 603 cf. v. K 2368. Z 673 605 Z 673 606 Z 660 611 Z 674 612—3 Z 673 615 Z 673 616 cf. v. ῥιπίζεται. Z 674

A(GITFVM) 4 τῇ om. FV, v. A 3350 cf Et. Bk. τῇ προθέσει] πρὸς θέσιν Et. εἰς θέσιν Bk. 6 ἐκπύστου om. FVM 10 Ἔκρεκεν GIT 12 Ἐκκρεμμαννύμενος: ἀπηρτημένος A 14 γινόμενα—15 κοιλώματα om. M 609 extra ord. (Ἐκκρικώς Σ[a]) 18 ἐκκεχωρικώς I Ba Hes. 23 διαφερόμεθα AF 614—5 extra ord.

617 Ἔκκριτον: ἐπίλεκτον, προκεκριμένον. οὐδενὶ δὲ ὅπλων διαλ- Σ
λάττουσιν οἱ περὶ τὸν στρατηγὸν ἔκκριτοι τῶν ἐν ταῖς ἴλαις ἱππέων. E
618 Ἐκκάλευσον αὐτό: ἐξένεικον. ἦν δὲ ἐμπὶς ἐν τῷ ὀφθαλμῷ Ar.
αὐτοῦ.
619 Ἐκσιφωνισθείη: ἐκρυῇ, διασκορπισθείη. Σ
620 Ἐκσκέπτωρ, ἐκσκέπτωρος.
621 Ἔκσπονδος: ὁ τὰς σπονδὰς μὴ φυλάττων. ὁ τοίνυν τοὺς
ὅρκους ἐκσπόνδους μὴ ποιήσας καλῶς μὲν ἐβίωσεν, ἐπὶ πολὺ δὲ E
ἤλασε δόξης.
622 Ἔκστασις: θαυμασμός, ἢ ἀλλοίωσις. Σ
623 Ἔκστασις: ἡ ἁμαρτία. Δαβίδ· ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει Thdr.
μου, ἀπέρριμμαι. ᾤμην, φησί, τῇ ἁμαρτίᾳ περιπεσὼν πόρρω τῆς σῆς
γεγενῆσθαι κηδεμονίας· τὴν γὰρ τῆς δικαιοσύνης ὁδεύων ὁδὸν ἐξέστη
μὲν ἐκείνης καὶ ἐξετράπη. προσέπταισε δὲ καὶ περιέπεσε τοῖς ὠμο-
βόροις γενέσθαι.
624 Ἐκστῆναι: παραχωρῆσαι. τῆς ἐπὶ τοῖς ἥττοσι ταλαιπωρίας E
ἑτέροις ἐκστῆναι. καὶ αὖθις· Μιθριδάτην ἐκστῆναι Βιθυνίας Νικο- EL
μήδει.
625 Ἐκστρατεία. Δ
626 Ἔκστρεψον: μετάβαλε. ἀπὸ μεταφορᾶς τῶν ῥυπουμένων καὶ Ar.
ἐκστρεφομένων ἱματίων. ἐκστρέψαι γὰρ ἱμάτιον λέγεται τὸ ἀλλάξαι
τὸ πρὸς τὸ σῶμα μέρος ἔξω. ἄλλαξον, φησί, τοὺς τρόπους σου,
μετάβαλε. Ἀριστοφάνης Νεφέλαις· ἔκστρεψον ὡς τάχιστα τὸν σαυτοῦ
τρόπον.
627 Ἐκ συγκειμένου: προϋπηργμένου, προγεγυμνασμένου. τότε E
δὲ καὶ ἐς τάξιν τινὰ ὥσπερ ἐκ συγκειμένου κατέστησαν καὶ ἐν κόσμῳ
τὸν ἀγῶνα ἐποίησαν.
628 Ἐκσφενδονῶ. Δ
629 Ἐκταδόν: ἐκτεινόμενος. Σ
630 Ἐκτάδην: ἐκτεταμένως, ἡπλωμένως. Δ
631 Ἔκτακτοι ἢ Ἔκτατοι: τούτους τὸ μὲν παλαιὸν ἡ τάξις εἶχεν, Tact.
ὡς καὶ τοὔνομα δηλοῖ, διότι τῆς τάξεως ἐξάριθμοι ἦσαν. εἰσὶ δὲ ε′·

617 — προκεκριμένον = Ba 213, 15, H οὐδενὶ sq. Ios. Bell. 3, 97
618 sch. Ar. Lys. 1028 619 = Ba 214, 19 cf. H; l. = Ambr. 450 620 Gl. Rom. 621 ὁ alt. sq. fort. Aelian. 622 = Ba 214, 20 623 Thdr. in Ps. 30, 23, PG 80, 1085b* 624 Μιθριδάτην sq. Plut. vid. Cass. D. 1 p. CVIII = EL 416, 12 625 = Ambr. 381 626 Ar. Nu. 88 c. sch. 627 τότε sq. [Polyb.] fr. 133 628 cf. Ambr. 478 629 = Ba 214, 21 630 cf. Ambr. 516 631 Tact. 14

619 Z 674 621 Z 653 622—3 Z 657 624 cf. 1661 626 Z 674
627 Z 653 et 660 629—30 Z 681 631 cf. post litt. Ψ

5 Ἐκσυμφωνισθείη A 620 om. TFV post 621 A 10 ἢ] ἡ A καὶ M A(GITFVM)
13 γενέσθαι VM 14 ἐτράπη V δὲ om. VM 16 τῆς] τοῖς AIF
20 ῥιπτουμένων V 23 σαυτῆς V 31 Ἔκτακτοι ἢ om. F ἢ Ἔκτατοι om. IVM
ἢ A, post litt. Ψ, Coisl. 347: οἱ GIT τὸ] mg. A 32 ἐξ ἀριθμοῖ GIFM
Coisl. 347

στρατοκῆρυξ, σαλπιγκτής, σημειοφόρος, ὑπηρέτης, οὐραγός. νῦν δὲ καὶ τοῦ συντάγματος λέγονται καὶ τῶν ἄλλων. ἔχειν δὲ δεῖ τούτους τὴν τάξιν ἢ καὶ τὸ σύνταγμα, τὸν μὲν ὅπως τῇ φωνῇ σημαίνῃ τὸ προσταττόμενον, τὸν δὲ ὅπως τῷ σημείῳ, εἰ μὴ ἡ φωνὴ κατακούοιτο διὰ θόρυβον, τὸν δὲ σαλπιγκτήν, ὁπότε μηδὲ σημεῖον βλέποιεν διὰ κονιορτόν, καὶ τὸν ὑπηρέτην, ὥστε τι τῶν εἰς τὴν χρείαν παρακομίσαι· τόν γε μὴν ἔκτατον οὐραγὸν πρὸς τὸ ἐπανάγειν τὸν λειπόμενον ἐπὶ τὴν τάξιν· ὃς τῶν τεσσάρων ἄνω τυπουμένων κατὰ μέτωπον κάτω τάσσεται.

Δ 632 Ἑκταῖος: ὁ ἕκτος.

Σ 633 Ἐκτεθνεῶτα: οἷον τὸν ἐν ἐσχάτοις ὄντα.

634 Ἐκτενές: ἐπιμελές. ἔργον δ' ἦν αὐτῷ ἐκτενές. καὶ Ἐκτένουσα.

635 Ἐκτενέστερος: ἐνεργητικώτατος, ἐπιμελέστερος. ὁ δὲ ἔλεγεν ἔσεσθαι αὐτῷ σύμβουλος καὶ συναγωνιστὴς ἐκτενέστατος.

Δ 636 Ἐκτένεια: ἡ συνέχεια.

Δ 637 Ἐκτενῶς: ὁλοψύχως, προθύμως. Πολύβιος· ὁ δὲ Ἀχαιὸς
E προσδεξάμενος ἐκτενῶς καὶ φιλανθρώπως τὸν Βῶλιν ἀνέκρινε διὰ πλειόνων ὑπὲρ ἑκάστου τῶν κατὰ μέρος.

Δ 638 Ἑκτέον: κρατητέον.

E 639 Ἐκτετηκυῖα: ἀπερρυηκυῖα. ἐκτετηκυῖα τὰς ὁράσεις ὑπὸ τῶν δακρύων.

Σ 640 Ἐκτετικότες: ἀποδεδωκότες.

Suid. 641 Ἐκτεταγμένων· οἱ υἱοὶ τῶν ἐκτεταγμένων. οἱ σφόδρα ταλαιπωρούμενοι. ζήτει ἐν τῷ υἱοὶ θεοῦ.

Ar. 642 Ἐκτετοξεῦσθαι: ἐκκεκενῶσθαι, ἀνηλῶσθαι. ἀπὸ μεταφορᾶς τῶν ἐν τῇ τοξείᾳ ἀναλισκόντων τὰ βέλη. Ἀριστοφάνης Πλούτῳ· τὸν ἐμὸν ἤδη νομίζων ἐκτετοξεῦσθαι βίον.

Prov. 643 Ἐκ τετρημένης κύλικος πιεῖν: ἐπὶ τῶν διημαρτημένων ἐν πίστει.

Σ 644 Ἑκτεύς: μέτρον ἐστίν, ὃ ταυτὸν εἶναί λέγουσι τῇ χοίνικι.

Ar. Ἀριστοφάνης· οἶσθ' οὖν ἀπολωλεκυῖα πυρῶν ἑκτέα; τουτέστι τριώβολον.

632 = Ambr. 332 633 in Pl. Leg. 959a 636 = Ambr. 380 637 προθύμως = H ὁ sq. Polyb. 8, 19, 1 638 = Ambr. 501 639 ἐκτετηκυῖα alt. sq. Dionys. Hal. 8, 45, 1 640 = Ba 214, 24, Gl. Dionys. PG 4, 25 cf. Ambr. 439 642 Ar. Pl. 34 c. sch. 643 cf. Cohn Z. d. Par. 76, n. 42, Philol. Suppl. 6, 262, n. 385 644 — χοίνικι cf. Erotian. 43, 19 οἶσθ' sq. Ar. Eccl. 547 c. sch.

632 Z 653 633 Z 674 634 Z 660 637 hinc v. B 480, Z 681 638 Z 654 639 Z 674 640 Z 675 641 ex v. υἱοὶ θεοῦ 642 Z 675 644 Z 653

(GITFVM) 1 cett. σαλπιγκτής post litt. Ψ: σαλπικτής omnes 3 καὶ om. F, post litt. Ψ τὸν] τὸ FVM, post litt. Ψ 4 τὸν] τὸ F 5 βλέπομεν VM 6 τι om. FVM 7 ἔκτακτον Coisl. 347, v. l. post litt. Ψ 12 αὐτοῖς VM 12. 13 καὶ Ἐκτένουσα om. TFVM 19 μέρους AF 641 om. TFV 24 οἱ pr. ex A 25 ζήτει—θεοῦ om. GI 29 τετριμένης GITM ποιεῖν IFV

645 Ἐκτείνω.

646 Ἐκτειχίσαι: τειχοποιῆσαι. ἐν ἐπικαίρῳ χωρίῳ ἐδόκει ἐκτειχίσαι τὴν πόλιν. E

647 Ἔκτηνες: οἱ Βοιωτοὶ οὕτως ὠνομάζοντο. Δ

648 Ἐκτιθέναι τὰ βρέφη: ἀντὶ τοῦ εἰς βορὰν θηρίοις, ἢ καὶ ἄλλως εἰς διαφθορὰν παρατιθέναι ἐπ' ἐρημίαις. Σ

649 Ἐκτικός: σχετικός. καὶ Ἐκτικῶς, ἐπίρρημα, σχετικῶς. Δ+Σ

650 Ἐκτῖλαι: ἀποσπάσαι. Δ

651 Ἐκτιλούμενοι: συνήθεις. ἐπεὶ ὁ κτίλος ὁ ἡγούμενος τῆς ποίμνης κριὸς συνήθης τῷ ποιμένι. Σ

652 Ἐκτιμᾶται: ἀντὶ τοῦ ἐπιτέταται· ηὔξηται κατὰ τιμήν. Σ

653 Ἐκ τιμημάτων: δ' Ἀθήνησι τιμήματα ὑπὸ Σόλωνος γέγονε, Πεντακοσιομεδίμνων, Ἱππέων, Ζευγιτῶν, Θητῶν. Σ

654 Ἔκτιμος. καὶ Ἐκτίμους, ἔξω καὶ ἐκτὸς τῆς τιμῆς. ἐκτίμους ἴσχουσα πτέρυγας ὀξυτόνων γόων. Δ Soph.

655 Ἐκτίνων· δοτικῇ. ἀποδιδούς. τῇ μητρὶ γῇ τὸ χρέος ἐκτίνων τὸν ναυηγὸν θάπτει. καὶ Ἐκτιννύων, ἀποδιδούς. Σ+E Σ

656 Ἐκτιναγμὸς καὶ ἀναβρασμὸς γῆς· ἀναβρασμὸς μὲν γῆς, ὅταν καχλάζῃ μετὰ κινήματος, ἐκτιναγμὸς δέ, ὅταν ἀναρριπτῆται. Suid.

657 Ἐκτῖσαι: ἀποδοῦναι. Σ

658 Ἔκτισε: κατέστησε, κατέταξεν. Σ

659 Ἐκτίσει: ἀποδώσει. ὁ δὲ καθ' ὑμᾶς βασιλεὺς ἐκτίσει μοι δίκας ἐν δέοντι. Δ EL

660 Ἐκ τιτυννῶν: ἐκ μικρᾶς ἡλικίας. Σ?

661 Ἐκτολυπεύσας: ἐργασάμενος. καὶ Ἐκτολυπεῦσαι, πληρῶσαι. ἡ μεταφορὰ ἀπὸ τῆς τολύπης, τοῦ κατειργασμένου ἐρίου. Δ Σ

662 Ἐκτομίας: εὐνοῦχος. Σ

663 Ἔκτοπα: ξένα. Σ

647 cf. Ambr. 355 = sch. Lycophr. 433 648 = Σ^a, Ba 214, 25 649 Ἐκτικῶς, σχετικῶς = Σ^a, Ba 214, 23, H, L; ἐπίρρημα sq. cf. Ambr. 502 650 cf. Thdr. in Ps. 51, 7, PG 80, 1256 c, Ambr. 451; l. = H 651 = Lex. rhet. ap. Et. Gen., Et. M. 324, 50; — συνήθεις = H cf. Paus. Att. fr. 241 ap. Eust. I. 403, 35 652 cf. H v. ἔκτιμα 653 cf. H 654 Ἐκτίμους sq. Soph. El. 241 c. sch. 655 τῇ—θάπτει Aelian. fr. 242 Ἐκτιννύων sq. = Ba 214, 27 657 = Ba 214, 28 cf. H, Ambr. 444 658 = Σ^a 659 — ἀποδώσει = Ambr. 443, H ὁ sq. Men. Prot. fr. 43, FHG 4, 246a = EL 205, 24 661 — ἐργασάμενος = Ambr. 446 Ἐκτολυπεῦσαι, πληρῶσαι = Σ^a, Ba 214, 29 662 = Σ^a, Ambr. 331, H, Ba 214, 30 663 = Ba 214, 32, H

646 Z 675 647 Z 653 648 Z 675 651 cf. v. K 2526 652 cf. 2096. Z 675 653 cf. vv. I 525 et 537. Z 660 654 Z 653 655 ἀποδιδοὺς pr. cf. 657. Z 675 656 ex v. B 520. Z 653 657—9 Z 675 660 Z 654 = 661 661 cf. v. τολυπεύειν. Z 676 662 Z 653 663 Z 661

645 om. ITFV 6 διαφθορὰν TV Ba Zon.: διαφορὰν rell. 7 καὶ om. FVM, nov. gl. A(GITFVM) 9 Ἐκτιλωμένοι $I^{ac}V^{ac}M^{ac}$ (Et. Eust.) 14. 15 ἐκτίμους om. M, nov. gl. GI 15 ὀξυτόνως GI ὀξυτόνους T 656 om. FV post 659 A post 657 I post 704 T 657 om. G 22 ὑμᾶς FVM Exc.: ἡμᾶς rell. ἐκτίσει F Exc. Port.: ἐκτίσειν rell. 25. 26 ἐκπληρῶσαι T Ba 26 ἡ—ἐρίου om AV mg. M

Ε 664 Ἐκτόπια: τὰ κεχωρισμένα. ἐκτόπια πολισμάτια τῶν γραφομένων καὶ παραγγελλομένων.

Δ 665 Ἐκτοπίζω: πόρρω διάγω. τὸν πολιτισμὸν ἐκτοπίζων ἐν Ἀκαδημίᾳ διέτριβεν.

Soph. 666 Ἔκτόπιος: ἀπὸ ξένου τόπου. ἐκτόπιος cυθείς. τουτέστιν ὁρμήσας.

Δ 667 Ἐκτοπίσαι: μακρὰν καταστῆσαι. ἀεὶ διὰ τοῦ ι.

Δ 668 Ἐκτοπισμός: πόρρω διαγωγή. οἱ δὲ φοβούμενοι τὸν εἰς Ε Ἰταλίαν ἐκτοπισμὸν ἐν ταῖς ὁδοιπορίαις διεδίδρασκον.

669 Ἔκτοπον: παρηλλαγμένον, βίαιον, μέγα. Ἀριστοφάνης· ἔστι

Ar. τι δένδρον πεφυκὸς ἔκτοπόν τι, Καρδίας ἀπωτέρω, Κλεώνυμος· χρήσιμον μὲν οὐδέν, ἄλλως δὲ δεινὸν καὶ μέγα. τοῦτο μὲν οὖν ἦρος ἀεὶ βλαστάνει καὶ cυκοφαντεῖ, τοῦτο δὲ χειμῶνος πάλιν τὰς ἀcπίδας φυλλοροεῖ. δένδρῳ ἀπεικάζει τὸν Κλέωνα, ἢ ὡς μέγαν ἢ ὡς ἀναίcθητον, παρὰ τὸ Ὁμηρικόν. Καρδία δὲ πόλις. καὶ Καρδιανοί, οἱ πολῖται. διὰ τὸ ἀκάρδιον δὲ τοῦτό φηcιν.

670 Ἔκτοπος: παρηλλαγμένη, ἀφόρητος. τοῖς δὲ Κελτοῖς παρέστη Ε ἔκτοπος ἡλίκη πρὸς τὸ παράδοξον ὀργή. ἀντὶ τοῦ μεγίστη ὅcη.

Σ | 671 Ἐκτόπως: μεγάλως, ἀπρεπῶς. παρηλλαγμένως, ἀφορήτως. ἄρκτος φιλεῖν ἄνθρωπον ἐκτόπως ηὔχει. εἶθ' ὕcτερον ἐρacθεῖcα

Ε Δ αὐτοῦ ἐν παραβύcτῳ. Ἐκτόπως, ὑπερβαλλόντως. πρὸc τὴν ἐπι- Ε πλοκὴν τῆς κόρης ἔχαιρεν ἐκτόπως.

Σ 672 Ἐκτοπώτατον: ἐξεcτραμμένον.

Σ 673 Ἐκτορμεῖν: τὸ ἐκ τοῦ καθήκοντος δρόμου ἐκβαίνειν.

Σ 674 Ἐκτὸc ἰόντας: ἐξερχομένους.

Prov. 675 Ἐκτὸc πηλοῦ πόδας ἔχειν: ἐπὶ τῶν ἔξω κινδύνου καθεcτώτων. ὅμοιόν ἐcτι καὶ τό, ἐπὶ ξηροῦ.

Prov. 676 Ἐκ τοῦ γεύματος γινώcκω: ἐπὶ τῶν ἐκ μικροῦ πολλά τινα καταλαμβανόντων.

Σ 677 Ἐκ τοῦ ἐπιπλεῖcτον.

Σ 678 Ἐκ τοὔμπαλιν: ἐκ τοῦ ἐναντίου.

Σ 679 Ἐκ τοῦ παραχρῆμα: ἐκ τοῦ ταὐτομάτου.

665 l. = Ambr. 479 τὸν sq. Laert. 4, 39 666 Soph. OC 119 c. sch. cf. sch. OT 164 et 166 667 — καταστῆσαι cf. Ambr. 416 669 ἔστι sq. Ar. Av. 1473—81 c. sch. 670 τοῖς—ὀργή fort. Polyb. 671 — ἀπρεπῶς = Σ^{a}, Ba 214, 33, H cf. Et. M. 323, 57 ἄρκτος—ηὔχει Babr. 14, 1 εἶθ' sq. Proc. h. a. 1, 17 vs. 21 ὑπερβαλλόντως cf. H πρὸc sq. Iambl. attr. Bruhn, Rh. Mus. 45, 283 672 = Ba 215, 1, H 673 = Paus. Att. fr. 310 ap. Eust. I. 598, 26 cf. H 674 = Ba 215, 2 675 cf. Zen. III 62 676 cf. Diogen. lV 92 677 = Σ^{a} 678 = Ba, Σ^{a}, H; in Thuc. 3, 22, 5 679 = Ba 215, 3, H, sch. Pl. Symp. 185c

664 cf. v. παραγγείλας. Ζ 661 665 hinc v. πολιτισμός. Ζ 676 666 Ζ 653 667 Ζ 676 668 Ζ 653 669 cf. v. Κ 364 670 Ζ 657 671 cf. 1422 hinc v. Α 3955 673 Ζ 676 675 cf. v. Αl 299 678 Ζ 660 679 Ζ 661

A(GITFVM) 15 πόλεις A 20 ἄρκτος F Babr.: ἄρκος rell. 21 Ἐκτόπως] nov. gl. GI 26 ἐξ κινδύνων A 27 ξυροῦ GIM 28 τινα om. VM

680 Ἐκ τοῦ παρείκοντος: ἐκ τοῦ ἐνδιδοῦντος, ἐκ τοῦ ἐπιτυγχάνοντος.
681 Ἐκ τῶν παρόντων: ἐκ τῶν φθασάντων γενέσθαι. νικώμενοι E
οὖν ἐκ τῶν παρόντων ἄκος αἰτοῦσι παρὰ τοῦ θεοῦ καὶ ἐρωτῶσι τὴν
Πυθίαν.
682 Ἐκ τῶν παρόντων καὶ ὡς ἐκ τῶν παρόντων: ἐκ τῶν Σ
ὑπαρχόντων καὶ ἐνεστηκότων καὶ εὐπορουμένων.
683 Ἕκτωρ: ὁ ἥρως. ἐχέτωρ τις ὤν. καὶ Ἑκτορίδης, ὁ υἱὸς Ecl. Δ
τοῦ Ἕκτορος. ἐπὶ δὲ κλητικῆς, ὦ Ἕκτορ, διὰ τοῦ ο μικροῦ.
684 Ἐκτραορδιναρίου: Ῥωμαϊκὴ λέξις. δηλοῖ δὲ ἐπιλέκτους. E?
685 Ἐκτραγῳδῶ· αἰτιατικῇ. Synt.
686 Ἐκτραχηλίζω. καὶ Ἐκτραχηλισθῶσι, τοὺς τραχήλους Δ
συγκλασθῶσιν. ἱππασίας μετὰ θορύβου γενομένης πολλοὶ μὲν τῶν Ar. + E
ἱππέων ἐκτραχηλισθῶσι, πλείους δὲ τῶν ἵππων ἐξαδυνατήσουσιν, οἱ
μὲν ὑπερπνιγεῖς γενόμενοι, οἱ δὲ ὑπέρπονοι.
687 Ἐκτρέπω· αἰτιατικῇ. Synt.
688 Ἐκτριβήσεται: διατρίψει ἐν τοῖς κακοῖς· ἢ ἀπολεῖται. ἡ μετα- Soph.
φορὰ ἀπὸ τῶν σμηχομένων ἀργυρῶν ἢ χαλκῶν ἢ ἄλλων τοιούτων
σκευῶν, ἅπερ ἐν τῷ πλύνεσθαι σφόδρα τριβόμενα ἐλαττοῦται. Σοφο-
κλῆς· σοῦ γὰρ οὐκ ἔστι βροτῶν κάκιον ὅστις ἐκτριβήσεταί ποτε.
689 Ἐκτρίβω· αἰτιατικῇ. Synt.
690 Ἐκ τριχὸς κρέμαται: παροιμία ἐπὶ τῶν σφόδρα κινδυνευόντων. Prov.
691 Ἐκτρυπῆσαι: ἐξελθεῖν μετὰ βίας. Σ
692 Ἐκτυχωθείς: ἐκπιασθείς, ἐκφθαρείς. Σ
693 Ἐκτυπώτερον: φανερώτερον. Δ
694 Ἐκτυποῖ: ἐξομοιοῖ. Σ
695 Ἐκκυβεύειν: ῥιπτεῖν ἑαυτὸν εἰς κίνδυνον. οἰσάμενος κατὰ τὸν E
ποιητὴν δόλον εἶναι οὐδαμῶς ἔκρινεν ἐκκυβεύειν οὐδὲ παραβάλλεσθαι
τοῖς ὅλοις· ἦγε τὴν ἡσυχίαν ἐπὶ τῷ χάρακι. καὶ αὖθις· ἔδοξε τοῖς E

681 νικώμενοι sq. Aelian. fr. 73 682 = Ba 215, 18 683 Ἕκτωρ = Ambr. 342 Ἑκτορίδης—Ἕκτορος cf. Ambr. 343 ο μικροῦ cf. Ambr. 346 684 cf. Polyb. 6, 26, 6 685 = An. Ox. 4, 291, 23, Synt. Laur.; l. = Ambr. 473 686 Ἐκτραχηλίζω = Ambr. 488 cf. Ba 215, 5 Ἐκτραχηλισθῶσι—συγκλασθῶσι cf. sch. Ar. Pl. 70 ἱππασίας sq. Polyb. attr. Toup 688 Soph. OT 427—8 c. sch. 689 = Synt. Laur. et Gud. 690 = Zen. III 47 691 = Paus. Att. fr. 161 ex Eust. O. 1532, 4 cf. H, sch. Ar. Eccl. 337 692 = Σ^a, Ba 215, 4 cf. H 693 = H cf. Ambr. 348 694 = Ba 215, 6 695 οἰσάμενος—χάρακι Polyb. 3, 94, 4 vs. 28 ἔδοξε—p. 236, 1 παραβάλλεσθαι imitationem Polybii perspexit Bhd.

680 cf. v. παρήκοντα 681 Z 653 684 cf. v. πραίφεκτοι. Z 654 686 cf. v. ὑπερπνιγεῖς. Z 676 691 Z 676 692 cf. v. τρυχωθείς. Z 677 693 Z 661 694 Z 677 695 cf. vv. A 2310, K 2591 et 2602. hinc 3018, Z 677

680 om. FV post 677 AGT 1 παρήκοντος T ἐνδιδόντος T A(GITFVM)
4 Πυθίαν ed. pr.: Πυθώ GIT cp. AFVM 5 καὶ om. M 8 ἐπὶ—μικροῦ om. TFV mg. A δὲ om. M 9 Ἐκτραορδιναρίους Polyb. cf. v. πραίφεκτοι 14 πνιγεῖς V 20 καὶ Ἐκτρίβω I et (post 687) T 23 Ἐκτυχωθείς A Σ^a: Ἐκτοιχωθείς rell. Zon. (et ordo poscit) Ἐκτρυχωθείς Ba Kust. 25 Ἐκτυπεῖ A
28 ἦγε] ἦγε δὲ GIT

Prov. Καρχηδονίοις ἐκκυβεύειν καὶ παραβάλλεσθαι. ἔστι δὲ καὶ παροιμία· Ἐρρίφθω κύβος.

Δ 696 Ἐκύει: ἐνεκυμόνει, ἐν γαστρὶ εἶχεν. Ε ὁ δὲ ἔκρυπτε καὶ ἐξειπεῖν τὴν ὠδῖνα ἣν ἐκύει οὐκ ἐτόλμα.

Δ 697 Ἐκύησεν: ἐγέννησεν.

Σ 698 Ἐκύκα: ἐτάραττεν.

Σ 699 Ἐκκυκλεῖ: ἐκκαλύπτει. καὶ Ἐκκυκλούμενος, ἐκκύκλημα
Ar. ἔχων.

700 Ἐκυλινδεῖτο πρὸ τῶν ποδῶν αὐτοῦ.

Suid. 701 Ἔκυλος: εἶδος βοτάνης, ἄκυλος δὲ τῆς πρίνου ὁ καρπός.

Σ 702 Ἐκκυμανθῆναι: ἐκ τοῦ κύματος τῷ λιμένι προσορμισθῆναι.

Δ 703 Ἐκυρά: ἡ πενθερά. καὶ Ἐκυρός, ὁ πενθερός.

Soph. 704 Ἐκύρουν: ἐτύγχανον. βωμῷ θύων ἐκύρουν. Ἠκύρουν δὲ
Suid. ἀντὶ τοῦ ἀβέβαια ἐποίουν.

Ε 705 Ἐκφανεστάτας: πάνυ λαμπράς. Πολύβιος· τὸ γὰρ μάλιστα λυποῦν ἀεὶ τῶν ἐν χερσὶν ὄντων ἐκφανεστάτας ἔχει τὰς χαράς.

Σ 706 Ἐκφαντορία: ἐκφανῶς φανερῶσαι.

Σ 707 Ἐκφαυλίζων: εὐτελίζων.

Σ 708 Ἐκφέρεται: λέγεται, ἢ ἐκκομίζεται.

Synt. 709 Ἐκφεύγω· αἰτιατικῇ.

Ar. 710 Ἐκφθαρείς: ἐξελθών. οὕτω λέγεται τὸ ἐπὶ κακῷ ἐξελθεῖν. Εἰσφθαρεὶς δὲ τὸ ἐπὶ κακῷ εἰσελθεῖν που.

Synt. 711 Ἐκφοβῶ· αἰτιατικῇ.

Σ 712 Ἐκφοράν: ταφήν. ἐκ τοῦ ἐπὶ μνήματος ἐκφέρεσθαι.

713 Ἔκφορος· αἰσθάνομαι γινόμενος ὑπὸ τοῦ πάθους ἔκφορος. τουτέστι παράφορος.

Σ 714 Ἐκφορούμενοι: ἐκκενούμενοι.

695 Ἐρρίφθω κύβος = Macar. IV 13 696 — ἐνεκυμόνει = Ambr. 453. ἐν γαστρὶ εἶχεν cf. sch. T 117 ὁ sq. Aelian. fr. 306 697 cf. Ambr. 453—4 698 = Ba 215, 7 (in Ar. Pac. 270) cf. H, sch. κ 235 699 — ἐκκαλύπτει = Ba 213, 16, H Ἐκκυκλούμενος sq. sch. Ar. Th. 96 700 fort. Metaphr. 702 = Ba 213, 13 703 cf. H; — πενθερά = L, sch. Ω 770; Ἔκυρός sq. = Ambr. 324, Ps. Herodian. 29, Et. M. 324, 52 cf. sch. Γ 172 704 — ἐκύρουν alt. Soph. OC 1159 c. sch. 705 τὸ sq. Polyb. fr. 37 706 = Ba 215, 9 cf. gl. Dionys. PG 4, 25 707 = Ba 215, 10 708 = Ba 215, 11 709 = Synt. Gud., An. Ox. 4, 291, 21 710 — ἐξελθεῖν sch. Ar. Pac. 72 711 = Synt. Gud.; l. = Ambr. 472 712 = Ba 215, 13, H cf. sch. Ar. Pl. 1008 713 αἰσθάνομαι—ἔκφορος Synesio (Ep. 130, p. 265b) attr. Vind. 183 714 cf. Ba 215, 14 = Σ^{a}

696 cf. v. K 2623 et v. ὠδίς. Z 677 698 cf. v. K 2635. Z 678 699 Z 678 701 ex v. A 1045 708 Z 658 704 hinc v. H 188 ex quo Ἠκύρουν sq. Z 678 705 Z 658 707—8 Z 678 710 hinc v. EI 329, Z 678 713 Z 654

A(GITFVM) 700 om ATFV 701 om. FV 13 θείων A Ἠκύρουν—14 ἐποίουν om. FV 16 χαράς] χάριτας GIT 17 φανερῶσαι] φανέρωσις T, gl. Dionys. φανερῶς Ba 703—750 om. T 22 τὸ] τῷ A 711 om. FV 25 αἰτιατικῇ om. G ss. I 25 ἔκφορος alt.] ἔφορος VM

715 Ἐκφρηcθέντων: ἐκβληθέντων. ἐκφρηcθέντων δὲ τῶν Ἐπι- E
κούρων ἐκ τῆς πόλεως τοὺς ἱερεῖς ἐκκαθῆραι τὰ ἱερά. οἱ δὲ περι-
χαρείας αὐτίκα ὑπεπλήcθηcαν τῷ μὴ ἐκφρηcθῆναι ἐκφαυλιcθέντα καὶ
ἀτιμαcθέντα ὑπὸ τοῦ θεοῦ αὐτόν.
716 Ἐκφρονῶ· γενικῆ. Synt.
717 Ἐκφρόνωc: ἀνοήτωc. Σ
718 Ἔκφρων: ἐξεcτηκώς, παραπαίων, ἔξω φρενῶν. ὁ δὲ ὑπὸ
μέθης ἔκφρων γενόμενος. E
719 Ἔκφυλον: ἀλλόφυλον. ἄηθες, ξένον. ὀθνεῖον καὶ πάντη Σ|
ἔκφυλον. E
720 Ἔκφυλος: ξένος, παρηλλαγμένος. Αἰλιανός· ἑκάτερος δι'
ἁρπαγῆς τὴν κόρην ποιήcαcθαι ἐμαίνοντο. πόλεμος οὖν ἔκφυλος E
ἐγένετο καὶ ἐνακμάζει καὶ μάλα ἀδόκητος, οὐκ ἔχων οὔτε γενναίαν
οὔτε εὐπρεπῆ τὴν ὑπόθεcιν.
721 Ἐκφυλλοφορεῖν: οἱ ἀρχήν τινα ἄρξαντες, ἂν εὐθυνόμενοι Σ
ὑπὸ τῆς βουλῆς ἁλῶcιν, ἐν φύλλοις ἐλαίας τὰ ὀνόματα αὐτῶν ἐν-
έγραφον οἱ βουλευταί, καὶ καθιᾶcιν εἰc τοὺc ἐχίνουc. ἅμα τε ἡ περὶ
αὐτῶν πίcτιc προcενεγράφετο τοῖc φύλλοιc.
722 Ἐκφυλλοφορῆcαι καὶ Ἐκφυλλοφορία· εἴ ποτέ τιc τῶν Σ
πολιτῶν ἀδικεῖν ἐδόκει καὶ ἀνάξιοc εἶναι τοῦ cυνεδρίου τῶν φ', ἐcκόπει
ἡ βουλὴ περὶ αὐτοῦ, εἰ χρὴ αὐτὸν μηκέτι βουλεύειν, ἀλλ' ἐλαθῆναι
καὶ τοῦ cυνεδρίου. ἀντὶ δὲ τῆc ψήφου φύλλοιc ἐπecήμαινε τὴν αὐτοῦ
γνώμην ἕκαcτοc, ὥcπερ ὀcτράκῳ ἐπὶ τοῦ ὀcτρακιcμοῦ, καὶ ἐλέγετο
τοῦτο ἐκφυλλοφορῆcαι καὶ ἐκφυλλοφορία. οὕτω Δημοcθένηc ἐν τῷ
κατὰ Νεαίρας.
723 Ἐκφῦναι: ἐκγεννηθῆναι. Σ
724 Ἐκφύc. Δ
725 Ἔκφυcιν: βλάcτηcιν, ἢ γονήν. Σ
726 Ἐκφοιτᾷ: ἐξέρχεται. Σ
727 Ἐκ χειρὸc βοηθεῖν τοῖc πράγμαcι· Πολύβιοc. ἀντὶ τοῦ E
μετὰ πάcηc ἐπιμελείαc, ἐπιτεταμένωc, cυντόνωc.
728 Ἐκχοΐζω: τὸ cκάπτω. Δ

715 ἐκφρηcθέντων alt.—ἱερά Aelian. fr. 39. οἱ sq. Aelian. fr. 89 716 = Synt. Laur. 717 = Σ^{a} 718 ἔξω φρενῶν cf. H 719 — ἀλλόφυλον = Σ^{a}, H ὀθνεῖον sq. cf. Men. Prot. fr. 43, FHG 4, 246 a = EL 205, 23 720 ἑκάτερος sq. Aelian. fr. 122 722 cf. Et. M. 325, 9 = Et. Gen., Sabb.; Bk. 248, 7; Harp. = An. Ox. 2, 493, 24; Δημοcθένηc immo Aeschin. 1, 111 723 = Ba 215, 15 cf. H 725 = Ba 215, 16 cf. H 726 = Ba 215, 12, H 727 — πράγμαcι Polyb. 5, 62, 7 728 l. = L

715 Aelian. fr. 39 cf. 2405, fr. 89 cf. v. εἰ 254. Z 678 717 Z 681
718 Z 654 719 cf. v. ὀθνεῖον. Z 654 720 Z 654 721—2 Z 678—79
725 Z 658 726 Z 678 727 Z 658 728 Z 679

1. 2 Ἐπικουρείων Kust. 2 ἐκκαθῆναι V 15 Ἐκφυλλοχωρεῖν M A(GIFVM)
17 καθίεcαν Bhd. 20 ἀναξίαν M 21 αὐτὸν] αὐτῶν V 22 τοῦ] τῆc V
26 γεννηθῆναι FVM Hes. Zon. 679 29 Ἐκφυτά V, ordo poscit

Suid. 729 Ἐλάα: ὁ καρπός, Ἐλαία δὲ τὸ δένδρον. ὅτι τὴν ἐν τῷ δένδρῳ πεπανθεῖσαν ἐλάαν γιγέριμον ἔλεγον· παρ' ἡμῖν δὲ ῥουπάταν.

Hom. Δ 730 Ἐλάαν: ἐλαύνειν. καὶ Ἐλάειν ὁμοίως.

Ar. 731 Ἐλαγοθήρει: ἐκυνηγέτει, λαγοὺς ἐθήρα.

Hesy. 732 Ἑλλάδιος, Ἀλεξανδρεύς, γραμματικός, γεγονὼς κατὰ Θεοδόσιον τὸν βασιλέα τὸν νέον. Λέξεως παντοίας χρῆσιν κατὰ στοιχεῖον, Ἔκφασιν φιλοτιμίας, Διόνυσον ἢ Μοῦσαν, Ἔκφρασιν τοῦ λουτροῦ Κωνσταντιανῶν, Ἔπαινον Θεοδοσίου τοῦ βασιλέως.

Δ 733 Ἐλαΐδας: ἐλαίας δένδρη.

Δ 734 Ἐλαϊτή: πόλις.

Δ 735 Ἐλάκησε: μέσος ἐσχίσθη. Ἐλάκησε δὲ ἐκτύπησεν, ἀνεκροτάλησεν. Ἐλάκκισε δὲ λάκκους ὤρυξεν.

Ar. 736 Ἐλακωμάνουν: τῆς τῶν Λακώνων ἥρων πολιτείας. ἐμνήσθη δὲ αὐτῶν διὰ τὸ ὑπερέχειν τότε τοὺς Λάκωνας τῷ πολέμῳ.

737 Ἔλαμψαν αὐτῶν τὰ ἔργα: ἀντὶ τοῦ φανεροὺς αὐτοὺς ἐποίησαν.

Hesy. 738 Ἑλλάνικος, Μιλήσιος, ἱστορικός. Περίοδον γῆς, καὶ ἱστορίας.

Hesy. 739 Ἑλλάνικος, Μιτυληναῖος, ἱστορικός, υἱὸς Ἀνδρομένους, οἱ δὲ Ἀριστομένους, οἱ δὲ Σκάμωνος· οὗ ὁμώνυμον ἔσχεν υἱόν. διέτριψε δὲ Ἑλλάνικος σὺν Ἡροδότῳ παρὰ Ἀμύντᾳ τῷ Μακεδόνων βασιλεῖ κατὰ τοὺς χρόνους Εὐριπίδου καὶ Σοφοκλέους· καὶ Ἑκαταίῳ τῷ Μιλησίῳ ἐπέβαλε, γεγονότι κατὰ τὰ Περσικὰ καὶ μικρῷ πρός. ἐξέτεινε δὲ καὶ μέχρι τῶν Περδίκκου χρόνων καὶ ἐτελεύτησεν ἐν Περπερήνῃ τῇ κατ' ἀντικρὺ Λέσβου. συνεγράψατο δὲ πλεῖστα πεζῶς τε καὶ ποιητικῶς.

Σ 740 Ἑλλανοδίκαι: οἱ κριταὶ οἱ καθήμενοι εἰς τοὺς ἀγῶνας.

Ε Εὐνάπιος· οὕτω καὶ τότε ὁ μέγιστος Ἑλλανοδίκης Γαϊνᾶς τὸν Ῥωμαϊκὸν ὅλεθρον ἠθλοθέτει.

Harp. 741 Ἑλλανοδίκαι: τὸ μὲν πρῶτον ἕνα καθίστων Ἑλλανοδίκην οἱ Ἠλεῖοι, εἶτα δύο, τελευταῖον δὲ θ'. Ἀριστόδημος δὲ ὁ Ἠλεῖος τοὺς

730 — ἐλαύνειν sch. Ε 366 = Apion, H 731 sch. Ar. Lys. 789 734 cf. Ambr. 610 et 651 735 — ἐσχίσθη = L cf. Ambr. 713 736 sch. Ar. Av. 1281 737 cf. Zon. 691 740 — ἀγῶνας = H v. Ἑλληνοδίκαι cf. Et. M. 331, 23 = Et. Gen., Bk. 249, 2 οὕτω sq. Eunap. fr. 79, FHG 4, 49 cf. Byz. Zt. 23, 30 741 Harp. cf. Bk. 248, 32, Et. Gen., Et. M. 331, 20, sch. Pind. O. 3, 22a, Aristodem. FHG 3, 308

729 — δένδρον ex 764 cf. 743; τὴν—ἔλεγον ex v. Γ 187 cf. v. Δ 1549; παρ' sq. ex v. Δ 1541 730 Z 691 732 cf. Prooemium vs. 3. hinc v. λοῦτρον extr. 734 Z 686 735 Z 691 739 cf. 2020 740 cf. v. Η 154. Z 682

A(GIFVM) 729 om. FV 2 γιγέριμον GIM: γιγέρημον A γεργέριμον v. Γ 187 730—1 om. F 6 στοιχεῖον V, cp. GIM: στοιχείων A στοιχείου F 7 τῶν λουτρῶν Kust. 9 δένδρα ed. pr. 11 Ἐλάκησε pr.] Ἐλάκισε FV Zon. μέσος AGF Zon. Act. 1, 18: μέσον rell. Ἐλάκησε alt.—12 ὤρυξεν om. FV post 736 A δὲ] καὶ M ἐνεκροτάλησεν M 12 Ἐλάκκισε A: Ἐλάκισε GIM 15 αὐτῶν] αὐτὸν AF φανερὸν αὐτὸν AF 738 ad 360 rettul. Sturz et FGrHist 1 T 2 18 Μιτυληναῖος] Μιλήσιος F cf. 17 21 Ἑκταίῳ FV 22 γεγονὼς Jacoby καὶ pr.] ἢ Jacoby πρός] πατρός (πρός) V πρόσθεν Rohde 23 Περπερίνῃ AV 26 ante οὕτω interpunxerunt IFV Zon. de Boor 29 θ' om. FV

τελευταίους τιθέντας τὸν ἀγῶνα ι′ εἶναι Ἑλλανοδίκας, ἀφ' ἑκάστης φυλῆς α′.

742 Ἐλαολόγοι· ὥσπερ ἐλαολόγοι χωρεῖθ' ἅμα τῷ τὸν μισθὸν ἔχοντι. Ar.

743 Ἐλαολόγοι: οἱ τὰς ἐλάας συλλέγοντες. Ἐλαία, τὸ δένδρον, Ἐλάα δὲ ὁ καρπός. Suid.

744 Ἐλάσαι καὶ Εἰσελάσαι.

745 Ἐλασίβροντ' ἀναρρηγνὺς ἔπη· Ἀριστοφάνης. τῆς ἀρχῆς Πινδάρου· ἐλασίβροντε παῖ Ῥέας· ἀντὶ τοῦ ὡς ὑπὸ βροντῆς ἐλαυνόμενα, τουτέστι μεγαληγορῶν καὶ ὑπερόγκοις χρώμενος ῥήμασι καὶ γέμουσι ψόφου. ἤτοι διὰ τὴν φωνὴν σκώπτει τὸν Κλέωνα, ὅτι τραχέως ἐφθέγγετο, ἢ ὡς ταχέως. Ar.

746 Ἐλασμὸς μολίβδου· εἰς ἐλασμοὺς μολίβδων γράφοντες. E

747 Ἐλαστρηθείς: βιασθείς, κινηθείς. Ζανὸς ἐλαστρηθεὶς γυιοπαγεῖ νιφάδι. Anth.

748 Ἐλάτεια: πόλις μεγίστη τῶν ἐν Φωκεῦσιν. ἔνιοι δὲ διὰ τοῦ ρ προφέρουσιν Ἐλάτρειαν δοκοῦντες ἄμεινον γράφειν. Harp.

749 Ἐλάτειραν: ἀπελαστικήν. Σ

750 Ἐλατήρ: πλακουντῶδες πέμμα πλατύ· ἔνθεν καὶ ἡ ἐπωνυμία παρὰ τὸ ταῖς χερσὶν ἐλαύνεσθαι εἰς πλάτος. ἢ ἄρτος πλατύς, ἐν ᾧ τὸ ἔτνος ἐτίθεσαν καὶ προσῆγον τοῖς βωμοῖς. εἰδήσεις Ἀλκμᾶνα, λύρης ἐλατῆρα Λακαίνης ἔξοχον, ὃν μουσῶν ἐννέ' ἀριθμὸς ἔχει. εἰσὶ δὲ καὶ λαγαρώδεις παρὰ τὸ λαγαρόν. καὶ πέλανοι παρ' Εὐριπίδῃ. καὶ Ἐλατῆρος, πέμματος εἶδος ἀζύμου. Εὐριπίδης δὲ πεπτά. Ar.

751 Ἐλατῆρι: ἡνιόχῳ. Σ

752 Ἐλαττοῦμαι· γενικῇ. Synt.

753 Ἐλαύνωσιν· αἰτιατικῇ. ὄγμον ἐλαύνωσι. τύπτωσι. τίθησιν ἐπὶ τῆς ἐκ χειρὸς πληγῆς τὸ ἐλάσαι Ὅμηρος. Hom.

742 — ἔχοντι Ar. Vsp. 712 743 ἐλάας συλλέγοντες cf. Ael. D. fr. 162 ap. Eust. O. 1944, 9 745 Ar. Eq. 625 c. sch. cf. H, Et. M. 325, 45; Pind. fr. 144 746 Cass. D. 46, 36, 4 vel hinc derivatum, Byz. Zt. 23, 97 747 Ζανὸς sq. Anth. 6, 219, 6 748 Harp. cf. Steph. Byz. 749 = gl. Dionys. PG 4, 25 cf. Ba 215, 21, Σ^{a}, Ambr. 632 750 — βωμοῖς + vs. 23 εἰσὶ—Εὐριπίδῃ (Tr. 1063) sch. Ar. Ach. 246. vs. 24 Ἐλατῆρος sq. sch. Ar. Eq. 1181 cf. H; Eur. fr. 467, 4 vs. 21 εἰδήσεις—22 ἔχει Anth. 7, 18, 3—4 751 = Ba 215, 22, sch. Δ 145 cf. Et. M. 329, 24 752 = Synt. Gud. cf. Laur. 753 αἰτιατικῇ cf. Synt. Gud. ὄγμον sq. Λ 68 c. sch. A (Aristonic.) cf. H, Ap. S. 65, 33

743 Z 684. ἐλαία sq. ex 764 cf. 729 745 Z 688 746 hinc v. μόλυβδος 747 hinc v. Z 19, Z 690 748—9 Z 686 750 Anth. cf. v. εἰ 33 750—1 Z 681

1 ἀφ'] ἐφ' M 3 ὥσπερ] ὡς A 743 om. V mg. A post vs. 3 Ἐλαολόγοι F A (GITFVM) post 744 GIM 5 Ἐλαολόγοι om. F Ἐλαία—6 καρπός om. M 744 om. FV non nov. gl. A 8 ante τῆς lac. in V; παρὰ τὰ τῆς sch. ἐκ τῆς Bhd. 9. 10 ἐλαυνόμενε GIVM 11 ψήφου V 13 μολύβδου cett. V, s. v. 14 γυοπαγεῖ FVM 17 προσφέρουσι A 751 inc. rursus T 27 ἐλαύνωσι alt.] ἐλαύνουσι A cf. Hom. τύπτωσι sch., Gsf.: τύπτουσι omnes τίθησιν F^{pc} sch., Gsf.: τιθεῖσιν rell.

Δ 754 Ἐλάφειον: τὸ τῆς ἐλάφου κέρας καὶ κρέας. καὶ Ἐλάφειος
Prov. ἀνήρ, ἐπὶ τοῦ δειλοῦ. ἐκ μεταφορᾶς τοῦ ζῴου· δειλὸν γὰρ ἡ ἔλαφος.

Σ 755 Ἐλαφηβόλος: ὁ κυνηγός. καταχρηστικῶς.

Δ 756 Ἐλαφρία: ἡ ὀλιγότης.

Δ 757 Ἐλαφρίζω: ἀνασκῶ.

Harp. 758 Ἐλαφροτάτους: ἐν ἐπαίνῳ λέγουσι τὸ ὄνομα οἱ παλαιοί· ἀντὶ τοῦ πραοτάτους, κατὰ τὸ ἐναντίον τοῦ βαρυτάτου καὶ φορτικωτάτου.

Δ 759 Ἐλάχεια.

760 Ἐλάχιστος: οὕτως ἐκάλεσεν ὁ Χριστὸς τὸν ἐπίγειον πλοῦτον. φησὶ γάρ· ὁ πιστὸς ἐν ἐλαχίστῳ. τουτέστιν ὁ καλῶς εἰδὼς βιοῦν καὶ τὸν πλοῦτον τὸν ἐπίγειον, ὃν καὶ Μαμωνᾶν ἐκάλεσεν, εἰς τοὺς ἐνδεεῖς δαπανῶν, ὁ τοιοῦτος ὁ ἐν τῷ ἐλαχίστῳ πιστὸς εὑρισκόμενος καὶ ἐν πολλῷ πιστὸς ἔσται, τουτέστιν ἐν τοῖς θείοις χαρίσμασιν. ὁ δὲ ἐν τῷ πλούτῳ τούτῳ ἄδικος γενόμενος καὶ εἰς ἑαυτὸν μόνον συντηρῶν αὐτόν, δηλονότι καὶ ἐν τοῖς θείοις χαρίσμασιν ἄδικος εὑρεθήσεται. ἀλλότριον δὲ τὴν τῶν χρημάτων περιουσίαν ὠνόμασεν· ἐπειδὴ οὐ γεγεννήμεθα μετὰ πλούτου, γυμνοὶ δὲ μᾶλλον· καὶ ὡς ἀληθῶς οὐδὲν εἰσηνέγκαμεν καὶ οὐδὲν ἐξενεγκεῖν δυνάμεθα.

Δ 761 Ἔλγη: πόλις.

762 Ἐλδυνομένους· πρωίοις ἰούλοις ἐλδυνομένους καὶ γενείοις ταχέσιν.

Δ 763 Ἐλαιᾷ: διεγείρει. καὶ Ἐλαιώμενος, διεγειρόμενος.

Δ 764 Ἐλαία: τὸ δένδρον. Ἐλάα δὲ ὁ καρπός.

Δ 765 Ἐλαιόδευστος: ἡ ἐλαίῳ διάβροχος.

Σ 766 Ἔλαιον ἄγριον: τὸν ἀγριέλαιον.

Δ 767 Ἐλαιών, ἐλαιῶνος: τὸ περιεκτικόν. λύσις ὀνείρου· ὁ ὢν ἔλαιον
On. ἐκφύγῃς πᾶσαν βλάβην.

754 κέρας cf. Ps. Herodian. 238. κρέας cf. Ambr. 701 Ἐλάφειος sq. Zen. III 66 = Et. M. 326, 10 755 = Et. M. 326, 12, Et. Gen. cf. H; Ba 215, 23 = Ap. S. 66, 1 756 l. = Ambr. 669 757 l. = Ambr. 760 758 Harp. = Et. M. 326, 17, Et. Gen. cf. An. Ox. 2, 493, 28 759 = Ambr. 660 cf. H 760 cf. Theophylact. Achr. PG 123, 968b c. vs. 18 οὐδὲν sq. 1 Tim. 6, 7 763 — διεγείρει = Ambr. 724. Ἐλαιώμενος sq. = Ambr. 726 764 cf. Theognost. An. Ox. 2, 5, 27—28; — δένδρον = Ps. Herodian. 30 cf. Ambr. 630; Ἐλάα sq. = sch. Ar. Ran. 988 cf. Ael. D. fr. 162 ap. Eust. O. 1944, 8 cf. 1572, 50; I. 949, 50 765 cf. Ambr. 545 766 cf. Ba 25, 15 = P; sch. Soph. Tr. 1197, Ael. D. fr. 162 ap. Eust. O. 1944, 7 767 — περιεκτικόν = Ambr. 553 et 578 ὁρῶν sq. Astramps.

756 Z 685 757 Z 690 758 Z 682 760 Z 682 761 Z 686 763 Z 691 764 hinc 729 et 742, Z 686

A(GITFVM) 14 ὁ—16 χαρίσμασιν om. V 762 mg. M post 769 V 21 Ἐνδυνομένους Toup Ἀλδαινομένους Port. 21. 22 γενείοις τάχεσσιν V 23 Ἐλαιώμενοι, διεγειρόμενοι V 764 om. F 25 Ἐλαιόδευτος V ἡ] ὁ Ambr. Kust. 26 τὸν] τὸ ITF

768 Ἑλέα, ὄνομα πόλεως. πατρὶς Ζήνωνος. αὕτη πρότερον Ὕλη Δ
ἐκαλεῖτο, Φωκαέων οὖσα ἀποικία, πόλις εὐτελὴς καὶ μόνον ἀγαθοὺς
ἄνδρας τρέφειν δυναμένη· ἣν ἠγάπησε μᾶλλον τῆς Ἀθηναίων μεγαλ-
αυχίας, οὐκ ἐπιδημήσας τὰ πολλὰ πρὸς αὐτούς, ἀλλ' αὐτόθι κατα-
βιούς. τὸ δὲ ἐθνικὸν Ἐλεάτης· λέγεται δὲ καὶ ἑτέρα πόλις Δ
Ἐλαία διὰ διφθόγγου, ἧς ὁ πολίτης Ἐλαΐτης. καὶ κόλπος οὕτω
καλούμενος.
769 Ἔλεα: τὰς πόλεις τὰς ἱδρυμένας ἐφ' ἕλει. καὶ Ἐλεάτης, Δ
ὁ ἀπὸ τῆς πόλεως.
770 Ἐλλεβοριᾶν: τὸ ἐλλεβόρου δεῖσθαι ὡς φαρμάκου. οὕτω Καλ- Σ
λίας. καὶ Ἐλλεβορίζω· αἰτιατικῇ. Δ
771 Ἐλλέβορον: εἶδος βοτάνης φαρμάκου, τὸ παρὰ τοῖς ἰατροῖς Δ
καρπὶν λεγόμενον.
772 Ἐλεγείνειν: τὸ παραφρονεῖν τινες τῶν παλαιῶν, καὶ τὸ ἐλεγεῖον Σ
μέτρον ἀπὸ τούτου κληθῆναί τινες νομίζουσιν, ὅτι Θεοκλῆς Νάξιος ἢ
Ἐρετριεὺς πρῶτος αὐτὸ ἀνεφθέγξατο μανείς.
773 Ἐλεγεῖον: μέτρον τι. καὶ Ἐλεγείαν θηλυκῶς. Δ
774 Ἔλεγος: θρῆνος. ἀπὸ τοῦ ἒ ἒ λέγειν. ἢ οἱ πρὸς αὐλὸν Σ Ar.
ᾄδόμενοι θρῆνοι· τὸν γὰρ αὐλὸν πένθιμον ὑπειλῆφθαι. ἢ ὅτι πρὸς
αὐλὸν ᾖδοντο οἱ θρῆνοι, τουτέστιν οἱ ἔλεγοι. τὸν δὲ αὐλὸν ὕστερον
ἐπικήδειον Μίδαν, φασί, τὸν Γορδίου βασιλεύοντα περιβώμιον ποιῆσαι
βουλόμενον τὴν ἑαυτοῦ μητέρα ἀποθεῶσαι τελευτήσασαν.
775 Ἐλέγχεια. Δ
776 Ἐλέγχιστος: ἐπονείδιστος. Σ
777 Ἐλέγχομεν: ἀντὶ τοῦ κακολογοῦμεν. νυκτὶ δ' ὅλῃ βασιλῆας Call.
ἐλέγχομεν. καὶ ἔργα δὲ χεῖρας ἐλέγχει. Anth.

768 — πόλεως cf. Ambr. 652, Ps. Herodian. 217 πατρὶς—καταβιούς Laert. 9, 28 Ἐλεάτης cf. Ambr. 609 et 652, Steph. Byz. πόλις—Ἐλαΐτης cf. Ambr. 651 et 610, Steph. Byz. κόλπος cf. Steph. Byz. 769 cf. Steph. Byz. v. Ἔλος; Ἐλεάτης sq. cf. Ambr. 609 et 652 770 — Καλλίας (fr. 28; 1, 698 K.) = Et. M. 331, 29, Et. Gen. cf. sch. Ar. Vsp. 1489 Ἐλλεβορίζω = Ambr. 754 cf. sch. Ar. Vsp. 1489 αἰτιατικῇ = Synt. Gud. 771 — φαρμάκου = Ambr. 548 cf. H; l. = Ambr. 686. καρπὶν = Ps. Herodian. 30 772 = Et. M. 327, 6, Et. Gen. 773 cf. Et. M. 326, 53 = Et. Gen.; — μέτρον = Ambr. 700, Ps. Herodian. 30 774 — θρῆνος = Ba 215, 24, Didym. ap. Orion. 58, 7, Et. M. 326, 47, Et. Gen. cf. sch. Ar. Av. 217, Procl. ap. Phot. Bibl. 319 b 8, sch. Dionys. Thr. ed. Hilgard 21, 1 ἀπὸ—ὑπειλῆφθαι sch. Ar. Av. 217 (Didym.) cf. Et. M. 326, 49 et 57 = Et. Gen., sch. Dionys. Thr. 21, 1 775 = Ambr. 661 = 665 776 = Ba 215, 25, Ambr. 532, sch. Δ 171, H 777 — ἐλέγχομεν alt. Call. (fr. 130 K. an. 21 S.) c. sch. ἔργα sq. Anth. 6, 250, 7—8

768 extr. cf. v. Z 77 770—1 sch. Dem. Bav. 18, 121 770 Z 692 771 Z 689 772 Z 692 774 Z 682 776 Z 682 777 Z 691

1 Ὕλη om. V 5 τὸ—Ἐλεάτης om. VM 8 Ἔλεα, τὰς Bekk.: Ἐλεάτας A(GITFVM) omnes 10 οὕτω—11 αἰτιατικῇ om. T 11 καὶ—αἰτιατικῇ om. G ante gl. καὶ omisso I αἰτιατικῇ om. FV 16 αὐτὸ] αὐτῷ A αὐτὸς I 773 om. T 17 καὶ—θηλυκῶς om. FV 18 αὐλὸν] αὐτὸν M 31 ἐπικήδιον Μείδαν A Γορδίου Bas.: Γοργίου omnes 22 τὴν] τε V 24 ὁ ἐπονείδιστος GIT Ambr.

Hom. Synt. 778 Ἔλεγχος: αἰσχύνη. καὶ Ἐλέγχω σε.

Δ 779 Ἐλεδανός: ὁ δεσμός.

Ecl. 780 Ἐλεδώνη: εἶδος πολύποδος. ἥτις ἔχει μίαν κοτυληδόνα καί
E? ἐστιν ἑπτάπους, ὥς φησιν Αἰλιανός. ἔστι δὲ τὸ λ περισσόν. καλεῖται
Ecl. δὲ ἐλεδώνη ἀπὸ τοῦ ἑαυτὴν ἔδειν, ὅ ἐστιν ἐσθίειν. καὶ Ἡσίοδος·
ὅτ' ἀνόστεος ὢν πόδα τένδει.

Δ 781 Ἐλεεινός: ὁ ἐλέους ἄξιος. ἐλεεινοὶ τοῦ πάθους, ἀξιέπαινοι
E τῆς ἀρετῆς γενόμενοι, μέγα γὰρ πάθος Ῥωμαίοις τοῦτο ἐγένετο καὶ
πλήθους ἕνεκα καὶ πανωλεθρίας, καὶ τὴν ἡμέραν ἀποφράδα τίθενται.

Δ 782 Ἐλεεινῶς: οἰκτρῶς, ἀθλίως.

Δ 783 Ἐλεηλάτουν: ἠφάνιζον.

Δ Ar. 784 Ἐλεήμων, ἐλεήμονος. ἀντὶ τοῦ ἥττων. οἴμ', ὡς ἐλεήμων
Δ εἶμ' ἀεὶ τῶν χρυσίδων. καὶ συστέλλει.

Suid. 785 Ἐλεημοσύνη· ὅτι ἀποστέρησίς ἐστι, τὸ τὰ ἀλλότρια λαβόντας κατέχειν·
καὶ ὅταν ἐλεημοσύνην μὴ παράσχωμεν, ἐν ἴσῳ τοῖς ἀποστεροῦσι κολαζόμεθα.

Ar. 786 Ἐλελεῦ: ἐπίφθεγμα πολεμικὸν τὸ ἐλελεῦ. καὶ γὰρ οἱ προσιόντες
εἰς πόλεμον τὸ ἐλελεῦ ἐφώνουν μετά τινος ἐμμελοῦς κινήσεως· καθὸ
καὶ Ἀχαιὸς Ἑρετριεὺς ἐν τῷ Φιλοκτήτῃ ποιεῖ τὸν Ἀγαμέμνονα παρ-
αγγέλλοντα τοῖς Ἀχαιοῖς· ὥρα βοηθεῖν ἐστίν· ἐγὼ δ' ἡγήσομαι.
προσλαβέτω τις χεῖρα φαγάνου λαβῆς, σάλπιγγι δ' ἄλλος ὡς τάχος
σημαινέτω· ὥρα ταχύνειν, ἐλελεῦ. μήποτε καὶ τὸ Καλλιμάχειον, θεῷ
τ' ἀλάλαγμα νομαῖον δοῦναι, τοιοῦτόν ἐστιν. Ἀριστοφάνης Ὄρνισιν·
ἐλελεῦ. χώρει, κάθες τὸ ῥύγχος, οὗ μένειν ἐχρῆν.

Σ 787 Ἐλελιξάμενος: ἐπιστραφείς.

Σ 788 Ἐλελίχθησαν: συνεστράφησαν.

EV 789 Ἑλένη, βασίλισσα, μήτηρ τοῦ μεγάλου Κωνσταντίνου, πάσῃ ἀρετῇ
κεκοσμημένη. εἶχε δὲ καὶ χριστομίμητον ταπεινοφροσύνην πρὸς πάντας
μέν, διαφερόντως δὲ πρὸς τὸ ἱερὸν τῶν μοναζόντων σχῆμα. τὰς γάρ

778 — αἰσχύνη sch. Λ 314 Ἐλέγχω σε cf. Synt. Laur. et Gud. 779 = Ambr. 541 cf. Et. M. 331, 26; sch. Σ 553 = H 780 — πολύποδος + vs. 4 ἔστι sq. = An. Ox. 2, 437, 20 cf. Et. M. 327, 23; — πολύποδος = Aristot. et Speusipp. ap. Ath. 7, 318e cf. Hesiod. O. 524 ἥτις—ἑπτάπους Aelian. fr. 143 781 — ἄξιος = Ambr. 543 cf. sch. Ω 309 ἐλεεινοὶ sq. App. Ital. fr. 6 782 = Ambr. 763 cf. sch. B 314 = H 783 = Ambr. 729 784 — ἐλεήμονος cf. Ambr. 552 et 586 ἥττων—χρυσίδων Ar. Pac. 425 c. sch. συστέλλει = Ambr. 586 786 Ar. Av. 364 c. sch. (plenior.); Achaei fr. 37; Call. fr. 59 K. 310 S. 787 = Ba 215, 27, H 788 = Ba 215, 28, Et. Gen., Et. M. 328, 46, sch. Ε 497, H 789 — p. 243, 8 Ἀρμένιοι Georg. 501, 22—502, 13 = EV 1, 147, 11—24

778 Z 683 et 691 779 cf. vv. Εἰ 102 et Ι 804 780 Z 687. Hesiod. cf. v. τένθαις; hinc v. τένδει 781 cf. v. A 3642 782. Z 697 783 Z 691 785 ex v. A 3553 cf. v. Ε 3671 786 cf. v. ῥύγχος. Z 697 787—8 Z 691

A(GITFVM) 1 ἡ αἰσχύνη F Zon. 691 καὶ—σε om. FV 12 Ἐλεήμων om. IF ἐλεήμονος om. A -ονος supra ων VM (contra G) 785 om. FV 14 ὅτι— 15 κολαζόμεθα om. T 16 sqq. Ἐλελεῦ v. l. in sch. 20 προσβαλλέτω Grotius φαγάνου Port.: φασιάνου omnes λαβῇ Grotius σάλπιγγι Port.: σάλπιγγα omnes 21 σημαινέτω Port.: σημαίνεται omnes

τοι διὰ βίου τὴν παρθενίαν ἀσκούσας συναγείρουσα πολλάκις καὶ ἐπὶ στιβάδος κατακλίνουσα αὐτὴ δι' ἑαυτῆς καθυπούργει ὄψα παρατιθεῖσα καὶ κύλικας ὀρέγουσα καὶ ὕδωρ ταῖς χερσὶν αὐτῶν ἐπιχέουσα θεραπαίνης ἔργον ἐπλήρου. οὕτω καὶ τὸν ἀείμνηστον υἱὸν αὐτῆς ἐξεπαίδευεν ἄτυφον ἔχειν φρόνημα, ἀρετῆς καὶ πολιτείας ἀκριβοῦς ἐπιμελεῖσθαι καὶ δουλεύειν τῷ θεῷ μετὰ φόβου καὶ τρόμου. ἐπὶ γὰρ τοῦ μεγάλου Κωνσταντίνου ἐβαπτίσθησαν καὶ οἱ ἐνδότεροι Ἰνδοὶ καὶ Ἴβηρες καὶ Ἀρμένιοι. ὅτι ἐν τῇ ἀψῖδι τῆς καμάρας τοῦ φόρου ἵστανται β' στῆλαι Ἑλένης καὶ Κωνσταντίνου καὶ σταυρὸς ἐν μέσῳ αὐτῶν γράφων· εἷς ἅγιος. καὶ β' ταχυδρόμων ὁμοίως στῆλαι· ἀνετέθησαν δὲ ὑπὸ τοῦ τὸν φόρον ἐπέχοντος.

790 Ἔλενος· ὃς συνέγραψε τὸ χειροσκοπικὸν οἰώνισμα, ὡς ὅταν τῆς ἐκτάσεως τῶν χειρῶν τῆς παλάμης ἀπὸ τῶν ῥυτίδων εἴπωμεν, παιδοποιεῖ ἤ τι τοιοῦτον. Greg.

791 Ἐλεόθρεπτον: τὸ ἐν ἕλει τεθραμμένον. Σ

792 Ἐλεοκόπους: Λυσίας τοὺς τὰ ἕλη κόπτοντας, τοῦ ε παρεμβεβλημένου, ὡς τὸ ἐλεόθρεπτον σέλινον παρὰ Ὁμήρῳ. μήποτε δὲ παρὰ τὸ ἐλεόν, ὅπερ ἐστὶ ξύλινον, γεγένηται τοὔνομα. Harp.

793 Ἔλεος: ἀρσενικῶς ἡ ἐλεημοσύνη. Ἐλεὸς δὲ ὀξυτόνως, ἡ μαγειρικὴ τράπεζα. Ἀριστοφάνης· ἴθι δή, κάθελ' αὐτοῦ τοὐλεόν. τουτέστι τὸ μαγειρικὸν τραπέζιον. Ὅμηρος· βάλλον δ' εἰν ἐλεοῖσιν. ἔστι δὲ ἐλεὸς καὶ εἶδος ὀρνέου. Δ Ar.

794 Ἐλεοῦντα: πόλις ἐστὶν ἐν Χερονήσῳ τῆς Θρᾴκης. Ἐλεοῦς δέ ἐστιν ἡ εὐθεῖα. Harp. Δ

795 Ἐλέου βωμός. Δ

796 Ἐλεπτύνθαι.

797 Ἐλεών: ὄνομα πόλεως. Δ

798 Ἐλεῶ σε· αἰτιατικῇ, Synt.

799 Ἐλεπόλεις: μηχανήματα πόλεις πορθοῦντα. Σ

789 vs. 8 ὅτι sq. Preger 158, 12—159, 2 790 Nonn. in Greg. Naz. PG 36, 1024b 791 = Ba 215, 29, sch. B 776 cf. Ambr. 693, H 792 Harp. cf. Et. Gen. = Et. M. 326, 43; Ambr. 540; Lysiae fr. 71 793 — ἐλεημοσύνη = Ambr. 550 cf. 689 = Ps. Herodian. 235; Philop. Ἐλεὸς—τράπεζα (praeter ὀξυτόνως) = Ath. 4, 173a cf. sch. I 215, H, Ap. S. 66, 8 ἴθι—vs. 21 ἐλεοῖσιν Ar. Eq. 152 c. sch. cf. H; Ξ 432 794 — Θρᾴκης Harp. Ἐλεοῦς = Ambr. 648a 795 = Ambr. 549a, 697b cf. sch. Soph. OC 260, sch. Luc. 15, 9; 117, 9 797 = Ambr. 647 cf. 579 = 677, H 798 praeter σε = Synt. Laur. et Gud., An. Ox. 4, 291, 25 799 = Σ^a, Ba 215, 30, Et. Gen. cf. Et. M. 328, 49, H

789 vs. 8 hinc vv. A 3972 extr., I 75 et 874; Preger hinc v. στήλη 790 cf. vv. οἰωνιστικήν et χειροσκοπικόν. Z 682 792 Z 683 793 extr. cf. v. H 802. Z 683 794 Z 687 795 Z 683 797 Z 683 et 687

2 στιβάδων Georg. cp. VM 3 αὐτῶν GIT Georg.: αὐτῷ A αὐτῆς V 7 ἐνδοξότεροι M 9 ἵσταντο M 12 χειροσκοπιτικὸν M 13 ῥυτίδων] ῥιπίδων V 16 τὰ om. M 16. 17 παρεμβεβλήμενος V 18 post ἐστὶ lac. in GI cf. Harp. 19 ἀρσενικὸν V cp. A 796 ex IM A(GITFVM)

Call. 800 Ἕλλερα ἔργα: φόνια, χαλεπά, κακά.

Σ 801 Ἑλέσθαι: θέλειν.

Σ 802 Ἑλετή: αἱρεθῆναι δυναμένη.

Prov. 803 Ἐλεύθεραι αἶγες ἀρότρων: παροιμία ἐπὶ τῶν βάρους τινος ἢ κακῶν ἀπηλλαγμένων.

Harp. 804 Ἐλευθέριος: ὁ Ζεὺς διὰ τοῦτο ἐκλήθη, διὰ τὸ τοὺς ἐξελευθέρους τὴν στοὰν οἰκοδομῆσαι τὴν πλησίον αὐτοῦ. οὕτως μὲν Ὑπερίδης. ὁ δὲ Δίδυμος οὐ διὰ τοῦτό φησιν, ἀλλὰ διὰ τὸ τῆς Μηδικῆς δουλείας

Suid. καὶ ἐπικρατείας ἀπαλλαγῆναι τοὺς Ἀθηναίους. τὸν ἐλευθέριον τινὲς εἰς τὸν ἄρτον μεταλαμβάνουσιν· καὶ ζήτει ἐν τῷ ἐγκράτεια.

805 Ἐλευθεριότης: ἡ μὴ κατὰ κιβδηλείαν χάρις. διὰ τὴν πρὸς

E τὰς δωρεὰς ἐλευθεριότητα· φησὶν Οὐεσπασιανὸς βασιλεὺς Ῥωμαίων.

E ὁ δὲ τοσοῦτον ἐλευθεριότητος ἐλαλάκει ὥστε οὐδὲ ἀπὸ τῆς πολιτείας ἠνέσχετο σίτησιν αὐτῷ παρασκευάσαι καὶ τῆς οἰκίας οὐκ οὔσης μονήρους, ἀλλὰ συχνῆς ἀμηγέπη.

Prov. 806 Ἐλευθεριώτερος Σπάρτης: διὰ τὸ ἀνυπότακτον καὶ γενναῖον φρόνημα. διὸ οὐδὲ τείχη περιεβάλλοντο, νόμοις παιδευόμενοι. ἀλλ' οὐδὲ ἠθέλησαν ἐκ μάχης ἡττημένοι ὑποστρέψαι οὐδὲ ἐτυραννήθησαν.

Phil. 807 Ἐλεύθερος· μόνος ἐλεύθερος ὁ σπουδαῖος, οἱ δὲ φαῦλοι δοῦλοι·

Ecl. εἶναι γὰρ τὴν ἐλευθερίαν ἐξουσίαν αὐτοπραγίας. Ἐλεύθερος γὰρ ὁ

Suid. ἐλεύθων ὅπου ἐρᾷ. ὅτι τὸν ἐλευθεροῦντα τὴν ἑαυτοῦ γῆν ἄνδρα ἀγαθὸν φαίνεσθαι, πολλῷ βέλτιον τοῦ δουλείαν ἐπάγειν τῇ πόλει· οἷος ἦν Γύγης βασιλεὺς Αἰθιόπων.

Σ 808 Ἐλευθεροστομῶ: παρρησιάζομαι. καὶ ἁπλῶς φάναι λόγοις

E ἐλευθερίοις προσέχειν λ' ἐτῶν ἤρξατο.

Synt. 809 Ἐλευθερῶ σε· αἰτιατικῇ. Ἐλευθεροῦμαι δὲ γενικῇ.

Δ 810 Ἐλευθήρ: τόπος.

Harp. 811 Ἐλευσίνια· τοῖς νικῶσι τὰ Ἐλευσίνια ἐδίδοτο ἆθλον. ὠνομάσθη δὲ ἡ πόλις ἀπὸ Ἐλευσίνου τοῦ Ἑρμοῦ. ἄλλοι δὲ ἄλλην αἰτίαν φασὶ καὶ ἑορτὴν εἶναι μόνον τὰ Ἐλευσίνια.

800 Call. (fr. 53 K., 434 S.) c. sch. cf. Eust. I. 635, 5 801 = Ba 216, 1, H 802 cf. Ba 216, 2 803 = Zen. III 69 804 — Ἀθηναίους Harp. = Lex. rhet. ap. Et. Gen., Et. M. 329, 43; — Ζεὺς cf. Ambr. 625 = Stud. An. 266; Hyper. fr. 197 806 cf. Diogen. IV 87 807 — αὐτοπραγίας Laert. 7, 121 vs 21 Ἐλεύθερος—22 ἐρᾷ cf. An. Ox. 2, 435, 9, Et. M. 329, 42 808 — παρρησιάζομαι = Ba 216, 3, H καὶ sq. ad Aelian. fr. 317 rettulit Bruhn, Rh. Mus. 45, 274 809 = Synt. Gud. cf. Laur. 810 l. = Ambr. 577 811 Harp. = Et. Gen. cf. Et. M. 329, 40

800 Z 689 802 Z 687 804 vs. 9 τὸν sq. ex 123 805 cf. v. συχναῖς. Z 686 807 Laert. cf. v. Δ 1424. vs. 22 ὅτι sq. ex v. Γ 4. Z 683 808 Z 692 811 Z 688

A(GITFVM) 1 Ἕλλερα I Zon. Eust. Hes. Et. M. 331, 31: Ἕλλερρα A Ἔλερρα rell. 6 ἐλευθέρους V 9 τὸν—10 ἐγκράτεια om. TFV mg. AM post vs. 22 ἐρᾷ GI 10 ἀσώματον M καὶ—ἐγκράτεια om. GI καὶ om. M 13 δὲ] δ' ἐς Zon. 14 σίτισιν GITVM 17 τείχη] τύχη FV 22 ὅτι—24 Αἰθιόπων om. TFV 809 om. FV 810 ex FV 28 τόπος ex F

812 Ἐλευσῖνος: ὄνομα κύριον. Δ
813 Ἐλεύσιος καὶ Μαραθώνιος, ὁ μὲν Κυζικηνὸς ὁ δὲ Κωνσταντινουπολίτης ἤστην, τῆς μὲν ἐν τῷ λέγειν δυνάμεως οὐκ ἐπὶ τοσοῦτον ἀνήκοντες ὥστε μέγα τι καὶ λαμπρὸν ἀπ' αὐτοῦ δυνηθῆναι εἰς ὄχλων προαγωγήν, τῷ γε μὴν κατεσκληκότι τοῦ βίου καὶ τῇ εἰς μετριότητα πλάσει τῶν ἠθῶν οὕτω δυνηθέντες, ὥστε οὐκ ἐλάχιστα καὶ οὗτοι πλήθη περιεβάλοντο ἀσκητήρια πολυάνθρωπα συστησάμενοι ἀνδρῶν τε καὶ γυναικῶν καὶ ἄλλων οὐχ ἥκιστα πολλῶν εἰς αὐτοὺς ἀνήρτησαν ὄχλον, τῶν τὸ αὐχμηρῶς ζῆν καὶ τὴν ἐν τῇ διαίτῃ σκληραγωγίαν αὐταρκέστατον εὐσεβείας ἔνδειγμα λογιζομένων.
814 Ἐλέφαντα ἐκ μυίας ποιεῖν: ἐπὶ τῶν τὰ ἐλάχιστα ἐπαιρόντων τῷ λόγῳ καὶ μεγάλα ποιούντων. Λουκιανοῦ Μυίας ἐγκωμίῳ· μὴ καὶ δόξω κατὰ τὴν παροιμίαν ἐλέφαντα ἐκ μυίας ποιεῖν. Prov.
815 Ἐλεφαντόκωπον: ἀπὸ τῆς λαβῆς τὴν μάχαιραν ἔφη.
816 Ἐλέφαντος οὐδὲν διαφέρεις: ἐπὶ τῶν μεγάλων καὶ ἀναισθήτων· παρόσον καὶ τὸ ζῷον τοιοῦτον. καὶ Ἐλέφαντα ἐκ μυίας, ἐπὶ τῶν τὰ ἐλάχιστα ἐπαιρόντων τῷ λόγῳ καὶ μεγάλα ποιούντων. Prov.
ὅτι σούκινοι καὶ ἐλεφάντινοι δακτύλιοι γυναιξίν εἰσι σύμφοροι. Suid.
817 Ἐλεφαίρετο: ἐπλανᾶτο, ἐβλάπτετο. Δ
818 Ἐλεφῆραι: βλάψαι, ἀπατῆσαι. Δ
819 Ἔλεψεν: ἐλέπισεν. Σ
820 Ἐλείας πρὸς αὐλῶνας: τουτέστι τὰς ἐλώδεις διώρυχας. ἢ ἐλώδεις τόπους στενούς. ἀπὸ τοῦ ἕλος, ἕλειος, ἐλεία. Ar.
821 Ἐλειβάτης. Δ
822 Ἐλεῖν: λαβεῖν. Σ
823 Ἐλειονόμος. Δ
824 Ἕλειος: ὁ κάθυγρος καὶ σύνδενδρος τόπος. καὶ Ἕλειος ὄρνις. καὶ Ἕλειος ᾠδή. σημαίνει καὶ ὄνομα ὄρους. Δ

812 = L cf. Ambr. 570—1 813 cf. Soz. h. e. 4, 20, falso Dam. fr. 298 814 = Zen. III 68 815 l. cf. Ambr. 526 et 690 = sch. Luc. 279, 6 816 — τοιοῦτον cf. Paroem. ed. Gsf. 46, n. 405, Philol. Suppl. 6, 262, n. 386. Ἐλέφαντα—ποιούντων cf. ad 814 817 — ἐπλανᾶτο = Ambr. 728. ἐβλάπτετο cf. H, Et. M. 329, 27 818 = Ambr. 717 cf. Et. M. 329, 28, Ap. S. 66, 11, sch. Ψ 388 819 = Ba 216, 4, H, Ap. S. 66, 14 cf. sch. A 236 820 Ar. Av. 243 c. sch. plenior. 821 cf. Ambr. 530 822 = Ba 215, 26, Apion 823 = L cf. Ambr. 546 824 — τόπος cf. Ps. Herodian. 30, Ambr. 528 et 683 Ἕλειος ὄρνις = Ambr. 594. Ἕλειος ᾠδή = Ambr. 676

813 cf. vv. A 2405 et K 991 814 cf. 816 816 cf. 814. ὅτι sq. ex v. Δ 27 817—8 Z 692 822 Z 692 824 cf. Z 684

1067 Ἐμφανές: ἐπίθετον τῆς ἡμέρας· ὡς καὶ τὸ τῆς νυκτός, νύκτα Soph.
μέλαιναν. Σοφοκλῆς· εἶρξαι κατ' ἦμαρ τοὐμφανὲς τὸ νῦν τόδε αἴανθ'
ὑπὸ σκηναῖσιν.
1068 Ἐμφανίζω σοι: φανερῶ σοι. Δ
1069 Ἔμφασιν: προσποίησιν, ἐννόησιν· ἢ τὸ μέγεθος. Πολύ- x + Σ
βιος· ὁ δὲ Φίλιππος ἀνεχώρησε διαταραχθείς, ποιῶν δὲ ἔμφασιν, ὡς E
ἐπί τινα τῶν ἐν Πελοποννήσῳ πράξεων ἐπεστροφώς. ταύτην δὲ τὴν E
ἀπολογίαν καὶ τὰς ἐμφάσεις οὐχ οἷον ἄν τις διέθετο πεπαιδευμένος
ἀνήρ, ἀλλ' οὐδὲ τῶν ἀπὸ τέγους ἄχρι τοῦ σώματος εἰργασμένων οὐδείς.
1070 Ἔμφασις: ἔνδειξις. Πολύβιος· ταύτην δὲ τὴν λοιδορίαν καὶ
τὰς ἐμφάσεις οὐχ οἷον ἄν τις διέθετο πεπαιδευμένος ἀνήρ, ἀλλ' οὐδὲ EV
τῶν ἀπὸ τέγους ἄχρι τοῦ σώματος εἰργασμένων οὐδείς. ὁ δ' ἵνα
πιστὸς φανῇ κατὰ τὴν αἰσχρολογίαν καὶ τὴν ἄλλην ἀναισχυντίαν καὶ
προσκατέψευσται τἀνδρὸς κωμικόν τινα μάρτυρα προσεπισπασάμενος
ἀνώνυμον.
1071 Ἐμφαντικῶς: ἐννοητικῶς. ὁ δὲ παρεκάλει βραχέως μέν, Σ
ἐμφαντικῶς δὲ τοῦ παρόντος κινδύνου. ἀντὶ τοῦ πρεπόντως. E
1071b Ἐμφαίνει: σημαίνει. Σ
1072 Ἐμφέρεια: ὁμοιότης. Σ
1073 Ἐμφερεῖς: ἀντὶ τοῦ ὁμοίους. ὁ δὲ ἐμφερεῖς παῖδας τοῖς ἐπι- Δ + E
ζητηθεῖσι κοσμήσας ὑπὸ πεπλασμένης τιμῆς καὶ σηρικῆς ἐσθῆτος.

1063 Ar. Ran. 562 c. sch. 1064 = Ambr. 841 1065 cf. Ba 305, 14 1066 ἔπειτα sq. [Polyb.] fr. 136 1067 Soph. Ai. 753—4 c. sch. plenior.; Θ 486 1068 cf. H; Ἐμφανίζω = Ambr. 862 1069 ἐννόησιν—μέγεθος = Ba 219, 6 cf. H ὁ—ἐπεστροφώς Polyb. 5, 110, 6 ταύτην sq. Polyb. 12, 13, 2 = EV 2, 129, 27—130, 3 1070 ταύτην sq. Polyb. 12, 13, 2—3 = EV 2, 129, 27—130, 5 1071 — ἐννοητικῶς = Ba 219, 7, Σ^a, H ὁ—κινδύνου Polyb. 11, 12, 1 1071b = Ba 219, 5, Σ^a cf. H 1072 = Ba 219, 8, H cf. gl. Dionys. PG 4, 25; l. = Ambr. 796 (Eunap. fr. 110, FHG 4, 56) 1073 — ὁμοίους cf. H. ὁ sq. Iambl. attr. Bruhn, Rh. Mus. 45, 280

1063—4 Z 711 1065 cf. v. μυωπιζόμενος. Z 711 1066 Z 711 1067 cf. v. Εἰ 142 1068 Z 711 1069—70 Z 701—2 1069 Polyb. 12 cf. 1070 et v. Δ 472 1070 cf. 1069 et v. Δ 472

2 ἐμὲ] με VM 10 εἶρξε FVM 15 ἀπεστροφώς T ἐπιστροφώς V ἐπεστρω- AG(ITFVM)
φώς M ταύτην—17 οὐδείς om. G Kust. 17 ἀλλ'—οὐδείς om. T τῶν]
τὸν M στέγους V 18 Ἔμφασις—Πολύβιος om. GT 19 οὐχ—23 ἀνώνυ-
μον om. F 19 ἀλλ'—23 ἀνώνυμον om. T 20 τέγους] τοῦ τέγους M τοῦ
στέγους V 22 προσεπισπασάμενον V cp. M 24 Ἐμφατικῶς M Σ^a, ordo poscit
25 ⟨πα⟩ρόντος] inc. rursus A

Ar. 1074 Ἐμφερίστατος· τοὺς τρόπους καὶ τὴν δίαιταν σφιγξὶν ἐμφεριστάτους. παρὰ Ἀριστοφάνει ἐν Σφηξίν.

Synt. 1075 Ἐμφιλοσοφῶ· δοτικῇ.

Synt. 1076 Ἐμφωλεύω· δοτικῇ.

Synt. 1077 Ἐμφοροῦμαι· γενικῇ.

Σ 1078 Ἐμφιλοχωρῶν: τὴν χώραν ἀγαπῶν.

Σ 1079 Ἐμφορούμενος: κορεννύμενος.

Harp. 1080 Ἐμφρεάτοι: δικαστήριον τῶν ἀκουσίων φόνων ἐν Ἀθήναις. Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογείτονος ἀκριβῶς διέρχεται περὶ αὐτά. ὠνομάσθαι δὲ τὸ δικαστήριον ἔοικεν ἀπό τινος Φρεάτου ἥρωος, ὡς Θεόφραστος ἐν ιϛ′ νόμῳ μαρτυρεῖ.

1081 Ἔμφυλος πόλεμος: ὁ ἐκ τοῦ αὐτοῦ ἔθνους.

Ε 1082 Ἐμφύς: ἐμπλακείς, ἐμπεσών. ὁ δὲ Κελτὸς προθυμίαν εἶχεν, ἐμφὺς τῷ πολεμίῳ, καὶ χερσὶ καὶ στόματι δίκην θηρίου διασπάσαι αὐτόν.

Ε 1083 Ἔμφυτον: ἐγκάρδιον. διὰ τὸ προϋπάρχον αὐτῷ μῖσος ἔμφυτον.

1084 Ἔμψοφον φίλημα: τὸ μετὰ ψόφου γινόμενον.

Σ 1085 Ἐναβρύνεται: μεγαλοφρονεῖ, καυχᾶται.

Soph. 1086 Ἐναγές: τὸ σεβάσμιον καὶ ἁγνόν. ἅγος γὰρ τὸ ἱερὸν σέβας. ἔνθεν καὶ τό, ἄγη μ' ἔχει. καί, ὡς σέ, γύναι, ἄγαμαι. κατ' εὐφημισμὸν δὲ καὶ τὰ μιάσματα ἄγη λέγεται, καὶ οἱ μιαροὶ ἐναγεῖς καλοῦνται.

Σ 1087 Ἐνάγει: ἐμβιβάζει, ἐνάπτει, ἐφέλκεται· ἢ προτρέπεται.

1088 Ἐναγεῖς: βεβήλους, ἀποτροπαίους. Δαμάσκιος· τοὺς δὲ παντάπασιν ἀπεωθεῖτο ὡς ἐναγεῖς ὄντας καὶ ἀνιάτους, οὐδέν τε αὐτὸν ἐδυσώπει προσδέχεσθαι σφῶν τὴν ὁμιλίαν, οὐ πλοῦτος ἐξαίσιος, οὐ περιφάνεια πολιτείας, οὐ δυναστεία ἄμαχος, οὐ κακοήθεια τυραννική τις.

Suid. 1089 Ἐναγεῖς: διὰ τοῦ ε τοὺς ἐνόχους ἄγει καὶ μιάσματι. ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος· διὰ δὲ τοῦ α ἀναγεῖς, τοὺς ἀνάγνους.

1090 Ἐναγής: σεβάσμιος, ἢ καὶ βέβηλος. ἐκ τούτων ἐκεῖνος τῇ Ε τελετῇ προσήει ἐναγής.

1074 Ar. Vsp. 1103 1075 = Synt. Laur. et Gud. 1076 = Synt. Gud. 1077 = Synt. Laur. et Gud. 1078 = Ba 219, 9 cf. H; l. cf. Ambr. 856 1079 = Ba 219, 10 cf. Ambr. 844 = Zon. 711 1080 Harp. = Et. M. 344, 25; Dem. 23, 77 1081 cf. H, Ap. S. 68, 3 1082 ὁ sq. Aelian. fr. 353 1083 διὰ sq. fort. Aelian. 1084 l. cf. Anth. 5, 243, 1 1085 = Ba 219, 11 cf. H 1086 sch. Soph. OT 656; Φ 221, Ζ 168 1087 = Ba 219, 12 1088 Dam. fr. 236 1090 ἐκ sq. fort. Aelian.

1080—1 Z 699 1082 Z 711 1083—4 Z 704 1086 cf. 1090. Z 733 1087 Z 740 1088 cf. 1584. hinc v. A 1514 med., Z 713 1089 ex v. A 1823 1090 cf. 1086. Z 713

A(GITFVM) 1 σφηξὶν ἐμφερεστάτους Ar. 2 Σφηξίν omnes 4 Ἐμφωλεύω IM: Ἐμφολεύω A Ἐμφιλεύω Gud. 9 Ἀριστογείτονος] Ἀριστοκράτους Harp. plen. αὐτά] αὐτοῦ Harp. Et. 11 νόμῳ] Νόμων Harp. plen. cf. Et. post 1081 Ἐμφύλιον: τὸ συγγενικόν add. F = Zon. 704 cf. Hes. 14 θηρίους καὶ διασπ. A 18 μεγαλοφωνεῖ V 20 ἄγη] ἄγει GFV 26 οὐ] ὁ A 1089 om. ATFV mg. I post 1094 G

1091 Ἐναγῆ φίλων: τὸν μηδέποτε ὑπὸ φίλων ἐν ἀφανεῖ αἰτίᾳ γενόμενον, ἀλλὰ καθαρὸν ὄντα. δεόμεθα μὴ λόγων ἄτιμον βαλεῖν, ἀλλὰ προσδέξασθαι αὐτοῦ τὴν ἀπολογίαν. εἴτε ἐναγῆ, τὸν ἐνεχόμενον μύσει, οὕτως· θεώμεθα, τὸν μηδέποτε ἐναγῆ γενόμενον εἰς φίλους μὴ ἐν ἀφανεῖ αἰτίᾳ ἄτιμον ποιήσῃς τῶν λόγων. Soph.

1092 Ἐναγίζειν: παρὰ Ἡροδότῳ τὸ χοὰς φέρειν, ἢ θύειν τοῖς κατοιχομένοις, ἢ τὸ διὰ πυρὸς δαπανᾶν. Hdt.

1093 Ἐναγίζων: φονεύων, κατακαίνων. ἐναγίζουσιν οὖν τῷ Ξανθῷ Μακεδόνες καὶ καθαρμὸν ποιοῦσι σὺν ἵπποις ὡπλισμένοις. E

1094 Ἐναγισμοί: ὁλοκαυτώματα. ἐναγισμῶν ἐνεστηκότων Ῥωμαίοις. ὀλίγαις δὲ ὕστερον ἡμέραις Χαιρέαν μοίραις ἐτίμησαν εἰς τὸ πῦρ τιθεμέναις. καὶ αὖθις· ταῦτα γὰρ ἡμῖν ζῶσιν ἔτι τὰ ἐναγίσματα Βιτέλλιος καὶ Οὐεσπεσιανὸς διδοῦσιν, ἵν' ἡμᾶς τοῖς πάλαι νεκροῖς καταθύσωσιν. Σ E EL

1095 Ἐναγωγή: ἡ ἔγκλησις. καὶ πάντα ἄνθρωπον ἀδικηθέντα ὑπ' αὐτοῦ ἀδεῶς καὶ ἀζημίως ἐναγωγαῖς κεχρῆσθαι. Δ E?

1096 Ἐναγωγὴ οἰκέτου: τοῦ πραθέντος οἰκέτου, εἴ τι ἔχει νόσημα, εἰ μὴ προείποι ὁ πωλῶν, ἐφίησιν ὁ νόμος τῷ ὠνησαμένῳ διακρίνεσθαι πρὸς τὸν πεπρακότα, πρότερον ἀπογραψάμενον πρὸς τὰς ἀρχὰς τὴν αἰτίαν. Σ

1097 Ἔναγχος: πρὸ ὀλίγου, ἐν τῷ ἔγγιστα παρελθόντι χρόνῳ. ὃν ἦν καταψευσάμενος ἔναγχος καὶ μεγάλα ἀνάρσια ἀνῃρημένος ἐκδίκως. Σ E

1098 Ἐν ᾄδου: οἱ Ἀττικοὶ χρῶνται τῇ ἔν ἀντὶ τῆς εἴς· ἐν διδασκάλου, ἐν κιθαριστοῦ. Σ

1099 Ἐναέριον: πνεῦμα ἀκάθαρτον. Δ

1100 Ἐνναέται: οἰκήτορες. ἐν Ἐπιγράμμασι· τὸν θρασὺν ὑψικόμων ἐνναέτην δονάκων. περὶ κάπρου φησί. Δ Anth.

1101 Ἐνάκ: ὄνομα κύριον. καὶ ἡ νόσος. Δ

1091 sch. Soph. OT 656 1092 Gl. Hdt. 1, 167 = H cf. Et. M. 337, 8; θύειν = Tim. cf. Ambr. 1100 1093 — φονεύων cf. H ἐναγίζουσιν sq. Polyb. 23, 10, 17 1094 — ὁλοκαυτώματα = Ba 219, 14, H ἐναγισμῶν—τιθεμέναις Ios. Ant. 19, 272 (Gsf. ms.) ταῦτα sq. Cass. D. 65, 13, 5 = EL 423,16—18 1095 καὶ sq. fort. Aelian. 1096 cf. H v. ἀναγωγή 1097 — χρόνῳ = Et. Gen., Et. M. 337, 14. — ὀλίγον = Σ^a, Ba 219, 15. ἐν—χρόνῳ Tim. ὃν sq. fort. Aelian. 1098 cf. Greg. Cor. Att. 12 1100 l. cf. Ambr. 892 τὸν sq. Anth. 6, 168, 2 1101 — κύριον = Ambr. 907

1091 Z 714 1092—3 Z 741 1094 Z 714 1095—6 Z 721 1097 cf. 400 et vv. A 2055 et 2433 1098 Z 714 1100 Z 715 1101 Z 714

1091 om. T 3 ἐναγῆ F sch.: ἐναγεῖ rell. 4 θεώμεθα] δεόμεθα F schol. A (GITFVM) Laur. cf. Kausch De Soph. Fab. ap. Suid. Diss. 1883, p. 54 6 τὸ GITF Zon. Hes. Et.: τὰς A Gl. Hdt. om. VM 7 κατοικουμένοις F 9 Ξανθικῷ μηνί Vales. Μακεδόνες Vales.: Μακεδόνι ed. pr. Μακεδόνα Zon. cp. omnes 16 καί]τε καὶ A 17 πραχθέντος FV 18 προείπῃ A^{pc}G Zon. 22 ἀνάρσιος V ἀνῃρημένος 400, vv. A 2055 et 2433: ἀνῃρημένως AFV, v. l. 400 ἀνῃρημένοι GITM 29 νῆσος coni. Toup

Σ 1102 Ἐν ἀκαρεῖ: ἐν βραχεῖ, ἐν ὀλίγῳ. ἐν ἀκαρεῖ χρόνῳ ἐκιν-
Ε δύνευον διαφθαρῆναι.
Σ 1103 Ἐνακμάζων: ἐνισχύων.
1104 Ἐναλλάγδην: συμπεπλεγμένως. Ἀγαθίας· παρήγαγε δὲ
Ε τοὺς πρέσβεις ἐς μέσον ἐναλλάγδην τὼ χεῖρε ὑπὸ τὴν ἰξὺν περι- 5
εσφιγμένους, κάτω δὲ τὸ κάρα ἐπινενευκότας.
Suid. 1105 Ἐναλλαγῆναι: τὸ ἀπὸ φιλίας εἰς φιλίαν ἄλλου μεταπηδῆσαί τινος, ἐχθροῦ
ὄντος τὸ πρότερον· διαλλαγῆναι δὲ τὸ δι' αὐτοῦ τοῦ ἐχθροῦ παρακληθῆναι καὶ
φιλωθῆναι.
Δ 1106 Ἐναλλάξ: ἐνηλλαγμένως. 10
Σ Δ 1107 Ἐνάλια: θαλάσσια. καὶ Ἔναλον, θαλάσσιον.
Δ 1108 Ἐναλίγκιος: ὅμοιος.
Σ 1109 Ἐναλόντες: ἐμπεσόντες.
Prov. 1110 Ἐν ἅλῳ κρύπτῃ: ἐπὶ τῶν μὴ δυναμένων λαθεῖν, παρόσον
περίοπτος ἡ ἅλως. 15
1111 Ἐν ἅλῳ δρακάζεις: τουτέστι κρύπτῃ. ἐπὶ τῶν ἀδυνάτων.
Prov. 1112 Ἐν ἀμούσοις καὶ κόρυδος φθέγγεται.
Δ 1113 Ἐνανθρωπῶ σύνθετον, καὶ μόνον διὰ τοῦ η.
Phil. 1114 Ἐναντία· ὅτι τὰ ἐναντία κατ' Ἀριστοτέλην συμπέπλεκται μὲν
ἀλλήλοις ἑξαχῶς, ἐναντίωσιν δὲ ποιεῖται τετραχῶς συμπλεκόμενα. 20
ἐναντία δὲ λέγονται τὰ πολὺ ἀλλήλων διεστῶτα ἢ τὰ ἀλλήλων ἀν-
αιρετικά. τούτου δὲ λεγομένου οὐχ οἷός τε ὁ ἀπὸ τούτων ὁρμώ-
μενος δεῖξαι ἐν ἑνὶ ἐναντίον· δύνανται γὰρ καὶ πολλὰ πολὺ ἀφεστῶτα
ἀλλήλων λαμβάνειν, τοῦτο μὲν ἐν τῷ αὐτῷ γένει· τὸ γὰρ ξανθὸν
καὶ τὸ ὠχρὸν πολὺ λευκοῦ διεστάναι, ἀλλὰ καὶ ἀναιρετικά ἐστι τοῦ 25
λευκοῦ, κἀκεῖνο τούτων. ἔστι δὲ πολὺ διεστῶτα καὶ ἐν διαφόροις
γένεσι λαβεῖν. ἓν γὰρ ἑνὶ τὰ δύο διέστηκεν.
Synt. 1115 Ἐναντίον· γενικῇ. Ἐναντιῶ σοι δὲ δοτικῇ.
Δ 1116 Ἐναντιοῦμαί σοι.

1102 — ὀλίγῳ = Ba 219, 19 cf. Ambr. 1124 ἐν ἀκαρεῖ alt. sq. [Polyb.] fr. 120, fort. Aelian. 1103 = Ba 219, 20; l. falso Aelian. fr. 244 1104 παρήγαγε sq. Agath. 1, 12, p. 39 1107 — θαλάσσια = Ba 219, 21, Ambr. 986, H cf. Ambr. 882 Ἔναλον sq. cf. Ambr. 1005 1108 = Ambr. 881, H, Et. M. 337, 20 cf. sch. Ε 5 1109 = Ba 219, 22 1110 cf. Zen. III 74 1111 cf. Zen. III 74, Philol. Suppl. 6, 262, n. 398 1112 = Diogen. IV 56 1113 l. = Ambr. 1084 1114 — συμπλεκόμενα Aristot. ap. Alex. Aphr. 181, 10—11. vs. 21 ἐναντία l. l. 544, 15—20, 23 1115 — γενικῇ = Synt. Laur. et Gud. 1116 cf. Synt. Laur. et Gud.

1102 cf. v. A 802; [Polyb.] cf. vv. A 3680 et Δ 584 1103 Z 740 1104 Z 753 1105 ex v. Δ 614 1106 Z 753 1107 cf. v. Ει 153. Z 733 1109 Z 741 1112 cf. 1154

A (GITFVM) 6 ἐπινεύσας κότας A 1105 om. FV 9 φιλωθῆναι A, v. Δ 614: φιλιωθῆναι GITM 1111 om. FV 16 δρασκάζεις Paroem. ed. Gsf. 48, n. 417, Philol. Suppl. 6, 262, n. 398 κρύπτῃ M Zen.: κρύπτεις GIT κρύπτειν A 1112 non nov. gl. AI 1113 om. T 18 σύνθετον F: σύνθετα A cp. rell. 19 συμπλέκεται T v. l. Alex., Aristot. 20 τετραχῶς GITM Alex.: διχῶς AV δυικῶς F 1115 om. GFV mg. A

1117 Ἐν ἀωρίᾳ. Δ
1118 Ἐναπερείσασθαι: ἐμπῆξαι. Δ
1119 Ἐναπήρεισται: ἐντετίναχεν. εἴρηται δὲ ἀπὸ τοῦ διατεινομένους ἐμπίπτειν. Σ
1120 Ἐναποματτόμενοι: ἐντυποῦντες. Σ
1121 Ἐναπομόρξεται Πρέμις τὴν εὐρυπρωκτίαν σοι: τουτέστι τὴν μαλακίαν ἐναποψήσεται, ἀπομάξει. καταπύγων δὲ ἐκωμῳδεῖτο ὁ Πρέμις. Ἀριστοφάνης φησίν. Ar.
1122 Ἐναπομόργνυνται: ἐναποτίθενται. Σ
1123 Ἐνάπτοντες: ἐκδεσμοῦντες. ἠσφαλίζοντο δὲ τὰς σχεδίας τοῖς ἀπὸ τῆς γῆς ἐπιγύοις εἰς τὰ περὶ τὸ χεῖλος πεφυκότα τῶν δένδρων ἐνάπτοντες πρὸς τὸ συμμένειν. E
1124 Ἔναρα: τὰ σκῦλα. οἷά περ οὐκ ἐνοπιᾶς, ἀλλὰ χορῶν ἔναρα, οἷς θάλαμον κοσμεῖτε γαμήλιον. καὶ Ἐναίρειν, τὸ τὰ ὅπλα σκυλεύειν. Σ Anth. Δ?
1125 Ἔναρα: κυρίως ἔναρα, ὅσα ἄραρε καὶ συνήρμοσται τῷ σώματι, οἷον θώραξ, κυνέα. περιληπτικῶς δὲ εἴρηται καὶ τὰ τόξα ἔναρα. Hom.
1126 Ἐνάργεια: ἡ τῶν λόγων λευκότης καὶ φανότης. Ἐνέργεια δὲ ἡ ἐν λόγοις, ἢ ἡ ἀθρόα προσβολή. Ecl. Phil.
1127 Ἐναργής: φανερός. Σ
1128 Ἐναρίζειν καὶ Ἐναριζέμεναι. Δ
1129 Ἐνάρθρως: ἠκριβωμένως. Σ
1130 Ἐναρμόνιον: ἐμμελές. Σ
1131 Ἐν ἄστει: ἐν τῇ πόλει. Σ
1132 Ἐναςχολοῦμαι: δοτικῇ. Synt.
1133 Ἐνατενίζω· δοτικῇ. Synt.
1134 Ἔνατος δασύνεται. ἐκ τοῦ εἷς, ἑνός.
1135 Ἔνατος καὶ ἐνάτη. δι' ἑνὸς ν. Ἐννέα δὲ διὰ δύο νν. Etym.

1118 = Ambr. 1035, H 1119 = Et. M. 337, 29 1120 = Ba 219, 23, H 1121 Ar. Ach. 843 c. sch. 1122 = Ba 219, 25 1123 ἠσφαλίζοντο sq. Polyb. 3, 46, 3 1124 — σκῦλα = Ap. S. 68, 5, H, Et. M. 337, 40 et 41, sch. Soph. Ai. 26 (vs. 15) οἷα—γαμήλιον Anth. 6, 163, 6—7 Ἐναίρειν sq. cf. Eust. I. 80, 23, sch. BT in Φ 485, H 1125 sch. K 528 (Aristonic.) cf. Orion. 60, 1, Et. M. 337, 46, sch. Soph. Ai. 26 1126 — λόγοις = An. Ox. 2, 435, 12, 13 (Seleuc.), Et. M. 337, 53 ἡ ἀθρόα sq. Philop. 296, 25 1127 = Ba 219, 24, Σ^{a}, Et. Gud. cf. sch. γ 420 = gl. Greg. An. Ox. 2, 479, 2; Ambr. 987 et 1126, H 1128 cf. Ambr. 1104 1129 = Ba 219, 26 1130 = Ba 219, 27, gl. Dionys. PG 4, 25 1131 = Ba 219, 28 cf. H 1132 = Synt. Laur. et Gud. 1133 = Synt. Laur. et Gud. 1135 cf. Choer. Epim. Ps. 110, 12 ex quo Et. M. 343, 14

1118—9 Z 740 1120—2 Z 741 1123 cf. 2276. Z 740 1124 cf. 1203, 1390 et v. H 369 1125 Z 733 1126 cf. 1251 1127 Z 715 1129 Z 753 1130 Z 733 1135 cf. 1206. Z 733

1117 om. AT, non nov. gl. F 1118 om. A 6 εὐρυπρακτίαν GIVM A(GITFVM) 1121—2 inverso ord. 13 ἔναρα alt. om. FVM 14 κοσμεῖται AV καὶ—17 ἔναρα om. T 18 Ἐνάργεια] διαφέρει add. I 19 προσβολή] ἤγουν πρόσκρουσις ss. V 20 φανερῶς A Σ^{a} 1128 om. V 1130 post 1127 F 1134—5 om. ATFV post 1130 G 28 καὶ om. M, διαφορά mg. add. M Ἐννέα—νν] mg. G

Ε 1136 Ἐναύειν: πυρὸς μεταδιδόναι. Πολύβιος· εἰ δέ τις λειπόμενος μὴ θάνοι, φύγοι δὲ τὸν κίνδυνον, τοῦτον μήτε πόλει δέχεσθαι μήτε πῦρ ἐναύειν. περὶ τούτων ἀρὰς ἐποιήσαντο πᾶσι μέν, μάλιστα δὲ τοῖς Ἠπειρώταις, εἰς τὸ μηδένα τῶν φυγόντων δέξασθαι τῇ χώρᾳ.

Ε καὶ αὖθις Αἰλιανός· εἴ ποτε δημοσία νόσος ἐπεπόλασεν, ἐπὶ τὸν σηκὸν τοῦδε φοιτῶντες οἱ ἱερογραμματεῖς, εἶτα μέντοι τὰς δεούσας ἱερουργίας ἐπιτελοῦντες ἐκ τοῦ βωμοῦ πῦρ ἐναύονται καὶ ἐξῆπτον πυρὰς κατὰ πόλεις καὶ τοῦ δυσώδους ἀέρος τὴν φθοροποιὸν ἐκείνην νόσον μαραίνουσι καὶ λεπτύναντες τοῦτο δὴ τὸ καινότατον τὴν νόσον ἔσβεσαν τῷ πυρί. καὶ αὖθις· Καλλίξενος ὁ Ἀθηναῖος διὰ συκοφαντίαν ἆθλα ἀπενέγκατο τῆς ἀναισχυντίας καὶ ἀσεβείας, ἐν ἄστει μισούμενος καὶ πενόμενος καὶ ἀποκλειόμενος λιμῷ ἀποθανεῖν· ἐπεὶ μήτε ὕδατος ἐκοινώνουν αὐτῷ, μήτε πυρὸς ἐναύειν ἐβούλοντο, ὥσπερ οὖν κοινωνεῖν τοῖς βουλομένοις καὶ δεομένοις.

Ε 1137 Ἐναύειν: τὸ ἱκετεύειν πρὸς τοῖς ναοῖς. εἰ δὲ ἐντεῦθεν Εὐριπίδης ἐναυσάμενος τὸν λόγον ἅπαντα, εἶτα μέντοι Φοίνικι περιτίθησιν.

Σ 1138 Ἐναυλήματα: ἄλφιτα οἴνῳ καὶ ἐλαίῳ δεδευμένα. ἔνιοι δὲ καὶ αὐτὰ τὰ ἄλφιτα ἐναυλήματα καλοῦσιν.

Σ 1139 Ἐναυλισθῆναι: ἐνοικισθῆναι.

Σ 1140 Ἐναύλισμα: οἴκημα.

Σ 1141 Ἔναυλον: οὐ πρὸ πολλοῦ μνημονευόμενον, ἔτι ἐνηχούμενον. Πισίδης· ἀεὶ γάρ, ὡς ἔοικεν, αἱ περιστάσεις ἐκ τῶν ἐναύλων ἠρεθισμέναι πόνων τίκτουσιν ὁρμὰς κρείττονας βουλευμάτων.

Σ 1142 Ἐναύλους: τοὺς χειμερινοὺς ποταμούς. παρὰ τὸ αὐλεῖν.

Σ 1143 Ἐναύσματα: ἀρχάς, ἐμπυρεύματα, ὑπεκκαύματα. καί τινα

Ε ἐξ αὐτοῦ διδασκαλίαν ἐναυσάμενοι κἄτα ἐμιμήσαντο ἐς τὸ εὖ καὶ καλῶς. Αἰλιανός φησιν.

1144 Ἐν αὐτῇ γὰρ καταφεύγοντες: ἐν τοῖς τοιούτοις πρὸς τὸ πρωτότυπον ἡ σύνταξις ἐπανάγεται· ἔστι γὰρ ἡ σκέπη. θὲς οὖν, εἴ

1136 vs. 1 εἰ—4 χώρᾳ Polyb. 9, 40, 5 vs. 5 εἴ—10 πυρί Aelian. fr. 105. Καλλίξενος sq. Aelian. fr. 245 1137 εἰ sq. Aelian. fr. 246 1138 = Bk. 259, 6, Et. M. 338, 8 1139 = Ba 219, 29 cf. H, Et. M. 338, 2 1140 = Ba 219, 30 cf. H 1141 — ἐνηχούμενον = Ba 220, 1 cf. Et. M. 337, 55, Et. Gen., H, Tim. ἀεὶ sq. Pisid. fr. 87 1142 = Ba 220, 3 cf. Et. M. 338, 3 = Et. Gen.; Ap. S. 68, 25, H 1143 — ὑπεκκαύματα = Σ^{a}, Ba 220, 5 cf. H, Et. M. 338, 11, Et. Gen. καί τινα sq. Aelian. fr. 89

1136 Aelian. fr. 105 cf. v. I 73 1137 Z 740 1138 cf. v. Θ 544. Z 733 1139 Z 740 1140 Z 733 1142 Z 714 1143 Z 733

A (GITFVM) 1 λειπόμενος ed. pr.: λειπόμενα omnes λειπομένων Bhd. 4 φευγόντων ed. pr. 5 ποτε] πω FV 7 βωμοῦ] θυμοῦ M 9 λεπτύνοντες G 11. 12 μενόμενος A 12. 13 ἐκοινώνουν] κοινωνεῖν Bekk. 13 κοινωνεῖν M: μὴ κοινωνεῖν rell. ἐκοινώνουν Bekk. 15 εἰ δὲ] εἰσὶ δὲ V ἔτι δὲ Toup εἴγε Bhd. 16 Φοίνικοι V παρατίθησιν M 1144 om. T 29 καταφεύγοντες] γράφεται καὶ ἐν ᾧ πάντες καταφεύγομεν add. G mg. IFM

τι βούλει, γένος ἀρσενικόν, θηλυκόν, οὐδέτερον, πάλιν ἐπὶ τοῦτο θέλεις ἐλθεῖν. ὅμοιον τούτῳ καὶ τό, ῥάβδον δυνάμεως κεκτημένοι τὸν σταυρόν. ὀφείλεις οὖν εἰπεῖν ἐν αὐτῷ, πρὸς τὸν σταυρόν.

1145 Ἐναφῆκαν: ἐνέβαλον. ἐναφῆκαν τῇ δρυῖ σφῆνας, ὡς διασταίη.

1146 Ἐν βραχεῖ: Ἀντιφῶν ἀντὶ τοῦ ἁπλῶς καὶ ἐν κεφαλαίῳ. Harp.

1147 Ἐν γὰρ ἀμηχανίῃ καὶ Καρκίνος ἔμμορε τιμῆς: ἐπὶ τῶν εὐτελῶν τῶν διὰ περιπέτειάν τινα τιμῆς ἀξιουμένων. Prov.

1148 Ἐν γεννητοῖς γυναίκων.

1149 Ἐν γειτόνων: τῶν πλησιαζόντων.

1150 Ἐν γῇ πένεσθαι μᾶλλον ἢ πλουτοῦντα πλεῖν. Prov.

1151 Ἐν γήρει πίονι: ἐν πλήθει ἐτῶν. Ps.

1152 Ἐν γυάλοισιν: ἐν τοῖς κοιλώμασι. χαῖρε μελαμπέπλοις, Εὐριπίδη, ἐν γυάλοισι Πιερίας. Hom. + Anth.

1153 Ἐνδατούμενος· τὸ δυσπάρευνον λέκτρον ἐνδατούμενος. Σοφοκλῆς Τραχινίαις. Soph.

1154 Ἐν δὲ διχοστασίῃ καὶ Ἀνδροκλέης πολεμαρχεῖ: παροιμία ἐπὶ τῶν εὐτελῶν, τῶν διὰ περιπέτειάν τινα τιμῆς ἀξιουμένων. τοιαύτη δέ ἐστι καὶ ἡ λέγουσα, ἐν γὰρ ἀμηχανίῃ καὶ Καρκίνος ἔμμορε τιμῆς. ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔμμορε τιμῆς. καὶ γὰρ ἐν ἀμούσοις καὶ κόρυδος φθέγγεται. Prov.

1155 Ἐνδεέστερος: ἐλλειπέστερος. ἐνδεέστερος δὲ ἦν ἀεὶ τῆς συμβαινούσης χρείας. διὸ καὶ ὅσα ἔγραφεν, εὕροι τις ἂν τὸ μὲν ὑψηλόνουν καὶ τελεσιουργὸν ἔχοντα, τοῖς δὲ ἔπεσιν οὐ πάνυ συνηρμοσμένα. Δ

1156 Ἕνδεκα: ἀρχὴ ἐν Ἀθήναις, ἐπιμελομένη τῶν ἐν τῷ δεσμωτηρίῳ κατακρίτων· ἐφ' ἣν ἀνήγοντο οἱ κλέπται καὶ οἱ ἀνδραποδισταί. Σ

1157 Ἐνδεκάζοντας: ἀντὶ τοῦ ἑνεορτάζοντας, ἐν τῷ αὐτῷ τὴν δεκάτην ἄγοντας. Δημοσθένης ἐν τῷ κατὰ Θεοκρίνου. Harp.

1158 Ἐνδελεχισμός: ἐπιμονή. ἡ συνήθης θυσία ἡ καθημερινή. Σ

1145 ἐναφῆκαν alt. sq. Babr. 38, 2 1146 Harp. = An. Ox. 2, 493, 32; Antiph. fr. 168 1147 cf. Zen. III 77 1150 = Diogen. IV 83 1151 = An. Ox. 2, 440, 7 cf. Ambr. 988 1152 — κοιλώμασι cf. sch. O 361, Ap. S. 55, 29, Et. M. 242, 15, H v. γύαλον. χαῖρε sq. Anth. 7, 43, 1—2 1153 Soph. Tr. 793 1154 = Zen. III 77 1155 — ἐλλειπέστερος cf. Ambr. 903 ἐνδεέστερος alt. sq. Dam. fr. 61 cf. Phot. Bibl. 339 b 3—6 1156 cf. Aristot. Ath. Pol. 52, Poll. 8, 102, P post litt. Ε; Lex. rhet. in Et. M. 338, 31 = Et. Gen.; Bk. 250, 4, sch. Ar. Vsp. 1108 1157 Harp.; Dem. 58, 40 1158 — ἐπιμονή = Σ^a, H, Ba 220, 7 ἡ συνήθης—p. 272, 2 θύειν Georg. 412, 4—7 (ex Io. Chrys. Herm. 21, 12) cf. Ba 220, 7

1145 Z 741 1146 cf. 954 1147 cf. 1154 1150 cf. v. H 5 1151 Z 734 1152 cf. v. Γ 471 1154 cf. 1112 et 1147 1155 cf. vv. ῥυθμίζει et τελεσιουργόν 1156 cf. v. H 89 1157 Z 742 1158 Z 715

1. 2 τοῦτο θέλεις] τὸ τοιοῦτο μέλλεις pr. 1146 post 1147 A 5 Ἐν βραχεῖ A (GITFVM) post vs. 4 ἐναφῆκαν alt. GIT Ἀντιφῶν—κεφαλαίῳ om. T 1148 om. GTFV mg. M post 1151 A 1149 om. FV 1150 non nov. gl. AG 1151 om. FV 12 μελαμπέλοις V 1153 om. T; post l. μερίζων add. F cf. Hes. 27 ἑορτάζοντας AGIT 29 Ἐνδελεχισμός TF Ba Σ^a H Georg.: Ἐνδελεχησμός rell., Zon. Ambr. 877

Ε ἔθος γὰρ ἦν τοῖς Ἑβραίοις καὶ πρωῒ καὶ ἐν ἑσπέρᾳ καὶ καθ' ἑκάστην
Ε ἡμέραν τῷ θεῷ θύειν. πράγμασιν ἐνδελεχεστάτοις ἀπὸ τῆς πενίας μαχόμενοι ἀπαλλαξείοντες ἐς Βυζάντιον ἤεσαν.

Σ 1159 Ἐνδελεχῶς: συνεχῶς.

Ε 1160 Ἐνδέξασθαι: παραλαβεῖν, ἀκροάσασθαι. οὔκουν πρόσθεν ἔτι ἀποκρίνεσθαι περὶ σπονδῶν οὐδὲ φίλιον λόγον ἐνδέξασθαι περὶ τῶν τὰ πολέμια ἔργα δρώντων.

Σ 1161 Ἐνδέξια: αἴσια, καλά.

Ar. 1162 Ἐν δέοντι: ἐν τῷ χρησίμῳ. Ἀριστοφάνης· εὖγε ποῶν ἀπόλωλε, κἂν δέοντι τῇ πόλει, ἢ πρίν γε τὸν μυττωτὸν ἡμῖν ἐγχέαι. τουτέστι πρὶν ταράξαι ἡμᾶς.

Ε 1163 Ἐνδέχεσθαι: παραδέχεσθαι, πείθεσθαι. ὁ δὲ ἐλπίσι κεναῖς αὐτοὺς ἔβοσκεν, οὐκ ἐῶν τοὺς Βελισαρίου λόγους ἐνδέχεσθαι. καὶ
Ε λόγους ὑπὲρ αὐτοῦ θειοτέρους ἀναπλάττειν καὶ φήμας ἐνδέχεσθαι τερατωδεστέρας.

Ar. 1164 Ἐνδείκνυμι· ἐνδεικνύναι ἔλεγον τὸ καταγγέλλειν τινὰ κακουργοῦντα περὶ τὰ κοινά. καὶ Ἐνδείξασθαι, ἐπὶ τοῦ κατηγο-
Ε ρῆσαι. Ἰώσηπος· πολλοὺς γὰρ διὰ τὰ οἰκεῖα μίση καὶ διαφορὰς ἰδίας ἐνδείξασθαι τοὺς ἀναιτίους.

1165 Ἐνδεῖκται. σπαράττεται γὰρ ὑπὸ ἐνδεικτῶν, κακῶς ἐπιφύντων τῇ Κυρήνῃ. συκοφαντῶν, κατηγόρων.

1166 Ἐνδεῖκται: οὗτοι ἦσαν κατὰ τὴν Ἀσίαν. μὴ ἐάσῃς ἔργον γενέσθαι συκοφαντῶν, ἐνδεικτῶν, κοινῶν ἀλαστόρων τῆς χώρας.

Σ 1167 Ἐνδεῖν: χρῄζειν.

Δ 1168 Ἐνδειξαμένῳ: ἀντὶ τοῦ ἀπολογησαμένῳ. καὶ Ἔνδειξις, ἡ ἀπολογία.

Σ 1169 Ἔνδειξις: δίκη κατὰ τῶν ὀφειλόντων καὶ δημηγορούντων. οὐ γὰρ ἐξῆν λέγειν, οὐδ' ὅλως ἐπίτιμον εἶναι ὀφείλοντα. ὥστε εἴ καὶ ἦρχέ τις ὀφείλων, ἐνεδείκνυτο. ἤδη δὲ καὶ ἐπὶ τῶν φυγάδων ὅπου μὴ ἔξεστι κατιόντων, ἡ ἔνδειξις.

1158 πράγμασιν sq. Proc. h. a. 6, 2—3 1159 = Σ^a cf. H 1160 οὔκουν sq. fort. Arr. Parth. p. 37, n. 133 R. 1161 = Σ^a, Ba 220, 15, Et. M. 338, 45, Et. Gen. (in I 236) 1162 Ar. Pac. 271—3 c. sch. plenior. 1163 ὁ—ἐνδέχεσθαι sec. Procop. attr. Kust. καὶ λόγους sq. fort. Aelian. 1164 — κοινά sch. Ar. Eq. 278 πολλοὺς sq. Ios. Bell. 4, 118 1165 σπαράττεται—Κυρήνῃ Synes. ep. 118, p. 256b 1166 — Ἀσίαν cf. Philostr. vit. soph. 2, 29 μὴ sq. Synes. ep. 119, p. 257a 1167 = Ba 220, 6 1168 — ἀπολογησαμένῳ cf. Ambr. 1062 = H, sch. T 83 1169 cf. Lex. Patm. 16, Σ^a

1160 Z 742 1161 Z 733 1162 Z 734 1163—4 Z 743 1165 Z 715 1167 Z 742 1168 Z 721 et 742, sch. Dem. Bavar. 20, 156 1169 Z 721, sch. Dem. Bavar. 20, 156

A(GITFVM) 6 ἀποκρίνασθαι ed. pr. περὶ pr.] παρὰ M φίλον VM περὶ alt.] παρὰ VM 9 ποῶν GVM: πολῶν AF^{cp} om. I ποιῶν Ar. 12 ὁ—13 ἐνδέχεσθαι om. V 13 ἔβοσκεν] ἔωσκεν M 19 ἀναιτίους] ἐναντίους F 28 ἐπιτίμιον V 29 ἤδη] ἦν Meier, Att. Proz. 241 καὶ alt. om. A

1170 Ἔνδειξις: ἐάν τις ἄτιμος ὢν ἢ ὠφληκὼς τῷ δημοσίῳ καὶ μὴ Σ
ἐκτετικὼς ἄρχειν ἢ δικάζειν ἐπιχειροίη, τοῦτον ἐνδείκνυσιν ὁ βουλόμενος
τῶν πολιτῶν. ὁμοίως καὶ τὸν ἀντιποιούμενον πράξεων ἢ τόπων ἀπηγο-
ρευμένων τοῖς νόμοις, οἷον τὸν ἡταιρηκότα τῆς ἀγορᾶς, καὶ τοῦ λέγειν
ἐν τῷ δήμῳ, ἔτι τὸν κακῶς λέγοντα τοὺς τετελευτηκότας ἀδίκως.
ἔπειτα τοῖς ἁλοῦσι τούτων τινὸς τιμῶσιν οἱ δικασταί, τί χρὴ παθεῖν
ἢ ἀποτῖσαι.

1171 Ἔνδειξις: εἶδος δίκης δημοσίας· ὑφ' ἣν τοὺς ἐκ τῶν νόμων Harp.
εἰργομένους τινῶν ἢ τόπων ἢ πράξεων, εἰ μὴ ἀπέχοιντο αὐτῶν,
ὑπῆγον. Δημοσθένης κατὰ Ἀριστογείτονος.

1172 Ἐνδιάει: ἔνεστι, διατρίβει. ὄμμασι μούνοις θέλγομαι, οἷς ἐλπὶς Anth.
μείλιχος ἐνδιάει. καὶ Ἔνδιος παρὰ Ὁμήρῳ, ὁ μεσημβρινός. καὶ Δ
Ἔνδια· τριτὰ μὲν ἀντολικῶν ἀναπέπταται ἔνδια κύκλων. Anth.?

1173 Ἐνδιαβάλλω· αἰτιατικῇ. Synt.

1174 Ἐνδιαεριανερινηχέτους: λέξεις συνθετικὰς διθυραμβοποιῶν· οἷος ἦν Suid.
Ἴων ὁ Χῖος ποιητής. καὶ ζήτει ἐν τῷ διθυραμβοποιοὶ διδάσκαλοι.

1175 Ἐνδιατρίψας τῇ πόλει ἡμερῶν τινῶν.

1176 Ἐνδιαίτημα: διατριβή. Σ

1177 Ἐν δίκῃ: ἀντὶ τοῦ δικαίως, καὶ μάλα εἰκότως. Ar.?

1178 Ἔνδικον: δίκης ἄξιον. ἢ δίκαιον. καὶ γὰρ ὁ Μιθριδάτης Σ
τά τε ἄλλα ἔνδικος βασιλεὺς ἦν. E

1179 Ἐν Διομίοις Ἡράκλειον: ἡ ἐν Διομίοις ἀγομένη τῷ Ἡρα- Harp.
κλεῖ ἑορτή.

1180 Ἔνδιος: μεσημβρινός. ὄφρα μὲν οὖν ἔνδιος ἦεν ἔτι, θέρμετο Δ
δὲ χθών, τόφρα δ' ἦεν ὑάλοιο φαάντερος οὐρανὸς ἠνοψ. τουτέστιν Call.
ὁ λαμπρός.

1181 Ἐνδόμυχος: σκοτεινός, ἀπόκρυφος. Δαμάσκιος· οὕτω δὲ ἐν-
δόμυχος ἐγεγόνει καὶ σιωπηλὸς ἐπὶ τούτοις, ἃ κρύπτειν ἐδοκίμαζεν,
ὥστε μηδὲ ἐρωτώσῃ τῇ μητέρι λέγειν ὅπη ἀπίοι.

1170 = Sabb. cf. Bk. 187, 4; 250, 10 1171 Harp. = Sabb., Et. Gen., Et. M. 338, 49 cf. An. Ox. 2, 494, 1; Dem. 25, 14 1172 ὄμμασι—ἐνδιάει alt. Anth. 5, 269, 9—10 ὁ μεσημβρινός = Ambr. 883, sch. ὁ 450, H cf. Orion 60, 4 ex quo Et. M. 339, 1; Ap. S. 68, 29 τριτὰ sq. Pauli Silent. Descriptio S. Sophiae 354 (ed. Friedlaender) 1173 = Synt. Gud. 1176 = Ba 220, 16, H 1177 — δικαίως = Et. M. 339, 4, Et. Gen., H; aliter sch. Ar. Vsp. 421 1178 — δίκαιον = Σ^{a}, Ba 220, 17 cf. H, Ambr. 991 1179 Harp. 1180 — μεσημβρινός cf. ad 1172 ὄφρα—ἦνοψ Call. fr. 8 K. an. 24 S. ὁ λαμπρός = Et. M 432, 36 1181 οὕτω sq. Dam. fr. 28

1170 Z 722, sch. Dem. Bav. 20, 156 1171 Z 722 1172 cf. 1180. Z 716 et 742 1174 ex v. Δ 1029 1177 Z 722 1178 Z 716 et 733 1180 cf. 1172 et v. H 399 1181 Z 716

1170 om. T 3 τὸν $A^{ac}I^{ac}$VM Zon. sch. Dem. Sabb.: τὸ F τῶν $A^{ac}GI^{ac}$ A(GITFVM)
ἀντιποιουμένων GI ante 1172 καὶ ἔνδειος add. AM, pertinet ad vs. 12
13 Ἔνδεια AFV ἀνατολικῶν V ἔνδεια FV 1174 ex M 22 Διο-
μίοις pr.] Διομείοις A Harp. plen., v. Δ 1161 29 ἐρωτήσῃ FV

Phil. 1182 **Ἔνδοξα**· φησὶν Ἀριστοτέλης συλλογισμὸν διαλεκτικὸν εἶναι τὸν δι' ἐνδόξων γινόμενον. ἔνδοξα δέ ἐστι, δι' ὧν ὁ διαλεκτικὸς γίνεται συλλογισμός· τουτέστι τὰ δοκοῦντα πᾶσιν ἢ τοῖς πλείστοις ἢ τοῖς σοφοῖς, καὶ τούτοις ἢ πᾶσιν ἢ τοῖς πλείστοις ἢ τοῖς μάλιστα γνωριμωτάτοις καὶ ἐνδόξοις. καὶ εἴη ἂν κυριώτατα μὲν καὶ πρῶτα τὰ πᾶσιν ἢ τοῖς πλείστοις δοκοῦντα. πᾶσι μὲν τὸ αἱρετὸν ἀγαθὸν εἶναι, τὸ δὲ αἱρετὸν εἶναι ὑγείαν, πλοῦτον, ζωήν· οἱ γὰρ ἄλλως λέγοντες οὐχ ὡς διακείμενοι λέγουσιν, ἀλλὰ θέσει παρίστανται. μαρτυροῦσι δὲ αὐτοῖς ὡς τοιούτοις διὰ τῆς αἱρέσεως αὐτῶν. τοιοῦτο καὶ τό, τὸ ἀγαθὸν ὠφελεῖν καὶ τὸ δεῖν τοὺς γονεῖς τιμᾶν. τοῖς δὲ πλείστοις τὸ τὴν φρόνησιν πλούτου αἱρετωτέραν εἶναι ἢ τὸ ψυχὴν σώματος τιμιωτέραν καὶ τὸ θεὸν εἶναι. οἱ δὲ σοφοὶ ὡς ὁ Πλάτων, ὅτι ἡ ψυχὴ ἀθάνατος, καὶ Ἀριστοτέλης, ὡς ὁ οὐρανὸς πέμπτου σώματος καὶ ἡ εὐδαιμονία ὑπ' ἀρετῆς γίνεται, καὶ τὴν ἀρετὴν δι' αὑτὴν αἱρετὴν εἶναι. ἐπεὶ δὲ οὗτοι ἔνδοξοι κατὰ σοφίαν, ἔνδοξα καὶ τὰ εἰρημένα. διαφέρει δὲ ἔνδοξον τοῦ ἀληθοῦς, οὐ τῷ ψευδὲς εἶναι (ἔστι γάρ τινα ἔνδοξα καὶ ἀληθῆ), ἀλλὰ τῇ ἐπικρίσει, ὅτι ἐστὶν ἀληθές. τῷ δὲ ἐνδόξῳ ἀπὸ τῶν ἀκουόντων καὶ τῶν τούτων ὑπολήψεων, ἃς ἔχουσι περὶ τῶν πραγμάτων. ἔνδοξα ἁπλῶς τὰ κατὰ τὴν πάντων δόξαν ἢ τῶν πλείστων, ὡς τὸ τὴν ὑγίειαν αἱρετὸν εἶναι, ὡρισμένως δὲ ἔνδοξα τὰ τῷδέ τινι τῶν ἐνδόξων ἑπόμενα, οἷον Πλάτωνι ἢ Ἀριστοτέλει ἢ Γαληνῷ· ἄδοξα δὲ ἁπλῶς μὲν τὰ τοῖς ἐνδόξοις ἀντικείμενα· ταῦτα δ' ἂν εἴη τὰ παρὰ τὰς τῶν πάντων ἢ τῶν πλείστων δόξας λεγόμενα· ὡρισμένως δὲ ἄδοξα, τὰ μαχόμενα τοῦδε τινὸς ἐνδόξου τῇ δόξῃ, ὡς φέρε εἰπεῖν, τὸ μὴ εἶναι τὴν ψυχὴν ἀθάνατον, ἐπεὶ μάχεται τῇ Πλάτωνος δόξῃ· οὔτε δὲ ἔνδοξον οὔτε ἄδοξόν ἐστι πρόβλημα, περὶ οὗ οὗτοι οὐδετέρως δοξάζουσιν, οἷον τὸ περιττοὺς εἶναι τοὺς ἀστέρας ἢ ἀρτίους, ἢ τὰς τρίχας τῆς κεφαλῆς, ἢ περὶ οὗ ἐπ' ἴσης ἀμφοτέρως, οἷον περὶ τοῦ ἄπειρον εἶναι καὶ μὴ εἶναι, ἢ τὸ εἶναι ἐπιστήμας τὰς ἀρετὰς ἢ πάλιν μὴ εἶναι.

E 1183 **Ἐνδόκιμον**· οἱ δὲ κελευσταὶ τοῖς ἐρέταις τὸ ἐνδόκιμον ἐνέδοσαν, οἱ δὲ ἐπὶ τῇ ἐνδόσει ἀθρόοι τῷ ῥοθίῳ ἐπηλάλαξαν. καὶ **Ἔνδοσις** ἐπὶ τούτῳ. **Ἐνδόκιμον**, κινήσεως καὶ ἀρχῆς αἴτιον. ὁ δὲ ψαλμὸς οἷος ἐνδόκιμος εἶναι τῇ ᾠδῇ.

1182 vs. 2 ἔνδοξα—18 πραγμάτων Alex. Aphr. 18, 26—19, 27; vs. 19 ἔνδοξα sq. l. l. 549, 22—550, 5 1183 — ἐπηλάλαξαν Arr. Parth. fr. 61 Ἐνδόκιμον, κινήσεως cf. Synes. ep. 4, 162a

1182 Z 733 1183 Arr. cf. v. K 1287, vs. 34 ὁ sq. cf. v. μουσουργοί. Z 716 et 733

A (GITFVM) 2 γινόμενον] γινομένων A 3 συλλογισμός T Alex.: σύλλογος rell. 3 πλείστοις —6 τοις om. A 4 πλείστοις] δοκοῦντα add. F μάλιστα] τῶν σοφῶν μάλιστα T 9 αἱρέσεως F Alex.: διαιρέσεως rell. τοιοῦτον ITF τὸ alt.] τὸν GIT om. F cf. Alex. 11 πλούτου γὰρ F 16 τῷ] τὸ AF καὶ ex VM Alex. 17 ἀληθές GIT Alex.: ἀλήθεια FVM^{cp} cp. A 26 δὲ om. A cf. Alex. 31 ἐρέταις] ἐναρέταις V 31. 32 ἀνέδοσαν V 32 ἐπιλάλαξαν AF 33 τούτου ed. pr. Ἐνδόκιμον] nov. gl. IFVM 34 ἐνδόκιμον AIFM

1184 Ἐνδοῦναι: προδοῦναι. παραδοῦναι, ἢ καὶ εἶξαι. Σ
1185 Ἐνδούς: ἀραιώσας. Σ
1186 Ἐνδώσειν: ὁρίσαι, προστάξαι. καιρὸν δὲ τῆς διαβάσεως καὶ τόπον αὐτὸς ἐνδώσειν ἔφη. Ε
1187 Ἐνδρανής: πρακτικός. Σ
1188 Ἐνδοιαστόν: ἀμφίβολον. Σ
1189 Ἐνδοιάζω. Suid.
1190 Ἐνδύεταί μοι τὴν λεοντῆν: ἐπὶ τῶν μεγάλοις ἐπιχειρούντων πράγμασιν. ἐκ μεταφορᾶς τοῦ Ἡρακλέους. Prov.
1191 Ἐνδυκέως: ἐπιμελῶς. Δ
1192 Ἐνδυμίωνος ὕπνον καθεύδεις: ἐπὶ τῶν ὑπνηλῶν εἴρηται ἡ παροιμία· διὰ τὸ τὸν Ὕπνον ἐρασθῆναι Ἐνδυμίωνος καὶ ἔτι καθεύδειν, καὶ σὺν αὐτῷ εἶναι φασί. Prov.
1193 Ἔνδυο: τὸ ταχέως, ὡς ἡμεῖς. Μένανδρος Ἐφεσίῳ· παρέσομαι γὰρ ἔνδυο. Σ
1194 Ἐνδυομενία. τὴν μὲν ἐνδυομενίαν ἅπασαν ἐκ τῶν οἰκιῶν ἐξήρπασαν. τὰ ἔπιπλα. Δ
1195 Ἐνδύω· αἰτιατικῇ. Ἐνδῦναι καὶ Ἐνδῦσαι. Synt.
1196 Ἐνδυτά· ἐνδυτὰ καὶ ξανθοὺς ἐκρέμασε πλοκάμους. τουτέστι περιβλήματα. Anth.
1197 Ἔναι· ἀρχαὶ αἱ παρῳχημέναι. Δημοσθένης κατὰ Ἀριστογείτονος. Harp.
1198 Ἔναιεν: ᾤκει. Δ
1199 Ἐν αἰθρίᾳ: ἐν φανερῷ. Σ
1200 Ἔναιμος: πλήρης αἵματος. Δ
1201 Ἔνναιον: τόπος. Δ
1202 Ἔναιον: ᾤκουν. Σ
1203 Ἐναίρειν: τὸ τὰ ὅπλα σκυλεύειν. μοῦνος ἐναιρομένοισιν ὑπέρμαχον ἀσπίδα τείνας νηυσὶ βαρὺν Τρώων αἰὲν ἔμεινας Ἄρῃ. Δ? Anth.
Ἐναίρειν καταχρηστικῶς καὶ ἐπὶ θηρίων. Ὅμηρος· θῆρας ἐναίρειν. Hom.

1184 Tim. 1185 = Ba 220, 19 1187 = Ba 220, 20 1188 = Ba 220, 21, Ambr. 990, Σ^a, H 1189 cf. Ambr. 1014 1190 = Zen. III 75 1191 = Ambr. 1131, sch. Ψ 90, H 1192 cf. Paroem. ed. Gsf. 37, n. 358, Philol. Suppl. 6, 262, n. 400 1193 Μένανδρος fr. 198 1194 τὴν—ἐξήρπασαν Polyb. 4, 72, 1 1195 Ἐνδῦναι sq. = L 1196 — πλοκάμους Anth. 6, 217, 10 1197 Harp. = An. Ox. 2, 493, 33; Dem. 25, 20 1198 = Ambr. 1010, H cf. sch. Ε 543 1199 = Ba 219, 16, H 1200 = Ambr. 878 cf. 994 1201 = Ambr. 996 1202 = Ba 219, 17, sch. B 522 cf. L 1203 — σκυλεύειν cf. ad 1124 μοῦνος—Ἄρῃ Anth. 7, 147, 1—2 vs. 30 Ἐναίρειν—p. 276, 1 σκυλευθῆναι = sch. A (Aristonic.) in Φ 485 cf. sch. T

1184—6 Z 742 1187 Z 715 1189 ex 1222 1191 Z 753 1193 Z 754 1194 Z 722 1196 Z 734 1197 Z 722 1198 cf. 1202 1199 Z 722 1200 Z 717 et 722 1201—2 Z 734 1202 cf. 1198 1203 cf. 1124. Z 742

1 τὸ προδοῦναι F ἢ] αἰὴ V 3 Ἐνδώσεις V 1189 om. AFV, A(GITFVM) extra ord. 13 καὶ om. GITF 17 ἐξήρπασεν A 1195 ex IM (post 1192) 18 Ἐνδῦναι καὶ Ἐνδῦσαι mg. M 28 τὸ om. FV 30 Ἐναίρειν] nov. gl. GITFV

θῆρες γὰρ οὐκ ἔχουσιν ὅπλα ὥστε σκυλευθῆναι. κυρίως δὲ ἐπὶ ἀνθρώπων.

Σ 1204 Ἐναίσιμος: δίκαιος, καθήκων. ἐναισίῳ δὲ συντύχοιμι. μηδέ
Soph. τῳ πονηρῶν συντυχών.
Harp. 1205 Ἐννέα ὁδοί: τόπος Θρᾳκικὸς παρὰ τὴν Ἀμφίπολιν.
Etym. 1206 Ἔνατος καὶ Ἐνιαυτὸς δέ, καὶ Ἐνάτη δι' ἑνὸς ν.
Synt. 1207 Ἐνεαρίζω· δοτικῇ.
Suid. 1208 Ἐννεάκρουνον· κρήνη Ἀθήνησιν ἣν δωδεκάκρουνος. Θουκυδίδης δὲ ἐννεάκρουνος.
Harp. 1209 Ἐννεάκρουνον: κρήνη τις Ἀθήνησι, Καλλιρρόη καλουμένη πρότερον.
E 1210 Ἐνέβαλεν: ἔτυψεν. ὁ δὲ κρίνας τοῦτον ἀδικεῖν πληγὰς ἐνE ἔβαλεν. καὶ αὖθις· τοῖς μὲν τραύματα ἐνέβαλεν.
E 1211 Ἐνέβη: ἀντὶ τοῦ εἰσῆλθε. τῶν δὲ συνήθων τις αὐτῷ ἐνέβη τῷ ποδὶ λακτίσας κείμενον τὸν ταῦρον. καὶ ἀκούω τὸν πόδα ἐκεῖνον εἰς οἴδημα ἀρθῆναι καὶ φλεγμήναντα σφακελίσαι. καὶ αὖθις· ἐνέβη δὲ ναῦν ἀποχρῶσαν τοῖς ἑταίροις.
Σ Suid. 1212 Ἐνεβριμήσατο: ὠργίσθη. μετ' ὀργῆς ἐλάλησεν.
Suid. 1213 Ἐνεβριμήσατο: μετ' αὐστηρότητος ἐπετίμησεν.
Σ 1214 Ἐνεγκαμένη πατρίς.
Σ 1215 Ἐνέγκασθαι: ἐνέγκαι.
1216 Ἔνεγκε, Ἐνέγκαι δέ.
Σ 1217 Ἐνεγκοῦσα: πατρίς· ἢ μήτηρ.
Δ 1218 Ἐνέγκωμεν: αὐθυπότακτον. καὶ Ἐνέγκης.
E 1219 Ἐνεγύησεν· ὁ δὲ ἐνεγύησε κατὰ τὸ καρτερὸν τὰ κέρατα περισχίσαι αὐτίκα, οὕτω τε τοὺς βαρβάρους εἰσδέξασθαι. ἀντὶ τοῦ παρήγγειλεν.
E 1220 Ἐνεδέχοντο: παρελάμβανον, εἰσεδέχοντο. οἱ δὲ τὸν Κιννέαν ἐνεδέχοντο. καὶ παρελθὼν ἐς τὴν πόλιν ἐσεμνολόγει περὶ Πύρρου.

1204 — καθήκων = Ba 219, 18; καθήκων cf. sch. Z 519, H ἐναισίῳ sq. Soph. OC 1482 c. sch. 1205 Harp. cf. Bk. 251, 9 1207 = Synt. Gud. et Laur. 1209 Harp. cf. Lex. Rhet. ap. Et. M. 343, 42 et Et. Gen. 1210 ὁ—ἐνέβαλεν sec. Xen. An. 1, 5, 11 1211 τῶν—σφακελίσαι Aelian. fr. 37 ἐνέβη sq. fort. Dam. 1212 — ὠργίσθη = Ba 220, 23, H cf. Lex. Patm. 151 1214 = Ba 220, 24 1215 = Ba 221, 11, H 1216 cf. L 1217 = Ba 221, 12 cf. H, Ambr. 949 1218 = Ambr. 1117 1219 — εἰσδέξασθαι Th. Simoc. 8, 3, 2 1220 οἱ sq. Polybio attr. Valck., Cass. D. Mai, Coll. Vatic. 2, 565; ad v. Δ 1478 (Aelian. fr. 6) rettulit Gsf.

1204 Z 721 1206 cf. 1135 1208 ex v. Δ 1440 1209 cf. v. K 238. Z 723 1210 Z 743 1211 cf. v. σφακελισμός 2 et v. οἴδημα. Z 743 1212 μετ' sq. ex 963 1213 ex 963 1214 Z 722

A(GITFVM) 1 θῆρες γὰρ] θῆρ A 5 περὶ GITM Harp. plen. 1206 om. FV 6 καὶ Ἐνιαυτὸς om. A et 1135 1208 om. FV post 1204 A post 1209 (T)M 10 Καλλιρόη IFVM v. l. v. K 238 et ap. Harp. plen. 16 εἰς] ὡς V 18 ὠργίσθη ex FV μετ'—ἐλάλησεν om. FV 1213 om. FV post 1214 A; post l. 1212 ἢ pro l. GIT 1216 om. AFV post 1217 GIT 25 τὸ] τὸν A

1221 Ἐνέδει: ἐνέλειπεν. ὅσοις ἐνέδει, ἐδίδοσαν. εἴ τῳ που τὶ ἐνέδει, ἐξεπλήρου. Σ

1222 Ἐνεδοίαζεν: ἠμφίβαλλεν. Δ

1223 Ἐνεδρεύω· δοτικῇ. Synt.

1224 Ἔνεδρον: ἔγκρυμα δολερόν. Ps.

1225 Ἐνεδίδου καὶ Μετεδίδου· γενικῇ. Synt.

1226 Ἐνεθουσία: ἐμαίνετο. Δ

1227 Ἐνέκαψα· κᾰτα βδελυχθεὶς ὀσφρόμενος ἐξέπτυσα. Ar.

1228 Ἐνέκειντο: ἐπιμόνως ἠσχολοῦντο. εἰ δή τι ἐλέλειπτο, ἁρπασάμενοι ἐνέκειντο τῇ πολιορκίᾳ. E

1229 Ἐνεκότει· δοτικῇ. ἐμνησικάκει, ὠργίζετο. ὁ οὖν Χαγάνος ἐνεκότει εὐδοκιμηθείσαις ταῖς Ῥωμαίων δυνάμεσιν. x + EL

1230 Ἐνεκότουν· Δαβίδ· καὶ ἐν ὀργῇ ἐνεκότουν μοι.· τουτέστι μετ᾽ ὀργῆς ἠναντιώθησάν μοι. Thdr.

1231 Ἐνέκρινον: τοῖς καλοῖς συνηρίθμησαν· ὡς ἀπέκρινον, ἀπεδοκίμαζον. Αἰλιανός· Ῥωμαῖοι πολεμοῦντες οὐδένα τόπον οὔτε ἐνέκρινον οὔτε ἀπέκρινον, ἀλλ᾽ ἔνθα ἔτυχον, ἠγωνίζοντο. E

1232 Ἐνελίξας.

1233 Ἐνελόχισαν: ἐνήδρευσαν. Δ

1234 Ἐνέμοντο: ἐκαρποῦντο, ᾤκουν. Σ

1235 Ἐνεμημένων· τῶν δὲ ἄλλων τῶν περὶ βασιλέως τοῖς ἐρύμασιν ἐνεμημένων. Κρίτων ἐν Γετικοῖς. Suid.

1236 Ἐνενηκονταεννέα.

1237 Ἐνένιπεν: ἐκακολόγησεν. Δ

1238 Ἐνεός: ἄφωνος, κωφός, ἐξεστηκώς, νωδός, νωχελής, μετέωρος. Ξενοφῶν· τοῖς δὲ παισὶν ἐδείκνυσαν ὥσπερ ἐνεοῖς ὅ τι δέοι ποιεῖν. τοσόσδε διὰ τῆς νυκτὸς ἐνέπεσε σεισμός, ὥστε ἐξέθορον ἐκ τῆς κοίτης. σημαίνει δὲ καὶ ὄνομα κύριον. Σ E E Δ

1239 Ἐνεώλκησαν: τὰς ναῦς εἵλκυσαν. Δ

1221 — ἐνέλειπεν = Ba 221, 13, Σ^{a} 1222 cf. Ambr. 1014 1223 = Synt. Gud. 1224 = An. Ox. 2, 441, 7 cf. H, Zon. 722 1225 cf. Synt. Gud. et Laur. 1226 = H 1227 Ar. Vsp. 791—2 1229 ἐμνησικάκει cf. H ὁ sq. Th. Simoc. 6, 11, 5 = EL 224, 8—9 1230 Thdr. in Ps. 54, 4, PG 80, 1269c 1231 Ῥωμαῖοι sq. Aelian. fr. 120 1233 cf. Ambr. 1023 1234 = Ba 221, 14 cf. H, sch. B 496 1237 = Ambr. 1016 1238 — μετέωρος = Σ^{a} cf. sch. Pl. Alc. 2, 140d, Ba 221, 15, H; — ἄφωνος = Et. M. 340, 48, sch. Pl. Theaet. 206e ap. Schanz cf. Ambr. 880 τοῖς—ποιεῖν Xen. An. 4, 5, 33 τοσόσδε—κοίτης Aelian. fr. 250 ὄνομα κύριον = Ambr. 908 1239 cf. L, Ambr. 1015

1222 hinc 1189 1226 Z 744 1227—8 Z 743 1229 δοτικῇ cf. 115 1231 Aelian. cf. v. A 3116. Z 743 1234 cf. v. νέμειν 1235 ex v. B 388 1237 cf. Z 743 1239 Z 743

1 ἐνέλιπεν GT Σ^{a} 1224 om. GTFV post 1226 A 5 ἔγκριμα M ἔγκρυμμα A(GITFVM) An. Ox. Hes. Zon. 6 καὶ Μετεδίδου ex IM: om. A Synt. 8 Ἐνέκυψα GT om. M 12 ταῖς] τῶν GIT 15 συνηριθμήθησαν M 1232 ex I (post 1235) M 19 Ἐνελόχησαν I (Ambr.) 1235 om. FV 21 βασιλέως AM: βασιλέα T v. B 388 cp. GI 1236 ex I (post 1240) M 25 Ἐννεός GIT 26 ἐννεοῖς AGIT 27 νυκτὸς] ἐκτὸς M 28 κοίτης] ἐννεοι suppl. Gronov., exemplum ad 1245 rettulit Porson.

Δ 1240 Ἐννέωρος: ἐνναετής.

Σ 1241 Ἐνεώχμωσε: νεωστὶ κατεσκεύασεν, ἐκίνησεν.

Σ 1242 Ἐνεώχμωσεν: ἠλλοίωσεν, ἐκαινοποίησεν.

Δ 1243 Ἐνεπάρην: ἐνέπεσον.

Σ 1244 Ἐνέπασσεν: ἐνέβαλλεν, ἐνεποίκιλλεν.

Ε 1245 Ἐνέπεσε: συνέβη, ἐγένετο. Πολύβιος· ἐνέπεσε δέ τις ὁρμὴ τῷ Σκιπίωνι καὶ διαπόρησις, εἰ δεῖ συμβαλεῖν καὶ μονομαχῆσαι πρὸς τὸν βάρβαρον.

Δ 1246 Ἐν ἐπηκόῳ: εἰς ἐπήκοον πάντων.

1247 Ἐνεπίπρων καὶ Ἐνεπίπραντο καὶ Ἐνεπίπλαντο καὶ Ἐνεπίπλα.

Harp. 1248 Ἐνεπίσκημμα καὶ Ἐνεπισκήψασθαι· ὁπότε δημευθείη τινὸς οὐσία, ἐξῆν προελθεῖν τῷ φάσκοντι γεγενῆσθαι δανειστῇ τοῦ ἀνδρὸς καὶ λέγειν, ὡς ὀφείλεται αὐτῷ ἐν τῇ οὐσίᾳ χρέος· καὶ τοῦτο λέγεται ἐπίσκημμα καὶ ἐνεπισκήψασθαι.

Σ 1249 Ἐνεπισκήψασθαι καὶ Ἐγγύην καταβαλεῖν· καταδικασθέντων τινῶν δημεύεσθαι τὰς οὐσίας, εἰ λέγοιέν τινες, ὡς εἴησαν δανεισταὶ τῶν δημευομένων, ἀπογράφεσθαι τούτους ἐκέλευον, πότε καὶ πόσον ἐδάνεισαν ἀργύριον· ὅπερ ἐλέγετο ἐπισκήψασθαι. εἰ μέντοι γε παρίστων ἐγγυητὰς τοῦ μὴ ἂν διαψεύσασθαι περὶ τοῦ δανείσματος οἱ δανείσαντες, τοῦτο ἐγγύην καταβολῆς ἔλεγον.

Δ 1250 Ἐνεπορπήθησαν: συνεβλήθησαν.

Phil. 1251 Ἐνέργεια· ὅτι ἡ ἐνέργεια καθολικωτέρα ἐστὶ τῆς κινήσεως, ἡ δὲ κίνησις τοῦ πάσχειν. πᾶν μὲν γὰρ τὸ πάσχον καὶ κινεῖται, πᾶν δὲ τὸ κινούμενον καὶ ἐνεργεῖ, οὐκέτι μέντοι τὸ ἐνεργούμενον κινεῖται. ἐνέργεια μὲν γάρ ἐστιν ἡ ἀθρόα προσβολὴ ἀπὸ τῆς ἕξεως, κίνησις δέ ἐστιν ἀτελὴς ἐνέργεια. ἡ γὰρ ἀπὸ τοῦ πρώτου δυνάμει ἐπὶ τὴν ἕξιν ὁδὸς κίνησίς ἐστιν. πᾶσα δὲ γένεσις καὶ πᾶσα ἐνέργεια ἄλλου τινὸς γίνεται τέλους χάριν· τέλος γὰρ τῆς γενέσεως καὶ τοῦ γινομένου τὸ εἶναι, καὶ τῆς ἐνεργείας καὶ τοῦ ἐνεργεῖν τὸ ἐνηργηκέναι. οὐκ ἐπὶ

1240 = Ambr. 886, H, sch. Pl. Min. 319b cf. Ba 222, 19, sch. Σ 351; Et. M. 343, 22 = Et. Gen., H 1241 = Σ^{a} cf. Ba 221, 25, Ambr. 1017, H v. ἐνεοχμωσεν 1242 = Ba 221, 9, H v. ἐνεοχμωσεν, Lex. αἰμ. 624, 23 ex quo Et. Gud. et Et. M. 601, 6 1243 = Ambr. 1013 1244 = Ba 221, 16; ἐνεποίκιλλεν = sch. Γ 126, H 1245 ἐνέπεσε alt. sq. Polyb. 35, 5, 1 1246 cf. Ambr. 997 1247 cf. Ambr. 1041 1248 Harp. 1249 = Sabb., Et. M. 340, 37—44, Et. Gen. 1250 = Ambr. 1024 1251 — vs. 27 ἔστιν Philop. 296, 22—27; rell. ad Alex. Aphr. rettulit Wallies p. X 1

1241 cf. v. νεοχμώσαντες 1241—2 Z 743 1244—5 Z 744 1246 Z 717 = 734 1247 cf. 2538 1248 Z 734 = 744 1250 cf. 1048. Z 745 1251 cf. 1126

A(GITFVM) 2 ἐκαίνισεν F Zon. cf. vs. 3 1242 non nov. gl. M 3 Ἐνεώχμωσεν] ἡ T cf. Zon. Hes. 7 Σκιπίωνι T: Σκιπ GI Σκηπ FM σκηπῶ V σκοπῷ A 1247 om. AFV 10 καὶ pr. ex M καὶ sec. ex M, nov. gl. GIT 12 προσελθεῖν F cf. Harp. plen. 15 Ἐνεπισκήψασθαι om. AGIT Ἐγγύειν AI καταβολεῖν A καταβολῆς F Sabb. cf. vs. 20, καταβολήν Et. M. 18 πόσων V 20 ἐγγύειν A 21 Ἐνεπορθήσαν IFV 23 μὲν om. V 24 ἐνεργούμενον] καὶ add. F Philop.

πάντων δὲ τοῦτο ἀληθές· ἡ γὰρ εὐδαιμονία ἐν τῷ ἐνεργεῖν κατ' ἀρετήν, οὐκ ἐν τῷ ἐνεργηκέναι. δεῖ οὖν σκοπεῖν, πότερον ἐνέργεια τὸ τέλος τῆς δυνάμεως, ἢ ποίημά τι καὶ ἔργον. ἐφ' ὧν μὲν οὖν ποίημα πταίουσιν οἱ πρὸς τὴν ἐνέργειαν ἀποδόντες· τέλος γὰρ ἐπὶ τούτων τὸ ἔργον καὶ βέλτιον τῆς ἐνεργείας. ἐφ' ὧν δὲ ἐνέργεια ψιλή, ἐνέργειαν μόνην θετέον· πολλῶν γὰρ οὐ τὸ γεγενῆσθαι τέλος, ἀλλὰ τὸ γίνεσθαι. καὶ γὰρ ἥδεσθαι μᾶλλον αἱρούμεθα ἢ πεπαῦσθαι τῆς ἡδονῆς, καὶ θεωρεῖν ἢ τεθεωρηκέναι.

1252 Ἐνεργόν: ἐπιτεταμένην, σύντομον. Πολύβιος· οἱ δὲ ἐξανα- E
στάντες ἐνεργὸν ἐποιήσαντο τὴν πορείαν καὶ τὴν ἔφοδον.

1253 Ἐνερευθής: ἀντὶ τοῦ ἐρυθρός. τῷ χρώματι γενόμενος ἐνερευθής. EV

1254 Ἐνερείδοντες: ἐμπηγνύντες. καὶ Ἐνερείσας, ἐμπήξας. Σ

1255 Ἔνερθεν: ὑποκάτωθεν. Σ

1256 Ἐνέρσει: τὸ ξύλον σιδήρῳ διέφθειραν, ᾧπερ ἐνέρσει τείχους E
ἑκατέρου ἐναρμοσθέντι τὰς πύλας ἐπιζευγνύναι εἰώθασιν.

1257 Ἐνέρσει κρώβυλον ἀναδούμενοι: τουτέστιν ἐν εἰσέρσει ἢ Thuc.
συμπλοκῇ. κρώβυλος δέ ἐστιν εἶδος πλέγματος τῶν τριχῶν, ἀπὸ ἑκατέρων εἰς ὀξὺ καταλῆγον.

1258 Ἐνέρτερος: κατώτερος. Σ

1259 Ἐνέροις: νεκροῖς. ἀπὸ τοῦ ἐν τῇ ἔρᾳ κεῖσθαι. Σ

1260 Ἐνεσκευασμένην: ἀντὶ τοῦ διεσκευασμένην, καὶ πεπλασμένην. Harp.
Ἰσαῖος καὶ Δημοσθένης.

1261 Ἐνεσκηρώθησαν. Δ

1262 Ἐνέσκηψαν: ἐνώρμησαν, ἐνέπηξαν. Σ

1263 Ἐνεσκιρρώθη: ἐκ τοῦ σκίρρος, ὃ σημαίνει τὸν γύψον.

1264 Ἐνεστήσαντο καὶ μετῆλθον: ἀντὶ τοῦ ἔκριναν ποιῆσαι. Ar.
ὅσαι τὸ πρᾶγμα τοῦτο ἐνεστήσαντο καὶ μετῆλθον.

1265 Ἐνεσκίμφθη: ἐνεπάγη. Σ

1252 οἱ sq. Polyb. 8, 16, 7 1253 τῷ sq. Polyb. 31, 23, 8 = EV 2, 188, 1—2 1254 — ἐμπηγνύντες = Ba 221, 17, H. Ἐνερείσας sq. = Ba 221, 18, H 1255 = Ba 221, 19, Et. Gud. 1256 Proc. Bell. 7, 20, 15 1257 sch. Thuc. 1, 6, 5 cf. Lex. αἰμ. 623, 36 1258 = Ba 221, 21, sch. E 898, H, Et. M. 340, 18 1259 cf. sch. Pl. Rep. 387c, Et. M. 340, 7; — νεκροῖς = Ba 221, 20, sch. O 188 cf. Ap. S. 69, 1 1260 Harp. = An. Ox. 2, 494, 2; Isae. fr. 9; Dem.? 1262 = Ba 222, 31 cf. H v. ἐνσκήψαντες, Ambr. 1075 1264 Ar. Lys. 268 c. sch. 1265 = Ba 221, 22, Σ[A] cf. H, Ap. S. 69, 2, sch. Π 612

1252 Z 723 1253 Z 716 1255 Z 753 1257 cf. v. K 2489 1259 Z 717 1260 Z 745 1262 Z 745 1263 cf. v. σκίρος 1264—5 Z 745

2 ἐνηργηκέναι T 3 οὖν om. V παίουσιν FVM 4 τέλος] τέλειον F A (GITFVM)
9 ἐπιτεταγμένον F σύντονον Port. 15 ᾧπερ] ὅπερ T v. l. Proc. ὥσπερ I
18 τοιχῶν A 22 διεσκευασμένην TFVM Harp.: διασκευασμένην AGI Ox. καὶ πεπλασμένην om. V cf. Harp. 1261—4 om. A 1261 om. GIT, in quibus ordo 1265, 1263, 1262, 1266 1262 non nov. gl. FVM 1263 om. FV 1264 om. GIT

Prov. 1266 Ἔνεστι κἂν μύρμηκι χολή: παρεγγυᾷ μηδὲ τῶν μικρῶν καταφρονεῖν.

1267 Ἐνεστώς, ἐνεστῶτος.

Call. 1268 Ἐνέτηςι: περόναις. χρυςείηςιν ἐεργομένην ἐνέτηςιν.

Harp. 1269 Ἐνετιμᾶτο διαφέρει τοῦ ἀπετιμᾶτο· ὅταν μὲν γάρ τις ὡς τι ποσὸν ἀργύριον ἀποτίμημα λαμβάνῃ, ἀποτιμᾶσθαι λέγεται· ὅταν δὲ ἐν εἴδεσί τισι λογίσηταί τις μέρος τι τοῦ ἀργυρίου, τοῦτο λέγεται ὡς ἐνετιμήσατο.

E 1270 Ἐνετολμήσατο: ἀπεθάρρησεν. εἶτα μέντοι ἐνετολμήσατο τηλικοῦτον τόλμημα.

Ar. 1271 Ἐνετρύλλιςε: κατεῖπεν. Ἀριστοφάνης· προαγωγὸς οὖς' ἐνετρύλλιςε τῷ δεςπότῃ.

Δ 1272 Ἐνετοί: ἐθνικόν, Παφλαγόνες.

Δ 1273 Ἔνευ: ἐπιφώνημα.

1274 Ἐνεχείριςε ποιμαίνειν τοὺς μαθητάς.

Ps. 1275 Ἐν εὐςήμῳ ἡμέρᾳ: ἐν ἀγαθῇ, ἐν καλῇ.

Ar. 1276 Ἐνέχεις: ἐκίρνας. Ἀριστοφάνης· εἰ Θάσιον ἐνέχεις εἰκότως γε, νὴ Δία. ὡς τοῦ Θασίου οἴνου εὐόςμου ὄντος. ὁ γὰρ Στάφυλος, ὁ ἐρώμενος Διονύσου, ἐν Θάσῳ ᾤκει· καὶ διὰ τοῦτο διαφέρει ὁ Θάςιος οἶνος.

1277 Ἐνέχυρον· ζήτει ἐν τῷ ἀποτιμηταί.

Ar. 1278 Ἐνείη: ἀντὶ τοῦ ἔνεστιν. Ἀριστοφάνης· εἰ μή c' ἀπολέςαιμ', εἴ τι τῶν αὐτῶν ἐμοὶ ψευδῶν ἐνείη, διαπέςοιμι πανταχῆ. οἷον διαμαρτήςαιμι τῆς ἐλπίδος, εἴ ςε μὴ ἀπολέςαιμι, εἴ τι τῶν ἐμῶν ὑποκρίναιο ψευςμάτων. ἐπεὶ αὐτὸς ἀντιψευδόμενος ἔδοξεν ὁ ἀλλαντοπώλης αὐτὸν παρευδοκιμεῖν. ἄλλως. εἴ τι τῶν ἐμῶν ψευδῶν cώζεται, τούτεστι τῶν ἐνόντων μοι. εἰ μὴ ἀπολώλεκα τὸ ψεύδεcθαι, διαπέςοιμι πανταχοῦ, εἰ μή ςε ἐξ ἀνθρώπων ποιήςαιμι.

Δ 1279 Ἐνείκαcθαι: ἐνεγκεῖν.

1280 Ἐνεῖκαι: ἀπὸ τοῦ ἐνέκω, ἐνέξω, ἤνεκα, πλεοναcμῷ τοῦ ι ἤνεικα καὶ ἐνεῖκαι. ἐπλεόναce δὲ τὸ ι, διότι πᾶc ἀόριcτος μὴ ἔχων c ἢ ξ ἢ ψ μακρᾷ θέλει παραλήγεcθαι, οἷον ἔκειρα, ἔνειμα, ἤνεικα.

1266 = Zen. III 70 1268 Call. (fr. 41, 11 K., 149 S.) c. sch.; — περόναις = sch. Ξ 180, H, Ba 221, 23, Et. M. 340, 25 cf. Ambr. 955 1269 Harp. = Et. Gen. 1270 εἶτα sq. Aelian. fr. 212 1271 Ar. Th. 341 c. sch. 1272 cf. Ambr. 926 = Ps. Herodian. 33; Theognost. 6, 18 1275 = An. Ox. 2, 441, 21 cf. H 1276 Ar. Pl. 1021 c. sch. 1278 Ar. Eq. 694—5 c. sch. plenior. 1279 = Ambr. 1042, Et. Gud. cf. Ap. S. 68, 32, H 1280 cf. Et. M. 339, 32, Et. Parv. Miller Mél. 329

1266 cf. v. cέρφοc 1268 cf. v. A 1224 1269 cf. vv. A 3083 et 3597. Z 745 1270 cf. v. παλαμναῖοc. Z 745 1271 Z 745 1273 Z 734 1276 cf. v. Θ 59. Z 744 1278 cf. v. Δ 692. Z 746 1279 Z 746

A (GITFVM) 1 χολή] χωλής I cχολή F 1267 om. FVM 4 ἐνεργομένην IV εὐεργομένην F 6 τι] τις GI λαμβάνει A, cod. B in Et. M. 13 ἐθνικόν ego: ἔθνος TF cp. rell. Παφλαγόνες V Ambr. Ps. Herod.: Παφλαγόνων GIT Παφλαγόνος F cp. AM 15 Ἐνεχείρηcε AIV 1275 om. FVM 18 Θάcου FV 25. 26 ἀλλαντοπώλης ed. pr.: ἀλλάντης T ἄλλαντ rell.

1281 Ἐνείκησεν: ἐκακολόγησεν, ὕβρισεν. Δ
1282 Ἐνείλλοντες· Θουκυδίδης· ἐν ταρσοῖς καλάμου πηλὸν ἐνείλλοντες ἐσέβαλλον ἐς τὸ διῃρημένον τοῦ τείχους. Ε
1283 Ἐνείμαντο: ἐμέρισαν. Δ
1284 Ἐνειός. Δ
1285 Ἐνείραντες: ἐμπερονήσαντες. Σ
1286 Ἐνειρμένος πέδαις: ἀντὶ τοῦ συμπεπλεγμένος. Δ
1287 Ἐνεῖσα: ἐμβαλοῦσα. σαρκὶ τὸν ἐκ γενύων πικρὸν ἐνεῖσα χόλον. Σ + Anth.
1288 Ἔνειμεν: ἐμβάλλει. Σ
1289 Ἐνεχώρουν· οἱ δὲ ἱερεῖς καταπεπληγμένοι τῷ δέει ἐξίσταντο καὶ ἐνεχώρουν αὐτῇ ἅπαντες. ἀντὶ τοῦ συνεχώρουν. Ε
1290 Ἐνέχραυε. τὸ σῶμα ἐπέπληττεν. Ἡρόδοτος· τὸ σῶμα ἐόντα ὑπομαργότερον. ὅκως γὰρ ἐντύχοι Σπαρτιητέων ἐνέχραυε τὸ πρόσωπον τῷ σκήπτρῳ. περὶ Κλεομένους τοῦ Σπαρτιάτου λέγων. ΕV
1291 Ἐνέχυρον: τὸ διδόμενον ὑπὲρ χρέους. οὐ μόνον ἐνέχυρα φασίν, ἀλλὰ καὶ ἐνέχυρον. φαίνεται δὲ καὶ τῶν ἀπηγορευμένων εἶναι μὴ θεῖναι τὰ ὅπλα ἐνέχυρα. λέγει οὖν περὶ τῆς Πενίας, ὅτι αὐτὴ τῇ ἑαυτῆς βίᾳ ἀναγκάζει καὶ τοὺς νόμους παραβαίνειν τοὺς θεσπίσαντας, ὅπλα ἐνέχυρα μὴ τιθέναι. Σ Ar.
1292 Ἔνη καὶ νέα: ἡ τριακὰς καλουμένη. ἔνον τὸ παλαιὸν καὶ νέον τὸ νέον. ἐν ᾗ ἂν ὁ τοιοῦτος βρότος ἐγγένηται. νῦν ὡς βρότον αἱματόεντα τὸν φονικὸν σημαίνων λέγει. Σ
1293 Ἔνη καὶ νέα: οὕτω παρ' Ἀθηναίοις ἡ παρ' ἡμῖν τριακάς, ἡ νεομηνία, ἐπειδὴ συμβαίνει ἐν αὐταῖς καὶ λήγειν τὴν σελήνην καὶ γενᾶσθαι. τότε δὲ μὴ ταχέως ἀποδιδόντας τοὺς τόκους ἢ τὰ δάνεια ἀπῄτουν, ὡς ὑπερόρους γενομένους. διὸ λυπεῖσθαί φησιν ὁρῶν ἑστεμένην ἔνην τε καὶ νέαν. ἡ δὲ πέμπτη ἐστὶ κς' φθίνοντος. τὰς γὰρ λ' ἡμέρας τῆς σελήνης εἰς γ' δεκάδας διῄρουν οἱ Ἀθηναῖοι καὶ τὴν μὲν πρώτην ὡς ἡμεῖς, α' β' γ' δ' ε' ς' ζ' η' θ' ι' ἀπαριθμοῦντες, τὴν δὲ δευτέραν οὕτως· πρώτη ἐπὶ δέκα, ια'· δευτέρα ἐπὶ δέκα, ιβ'· Ar

1281 cf. sch. Γ 38; — ἐκακολόγησεν = Ambr. 1029 1282 Thuc. 2, 76, 1 1283 cf. Ambr. 1028, H v. ἐνειμάμην 1284 cf. Ambr. 898 1285 = Σ^a, Ba 1286 cf. L 1287 σαρκὶ sq. Anth. 7, 172, 6 1288 = Σ^a, Ba 1289 οἱ—ἅπαντες Proc. h. a. 3, 26 1290 τὸ σῶμα—σκήπτρῳ Hdt. 6, 75, 1 = EV 2, 17, 23—4 1291 vs. 15 οὐ sq. sch. Ar. Pl. 451 1292 — νέον alt. Tim. ἐν sq. scholio cuidam attr. Gsf., ad usum Homericum spectare perspexit Bhd. 1293 sch. Ar. Nu. 1134

1281 cf. v. νεικείησι. Z 746 1282 cf. v. Εἰ 109 et v. ταρσός. Z 746 1286 Z 746 1287 cf. v. οὐτήτειρα. Z 746 1288 Z 746 1289 Z 745 1290 Z 745

3 ἐσέβαλον T v. l. v. ταρσός et Thuc. διῃρημένον v. ταρσός, Thuc.: διηρμένον AGITF διηρτημένον VM 8 τὸν GIT v. οὐτήτειρα, Anth.: τῶν AFVM ὠνεῖσα V 1289—91 extra ord. 12 ἐνέπληττεν G ἐὼντα VM 13 γὰρ] ἂν F 16 καὶ alt.] ἐκ V 21 ἐν ᾗ] in lac. Bas. nov. gl. Kust. ἑνὴ F ἔνη rell. 1293 non nov. gl. A 23 ἡ pr.] καὶ A 26 ὑπερώρους Stephan. Thes. ed. Lond. p. 6957 ὑπερημέρους Ernesti 27 ἐφθίνοντος A A (GITFVM)

τρίτη ἐπὶ δέκα ἄχρι τῆς ιθ'· τὴν γὰρ εἰκάδα οὕτω καλοῦσι. τὴν δὲ κα' ὑστέραν δεκάδα καὶ τὴν μετ' αὐτὴν ἑνάτην φθίνοντος ἕως δευτέρας φθίνοντος. τὴν γὰρ τριακάδα ἔνην καὶ νέαν φασίν.

Ar. 1294 Ἔνη· παρεῖναι δ' εἰς ἔνην. οἷον εἰς τρίτην. μηδ' ἀναβάλλεσθαι ἔστ' αὔριον ἔστ' ἔνηφι. τινὲς δὲ εἰς τριακάδα. Ἀττικοὶ δὲ καλοῦσιν ἔνην καὶ τὴν παλαιάν. Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονος· τὰς ἔνας ἀρχὰς ταῖς νέαις ὑπεξιέναι.

Ar. 1295 Ἔνη· ἡ τρίτη τῆς σελήνης. Ἀριστοφάνης· θάρσει, κατατεύξῃ, κἂν ἔνης ἔλθῃς. ἀντὶ τοῦ εἰς τρίτον. οἶδα γὰρ τούτους χειροτονοῦντας μὲν ταχὺ ἅττ' ἂν δόξῃ καὶ ταῦτα πάλιν ἀρνουμένους.

Harp. 1296 Ἔνην καὶ νέαν τὴν ὑφ' ἡμῶν τριακάδα καλουμένην Ἀθηναῖοι λέγουσιν, ἀπὸ τοῦ τὴν τελευτὴν ἔχειν τοῦ προτέρου μηνὸς καὶ τὴν ἀρχὴν τοῦ ὑστέρου. Πολέμων δέ φησιν, ὅτι ἐκάλεσεν αὐτὴν ποτε Δημητριάδα ἐπὶ τιμῇ Δημητρίου τοῦ Μακεδόνος. ἔνης δὲ καὶ εἰς ἔνην τὸ εἰς τρίτην λέγουσι· καὶ ἁπλῶς τὸ ἕνον δασυνόμενον τὸ πρότερον καὶ παρεληλυθὸς δηλοῖ.

Ar. 1297 Ἕνη: Ἀττικοὶ τὸ ἔνη περιττὸν ἔθεσαν, ὡς τὸ ἔχων, πλῆρες ἔχον. οἱ δὲ λείπειν φασὶ τὸ δύο. ἐρωτῶν δὲ λέγει, ἓν ἢ δύο. Ἀριστοφάνης Ἀχαρνεῦσιν· ἤδη πεπρέσβευκας σὺ πολιὸς ὢν ἔνη;

Δ 1298 Ἐνή: ὀξυτόνως ἡ νέα.

Hdt. 1299 Ἐνηβητήρια: ἐνευωχητήρια παρὰ Ἡροδότῳ.

Δ 1300 Ἐνηβρύνετο: ἠλαζονεύετο.

Ε 1301 Ἐνῆγεν: ἐκίνει, παρέπειθεν. Προκόπιος· ἐνῆγε δὲ αὐτὸν ἐς τοῦτο Χριστιανῶν λόγος καὶ ἔδακνεν αὐτοῦ τὴν διάνοιαν, ὅτι ἀνάΕ λωτον Ἕδεσσαν ἰσχυρίζοντο εἶναι. καὶ αὖθις· ἐνῆγε δὲ πάντας εἴς τε τὰς εὐχὰς τὰς ὑπὲρ αὐτοῦ καὶ τὴν ὀφειλομένην εὔνοιαν, ἥ τε χρεία τῆς στρατείας ἀναγκαία οὖσα, ἣν ὑπὲρ πάντων κοινῇ ποιούμενος δῆλος ἦν, τό τε κάλλος τὸ τοῦ σώματος καὶ τὸ μέγεθος.

Ε 1302 Ἐνηγκυλωμένα· πεφωραμένοι ὅτι ἐπὶ κατασκοπῇ παρεγένοντο, τῷ καὶ τὰ τόξα ἐνηγκυλωμένα φέροντας ἁλῶναι. ἀντὶ τοῦ ἐντεταμένα, ἠὐτρεπισμένα.

Δ 1303 Ἐνηέος: τοῦ πράου. καὶ Ἐνῆς, ὁ πρᾶος.

1294 sch. Ar. Ach. 172; Hesiod. O. 410; Dem. 25, 20 1295 Ar. Eccl. 796 c. sch. plenior. 1296 Harp.; Polem. fr. 8, FHG 3, 117 1297 Ar. Ach. 610 c. sch. 1298 praeter ὀξυτόνως = Ambr. 933 1299 Gl. Hdt. 2, 133 1301 ἐνῆγε sec.—εἶναι Proc. Bell. 2, 12, 7 1303 = Ambr. 887, Et. M. 341, 12 cf. sch. P 204

1298 Z 728 1299 Z 734 1301—2 Z 746

A(GITFVM) 1 δέκα] ιγ' add. TF ιθ' T: θι rell. θ' sch. οὕτως VM 1294 non nov. gl. AM 1295 non nov. gl. AM 9 τρίτην sch. 1296—7 om. T 1296 non nov. gl. AM 12 ἀπὸ] ἐκ V 13 ἐκάλεσαν Harp. 14 Ἡμητριάδα V Δημητρίᾳ V 15 ἁπλῶς F Harp.: ἁπλοῦν I^{ac}V cp. AGM 16 καὶ om. A 17. 18 πλῆρες ἔχον] ληρεῖς ἔχων sch. 21 Ἡροδότου A 26 ἢ] εἰ F ὅ M 28 τοῦ μεγέθους F 29 πεφωραμένα GIT (explicat.) 30 καὶ τὰ] κατὰ F

1304 Ἐνήεια: ἡ πραότης. Δ
1305 Ἐνήθλει: ἐνεκαρτέρει. καὶ ὁ μὲν ἐπὶ τούτοις τῇ πενίᾳ ἐνήθλει. E
1306 Ἐνῆκαν: ἐνέβαλον, Σ
1307 Ἐνήκισεν: ἔπληξεν, ἐτιμωρήσατο. Δ
1308 Ἐνήλατα: τῆς κλίνης μέρος τι. Σ
1309 Ἐνήλατο· Ἀριστοφάνης· ἐνήλατ', ἐσκίρτα, πεπόρδει, κατεγέλα, Ar.
ὥσπερ καχρύων ὀνίδιον εὐωχημένον.
1310 Ἐνηλινδῆσθαι: κεκυλίσθαι. καὶ Ἐνηλινδοῦντο, ἐκυλίοντο. Δ
1311 Ἔνηλυς. Δ
1312 Ἐνημμένος: περιβεβλημένος. τὴν τοῦ πανόπτου διφθέραν Ar.
ἐνημμένος. καί, ὁ Ἡρακλῆς ἐχρῆτο τῇ λεοντῇ περὶ τὸ σῶμα ἐνημ- E?
μένος.
1313 Ἐνῆν: δυνατόν, ἐνδεχόμενον. ὁ δὲ μάστιξιν, ὡς ἐνῆν, ἀν- Σ
ετάσας διέγνω ὡς ἔχει τὸ πολέμιον. ἀντὶ τοῦ ὡς δυνατόν. E+Σ
1314 Ἐνῆν: ὑπῆρχεν. Δ
1315 Ἐνηνθρώπησεν: ἀντὶ τοῦ ἐν ἀνθρώπῳ γέγονεν. αὐτὸς γὰρ
ἐγίνωσκε τί ἦν ἐν τῷ ἀνθρώπῳ.
1316 Ἐνῆος. Δ
1317 Ἐνήρατο: ἀπέκτεινεν. Σ
1318 Ἐνήρεισε: προσεπέλασεν. Δ
1319 Ἐνήρης ναῦς: πληθυντικῶς δὲ διαφέρει. Ἐνήρεις, μίαν Δ
εἰρεσίαν ἐχούσας. ὁ δὲ Σύλλας συνῆλθε τῷ Μιθριδάτῃ ἐν Δαρδάνῳ EL
τῆς Τρῳάδος ἔχων ναῦς ς' ἐνήρεις.
1320 Ἐν ἦρι: ἐν τῷ ἔαρι. Δ
1321 Ἐνῆρσεν: ἐφήρμοσεν. Σ
1322 Ἐνήσομεν: ἐμβαλοῦμεν. Δ
1323 Ἐνισχημένος: κατεχόμενος. Σ
1324 Ἐνηυλισμένον: ἐμπεριειλημμένον. Σ

1304 = Ambr. 969 cf. 940 et 947 = sch. P 670 1305 καὶ sq. Aelian. fr. 318 1306 = Σ^a, Ba 221, 26 cf. Ambr. 1032 = H 1307 = Ambr. 1031 1308 cf. Poll. 10, 34; 6, 9, H, Phryn. Ecl. 178 1309 Ar. Vsp. 1305—6 1310 — κεκυλίσθαι = Ambr. 1047 cf. 1046. Ἐνηλινδοῦντο sq. = Ambr. 1037 cf. H 1311 = Ambr. 879a 1312 τὴν—ἐνημμένος sec. Ar. Eccl. 80 ὁ sq. fort. Nic. Dam. 1313 — ἐνδεχόμενον = Σ^a, Ba 221, 24, gl. Dionys. PG 4, 25 cf. sch. Luc. 100, 21, H ὁ—πολέμιον Th. Simoc. 5, 8, 4 1314 = Ambr. 1053 1315 αὐτὸς sq. Ioh. 2, 25 1316 = Ambr. 910b 1317 = Σ^a, H cf. Ba 221, 27 1318 = Ambr. 1008 1319 — ναῦς = Ambr. 935 ὁ sq. Cass. D. p. CVIII = EL 417, 6—7 1320 = Ambr. 995 1321 = Ba 221, 28 cf. H, sch. Ξ 167 1322 = Ambr. 1038 cf. sch. Ξ 131, H 1323 = Σ^a, Ba 221, 29 1324 = Σ^a, Ba 221, 30

1305 cf. v. πενία 1. Z 747 1306 Z 747 1308 Z 734 1309 cf. v. K 1155 et v. παροινικώτατος. Z 747 1310 Z 747 1312—4 Z 747 1317—8 Z 747 1319 Z 728 1321—2 Z 747

3 Ἐνῆκαν—4 Ἐνήκισεν om. V 6 Ἀριστοφάνης· ἐνήλατ' om. V A(GITFVM)
8 Ἐνηλινδεῖσθαι AI Zon. cf. Ambr. 1046 20 προσέλαβεν F 21 πληθυντικοῦ V cp. AM 22 Δαρδάνῳ Zon. Cass.: Δαρδάνα IT Δαρδάνοις FVM Δαρδαλία G cp. A 24 ἔαρι GT Ambr.: ἀέρι rell. 27 Ἐνισχημένος Σ^a, ordo poscit 28 Ἐνηυλισμένον] Ἐγκεκυλισμένον FVM

Δ 1325 Ἔνηφι: μετὰ τρίτην.

Δ 1326 Ἔνι: ἔςτιν, ὑπάρχει. Ἀριστοφάνης ἀντὶ τοῦ ἔνεστιν. ἐθέλω
Ar. δ' ἐπὶ πᾶν ἰέναι μετὰ τῶνδ' ἀρετῆς ἕνεχ', οἷς ἔνι φύcις, ἔνι θράcος, ἔνι δὲ coφόν, ἔνι φιλόπολις ἀρετὴ φρόνιμος.

Σ 1327 Ἔνια: τινά.

Δ 1328 Ἐνιαυcιαῖος.

Δ 1329 Ἐνιαυτίζω: ἐνιαυτόν που διατρίβω.

E 1330 Ἐνιαυτός· οἱ Ἑβραῖοι τὸν ἐνιαυτὸν κατὰ τὸν ceληνιακὸν δρόμον ἀριθμοῦcιν, ὥcτε τὸν μῆνα ἡμερῶν εἶναι παρ' αὐτοῖς κθ' ἥμιcυ, ὡς τοῦ μὲν ἡλιακοῦ κύκλου ὑπάρχοντος τξε', τοῦ δὲ ceληνιακοῦ τνδ', ὡς τὸν ἡλιακὸν παραλλάccειν ἐνιαυτὸν ἡμέρας ια' τοῦ ceληνιακοῦ ἐνιαυτοῦ. ὥcτε Ἕλληνες καὶ Ἰουδαῖοι μῆνας τρεῖς ἐμβολίμους ὀκτὼ παρεμβάλλουcιν.

Prov. 1331 Ἐνιαυτὸc Μέτωνος: ἡ ἐννεακαιδεκαετηρίc. Μέτων γὰρ ὁ μαθηματικὸς περίοδον ἐκτιθεὶς χρόνου ἐνέταξε ιθ'.

Δ 1332 Ἐνιαχοῦ: πολλαχοῦ. καὶ Ἐνιαχῆ, ὁμοίως.

Δ 1333 Ἔνίγυος: ὁ ἓν μέλος ἔχων, ὁ κυλός.

1334 Ἐνιδρυνθείς, Ἐνηδρυθεὶc δέ.

Σ 1335 Ἐνίδρυται: ἐγκάθηται.

Δ 1336 Ἐνιαία: ἡ μοναδική.

Σ 1337 Ἐνίεται: ἐμβάλλει.

Δ E 1338 Ἐνίεcαν: ἐνέβαλον. καὶ τοῖc πύργοις πῦρ ἐνίεcαν.

E 1339 Ἐνιζάνει· ὁ δὲ κατ' ἴχνος ἑπόμενος τῷ τυράννῳ καὶ ἐc τὸν Ὀργῶνά ποτε ἐνιζάνει τῷ προκαταλαβεῖν τὰ εὐέφοδά τε καὶ ἱππήλατα τῶν πεδίων.

Δ 1340 Ἐνιζῆcαι· δοτικῇ. καθίcαι.

Δ Σ 1341 Ἐνίει: ἐμβάλλει. καὶ Ἐνιεῖca, ἐμβάλλουca.

Δ 1342 Ἐνιῆνες.

Δ 1343 Ἐνίηcιν: ἐμβάλλει.

1325 cf. H, aliter Ambr. 1123 1326 — ὑπάρχει = Ambr. 1130 cf. sch. Pl. Rep. 382d ἐθέλω sq. Ar. Lys. 543—7 c. sch. 543 cf. H 1327 = Ba 222, 13, Ps. Herodian. 33 1328 = Ambr. 891 1329 l. = Ambr. 1111 1330 Georg. 306, 15—20 1331 cf. Paroem. ed. Gsf. 80, n. 672 1332 cf. Ambr. 1122. Ἐνιαχοῦ = Σ^{a}, Ba 222, 14 1333 — ἔχων = Ambr. 888 1335 = Ba 222, 15 cf. Ambr. 1071 = Zon. 748; H 1336 cf. L 1337 = Ba 222, 17 cf. H 1338 — ἐνέβαλον = Ambr. 1033 καὶ sq. Polyb. fr. 137 1340 — δοτικῇ cf. Synt. Laur. et Gud. καθίcαι = Ambr. 1040 cf. H 1341 — ἐμβάλλει cf. Ambr. 1034 Ἐνιεῖca sq. = Ba 222, 16 1343 = Ambr. 1070 cf. H, Σ^{a}

1325 Z 728 1326 Z 748 1327 Z 737 1329 Z 748 1330 Z 717 1331 cf. v. Μέτων 1332 Z 754 1336 Z 732 1337—41 Z 748 1343 Z 748

A(GITFVM) 3 ἕνι θράcος om. V 9 ἡμερῶν εἶναι om. GIT 10 ἥμιcυ om. propter compendium TF ceληνιακοῦ] κύκλου add. V 11 τνα' AGIT 12 μῆνας om. FVM 16 πολλαχοῦ om. GIT 17 κυλλός ed. pr. 1334 om. AFV post 1335 GIT 18 Ἐνηδρυθείc] Ἐνηδρευθεὶc Kust. 1337—8 inverso ord. 24 Ὀργῶνά ποτε] Ὀργῶν ἀπὸ τοῦ A Ὀργῶνα ποταμὸν Zon. Gsf. ἀγῶνά ποτε ed. pr. ἐνιζάνει] ἐνι V τῷ AGI: τὸ FVM 1342 om. T post 1343 GI

1344 Ἐνίκησε: τὸ ὑπερέβαλεν. Δ
1345 Ἐνικλᾶν: ἐμποδίζειν. Δ
1346 Ἔνικμα· ὅτι τὰ χείλη τῶν ποταμῶν ἄνδηρα λέγουσι διὰ τὸ εἶναι ἔνικμα καὶ διερά. Suid.
1347 Ἐνιλλωπῶ ἢ Ἐνιλλώπω: τὸ τοὺς ὀφθαλμοὺς συστρέφω. Δ
1348 Ἔννιος, Ῥωμαῖος ποιητής· ὃν Αἰλιανὸς ἐπαινεῖν ἄξιόν φησι. Σκιπίωνα γὰρ ᾄδων καὶ ἐπὶ μέγα τὸν ἄνδρα ἐξᾶραι βουλόμενός φησι μόνον ἂν Ὅμηρον ἐπαξίους ἐπαίνους εἰπεῖν Σκιπίωνος. δῆλον δὲ ὡς ἐτεθήπει τοῦ ποιητοῦ τὴν μεγαλόνοιαν καὶ τῶν μέτρων τὸ μεγαλεῖον καὶ ἀξιάγαστον· καὶ ὡς ἐπαινέσαι δεινὸς Ὅμηρός ἐστι καὶ κλέος ἀνδρὸς πυργῶσαί τε καὶ ἄραι, ἐξ ὧν ἐπήνεσε τὸν Ἀχιλλέα, καλῶς ἠπίστατο ὁ ποιητὴς ὁ Μεσσάπιος. E
1349 Ἐνιπή: ἡ διὰ τῶν λόγων ἀτιμία, ἐπίπληξις. Δ
1350 Ἐπισκήφθη: κατηνέχθη. Δ
1351 Ἐνίσπω: ἐπιπλήξω. Δ
1352 Ἐνίστασθαι: εὐτρεπίζεσθαι, παρασκευάζεσθαι. μὴ διαμέλλειν, ἀλλ' ἐνίστασθαι τῷ πολέμῳ, ὡς μὴ προπαθόντες ἀμύνασθαι δέοι ἐπὶ κατειργασμένοις. καὶ αὖθις· ὁ δὲ Τραιανὸς ἐδυσχέραινε καὶ πολὺ πλέον ὥρμητο τῷ πολέμῳ ἐνίστασθαι. E E
1353 Ἐνισχηθέντας: κατασχεθέντας.
1354 Ἐνισχύω· αἰτιατικῇ. Synt.
1355 Ἔνιοι: φανεροί· ἢ οἱ μέν, ἢ τινές. Σ
1356 Ἔνθα: τότε. Σ
1357 Ἔνθα: ἔνθεν τοι.
1358 Ἔνθεν: διὰ τοῦτο. Σ
1359 Ἐν θέρει τὴν χλαῖναν κατατρίβεις: ἐπὶ τῶν μὴ καθ' ὥραν τοῖς ἀναγκαίοις χρωμένων. Prov.
1360 Ἔνθεσις: ὁ ἄκολος, ὁ ψωμός. Ἀριστοφάνης· εἶθε φαύλως, ὥσπερ εὗρες, ἐκβάλοις τὴν ἔνθεσιν. ἐπὶ τῶν παρὰ προσδοκίαν εὐδοκιμησάντων. τὸ δὲ εὗρες, τὸ καμάτῳ καὶ πόνῳ περιγενέσθαι τινός, τῆς τοῦ κάμνοντος γνώμης καὶ προαιρέσεως ἐστὶν ἔλεγχος· τὸ δὲ εὑρεῖν ἁπλῶς τῆς παρασχούσης τύχης, καὶ ⟨οὐ⟩ τῆς τοῦ εὑρόντος Ar.

1344 = Ambr. 1030 1345 = Ambr. 1027, sch. Θ 408 1347 cf. L 1348 Aelian. fr. 116 1349 cf. Et. Gud.; — ἀτιμία = Ambr. 936. ἐπίπληξις = L, H cf. sch. Δ 402, Et. M. 342, 44 1350 aliter Ambr. 1026 1351 cf. Ambr. 1007, sch. X 497, H 1352 vs. 18 ὁ sq. fort. Arr. Parth. p. 31 n. 107 R. 1354 = Synt. Gud. 1355 = Ba 222, 18 cf. H 1356 = Ba 221, 31, sch. A 22, H 1358 = Ba 222, 1 1359 = Zen. III 72 1360 Ar. Eq. 404 c. sch.; ψωμός = H

1344—5 Z 748 1346 ex v. A 2145 1347 Z 748 1348 Z 718 1349 Z 728 1350—1 Z 749 1355 Z 718 1356 Z 754 1358 Z 754 1360 cf. 3675 et v. φαύλως 1

1346 ex mg. AI 5 Ἐνιλλώπω] Ἐνιλλώπτω GT^{ac}FM 16 παρασκευάζεσθαι A(GITFVM) om. V 17 προπαθόντας Bhd. δέοι AI: δέ οἱ rell. 22 ἢ] καὶ M 1357 om. AFV post 1358 GIT 24 Ἔνθα om. GIT 32 καὶ om. sch. ⟨οὐ⟩ ex sch. et 3675 suppl. (Kust.) Bhd.

γνώμης ἔργον. ὡς οὐκ ἐκ προνοίας κατορθώσαντος, ἃ διεπράξατο, ἀλλ' ἁπλῶς εὑρόντος τὸ εὕρεμα.

Σ 1361 Ἔνθεσμον: νόμιμον.

Ar. 1362 Ἔνθου, ῥόφησον: παρὰ τὸ ἐντίθεσθαι τῷ στόματι.

Σ Ecl. E 1363 Ἔνθους: τεθεοφορημένος, ἐνθουσιῶν. συναλοιφὴ δὲ τοῦ ἔνθεος. Ἀππιανός· ὁ δὲ Σκιπίων καὶ τὸ σχῆμα καὶ τὸ βλέμμα διαθεὶς ὥσπερ ἔνθους, ἔφη τὸ δαιμόνιον ἥκειν τὸ σύνηθες αὐτῷ καὶ καλεῖν ἐπὶ τοὺς πολεμίους. τουτέστι θεόληπτος.

Σ 1364 Ἐνθουσιᾷ: ὑπὸ ἐνθέου κατέχεται πνεύματος.

Σ 1365 Ἐνθουσιαζόμενοι: ἐφορμῶντες, ἢ ἐλλαμπόμενοι.

Σ 1366 Ἐνθουσιασμός: ὅταν ἡ ψυχὴ ὅλη ἐλλάμπηται ὑπὸ τοῦ θεοῦ. 1367 Ἐνθουσιώσας· Πισίδης· καὶ τὰς ἀθέσμους ἡδονὰς τοῦ Σαρβάρου ἐνθουσιώσας τῇ πυρώσει τῆς μέθης ἐπεξανῆπτον. ἀντὶ τοῦ ἐξανεγειρούσας, μαινομένας.

Prov. 1368 Ἔνθ' οὔτε μίμνειν ἀνέμους, οὔτ' ἐκπλεῖν ἐᾷ: ἐπὶ τῶν δυσχρήστοις περιπεσόντων τοῦτο λέγεται. φησὶ δὲ αὐτὸ παρ' Αἰσχύλῳ ὁ Φιλοκτήτης.

Harp. 1369 Ἔνθρυπτον: τὸ ἐκ πέμματος, ὅ ἐστι πλακοῦς. ἢ τὸ ἐνθρυβόμενον βρῶμα. ἔνιοι ταῖς τελεταῖς αὐτὸ προσοικειοῦσι. καὶ Ἀπόλλων δὲ παρ' Ἀθηναίοις Ἔνθρυπτος.

Phil. 1370 Ἐνθύμημα: οὕτω λέγονται οἱ ῥητορικοὶ συλλογισμοί· ἐν ἐκείνοις γὰρ διὰ μιᾶς προτάσεως δοκεῖ γίνεσθαι ὁ συλλογισμὸς τῷ τὴν ἑτέραν γνώριμον οὖσαν ὑπὸ τῶν δικαστῶν ἢ τῶν ἀκροατῶν προστίθεσθαι. οἷον, οὗτος ἄξιός ἐστι κολάσεως· προδότης γάρ ἐστι. προστίθηται γὰρ ὁ δικαστὴς ὡς ἐναργὲς τὸ πάντα τὸν προδότην κολάσεως ἄξιον εἶναι. ἐφ' ὧν οὖν μὴ γνώριμόν ἐστι τὸ παραλειπόμενον, οὐκέτι ἐπὶ τούτων οἷόν τε τὸν δι' ἐνθυμήματος γίνεσθαι συλλογισμόν· ὁ γὰρ συλλογισμὸς σύνθεσίν τινα λόγων ἔοικε σημαίνειν.

Σ 1371 Ἐνθυμήσιον: ἄπειρον, ἔννομον.

Σ 1372 Ἐνθυμιζόμενοι: λογιζόμενοι. οὕτως Δίων ἐν ἑπτακαιδεκάτῳ Ῥωμαϊκῶν.

1361 = Ba 222, 2, H 1362 Ar. Eq. 51 c. sch. 1363 — ἐνθουσιῶν = Ba 222, 5 συναλοιφὴ—ἔνθεος = An. Ox. 2, 437, 5 cf. Et. M. 341, 20 ὁ—πολεμίους App. Iber. 26 1364 = Ba 222, 7 cf. Ambr. 1069 1365 = Ba 222, 10 1366 = Σ^{a}, Ba 222, 8, H 1367 καὶ—ἐπεξανῆπτον Pisid. fr. 90. μαινομένας cf. H 1368 — περιπεσόντων = Diogen. IV 88; Aeschyl. fr. 250 1369 Harp. = Et. Gen., Et. M. 341, 23, H 1370 Alex. Aphr. 9, 9—20 1371 = Ba 222, 6, H 1372 = Ba 222, 3; Cass. D. 17, fr. 80b

1361 Z 736 1363 Z 717 1364 Z 749 1366 Z 717 1367 Z 749 1368 Apostol. VII 22 1369—71 Z 736 1372 Z 750

A (GITFVM) 5 τὸ θεοφορημένος A συναλοιφὴ TF (Et.): συναλειφὴ G Ox. συναληφὴ I συναλιφὴ AVM 6 Σκηπίων I^{ac}FM 11 ἐλλάμπεται A Ba 12. 13 βαρβάρου Zon. 13 πηρώσει M ὑπεπεξανῆπτον GIT 15 ἀνέμους omnes, Apost.: ἄνεμος Paroem., Plut. tranq. an. 18, p. 476b, Aristaen. ep. 1, 27 25 τὸν] πάντα add. A 30 Ἐνθυμιαζόμενοι A

1373 Ἐνθύμιον: ἄπορον, σεμνόν. κατὰ νοῦν. καὶ δὴ τὰ πραχθέντα ἔθετο ἐνθύμιον καὶ γενόμενος τῶν Μυρμιδόνων ἐγκρατὴς παραλύει τὸν Ἄκαστον τῆς ἀρχῆς. Σ Thuc. E?

1374 Ἐνθύμιον καὶ Ἐγκατάλειμμα ἐνθυμίου: βραχύ τι μόριον. Thdr.

1375 Ἐνθυμοῦμαι: γενικῆ. μὴ ποτε τῶν κοινῶν βίων ἐνθυμηθείς. καὶ αἰτιατικῇ δέ· εἰ μή τι γε ἄλλο, ἐκεῖνο ἐνθυμούμενος. Synt.

1376 Ἐνθυμιστόν: ὕποπτον. Σ

1377 Ἐν Καρὶ τὸν κίνδυνον: ἐπὶ τῶν μισθοῦ πωλούντων τὰ οἰκεῖα δυσχερῆ. διὰ τὸ τοὺς Κᾶρας πρώτους ἀνθρώπων μισθοῦ στρατεύσασθαι. εἴρηται οὖν ἡ παροιμία ἐπὶ τῶν ἐν ἀλλοτρίοις κινδυνευόντων. Prov.

1378 Ἐν Καρὸς εἵπετο τάξει: ἀντὶ τοῦ ἐμισθοφόρου. ἐπειδὴ πρῶτοι Κᾶρες ἐμισθοφόρησαν. Prov.

1379 Ἓν κηρίον: ἐπὶ πολλῶν ὁμοφωνούντων, ἢ σταδιαστῶν, ἢ συνωμοτῶν. Prov.

1380 Ἐν Κλάρῳ: ὅτι σύνηθες τοῖς παλαιοῖς τὸ λέγειν ἐπὶ μὲν τῶν θεῶν, ὁ ἐν Μελίτῃ, ὁ ἐν Κλάρῳ· ἐπὶ δὲ ἀνθρώπων, ὁ ἐκ Μελίτης, ὁ ἐκ Κλάρου. ὡσαύτως καὶ ἐπὶ πάσης πόλεως καὶ χώρας. Ar.

1381 Ἐν Λίμναις Διονύσιον: τόπος ἐστὶν ἐν Ἀθήναις Λίμναι, ἐν ᾧ ὁ τιμώμενος Διόνυσος. Harp.

1382 Ἐν λόγῳ: ἐν τῇ ὑποθέσει. Ἀριστοφάνης Ὄρνισιν· ἡμεῖς γὰρ ἄνδρες οἱ παρόντες ἐν λόγῳ. Ar.

1383 Ἐν μετεώρῳ ἦν ἡ ναῦς: ἀντὶ τοῦ πελάγιος καὶ μὴ ἐπ' ἀγκυρῶν ἱσταμένη, ἀλλὰ ἀπέχουσα τῆς γῆς. E + Thuc.

1384 Ἐν μύρτου κλαδὶ τὸ ξίφος κρατήσω· ὅ τε Ἁρμόδιος καὶ Ἀρ.στογείτων ἐν μύρτοις ῥίψαντες τὸ ξίφος Ἵππαρχον τὸν τύραννον ἀπέκτειναν. Ar.?

1385 Ἐνόδιον: τὸ ἐπὶ τῆς ὁδοῦ. Ἐνώδιον δὲ τὸ ἐνώτιον· παρὰ τὸ οἰδεῖν τὰ ὦτα. Δ Eol.

1373 — σεμνόν = Ba 222, 12, H κατὰ νοῦν sch. Thuc. 7, 50, 5 καὶ δὴ sq. Nic. Dam. attr. Bhd. cf. v. A 4309 (fr. 55) 1374 Thdr. in Ps. 75, 11, PG 80, 1476b 1375 cf. Synt. Gud. p. 590; — ἐνθυμηθείς = An. Ox. 4, 291, 30; αἰτιατικῇ = Synt. Laur. 1376 = Ba 222, 11 1377 cf. Zen. III 59, cuius init. = Paus. Att. fr. 222 ap. Eust. I. 368, 41; sch. Pl. Lach. 187b 1378 cf. Zen. III 59, Paus. fr. 222; l. Iul. Imp. Or. 2, p. 56c 1379 Philol. Suppl. 6, 262, n. 406 1380 sch. Ar. Ran. 501 (plenius) 1381 Harp. 1382 Ar. Av. 30 c. sch. (non ap. White) 1383 ἀντὶ sq. cf. sch. Thuc. 1, 48, 2 1384 cf. sch. Ar. Lys. 632 1385 — ὁδοῦ = Ambr. 1000 Ἐνώδιον sq. = An. Ox. 2, 433, 11 cf. Orion. ap. Et. M. 345, 4, Ambr. 999

1373—4 Z 736 1376 Z 736 1383 cf. v. μετεώρους. Z 737 1384 cf. vv. A 305 et 2975, v. φορήσω 1 1385 cf. 1404. Z 737

1375 om. FV, extra ord. 5 καὶ—6 ἐνθυμούμενος om. T 8 ante 1377 A (GITFVM) παροιμία· add. A 9 δυσχερῆ GV: δυσχερῶς T cp. rell. 9. 10 στρατεύεσθαι M 12 ἐμισθοφόρει GT cp. I 1380—1 om. T 16 τὸ del. Bhd. 20 Διονύσιος $V^{ac}M^{ac}$ 26 ῥίψαντες] κρύψαντες Meurs. Port. 29 ὦτα] διὰ τοῦ ω μεγάλου add. F cf. Zon.

Σ 1386 Ἐν ὁδῷ ἦσαν: ἐν ἔργῳ, ἐν ἔργοις, ἐν βίῳ, ἐν πίστει.
Prov. 1387 Ἐν ὅλμῳ ἐκοιμήθη: οἱ μὲν ὅλμον φασὶ μαντεῖον, οἱ δὲ τοὺς ἐν ὅλμῳ κοιμηθέντας μαντικοὺς γίνεσθαι. ὅτι καὶ οἱ τρίποδες τοῦ Ἀπόλλωνος ὅλμοι καλοῦνται.
Δ 1388 Ἐνόν: δυνατόν· ἢ ἐνυπάρχον. οἱ δὲ οἷα δήπου θυσίαν
E λιτὴν ἐκ τῶν ἐνόντων καὶ παρόντων προσαχθεῖσαν αὐτοῖς ἐπαινοῦντες.
Synt. 1389 Ἐννοῶ· αἰτιατικῇ.
Δ 1390 Ἐνοπή: πόλεμος, μάχη. Ὅμηρος· Τρῶες μὲν κλαγγῇ ἐνοπῇ
Anth. τ' ἴσαν, ὄρνιθες ὥς. καὶ αὖθις· οἷά περ οὐκ ἐνοπὰς, ἀλλὰ χορῶν ἔναρα, οἷς θάλαμον κοσμεῖτε γαμήλιον.
Δ 1391 Ἔνοπτρον: τὸ κάτοπτρον.
Δ 1392 Ἐνόρσας: ἐμβαλών.
Σ 1393 Ἔνορχα: ἄρσενα.
Δ 1394 Ἔνος: ὁ ἐνιαυτός.
E 1395 Ἐνόσει: ἠρρώστει. ὁ δὲ ἔπραττε κακῶς, καὶ πᾶσα ἡ οἰκία
αὐτῷ ἐνόσει, καὶ τὰ τῆς ἐμπορίας ἐπικερδῆ ἥκιστα αὐτῷ ἦν.
Σ 1396 Ἐννοσίγαιος: ὁ κινῶν τὴν γῆν, σεισμοὺς ποιῶν.
Δ 1397 Ἔνοσις: ἡ κίνησις.
Δ 1398 Ἐνοσίχθων: σείων τὴν γῆν.
Synt. 1399 Ἐνοῦμαι· δοτικῇ.
Soph. 1400 Ἔννους: ὁ συνετός. Σοφοκλῆς· ἔννους τὰ καινὰ τοῖς πάλαι τεκμαίρεται. ἔννους ἀνὴρ διὰ τῶν φθασάντων τὰ παρόντα γινώσκει.
εἰ γὰρ ὁ ὑπὸ Ἀπόλλωνος δοθεὶς χρησμὸς ἠκύρωται, δηλονότι καὶ τὰ
E νῦν, ἃ ἐμαντεύσατο ὁ Τειρεσίας. καὶ αὖθις· ταῦτα δράσας ὕστερον ἔννους ἐγένετο, καὶ ἐσωφρόνησεν.

1386 praeter ἐν ἔργῳ = An. Ox. 2, 441, 18, H (alioqui interpol.); l. = Σ[A] 1387 cf. Zen. III 63 ex Aristoph. Byz. (p. 239 Nauck), H, Paus. Att. fr. 167 ap. Eust. I. 836, 42; Et. M. 344, 38 = Et. Gen. 1388 — ἐνυπάρχον = H; — δυνατόν = Ambr. 975; ἐνυπάρχον cf. Ambr. 976 οἱ sq. Aelian. fr. 254 1389 = Synt. Gud., An. Ox. 4, 292, 4 1390 μάχη = Ambr. 943; Γ5 οἷά sq. Anth. 6, 163, 6—7 1391 cf. H, aliter Ambr. 978 1392 = Ambr. 1043, H (in O 62) 1393 = Ba 222, 24 cf. Ambr. 979 1394 = Ambr. 874, Et. M. 432, 3 cf. Ps. Herodian. 33 1395 ὁ sq. Aelian. fr. 71 1396 = Σ[A], Ba 222, 25 cf. H = sch. H 455, Et. M. 344, 45, Et. Gen. 1397 = Ambr. 939, Ps. Herodian. 34, H, Ap. S. 64, 10; 68, 21 cf. Et. M. 344, 44 = Et. Gen. 1398 = H cf. sch. α 74 1399 = Synt. Gud. et Laur., An. Ox. 4, 292, 7 1400 — Τειρεσίας Soph. OT 916 c. sch. ταῦτα sq. fort. Aelian.

1386 Z 729 1387 cf. v. ὅλμος 1388 cf. 1675. Z 737 1390 Z 729. Anth. cf. 1124 1391 Z 737 1392 Z 750 1393 Z 718 = 738 1395 cf. 2858 et v. πράττω 1396 Z 718 1397 cf. v. Εἰ 162. Z 729 1400 Z 718

A(GITFVM) 1 ἐν ἔργοις om. F Zon. 6 ἐνόντων] ἔντων A 9 ἐνωπὰς AGI; κατὰ πρόσωπον mg. add. IM χορῶν FVM: χωρῶν GIT χαρῶν A 16 αὐτῷ pr. AGIT, v. l. v. πράττω: αὐτοῦ FVM αὐτῷ alt. om. FV 17 Ἐνοσίγαιος GFV κιρνῶν A 21 ἔννους alt.—25 ἐσωφρόνησεν om. T; ἔννους—24 Τειρεσίας post 25 ἐσωφρόνησεν praemisso καὶ αὖθις (vs. 24) omnes, transpos. Kust. 23 εἰ γὰρ] ὁ γὰρ FVM ὑπὸ] ἀπὸ AV ἠκύρωται in ἠκύρασται corr. A 24 δράσας] γράψας GI

1401 Ἐνοφθαλμισμῶν: θεαμάτων. Σ

1402 Ἐνοχλῶ σοι. δοτική. ἔστι δὲ καὶ αἰτιατική. ὁ δὲ ὠκυτάτοις ἵπποις αὐτὸν ἠνώχλει καὶ ὑπέφευγεν. Δ Synt.

1403 Ἔνοχος: ὑπαίτιος. Τίμαιος κατὰ τοῦ Ἐφόρου πεποίηται καταδρομήν, αὐτὸς ὢν δυσὶν ἁμαρτήμασιν ἔνοχος, τῷ μὲν ὅτι πικρῶς κατηγορεῖ τῶν πέλας ἐπὶ τούτοις οἷς αὐτὸς ἔνοχός ἐστι, τῷ δὲ ὅτι καθόλου διέφθαρται τῇ ψυχῇ, τοιαύτας ἀποφάσεις ἐντιθέμενος τοῖς ὑπομνήμασι. EV

1404 Ἐνῴδιον: τὸ ἐνώτιον. παρὰ τὸ οἰδεῖν τὰ ὦτα. Ecl.

1405 Ἐνώμα: ἐκίνει. Δ

1406 Ἐνωμόρξατο: ἀπεμάξατο, ἀπεψήσατο. Σ

1407 Ἐνωμοτάρχης: τάξεώς τινος στρατιωτικῆς ἄρχων παρὰ Λακεδαιμονίοις. Σ

1408 Ἐνωμοτία: τάξις τις στρατιωτικὴ ἀνδρῶν ε′ καὶ κ′ παρὰ Λακεδαιμονίοις. εἴρηται δὲ ἀπὸ τοῦ ὀμνύναι αὐτοὺς μὴ λείψειν τὴν τάξιν. οἱ δὲ ἐνωμοτίαν τὸ ἥμισυ τοῦ λόχου· τὸ αὐτὸ δὲ καὶ δεκανία· οἱ δὲ τὸ τέταρτον τοῦ λόχου ἐνωμοτίαν φασί. καὶ Ἐνωμοτάρχης, ὁ αὐτῆς ἄρχων. Σ Tact.

1409 Ἐνωμοτία: ἡ ἀνταρσία. Δ

1410 Ἐνώμοτος: ἔνοχος τοῖς ὅρκοις, βέβαιος. καὶ ὁ ἀντάρτης. Σ|

1411 Ἐνωμότως: ἐπιρρηματικῶς ὁμοίως. Δ

1412 Ἐνών: ἐνυπάρχων. παρήγγειλε μὴ ἄρα πού τις ἀπὸ τῆς ἄλλης στρατείας ἐνὼν ἐπηρεάζοι αὐτοῖς. E

1413 Ἐνωπή: ἡ πρόσοψις. Δ

1414 Ἐνώπια: εὐθέα. Σ

1415 Ἐνώπιον καὶ Ἐνώπιος καὶ Ἐνωπίως: ἔμπροσθεν. Δ

1416 Ἐνωρμίσθη: προσωρμίσθη. Σ

1417 Ἐννώσας: παρὰ Ἡροδότῳ ἀντὶ τοῦ διανοηθείς. Hdt.

1401 = Ba 222, 27 1402 Ἐνοχλῶ = Ambr. 1091 δοτικὴ—αἰτιατικὴ cf. Vind. 37, Synt. Gud., Bk. 135, 26; δοτικὴ cf. Synt. Laur. ὁ sq. fort. Cass. D. 1403 Τίμαιος sq. Polyb. 12, 23, 1—2 = EV 2, 133, 1—5 1404 cf. ad 1385 1405 = Ambr. 1044, sch. Γ 218, H, Et. M. 345, 14 1406 = Ba 222, 22 1407 = Ba 223, 8, Lex. rhet. ap. Et. Gen. et Et. M. 345, 12 1408 — τάξιν praeter ἀνδρῶν—κ′ = Et. Gen., Et. M. 345, 10; εἴρηται—τάξιν = Tim. οἱ sq. Tact. 4 1409 aliter Ambr. 973 1410 — βέβαιος = Ba 221, 10, Et. Gen., Lex. rhet. ap. Et. M. 345, 8; — ὅρκοις = Ambr. 896 cf. H 1411 l. = Ambr. 1120 1413 = Ambr. 942 cf. Ap. S. 69, 29, H 1414 cf. Σ[a], Ba 223, 7, H 1415 Ἐνώπιον = Ambr. 1002 cf. 1119a. Ἐνωπίως sq. cf. Ambr. 1119a b 1416 = Ba 223, 10 1417 Gl. Hdt. 1, 68

1401 Z 718 1402 Z 750 1403 cf. v. Τίμαιος 1404 cf. 1385 1407 Z 720 1408 Tact. cf. post litt. Ψ. Z 720 et 732 1409 Z 732 1410 Z 720 1412 Z 752 1413 Z 732 1414 Z 740 1415 Z 720 et 754 1416—7 Z 752

2 δοτικὴ—3 ὑπέφευγεν om. FV 1404 om. GIT 14 Ἐνωμοτία—Λακεδαιμονίοις om. A 16 τὸ pr.] φασὶ τὸ V cf. vs. 17 τὸ pr.—17 ἐνωμοτίαν om. A 16 δὲ alt. om. I 16. 17 δεκανίαν GIT 19 ἀνταρσία A 28 ἀντὶ τοῦ om. FVM A (GITFVM)

1418 Ἕνωσις: διεστώτων πραγμάτων κοινωνικὴ συνδρομή. κατὰ δέκα δὲ τρόπους εἴρηται παρὰ τῇ θείᾳ γραφῇ. ἕνωσις δὲ εἴρηται διὰ τὸ εἰς ἓν συνωθεῖσθαι τὰ πράγματα. γίνεται δὲ κατὰ δέκα τρόπους. κατ' οὐσίαν, ὡς ἐπὶ τῶν ὑποστάσεων, τουτέστι τῶν ἀτόμων. καθ' ὑπόστασιν, ὡς ἐπὶ ψυχῆς καὶ σώματος. κατὰ σχέσιν, ὡς ἐπὶ τῶν γνωμῶν, ὡς εἰς ἓν θέλημα. κατὰ παράθεσιν, ὡς ἐπὶ τῶν σανίδων. κατὰ ἁρμονίαν, ὡς ἐπὶ τῶν λίθων. κατὰ κρᾶσιν, ὡς ἐπὶ τῶν ὑγρῶν, οἴνου καὶ ὕδατος. κατὰ φύρσιν, ὡς ἐπὶ τῶν ξηρῶν καὶ ὑγρῶν, ἀλεύρου καὶ ὕδατος. κατὰ σύγχυσιν, ὡς ἐπὶ τῶν τηκτῶν, κηροῦ καὶ πίσσης. κατὰ σωρείαν, ὡς ἐπὶ τῶν ξηρῶν, σίτου καὶ κριθῆς. κατὰ συναλοιφήν, ὡς ἐπὶ τῶν ἀποσπωμένων καὶ αὖθις ἀποκαθισταμένων, οἷον λαμπάδος πυρὸς προερχομένης, καὶ πάλιν ἀποκαθισταμένης.

Δ 1419 Ἐνώτια: κόσμος περὶ τὰ ὦτα. ὁ δὲ ἐνωτίοις ἐκ μαργάρων
Ε κεκοσμημένοις δωρεῖται αὐτῷ.

Δ 1420 Ἐνωτίζῳ· αἰτιατικῇ. τὸ ἀκούω. καὶ Ἐνώτισαι, ἄκουσον,
Thdr. εἶσω τῶν ὤτων γενέσθαι ποίησον. Ἐνώτισε δὲ τὰ νῶτα περι-
Δ εσκέπασεν.

Prov. 1421 Ἐν παντὶ μύθῳ καὶ τὸ Δαιδάλου μύσος· Πασιφάην φασὶν ἐρασθεῖσαν ταύρου Δαίδαλον ἱκετεῦσαι ποιῆσαι ξυλίνην βοῦν καὶ κατασκευάσαντα αὐτὴν ἐνθεῖναι· ἣν ἐπιβαίνων ὡς βοῦν ὁ ταῦρος ἐγκύμονα ἐποίησεν. ἐξ ἧς ἐγεννήθη ὁ Μινώταυρος. Μίνως δὲ διά τινας αἰτίας ὀργιζόμενος τοῖς Ἀθηναίοις ἑπτὰ παρθένους καὶ ἴσους νέους ἐξ αὐτῶν ἐδασμολογεῖτο· οἳ παρεβάλλοντο τῷ θηρίῳ. εἰς Δαίδαλον οὖν ἀρχηγὸν τούτων τῶν κακῶν καὶ αἴτιον γενόμενον καὶ μυσαχθέντα ἐξηνέχθη εἰς παροιμίαν.

Σ 1422 Ἐν παραβύστῳ: ἐν μυστηρίῳ. ἠράσθη αὐτοῦ τὰ μὲν πρῶτα
Ε ἐν παραβύστῳ, τελευτῶσα δὲ καὶ οἰκετῶν παρόντων. Ἐν παρα-
Ε βύστῳ, ἐν ἀποκρύφῳ. Προκόπιος· ὕβριζον ἐς αὐτὸν οὐ σιγῇ οὐδὲ ἐν παραβύστῳ, ἀλλ' ἐς ὄψιν.

Σ 1423 Ἐν παρενθήκης μέρει: ἐν περισσείας μέρει.

Ar. 1424 Ἐν παιδοτρίβου: εἰς τὸν τόπον, ὅπου γυμνάζονται καὶ διατρίβουσιν οἱ παῖδες. Ἀριστοφάνης Νεφέλαις· ἐν παιδοτρίβου δὲ βαδί-

1418 cf. Zon. 731 (partim hinc); vs. 3 γίνεται sq. cf. Io. Dam. PG 94, 661 b
1419 — ὦτα cf. Ambr. 999 ὁ sq. Nicephor. 16, 6—7 1420 Ἐνωτίζω = Ambr. 1101 αἰτιατικῇ = An. Ox. 4, 292, 7, Synt. Gud. Ἐνώτισαι—ποίησον Thdr. in Ps. 5, 2, PG 80, 896 c; Ἐνώτισαι, ἄκουσον = Ambr. 1051 Ἐνώτισε sq. = H, Ambr. 1049 1421 cf. Paroem. ed. Gsf. 40, n. 378, Zen. IV 6
1422 — μυστηρίῳ = Ba 222, 28. H ἠράσθη—παρόντων Proc. h. a. 1, 17 vs. 27 Ἐν—28 ἀποκρύφῳ cf. H ὕβριζον sq. Proc. Bell. 1, 18, 24
1423 = Ba 222, 29 1424 Ar. Nu. 973 c. sch.

1418 Z 731—2 1420 Z 752 1422 cf. 671 1423 Z 729

A(GITFVM) 4 ὡς om. GI ὡς—5 ὑπόστασιν om. M 5 τῶν om. V 6 εἰς om. FVM 10 συναλιφήν AVM συναλειφήν I 14 αὐτῷ] αὐτόν ed. pr. 16 τὰ νῶτα] τὰ ὦτα ἀντὶ τοῦ F 21 ἧς] ἀρχῆς V 23 εἰς Δ. οὖν] ὡς οὖν Δ. Bhd. 24 καὶ pr. om. AGIT 25 ἡ παροιμία F 27 τελευτῶσα—29 ὄψιν om. T 27. 28 Ἐν παραβύστῳ] nov. gl. GIF 31 ἐν παιδοτρίβων V

ζοντας τὸν μηρὸν ἔδει προβαλέσθαι. τουτέστιν εὐκόσμως καθεσθῆναι ὡς μηδὲν τοῖς περιεστῶσιν ὑποδεῖξαι ἄκοσμον.

1425 Ἐν πέντε κριτῶν γόναςι: παρ' ὅσον τὸ παλαιὸν ε' κριταὶ ἔκρινον τοὺς κωμικούς, ὡς φησὶν Ἐπίχαρμος. σύγκειται δὲ παρ' Ὁμήρῳ, θεῶν ἐν γούναςι κεῖται. ἐπειδὴ οἱ κριταὶ ἐν τοῖς γόναςιν εἶχον, ἃ νῦν εἰς γραμματεῖα ἐγγράφεται. Prov.

1426 Ἐν πίθῳ τὴν κεραμίαν μανθάνειν: παροιμία ἐπὶ τῶν τὰς πρώτας μὲν μαθήςεις ὑπερβαινόντων, ἁπτομένων δὲ τῶν μειζόνων. τουτέστι τῶν παριέντων τὰς πρώτας μαθήςεις καὶ ἐφιεμένων τῶν τελευταίων. Prov.

1427 Ἐν προςχήματι: ἐν ὑποκρίςει. Σ

1428 Ἐν Πυθίῳ κρεῖττον ἦν ἀποπατῆςαι: οἷον κινδυνεῦςαι. καταφρονούντων γάρ τινων Ἀπόλλωνος καὶ ἐν τῷ τεμένει αὐτοῦ ἀποπατούντων Πειςίστρατος ἔγραψε νόμον, τὸν ἁλόντα ἐπὶ τούτῳ θνήςκειν. καταγελώντων δὲ τοῦ γράμματος καὶ πλειόνων μᾶλλον τοῦτο ποιούντων ἔςτηςε φύλακας. ληφθέντος δέ τινος ἐκέλευςε δήςαντας αὐτὸν παρὰ τὴν ὁδὸν μαστιγοῦν, κηρύςςοντας· ὃδ' ἀνὴρ κολαςθεὶς ἀποθανεῖται, ὅτι ὀλιγωρεῖ τοῦ γράμματος. κτανθέντος δέ, οὕτω ἐνέδυ τὸ γενόμενον τοῖς Ἀθηναίοις, ὥςτε ἔτι νῦν τοὺς κακοπαθοῦντας ἢ τιμωρίαις ἐνεχομένους διά τινα αὐτῶν πλημμέλειαν ἐπιλέγειν· ἐν Πυθίῳ κρεῖττον ἦν αὐτὸν ἀποπατῆςαι. Prov.

1429 Ἐν πυρὶ βέβηκας: τοῦτο ἐπιλέγειν χρὴ τοῖς ἐν ἐπιςφαλέςι καὶ ἐπικινδύνοις πράγμαςιν ἐμφιλοχωρεῖν ἐθέλουςι. καὶ ὅτι χρὴ τὸν ἐν πυρὶ ταχέως ἐκβαίνειν. Prov.

1430 Ἐνράςςει: ὁρμητικῶς ἐφορμᾷ. Ἰώςηπος· ὁ δὲ Σαμψὼν ἐνράςςει ταῖς πύλαις αὐταῖς καὶ φλιαῖς καὶ μοχλοῖς, ὅςη τε ἄλλη περὶ αὐταῖς ἦν ξύλωςις. E

1431 Ἐνςείει τὴν ἵππον αὐτοῖς: ἀντὶ τοῦ ἐπιτίθηςιν. ἐπάρας ἐνςείει τὴν ἵππον αὐτοῖς ἀθρόαν. E

1432 Ἐνςειςθείς: ἐντιναχθείς. ὁ δὲ Σαμψὼν ἐνςειςθεὶς τοῖς κίοςιν ἐπικαταβάλλει τὸν οἶκον. Σ + E

1433 Ἐνςημαινόμενος: ἀντὶ τοῦ ἐνδεικνύμενος, καὶ ἐμφαίνων. Harp.

1434 Ἐν Σιναΐ: Ἑβραϊκόν. Δ

1435 Ἐνςκειραμένη: ἐκλελεγκυῖα, λελιθωμένη, ςεςαρκωμένη. Σ

1425 = Zen. III 64; Epicharm. fr. 229; P 514 1426 cf. Zen. III 65, sch. Pl. Lach. 187 b, H 1427 = Ba 222, 30, H 1428 cf. Paroem. ed. Gsf. 46, n. 407 1429 cf. Paroem. ed. Gsf. 47, n. 415, Philol. Suppl. 6, 262, n. 405 1430 ὁ sq. Ios. Ant. 5, 305 1432 — ἐντιναχθείς cf. Bk. 95, 6. ὁ sq. Ios. Ant. 5, 316 1433 Harp. 1434 l. = Ambr. 875 1435 = Ba 223, 1, Σ^a

1425 cf. v. ὄμνυμι 1430 cf. v. K 1112. Z 750 1431 Z 750 1432 cf. v. ῥόθιον 2. Z 750 1433 Z 750 1434 Z 738

1 προβάλλεςθαι FVM 18 οὕτως T Bhd. 20 cυνεχομένους V A (GITFVM) 25. 26 ἐράςςει AF 28 et 29 Ἐνςείη A 34 Ἐνςκηραμένη A^{ac} Σ^a ἐκλεληκυῖα FVM Ba (Σ^a): ἐκλελυκυῖα A ἐκλελακυῖα GIT

Σ 1436 Ἐνσκειρωθείς: ἐμπαγείς· σκείρωμα γὰρ τὸ ἀνίατον πάθος.
Synt. 1437 Ἐνσκήπτω· δοτικῇ.
Prov. 1438 Ἐν σκότῳ ὀρχεῖσθαι: ἐπὶ τῶν ἀμάρτυρα μοχθούντων, ὧν τὸ ἔργον ἀφανές.
Σ 1439 Ἔνσπονδος: ὁ ἀπὸ πολέμου γινόμενος φίλος. Ἀππιανός·
E Λατῖνοι ἔνσπονδοι Ῥωμαίοις ὄντες ἐστράτευον ἐπ' αὐτούς. καὶ
E αὖθις· ὡς παλαιὸν δή τι νόμιμον καὶ ἔνσπονδον ἐκλείποντι ἐπικαλῶν.
Δ 1440 Ἔνστασις. κατὰ τὴν ἐξ ἀρχῆς αἱρεθεῖσαν ἔνστασιν τῆς ζωῆς. τουτέστιν καὶ πᾶσαν ἔνστασιν θάμνου καὶ πᾶσαν πέτρας προσβολὴν διερευνησάμενοι. ἔνστασιν οὖν τὴν συνηρεφῆ ἔκφυσιν καὶ πυκνὴν τῶν θάμνων λέγει.
Soph. 1441 Ἐνστάτης: ὁ κατὰ πάντα ἐνιστάμενος, ἰδικῶς δὲ ἐπὶ τῆς κρίσεως, οἷον ἀντίδικος· κυρίως δὲ ἐνστάτης λέγεται, ὁ ἐν τῇ ὁδῷ ἀντιστήκων τινί, ὡς εἰ λέγοι τις τὸν Οἰδίποδα τοῦ Λαΐου ἐνστάτην γεγε-
E νημένον. καὶ Αἰλιανὸς ἐν τῷ Περὶ θείων ἐναργειῶν φησί· κατά
τινα χρησμὸν βουληθεὶς ἱλεώσασθαι τὸν τῷ οἴκῳ αὐτῷ γεγενημένον ἐνστάτην δαίμονα. καὶ αὖθις· πικρότατος αὐτοῖς ἐνστάτης ἦν.
1442 Ἐνστατικός· ὁ δὲ Ἰσίδωρος ἐνστατικὸς ὢν ἀήττητος ἔμενεν. ἀντὶ τοῦ ἔνστασιν πρός τινα ποιούμενος.
Σ 1443 Ἐνστερνισάμενος: περιπτυξάμενος.
E 1444 Ἐνστομισμάτων· ἔπρασσε δὲ ταῦτα ὁ βασιλεὺς χρῄζων ἐνστομισμάτων τῇ ἀρετῇ τῶν Ἰουδαίων ἀδελφῶν εἰς φιλίας κτήσασθαι.
Δ 1445 Ἐνστροβιλήσας: ἀντὶ τοῦ συντρίψας.
Σ 1446 Ἐντακείς: ἐμφυείς.
Δ 1447 Ἔντασις: ἡ ἐπίτασις. καθ' ὅσον ἡ τοῦ βίου ἔντασις ἐπεδέχετο κυνικωτέρα προελθοῦσα καὶ φύσει καὶ ἐπιτηδεύσει.
Tact. 1448 Ἔνταξίς ἐστιν, ἐπειδάν τις προαιρῆται τοὺς ψιλοὺς εἰς τὰ διαστήματα τῆς φάλαγγος ἐντάσσειν, ἄνδρα παρ' ἄνδρα. ἔνιοι δὲ τοῦτο καὶ παρένταξιν ὀνομάζουσιν.
Synt. 1449 Ἐνταφιάζω· αἰτιατικῇ.

1436 cf. H = Et. M. 344, 30 1437 = Synt. Gud. et Laur. 1438 = Zen. III 71 1439 — φίλος = Ba 223, 3 cf. sch. Thuc. 1, 31, 2 Λατῖνοι—αὐτούς App. Bas. fr. 13 ὡς sq. fort. Aelian. 1440 κατὰ—ζωῆς Dam. fr. 29 vs. 9 καὶ—11 διερευνησάμενοι fort. Metaphr. 1441 — γεγενημένον sch. Soph. Ai. 104 vs. 15 κατά—17 δαίμονα Aelian. fr. 23. πικρότατος sq. Aelian. fr. 248 1442 ὁ—ἔμενεν Dam. fr. 29 1443 = Ba 220, 26, H 1444 Ios. Ant. 18, 330 1445 cf. H 1446 = Ba 220, 27, H 1447 καθ' ὅσον sq. Dam. fr. 88 1448 Tact. 46 1449 = Synt. Gud. et Laur.

1439 App. cf. v. πάρεσις. Z 718 1441—2 Z 718 1443 cf. Z 750 1444 Z 738 1445 Z 750 1446 Z 751 1447 Z 729 1448 cf. post litt. Ψ. Z 729

A(GITFVM) 1 ἐνπαγείς A 3 ὀχεῖσθαι V 5 ὁ om. GI γενόμενος GIT 7 ἐπικαλῶν FV: ἐπὶ καλῶν rell. 8 εὑρεθεῖσαν VM 9 τουτέστιν om. T; post voc. lac. in M καὶ—11 λέγει om. TFV 10 οὖν om. M 12 ἐπὶ] καὶ ἐπὶ M 16 αὐτῷ] αὐτοῦ V cp. F 17 δαίμοναν A ἦν] ὧν A γρ. ἦν A^{ms} 1444 om. I 21 Ἐνστομισθέντων· ἔπραξε V 22 φιλίαν F Ios. 27 προαιρῆται TVM, post litt. Ψ: προαιρεῖται AGIF, Zon., Coisl. 347

1450 Ἔντεα: οὐ πάντα τὰ ὅπλα, ἀλλ' ἀσπὶς καὶ περικεφαλαία· τὰ δὲ δόρατα κατ' ἐπικράτειαν. Hom.

1451 Ἐντεθηλόντων: θαλλόντων. Σ

1452 Ἐντεθρίωται: ἐνεσκεύασται. ἀπὸ τῶν θρίων. ἢ τὸ ἐντετυλίχθαι λέγεται ἐντεθριῶσθαι ἀπὸ τοῦ σκευάσματος, ὃ ἐν τοῖς φύλλοις τῆς συκῆς εἵλεῖται, ἃ λέγεται θρία. Ar.

1453 Ἐντελέστερον: τελειότερον. Δ

1454 Ἐντελέχεια: ἡ τελειότης καὶ τὸ εἶδος τοῦ ὑποκειμένου· τουτέστι, τὸ εἶδος τὸ ἐπιγινόμενον ἐκ τῆς τοιᾶσδε συνθέσεως τῶν στοιχείων τῇ ὕλῃ· ἤτοι τὸ ἀχώριστον εἶδος τοῦ σώματος. καὶ γὰρ ἐντελέχειά ἐστι τὸ εἶδος καὶ ἡ τελειότης τοῦ σώματος. λέγεται δὲ ἐντελέχεια τὸ κεχωρισμένον τοῦ σώματος, ὡς ὁ πλωτὴρ τοῦ πλοίου. ἥτις ἐντελέχεια ἔξωθέν τε οὖσα τάττει καὶ διακοσμεῖ καὶ τελειοῖ τὸ ὑποκείμενον. ὅταν οὖν ἐντελέχειαν λέγῃ τὴν ἄλογον καὶ φυσικὴν ψυχήν, τὸ ἀχώριστον εἶδος τῆς ἐντελεχείας λέγει· ὅταν δὲ τὴν λογικὴν ψυχὴν ἐντελέχειαν λέγῃ, τὸ κεχωρισμένον. ὅτι ἐντελέχειά ἐστι τὸ εἶδος παρὰ τὸ ἓν καὶ τὸ τέλειον καὶ τὸ συνέχον. καὶ γὰρ ἑνώσεώς ἐστι τῇ ὕλῃ τὸ εἶδος αἴτιον καὶ τελειώσεως· ἐπεὶ καὶ τελειότης ἐστὶ τοῦ ὑποκειμένου καὶ συνέχει αὐτό. ἀπὸ γὰρ τῆς οἰκείας ἐντελεχείας μάλιστα ἕκαστον, ὅ ἐστι, καὶ κατ' ἐκεῖνο λέγεται· ἐπεὶ καὶ ὁ ἀνδριὰς αὐτὸ τοῦτο ἀνδριὰς λέγεται καὶ οὐ χαλκός. ἐντελέχειαν λέγει ὁ Πορφύριος τὴν ψυχήν, ὁ κατὰ Χριστιανῶν γράψας Τύριος φιλόσοφος. Phil.

1455 Ἐν τέλει: ἐν ἀρχῇ. Σ

1456 Ἐντελεῖς: οἱ ἄρχοντες, καὶ οἱ ἄρξαντες. πανοπλίας ἐντελεῖς κατασκευάσαντες. τουτέστιν ἀρχοντικάς. Σ
Ἀππιανός· ναυμαχίας δὲ γενομένης καὶ βοῆς παμμιγοῦς ὡς ἐν τῷδε λοιπὸν Καρχηδονίοις τῆς σωτηρίας οὔσης, Ῥωμαίοις δὲ τῆς νίκης ἐντελοῦς. E E

1457 Ἐντελής: ὅστις οἴεται ἄνευ φύσεως ἐντελὴς ἔσεσθαι, ἀτελὴς καὶ ἀπέραντος τόσῳ μᾶλλον, ὅσῳ πλείονα ἕξιν ἔχει, διατελέσει. ἀντὶ τοῦ τέλειος. ἐντελῆ στρατόπεδα ἑκάθητο δύο Ῥωμαϊκά. E

1458 Ἐντέλλομαι· δοτικῇ. Synt.

1459 Ἐντελόμισθος. ὁ δὲ ἔπλεε νηῒ οἰκείᾳ ναύτας ἔχων ἐντελομίσθους, οἴκοθεν Κρῆτας. τουτέστιν ἐντελῶς μεμισθωμένους. Δ E

1450 = sch. A (Aristonic.) in K 75 1451 = Ba 220, 28 cf. H 1452 sch. Ar. Lys. 664 1453 cf. H 1454 — vs. 16 κεχωρισμένον cf. Philop. 204, 15—34. vs. 16 ἐντελέχειά—19 αὐτό Philop. 208, 37—209, 3. ἀνδριὰς cf. Philop. 211, 22 1455 = Ba 220, 29 cf. H 1456 — ἄρξαντες Tim. ἀρχοντικάς cf. H v. ἐντέλειαι ναυμαχίας sq. App. Pun. 122 1457 ὅστις—διατελέσει Artem. 1, 12 τέλειος cf. H v. ἐντελῶς ἐντελῆ sq. Polyb. 8, 1, 4 1458 = Synt. Gud. et Laur., An. Ox. 4, 291, 31

1450 Z 738 1452 cf. v. Δ 453. Z 751 1453 Z 738 1454 cf. v. Πορφύριος. Z 730 1455 cf. Z 740 1456—7 Z 719 1459 Z 719

3 Ἐντεθηλότων Ba 4 θρίων] θηρίων FVM 6 θηρία F 13 τε condemnat Bhd. lac. statuit Dr. 20 καὶ pr. ex GIT ἐπεὶ] ἐπεὶ οὖν F ὁ] ἡ VM 28 ἔσεσθαι] καὶ add. GITFVM 33 μεμισθωμένος A A (GITFVM)

Δ 1460 Ἐντεριώνη: ὁ φλοιὸς τοῦ δένδρου.
Ecl. 1461 Ἔντερον: ἕτερον, καὶ οὐχ ὅμοιον. ἢ παρὰ τὸ ἐντὸς ῥεῖν.
Ar. 1462 Ἐντερόνεια· τὰ ἐγκοίλια, τὰ ἀπὸ τῆς τρόπιδος ἀνερχόμενα ξύλα, ἐντερόνεια καλεῖται· οἱ δὲ τὸ τῶν νεῶν ἔδαφος· οἱ δὲ τὰ ἐγκοίλια. βέλτιον δὲ τὴν τῶν ἐγκοιλίων ὕλην λέγειν. Ἡρωδιανὸς cυστέλλει καὶ προπαροξύνει. οὗ δὲ τὴν ἐντεριώνην Ἀριστοφάνης φησίν, ὅπερ ἐστὶ τὸ μεσαίτατον τῆς νεώς· ὅ ἐστι cυνεκτικώτατον, ἥτις ἐστὶ τρόπις. καλεῖται δὲ καὶ μήτρα. φησὶ δὲ ὁ κωμικός, ὅτι εἰς τὰς τριήρεις ἡ θεὸς ἐντερόνειαν ἔπεμψεν.
Ar. 1463 Ἐντετευτλανωμένης: μετὰ τεύτλων ἑψηθείσης· μετὰ γὰρ τεύτλων ἥδιον τὰς ἐγχέλυς. λέγονται γὰρ τεύτλοις cυνεψόμεναι ἥδισται εἶναι. Ἀριστοφάνης· μηδὲ γὰρ θανών ποτε coῦ χωρισθείην ἐντετευτλανωμένης.
Σ 1464 Ἐντέτηκεν: ἐγκεκόλληται, πέπηγεν. τούτοις ἀντ' ἀληθοῦς ψευδὴς ἐντέτηκε δόξα.
Δ 1465 Ἐντέτικε.
Ar. 1466 Ἐντετριμμένη: ἀντὶ τοῦ cμηχθεῖca. ἢ εἰδυῖα. ὅπως ἐντετριμμένη κανηφορῇς. τὰ κανίσκια ἔχουca. πολλοὺς δὴ θυλάκους κάτω στρέψαca ἐμούς. ἀντὶ τοῦ κλέψαca.
Σ 1467 Ἐντεῦθεν: ἐκ τούτου.
Σ 1468 Ἔντευξις: ἐντυχία. φησὶν ὁ Ἀριστοτέλης, ὡς ἔστιν ἡ διαPhil. λεκτικὴ φιλοσοφία πρὸς γυμνασίαν, καὶ πρὸς τὰς κατὰ φιλοσοφίαν ἐντεύξεις. περὶ γυμνασίας προεγράφη ἐν τῷ γ στοιχείῳ· ἐνταῦθα δὲ περὶ ἐντεύξεως. ἐντεύξεις λέγει τὰς πρὸς τοὺς πολλοὺς cυνουcίας, οἷς δεῖ μὲν ἐντυγχάνειν κοινωνικούς τε ὄντας καὶ φιλανθρώπους, καὶ ἐντυγχάνειν ὠφελίμως. διὰ μὲν οὖν ἀληθῶν καὶ ἀποδεικτικῶν οὐχ οἷόν τε κοινολογεῖcθαι πρὸς αὐτούς· οὐδὲ γὰρ τὴν ἀρχὴν τῶν τοιούτων cυνιέναι δύνανται· ἀλλ' οὐδὲ μανθάνειν ὑπομένουci. διὸ οὐδὲ ὠφελεῖcθαι δύναιντ' ἂν διά τινος τῶν τοιούτων, ὧν γε τὴν ἀρχὴν μηδὲ cυνιέναι δύνανται. εἰ δὲ διὰ τῶν ἐνδόξων τε καὶ δοκούντων καὶ αὐτοῖς ἐκείνοις τὰς πρὸς αὐτοὺς cυνουcίας ποιούμεθα, παρακολουθοῖέν τε ἂν τοῖς λεγομένοις καὶ ῥᾳδίως μεταβιβάζοιντο διὰ τῶν τοιούτων λόγων, εἴ τι μὴ εἶεν ὀρθῶς τιθέμενοι. τῷ γὰρ τὴν ἡδονὴν ἀγαθὸν

1460 = Ambr. 937, Et. Gud. 1461 = An. Ox. 2, 436, 20 cf. Et. M. 344, 32, Et. Gud. 1462 sch. Ar. Eq. 1185 cf. H 1463 Ar. Ach. 893—4 c. sch. 1464 — πέπηγεν = Ba 220, 30, sch. Pl. Menex. 245 d cf. H τούτοις sq. Iul. Or. 7, 206 c 1466 Ar. Eccl. 732—3 c. sch. 1467 = Ba 220, 31, H 1468 — ἐντυχία = Ba 220, 32, Ambr. 950 φησὶν—22 ἐντεύξεις cf. Alex. Aphr. 27, 5—8. vs. 24 ἐντεύξεις sq. Alex. Aphr. 28, 2—22

1461 Z 738 1462 Z 732 1463—4 Z 751 1466 Z 751 1467 Z 754 1468 cf. v. Γ 479

A(GITFVM) 6 οὖ] οὕτω sch. 8 μήτρα I sch.: μίτρα rell. 10 γὰρ om. FV 11 γὰρ] δὲ FV 12 χωρισθείην] χωρὶς εἴην Ar. 1465 om. G; ἀντὶ τοῦ ἀπέδωκεν ss. V 24 λέγει] λέγων Alex. cp. M λόγους V 26 ὠφελίμους GITVM 33 λόγων om. FV εἶεν ὀρθῶς A Alex.: ἐνορθῶς GIVM ὀρθῶς TF

ἡγουμένῳ καὶ δουλεύοντι ταύτῃ ἂν μέν τις διὰ τοῦ λέγειν τὴν ἡδονὴν γένεσιν εἰς φύσιν αἰσθητὴν εἶναι, τὴν δὲ τοιαύτην φύσιν μὴ δύνασθαι ἀγαθὸν εἶναι τῷ τὴν γένεσιν ἀτελῆ εἶναι, μηδὲν δὲ ἀγαθὸν ἀτελές, ἂν δὴ διὰ τοῦτό τις δεικνύναι θέλῃ τῷ τοιούτῳ ὅτι μή ἐστιν ἡ ἡδονὴ ἀγαθόν, οὐδὲν ἂν πλέον ποιοῖτο τῷ μηδὲ τὴν ἀρχὴν εἰδέναι τί ποτέ ἐστι τὸ λεγόμενον. ἂν δὲ ἀπὸ τῶν κοινῶν τε καὶ ἐνδόξων ὁρμώμενος ἐξετάζῃ αὐτὸν εἰ μὴ δοκεῖ αὐτὸ τὸ ἀγαθὸν ἀγαθοὺς ποιεῖν, ὥσπερ καὶ τὸ λευκὸν λευκοὺς καὶ τὸ θερμὸν θερμούς καὶ τότε τοῦ τεθέντος προανέρηται, εἰ ἡδονὴ δοκεῖ αὐτῷ ἀγαθοὺς ποιεῖν, λήψεται μὲν ὅτι ⟨μὴ⟩ ποιεῖ· ἐναργὲς γὰρ τοῦτο· συνάξει δὲ ὅτι μὴ ἀγαθὸν ἡ ἡδονὴ ἐκ τῶν ἐκείνου δοξῶν τε καὶ ἀποκρίσεων. διὸ καὶ μεταπείσειεν ἂν αὐτόν· εἴκει γάρ πως πᾶς τῷ ὑπ' αὐτοῦ τεθέντι.

1469 Ἐντευξόμενος: διαλεχθησόμενος. Σ

1470 Ἐντεῖλαι: προστάξαι. καὶ Ἐντείλῃς αὐθυπότακτον καὶ Δ Ἐντείλωμαι ὁμοίως.

1471 Ἐντείνας ἑαυτόν· Διόδωρος· ἐς τὸν στρατιωτικὸν καὶ εὐτελῆ Ε βίον ἐντείνας. ἀντὶ τοῦ ἐπιδούς. καὶ Ἐντεῖναι, τανύσαι. καὶ Δ Ἐντείναντες, ἐπιθέντες. πληγάς τε ἐντείναντες τῆς κεφαλῆς Ε ἀπετέμοντο. ἀντὶ τοῦ αἰκισάμενοι. καὶ αὖθις· πληγάς τε τοῖς προσ- Ε πίπτουσιν ἐντεινόμενοι.

1472 Ἐντήκων: ἐμβάλλων, ἐνιείς. καὶ αὐτοῦ τῷ στόματι ἐντήκων Ε χρυσὸν καὶ ταῖς ἀκοαῖς ἄργυρον καὶ ἐς τὰς ῥῖνας ἐγχέων τῆς ὕλης αὐτῆς ἀποκτεῖναι.

1473 Ἐντήξας: ἀντὶ τοῦ ἐμβαλών, ἐμφυτεύσας, διδάξας. καὶ ἐντήξας Ε αὐτῶν ταῖς ψυχαῖς ἰσχὺν λόγων ἄμαχον καὶ σειρῆνα εὐγλωττίας ἐφολκοτάτην.

1474 Ἐντομίας: ὁ εὐνοῦχος. Θλαδίας δὲ ὁ τεθλασμένος. Σ|

1475 Ἐντομίδαι: οἱ τοῖς σώμασιν ἐντεμνόμενοι. τοιαῦτα εἰώθασι Σ ποιεῖν ἐπὶ τοῖς νεκροῖς. ὅτι τοῖς νεκροῖς τὰ ἔντομα ἔθυον τῶν τετραπόδων ὡς ἄγονα, τὰ δὲ ἔνορχα τοῖς θεοῖς. οἷον σφῆξ, μύρμηξ, μέλιτται· ἃ οὔτε ἀναπνεῖ οὔτε πνεύμονα ἔχει.

1469 = Σ^a, Ba 220, 33 1470 — προστάξαι = Ambr. 1057 cf. H. Ἐντείλῃς sq. = Ambr. 1118 1471 ἐς—ἐντείνας alt. Diod. fr. 30 Ἐντεῖναι, τανύσαι = Ambr. 1052 πληγάς—ἀπετέμοντο fort. Aelian. 1473 καὶ αὐτοῦ de Crasso vel de Manio sec. Toup 1473 καὶ pr. sq. Aelian. fr. 247 (cf. Byz. Zt. 19, 279) 1474 — εὐνοῦχος = Ba 221, 1, H 1475 — νεκροῖς = Ba 221, 2 cf. H. ὅτι—θεοῖς cf. sch. Ap. Rh. 1, 587, Et. M. 345, 27 οἷον sq. Ar. Byz. Epit. 3, 2—3

1469—70 Z 751 1472—3 Z 752 1474 cf. v. Θ 389. Z 719 1475 Z 719 = 730 + 738

1 διὰ τοῦ] δι' αὐτοῦ A 4 τις om. G1T 7 δοκῇ $AV^{oc}M^{oc}$ -v. l. Alex. A(GITFVM) αὐτὸ] αὐτῷ Alex. 9 δοκῇ AVM αὐτῷ] αὐτὸ A 10 ⟨μὴ⟩ suppl. Kust. = Alex. 24 Ἐντήξας—διδάξας om. V post alt. ἐντήξας add. καὶ διδάξας V ad 1474 Σκυθ' mg. IM 30 ἄγοντα V οἷον] ἔντομα δὲ οἷον Zon. 719 ἔντομα οἷον Zon. 738 σφῆγξ GIFM

Δ 1476 Ἐντομίς: ἡ ἐγχάραξις. ἡ γενικὴ ἐντομίδος.

Ar. 1477 Ἔντονος: ἰσχυρά.

Δ 1478 Ἐντοπίζω.

Thdr. 1479 Ἐντός: οἱ λογισμοὶ καὶ αἱ ἐνθυμήσεις καὶ πάντα τὰ τῆς ψυχῆς κινήματα. Δαβίδ· καὶ πάντα τὰ ἐντός μου.

Synt. 1480 Ἐντὸς καὶ Ἐκτὸς γενικῆ.

Prov. 1481 Ἐντὸς ἑβδόμης: Ἀθήνησιν ἀπείρητο ἐντὸς ἑβδόμης στρατιὰν ἐξάγειν.

Prov. 1482 Ἐν τῷ μέρει τις καὶ τὸ πῦρ σκαλευσάτω: παροιμία ἐπὶ E τῶν εἰς κοινὸν μὴ τὰ ἴσα παρεχομένων. πλείονα δῶρα δοὺς καὶ ἀντιλαβὼν ἐν τῷ μέρει.

Ar.? 1483 Ἐν τῷ μέρει: ἀντὶ τοῦ κατά τι μέρος διαδεχόμενος ἕτερος τὸν ἕτερον. καὶ αὖθις· ἰδὼν κἀκεῖνος (ἐν μέρει γὰρ ἡλώκει) γαμεῖν ἔμελλεν.

Soph. 1484 Ἐν τῷ φρονεῖν γὰρ μηδὲν ἥδιστος βίος: Σοφοκλῆς. ἐν τῷ μὴ ἀντιλαμβάνεσθαι τῶν κακῶν, ἐπεὶ ἔσται γελοιότατον, ὡς τιμῶντος τὴν ἀφροσύνην.

Σ 1485 Ἐντραπεζίτιδος: παρασίτου.

Δ Synt. 1486 Ἐντρέπῃ: ἐπιστρέφῃ. καὶ Ἐντρέπω· αἰτιατικῆ.

E 1487 Ἐντρεπομένους· αἰτιατικῆ. ἐγκλίνοντας. οἱ δὲ Λίβυες θεωροῦντες τοὺς Ἴβηρας ἐντρεπομένους καὶ δεδιότες μὴ λάθωσιν ἐγκαταλειφθέντες, ὥρμησαν ἐπὶ τὸ παραπλήσιον.

|E 1488 Ἐντριβής: συνήθης. ἄνθρωπος ἐντριβὴς τῆς χώρας.

Prov. 1489 Ἐν τριόδῳ εἰμὶ λογισμῶν: παροιμία ἐπὶ τῶν ἀδήλων καὶ ἀμφιβόλων πραγμάτων. ἐπειδὴ γὰρ ὁ ἐν τριόδῳ γενόμενος οὐκ οἶδε ποίᾳ χρήσεται ὁδῷ.

Σ 1490 Ἐντροπαλιζόμενος: ἐπιστρεφόμενος.

Σ 1491 Ἐντροπίας: εὐμετάβολος. καὶ Ἐντροπίας οἶνος, ὁ ὀξίνης.

Soph. 1492 Ἔντροφος: ἡ ἐντεθραμμένη. ἢ που παλαιᾷ μὲν ἔντροφος ἡμέρᾳ λευκῷ τε γήρᾳ μάτηρ νιν. ἀντὶ τοῦ ὄντως που ἡ τῇ παλαιᾷ ἡμέρᾳ, τουτέστι τῷ παλαιῷ χρόνῳ ἔντροφος μήτηρ.

1476 cf. Ambr. 954, L 1477 sch. Ar. Ach. 665 cf. H 1478 = Ambr. 1105 1479 Thdr. in Ps. 102, 1, PG 80, 1685b 1481 cf. Zen. III 79 = H 1482 Philol. Suppl. 6, 262, n. 412; l. fr. com. ad. 568 1483 — ἕτερον fort. sch. Ar. Ran. 32 ἰδὼν sq. Babr. 32, 5—6 1484 Soph. Ai. 554 c. sch. 1485 = Ba 221, 4 1486 — ἐπιστρέφῃ cf. sch. O 554 Ἐντρέπω sq. = Synt. Laur. et Gud. 1487 αἰτιατικῆ cf. ad 1486 οἱ sq. Polyb. vel App. attr. Kust. 1489 = Philol. Suppl. 6, 262, n. 397, Zen. III 78 cf. H 1490 = Ba 221, 6, sch. Λ 546 cf. Et. M. 345, 32, Ap. S. 69, 22, H 1491 cf. H, Poll. 6, 17 1492 Soph. Ai. 622—5 c. sch.

1476—7 Z 730 1478 Z 752 1482 Z 738 1485 Z 730 1486—7 Z 752 1488 Z 719 1491 Z 719

A(GITFVM) 1480 om. FV 7 ἀπείρητο AF: ἀπείρητον GIVM ἀπείρηται T 10 καί] ἤ coni. Bhd. 16 ὑπολαμβάνεσθαι V .. γελοιότατος F γελοιότατα V cp. A 19 Ἐντρέπει A^{sc} Zon. ἐπιστρέφει A Zon. καὶ—αἰτιατικῆ om. FV mg. AM 20 αἰτιατικῆ ex A 20. 21 θεωροῦντες om. FV

1493 Ἐντρυφῶ· γενικῆ. οἱ τῶν σῶν χαρισμάτων ἀεὶ ἐντρυφῶντες. δοτικῆ δέ· ἵν' εὐπορήσωμεν καὶ ταῖς ἀλλοτρίαις συμφοραῖς ἐντρυφῆσαι. Syn.t.

1494 Ἐν τοῖς ἱματίοις: ἄνευ ὅπλων. οἱ δὲ πολιτικοὶ ἔθεον ἐν τοῖς ἱματίοις. E

1495 Ἐντυγχάνειν καὶ Συντυγχάνειν· δοτικῆ. ταὐτόν ἐστιν. ἐντυγχάνειν ἤρωσι. Σ

1496 Ἐντυπὰς ἐν χλαίνῃ: ἀντὶ τοῦ ἐπικεκαλυμμένως, ὥστε διὰ τοῦ ἱματίου τοὺς τοῦ σώματος τύπους εὐδήλους εἶναι. Hom.

1497 Ἐνοικέτις τῶν νήσων: ἡ Ἀφροδίτη. ἐξαιρέτως γὰρ ἐν αὐταῖς ἐτιμᾶτο. Σ?

1498 Ἐνυάλιος: πολεμικός. Σοφοκλῆς. διαστέλλει γὰρ τὸν Ἄρεα ἀπὸ τοῦ Ἐνυαλίου, ὡς ἕτερον δαίμονα ὑπουργὸν τοῦ μείζονος θεοῦ. Ἀρριανός· οἱ δὲ τῷ Ἐνυαλίῳ ἀλαλάξαντες ἐναντίοι ἐφέροντο. καὶ αὖθις· φάλαγγα ἐκ σφῶν ποιησάμενοι δρόμῳ ἐπῄεσαν, ἀλαλάζοντες τῷ Ἐνυαλίῳ. Σ Soph. E

1499 Ἐνυδροβίων· καὶ πολιῶν χηνῶν ζεῦγος ἐνυδροβίων. Anth.

1500 Ἐν νυκτὶ βουλή: διὰ τὸ τὴν νύκτα κατὰ σχολὴν διδόναι λογισμοὺς τοῖς περὶ τῶν ἀναγκαίων βουλευομένοις. Prov.

1501 Ἔνυεν: ἔπληξεν. Δ

1502 Ἐνυώ: πολεμικὴ θεός. Δ

1503 Ἐνύπνιον: ἐφ' ὅσον τις ὑπνοῖ. ὄνειρον δὲ παυομένων τῶν ὕπνων, ἐγεῖρον καὶ ὀρῖνον τὴν ψυχήν. ἢ παρὰ τὸ εἴρειν, ὅ ἐστι λέγειν. ὅτι ἐνύπνια ἀναπτεροῦσιν ἄφρονας.

1504 Ἔνυστρον: τὸ μετὰ τὴν κοιλίαν ἕντερον· τὸ τῶν βρωμάτων δοχεῖον. Σ + Δ

1505 Ἐν φρέατι κυσὶ μάχεσθαι: ἐπὶ τῶν μοχθηρῷ τινι προσμαχομένων καὶ ἀποφυγεῖν μὴ δυναμένων. τί δὲ ἄν τις ἔχοι ποιεῖν οὐκ ἐν φρέατι συνεχόμενος ὑπὸ τοῦ παροιμιαζομένου κυνός, ἀλλ' ἐν βάθει μέν τινι ζητήσεως ὑπὸ θαυμαστῆς οὐδὲν ἧττον ἀπορίας, οὐ μὴν ἐφικτῆς γε οὐδενὶ ἀνθρώπων, πλὴν εἴ τῳ θεὸς αὐτὴν μηνύσειεν. Prov.

1493 = Synt. Gud. p. 590; — ἐντρυφῶντες = An. Ox. 4, 291, 29. δοτικῆ cf. Synt. Laur. 1494 οἱ sq. Polyb. attr. Bhd. 1496 Ω 163 c. sch. cf. Aristonic. in sch. A 1498 — πολεμικός = Ba 221, 5, Et. M. 345, 56, sch. P 211 cf. H διαστέλλει—θεοῦ sch. Soph. Ai. 179 οἱ—ἐφέροντο Arr. fr. Parth. vel Exc. 11 φάλαγγα sq. Arr. Ind. 24, 7 (= fr. Parth. vel. Exc. 11) 1499 Anth. 6, 231, 4 1500 cf. Zen. III 97 1501 = Ambr. 1048, sch. Ε 46 1502 = Ambr. 958, H, Et. M. 345, 52 1503 — λέγειν Artem. 1, 1 b (p. 3, 26—4, 6) ὅτι sq. fort. Metaphr. 1504 — ἕντερον = Ba 222, 20 cf. H. ἔντερον sq. = Ambr. 977 1505 — δυναμένων = Zen. III 45 τί sq. fort. Iul. Imp.

1494 Z 738 1495 cf. v. συντυγχάνω. Z 752 1499 Z 720 1503 Z 739 1504 cf. v. H 404. Z 739

1493 om. FV post 1494 A 5 δοτικῆ ex ITM 9 Ἐνοικέτης GIFM A (GITFVM) 13 ἐναντίοι—14 ἀλαλάζοντες om. A 16 Ἐνυδρούβων V πολιὸν GTFVM, v. l. Anth. 17 διδόναι om. V 23 ὅτι—ἄφρονας ex mg. AIM 24 Ἔνυγρον GITM cf. p. 298, 12 29 μὴν] μὲν F 30 θεῷ F

Σ 1506 Ἐν χρῷ: εἰς χρῶτα, πάνυ ἐγγύς, ὡς καὶ ἐφάπτεσθαι. παρὰ
Call. δὲ Καλλιμάχῳ ἐγκυτί, ἀντὶ τοῦ ἐγγύς, ἐν χρωτί, πλησίον τοῦ χρωτός.
E τὸ δ' ἐγκυτί, τέκνον, ἐκέρσω. καὶ Ἀγαθίας· περισφίγξαντες ξυνῆπτον
αὐτὰς ἀλλήλαις καὶ συνεμίγνυον λίαν ἐν χρῷ πεπιεσμένα.
Σ 1507 Ἐν χρῷ κεκαρμένος: πρὸς αὐτῷ τῷ χρωτί, οἷον σύνεγγυς
καὶ πλησίον τοῦ δέρματος τὰς τρίχας ἐξυρημένος. καὶ αὖθις· ἦν
Σ δὲ ἄρα αὐτῷ ἐν χρῷ φίλος. ὁ χρώς, τοῦ χρῶ, Ἀττικῶς, ὡς γέλως,
γέλω. οἱ δὲ ἀπὸ τοῦ χρώς, χρωτί, ἀποκοπῇ τῆς τι συλλαβῆς.
Thuc. 1508 Ἐν χρῷ παραπλέων: παρὰ Θουκυδίδῃ ἀντὶ τοῦ πλησίον.
ἔστι γὰρ ἡ ἀποκοπή, ἦν γὰρ ἐν χρωτί. εἴρηται δὲ ἀπὸ τῆς κουρᾶς
τῆς ἄχρι τοῦ χρωτὸς γινομένης.
Σ 1509 Ἐξάγιστος: ἀκάθαρτος, ἢ πονηρός. ὁ δὲ τὸ ψεῦδος
ἀπεστρέφετο καθάπερ ἄλλο τι τῶν ἐξαγίστων. καὶ αὖθις· διὰ
τὴν ἐξάγιστον ἡδονὴν καθάπαξ οἱ θηλυδρίαι τριχοπλάσται πάντες εἰσίν.
Harp. 1510 Ἐξάγιστος: ἀντὶ τοῦ λίαν ἐναγής. Αἰσχίνης δὲ ἐπί τινος
λιμένος εἴρηκε τοὔνομα.
Synt. 1511 Ἐξαγοράζω· αἰτιατικῇ.
Ar. 1512 Ἐξ ἀγορᾶς εἶ: ἀντὶ τοῦ ἀγόραιος. Ἀριστοφάνης· ἐξ ἀγορᾶς
εἶ καὶ θρασύς.
Synt. 1513 Ἐξαγορεύω· αἰτιατικῇ.
1514 Ἐξαγωγή· ἆρά γε χρὴ κολάσαι τὸν δοῦλον καὶ ἐπ' ἐξαγωγῇ
ἀποδόσθαι, ἢ ἐᾶσαι τοῖς περικειμένοις δεσμοῖς ἐναποθανεῖν; ἀντὶ τοῦ
E? τῶν δεσμῶν ἀφέσει. ὁ δὲ τὴν δεξαμένην αὐτὸν φυγόντα, ἀξιοῦσαν
εὐπαθεῖν, ἐπὶ τὸ τοῦ μετοικίου πωλητήριον ἤγαγε καὶ τὴν ἀδελφὴν
ἐπ' ἐξαγωγῇ πέπρακεν.
Σ 1515 Ἐξαγώνιος: ἔξω τοῦ ἀγῶνος. οἱ μὲν πολλοὶ τοὺς ἐν ταῖς
Rhet. σκηναῖς ἀγωνιζομένους οἴονται καλεῖσθαι δεῖν, ὅταν ἢ παραλείπωσί τι
τῶν ἐξ ἀνάγκης ῥήσεων ἢ ποιεῖν τι παρὰ τὸ προσῆκον. Αἰσχίνης δὲ
ἐπὶ τῶν ἔξω τοῦ ἀγῶνος λεγομένων λόγων, τουτέστιν οὐ προσηκόν-
των εἰρῆσθαι.

1506 — ἐφάπτεσθαι = Σ^a, Ba 221, 7, Et. M. 313, 57 cf. sch. Soph. Ai. 786 ἐγκυτί—ἐκέρσω Call. (fr. 35 K. 311 S.) c. sch. περισφίγξαντες sq. Agath. 5, 51 p. 326 1507 — ἐξυρήμενος = Ba 223, 4, Et. Gen., Et. M. 314, 2 cf. Ael. D. fr. 146 ap. Eust. O. 1450, 33, H, Poll. 2, 33 vs. 7 ὁ sq. cf. Et. M. 313, 54 ex Oro, Reitz, Gesch. 292, 6; sch. Greg. Ann. 89 1508 sch. Thuc. 2, 84, 1 1509 — πονηρός = Ba 223, 11, Et. Gen., Et. M. 346, 36, H ὁ—ἐξαγίστων Dam. fr. 23 διὰ sq. Synes. Calv. PG 66, 1204a 1510 Harp. — ἐναγής = An. Ox. 2, 494, 4. Αἰσχίνης (3, 107) sq. = Et. M. 346, 36, Et. Gen. 1511 = Synt. Laur. 1512 Ar. Eq. 181 c. sch. plenior. 1513 = Synt. Gud. cf. Synt. Laur. 1514 ὁ sq. fort. Aelian. 1515 — vs. 26 ἀγῶνος = Ba 223, 12, Ambr. 1137 cf. sch. Luc. 215, 9, H οἱ sq. = Bk. 260, 11; Aeschin. cf. 1, 171

1506 Call. cf. 139 1507—8 Z 720 1509 Synes. cf. vv. Θ 335 et 381 1512 Z 758 1514 Polyb. cf. v. A 3913 et v. μέτοικοι

A (GITFVM) 3 τὺ A: τὸ rell. cὺ Et. Gen. (Miller, Mél. 97) Philop. de Accent. p. 37, 12; 38, 21 ἐνκυτὶ A ἐγκύτιον GITM ἐνκέρσω A 4 πεπιεσμέναι F πεπιεσμένας Agath. 5 χρῶντι A 10 γὰρ ἡ] δὲ sch. 12 Ἐξάγιγος V cf. p. 297, 24 13 αὖθις] ὁ Συνέσιος T 22 παρακειμένοις A τοῦ om. AF 28 ποιεῖν] ποιήσωσί Bk. ποιῶσί Bekk.; post προσῆκον lac. indic. Bhd.

1516 Ἐξάδιος: ὄνομα κύριον. ὁ ἐξέχων ἐν τῷ διώκειν. Δ Ecl.
1517 Ἐξαγκωνιῶ: τοὺς ἀγκῶνας ὑπὸ ταῖς πλευραῖς ποιήσω· οὐδέ- Ar.
ποτε γὰρ οὕτω μέσῃ ληφθήσομαι ἢ παραδώσω, ἵνα τῶν χειρῶν ἕλκῃ με καὶ μὴ μέσην ἀράμενος γνῷ, ὅτι γυνή εἰμι ἐκ τῶν τιτθίων.
1518 Ἐξ ἀκαλαρρείταο βαθυρρόου Ὠκεανοῖο: ἐκ τοῦ ἡσύχως Hom.
ῥέοντος διὰ τὸ βαθύ.
1519 Ἐξ ἀκεραίου: ἀντὶ τοῦ εὐχερῶς, εὐμαρῶς. Πολύβιος· οὔτε
τοὺς ἐξ ἀκεραίου συμπειθομένους τῶν ἀνδρῶν πρός τινας βασιλεῖς ἢ EL
δυνάστας κοινωνίαν πραγμάτων εὐθέως προδότας νομιστέον, οὔτε
τοὺς κατὰ περιστάσεις μετατιθέντας τὰς αὑτῶν πατρίδας ἀπό τινων
ὑποκειμένων πρὸς ἑτέρας φιλίας καὶ συμμαχίας, οὐδὲ τούτους. πολλοῦ
γε δεῖ· ἐπείτοιγε πολλάκις οἱ τοιοῦτοι τῶν μεγίστων ἀγαθῶν γε-
γόνασιν αἴτιοι ταῖς πατρίσι. καὶ τὰ παραδείγματα ἐξ αὐτῶν τῶν ἐν-
εστώτων καιρῶν.
1520 Ἐξ ἀκεραίου· οὐ δυνάμενος δὲ πείθειν ἐξ ἀκεραίου διὰ τὴν E
εὐλάβειαν καὶ ἀπραγίαν τοῦ βασιλέως.
1521 Ἐξακριβωθέντες: ἐρευνηθέντες. Διόδωρος· ἄνδρες ἐξακρι- E
βωθέντες ὑπὸ βασιλέως εἰς μέγεθός τε καὶ ὕψος σωμάτων καὶ τόλμης
ὀξύτητα καὶ ἀγερωχίαν.
1522 Ἐξαλλάττω· αἰτιατικῇ. Synt.
1523 Ἐξαλλάξαι: ἀντὶ τοῦ τέρψαι. Μένανδρος· ἄνθρωπον ἐξαλ- Σ
λάξομεν, κακόν τί σοι δώσοντα.
1524 Ἐξάλειπτρον: τὴν τοῦ μύρου λήκυθον, τὸ ἀλάβαστρον, ἐξ Ar.
οὗ ἀλείφονται οἱ δειπνοῦντες. Ἀριστοφάνης· ὕπεχ' ὧδε δεῦρο τοὐξά-
λειπτρον, ὦ γύναι.
1525 Ἐξαληλιμμένος: ἠλειμμένος. Δ
1526 Ἐξαλίσας: ἐκκυλισθῆναι ποιήσας εἰς τὴν κόνιν. ἀλινδήθρα δὲ Ar.
ὁ τόπος, ἐν ᾧ τιθέντες ἑαυτοὺς οἱ ἵπποι τοῦτο ποιοῦσιν. ὡς Ἀρι-
στοφάνης ἐν Βατράχοις· πολλὰς ἀλινδήθρας τε καὶ ἐκκυλίσματα.
1527 Ἐξαλλομένους: ἀνασκιρτῶντας. Ἰώσηπος· οὐκ ἀξίους εἶναι E
σωτηρίας τοὺς φλεγομένης δι' αὐτοὺς τῆς πατρίδος ἐξαλλομένους.

1516 = Et. M. 346, 38 ὁ sq. = Seleuc. ap. Et. Gud., An. Ox. 2, 433, 29 1517 sch. Ar. Eccl. 259 1518 H 422 c. sch. 1519 vs. 7 οὔτε sq. Polyb. 18, 13, 4—7 = EV 2, 155, 16—156, 1 1520 Polyb. fr. 96 1521 ἄνδρες sq. Diod. fr. 31 1522 = Synt. Gud. 1523 cf. Bk. 96, 1, Phryn. Ecl. p. 363; Men. com. fr. 747 1524 sch. Ar. Ach. 1063 1525 cf. Ambr. 1204, L 1526 sch. Ar. Nu. 32 (cf. Jb. Suppl. 16, 658); Ar. Ran. 904 1527 οὐκ sq. Ios. Bell. 6, 230

1517 Z 767 1518 cf. v. A 786 Z 756 1519 cf. v. προδότας. Z 763 1520 cf. v. A 836. Z 763 1521 Z 767 1523 Z 767 1524 Z 763 1525 Z 768 1526 cf. v. A 1233. Z 768 1527 Z 767

1517 extra ord. 4 τί ἰθίων A τιθίων F 5 ἀκαλαρρείτω GIM Ὠκεανοῖς A A(GITFVM) 9 προδόντας GITVM 10 κατὰ] κατὰ τὰς AFM 1520 om. T 16 εὐπραγίαν G(I) 22 σοι] σου F 24 Ἀριστίδης F ὧδε] ᾧ AF 27 δὲ] δὲ καὶ GITVM

Δ 1528 Ἔξαλλος καὶ Ἐξάλλως: ἐπίρρημα. ἀντὶ τοῦ κατὰ ἄλλον
Ε τρόπον, παραδόξως. Πολύβιος· τὸ γὰρ ἅμα τε θύειν καὶ ἐξιλάσκεσθαι τὸ θεῖον, προσκυνοῦντα καὶ λιπαροῦντα τοὺς βωμοὺς ἐξάλλως, καὶ πάλιν ταῦτα διαφθείρειν μανίας ἐστίν.

EV 1529 Ἐξάλλως: καθ' ὑπεροχήν. τὸ γὰρ ἅμα μὲν θύειν καὶ ἐξιλάσκεσθαι τὸ θεῖον, λιπαροῦντα τοὺς βωμοὺς ἐξάλλως, ὅπερ εἴωθε Προυσίας ὁ βασιλεὺς ποιεῖν γονυπετῶν καὶ γυναικιζόμενος, ἅμα δὲ ταῦτα λυμαίνεσθαι καὶ διὰ τῆς τούτων καταφθορᾶς τὴν ἐς τὸ θεῖον ὕβριν διατίθεσθαι, λυττῶντος ἔργα καὶ ψυχῆς ἐξεστηκυίας καὶ λογισμῶν.

Ar. 1530 Ἐξ ἀμάξης: ἡ λεγομένη ἑορτὴ παρ' Ἀθηναίοις Λήναια, ἐν ᾗ ἠγωνίζοντο οἱ ποιηταὶ συγγράφοντές τινα ᾄσματα τοῦ γελασθῆναι χάριν· ὅπερ Δημοσθένης ἐξ ἁμάξης εἶπεν. ἐφ' ἁμαξῶν γὰρ οἱ ᾄδοντες καθήμενοι ἔλεγόν τε καὶ ᾖδον τὰ ποιήματα. λέγεται καὶ Ληναῖτης χορός, ὁ τῶν Ληναίων.

Σ+Ε 1531 Ἐξαμβλίσκειν: ἐκτιτρώσκειν. Αἰλιανός· καὶ τὴν τῶν τετραπόδων ἀγέλην ἐξαμβλίσκειν ἔφασαν.

1532 Ἐξ ἀμβιτίωνος: ἐκ περιδρομῆς τι πράττων παρὰ Ῥωμαίοις.

Suid. 1533 Ἐξαμέτροις τόνοις· ζήτει ἐν τῷ τόνον. ἔστι δὲ Πυθικὸν προμάντευμα.

Ar. 1534 Ἐξαμήσω: ἐξανύσω, ἐξοίσω. τοὺς πνεύμονας καὶ τἄντερ' ἐξαμήσω.

1535 Ἔξαμμον μιλίου· ζήτει ἐν τῷ Βασιλική.

1536 Ἐξ ἄμμου σχοινίον πλέκεις: ἐπὶ τῶν ἀδυνάτων.

Suid. 1537 Ἐξαμυστίσαι: ἀμυστί, τουτέστιν ἀπνευστὶ καὶ ἄνευ τοῦ ἀναπαύεσθαι πίνειν.

Soph. 1538 Ἐξ ἀναγκαίας τύχης: οἷον ἀναγκαστῷ μόρῳ, καὶ οὐκ ἐκ ταὐτομάτου. ἐκ βίας, οὐκ ἰδίῳ θανάτῳ. Σοφοκλῆς· τέθνηκ' Ὀρέστης ἐξ ἀναγκαίας τύχης.

Ε 1539 Ἐξαναστάς: μετοικίσας. ὁ δὲ Θεσπιάδης ἐξαναστὰς ἐξ Ἀθηνῶν Θεσπίαν ἐν Βοιωτίᾳ ἔκτισεν.

1528 τὸ γὰρ—ἐξάλλως Polyb. 32, 15, 7 cf. EV 2, 199, 5—7 1529 τὸ γὰρ sq. Polyb. 32, 15, 7—8 = EV 2, 199, 5—11 1530 sch. Ar. Eq. 547 (plenior.); Dem. 18, 122 1531 — ἐκτιτρώσκειν cf. H v. ἐξαμβλωθείς καὶ sq. Aelian. fr. 49 1532 = Lex. Rom. Barocc. 1534 Ar. Lys. 367 c. sch. 1536 = Greg. Cypr. M. III 46 1538 Soph. El. 48 c. sch. 1539 ὁ sq. cf. Paus. Per. 9, 26, 6, Steph. Byz. v. θέσπεια fort. Nic. Dam.

1528 Z 785 1529 cf. v. Προυσίας 2 1530 cf. v. Λ 455 1531 ἐκτιτρώσκειν cf. 1731. Z 767 1532 Z 755 1533 ex v. τόνον 1534 cf. v. B 573. Z 767 1537 ex v. A 1687. Z 767 1539 Z 767

A(GITFVM) 5 τὸ—9 λογισμῶν om. T 8 καταφορᾶς GIM 9 καὶ alt.] τῶν Exc. 12 ποιητικὰ GIT 13 ἐφ'] ἐξ V 1532 post 1534 A; extra ord. 1533 om. FV 19 ζήτει AM: τουτέστιν GIT ἔστι—προμάντευμα post 1538 GITM 21 τἄντερ' AF: τἄρτερ' GIVM τάρταρ' T 23 Ἔξαμμον AM: Ἔξαμβλον GIT ζήτει AM: τουτέστιν GIT 1536 om. FV non nov. gl. A 24 πελέκεις A 1537 om. AFV 27 ἀναγκασθῷ IFV 30 μετοικήσας Zon. Bhd.

1540 Ἐξαναχωρεῖ· Θουκυδίδης. Σ
1541 Ἐξανδρούμενος: τὴν ἡλικίαν ἔχων εἰς ἄνδρα. Ar.
1542 Ἐξανεμοῦσθαι: ἐπαίρεσθαι. Δ
1543 Ἐξανθίζω: τὸ βάπτω· ὡς τό, ποικίλας ἐξηνθίκατε τὰς βαφάς. Δ
5 Ἐξανθῶ δὲ τὸ ἀναβλαστάνω· ὡς τό, ἐξήνθησεν ἡ ἔρημος.
1544 Ἐξανθρωπίζω. Δ
1545 Ἐξάντεις: ἔξω ἄτης καὶ βλάβης. καὶ οἱ μὲν ἔδρασαν ταῦτα. Prov. + E
εἶτα μέντοι ἐξάντεις γίνονται τοῦ κακοῦ.
1546 Ἐξάντη: ὑγιῆ, καὶ ἔξω ἄτης. ὦ Ζεῦ, γενέσθαι με τῆςδ' ἐξάντη Σ
10 νούσου. τὸ ν ἔγκειται δι' εὐστομίαν. ἀτὰρ ἐξάντης τοῦ πτώματος E
ὁ τραυματίας γενόμενος καὶ τρίτον ἄθλον ἀσπάζεται. καὶ Αἰλιανός· E
θυγάτηρ δέ, ἥπερ ἦν οἱ τῶν ἐκείνου μηχανῶν τε καὶ ἐπιβουλῶν
ἀμαθής, ἐξάντης γίνεται τοῦ κακοῦ. ἔστι δὲ καὶ ἐπιφώνημα. ἐξ-
άντης λεύσω τοὐμὸν κακὸν ἄλλον ἔχοντα. Πλάτων ἐν Φαίδρῳ. Prov.
15 1547 Ἐξανύω: κατεργάζομαι. Σ
1548 Ἐξαπάτη· ὁ Λογοθέτης ἐν τῷ μαρτυρίῳ τοῦ Καλικελάδου· ἐν ὀλίγῳ δὲ Metaphr.
συνιδόντες ὡς οὐκ ἐξαπάτη καὶ ὄνειρος τὰ ὁρώμενα, ἀλλ' ἐγρήγορσις καὶ
ἀλήθεια.
1549 Ἐξάπινα: ἐξαίφνης. ἢ κυκλόθεν. Δαβίδ· ἐξάπινα κατατοξεύ- Δ
20 σουσιν. Ps.
1550 Ἐξαπίναιον: ἐξαίφνης. οὐ μέγα τι συνέβη τὸ τῆς ἐπιθέσεως Δ + E
ἐξαπίναιον οὔτε βλάψαι Ῥωμαίους, οὔτ' ὠφελῆσαι. καὶ Ἐξαπι- Σ
ναίως, ἐξαίφνης. καὶ Ἐξαπίνης.
1551 Ἐξαπλῶν: διπλασιάζων, πολυπλασιάζων. ἀντὶ τοῦ πότερα ἂν Soph.
25 ἕλοιο, εἴ σοι δοίη τις αἵρεσιν, λυπῶν τοὺς φίλους αὐτὸς ἐν ἡδονῇ
διάγειν ἢ κοινωνεῖν τοῦ παντὸς καὶ οὐ τοὺς φίλους λυπεῖν. περὶ
Αἴαντός φησιν· ἀνὴρ ἐκεῖνος, ἡνίκ' ἦν ἐν τῇ νόσῳ, αὐτὸς μὲν ἥδεθ'
οἷς εἶχετ' ἐν κακοῖς, ἡμᾶς δὲ τοὺς φρονοῦντας ἡνία ξυνών. νῦν δ',

1540 cf. Thom. 113, 11; Thuc. cf. 4, 28, 3 1541 sch. Ar. Eq. 1241 cf. sch. Eur. Phoen. 32 1542 cf. H, sch. Eur. Andr. 938 1543 Ἐξανθίζω aliter Ambr. 1308. Ἐξανθῶ—ἀναβλαστάνω = Ambr. 1280. ἐξήνθησεν sq. cf. Ies. 35, 2 1544 cf. Ambr. 1309 1545 — βλάβης cf. Zen. III 95. καὶ sq. Aelian. fr. 97 1546 — εὐστομίαν cf. Et. Gen. = Et. M. 346, 43; praeter ὦ—νόσου (fr. trag. ad. 151 = com. ad. 1279) = Tim. cf. Zen. III 95, H ἀτὰρ—ἀσπάζεται Th. Simoc. 2, 18, 22 θυγάτηρ—κακοῦ Aelian. fr. 71 vs. 13. 14 ἐξάντης sq. Zen. III 95; Pl. Phaedr. 244 e 1547 = Ba 223, 15 cf. H 1548 Sym. Metaphr. PG 116, 388 c 1549 — ἐξαίφνης = Ambr. 1315 a cf. An. Ox. 2, 441, 22, sch. E 91, H κυκλόθεν = An. Ox. 2, 441, 22; ἐξάπινα sq. Ps. 63, 5 1550 Ἐξαπιναίως sq. = Ba 223, 17, Ambr. 1315 c, An. Ox. 2, 439, 4 1551 Soph. Ai. 271—7 c. sch. 265

1541 Z 766 1542 Z 767 1543 cf. 1737. Z 766 1545 Z 755
1546 Th. Simoc. cf. v. Σάπειρ 1547 Z 767 1548 cf. Z 758 v. ἐξαπάτη

4 ἐξηνθήκατε VM 5 Ἐξανθῶ FV: Ἐξανθῶν A Ἐξαμῶν GITM A (GITFVM)
10 νόσου Et. ἔγκειται] ἔλκεται V ἀτὰρ—14 Φαίδρῳ om. T 10 πτώματος AF: πρώματος GVM πράματος I 12 οἱ AV: ἡ rell. 15 Ἐξανύωκα A 1548 om. FV ante 1547 A 16 ὁ—18 ἀλήθεια] κρεῖττον, ἢ ἀπίη T 17 συνείδοντες A 19 ἢ—κατατοξεύσουσιν om. FV post 1550 GIM 23 καὶ Ἐξαπίνης ex A 26 οὐ τοὺς] τοὺς sch. αὐτοὺς ed. pr. 28 ξηνῶν A

ὡς ἔληξε κἀνέπνευσε τῆς νόσου, κεῖνός τε λύπῃ πᾶς ἐλήλαται κακῇ· ἡμεῖς θ' ὁμοίως οὐδὲν ἧσσον ἢ πάρος. ἆρ' ἐστὶ ταῦτα δὶς ἐξαπλῶν κακά;

Σ 1552 Ἐξ ἀπόπτου: ἐξ ὑψηλοῦ τόπου.

Σ 1553 Ἐξάπτεσθαι: ἐξαρτᾶσθαι, ἀντιλαμβάνεσθαι.

1554 Ἐξάραντες: ἔξω ποιήσαντες.

E 1555 Ἐξαράξειν· καὶ ἔτι μᾶλλον ἐξήπτοντο εἰς ὀργὴν καὶ ἠπείλουν τὰς θύρας ἐξαράξειν. τουτέστι συντρίψειν, καταβαλεῖν.

Harp. 1556 Ἐξαράσασθαι: τὸ ἐκτελέσαι τὰς ἀράς, τουτέστι τὰς εὐχάς, ἃς ἐπὶ ταῖς ἱδρύσεσι τῶν ναῶν εἰώθασι ποιεῖσθαι.

1557 Ἐξᾶραι.

Σ 1558 Ἐξαργυρῶσαι, οὐκ ἐξαργυρίσαι· Θουκυδίδης η'· οὐδ' ἦν δέῃ τελευτῶντα τὴν ἑαυτοῦ στρωμνὴν ἐξαργυρῶσαι.

Σ 1559 Ἔξαρθρος: ἐκμελής, ἐξωστεϊσμένος.

Σ 1560 Ἔξαρνος: ὁ τῷ ἀρνεῖσθαι ἐπιμένων, καὶ ἀρνούμενος καθόλου.

E ὁ δὲ μαστιγωθεὶς ἔξαρνος ἦν μηδὲν εἰρηκέναι.

Σ 1561 Ἐξάρξαντες: ἐκρήξαντες, κρούσαντες.

| Σ 1562 Ἐξάρξατε: ἄρξασθε μελῳδίας, ὑμνήσατε. προκατάρξατε, καταλλάξατε.

Δ + E 1563 Ἐξάρσεις: ἐπάρσεις. ὁ δὲ θρασύτερον προεκθέων ἐξάρσεις τε τῶν ποδῶν καὶ περιδινήσεις ποιούμενος, βέλει τρωθεὶς ἀπέλιπε τὸν βίον.

Δ 1564 Ἐξαρτήσας: ἀντὶ τοῦ ἐφευρίσκων, ἢ κρεμάσας. καὶ Ἐξαρ-
Ar. τῶμαι, συμπέπαρμαι. Ἀριστοφάνης· κἀξαρτῶμαι, κἀπεμπίπτω καὶ
E σπουδάζω. καὶ αὖθις· ἐν μὲν εἰρηνικαῖς σπονδαῖς ἐξαρτούμενος ἀεὶ νῷ δολερῷ ἐπὶ τοὺς πέλας πολέμου αἰτίας.

Σ 1565 Ἐξαρτίζει: τελειοῖ, πληροῖ, παρασκευάζει.

Σ 1566 Ἐξαρτύσας: ἐκπληρώσας, ἢ ἑτοιμάσας.

Δ 1567 Ἐξάρτυσις. πυθόμενος δὲ τὴν ἐξάρτυσιν τοῦ στόλου τῶν
E Ἰώνων. τουτέστι τὴν παρασκευήν.

1552 = Ba 223, 17 cf. H (in Soph. Ph. 467) 1553 = Ba 223, 19 1555 καὶ pr.—ἐξαράξειν alt. Aelian. fr. 252 1556 Harp. = Et. M. 346, 51, Et. Gen. cf. An. Ox. 2, 494, 5 1558 = Et. Gen. cf. Et. M. 346, 55; Thuc. 8, 81, 3 1559 = Ba 223, 21 cf. H 1560 — καθόλου = Et. Gen., Et. M. 346, 49 cf. sch. Luc. 4, 21, H ὁ sq. fort. Aelian. 1561 = Ba 223, 20 1562 προκατάρξατε sq. cf. Ba 223, 23, H, An. Ox. 2, 440, 20 1564 κρεμάσας cf. Ambr. 1211 Ἐξαρτῶμαι—σπουδάζω Ar. Pac. 470 c. sch. ἐν sq. Proc. h. a. 18, 29 1565 = Ba 223, 24 cf. H, Ambr. 1307 et 1210 1566 = Σ^a cf. Ba 223, 22 1567 πυθόμενος—Ἰώνων fort. Nic. Dam.

1552 Z 755 1553 Z 765 1554—5 Z 765 1556 Z 766 1558 Z 766 1563 Z 758 1564 cf. 2742. Z 766 1565 Z 766 1566 Z 765 1567 Z 758

A(GITFVM) 2 θ'] δ' V 7 καὶ pr.—8 ἐξαράξειν om. TF ἔτι Kust.: ἐπὶ omnes 8 τουτέστι om. T συντρίψαι ed. pr. 1557 ex IM^{ms} 18 ἄρξατε GITM 24 καμπεμπίπτω A κατεπίπτω F 28 ἢ] καὶ V

1568 Ἐξάρχοντες: ᾄδοντες. οἱ δὲ Τρῶες μετὰ θορύβου καὶ ἡδονῆς Ε
παιᾶνας ἐξάρχοντες.
1569 Ἐξατμίσθη: ἐξελεπτύνθη. Σ
1570 Ἐξατωρεία: ἐλευθερία ἀπὸ στρατείας. Δ
1571 Ἐξαυδᾷ: ἐκφωνεῖ, ὁμολογεῖ. Σ
1572 Ἐξαυτῆς: παραυτίκα, εὐθέως. ἐξ αὐτῆς οἱ προειρημένοι Σ
βιβλιαφόρον ἔπεμπον πρὸς τὸν Περσέα διασαφοῦντα τὸ γεγονός. Ε
καὶ αὖθις· ὁ δὲ ἐξ αὐτῆς προῆγε βάδην τῇ πορείᾳ χρώμενος.
1573 Ἐξαψάμενος: κατασχών, περιπλακείς. Σ
1574 Ἐξαιθριασθέν: λαμπρυνθέν. Σ
1575 Ἔξαιμοι: οἱ λείφαιμοι, οἱ πλεῖστον αἷμα κενώσαντες.
1576 Ἐξαιρέσεως δίκη: ὁπότε τις ἄγοι μέν τινα ὡς δοῦλον, ἄλλος Harp.
δέ τις αὐτὸν ὡς ἐλεύθερον ἐξαιροῖτο, ἐξῆν τὸν ἀντιποιούμενον τοῦ
ἀνθρώπου ὡς δούλου λαγχάνειν ἐξαιρέσεως δίκην τῷ εἰς τὴν ἐλευ-
θερίαν αὐτὸν ἐξαιρουμένῳ.
1577 Ἐξαιρετέα: ἀξία τοῦ καταστραφῆναι. ἡ Καρχηδὼν πολλοῖς EL
Ῥωμαίων ἐξαιρετέα ἐδόκει εἶναι καὶ Κορνηλίῳ ὑπάτῳ· καὶ ἔλεγον, ὅτι
ἀδύνατόν ἐστι συνεστώσης αὐτῆς ἀδεεῖς σφᾶς εἶναι.
1578 Ἐξαίρετον: τὸ ἐπίλεκτον. Ἐξαιρετὸν δὲ ὀξυτόνως, τὸ ἐκ- Δ.
βαλλόμενον.
1579 Ἐξαίρει: ὑψοῖ. Σ
1580 Ἐξαιρεῖται: ἀφαιρεῖται, λαμβάνει. καὶ Ἐξαιρήσομεν, ὁμοίως. Δ
1581 Ἐξαίροντες: ἀνατρέποντες. πρὸς ταῦτα τί λέγουσιν οἱ τὴν Ε
πρόνοιαν ἐξαίροντες;
1582 Ἐξαιρούμενος: ἀποκομιζόμενος. Σ
1583 Ἐξαιροῦσιν: ἐκβάλλουσιν, ἀφανίζουσι. φθίνοντα γὰρ Λαΐου Soph.
θέσφατ' ἐξαιροῦσιν ἤδη.
1584 Ἐξαίσια: παντὸς ἐπέκεινα θαύματος, ὑπερβαλλόντως. πλοῦτος
ἐξαίσιος. Πολύβιος· ἐπιγίνεται χειμῶνος μέγεθος ἐξαίσιον. Ε

1568 οἱ sq. ad v. ὁλκεῦσιν rett. Hemst., fort. Nic. Dam. 1569 = Ba 223, 25 1570 l. = Ambr. 1179; gl. Rom. 1571 = Ba 223, 26 1572 — εὐθέως = Ba 223, 27, sch. A 223 cf. H ἑαυτῆς sec.—γεγονός Polyb. fr. 138. ὁ sq. Polyb. fr. 139 1573 = Ba 223, 28 1574 cf. Ba 224, 19, Zon. 768 1576 Harp.; — ἐξαιροῖτο cf. Bk. 252, 12. ἐξῆν sq. cf. Sabb. 1577 ἡ sq. Cass. D. 17, fr. 59 = EL 412, 31—413, 2 1578 — Ἐξαιρετὸν = Philop. diff. — ἐπίλεκτον = H cf. sch. B 227 1579 = Ba 223, 13 cf. H 1580 — ἀφαιρεῖται = Ambr. 1206 cf. H. λαμβάνει cf. L. Ἐξαιρήσομεν sq. = Ambr. 1209 cf. Bk. 94, 2 1581 πρὸς sq. Aelian. fr. 32 1582 = Ba 223, 14, H 1583 Soph. OT 906—7 c. sch. 1584 — ὑπερβαλλόντως = Et. M. 347, 37, Et. Gen., Ba 223, 16 cf. H πλοῦτος ἐξαίσιος fort. Dam. fr. 236 ἐπιγίνεται sq. Polyb. fr. 38

1569 Z 766 1570 Z 758 1572 Z 759 1573 Z 766 1575 Z 755
1576 Z 759 1577 Z 759 et 763 1578 Z 763—4 1579—81 Z 768
1582—3 Z 768 1584 Dam. cf. 1088. Z 764

4 Ἐξατωρία AIF cf. Zon. 7 βιβλιοφόρον GITM 12 ἄγει A, v. l. Harp. A(GITFVM)
13 ἐξαιρεῖτο AF 18 ἀδεῶς GIM 23 ἀνατρέποντες—24 ἐξαίροντες om. GITM

Δ 1585 Ἐξαίτης: ἀφαιρέτης.

δείπνων τοὺς ζωμούς, πρὸς τοιαύτην παιδιὰν κεκραμένους. ἐγὼ δὲ
μᾶλλον νομίζω πεποιῆσθαι τὸ ὄνομα ὑπὸ τοῦ ῥήτορος ἀπὸ τῶν
ἑώλων, ἅ ἐστιν ἀρχαῖα· ὅτι πράγματα ἀρχαῖα συγκεράσας κατηγορεῖ
ὁ Αἰσχίνης.

Δ 1886 Ἑωλοκρασία: ἡ ματαία πόσις. Δημοσθένης· αἴτιος δ'
Harp. οὗτος ἑωλοκρασίαν τινά μου τῆς πονηρίας αὐτοῦ κατεσκεδάσας.

Δ 1887 Ἑωλονεκρός: ὁ πρὸ πολλοῦ τεθνηκώς.

Δ 1888 Ἑώλπειν: ὑπερσυντέλικος.

Σ 1889 Ἐωνημένοι: ἀγοράσαντες, ἢ ἠγορασμένοι. Ἀριστοφάνης·
Ar. τοῦ σώματος γὰρ οὐκ ἐᾷ τὸν κύριον κρατεῖν ὁ δαίμων, ἀλλὰ τὸν
ἐωνημένον. ἀντὶ τοῦ ὠνησάμενον· ἀπὸ τοῦ ὠνοῦμαι. λέγεται γὰρ καὶ
ἡ ἐφεξῆς τοῦ ῥήματος κλίσις. τοῦ δὲ ὀνόματος τὸ πληθυντικὸν οὐκ
ἔστιν ὠνησάμενοι. διὸ μεταβαλόντες οἱ Ἀττικοὶ πριάμενοι λέγουσιν
ἑτέρᾳ φωνῇ.

Δ 1890 Ἐωνοχόει: ἐκίρνα.

1891 Ἑῷων: ἐκ τῶν ἀνατολῶν.

Δ 1892 Ἕωξας: ἀνέῳξας.

Δ 1893 Ἑῷος: ὁ ἀνατολικός. καὶ Ἑῷοι, ὀρθρινοί, ἢ ἀνατολικοί.

Σ 1894 Ἑώρα: ὕψωσις, ἢ μετάρσιος.

Δ 1895 Ἑώργειν: ὑπερσυντέλικος.

Σ 1896 Ἐωρηθήτω: κρεμασθήτω.

1884 — χθεσινά = Lex. Patm. 16 cf. sch. Luc. 30, 1; 49, 22; 164, 14; Et. M. 352, 16, 29, Ambr. 2801, 2810, Ps. Herodian. 26 Ἕωλον—ἀνίσχυρον = P, Ba 246, 3, Et. M. 352, 33 cf. sch. Luc. 96, 14, Ambr. 2801, 2810, Ps. Herodian. 26, H τὸ—λειπόμενον (bis) cf. An. Ox. 2, 442, 1 ἑώλων—πλήρηςι + ἔκειτο sq. Babr. 86, 2—3 1885 — κυρίως = P, Ba 246, 2, Et. Gen. ἔθος sq. = P, Et. Gen., Et. M. 352, 23 cf. sch. Dem. a 18, 50, Lex. Patm. 141, Bk. 258, 12; ῥήτορος Dem. 18, 50 1886 l. = L cf. Ambr. 2809. Δημοσθένης (18, 50) sq. Harp. = P 1887 aliter Ambr. 2802 1888 l. cf. L 1889 — ἠγορασμένοι = P, Ba 246, 5 cf. L, H vs. 16 τοῦ sq. Ar. Pl. 6—7 c. sch. 1890 = Ambr. 2821, sch. Δ 3 1892 cf. L 1893 — ἀνατολικός cf. L, Ambr. 2804, Gl. Dionys. PG 4, 25. ὀρθρινοί cf. H 1894 = P, Σ^a, Ba 246, 6 cf. sch. Soph. OT 1264 1896 = P, Ba 246, 7, H

1884 Z 946. Babr. cf. v. ῥωγαλέον 1885 Z 945, sch. Dem. Bav. 18, 50 1886 Z 945 1888 Z 946 1890 Z 947 1893 Z 945 1894 cf. v. Al 261 1896 cf. 2192

A(GITFVM) 1884 post 1886 A 3 καὶ om. GI πλήροιcι V πλήρης Babr. 6 καταχεῖν T Phot. Et. 7 κεκραμένους GIT Phot. Et. Gen.: κεκραμμένους rell. 19 μεταβάλλοντες GF 21 Ἐωνοχόοι GIM 1891 om. AFV 22 ἀνατολικῶν T 1893 om. T post 1907 A 24 ὁ ἀνατολικός] ἡ πρὸ τολικός A 25 μέταρcις Ba sch. Soph.

1897 Ἑώρημα· ὁ Βελλεροφόντης διὰ τοῦ Πηγάσου τοῦ πτερωτοῦ ἐπεθύμησεν εἰς τὸν οὐρανὸν ἀνελθεῖν. καί φησιν Εὐριπίδης· ἄγ' ὦ φίλον μοι Πηγάσου ταχύπτερον. μετέωρος δὲ αἴρεται ἐπὶ μηχανῆς. τοῦτο δὲ καλεῖται ἑώρημα. ἐν αὐτῇ δὲ κατῆγον τοὺς θεούς καὶ τοὺς ἐν ἀέρι πολοῦντας. Ar.

1898 Ἑώρα: ἡ κρεμάθρα. καὶ Ἑωρῶ, τὸ κρεμῶ.

1899 Ἑώρησις: κρέμασις. καὶ Ἑώρημα ὁμοίως. Σ Δ

1900 Ἑωρίζω: τὸ μετεωρίζω. Δ

1901 Ἑωροκοπίαις: ὑψηλοφρονίαις. Σ

1902 Ἑώρων καὶ Ἑωρῶμεν. Δ

1903 Ἑώρταζον: ἐτέλουν. Δ

1904 Ἕως: ἐν τοσούτῳ, ἐν ὅσῳ. πρότερον τοῦτο τὸ ἕως παρὰ τῇ γραφῇ καὶ ἐπὶ τοῦ διηνεκοῦς πολλάκις εὑρίσκομεν κείμενον· ὡς τό, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. καὶ ἔστι διηνεκές. καί, οὐκ ἀνέστρεψεν ἡ περιστερὰ πρὸς τὸν Νῶε, ἕως τοῦ ξηρανθῆναι τὴν γῆν. καὶ εἰς τὸ παντελὲς οὐκ ἀνέστρεψε. καί, ἕως ἂν καταγηράσητε, ἐγώ εἰμι· φησὶν ὁ θεός. καὶ ἔστι διηνεκῶς. καὶ ἄλλα τοιαῦτα πολλὰ σποράδην ἐν τῇ θείᾳ εὑρίσκεται γραφῇ. οὕτω καὶ τὸ ἐν τοῖς θείοις χρησμοῖς εἰρημένον νοήσεις· ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς. οὐχ ὡς μετὰ ταῦτα (ὡς βλασφημοῦσιν οἱ ἀχάριστοι Ἰουδαῖοι) συναφείας τῷ μνηστῆρι πρὸς τὴν παρθένον γεγενημένης.

1905 Ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη: ἀντὶ τοῦ πάντα τοῦ παρόντος βίου τὸν χρόνον. τὸ δέ, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· οὐ χρονικόν ἐστι τὸ ἕως, ἀλλ' ἰδίωμα τῆς γραφῆς. οὕτω γὰρ καὶ διὰ τοῦ προφήτου φησὶν ὁ θεός· ἐγώ εἰμι, ἐγώ εἰμι, καὶ ἕως ἂν καταγηράσητε, ἐγώ εἰμι. δῆλον δὲ ὅτι οὐ περιορίζεται τὸ εἶναι τοῦ θεοῦ τὸ γῆρας τῶν ἀνθρώπων. Thdr.

1906 Ἕως τῶν πατέρων: ἕως τοῦ τέλους. Ps.

1907 Ἕως: ἡ πρὸ τῆς τοῦ ἡλίου ἀνατολῆς ὥρα. Σ

1908 Ἑώσαντο: βιαίως εἰσῆλθον. οἱ τοίνυν τελευταῖοι τῶν φίλων ἐώσαντο καὶ εἰσεπήδησαν. E

1897 sch. Ar. Pac. 76, 80; Eur. fr. 306 1899 — κρέμασις = P, Ba 246, 8 1900 = Ambr. 2822 cf. H 1901 = P, Ba 246, 9 cf. Ambr. 2808 1902 cf. Ambr. 2817 et 2820, L 1903 cf. Ambr. 2815—6 1904 πρότερον sq. Isidor. Pelus. ep. 1, 18, PG 78, 192—3; vs. 14 ἕως—σου alt. Ps. 109, 1; vs. 15 οὐκ—16 γῆν Gen. 8, 7; vs. 16 ἕως—17 θεός Ies. 46, 4 1905 — χρόνον Thdr. in Ps. 71, 7, PG 80, 1433 c. vs. 23 ἕως sq. Thdr. in Ps. 109, 1, PG 80, 1768 c; Ies. 46, 4 1906 = An. Ox. 2, 441, 20 1907 = P, Σ[a], H, Ba 246, 10 1908 οἱ sq. Aelian. fr. 257

1898 cf. 2192, vv. Al 265 et H 415 1899 cf. vv. Al 263—4 1900 cf. v. Al 262 1901 Z 946 1907 Z 946 1908 Z 948

2 οὐρανὸν om. V 5 πωλοῦντας GITM 1898 om. AF, extra ord. A(GITFVM) 6 Αἰώρα T[ac]V κρεμάστρα GIV Αἰωρῶ VM 18 εὑρίσκεται om. V 19 χρησμοῖς] ἡ ἀγγελία ὑπόσχεσις mg. add. V 1905 non nov. gl. A 26 οὐ F Thdr.: οὕτω rell. 1906 om. TFV

Ε 1909 Ἔωσεν: ἀπώσατο, ἐνέβαλεν. ἡ δὲ ἐγκύψαντα αὐτὸν εἰς πίθον, ἵνα ἀρύσηται οἶνον, ἔωσεν ἐς κεφαλὴν καὶ ἀπέπνιξε. καὶ περὶ τοῦ Αἰσώπου· οἱ Δελφοὶ ἔωσαν αὐτὸν κατὰ κρημνοῦ μάλα.

Σ 1910 Ἑωσφόρος: ἀνατολικὸς ἀστήρ, πρωινός, καλούμενος φωσφόρος. Ὅμηρος τοῦτον λέγει φέρειν τὴν ἡμέραν, ἀλλ' οὐχὶ τὸν ἥλιον.

Δ 1911 Ἑωυτός: ἑαυτός.

1912 Ἐπαγαγέσθαι: παραπεῖσαι, ἐφελκύσασθαι. ἀνὴρ δι' ἀρετὴν
EL ἱκανὸς ἐπαγαγέσθαι τὸ θεῖον. καὶ αὖθις· ἐς Βενετίους ἰόντας ὡς πλεῖστα ἐπαγαγέσθαι τῶν ἐκείνῃ χωρίων ἐκέλευεν.

Synt. 1913 Ἐπαγάλλομαι· δοτικῇ.

Σ 1914 Ἐπαγγέλλεται: παρακαλεῖ, ἀξιοῖ. οὕτως Ἡρόδοτος.

1915 Ἐπαγγέλλει: ἀντὶ τοῦ ἐπιτάσσει, ἐντέλλεται, διακελεύεται.

Ε ἐπαγγέλλει τε τὴν ἐπὶ Ἰταλίας ἔξοδον. καὶ αὖθις· ὁ δὲ βασιλεὺς φιλοφρόνως δέχεται αὐτόν, καὶ κελεύει θαρρεῖν, καὶ εἴ τι θέλοι ἐπαγγέλλειν. (ἀντὶ τοῦ αἰτεῖσθαι.) ὁ δὲ δεῖται ὑπὲρ Βονώνου τοῦ
Ε Πραάτου, ὃς ἦν λ' ἔτη ἐν σκότῳ καθειργμένος. καὶ αὖθις Ἐπαγγέλλοντος, ἀντὶ τοῦ ἐπιτάσσοντος. εἰθισμένον δὲ ὂν γράμματα οἰκεῖα τοῖς βιβλίοις ἐντιθέναι τὸν βασιλέα, ὅσα ἂν ἐπαγγέλλοντος αὐτοῦ γένοιτο, Ἰουστῖνος ὁ βασιλεὺς οὔτε ἐπήγγειλεν οὔτε τοῖς
Thdr. πραττομένοις ξυνεπίστασθαι οἷός τε ἦν. ἐν τῷ σπηλαίῳ καθειρμένος ὁ Δαβὶδ καὶ τοὺς πολεμίους ὁρῶν τὸν θεῖον ἔλεον ἐπαγγέλλει, ἐλέησόν με, ὁ θεός, ἐλέησόν με.

Harp. 1916 Ἐπαγγελία καὶ Ἐπαγγεῖλαι: σημαίνει μὲν καὶ ἄλλα, ἰδίως δὲ ἐπὶ τῶν ἐγκαλούντων τινὶ δημηγορεῖν καὶ πολιτεύεσθαι οὐκ ἐξόν, καὶ ἔστιν οἷον παραγγελία. λέγουσι δὲ τὸ ἐπαγγέλλεσθαι καὶ ἀντὶ τοῦ προστάττειν ἢ αἰτεῖσθαι, ὡς Ἀντιφῶν, ἀλλὰ καὶ Δημοσθένης ἐν τῷ Παραπρεσβείας.

Σ 1917 Ἐπαγγελίαι: καθ' ὧν μή εἰσι κολάσεις ὁρμώμεναι κατὰ τοὺς κειμένους ἤδη νόμους.

1909 ἡ—ἀπέπνιξε Aelian. fr. 256 cf. Rh. Mus. 45, 480. οἱ sq. Aelian. fr. 203 1910 — φωσφόρος = P, Ba 246, 11 cf. Et. M. 352, 14 = Et. Gen.; H, Ambr. 2805 Ὅμηρος Ψ 226 1911 cf. Ambr. 2806 1912 ἀνὴρ—θεῖον fort. Dam. ἐς sq. Proc. Bell. 6, 28, 24 = EL 110, 10—11 1913 = Synt. Laur. et Gud. 1914 Hdt. cf. 3, 142, 5 et 7, 1, 2 1915 — διακελεύεται cf. Bk. 258, 26 = Et. M. 353, 45 (cf. porro 47) vs. 13 ὁ—16 καθειργμένος Arr. Parth. fr. 31 vs. 17 εἰθισμένον —20 ἦν Proc. h. a. 6, 12 vs. 20 ἐν sq. Thdr. in Ps. 56, 2, PG 80, 1289 b 1916 Harp. cf. Bk. 256, 5 = Et. M. 353, 43; Antiph. fr. 30; Dem. 19, 41 et 193 1917 Tim. (p. 83)

1909 Z 948 1910—11 Z 945 1912 Z 822 1914 Z 822 1915 Z 822. Proc. cf. 2158 1917 Z 797

A(GITFVM) 2 ἐς] ἐπὶ M. Schmidt 7 ἀφελκύσασθαι A 14 θέλει GIFM 15 Βονώνου AF: Βονώτου V Μονώτου GIM 16 Πραώτου A 21 ἔλεον AF: ἔλεγον VM ἔλεγεν GI 22 με bis om. A 26 καὶ om. A 27 Παραπρεσβείας F Harp. ep.: Παραπρεσβείαις A περὶ Παραπρεσβείας T περὶ πρεσβείας GIVM 28 ὁρμώμεναι] ὡρισμέναι Port.

1918 Ἐπαγγείλαντας: ἐπικαλεσαμένους. τοὺς δὲ ὀρθῶς λογισμοῖς χρησαμένους καὶ τὴν σὴν βοήθειαν ἐπαγγείλαντας σωτηρίας τετυχηκότας.

1919 Ἐπαγωγά: ἀπατηλά, πιθανά, ἐφολκά. καὶ διεκελεύετο Σ
ἐπαγωγοῖς λόγοις αὐτοὺς παύειν ὧν ὁρᾶν διανοοῦνται. E
1920 Ἐπάγομαι· αἰτιατικῇ. Synt.

1921 Ἐπαγωγή: πειρασμός· ἢ ζημία, αἰχμαλωσία, ἤτοι τὸ ὀπωσοῦν Σ
ἐπαγόμενον κακόν. βουλόμενος γὰρ ὁ Ὠριγένης μηδὲν ἐᾶσαι EV
ἀνερμήνευτον εἰς ἐπαγωγὴν ἑαυτὸν περιέβαλεν ἁμαρτίας.

1922 Ἐπαγωγή. περὶ Πλάτωνός φησιν· ἀναγκαῖον ἡγησάμην Δ|
ὑπογράψαι καὶ τὴν φύσιν τῶν λόγων καὶ τὴν τάξιν τῶν διαλόγων καὶ τὴν ἔφοδον τῆς ἐπαγωγῆς.

1923 Ἐπαγωγή· ἐπαγωγή ἐστι λόγος διά τινων ἀληθῶν τὸ ὅμοιον Phil.
αὐτῷ ἀληθὲς οἰκείως ἐπιφέρων. δύο δὲ τῆς ἐπαγωγῆς εἰσὶ τρόποι, ὅ τε κατ' ἐναντίωσιν καὶ ὁ ἐκ τῆς ἀκολουθίας. ὁ μὲν οὖν κατ' ἐναντίωσίν ἐστιν ἐξ οὗ τῷ ἐρωτωμένῳ περὶ πᾶσαν ἀπόκρισιν ἀκολουθήσει τὸ ἐναντίον· οἷον, ὁ ἐμὸς πατὴρ τῷ σῷ πατρὶ ἤτοι ἕτερός ἐστιν ἢ αὐτός. εἰ μὲν οὖν ἕτερός ἐστιν τοῦ ἐμοῦ πατρὸς ὁ σὸς πατήρ, πατρὸς ἕτερος ὢν οὐκ ἂν εἴη πατήρ· εἰ δὲ ὁ αὐτός ἐστι τῷ ἐμῷ πατρί, ὁ αὐτὸς ὢν τῷ ἐμῷ πατρὶ ὁ ἐμὸς ἂν εἴη πατήρ. καὶ πάλιν, εἰ μὴ ζῷόν ἐστιν ὁ ἄνθρωπος, λίθος ἂν εἴη ἢ ξύλον. οὐκ ἔστι δὲ λίθος ἢ ξύλον ἔμψυχος γάρ ἐστι καὶ ἐξ αὐτοῦ κινεῖται. ζῷον γάρ ἐστιν. εἰ δὲ ζῷόν ἐστι, ζῷον δὲ καὶ ὁ κύων καὶ ὁ βοῦς, εἴη ἂν καὶ ὁ ἄνθρωπος ζῷον. καὶ κύων καὶ βοῦς. καὶ οὗτος μὲν ὁ τῆς ἐπαγωγῆς κατ' ἐναντίωσιν καὶ μάχην τρόπος ὁ διελέγχων. ὁ δὲ τῆς ἀκολουθίας ἐστὶ διπλοῦς· ὁ μὲν τὸ ἐπὶ μέρους ζητούμενον διὰ τοῦ ἐπὶ μέρους ἀποδεικνύς. καὶ ἔστιν ὁ μὲν πρότερος ῥητορικός, ὁ δὲ δεύτερος διαλεκτικός. οἷον, ἐν τῷ προτέρῳ ζητεῖται, εἰ ὅδε ἀπέκτεινεν. ἀπόδειξις τὸ εὑρῆσθαι αὐτὸν κατ' ἐκεῖνον τὸν καιρὸν ἡμαγμένον. ῥητορικὸς δέ ἐστι ὁ τρόπος τῆς ἐπαγωγῆς οὗτος· ἐπειδὴ καὶ ἡ ῥητορικὴ περὶ τὰ ἐπὶ μέρους, οὐ τὰ καθόλου τὴν πραγματείαν ἔχει. ζητεῖ γὰρ οὐ περὶ αὐτοῦ τοῦ δικαίου, ἀλλὰ τῶν ἐπὶ μέρους δικαίων. ὁ δὲ ἕτερός ἐστι διαλεκτικός, προαποδειχθέντος τοῦ καθόλου διὰ τῶν ἐπὶ μέρους. οἷον ζητεῖται, εἰ ἡ ψυχὴ ἀθάνατος, καὶ εἰ ἐκ τῶν τεθνεώτων οἱ ζῶντες· ὅπερ ἀποδείκνυται ἐν τῷ περὶ ψυχῆς διά τινος καθολικοῦ, ὅτι ἐκ τῶν ἐναντίων τὰ

1919 — ἐφολκά = Σ* cf. H, sch. Thuc. 6, 8, 2 1920 = Synt. Laur. 1921 — κακόν = Ba 225, 30, Lex. Rhet. in Et. Gen., Et. M. 352, 45 cf. H βουλόμενος sq. Georg. 456, 18—20 = EV 1, 139, 8—9 1922 · ἀναγκαῖον sq. Laert. 3, 47 1923 — p. 328, 3 ἀνάπαλιν Laert. 3, 53—5

1918 Z 823 1919 Z 808 1921 Z 797. Georg. cf. v. Ὠριγένης 1923 Laert. Z 797. Tact. cf. post litt. Ψ

1 ὀρθῶς A: ὀρθοῖς rell. λογισμοῖς AF: λόγοις rell. 4 καὶ om. GITM A(GITFVM) 17 αὐτός] ὁ αὐτός Laert. 21 οὐκ—ἑύλον om. V 22 γάρ] ἄρα Laert. 32 ὁ] οὐ A 33 τῶν AFV Laert.: τοῦ GM τὸ I

ἐναντία. καὶ αὐτὸ δὲ τὸ καθόλου κατασκευάζεται ἔκ τινων ὄντων ἐπὶ μέρους, ὅτι τὸ καθεύδειν ἐκ τοῦ ἐγρηγορέναι καὶ ἀνάπαλιν, καὶ τὸ
Tact. μεῖζον ἐκ τοῦ μικροτέρου καὶ ἀνάπαλιν. ἐκ τῶν Τακτικῶν. Ἐπαγωγὴ πάλιν ἐστίν, ὅταν τάγμα τάγματι ὑποτάσσηται, οἷον τετραρχίας ἡγουμένης αἱ λοιπαὶ τετραρχίαι ὑποτάσσωνται, ἢ ξεναγίας ἡγουμένης αἱ λοιπαὶ ξεναγίαι ἑπακολουθοῦσι, καὶ καθόλου, ὅταν σύνταγμα συντάγματι ἐν πορείᾳ ἕπηται, ὥστε τοῖς τοῦ προηγουμένου συντάγματος
Phil. οὐραγοῖς τοὺς τοῦ ἑξῆς συντάγματος ἡγεμόνας συνάπτειν. ἐκ τῶν Τοπικῶν. ὅτι ἡ ἐπαγωγὴ καὶ ὁ συλλογισμὸς ὄργανά εἰσι λόγων διαλεκτικῶν, καθ' οὓς τὸ γυμνάζεσθαι γίνεται. καὶ ἡ μὲν διὰ τοῦ καθόλου δεῖξις συλλογιστική, ἡ δὲ διὰ τῶν ὑπὸ τὸ καθόλου ἐπακτική. ὑποτάσσεται δὲ τῷ μὲν συλλογισμῷ τὸ ἐνθύμημα, τῇ δὲ ἐπαγωγῇ τὸ παράδειγμα. καὶ ἔστι τὸ μὲν ἐνθύμημα ῥητορικὸς συλλογισμός, τὸ δὲ παράδειγμα ῥητορικὴ ἐπαγωγή. ἐπαγωγὴ δέ ἐστιν ἡ διὰ τῶν καθ' ἕκαστα ἐπὶ τὰ καθόλου πρόοδος. διὸ οὐχ ὑγιῶς λέγουσιν οἱ λέγοντες τὴν ἐπαγωγὴν λόγον εἶναι ἀπὸ ὁμοίου ἐπὶ ὅμοιον· οὐ γὰρ ὅμοιον τὸ καθόλου τοῖς ὑπ' αὐτό· τῆς δὲ τοῦ καθόλου δείξεως χάριν ἡ ἐπαγωγὴ μάλιστα. ὁ δὲ ἀπὸ ὁμοίων ἐπὶ ὅμοιον λόγος μᾶλλον ἂν τὸ παράδειγμα σημαίνοι· ὁ γὰρ λόγος ὁ διὰ τῶν καθέκαστα τὸ καθόλου δεικνὺς καὶ πιστούμενος, οὗτός ἐστιν ἐπαγωγή. ὁ γὰρ δεικνὺς διὰ τῶν καθόλου ὅτι ἐν πᾶσιν ἄριστος ὁ ἐπιστάμενος διὰ τοῦ λαβεῖν, ὅτι κυβερνήτης ἄριστος ὁ ἐπιστάμενος, ὁμοίως καὶ ἡνίοχος, ὁμοίως καὶ στρατηγός, ὁμοίως καὶ ἰατρός, ὁμοίως καὶ γεωμέτρης, μουσικός, τέκτων, δι' ἐπαγωγῆς τοῦ ἐν πᾶσιν ἄριστον εἶναι τὸν ἐπιστάμενον τὴν δεῖξιν ποιεῖται.

Σ 1924 Ἐπαγωνιεῖται: φιλονεικήσει, προσκαρτερήσει.
Σ 1925 Ἐπάδοντος: φαρμακοῦ, γόητος.
Δ 1926 Ἐπάειραν: ἐπῆραν.
1927 Ἐπαθαίνετο: πάσχειν ᾤετο δεινά.
Σ 1928 Ἔπαθλον: νικητήριον.
Δ+x 1929 Ἐπαΐειν: ἀκούειν. ὀλίγα διαλεκτικῆς ἁψάμενος, καὶ ὅσα ἐπαΐειν ὑπὲρ αὐτῶν ἔχων, ἄλλο οὐδὲν πλέον περιεργασάμενος· τὸ γὰρ εἰ τὸ α', τὸ β'. ἀλλὰ μὴν τὸ α'· τὸ ἄρα β'· ἴσασιν ἤδη περιφερόμενον αἱ πάνδοκοι γρᾶες.

1923 vs. 3. 4 Ἐπαγωγή—8 συνάπτειν Tact. 47 vs. 9 ἐπαγωγὴ sq. Alex. Aphr. 85, 26—86, 19 1924 = Σ^{A}, Et. Gen., Et. M. 352, 47 cf. H 1925 = Ba 225, 32 cf. H 1926 = Ambr. 1595 1928 = Ba 225, 33 1929 — ἀκούειν cf. Ambr. 1638, H. ὀλίγα sq. Dam. fr. 223

1924 Z 820 1925 Z 821 1926 Z 823 1929 cf. v. A 278 et v. πάνδοκοι

A(GITFVM) 1 τὸ om. F 4 τάγμα om. FV 5 ὑποτάσσωνται A, v. l. post litt. Ψ, Coisl.: ὑποτάσσονται rell. 6 ἑπακολουθῶσι post lett. Ψ, Tact. 7 τοῖς πρὸ τοῦ ἡγουμένου F 10 γυμνάζειν V^{ac} 11 τὸ om AIF 14 δέ om. GITM, nov. gl. 16 οὐ γὰρ ὅμοιον om. V 19 σημαίνοι T Alex.: σημαίνει rell. 24 τοῦ AFV Alex.: τὸ GITM 25 ποιῆσαι F 32 αὐτῶν] αὐτῆς v. A 278, Toup

1930 Ἐπαῖοι: αἰσθάνοιτο. ἀντιλαμβάνοιτο, συγκατατίθοιτο. Σ |
ἄρχειν δὲ αὐτῶν ἔταξε λοχαγοὺς ἀμφοτέρων τῶν διαλέκτων ἐπαίοντας. E
1931 Ἐπακτῆρες: κυνηγοί. ἀπὸ τοῦ ἐπάγειν τοὺς κύνας. ἢ Σ
ἐπάγεσθαι ὑπὸ τῶν κυνῶν· προέλκονται γὰρ οἱ κύνες τοὺς κυνηγέτας Soph
ἐπὶ τὰ ἐπαγόμενα. Ὅμηρος· πρὸ δ' ἄρ' αὐτῶν ἴχνι' ἐρευνῶντες κύνες
ἦϊσαν.
1932 Ἐπακτόν: ἐπαγόμενον, ξένον, σφοδρόν. ἐπακτὸν τῇ ψυχῇ Σ
φησὶ Πλωτῖνος τὴν ἀρετήν· ἐκείνῳ δέ, ὅθεν μιμηταμένην ἔχει, σύμ- Phil.?
φυτον. ἀλλ' εἰ μὲν οὗ μεταλαμβάνει ἡ ψυχή, τὸ αὐτὸ ἦν τῷ ἀφ' οὗ·
νῦν δὲ ἕτερον μὲν ἐκεῖνο, ἕτερον δὲ τοῦτο.
1933 Ἐπακτὸς ὄμβρος: σφοδρός. Σ
1934 Ἐπακτὸς ὅρκος: ὁ μὴ αὐθαίρετος, ἀλλ' ἐφ' ὃν ἕτερος ἄγει. Σ
1935 Ἐπακτὸς ὅρκος: ὃν ἄν τις αὐτὸς ἑκὼν ἑαυτῷ ἐπάγηται, Harp.
τουτέστιν αἱρῆται. ἄλλοι δὲ τοὐναντίον, ὁ ἀλλαχόθεν ἐπιφερόμενος,
ἀλλ' οὐκ αὐθαίρετος. ἔστι δὲ ὅρκου τρία εἴδη· ἀπώμοτος, κατώμοτος,
ἐπακτός.
1936 Ἐπακτρία χώρα· κατὰ τοὺς παλαιοὺς χρόνους κωμηδὸν Σ
οἰκοῦντας τοὺς Ἀθηναίους ὁ Κέκροψ συναγαγὼν κατῴκισεν εἰς φυλὰς
ιβ′ καὶ τὴν τῶν πολιτῶν ἐπωνυμίαν ἀφ' ἑαυτοῦ Κεκροπίαν προσηγό-
ρευσε· δύο δὲ τετραπόλεις ἐκάλεσεν ἐκ τῶν τεττάρων πόλεων ἑκατέ-
ραν μοῖραν κατασκευάσας· τρεῖς δὲ τὰς λοιπὰς ἐπακτρίδας ὠνόμασε.
καὶ ἡ προσεχὴς χώρα ταύταις ταῖς τρισὶν ὁμωνύμως αὐταῖς Ἐπακτριὰς
ἐκαλεῖτο.
1937 Ἐπακτρίς: εἶδος πλοίου. ἐμβάντες δὲ εἰς τὰς ἐπακτρίδας Δ
καὶ τὰς δρομάδας ὁλκάδας τὸν ὅρμον περιενόστησαν. E
1938 Ἐπακτροκέλης: πλοῖον ληστρικόν, μεταξὺ ἐπακτρίδος καὶ Σ
κέλητος· ἅπερ καὶ αὐτὰ πλοιάρια ἐστιν.
1939 Ἐπαλαμᾶτο: ἐμηχανᾶτο, ἐτεχνάζετο. παλάμαι γὰρ αἱ τέ- Σ?
χναι. καὶ Ἐπαλαμήσατο, ἐμηχανήσατο, ἐπενόησεν. Ἀριστοφά- Ar.
νης Νεφέλαις· τί οὖν πρὸς τἄλφιτ' ἐπαλαμήσατο;

1930 — αἰσθάνοιτο = Ba 226, 2 cf. sch. Ar. Vsp. 515 1931 — κύνας = Ba 226, 4, Et. Gen., Et. M. 353, 16, sch. P 135 cf. H, Ap. S. 70, 23, L ἐπάγεσθαι sq. sch. Soph. Ai. 7; τ 435—6 1932 — σφοδρόν = Σ^{A} cf. H v. ἐπακτούς Πλώτινος Enn. 1, 21, 1 (p. 51, 3 ed. Volkmann) 1933 = Σ^{A} 1934 cf. H = Zen. III 80 1935 Harp. = Et. Gen., Et. M. 353, 12 1936 κωμηδὸν sq. = Lex. Rhet. ap. Et. Gen. et Et. M. 352, 53 1937 = Ambr. 1455 1938 = Paus. Att. fr. 170 ap. Eust. O. 1539, 24 cf. Ael. D. fr. 170 ap. Eust. O. 1871, 63, Harp., Et. Gen. = Et. M. 353, 7, Bk. 255, 13, sch. Aeschin. 1, 191, Ammon. p. 148, H, Bk. 187, 31 1939 Ἐπαλαμήσατο sq. Ar. Nu. 176 c. sch.

1931 Z 787 1932 Z 808 1933—5 Z 787 1937 Z 797 1938 cf. v. K 1301 fin. Z 787 1939 cf. vv. παλάμαι, παλαμᾶσθαι, παλάμη, παλαμῶν. Z 821

8 μιμηταμένην E Plotin. 9 μὲν] μὴν V^{ac} οὗ Bhd.: οὐ omnes μετα- A(GITFVME)
λαμβάνοι A 14 αἱρεῖται I Harp. Et. 15 ὅρκου εἴδη τρία AF 21 μοῖραν
AFV Et.: πεῖραν GITM

Σ 1940 Ἐπαλλάξαντες: ἐπιλέξαντες.

Harp. 1941 Ἐπαλλάξεις: ἀντὶ τοῦ συναλλαγάς, ἢ μίξεις. Ἀντιφῶν.

Σ 1942 Ἐπαλεξήσων: βοηθήσων.

Σ| 1943 Ἐπαλείφων: γυμνάζων. καὶ χρίων. κασσιτέρῳ δὲ
E ἐπαλήλιπτο τὰ κράνη αὐτῶν.

Δ 1944 Ἐπαληθείς: πλανηθείς.

Σ 1945 Ἐπάλληλον: ὅμοιον.

Σ 1946 Ἐπάλξεις: προμαχῶνες οἱ τῶν τειχέων καὶ τῶν πύργων.

Anth. καὶ ἐν Ἐπιγράμμασι· προβλὴς ὥς τις ἔπαλξις ἀνέμβατος.

Δ 1947 Ἐπαλξίτης.

Hdt. 1948 Ἐπαμησάμενος: ἀνακινήσας. Ἡρόδοτος.

E? 1949 Ἐπαμινώνδας· ὅτι Ἀθηναίων καὶ Μαντινέων μαχεσαμένων Ἐπαμινώνδας τιτρώσκεται κατὰ τὸν πόλεμον· καὶ τετρωμένον αὐτὸν κομίζουσιν ἐκ τῆς παρατάξεως ἔτι ζῶντα. ὁ δὲ τέως μὲν τὴν χεῖρα ἔχων ἐπὶ τῷ τραύματι ἐταλαιπώρει καὶ ἐς τοὺς συμμάχους ἀφεώρα· λαβόντος δὲ ἴσον τοῦ ἀγῶνος τὸ πέρας, οὕτω τὴν χεῖρα ἀπέσχε τοῦ τραύματος, καὶ αὐτὸν ἀφέντα τὴν ψυχὴν ἔθαψαν, ἔνθα σφίσι γέγονεν ἡ συμβολή. τῷ τάφῳ δὲ κίων ἐφέστηκε καὶ ἀσπὶς ἐπ' αὐτῷ, δράκοντα ἔχουσα ἐπειργασμένον. ἤθελε δὲ ὁ δράκων σημαίνειν τοῦ γένους τῶν Σπαρτῶν ὄντα τὸν Ἐπαμινώνδαν. τὸν δὲ Ἐπαμινώνδαν στρατηγίας ἕνεκα τῶν παρ' Ἕλλησιν εὐδοκιμησάντων μάλιστα ἐπαινέσαι τις ἄν, ἢ οὐδενὸς ποιήσαιτο ὕστερον. ὅτι ἐγεγόνει τῷ Ἐπαμινώνδᾳ χρησμὸς πέλαγος αὐτὸν φυλάττεσθαι. καὶ ὁ μὲν ἐπιβῆναι πλοίου δεῖμα εἶχε. τῷ δὲ ἄρα πέλαγος δρυμὸν καὶ οὐ θάλασσαν προὔλεγεν ὁ δαίμων. χωρία δὲ ὁμώνυμα.

Σ 1950 Ἐπαμῦναι: ἐπιβοηθῆσαι. δοτικῇ δὲ συντάσσεται. ἐπήμυνε τοῖς ἀδικουμένοις. καὶ Ἐπάμυνον, βοήθησον.

Σ 1951 Ἐπαμφοτερίσαι: εἰς ἀμφιβολίαν ἀγαγεῖν τὸν λόγον, ὡς καθ' ἑκάτερον ἐλέγχεσθαι.

Σ 1952 Ἐπανάκρουσαι πάλιν: ἀπὸ τῶν ἐρετῶν, ὅταν στρέψαντες τὴν πρύμναν ἀνακρούσωνται, ἵνα ὀπίσω τὸ πλοῖον ἀναχωρήσῃ.

1940 = Ba 226, 6 1941 Harp.; Antiph. fr. 108 1942 = Σ^{a} (in Λ 428) 1943 — γυμνάζων = Ba 226, 5 cf. H 1944 = L, H, sch. δ 81 cf. Ambr. 1597 1945 = Ba 226, 7 cf. H 1946 — πύργων = Σ^{a}, Ba 226, 9 cf. H, sch. Luc. 255, 3, sch. M 258 et X 3, Et. M. 353, 20, Orion 54, 5, Bk. 243, 16 προβλὴς sq. Anth. 5, 293, 3 1947 = L 1948 Gl. Hdt. 8, 24 1949 — vs. 22 ὕστερον Paus. 8, 11, 5, 6—9 ὅτι sq. Paus. 8, 11, 10 (fort. e coll. orac.) 1950 — ἐπιβοηθῆσαι = Σ^{a} cf. Ba 226, 8 = H. δοτικῇ—ἀδικουμένοις cf. Bk. 125, 16—23; δοτικῇ cf. Synt. Laur. et Gud., Bk. 143, 13. Ἐπάμυνον sq. = Σ^{a} 1951 — λόγον Tim. 1952 — ἀναχωρήσῃ = Et. Gen., Et. M. 353, 32, H cf. sch. Ar. Vsp. 398

1940 Z 821 1941 Z 798 1943 Z 820 1945 Z 808 1946 cf. vv. προμαχῶνος et πυργοβάρεις. Z 798 1948 Z 823 1950 cf. 2188 1951 Z 822 1952 Z 822

A(GITFVM) 5 ἐπαλήμπτο A 9 καὶ om. A 13 τετρωμένον—25 ὁμώνυμα] τὰ ἑξῆς F 16 ἴσον om. V 19 ἀπειργασμένον V 20 τὸν δὲ Ἐπαμινώνδαν A: om. cett. 23 χρησμὸς] μαντεία Paus. αὐτὸν—24 πέλαγος om. A 24 δρυμὸν Bas. Paus.: δρυμῶν omnes 26 δοτικῇ post l. add. A ἐπήμηνε A 30 τρέψαντες GITM

Ἀριστοφάνης Ὄρνισι· δεῦρ' ἐπανάκρουσαι πάλιν. ἀντὶ τοῦ ἐπανά- Ar.
καμπτε. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν τὰς ἡνίας ἀνακρουομένων ἢ τὰς
ναῦς. ἢ ὑπόστρεψον, ἐπάνιθι. ἐπανάκρουσις δὲ κυρίως τὸ ἐπισχεῖν τὴν
ἐπερχομένην ναῦν μεθ' ὁρμῆς εἰς τὸν ὅρμον, ἵνα μὴ προσελθοῦσα
θραύσῃ. τὸ δὲ πάλιν ἐπὶ τοῦ ὀπίσω, ἀπὸ τῶν εἰς τοὔμπροσθεν
ἐρεσσόντων. ἢ ἀντὶ ἅπαξ πρὸ τούτου, πάλιν ἅπαξ καὶ ἐπανάλαβε.
1953 Ἐπαναβάλεσθε: περιστολίσασθε. ἱμάτια τἀνδρεῖα περιστολί- Ar.
σεσθε.
1954 Ἐπαναβαίνω· δοτικῇ συντάσσεται. οἱ δὲ ἐπανέβαινον τῷ ὄρει.
καὶ γενικῇ· ἐπαναβαίνειν τῶν τοιούτων τῆς νεὼς πειρώμενος. Synt.
1955 Ἐπανάγω· αἰτιατικῇ. Synt.
1956 Ἐπαναφορά: τὸ ἀναφέρειν καὶ ἀνακοινοῦσθαι τῷ πλήθει. Harp.
1957 Ἐπαναχθέντες: ἐπανακομισθέντες.
1958 Ἐπανέβην· αἰτιατικῇ. Synt.
1959 Ἐπανεθήσεται: ἀντὶ τοῦ ἐπαφεθήσεται. κἀμοί τε τῶν τελῶν
ἐπανεθήσεται καὶ μεγάλα κερδανῶ.
1960 Ἐπανέντας: ἀφέντας. Σ
1961 Ἐπανέσχετο: ἐπανελάβετο. ὁ δὲ τὸν πρὸς Γέτας πόλεμον E
ὡς μάλιστ' ἐπείγοντα ἐπανέσχετο.
1962 Ἐπανετείνοντο· δοτικῇ. Ξενοφῶν· ἐπανετείνοντο δὲ καὶ E
μείζονες ἐλπίδες τοῖς ἀξίοις ἔπαινοί τε, καὶ εἴ τι ἐν τῷ ἐπιόντι
χρόνῳ ἀγαθὸν εἶναι μεῖζον φαίνοιτο. Ἐπανετείνοντο οὖν ἐν Σ
προσδοκίᾳ ἦσαν· ἢ ηὔξοντο, ἐμεγαλύνοντο.
1963 Ἐπανέχειν· οἰκείᾳ συνέσει χρῆσθαι καὶ μὴ ταῖς βίβλοις
ἐπανέχειν.
1964 Ἐπανέχειν: ὑψοῦν. Σ
1965 Ἐπανεῖπον: ἐκήρυξαν. Θουκυδίδης η'· τῶν δὲ διαφυγόντων Σ
θάνατον διαγνόντες ἐπανεῖπον ἀργύριον τῷ ἀποκτείναντι.
1966 Ἐπάνηκε: ἐπάνελθε. Δ

1952 δεῦρ' sq. Ar. Av. 648 c. sch. 1953 Ar. Eccl. 276 c. sch. 1954 — δοτικῇ + καὶ γενικῇ = Synt. Laur.; γενικῇ = Synt. Gud. 1954 = Synt. Laur. 1956 Harp. 1957 = Ba 226, 11 cf. H 1958 cf. Synt. Laur. 1959 κἀμοί sq. ad Iambl. dubitanter rettulit Bruhn, Rh. Mus. 45, 281, 1 1960 cf. Ba 226, 14, Σ^{A} 1962 δοτικῇ cf. Synt. Gud. ἐπανετείνοντο sec.—φαίνοιτο Xen. Cyr. 2, 1, 23 1963 οἰκείᾳ sq. Artem. 1, 12 init. 1964 = Ba 226, 12, H 1965 cf. Poll. 2, 128; — ἐκήρυξαν cf. sch. Thuc. 6, 60, 4, H; τῶν sq. Thuc. 6, 60, 4 1966 = Ambr. 1598 cf. 1652

1953 Z 819 1956 Z 797 1957 Z 820 1959 Z 823 1961—3 Z 823 1965 Z 824 1966 Z 820

5 καὶ θραύσῃ A 6 ἀντὶ AVM: ἀντὶ τοῦ GIF cf. sch. 7 Ἐπανα-. A(GITFVM)
βάλεσθαι A περιστολίσασθε F Zon. sch.: περιστολίσεσθε AGIM περιστολί-
σεσθαι A^{ac} περιστολίζεσθε V om. T ἱμάτια—περιστολίσεσθε om. A
7. 8 περιστολίσεσθε GIT^{ac}FM: περιστολίζεσθε T^{ac}V ἐπαναβάλεσθε Zon. cf. Ar.
1954 om. T 10 καὶ—πειρώμενος om. FV πειρώμενος A: πειρώμενοι GIM
1957 om. T 13 ἐπανακομισθέντες om. GIM 1962 om. T 22 Ἐπανε-
τείνετο GIM 23 ηὔξηντο A 24 χρᾶσθαι GITVM ταῖς] τοῖς TF 27 η']
ς' Valck.

Σ 1967 Ἐπανήρατο: ἐπειρᾶτο, εἵλετο.

Σ 1968 Ἐπανηρημένος: προηρημένος, θέλων.

Synt. 1969 Ἐπανιστῶ· δοτικῇ. καὶ Ἐπανίσταμαι· δοτικῇ

Σ 1970 Ἐπανιτέον: ἐπανακτέον.

Δ 1970b Ἐπανώχθη.

Synt. 1971 Ἐπανορθῶ· αἰτιατικῇ.

Synt. 1972 Ἐπαντλῶ· αἰτιατικῇ.

E 1973 Ἐπάντους: ὑψηλοῦ. Θουκυδίδης· οἱ δὲ Ἀθηναῖοι βαλλόμενοι ὑπὸ πολλῶν ἀπὸ τοῦ λόφου ἐπάντους ὄντος, διϊκνοῦντο γὰρ ῥᾳον οἱ ἄνωθεν, οὐ δυνάμενοι βιάσασθαι ἀνεχώρουν.

Ar. 1974 Ἐπαποδυώμεθα: ἀντὶ τοῦ ἐπιχειρήσωμεν. Ἀριστοφάνης· ἀλλ' ἐπαποδυώμεθα τουτῳὶ τῷ πράγματι.

Σ 1975 Ἐπαπόρησις: ἀπορία.

Synt. 1976 Ἐπαποδύρομαι· αἰτιατικῇ.

Σ 1977 Ἐπάρας: πείσας. θρασυτάτους ἄνδρας ἐλπίσιν εὐεργεσιῶν
E ἐπάρας ἀνοσίων ἔργων ἀρχηγοὺς γενέσθαι. καὶ αὖθις· μειζόνως
E ἐπαινέσας, τοῖς τε ἄλλοις ἐπάρας καὶ ὅτι ἀποχρῶν ἔσται τοῖς ἀμφ' αὐτὸν ὠνεῖσθαι τὰ ἐπιτήδεια τῆς ξυμβαινούσης τιμῆς. καὶ αὖθις·
E καὶ καταψευσάμενος τοῦ βασιλέως θάνατον καὶ ἐπάρας πολλοὺς τὰ λυσιτελῆ οἱ φρονεῖν καὶ τῆς ἐκείνου μερίδος εἶναι ἤθροισε δύναμιν ῥᾳδίως πολλήν.

Σ 1978 Ἐπάρατοι: ἐπαγωγοί. καὶ Ἐπάρατος, ἐπικατάρατος.

Σ 1979 Ἐπαρήγειν: βοηθεῖν.

Δ 1980 Ἐπαρώμενοι· δοτικῇ. καταρώμενοι.

Synt. 1981 Ἐπαρκῶ· δοτικῇ.

Σ 1982 Ἐπαρτήσας: ἐπικρεμάσας. ὁ δὲ εἰς Πέρσας ἤγαγεν αὐτοὺς
E κακὴν δουλείαν ἐπαρτήσας αὐτοῖς. καὶ αὖθις Αἰλιανός· μὴ ὑποδέξασθαι τὰς ψυχὰς αὐτῶν σὺν εὐμενείᾳ, ἀλλ' ἐπαρτῆσαι τὰς δι' αἰῶνος τιμωρίας αὐτοῖς.

Σ + x 1983 Ἐπαρτωμένων: ἐπικρεμαμένων. τὸν ἄνδρα ἐπὶ τοσόνδε καρτερίας ἐλθεῖν ὥστε μεγίστων φόβων ἐπαρτωμένων καὶ βασάνων προσαγομένων αὐτῷ οὐδὲν τῶν ἀπορρήτων εἰπεῖν.

1967 cf. Ba 226, 13 = Σ^a 1968 = Ba 226, 15 1969 Ἐπανίσταμαι sq. = Synt. Laur. et Gud. 1970 = Ba 226, 16 1970b cf. Ambr. 1702b 1972 = Synt. Laur. et Gud. 1973 οἱ δὲ sq. Thuc. 7, 79, 2 1974 Ar. Lys. 615 c. sch. 1975 = Ba 226, 18, H 1977 — πείσας cf. Tim. μειζόνως—τιμῆς Arr. Parth. vel Exc. fr. 13 1978 — ἐπαγωγοί = Σ^a cf. Ba 226, 19. Ἐπάρατος sq. = Ba 226, 20, H 1979 = Ba 226, 21 (in Ω 39) cf. H 1980 δοτικῇ cf. Synt. Laur. et Gud. καταρώμενοι = H cf. Ambr. 1601 1981 = Synt. Laur. et Gud. 1982 — ἐπικρεμάσας cf. Ba 226, 22 = H vs. 26 ὁ—27 αὐτοῖς Aelian. fr. 35. μὴ sq. Aelian. fr. 77 1983 τὸν sq. Dam. fr. 185(?)

1967 Z 824 1973 Z 787 1974 Z 824 1977 — πείσας cf. 2195, 2197, 2201, et v. Γ 239. Z 824. Arr. cf. v. A 3852 et v. ξυμβαινούσης 1977 Z 787 1980 Z 820 1982 Aelian. fr. 77 cf. v. K 1066 1983 Z 819

A(GITFVM) 1970b om. GITM 10 βιάσασθαι] ἄσασθαι A 15 πείσας] πίσσας A 26 Πέρσας FV: πέρας rell. 31 ἀπαρτομένων F ἐξαρτωμένων V

1984 Ἐπαρυστρίδες: ἀντλήτιδες. Σ

1985 Ἔπαρχος πραιτωρίων: ὁ τῶν ἑῴων τῆς φορολογίας τὴν ἐπίσταcιν ἔχων παρὰ Ῥωμαίοις. EL

1986 Ἐπάcαντο: ἐγεύcαντο. Σ

1987 Ἐπαοιδός: φαρμακός, γόης. καὶ θηλυκῶς Ἐπαοιδία. Σ

1988 Ἐπαυδῆcαι: ἐπειπεῖν. Σ

1989 Ἐπαύλειος: ἡ τῆς αὐλῆς ὁδός. Δ

1990 Ἐπαύλια λέγεται, καθόcον ἐν τῇ τοῦ νυμφίου οἰκίᾳ ἡ νύμφη τότε πρῶτον ἐπηύλιcται. καλεῖται δ' ἐπαύλια καὶ τὰ μετὰ τὴν ἐχομένην ἡμέραν τῶν γάμων παρὰ τοῦ τῆς νύμφης πατρὸς δῶρα φερόμενα τῷ νυμφίῳ καὶ τῇ νύμφῃ ἐν πομπῆς cχήματι. παῖc γὰρ ἡγεῖται χλανίδα λευκὴν ἔχων καὶ λαμπάδα καιομένην, ἔπειτα μετὰ τοῦτον κανηφόρος, εἶθ' αἱ λοιπαὶ ἀκολουθοῦcιν ἐφεξῆc φέρουcαι χρυcία, λεκανίδας, cμήγματα, φορεῖα, κτένας, κοίτας, ἀλαβάcτρους, cανδάλια, θήκας, μυράλειπτρα. ἐνίοτε δὲ καὶ τὴν προῖκα ἅμα τῷ νυμφίῳ φέρουcιν. οἱ δέ φαcιν ἐπαύλια τὴν δευτέραν μετὰ τοὺc γάμουc ἡμέραν καλεῖcθαι, ἐν ᾗ πρῶτον ἐπαυλίζεται τῷ νυμφίῳ ἡ νύμφη. Ἐπαύλιον δὲ μονή. περὶ Ἑκάλης θανούcης· ἴθι πρηεῖα γυναικῶν τὴν ὁδόν, ἣν ἀνίαι θυμαλγέεc οὐ περόωcι. πολλάκι cεῖο, μαῖα, φιλοξένοιο καλιῆc μνηcόμεθα· ξυνὸν γὰρ ἐπαύλιον ἔcκεν ἅπαcιν. Call.

1991 Ἔπαυλις: ἡ οἰκία, ἐν ᾗ τὴν αὐλιν ποιοῦνται. Αὖλιc δὲ ἡ κοίτη. καὶ Ἐπαυλόcυνοc, ὁ εἰc τὴν ἔπαυλιν ἰών. οὔτε τίν' ἀνδρῶν οὔτε βροτῶν βλάψας, οἴχετ' ἐπαυλόcυνοc. περὶ λέοντοc ὁ λόγοc. Δ Anth.

1992 Ἐπαυλόcυνοc: ὁ εἰc τὴν ἔπαυλιν ἰών. καὶ Ἐπαυλίζονται, ἐπιcκιάζονται. Δ Σ

1993 Ἔπαυλις: μάνδρα βοῶν, καὶ προβάτων αὐλή. τότε μὲν οὖν ἀμφότεροι τὴν ἔπαυλιν ἐπὶ τοῦ χώματοc ἐποιήcαντο οἵ τε Ῥωμαῖοι καὶ οἱ Καρχηδόνιοι. τουτέcτι τὴν κοίτην. Σ E + Δ

1984 = Σ^{e}, Ba 226, 23 cf. L, Ambr. 1354, H 1985 Th. Simoc. 8, 1, 3 = EL 227, 5—7 1986 = Ba 226, 24, sch. A 464, Et. M. 353, 48, H 1987 — γόης = Ba 226, 17 cf. H θηλυκῶc sq. cf. Ambr. 1445 1988 = Ba 226, 25 1989 cf. Ambr. 1517 1990 — νυμφίου + vs. 11 καὶ—17 νύμφη = Et. Gen., Et. M. 354, 1. vs. 15 προῖκα = Paus. Att. fr. 171 ap. Eust. I. 1337, 42 cf. porro H, Poll. 3, 39, H v. ἀπαυλία, Et. M. 119, 17 Ἐπαύλιον sq. Call. (fr. 70 K., 131 S.) c. sch. 1991 — οἰκία cf. H, sch. Ap. Rh. 1, 800. Αὖλιc—κοίτη cf. ad A 4444 οὔτε sq. Anth. 6, 221, 7—8 1992 Ἐπαυλίζονται sq. = Ba 226, 26 1993 — αὐλή = Ba 226, 27, Et. M. 353, 57 cf. H. — βοῶν = Ambr. 1471 cf. sch. Ap. Rh. 1, 800 τότε—Καρχηδόνιοι Polyb. fr. 145

1985 Z 787 1986 Z 824 1987 cf. 2838 1989 Z 797 1990 Z 808 1991 cf. 1992—3 et v. A 4444 1992 cf. 1991. Z 788 1993 cf. 1991. Z 797

3 ἐπίσταcιν A Zon.: ἐπίταcιν rell. ἐπιcταcίαν Th., Exc. 5 καὶ—Ἐπαοιδία A(GITFVM) om. AFV Ἐπαοιδίαc GI ad 1990 Ἐπαύλαια mg. IM 9 καλεῖται AV: καλεῖ GIM 11 ἐν πομπῆc] ἐμπομπῇ V 16 ἐπαύλεια V 17 et 20 ἐπαύλειον V 19 περόωcι Et. M. 442, 38: περέοcι A περῶcι GIVM φιλοξείνοιο Kust. cf. Anth. 9, 545, 3 Καλλιμάχου mg. add. IM 22 οὔτε] οὐ V 23 βρόντων A

Δ 1994 Ἐπαύρασθαι: ἐπαπολαῦσαι. τούτου τὴν αἴτησιν προσεμένων καὶ συγχωρούντων ἐπαύρασθαι τῆς χλιδῆς. καὶ αὖθις· ἄπιθι
E + Hesy. τῆς Ἀκαδημίας, καὶ φεῦγε φιλοσοφίαν· οὐ γάρ σοι θέμις ἐπαύρεσθαι αὐτῆς. πρὸς Κλέαρχον ὁ λόγος τὸν Σολέα, ὃς ἔγραψε διάφορα. ὁρᾷ γὰρ πρός σε ἔχθιστον.

Δ 1995 Ἐπαυρίζω: τὸ φυσῶ. καὶ Ἐπαυρίσκω.

Σ 1996 Ἐπ' αὐτόπτῳ: ἐπ' αὐτοφώρῳ.

Σ 1997 Ἐπ' αὐτοφώρῳ: ἐπ' ὀφθαλμοῖς, ἐπ' αὐτῷ τῷ κλέμματι
E ἁλούς. ὁ δὲ ἐπ' αὐτοφώρῳ τὴν πρᾶξιν λαβὼν ἐν Καρχηδόνι ἐξηπάτητο πρὸς τῆς γυναικὸς ἑκών γε εἶναι.

Σ 1998 Ἐπαυχοῦσι: μέγα φρονοῦσι. καὶ Ἀριστοφάνης· ἐπαυχήσατο
Ar. τοῖς σοῖς λόγοις. ἀντὶ τοῦ ἐμεγαλοφρόνησεν.

Soph. 1999 Ἐπαυχῶ: βεβαίως οἶδα. Σοφοκλῆς. ὡς κἄμ' ἐπαυχῶ τῆσδε τῆς φήμης ἄπο δεδορκότ', ἐχθροῖς ἄστρον ὡς λάμψειν ἔτι.

Ar. 2000 Ἐπαφαυάνθην: ἐξηράνθην. Ἀριστοφάνης Βατράχοις· ὥστ' ἐπαφαυάνθην Παναθηναίοισι γελῶν.

2001 Ἐπαφίασιν· Ἐπαφιᾶσι δὲ πέμπουσιν.

Σ 2002 Ἐπαφώμενον· γενικῇ. ψηλαφώμενον. ὁ δὲ τοῦ τόξου
E ἐπαφώμενος ταῖς χερσίν, ὡς καὶ ταύτῃ περιορᾶν δοκεῖν τὰ Ῥωμαίων πράγματα.

Σ 2003 Ἐπαφρόδιτος: ἐπίχαρις, ἡδύς. Ἀππιανός· καὶ τὴν ἐν
E πᾶσιν ἐπαφροδισίαν ὑπεραίρων ἐσεμνολόγει περὶ ἑαυτοῦ.

Hesy. 2004 Ἐπαφρόδιτος, Χαιρωνεύς, γραμματικός, Ἀρχίου τοῦ Ἀλεξανδρέως γραμματικοῦ θρεπτός, παρ' ᾧ παιδευθεὶς ὠνήθη ὑπὸ Μοδέστου, ἐπάρχου Αἰγύπτου, καὶ παιδεύσας τὸν υἱὸν αὐτοῦ Πετηλῖνον ἐν Ῥώμῃ διέπρεψεν ἐπὶ Νέρωνος καὶ μέχρι Νέρβα, καθ' ὃν χρόνον καὶ Πτολεμαῖος ὁ Ἡφαιστίωνος ἦν καὶ ἄλλοι συχνοὶ τῶν ὀνομάστων ἐν παιδείᾳ. ὠνούμενος δὲ ἀεὶ βιβλία ἐκτήσατο μυριάδας τρεῖς,

1994 — ἐπαπολαῦσαι cf. H, sch. Z 353, Apion, Ambr. 1703, L τούτου—χλιδῆς fort. Aelian. vel Eunap. ἄπιθι—αὐτῆς + ὁρᾷ sq. Aelian. fr. 86
1995 Ἐπαυρίζω = Ambr. 1749. Ἐπαυρίσκω = L cf. Ambr. 1602 et 1703
1996 = H cf. sch. Pl. Ap. 22b 1997 — ἁλούς = Ba 226, 28, Et. Gen., Et. M. 354, 23, sch. Pl. Leg. 942a cf. H, Ambr. 1461 ὁ sq. Proc. h. a. 1, 18
1998 — φρονοῦσι = Σ^{a} ἐπαυχήσατο sq. Ar. Av. 628 c. sch. 1999 Soph. El. 65—6 c. sch. (plenior.) 2000 Ar. Ran. 1089—90 c. sch. 2002 γενικῇ cf. Synt. Laur. et Gud. ψηλαφώμενον = Ba 226, 30 cf. Ambr. 1570 = H ὁ sq. Arr. Parth. fr. 27 2003 — ἡδύς = Ba 226, 31 καὶ sq. App. fr. 5

1994 Aelian. cf. v. K 1714. Z 821 1995 Z 821 1996 Z 808
1998—9 Z 819 2000 Z 820 2003 Z 788 2004 cf. v. A 1895

A(GITFVME) 1 τούτων ed. pr. 3 ἐπαύρασθαι GITM 4 ὁρᾷ—5 ἔχθιστον post 4 αὐτῆς transpos. Port. 7 ἐπ' αὐτοφώρῳ—9 δὲ om. A 15 Ἐπαφαβάνθην AT Ἐπαφαυνάνθην V 16 ἐπαφαυάνθην GIM ms. R in Ar.: ἐπαφαβάνθην AT ἐπαφαυνάνθην V ἐπαναφαυάνθην F Παναθηναίοισι A: Παναθηναίοις rell. 2001 om. AFV 18 ὁ—20 πράγματα om. T huc transtulit Kust. post 2003 rell. 22 ὑπερεπαίρων coni. Schweigh. αὐτοῦ A 23 Ἀρχιβίου coni. Bhd. 23. 24 Ἀλεξανδρέως M^{cp}E Bhd.: Ἀλεξάνδρου A^{cp}GIV 26 διέτριψεν coni. Westermann Νέρμα $AI^{ac}V^{ac}M^{ac}$

καὶ τούτων σπουδαίων καὶ ἀνακεχωρηκότων. τὸ δὲ σῶμα ἦν μέγας τε καὶ μέλας, ὡς ἐλεφαντώδης. ᾤκει τε ἐν τοῖς καλουμένοις Φαινιανοκορίοις δύο οἰκίας αὐτόθι κτησάμενος. ὁ δὲ καὶ πέμπτον ἔτος ἄγων ἐτελεύτησεν ὑδέρῳ περιπεσών. συγγράμματα δὲ κατέλιπεν ἱκανά.

2005 Ἐπαφροδιτότερος: ἐπιχαριτώτερος. Δ

2006 Ἐπαιγίζων: σφοδρῶς πνέων. τοῦ ἀστέρος τῆς Αἰγὸς λάμψαντος σφοδροὶ πνέουσιν ἄνεμοι· ἔνθεν καὶ Ὅμηρος· λάβρος ἐπαιγίζων. Σ Suid.

2007 Ἐπαινέσας: ἀποδεξάμενος εὐχαρίστως. οὗς ἐπαινέσας τῆς προθυμίας ἀρκεῖσθαι ἔφη τοῖς παροῦσι. καὶ αὖθις· ἐπαινέσας αὐτὴν τῆς φιλανδρίας. E

2008 Ἐπαινέτης· Ἀρριανός· τοῦ τε ξὺν κόσμῳ δρωμένου ἐπαινέτης καὶ τοῦ ἀκοσμήτου ἐν τῷ παραυτίκα ἐπιτιμητὴς καὶ τοῦ ἐσύστερον κολαστήρ. E

2009 Ἐπαινεῖσθε: ἀντὶ τοῦ καυχᾶσθε. Δαβίδ· ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ. Thdr.

2010 Ἐπαινῶ· αἰτιατικῇ. Synt.

2011 Ἐπαίομεν ἐν Βραυρῶνι: συνουσιάζομεν, ἡλαύνομεν. Βραυρὼν δὲ τόπος Ἀθήνησιν. Ar.

2012 Ἐπαιώνιστο: εὐφήμιστο. Δ

2013 Ἐπαιρόμενος: Δημοσθένης ἐν μὲν τῷ κατὰ Κτησιφῶντος ἀντὶ τοῦ ἐπανατεινόμενος. ἀλλαχοῦ δέ Harp.

2014 Ἐπαίρω: ὑψῶ. Ἐπαίρεσθαι, τὸ φυσοῦσθαι. Δ

2015 Ἔπαισεν: ἔτυψεν, ἔκρουσεν. ἔπαισε δὲ τὸν ἵππον τῇ λόγχῃ. Σ E

2016 Ἐπαισθάνομαι· γενικῇ. Synt.

2017 Ἐπαισχές: αἰσχύνης παραίτιον. κἀμοὶ μὲν ἐπαισχές ἐστι τὸ πρᾶγμα καὶ βλαβερόν, κἀκείνῳ πολὺ αἴσχιον καὶ βλαβερώτερον. τῆς μὲν προσεδρίας ἐπιπόνου οὔσης, τῆς δὲ ἀποχωρήσεως ἐπαισχοῦς. E

2018 Ἐπαίτης: ὁ πτωχός. καὶ κλίνεται ἐπαίτου. Δ

2019 Ἐπαίχθη: ἐνεπαίχθη, ἐκ τοῦ παίζω. Ἐπέχθη δὲ ἐκτενίσθη. Δ

2020 Ἐπέβαλεν: ἤρξατο, ἐπεχείρησεν. ἢ ἀντὶ τοῦ συνῆν. ὃς καὶ Ἑκαταίῳ τῷ Μιλησίῳ ἐπέβαλε, γεγονότι κατὰ τὰ Περσικὰ καὶ Hesy.

2005 l. cf. Ambr. 1401 2006 — πνέων = Ba 226, 1, Et. Gen. cf. Et. M. 354, 27, sch. B 148, Ap. S. 70, 20, H 2007 οὗς—παροῦσι Arr. Exc. fr. 29; temere Dam. fr. 22 vs. 9 ἐπαινέσας sq. temere Dam. fr. 268 2008 Arr. Parth. vel Exc. fr. 12; l. = L 2009 Thdr. in Ps. 104, 3, PG 80, 1709 b 2010 = Synt. Laur. et Gud. 2011 Ar. Pac. 874 c. sch. 2012 cf. Ambr. 1616, H v. ἐπεπαιώνιστο 2013 Harp.; Dem. 18, 222 2014 — ὑψῶ = Ambr. 1555 cf. 1550, H. Ἐπαίρεσθαι sq. cf. Ambr. 1694 et 1550 2015 — ἔκρουσεν = Ba 226, 3 cf. Ambr. 1665, H 2016 = Synt. Gud. 2018 aliter Ambr. 1343 et 1350 2019 — ἐνεπαίχθη cf. Ambr. 1574 et 1679. Ἐπέχθη sq. = Ambr. 1577 cf. 1576 et 1680

2006 τοῦ sq. ex v. A 4238 cf. v. Al 28 2007 Z 824 2009 Z 824 2014 cf. 2071 2017 Z 808 2019 cf. 2068 et 2112 2020 cf. 739

6 τοῦ—7 ἐπαιγίζων e mg. A 13 κολαστής I cf. Arr. An. 4, 29, 7 A(GITFVME) 2011 om. TF 17 Βραυρῶν GIM 20 κατὰ] ὑπὲρ E, Harp. plen. 22 Ἐπαίρεσθαι nov. gl. GITFV 26 αἴσχιον] αἴτιον V 2020—5 om. T

Σ μικρῷ πρός. ἐξέτεινε δὲ μέχρι τῶν Περδίκκου χρόνων. Ἐπιβολὴ δὲ λέγεται ἔννοια, ἐπιχείρησις.

Ar. 2021 Ἐπεβάτευον: cυνουcίαζον. Ἡρακλῆς φησὶ πρὸς τὸν Διόνυcον· ποῖ γῆς ἀπεδήμεις; ὁ δέ φησιν· ἐπεβάτευον Κλειcθένει. τὸ ἐπιβατεύειν ἐπὶ cυνουcίας· ἀπὸ μεταφορᾶς τῶν ζώων, ἃ ἐπιβαίνοντα cυνουcιάζει. ὁ δὲ Κλειcθένης ἐπ' αἰcχρότητι κωμῳδεῖται. ἦν δὲ λεῖος τὸ γένειον καὶ εὐνούχῳ εἰκάζειν αὐτόν. τὸν δὲ Κλειcθένην καὶ ἐπὶ τοῦ παcχητιᾶν κωμῳδοῦcι. τὸ δὲ ἐπεβάτευον κακέμφατον.

Suid. 2022 Ἐπεβοᾶτο τὸν Χριστόν.

Δ 2023 Ἐπέβριcεν: ἐπεβάρηcεν.

Ar. 2024 Ἐπεγράφου: ἀντὶ τοῦ ἐζωγράφειc. Ἀριστοφάνης· καὶ γὰρ cὺ μεγάλην ἐπεγράφου τὴν Γοργόνα. καὶ Ἐπεγράψατο, ἀντὶ τοῦ ἀπεγράψατο, ἐχειροτόνηcε, κατέcτηcεν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν μετοίκων, τοὺc προcτάτας προcγραφόντων ἑαυτοῖc.

Syn. 2025 Ἐπιγράφομαί cε· αἰτιατικῇ. ὁ τοῦ κόcμου ἄρχων ἀγαθέ, δν ἐπεγραψάμεθα τῇ ἐντολῇ.

2026 Ἐπεγράψαντο: ἀντὶ τοῦ διϊcχυρίζοντο, ἐβεβαίουν. οἱ δὲ εἰc Θράκην εὐδοκιμοῦντα αὐτὸν οἰκιcτὴν ἀντὶ Ἄγνωνος ἐπεγράψαντο.

2027 Ἐπεγχανών: καταγελάcας. οὐ μὴν ἡ τιμωρὸς δίκη τὸν Ε ὑβριcτὴν καὶ ὑπερόπτην εἴαcεν ἐπεγχανεῖν τῷ τοῦ Μελήτου θανάτῳ.

2028 Ἐπεδαψιλεύcατο: κατακόρως ἐχρήcατο. ἐπεδαψιλεύcατο ταῖc ὑποθέcεcι τῆc ἀποκηρύξεωc.

Harp. 2029 Ἐπεδίκαcε καὶ Ἐπεδικάcατο· Δημοcθένης ἐν τῷ κατ' Ὀλυμπιοδώρου. τὸ μὲν ἐπεδίκαcεν οἷον προcέκρινε, τὸ δὲ ἐπεδικάcατο οἷον ἔπειcαν τοὺc δικαcτὰc ἑαυτοῖc προcνεῖμαι τὸν κλῆρον.

Σ 2030 Ἐπέθεντο: ἐπανέcτηcαν. οὐδὲ χρημάτων ἀφαιρέcει ἐπέθετο. ἀντὶ τοῦ ἐλιχνεύcατο, ἐτέρφθη.

Ε 2031 Ἐπεθείαζε: μανικῶc διετίθετο, θεόληπτοc ἐγίγνετο. Μένανδροc· ὁ δὲ ἡγεμὼν ἐν ἑνὶ τῶν ζ' λόφων ἀνελθὼν ἐπεθείαζε ῥήμαcι βαρβάροιc καὶ γαύρῳ τῷ φρονήματι μεγαληγορίᾳ ἐχρῆτο.

Δ 2032 Ἐπεθείαζον: ἐχόρευον.

2020 Ἐπιβολὴ sq. = Ba 228, 31 2021 Ar. Ran. 48 c. sch. 2023 = H 2024 — Γοργόνα Ar. Ach. 1095 c. sch. Ἐπεγράψατο sq. sch. Ar. Pac. 684 2027 οὐ sq. Aelian. fr. 69 2028 ἐπεδαψιλεύcατο alt. sq. Synes. Ep. 72, 219b 2029 Harp. = An. Ox. 2, 494, 20, Et. M. 355, 9 cf. Et. Gen.; Dem. 48, 26 2030 — ἐπανέcτηcαν = Ba 227, 1 2031 ὁ sq. Men. Prot. fr. 71, FHG 4, 269 2032 cf. H

2020 Ἐπιβολὴ sq. cf. 2238 2021 cf. v. ποῖ γῆς 2022 ex 2247 2023 Z 835 2026 cf. 2273 et v. B 519. Z 826 2027 Z 825. — καταγελάcας cf. 172 et 2760 Aelian. cf. v. Μέλητοc 3 2028—9 Z 825 2030 Z 825—6 2031—2 Z 826

A (GITFVM) 1 Περδίκου FVM^{ac} 4 ἀπεδήμης AGIM 7 καὶ pr.] ὡc ed. pr. εὐνοῦχον F 2022 om. AFV 11 ἐζωγράφειc v. l. Zon. Kust.: ἔξω γράφειc omnes v. l. Zon. ἐζωγράφουν sch. 13 ἀπεγράψατο] ἐπεγράψατο A om. sch. 2025 om. FV mg. A 15. 16 ἀπεγραψάμεθα A 16 τῇ ἐντολῇ om. A 18 ἀντὶ] τοῦ add. GIFVM ἀγῶνοc A post 2026 ἀντὶ τοῦ διϊcχυρίζοντο ἐβε add. A 20 Μελήτου s. v., Gsf.: Μέλητοc A^{ac}GIM Μέλιτοc A^{ac}FV 24 προcέκρινε A Harp. ep. Ox.: προέκρινε rell. Et. Harp. plen. 25 ἔπειcε F 31 Ἐπεθείαζεν A Ἐπεθίαζον F cf. Hes.

2033 Ἐπέθρωσκον: ἐπεπήδων. E

2034 Ἐπεκάλει: ὠνείδιζεν, ἐμέμφετο. καὶ αὐτῷ μὲν οὐδεὶς ἐπεκάλει τῶν πώποτε φίλων οὔτε ὄκνου πρόφασιν οὔτε μαλακιζομένην τινὰ ἀναβολὴν ἐν ταῖς χρείαις, οὔτε ῥᾳθυμίαν ἀργίας ἔκγονον ἢ δειλίας. ὁ δὲ πολλοῖς ἐπεκάλει τῶν φίλων τὰ τοιαῦτα ἐγκλήματα. ἀντὶ τοῦ ὠνείδιζε. καὶ αὖθις· ἐπεκάλουν αὐτὸν φθορέα τῶν νέων καὶ κιναιδολόγον ἀποκαλοῦντες. E

2035 Ἐπεκερτόμησεν: ἐχλεύασεν, ἔσκωψεν. ὁ δὲ ἐπεκερτόμησεν αὐτοὺς τῆς ἀβουλίας. Σ+E

2036 Ἐπέκεινα: παρεκεῖ. Σ

2037 Ἐπεκήρυξαν: διασήμως καὶ διαπρυσίως ἐλάλησαν. καὶ ἐπεκήρυξάν τε τάλαντον δώσειν τῷ μηνύσαντι. καὶ αὖθις· οἱ δὲ ἀντίσχειν τῷ δίψει μὴ δυνηθέντες ἐπεκηρυκεύσαντο. E E

2038 Ἐπεκηρυκεύετο: διὰ κήρυκος ἔλεγεν. ἐπεὶ μηδὲ εἷς ἐπεκηρυκεύετο ὑπὲρ τοῦ Λευκίου, διελέγετο αὐτῷ ὁ Δεκέβαλος. Σ+E

2039 Ἐπέκλωσεν: ἐπεκλήρωσεν, ἐμέρισεν. Σ

2040 Ἐπέκλυσεν: ἐκαθέρισεν. ἢ ἀντὶ τοῦ ἐπέρρευσεν. τοιαῦτα καὶ τοσαῦτα ἐπέκλυσε κακά, ὥστε χρυσὸς ἦν αὐτοῖς καὶ λευκή τις ἡμέρα κρατῆσαι τοὺς βαρβάρους. Σ | E

2041 Ἐπεκώμαζεν: ὠρχεῖτο, αἰσχρῶς ἐλάλει. ὁ δὲ προεκθέων ἐπεκώμαζε τοῖς βαρβάροις. καὶ αὖθις· πολλαὶ εἰς τὰς ἐκκλησίας ἐπεκώμασαν ταραχαί. Σ+E E

2042 Ἐπεκτείνομαι· δοτικῇ. Synt.

2043 Ἐπ' ἐλάχιστον: ἐπ' ὀλίγον, πρὸς βραχύ. Δαμάσκιος· εἶχε δὲ ἐπ' ἐλάχιστον τῆς πρὸς τὰ ποιητικὰ συμπαθείας, ἅτε οὐχ ἁπτόμενα τῆς ψυχῆς, ἀλλὰ μέχρι φαντασίας καὶ γλώττης ἱστάμενα.

2044 Ἐπέλαβεν· αἰτιατικῇ. Synt.

2045 Ἐπελέξαντο: ἀνέγνωσαν. εὑρόντες τὰ γράμματα ἐν τῷ ξύλῳ τοῦ διπτύχου, ταῦτα ἐπελέξαντο. Ἡρόδοτος. καὶ αὖθις· ὁ δὲ γραμματεὺς ἐπελέγετο τὰ γράμματα. E E

2046 Ἐπελήκεον: ἐπεβόων, ἐπεκρότουν. Δ

2033 = Ba 227, 2 cf. H 2034 καὶ—δειλίας Dam. fr. 237. ὁ sq. Dam. fr. 18 ἐπεκάλουν sq. fort. Aelian. 2035 — ἔσκωψεν cf. Lex. αἱμ. 623, 43 = Et. M. 506, 38; sch. Luc. 257, 23, Ba 229, 30, H v. ἐπικερτομῶν. ὁ sq. Agath. 5, 22 p. 327 sed cf. Byz. Zt. 21, 419 2036 = Ba 227, 3 2037 καὶ sec.—μηνύσαντι fort. Aelian. cf. v. Δ 524 et Ammon. p. 87 2038 ἐπεὶ sq. Cass. D. 67, 6, 5 coll. Gsf. (ms.) 2039 = Ba 227, 16, Ambr. 1668 cf. H 2040 — ἐκαθέρισεν = Ba 227, 15, Σ^{a} τοιαῦτα sq. Eunap. fr. 49, FHG 4, 36 2042 = Synt. Gud. 2043 εἶχε sq. Dam. fr. 61 cf. Phot. Bibl. p. 339 b 1—2 2045 εὑρόντες—ἐπελέξαντο Hdt. 7, 239, 4 2046 = Ambr. 1696 cf. sch. θ 379, Ap. S. 71, 19, H, Et. M. 355, 16

2034 cf. 2349. Z 826 2035 cf. 2364 2037 cf. v. A 2729. Z 826 2038 cf. 2875 2039 cf. 2349 2041 cf. 2408 2043 cf. v. A 4304 2045 Z 826 2046 Z 827

5 πολλοῖς om. GIVM 8 ἐπεκερτόμησεν alt.] ἀπεκερτόμησεν A 12 τάλαντα GIM A(GIFVM) 17 ἐκαθέρισεν AF Ba: ἐκαθάρισεν rell. Σ^{a} ἐπέρριψε V 29 καὶ αὖθις om. V

Ε 2047 Ἐπελήφθη: ἐπήρξατο. Ἀρριανός· ἤδη τε ἐπελήφθη νὺξ τῆς τρίτης φυλακῆς, καὶ ὁ ἡγεμὼν τοὺς λόχους καθίστατο.

Δ+Ε 2048 Ἐπελπίζων· αἰτιατικῇ. εἰς ἐλπίδας ἄγων. τὰ μὲν αὐτοὺς ἐπελπίζων ὑποσχέσεσι, τὰ δὲ ὑποσπείρων αὐτοῖς ὀλίγα κέρδη, τοὺς δὲ ἐν ἀξιώσει τε καὶ δυνάμει περισυλῶν καὶ δημεύων.

Σ 2049 Ἐπεμαρτύραντο: μάρτυσιν ἐχρήσαντο. οἱ δὲ πιστὰ δόντες καὶ λαβόντες ἐπεμαρτύραντο τοὺς θεούς. οὕτως Ξενοφῶν.

Ε 2050 Ἐπεμβαίνων· δοτικῇ. ἐπιχλευάζων, ἐπικερτομῶν. ὁ δὲ ἐπεμβαίνων τῇ τύχῃ αὐτῶν σφόδρα ἀμαθῶς καὶ ἀνθρωπίνως ἥκιστα.

Σ 2051 Ἐπεμήνατο: ἐπεμάνη.

Σ 2052 Ἐπέμυξεν: ἐξεμυκτήρισεν, ἦχον διὰ τῶν ῥινῶν ἐποίησεν.

Harp. 2053 Ἐπενεγκεῖν δόρυ ἐπὶ τῇ ἐκφορᾷ καὶ προαγορεύειν ἐπὶ τῷ μνήματι: ἐπὶ τοῦ βιαίως ἀποθανόντος ταῦτα πράττεται. καὶ Ἴστρος ἐν τῇ συναγωγῇ τῶν Ἀτθίδων φησί· τινὲς ἐπὶ τοῦ τάφου δόρυ φασὶ καταπεπηχέναι τὸν Ἐρεχθέα, τὸ πάθος σημαίνοντα, διὰ τὸ νόμον εἶναι τοῖς προσήκουσι τοῦτον τὸν τρόπον μετέρχεσθαι τοὺς φονέας.

Ε 2054 Ἐπενεγκών· δοτικῇ. καταδικάσας. Προκόπιος· ἐπενεγκών τε αὐτῷ, ὅτι δὴ ὡς ἥκιστα ἀληθίζεται, ἄμφω τὼ χεῖρε ἀπέκοψεν.

Suid. 2055 Ἐπενδύτης.

Δ 2056 Ἐπενήνεον: συγκατετίθεντο.

Hom. 2057 Ἐπενήνοθεν: ἐπήνθει, ἐπέκειτο.

EL 2058 Ἐπεντρυφήσαντος: καταπολαύσαντος. ἕτερά τε οὐκ ἀνεκτὰ περὶ τὴν τοῦ χρυσίου παράληψιν καταυθαδισαμένου καὶ ἐπεντρυφήσαντος αὐτοῖς.

Ε 2059 Ἐπ' ἐξαγωγῇ· ἐμαστιγοῦτο ῥάβδοις, εἶτα ἐπ' ἐξαγωγῇ ἐπιπράσκετο, δειλίας καὶ ἀποδράσεως τίμημα φερόμενος δοῦλος εἶναι.

Synt. Suid 2060 Ἐπεξιέναι· αἰτιατικῇ. γενικῇ· ἐπεξιοῦσα νεᾶνις ἄρτι τῶν παρθενικῶν θαλάμων.

Anth. 2061 Ἐπεπάμεθα: ἐκεκτήμεθα. πάνθ' ὅσα κέν ζωοῖς ἐπεπάμεθα, ταῦτα παρ' ᾅδαν ἔρχομ' ἔχων· λείπω δ' οὐδὲν ὑπ' ἠελίῳ.

2047 ἤδη sq. Arr. Parth. vel Exc. fr. 14 2048 l. cf. Ambr. 1763; αἰτιατικῇ cf. Synt. Laur. et Gud. τὰ sq. Aelian. fr. 48 2049 οἱ—θεούς Xen. An. 4, 8, 7 cf. Byz. Zt. 23, 35 2050 δοτικῇ cf. Synt. Laur. ὁ sq. fort. Aelian. 2051 = Ba 227, 17 cf. sch. Z 160 = H 2052 = Ba 227, 18 cf. H 2053 Harp. = Lex. rhet. in Et. Gen. et Et. M. 354, 31; l. Dem. 47, 69; Istr. fr. 19, FHG 1, 420 2054 δοτικῇ cf. Synt. Laur. ἐπενεγκών alt. sq. Proc. Bell. 7, 15, 15 2056 cf. sch. Γ 461; l. = L 2057 sch. B 219 cf. Ap. S. 71, 11, H, Ambr. 1615 2058 ἕτερά sq. Men. Prot. fr. 50, FHG 4, 253 = EL 210, 17—18 2059 [Polyb.] fr. 146, fort. Aelian. 2060 — αἰτιατικῇ = Synt. Gud. 2061 πάνθ' sq. Anth. 7, 67, 7—8

2047 Z 827 2048 cf. v. Πυθαγόρας 3. Z 827 2049—50 Z 827 2052 Z 827 2054 Z 827 2055 ex v. ὑποδύτην 2056 cf. 2186. Z 827 2057—8 Z 828 2059 Z 799 2060 ἐπεξιοῦσα sq. fort. ex v. ὑπεξιοῦσα 2061 Z 828

A(GIFVM) 7 οὕτω AF 15 καταπεπηγέναι GIV v. l. Et. καταπεπηλέναι M 2055 om. AFV 2060 om. FV 28 γενικῇ—29 θαλάμων om. A γενικῇ om. G post θαλάμων I 30 πάνθ'] παῦθ' A cf. Anth.

2062 Ἐπεπαιώνιστο: ἐξύμνητο. Δ
2063 Ἐπεπαίχειν: ὑπερσυντελικός, τὸ ἐνεπαίχθην. Ἐπεπέχειν Δ
δὲ ἐπεπέχειαν. ἐκ τοῦ πέκω, τὸ κτενίζω.
2064 Ἐπεπολεῖτο: ἐπεπορεύετο. Σ
2065 Ἐπεπόνθη: ἀντὶ τοῦ ἐπεπόνθειν, καὶ ἐωράκη, ἀντὶ τοῦ ἑω- Σ
ράκειν, καὶ ᾔδη, ἀντὶ τοῦ ᾔδειν.
2066 Ἐπέπυστο: ἤκουσεν. Σ
2067 Ἐπέρραξεν: ἐπέπεσε, συνεπλάκη, μάχην συνῆψεν. ὁ δὲ πολ- Ε
λὴν διανύσας ὁδὸν ἄφνω τούτοις ἐπέρραξεν.
2068 Ἐπέραστος: ἐράσμιος. Σ
2069 Ἐπερατώθη: ἐτελειώθη. Δ
2070 Ἐπεραιώθη: ἐπέρασεν, ἐτελειώθη. Δ
2071 Ἐπαίρεσθαι: τὸ φυσοῦσθαι. Ἐπερέσθαι δὲ τὸ ἐρωτῆσαι. Δ
2072 Ἐπερρίφην: ἔπεσον. Δ
2073 Ἐπερρόσαντο: ἐπεσείσθησαν. καὶ Ἐπερρόθησαν. Σ Δ
2074 Ἐπερωτῶ σε· αἰτιατική. Synt
2075 Ἐπέρω: τὸ ἐρωτῶ. καὶ Ἐπερόμενος, ἐρωτώμενος. Δ
2076 Ἐπερρύη: ἐπέβρυσεν, ἀνέβλυσεν. Δ
2077 Ἐπέσαξε τὴν ὄνον αὐτοῦ: ἀντὶ τοῦ ἐπεφόρτισεν.
2078 Ἐπέσβη: ἐπεισῆλθεν. Σ
2079 Ἐπεσβόλον: λοίδορον, φλύαρον. Σ
2080 Ἐπέσειεν: ἐπανετείνετο. τοῖς δ' ἐπέσειε φόβον, ὡς αὐτίκα
τεθνήξοντος.
2081 Ἐπεσημήναμεν: ἐξεπλάγημεν, ἐθαυμάσαμεν. καὶ Πολύβιος· Ε
τίς οὐκ ἂν ἐπισημήναιτο καὶ θαυμάσειε τὸν προειρημένον ἐπὶ τούτοις
ἡγεμόνα.

2062 aliter Ambr. 1616, H 2063 cf. Ambr. 1679—80 et 1576 2064 = Σ^{a} (aliter Ba 227, 20 cf. sch. Δ 231 = Et. Gen.) cf. H v. ἐπεπωλεῖτο = Ap. S. 71, 12 2065 cf. P v. ἐωράκη, Greg. Cor. Dial. Att. § 58 (Ael. D. temere attr. Naber) 2066 = Ba 227, 21, An. Ox. 2, 438, 27 2067 ὁ sq. Diod. 15, 84, 2 2068 = Ba 227, 22, Σ^{a}, Et. Gud. cf. H 2069 l. = L 2070 aliter Ambr. 1549; l. = L 2071 cf. L; Ἐπέρεσθαι sq. cf. Ambr. 1695, 1693, 1551—2 2072 aliter Ambr. 1579 2073 — ἐπεσείσθησαν = Ba 227, 24, sch. A 529, Et. Gen., Et. M. 355, 31 cf. H, Ap. S. 71, 17 Ἐπερρόθησαν cf. L 2074 praeter σε = Synt. Laur. et Gud. 2075 — ἐρωτῶ = Ambr. 1552. Ἐπερόμενος sq. cf. Ambr. 1551 et 1695 2076 aliter Ambr. 1591 2077 l. Gen. 22, 3 2078 = Ba 227, 25 2079 = Ba 227, 26 cf. Et. Gud.; λοίδορον = sch. B 275 cf. Ap. S. 71, 18 = Et. Gen., Et. M. 355, 3, H. φλύαρον cf. Ambr. 1353, Et. Gud. 2080 τοῖς sq. Call. fr. an. 25 S. sed vid. Kapp p. 8, 18; Babr. p. 216 2081 τίς sq. Polyb. 9, 9, 5

2063 cf. 2019, 2112, v. πέκειν. Z 828 2064 Z 829 2066 cf. v. πέπυστο 2067 Z 828 2069 Z 829 2070 cf. v. περαιωθέντες 2071 cf. 2014 et 2075 2075 cf. 2071 et 2204 2078 Z 829 2080 Z 829 2081 cf. 2564. Z 829

2 ἐνεπαίχθην AV: ἐνεπέχθην F ἐνεπαίχθη GI cf. 2019 ἐνεπαίχει M A(GIFVM)
Ἐπεπέχειν] Ἐπεπαίχειν A 3 ἐπεπέχειαν] nov. gl. FV 5 ἐωράκη AVM:
ἐωράκει GIF 15 Ἐπερρώσαντο Ba Σ^{a} Et. sch. H Ap. S. 2077 om. FV
19 ἀντὶ τοῦ ἐπεφόρτισεν om. A 23 τεθνήξοντος AF Zon.: τεθνήξαντος GVM
τεθνήξαντο I 25 ἐπεσημήναιτο AF

Anth. 2082 Ἐπέσθων: ἐπεσθίων, εὐωχούμενος. τὴν ἁλίη Εὔδημος, ἐφ' ἧς ἅλα λυτὸν ἐπέσθων χειμῶνας μεγάλους ἐξέφυγε, θῆκε θεοῖς Σαμόθρᾳξιν.

Harp. 2083 Ἐπεσκήψατο: ἀντὶ τοῦ ἐνεκάλεσε ψευδομαρτυριῶν. σπανιάκις δὲ καὶ ἐπὶ τοῦ ἐγκαλέσαι φόνου, ὡς Ἀντιφῶν. τὸ δὲ ἐνεργητικὸν τὸ ἐπέσκηψεν, ἀντὶ τοῦ ἐνετείλατο. τὸ δὲ ἐπισκήπτω ἀντὶ τοῦ μετά τινος ἐπιθειασμοῦ λέγω καὶ οἷον ἐξορκίζω Ἀνδοκίδης καὶ Λυσίας ἔλαβεν.

Δ καὶ Ἐπεσκήψατο, ἔβλαψεν.

Σ 2084 Ἐπέσκηψεν: ἐπέπληξεν.

2085 Ἐπέσπερχε: διήγειρε, παρέθηγεν. ὃς δὴ μάλιστα ἐπέσπερχεν αὐτόν.

Δ 2086 Ἐπεστάτει: ἦρχεν, ἡγεμόνευεν. Ξενοφῶν· ἐνταῦθα ἦν

E Κλέαρχον καταμαθεῖν ὡς ἐπεστάτει ἐν μὲν τῇ ἀριστερᾷ χειρὶ δόρυ ἔχων, ἐν δὲ τῇ δεξιᾷ βακτηρίαν.

Synt. 2087 Ἐπέστησε· γενικῇ. ἐπέστησεν ἐξαίφνης τοῦ δρόμου.

Thdr. 2088 Ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου: ἀπὸ μεταφορᾶς τῶν αἰκιζομένων ταῦτα λέγω. ὁρῶν τὴν χεῖρά σου ἐπικειμένην καὶ λίαν μαστιγοῦσαν.

Σ 2089 Ἔπεστί μοι: βούλομαι, θέλω, δύναμαι· ἢ ἐπίκειταί μοι.

Σ 2090 Ἐπεσφάλακεν: οἱ μὲν ἐσπάσθη, οἱ δὲ ἐσάπη, ἢ παρὰ καιρὸν ἀτροφῆσαν ἐμαράνθη.

Σ 2091 Ἑπέται: οἱ θεράποντες, παρὰ τὸ ἕπεσθαι. Ἕπεται δὲ ἀκολουθεῖ.

Σ 2092 Ἐπέτειον: ἀπὸ τοῦ νῦν ἔτους. ἐπέτος γὰρ δεῖ λέγειν τὸν ἐνεστῶτα καιρὸν οὐχὶ διὰ τοῦ φ, ἀλλὰ διὰ τοῦ π, ὡς φησι Πίνδαρος

Δ καὶ Δημοσθένης. καὶ Ἐπέτειος, ὁ κατ' ἔτος γινόμενος.

Ar. 2093 Ἐπετείους ὑμᾶς ὄντας: ἀπὸ τῶν οἰωνῶν μετήνεγκε τῶν μὴ μονίμων ὄντων, ἀλλὰ φερομένων τῇ πτήσει. τουτέστιν εὐμεταβλήτους, ὀλιγώρους, μὴ διαμένοντας ἐν τοῖς αὐτοῖς ἀεί, ἀψικόρους.

E 2094 Ἐπέτηξε· δελτίον δίπτυχον λαβὼν τὸν κηρὸν αὐτοῦ ἐπέτηξεν. ἀντὶ τοῦ ἐλέανε, λεῖον ἐποίησεν.

2082 τὴν sq. Anth. 6, 301, 1—3 2083 — ἔλαβεν Harp. = Et. Gen. cf. Et. M. 355, 35, An. Ox. 2, 494, 24; Antiph. fr. 4; Andoc. 1, 32; Lys. fr. 151 Ἐπεσκήψατο alt. sq. = Ambr. 1594 2084 = Ba 227, 27 2086 — ἦρχεν = Ambr. 1681 ἐνταῦθα sq. Xen. An. 2, 3, 11 2087 cf. Bk. 140, 23; — γενικῇ = Synt. Laur. ἐπέστησεν sq. Cass. D. 17 fr. 78 2088 Thdr. in Ps. 37, 3, PG 80, 1137c 2089 = Ba 227, 28 2090 Tim. 2091 — ἕπεσθαι = Eust. O. 1400, 58, Et. M. 354, 57 cf. H (Jb. Suppl. 12, 313). Ἕπεται sq. = Ba 227, 30, sch. Ζ 276 cf. H 2092 — Δημοσθένης = Σ^{a}, Ba 227, 32, Lex. rhet. ap. Et. M. 354, 58, Et. Gen. cf. H; Pind. fr. 300, Dem. 23, 92 Ἐπετείος—ἔτος = Ambr. 1421 cf. 1536 2093 Ar. Eq. 518 c. sch. 2094 δελτίον—ἐπέτηξεν Hdt. 7, 239, 3

2083 cf. 2578 2084—6 Z 829 2089 Z 830 2090 cf. vv. A 3075 et 4392. Z 830 2091 Z 831 2092 Z 809 2093 cf. 3304 2094 cf. 1608. Z 830

A(GIFVM) 1 ἁλίην Anth. 2 λιτὸν Anth. ἐξέφυγεν θήκας A 6 ἀνετείλατο F 14 δεξιᾷ] ἀριστερᾷ V 2087 om. AFV 17 λέγων ed. pr. 26 καὶ Δημοσθένης om. GIM

2095 Ἐπετίλησεν: ἐξεκένωσε τὴν κόπρον. Ἀριστοφάνης· ὁ δὲ τῆς μαρίλης μοι συχνὴν ὡς ἐπετίλησεν, ὥσπερ σηπία. θηρώμεναι γὰρ αἱ σηπίαι ἐναφιᾶσιν ἐκ τοῦ προσόντος αὐταῖς θολοῦ, ταράττειν βουλόμεναι τὸν παρ' αὐταῖς τόπον, ἵνα μὴ καταφανεῖς ὦσι τοῖς θηρῶσιν. Ar.

2096 Ἐπετίμα: ἐπηύξει τὴν τιμήν. οἱ δὲ κερδαίνειν οἰόμενοι ἐπετίμων ὡς λιμώττοντι τὸν σῖτον. ὁ δὲ οὐδὲν ἧττον ἠγόραζε. Μάλχος φησίν. Σ E

2097 Ἐπετοξάζοντο: ἐτόξευον. Δ

2098 Ἐπευκτή: ἐπιθυμητή, εὐχῆς ἀξία. Σ

2099 Ἐπευωνίζων: κερδαίνων. Σ

2100 Ἐπευφήμησαν: μετ' εὐφημίας συγκατέθεντο, ἐπῆνεσαν. Σ

2101 Ἐπεύχεται· δοτικῇ. Synt.

2102 Ἐπεφάνη· φησὶν ὁ Ἀπόστολος· ἐπεφάνη ἡ χάρις τοῦ θεοῦ ἡ σωτήριος. διὰ τί οὐκ εἶπεν ἐφάνη, ἀλλ' ἐπεφάνη; ἐπειδὴ ὁ ὢν ἐφάνη. εἰ γὰρ εἶπεν ἐφάνη, ἀρχὴν εἰσηγεῖτο τοῦ ἀεὶ ὄντος. καὶ διὰ τοῦτο εἶπεν ἐπεφάνη, ἵνα τὴν ἄναρχον ὕπαρξιν μηνύσῃ. ἐξ ὧν δεῖ σαφῶς εἰδέναι, ὅτι ὁ αὐτὸς κύριος ἐφάνη καὶ ἐπεφάνη. ἐφάνη μὲν τῇ οἰκονομίᾳ τῆς ἐνανθρωπήσεως· ἀρχὴν γὰρ ἐδέξατο· ἐπεφάνη δὲ τῇ ἐνεργείᾳ τῆς θεότητος· ἄναρχος γὰρ ἡ ὕπαρξις. τὸ δὲ πᾶσιν εἶπεν δηλῶν, ὅτι οὐ μερικῶς, ἀλλὰ πᾶσιν ἀνθρώποις.

2103 Ἐπεφόρησεν: ἐπεσώρευσεν. Ἀριστοφάνης· ὅσους ἄνωθεν ἐπεφόρησε τῶν λίθων. καὶ αὖθις· βόθρον ὀρύξασα καὶ ἐπιπολῆς στεγάσασα γῆν ἐπεφόρησεν, ἐξαδηλοῦσα τὸ ποιηθέν. Ar E

2104 Ἐπεφώρατο γάρ: ἐφανεροῦτο, εὑρίσκετο, ἠλέγχετο. Σ

2105 Ἐπέφραδεν: ἐδήλωσε, διεσάφησεν. καὶ Ἐπέφραδον. εἶπον. Σ

2106 Ἐπεφράσατο: ἐθεώρησεν. Σ

2107 Ἐπέφυ: ἀντὶ τοῦ ἐκράτησεν. ἀλλὰ τὸ δὴ λεγόμενον ἀμφοῖν ταῖν χεροῖν ἐπέφυ. EV

2108 Ἐπεφύκει: προσεπλάκη. Δ

2109 Ἐπεφύοντο: ἐπήρχοντο. καὶ ἐπέφυσάν οἱ συκοφάνται, καὶ τὸ ἔγκλημα ἦν, Δίωνι ἔφασκον εἶναι φίλον. Σ E

2095 Ar. Ach. 350—1 c. sch. plenior. 2096 — τιμήν Tim. οἱ—ἠγόραζε Malch. fr. 21, FHG 4, 132 2097 cf. H (in Γ 79) 2098 = Σ^{a} cf. H 2099 = Ba 228, 5; l. cf. Ambr. 1744 2100 = Ba 228, 3 cf. sch. A 22 2102 Ep. ad Tit. 2, 11 c. explicat. 2103 — λίθων Ar. Pac. 225 c. sch. βόθρον sq. Aeliano attr. de Boor, Rh. Mus. 45, 478 2104 = Ba 228, 12 2105 — διεσάφησεν = Σ^{a}; — ἐδήλωσε = Ba 228, 6; διεσάφησεν = H. Ἐπέφραδον sq. = Ba 228, 7, Et. Gen., Et. M. 356, 6, sch. K 127, H 2106 = Ba 228, 9 2107 ἀλλὰ sq. Polyb. 12, 10, 6 = EV 2, 128, 24—5 2109 — ἐπήρχοντο = Ba 228, 8, H

2095 cf. v. Λ 124. Z 830 2096 cf. 652 et 2703. Z 831 2097 Z 831 2098 Z 799 2099 Z 831 2102—3 Z 831 2104 Z 832 2106—8 Z 832 2109 cf. 2759. Z 832

2 ὡς] ἤγουν οὕτως ss. V 4 φανεῖς FV 18. 19 ἐναργείᾳ ed. pr A(GIFVM) 20 δηλῶν A: δηλὸν F om. rell. 25 Ἐπέφραδεν] Ἐπέφρασεν FV

Σ 2110 Ἔπεχε: ἐπίκειco, ἐπίμενε, φύλαccε. Πλάτων περὶ μὲν ὧν
Phil. κατείληφεν ἀποφαίνεται, τὰ δὲ ψευδῆ διελέγχει, περὶ δὲ τῶν ἀδήλων
ἐπέχει. ὅτι Ἀρκεσίλαος ὁ φιλόσοφος διὰ τὸ περιπατῶν ἐπέχειν οὐδὲ
Synt βιβλίον τι cυνέγραψεν. καὶ Ἐπέχω· αἰτιατικῆ. Ἐπέχομαι δὲ γενικῆ.
καὶ ἡ χεὶρ ἐπέχεται τοῦ πονηροῦ γραφέως.

Σ 2111 Ἐπεχώρηcεν: ἀντὶ τοῦ cυνεχώρηcεν. οὕτως Ἀρριανός. καὶ
Ἐπεχωρήθη, cυνεχωρήθη. καὶ τὰ ὅμοια.

Δ 2112 Ἐπέχθη: ἐκτενίcθη. ἐκάρη. Ἀριστοφάνης Νεφέλαις· ἐκέ-
Ar. λευcα ᾄcαι Cιμωνίδου τὸν κριὸν ὡς ἐπέχθη.

Σ 2113 Ἐπεί: ἐπειδή.

Δ 2114 Ἐπείγω: cπουδάζω.

Synt. 2115 Ἐπείγομαι· δοτικῆ.

Δ 2116 Ἐπειγωλή: ἡ cπουδή.

2117 Ἐπεῖδεν ὁ ὀφθαλμός μου.

Σ 2118 Ἐπειδή: ἔcτι μὲν cύνδεcμος παρακυναπτικός, λαμβάνεται δὲ
καὶ ἀντὶ τοῦ ἀφ' οὗ· ὡς καὶ Θουκυδίδης πολλάκις ἐχρήcατο καὶ
Ὅμηρος πρότερον. ἐπειδὴ πρῶτα τομὴν ἐν ὄρεcι λέλοιπε, περὶ
τοῦ cκήπτρου.

Prov 2119 Ἐπειδὴ τὸν Ταντάλου λίθον τῆc κεφαλῆc ἀπετιναξά-
μεθα: λέγεται ἐπὶ κινδύνου τινὸc ἐπηρτημένου καὶ παρελθόντοc· ἢ
ἐπὶ τοῦ ἀρξαμένου τινὸc πράγματοc, εἶτα ὀλιγωρήcαντοc.

Ar 2120 Ἐπειδὴ τὸν οἶνον ἠξίουc πιεῖν, cυνεκποτ' ἐcτί coι
καὶ τὴν τρύγα.

Δ 2121 Ἐπειή: ἐπειδή.

Soph. 2122 Ἐπεικάζω: cτοχάζομαι. Cοφοκλῆc· ἢ καὶ δάμαρτα τήνδ'
ἐπεικάζων κυρῶ.

Δ 2123 Ἐπείκτηc: ὁ κατεπείγων. Πιcίδηc· ὅπωc ὑφέξει τοῖc
ἐπείκταιc ἀγγέλοιc τοὺc cυλλογιcμοὺc τῶν χρεῶν καὶ τῶν τόκων.
Ἐπείκτηc λέγεται καὶ ὁ τὴν κογχύλην ἀπαιτῶν.

Δ 2124 Ἐπεικτός.

2110 — φύλαccε = Ba 228, 10, Σ[A] Πλάτων—ἐπέχει Laert. 3, 52. ὅτι—cυνέγραψεν Laert. 4, 32 Ἐπέχω· αἰτιατικῆ = Synt. Gud. Ἐπέχομαι, γενικῆ = Synt. Laur. 2111 = Σ[A]; — cυνεχωρήθη = Ba 228, 13; Arr. Parth. vel Exc. fr. 15 2112 — ἐκτενίcθη = Ambr. 1577 ἐκάρη sq. Ar. Nu. 1356 c. sch. 2113 = Ba 227, 7, Et. M. 356, 14, H 2114 = Ambr. 1697, Ps. Herodian. 35 et 244, H cf. Ambr. 1582 2116 = Ambr. 1454, Ps. Herodian. 35, Et. M. 356, 34 cf. H 2117 Ps. 91, 12 2118 — πρότερον = Σ[A], Ba 227, 4 vs. 17 ἐπειδὴ—λέλοιπε A 235 2120 Ar. Pl. 1084—5 2121 = Ambr. 1782a, sch. Δ 56 cf. H 2122 Soph. El. 663 c. sch. 2123 — κατεπείγων aliter Ambr. 1357 ὅπωc—τόκων Pisid. Hexaem. 1480—1 (= fr. 93) 2124 cf. L

2110—1 Z 832 2112 cf. 2019 et 2063 2116 Z 799 2118 Z 854 2120 cf. v. cυνεκποτέ' 2121 Z 854 2122 Z 833 2123 Pisid. cf. v. Λ 398

A(GIFVM) 3 περιπατῶν] περὶ πάντων Laert. H. Wolf 4 τι] τινα A cf. Laert. καὶ—5 γραφέως om. FV 2111—12 inverso ord. 7 καὶ τὰ ὅμοια om. F Ba 2117 om. FV post 2113 A 20 ἐπηρτιμένου V ἐπηρμένου GIM 27 ὑφέξῃ GIFVM cf. v. Λ 398 28 ἐποίκταιc A cf. Pisid.

2125 Ἐπειλέγῃ καὶ Κατειλέγῃ καὶ Συνειλέγῃ. Δ
2126 Ἐπειλεγμένος, Ἐπιλελεγμένος δέ. Δ
2127 Ἐπείλημμαι· γενικῇ. Synt.
2128 Ἐπειλημμένη: ἀντιλαμβάνουσα. Δ
2129 Ἔπειξις. Δ
2130 Ἐπειός: ὄνομα ἐθνικόν. Ἐπηὸς δὲ ὁ συγγενής. Δ
2131 Ἐπειοῦ δειλότερος: οὕτως ἐλέγετο Κρατῖνος ὁ κωμικός, Prov.
ἴσως διὰ τὸ ταξιαρχῆσαι τῆς Οἰνηΐδος φυλῆς καὶ δειλότερός τε φανῆναι. καὶ γὰρ ὁ Ἐπειὸς δειλὸς ἦν.
2132 Ἐπείρα: αἰσχρῶς προσέβαλλεν. Ἀστυδάμεια ἠράσθη Πηλέως Σ
τοῦ Αἰακοῦ, ὁ δὲ ἀναίνεται. ἡ δὲ φοβηθεῖσα μὴ κατείπῃ αὐτῆς, σοφώτερα ἢ ἀληθέστερα λέγει, ὅτι αὐτὴν ἐπείρα ὁ Πηλεύς, εἰποῦσα . . .
ἐπείρα χρήματα πέμπων τῆς διαφθορᾶς δέλεαρ. E
2133 Ἐπειράσατο: ἀπόπειραν ἐποιήσατο. Δ
2134 Ἔπειρεν: ἐσούβλιζεν.
2135 Ἐπειρωνευόμενος: χλευάζων, ἐπεγγελῶν. ὁ δὲ ἄντικρυς E
Ῥωμαίων προαχθεὶς ἀναιρεῖται. τοῦτο δ' ἔπραττεν ὁ Σίμων ἐπειρωνευόμενος, εἴ τι βοηθήσουσιν αὐτῷ, πρὸς οὓς ἐξελθεῖν εἵλετο.
2136 Ἐπεισάκτους: ἀλλοτρίους. Σ
2137 Ἐπεισέφρησεν: εἰσῆλθεν. Δ
2138 Ἐπεισήρρησεν: εἰσεφθάρη. Δ
2139 Ἔπεισί μοι: ἐπέρχεταί μοι. Σ
2140 Ἐπεισκρινόμενον. Δ
2141 Ἐπεισκύκλησις: ἡ ἀνακύκλησις. καὶ Ἐπεισκυκλείσθω, Δ
ἐπιφερέσθω, ἐπισυναπτέσθω.
2142 Ἐπεισκυκλεῖ: εἰσφέρει, ἐπισυνάπτει. Σ
2143 Ἐπεισόδιον: τὸ εἰς τὰ δράματα εἰσαγόμενον, κατὰ προσθήκην τινὰ καὶ αὔξησιν τοῦ δράματος. Εὐνάπιος· καὶ τούτῳ ὥσπερ δρά- E
ματι μεγάλῳ καὶ τραχεῖ τὸ κατὰ Μουσώνιον ἐπεισόδιον οὐκ ἔλαττον
ὁ δαίμων ἐπήνεγκε. καὶ ἐν Ἐπιγράμμασι· ἤρεσε γύψου χρώματα Anth.

2127 = Synt. Laur. 2128 l. cf. L 2129 cf. Ambr. 1477 = Et. M. 356, 34, Ps. Herodian. 35, H v. ἐπειγωλή 2130 Ἐπειός cf. Ambr. 1376 2131 = Zen. III 81, H; l. = fr. com. ad. 31 2132 — προσέβαλλεν = Ba 227, 8 Ἀστυδάμεια—εἰποῦσα cf. Nic. Dam. fr. 55 = v. A 4309 vs. 13 ἐπείρα sq. Iambl. fr. 8* 2133 = Ambr. 1645 cf. 1692 (aliter 1592) 2135 ὁ δὲ sq. Ios. Bell. 5, 531 2136 = Ba 227, 9 cf. H 2139 = Ba 231, 29 cf. H, Ambr. 1667 2140 cf. Ambr. 1614, H 2141 — ἀνακύκλησις = Ambr. 1460 2142 = Σ^a, Ba 227, 10, Ambr. 1653 2143 vs. 28 καὶ τούτῳ—30 ἐπήνεγκε Eunap. fr. 45, FHG 4, 34 = ES 85, 29—86, 1 vs. 30 ἤρεσε—p. 344, 1 ἐπεισόδιον Anth. 5, 18, 3—4

2125—6 Z 833 2128 Z 833 2130 Z 788 2132 cf. v. πειρᾶν 2141 Z 799 et 833 2142 Z 833 2143 Eunap. cf. v. Δ 1498. Anth. 6, 232 cf. v. Γ 110

1 Κατειλέγῃ IVM: Κατηλέγῃ A Καταλέγῃ GF 6 Ἐπηὸς—συγγενής om. AF A (GITFVM)
7 ἐκλέγετο A 8 καὶ del. Kust.; τε om. Zen. Hes. 10 προσέβαλεν T Ba
11 ἀναίρεται V 27 et p. 344, 1 Ἐπισόδιον A

καὶ φύκους ἄνθος ἐπεισόδιον. καὶ αὖθις· γέλγιθες κ' ὄγχναι καὶ ῥοιαὶ καὶ σταφυλαὶ δαψιλῆ οἰνοπόταις γαστρὸς ἐπεισόδια.

Σ 2144 Ἐπεισόδιον: τὸ εἰσφερόμενον τῷ δράματι γέλωτος χάριν, ἔξω τῆς ὑποθέσεως ὄν. καταχρηστικῶς δὲ τὸ ἐξαγώνιον ἅπαν πρᾶγμα.

Ar. 2145 Ἐπεισπέπαικεν: εἰσεπήδησεν, εἰσῆλθε. κυρίως δὲ ἐπὶ στρατιᾶς πολεμίων. Ἀριστοφάνης Πλούτῳ· ἡμῖν γὰρ ἀγαθῶν σωρὸς εἰς τὴν

Prov. οἰκίαν ἐπεισπέπαικεν οὐδὲν ἠδικηκότι. καὶ αὖθις· Μυκονίων δίκην ἐπεισπέπαικεν εἰς τὰ συμπόσια.

Δ 2146 Ἐπεισοίσας: ἐπεισβαλών.

Σ 2147 Ἐπεισφοραῖς: καταδίκαις.

Σ 2148 Ἐπεισφρήσας: ἐπεισελθών. καὶ Ἐπεισφρήσω, ἐπεισενέγκω.

Δ 2149 Ἐπεισχέω: ἐπεισβάλλω.

Hom. 2150 Ἔπειτα: μετὰ ταῦτα. ὁ δὲ Ὅμηρος καὶ ἀντὶ τοῦ δὴ κέχρηται τῷ ἔπειτα. αὐτὰρ ἔπειτ' Αἴας τε μέγας καὶ δῖος Ὀδυσσεύς. οὐκ ἔστι μετὰ ταῦτα. ἅμα γὰρ ἀφῆκεν ὁ μὲν τὸν ὀϊστόν, ὁ δὲ τὸ δόρυ.

Ε 2151 Ἐπεί οἱ· Προκόπιος· ἐπεί οἱ οὐκ ἦν βουλομένῳ ἐς χεῖρας ἰέναι τοῖς πολεμίοις.

Σ 2152 Ἐπεῖχεν: ἐπήρειδεν, ἐπέκειτο.

Δ 2153 Ἐπειχθῶμεν: σπεύσωμεν.

Σ 2154 Ἐπήβολος: ἐπιτευκτικός, ἐπιτυχής. εἰ δὲ οἴει σαυτὸν εὐδαίμονα, ὡς ἐπήβολον καὶ πολύχρυσον, γνωστὸν ἤτω σοι, ὅτι γηρᾷ καὶ τύχῃ.

Δ 2155 Ἐπηβολώτατος.

Ε 2156 Ἐπηγάγετο: προσῳκειώσατο, ἰδιοποιήσατο. τοὺς δὲ οἰκήτορας τῆς πόλεως μηδὲν βίαιον δράσας ἐπηγάγετο.

2157 Ἐπήγγελλεν· ἐπήγγελλεν ἐπὶ τούτοις συσσίτια. καὶ αὖθις·

Ε οἱ μὲν ταύτην τὴν γραφὴν ἐπήγγελλον, οἱ δὲ τὴν ἄλλην.

Σ 2158 Ἐπήγγελλεν: ἀντὶ τοῦ προσέταττεν. ὁ δὲ Μίνως παντα-

Ε χόσε ἔπλει καὶ πολλοῖς ξενίαν ἐπήγγελλεν. ἀντὶ τοῦ ἐνετέλλετο.

Ε εἰθισμένον ὂν γράμματα οἰκεῖα τοῖς βιβλίοις ἐντιθέναι, ὅσα ἂν ἐπαγ-

2143 γέλγιθες sq. Anth. 6, 232, 5—6 2144 = Et. Gen., Et. M. 356, 28, Bk. 253, 19 2145 — ἠδικηκότι Ar. Pl. 804—5 c. sch. Μυκονίων sq. fr. com. ad. 439 2146 cf. Ambr. 1688 (aliter 1589) 2147 = Ba 227, 11 2148 — ἐπεισελθών = Ba 227, 12 cf. Ambr. 1663 et 1714. Ἐπεισφρήσω sq. = Ba 227, 13 cf. H 2149 cf. Ambr. 1698 2150 — ταῦτα sch. A 35, H, Et. M. 356, 22; I 169 2151 Proc. Bell. 1, 18, 11 2152 = Ba 227, 14 2153 cf. Ambr. 1644 = H; l. = Ambr. 1767 2154 — ἐπιτυχής = Ba 228, 16, Et. Gen., Et. M. 357, 18 cf. sch. β 319 (= Et.), H, Bk. 252, 21 2155 = Ambr. 1394 2158 — προσέταττεν cf. Bk. 258, 26 = Et. M. 353, 46 ὁ—ἐπήγγελλεν fort. Nic Dam. εἰθισμένον—p. 345, 1 γένοιτο Proc. h. a. 6, 12

2145 Ar. Z 833. extr. cf. v. Μυκώνιος 2146 Z 833 2147 Z 799 2148 Z 833 2150 Z 854 2154 Z 790 2156 Z 833 2158 cf. 1915. Z 833

A(GIFVM) 1 ἄνθους A γέλγιθε A κ' ὄχναι GI 2 ἐπισόδεια A 5 et 7 Ἐπεισπέπηκεν A 6 Πλοῦτον A 13 καὶ A: om. rell. 2158 non nov. gl. AM 28 ἀντὶ—29 ἐπήγγελλεν om. A Μίνως] γήνως V 28. 29 πανταχόθεν V 30 εἰθισμέν ὂν A ὂν] οὖν V

γέλλοντος αὐτοῦ γένοιτο. καὶ αὖθις· οὐκ ἔχειν ὀνομάσαι ὁπότε οἱ Ε
ἐπήγγειλαν στρατιὰν Ἀραβίοις ἐς τὸ παρασχεῖν ἄκοντας. ἀντὶ τοῦ
ὥρισαν.
2159 Ἐπήγετο: ἐπεφέρετο. Σ
2160 Ἐπήγγειλα· ἔλυσα τὴν ἐκκλησίαν καὶ εἰς τετάρτην ἦκειν
ἐπήγγειλα. ἀντὶ τοῦ παρήγγειλα.
2161 Ἐπηγκενίς: ἡ μακρὰ κανίς.
2162 Ἐπηγκυλημένα ξύλα: τὰ κεκαμμένα εἰς θεοειδῆ σχήματα,
εἰς χρῆσιν ὅπλων.
2163 Ἐπήεσαν: παρήρχοντο. Σ
2164 Ἐπηετανός: ὁ αὐτάρκης. Δ
2165 Ἐπήει μοι: ἐπήρχετο. Δ
2166 Ἐπηθρηκυῖα: ἰδοῦσα. Δ
2167 Ἐπήϊξας: ἐφώρμησας. Δ
2168 Ἐπηκόοις· ἐλοιδοροῦντο τοῖς ἐπηκόοις καὶ πολὺ πλέον ἐκ- Ε
θύμως ἐμάχοντο. ἀντὶ τοῦ πάντων ἀκουόντων, φανερῶς.
2169 Ἐπηγορία. ἀλλ' εἰ μέν τις ἐκ τούτων κακόν τι ἐδεδράκει Δ
ἢ ἐπεπόνθει, ἐπηγορίαν εἶχεν.
2170 Ἐπῆκτο: ἐπηκολούθει. Δ
2171 Ἐπηλυγάζονται: ἐπισκιάζονται, ἐπικρύπτονται. καὶ Ἐπη- Σ
λυγάζω, ὀλίγον φαίνω, σκοτάζω. καὶ Ἐπηλυγάζοντες, Δ + Ε
καλύπτοντες, σκεπάζοντες. οἱ δ' οὖν περὶ πλείστου τιθέμενοι τὰ τοῦ
Φοίνικος, καλλύνοντες ἄρα τὸ κακὸν αὐτοῦ καὶ ἐπηλυγάζοντες, ἄλλως
φασὶ τοῦτο γενέσθαι. καὶ αὖθις· ὁ μὲν οὖν Φερεκύδης ἐπηλυγασά-
μενος θοιμάτιον, χρῷ δῆλον, ἔφη, καὶ δακτύλῳ τὴν νόσον ἐδείκνυε.
πασχητιῶν δὲ μειράκιον ταῖς θριξὶ σημαινόμεθα.
2172 Ἐπηλυγασάμενος: σκεπάσας, καλύψας. ἠλύγη γὰρ ἡ σκιά. Δ + Σ
2173 Ἔπηλις: εὕρηται παρὰ Ποσειδίππῳ. καὶ ἀντήλιος καὶ ἀπηλιώτης ἐν τῷ Suid.
η καὶ ψιλῶς.

2159 = Σ^{a}, H, Ba 228, 15 cf. Ambr. 1670 2160 ἔλυσα—ἐπήγγειλα Synes. Ep. 67, 209 a 2161 = Et. M. 357, 4 ex Orion. 53, 9 cf. Ambr. 1443, sch. ε 253, H 2163 = Ba 228, 17 cf. H, sch. τ 445 2164 = Ambr. 1366 cf. sch. θ 233 2165 cf. H, Ambr. 1711 2167 cf. Ambr. 1623 2169 l. cf. Ambr. 1500 2170 cf. Ambr. 1675 2171 — ἐπικρύπτονται = Lex. rhet. ap. Et. M. 356, 52 et Et. Gen., Tim. cf. H, sch. Thuc. 6, 36, 1, sch. Luc. 25, 5, sch. Pl. Lys. 207 b, P v. ἠλύγη, Bk. 243, 8, Moer. 197, 12. σκοτάζω cf. Bk. 243, 8 σκεπάζοντες cf. Ambr. 1569 οἱ—γενέσθαι Aelian. fr. 246 ὁ sq. Synes. Calv. PG 66, 1204 b 2172 — σκεπάσας cf. Ambr. 1569. ἠλύγη sq. = P s. v. cf. Et. Gen., Et. M. 357, 1 Erotian. 41, 11; 87, 12, Eust. l. 809, 44; Tim. = sch. Pl. Lys. 207 b

2159 Z 833 2160 Z 834 2162 Z 834 2164 Z 788 2165—6 Z 834 2173 ex v. A 2155 cf. v. A 2646

1 αὐτοῖς V οἱ ed. pr.: ἢ omnes, del. Hermann 2 στρατείαν I Bhd. A(GITFVM)
Ἀραβίους coni. Bhd. πάσχειν A 7 Ἐπηνεγκίς V μικρὰ V 8 κεκαυ-
μένα AV, v. l. Zon. θεοειδῆ] σιγμοειδῆ Hermann 10 ἐπήρχοντο V cf. vs. 12
2169 om. A, extra ord. 17 ἀλλ'—18 εἶχεν om. T 2170 om. A 24. 25 ἐπι-
λυγασάμενος A 2173 om. FV mg. A 28 Πησειδίππῳ GITM

Σ 2174 Ἔπηλυν: ξένον, ἔποικον. διακρίνων τὸν ἔπηλυν λεὼν ἀπὸ
E τῶν ἐπιχωρίων.
Δ 2175 Ἔπηλυς: ὁ ξένος.
Anth. + Δ 2176 Ἐπήλυσιν· μὴ πτερύγων τρομέοι τις ἐπήλυσιν. ἐν Ἐπιγράμ-
μασιν. ἀντὶ τοῦ ἄφιξιν, ἐπέλευσιν, ἔκπεμψιν.
Call. 2177 Ἐπήλυσις: ἐπιδρομή. ἐπήλυσιν ὄφρ' ἀλέοιτο φώριον. τουτέστι
λῃστρικήν.
Δ 2178 Ἐπήλυσις: ἐπέλευσις. ἐν ἀπόπτῳ καραδοκοῦντές τε καὶ
EL θεώμενοι, εἴ που ἐπήλυσις ἔσται βαρβαρική.
Σ 2179 Ἐπήλυτος: πάροικος, ἔποικος.
Hom. 2180 Ἐπ' ἤματι: ἐν μιᾷ ἡμέρᾳ. ὁ δὲ Θεοδόσιος τὴν βασίλισσαν
E θανοῦσαν ἐπ' ἤματι σχεδόν τι ἐδάκρυσεν· ἀνάγκη γάρ, καὶ ὁ προκεί-
μενος πόλεμος συνεσκίαζεν αὐτῷ τὸ περὶ τὴν γυναῖκα πάθος.
Δ 2181 Ἐπήμηναν: ἔβλαψαν. καὶ Ἐπημήνατο, ἔβλαπτεν.
Σ 2182 Ἐπημοιβοί: ἐπηλλαγμένοι, ὥστε τὸν μὲν ἔνθεν, τὸν δὲ ἔνθεν
ἐφέλκεσθαι.
Δ 2183 Ἐπήμυνον: ἐπεβοήθουν.
Δ 2184 Ἐπημύω: τὸ καμμύω.
Δ 2185 Ἐπηνέμιος πλοῦτος: ὁ ψευδόμενος.
Hom. 2186 Ἐπήνεον: συγκατετίθεντο.
Hom. + E 2187 Ἐπήνει: εὐμενῶς ἐδέχετο, συγκατετίθετο. τὸ δὲ θεῖον οὐκ
ἐπήνει τὰ ὑπὸ τοῦ βασιλέως πραττόμενα.
Δ 2188 Ἐπηνηκέναι: ἐπαινέσαι. ἐκ τοῦ ἐπαινῶ. καὶ ὁ παρακείμενος
ἐπήνηκα, καὶ ἐπηνηκέναι.
Σ 2189 Ἐπηνήκιζεν: ἐξηπάτα. οὕτως Κρατῖνος.
Hom. 2190 Ἐπήνουν: συγκατετίθεντο.
Δ 2191 Ἐπηνωρθωκέναι.
Δ 2192 Ἐπηωρεῖτο: ἐκρέματο.

2174 — ἔποικον = Ba 228,18 διακρίνων sq. Ios. Bell. 3, 532 2175 = Ambr. 1337, Ps. Herodian. 35, H 2176 μὴ—ἐπήλυσιν Anth. 5, 267, 3 2177 Call. (fr. 131 K., an. 26 S.) c. sch. 2178 — ἐπέλευσις = L, Ps. Herodian. 186 cf. Ambr. 1463 ἐν sq. Men. Prot. fr. 27, FHG 4, 232 = EL 456, 15—17 2179 = Σ^{a}: — πάροικος = Ba 228, 19; ἔποικος = H 2180 — ἡμέρᾳ sch. β 284 = H, sch. Theocr. 12, 2 b cf. Et. Gud. ὁ sq. [Eunap. fr. 61] FHG 4, 42 2181 — ἔβλαψαν = Ambr. 1568 2182 = Ba 228, 21 cf. H 2183 = H cf. Ambr. 1617 2184 cf. Ambr. 1642 2185 aliter L 2186 sch. Δ 380 2187 τὸ sq. Aelian. fr. 235 2188 — ἐπαινέσαι = Ambr. 1700 2189 Crat. fr. non ap. Kock 2190 cf. sch. Γ 461 2191 = Ambr. 1684 2192 cf. H; l. = L cf. Ambr. 1559

2175 Z 788 2176 Z 799 2177 cf. v. φώρια. Z 799 2180 Z 809 2181 cf. v. πημαίνει et v. πημήνειαν. Z 834 2182 Z 789 2183 cf. 1950 2185 cf. v. ὑπηνέμια 1. Z 789 2186 cf. 2056, 2187, 2190. Z 834 2187—8 Z 834 2189 cf. v. πηνίκη. Z 834 2190 cf. 2186—7. Z 834 2192 cf. 1896, 1898, vv. Al 264—5

A (GITFVM) 1 λεὼν AF, v. l. Ios.: λαὸν rell. 4 ἐπήλυσιν alt. om. GIM 5 ἀντὶ τοῦ om. GIVM 2178 non nov. gl. A 12 καὶ om. V 13 αὐτοῦ A 14 ἔβλαπτεν] ἔβλαψεν V ἔβλαπτον G 24 ἐπήνηκα] ἐπήνεκα GITM 2189 om. F 25 Ἐπηνίκιζεν IT 2190—1 om. TF

2193 Ἐπηπείληκα καὶ κατώμοκα: ἀντὶ τοῦ ἐπαγγειλάμενος Ar.
ὤμοκα.
2194 Ἐπήπυον: ἐβόων. Δ
2195 Ἐπῆρας: ἀνέπεισας. Σ
2196 Ἐπηράσαντο: ἀντὶ τοῦ ἀραῖς ὑπέβαλον. ἐπηράσαντο αὐτῷ
Εὐμολπίδαι καὶ Κήρυκες.
2197 Ἐπήρατε: ἐπείσατε, ἠπατήσατε. Ar
2198 Ἐπηρᾶτο: ἐπηύχετο. Σ
2199 Ἐπήρατον: ἐπέραστον, ποθεινόν. Σ
2200 Ἐπηρεάσαι: βλάψαι. Δ
2201 Ἐπῆρεν: ἀντὶ τοῦ ἀνέπεισεν, ἠρέθισεν. ὁ τοίνυν ἔρως Σ
συμπνεύσας καὶ κατὰ τοῦ τυράννου Φαλάριδος ἐπῆρεν αὐτούς. καὶ Ε
αὖθις· τοῦτον ἰάσατο, καὶ κωμῳδίαις διδάσκειν αὖθις ἐπῆρεν.
2202 Ἐπῆρες: παρεσκευασμένον, ἕτοιμον. τὸ δὲ πλοῖον ἐπῆρες ἦν, Ε
εἰς δ τὴν ἄνθρωπον ἐμβάλλουσι, καὶ ἀποπλεῖ.
2203 Ἐπηρεάζω· αἰτιατικῇ. δοτικῇ δέ· οἳ τοῖς ἑαυτῶν κακοῖς βοηθοῦσιν, ἐξ Synt.
ὧν ἄλλοις ἐπηρεάζουσι.
2204 Ἐπήρετο: ἠρώτα. Δ
2205 Ἐπηρεφέες. Ἐπηρεφεῖς, ἐπὶ τὰ κάτω ἐστραμμένοι, Δ Σ
κατωφερεῖς.
2206 Ἐπήρεια: βλάβη. Θουκυδίδης· τούς τε φεύγοντας ἐκέλευον Δ
κατ' ἐπήρειαν δέχεσθαι αὐτούς. καὶ αὖθις· καὶ παρήγγειλε παρα- Ε
φυλάσσειν, μὴ ἄρα πού τις ἀπὸ τῆς ἄλλης στρατιᾶς ἐνὼν ἐπηρεάζοι Ε
αὐτοῖς. ἀντὶ τοῦ βλάπτοι. καὶ αὖθις· ὥστε ἡ ἐς ταῦτα ἐπήρεια
εἰκότως ἂν ἀδίκημα μέγα εἰς τοὺς ἀνθρώπους τοῦ παντὸς αἰῶνος
δόξειεν εἶναι. κυρίως δὲ Ἐπήρεια, ἡ τοῦ πολέμου καταδρομή. Eol.?
ἐκ τοῦ Ἄρης, Ἄρεως.
2207 Ἐπήρκεσεν: ἐβοήθησεν. ταῦτα ξυνεχῶς ἀγγελλόμενα τῷ Σ

2193 Ar. Av. 629 c. sch. 2194 = Ambr. 1618 cf. H, sch. Σ 502 2195 cf. Tim. v. ἐπάρας 2196 ἐπηράσαντο alt. sq. Maxim. Tyr. 6, 6, 17 (p. 73, 7 ed. Hobein); Aeliano attribuit Kuehn cf. fr. 10, vs. 28 2197 sch. Ar. Nu. 1457 2198 = Ba 228, 20 cf. Ambr. 1593 = 1646 2199 = Ba 228, 23 cf. H, sch. Σ 512, Ambr. 1360 et 1444, Et. M. 357, 11 2200 cf. Ambr. 1554 2201 — ἀνέπεισεν = H cf. sch. Ar. Nu. 42, sch. Soph. OT 1328 ὁ—αὐτούς Aelian. fr. 202. τοῦτον sq. Aelian. fr. 99 2202 τὸ sq. fort. Iambl. 2203 — δοτικῇ cf. Synt. Gud. p. 590; — αἰτιατικῇ = Synt. Laur.; δοτικῇ = Bk. 137, 29 2204 = Ambr. 1693 cf. H' 2205 Ἐπηρεφεῖς sq. = Ba 228, 24 2206 — βλάβη cf. sch. Thuc. 1, 26, 3; l. = Ambr. 1493 vs. 21 τούς—22 αὐτούς Thuc. 1, 26, 3 κυρίως sq. cf. An. Ox. 2, 366, 13 ex quo Et. M. 357, 8 2207 — ἐβοήθησεν = Ba 228, 25, H, Ap. S. 71, 31 cf. sch. B 873 ταῦτα—p. 348, 2 ἐποίει fort. Arr. Parth. p. 13 R.

2193—4 Z 834 2195 cf. 1977, 2197, 2201 2196 cf. 3584 2197 cf. 1977, 2195, 2201 2201 cf. 1977, 2195, 2197. Aelian. fr. 99 cf. v. Θ 171 2202 Z 809 2204 cf. 2075 2205 Z 789 2206 Z 799, sch. Dem. 18, 12 2207 Dam. cf. v. A 1398

8 ἐπεύχετο A 9 Ἐπήραστον GITM cf. Ambr. 1360 13 κωμῳδίαις A (GITFVM)
v. Θ 171: cp. omnes κωμῳδιαν ed. pr. 2203 om. ATFV 22. 23 φυλάσσειν A
23 στρατιᾶς Bhd.: στρατείας GI cp. rell. 24 βλάπτει FM^{ac} 28 συνεχῶς AF

E Ἀντωνίῳ αὐτόν τε ἐπήρκει εἰς τὴν ἀποχώρησιν καὶ τοὺς στρατιώτας μαλακωτέρους ἐποίει. καὶ αὖθις· τὰ δὲ ἄλλα τοῖς φιλοσόφοις ἐπήρκουν.

E 2208 Ἐπηρμένοι: πρόχειροι, εὐτρεπεῖς. Θουκυδίδης· οἱ οὖν Ἕλληνες ἐπηρμένοι ἦσαν διὰ τὴν τῶν Ἀθηναίων κακοπραγίαν, οὐκ ἀποστατέον τοῦ πολέμου εἴη.

Δ 2209 Ἐπηρώθησαν: ἐσκοτίσθησαν, ἐτυφλώθησαν.

Σ 2210 Ἐπηρτημένην: ἐπικειμένην.

E 2211 Ἐπήρτησεν: ἐπέθηκεν, ἐπέφερεν. ὁ δὲ τὰς ὁδοὺς διαλαβὼν οὐ μικρὸν φόβον ἐπήρτησε τοῖς ἐν τῇ πόλει.

Σ 2212 Ἐπησθέντες: ἐπιχαρέντες.

Δ 2213 Ἐπήσθετο· γενικῇ. ἔγνω.

Δ 2214 Ἐπήσθη: ἐλαλήθη.

Δ 2215 Ἐπήσπαιρεν: ἐψυχορράγει.

Δ 2216 Ἐπητεία: ἡ ἐπέλευσις.

Δ 2217 Ἐπήτης: ὁ λόγιος καὶ συνετός.

Δ 2218 Ἐπήτριμος: πυκνός.

Δ 2219 Ἐπητύϊ: τῇ συνέσει.

Δ 2220 Ἐπηύξησεν.

Σ 2221 Ἐπιάλτην: Ὅμηρος καὶ Ἡσίοδος καὶ οἱ Ἀττικοὶ τὸν δαίμονα, διὰ δὲ τοῦ φ τὸν ἄνδρα Ἐφιάλτην. καὶ τὸ ῥιγοπύρετος λεγόμενον.

Σ 2222 Ἐπίασιν: ἐπέρχονται.

Thdr. 2223 Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ: ἡ μὲν γὰρ ἐνίησι θανατηφόρον ἰόν, ὁ δὲ καὶ τῇ θέᾳ λώβην ἐργάζεται.

Σ 2224 Ἐπιβάθρα: ἐπίβασις. πρώτη δὲ ἤδη ἀπέβη, οἱονεὶ ἐπιE βάθραν αὐτῷ κατασκευάζουσα καὶ κατακόλπισιν. Πολύβιος· ὁ δὲ E Φίλιππος ἐβούλετο παρελέσθαι Ῥωμαίων τὰς ἐν τούτοις τοῖς τόποις ἀφορμὰς καὶ τὰς ἐπιβάθρας.

Σ+E 2225 Ἐπιβάθρας: ἐπιβάσεως. ἡ δὲ ἐπὶ τὸ τέγος ἀναβᾶσα ταχέως E ἄτε τῆς ἐπιβάθρας ἐμπείρως ἔχουσα. Πολύβιος· ἵνα ἐὰν προθῆται διαβαίνειν αὖθις εἰς τὴν Ἀσίαν, ἐπιβάθραν ἔχοι τὴν Ἄβυδον.

2207 τὰ sq. Dam. fr. 92 2208 οἱ sq. Thuc. 8, 2, 1 2209 — ἐσκοτίσθησαν cf. Ambr. 1682 2210 = Ba 228, 26 2212 = Σ^{a} cf. Ba 228, 27, H 2213 ἔγνω = Ambr. 1620; l. = H 2215 l. cf. L 2216 aliter Ambr. 1483 et Ps. Herodian. 35 2217 — λόγιος cf. Ambr. 1349, H, sch. ν 332. συνετός = Ambr. 1371, Et. M. 356, 46 2218 = Ambr. 1346 cf. sch. Σ 211 = Et. M. 356, 49; sch. Σ 552, H 2219 cf. Ambr. 1465 2221 cf. Lex. rhet. (fr. 381 Schwabe) ap. Eust. I. 561, 16 et Eust. O. 1687, 52, porro H; Ὅμηρος cf. Ε 385, Hesiod. fr. 10 2222 = Ba 228, 28 2223 Thdr. in Ps. 90, 13, PG 80, 1613 b c 2224 — ἐπίβασις = Ba 228, 29 cf. H πρώτη—κατακόλπισιν fort. Iambl. ὁ sq. Polyb. 16, 29, 1 2225 ἡ—ἔχουσα fort. Iambl. ἵνα sq. Polyb. 16, 29, 2

2208 Z 835 2210 Z 835 2211 cf. v. Δ 612. Z 835 2216 Z 799 2217 Z 789 2219 Z 789 2221 ῥιγοπύρετος cf. v. H 433. Z 790 2222 Z 835 2224 Z 800

A(GITFVM) 1 Ἀντωνίνῳ V 16 Ἐπήτυς V 19 Ἐπηύρησεν GI om. T 21 καὶ om. AF ῥιγοπύρετον Kust. 2225 om. TF 29 Ἐπιβάθρας—30 ἐπιβάθρας om. GIM

2226 Ἐπιβάλλω· δοτικῇ. Synt.
2227 Ἐπιβὰς τῆς Ἀσίας.
2228 Ἐπιβατεῦσαι· γενικῇ. ἐπιβῆναι, κατασχεῖν. χωρίων ἐκστῆναι, ὥνπερ Θευδίβερτος οὐ δέον ἐπιβατεῦσαι διὰ σπουδῆς ἔσχεν. x + EL
2229 Ἐπιβατήρια: τὰ ἐπὶ τῶν τειχῶν μηχανήματα. ὁ δὲ τὰς μηχανὰς ἐπῆγε, πύργους ξυλίνους καὶ χελώνας, καὶ ὅσα τειχῶν ἐπιβατήρια. x + E
2230 Ἐπιβάτης: ὁ ἐπὶ τῆς νηὸς ἄπρακτος. Ἐρέτης δὲ ὁ κωπηλατῶν.
2231 Ἐπιβάτης: οὕτως ἐκάλουν τοὺς ἐν ταῖς τριήρεσι στρατευομένους καὶ μὴ κωπηλατοῦντας μέν, ἐπιτηδείους δὲ πρὸς τὸ μάχεσθαι. Harp.
2232 Ἐπιβαίνω· γενικῇ. Δ
2233 Ἐπιβεβήκασιν: ἐνέτυχον, σύγχρονοι ἐγένοντο. οὗτοι μὲν οὐκ ἐγένοντο ἐπὶ τῆς ἀρχαιοπρεποῦς πολιτείας· τοῖς δὲ γενομένοις ἐπιβεβήκασι καὶ ἐνέτυχον, καὶ παρ' ἐκείνων ὠφεληθέντες, ἔπειτα τοῖς καθ' ἑαυτοὺς ἐγένοντο πολλῶν ἀγαθῶν ἡγεμόνες, τῶν τε ἄλλων καὶ παλαιῶν διηγημάτων πολύφωνοι κήρυκες.
2234 Ἐπίβλημα· τὸ τῷ προτέρῳ ἐπιβαλλόμενον. Δ
2235 Ἐπιβλής: ὁ μοχλός, ἡ σαῖρα. οἱ μέν φασιν, ὅτι δοκός ἐστιν, οἱ δὲ ποιός τις δοκός. Δ Harp.
2236 Ἐπιβλήτης: ὁ δόκιμος. Δ
2237 Ἐπιβόημα· Θουκυδίδης· ὁ δὲ εἴτε τὸ ἐπιβόημα εἴτε καὶ αὐτὸ ἄλλο τι ἢ κατὰ τὸ αὐτὸ δόξαν ἐξαίφνης, τὸ στράτευμα ἀπῆγε. τουτέστιν ἐπιφώνημα. καὶ Ἐπιβοώμενος, ἀντὶ τοῦ ἐπικαλούμενος. E Δ
2238 Ἐπιβολή: ἔννοια καὶ ἐπιχείρησις. ἐπὶ θεωρημάτων γεωμετρικῶν. ἐπὶ δὲ Ἰουστινιανοῦ τὸ τῆς ἐπιβολῆς ὄνομα ὅλεθρος ἦν ἀπρόοπτος ἐξαπίνης τοῖς τὰ χωρία κεκτημένοις ἐπιγινόμενος πρόρριζόν τε αὐτοῖς ἐκτρίβων τὴν τοῦ βίου ἐλπίδα. χωρίων γὰρ τέλος τῶν ἐρήμων τε καὶ ἀπόρων γεγενημένων, ὧν δὴ τοῖς τε κυρίοις καὶ τοῖς γεωργοῖς ἤδη τετύχηκεν ἀπολωλέναι τὴν γῆν πατρῴαν ἀπολιποῦσιν ἢ τοὺς ἐγκειμένους σφίσι διὰ ταῦτα κακοὺς κρύπτεσθαι, οὐκ ἀπηξίουν φέρειν τοῖς οὔπω διεφθαρμένοις παντάπασι. καὶ τοῦτο ἐκάλουν Σ

2226 cf. Synt. Laur. 2228 γενικῇ cf. Synt. Laur. et Gud. ἐπιβῆναι cf. Lex. αἱμ. 624, 48 = Et. M. 357, 44, Et. Gud. χωρίων sq. Proc. Bell. 8, 24, 11 = EL 119, 5—6 2231 Harp. = Et. Gen., Et. M. 357, 41 2232 = An. Ox. 4, 292, 18 2233 οὗτοι sq. Dam. fr. 51 2235 — μοχλός = L, H cf. Ap. S. 72, 17; sch. Ω 453 = Et. M. 358, 2 (aliter Ambr. 1335) οἱ sq. Harp. = Lex. Rhet. ap. Et. Gen. cf Et. M. 358, 6 2236 = Ambr. 1355 cf. H 2237 — ἀπῆγε Thuc. 5, 65, 3 Ἐπιβοώμενος sq. cf. H 2238 — ἐπιχείρησις = Ba 228, 31 ἐπὶ δὲ—παντάπασι Proc. h. a. 23, 15—6

2228 Z 835. Proc. cf. v. οὐ δέον 2233 cf. 2744 2237 Z 818. ἐπικαλούμενος cf. 2246, 2248 2238 cf. 2020. Z 800

2227 om. TFV mg. A 2230 om. V 2231—2 om. T 12 γενικῇ om. FV A(GITFVM)
14 ἐγίνοντο F 20 δοκός] vitium latere putat Bhd. 22 αὐτῷ Thuc.
23 τι] τε F ἐπῆγε F 28 γὰρ] τε γὰρ GIM 31 ἀπηξίου GIM
32 οὔπω] οὕτω A

ἐπιβολὴν καὶ ἐπιβάλλειν, ὡς ὁριζομένη ζημία τοῖς ἁλοῦσιν ἐξημαρτηκέναι περὶ ὀρφανοὺς ἐπιτρόποις ἢ καὶ ἄλλοις τισὶ τῶν τὰ δημόσια μὴ καλῶς διοικησάντων ἢ τοῖς κατέχουσι τὰ ἀλλότρια καὶ μὴ εἰς ἐμφανὲς καθιστᾶσιν. ἣν οἱ ἄρχοντες ζημίαν ὁρίζουσιν ἐπιβολὴ καλεῖται, καὶ τὸ ῥῆμα ἐπιβάλλειν.

Δ 2239 Ἐπιβολή: καὶ ἡ ἐγχείρησις, ἡ προκάταρξις. Πολύβιος· ἔστι Ε μὲν γὰρ ὅτε καὶ ταὐτόματον ἀντέπραξε ταῖς ἐπιβολαῖς τῶν ἀγαθῶν ἀνδρῶν, ἔστι δ' ὅτε πάλιν, κατὰ τὴν παροιμίαν, ἐσθλὸς ἐὼν ἄλλου κρείττονος ἀντέτυχε. τοῦτο δέ φασι περὶ Ὕλλου τοῦ Ἡρακλείδου καὶ Εὐχέμου τοῦ Αἰγεάτου.

Harp. 2240 Ἐπιβολή: παρὰ τοῖς ῥήτορσιν ἡ ζημία. καὶ Ἀριστοφάνης·
Ar. ταύτης ἐπιβολὴν ψηφιεῖ μίαν μόνην.

Δ Σ 2241 Ἐπίβολος. Ἐπιβολή, ἡ εἰσφορά. ὅτι Ἀγάπιος φιλόσοφος
Suid. ἐθαυμάζετο ἐπὶ φιλομαθείᾳ καὶ ἀποριῶν προβολῇ δυσεπιβόλων. ὁ δὲ Σκιπίων ἀποκρίνεται μηδαμῶς εἶναι Ῥωμαίοις ἔννομον ἐν ἐπαίνῳ ποιεῖσθαι τὰς κατὰ τῶν στρατηγῶν τοῖς ἀρχομένοις ἐπιχειρουμένας ἐπιβουλάς.

Δ 2242 Ἐπίβοον: ἡ ἐκ τοῦ βοὸς θυσία.

Δ Synt. 2243 Ἐπιβουλὴ καὶ Ἐπίβουλος. καὶ Ἐπιβουλεύω σοι· δοτικῇ.

Δ 2244 Ἐπιβώμιον: τὸ εἰς τὸν βωμόν.

2245 Ἐπιβοῶμαι· αἰτιατικῇ. τὴν πεῖραν μάρτυρα καὶ κανόνα τῶν ἐμῶν λόγων ἐπιβοῶμαι.

EL 2246 Ἐπιβοώμενοι: ἐπικαλούμενοι μάρτυρας. τὰς ἑαυτῶν κεφαλὰς τύπτοντες καὶ τὰς χεῖρας ἐπανατείνοντες καὶ τοὺς θεοὺς ἐπιβοώμενοι.

Synt. 2247 Ἐπιβοῶμαί σε. τὸν Χριστὸν ἐπεβοᾶτο.

Δ 2248 Ἐπιβωσάμενος: ἐπιβοησάμενος, ἐπικαλεσάμενος.

Δ 2249 Ἐπιβωσόμεθα.

Σ 2250 Ἐπιβρίθων: ἐπιβαρῶν. καὶ Ἐπιβρίσει, ἐπιβαρήσει.

2251 Ἐπιβρίςηςιν ὀδόντας: παρ' ὅσον οἱ θυμούμενοι τρίζουσι τοὺς ὀδόντας.

2238 vs. 1 ἐπιβολὴν sq. cf. Bk. 254, 24, Et. M. 357, 50, sch. Ar. Vsp. 769 2239 l. = Ambr. 1449 ἔστι μὲν sq. Polyb. 15, 16, 6 cf. PLG 3, p. 690, Philol. 48, 180 2240 — ζημία Harp. cf. An. Ox. 2, 494, 28, H ταύτης sq. Ar. Vsp. 769 2241 ἐπιβολή, ἡ εἰσφορά Tim. 2242 cf. Ambr. 1519 2243 Ἐπιβουλὴ = Ambr. 1450. Ἐπίβουλος = Ambr. 1338b Ἐπιβουλεύω sq. cf. Synt. Gud. et Laur. 2244 l. cf. Ambr. 1537 2245 — αἰτιατικῇ = Synt. Gud. cf. Synt. Laur. τὴν sq. Artem. 2, 70, p. 167, 18—9 2246 τὰς ἑαυτῶν sq. Diod. 32, 6, 4 = EL 405, 6—8 2248 cf H, Ambr. 1590 2249 K 463 2250 — ἐπιβαρῶν = Σ^{a}, H, Ba 228, 32. Ἐπιβρίσει sq. = Σ^{a}, Ba 228, 33, H cf. sch. E 91, Ambr. 1664

2239 cf. 3141 et 3821 2240 Z 800 2241 ὅτι—δυσεπιβόλων ex v. A 157 cf. v. Δ 1618. ὁ sq. ex v. B 396 2242 Z 809 2246 cf. 2237. Z 835 2247 hinc 2022 2248 cf. 2237 2249—51 Z 835—6

A(GITFVM) 1 ὡς] ἡ Kust. 4 καθιστῶσι GIVM 10 Ἐχέμου coll. Paus. Per. 8, 45, 3 Hemst. Τεγεάτου Wolf Port. 2241 om. T 13 Ἐπήβολος V Ἐπιβολή] nov. gl. V ὅτι—14 δυσεπιβόλων om. FV mg. M post gl. GI 14 ὁ—16 ἐπιβουλάς om. FV 16 ἐπιβολάς GI 17 θυσία] οὐσία GIT 18 καὶ alt.—δοτικῇ om. FV 2244 extra ord. 20 καὶ—22 μάρτυρας om. A 22 μάρτυρας GIFM: μάντ V 2247 ex GIM; Ἐπιβοῶμαί σε· ἀντὶ τοῦ παρακαλῶ σε ἢ ἐπικαλοῦμαι m. rec. in mg. A

2252 Ἐπιβρόντητος: ὁ ἐμβρόντητος. Σοφοκλῆς· ὡς ὁ στρατηγὸς Soph.
οὑπιβρόντητος μολών.

2253 Ἐπιβρέχω· δοτικῇ. Synt.

2254 Ἐπίβοιον· ὅταν τις τῇ Ἀθηνᾷ ἔθυε βοῦν, ἔθυε καὶ τῇ Παν- Harp.
δώρᾳ ὅϊν μετὰ βοός· καὶ ἐκαλεῖτο τὸ θῦμα ἐπίβοιον.

2255 Ἐπὶ βύρσης ἐκαθέζετο: τοῦτο παρὰ Σκύθαις ἐτελεῖτο. Prov.
ἐπειδάν τις ἠδικεῖτο πρὸς ἑτέρου, ἀμύνασθαι δὲ βουλόμενος ἑαυτὸν
οὐκ ἀξιόμαχον μόνον ᾖετο, βοῦν ἱερεύσας, τὰ μὲν κρέα κατακόψας
ἥψει, αὐτὸς δὲ ἐκπετάσας χαμαὶ τὴν βύρσαν ἐκάθητο ἐπ' αὐτῆς εἰς
τοὐπίσω παραγαγὼν τὼ χεῖρε. καὶ τοῦτό ἐστι Σκύθαις ἡ μεγίστη
ἱκετηρία. τῶν δὲ κρεῶν τοῦ βοὸς ὁ βουλόμενος μοῖραν λαμβάνων καὶ
ἐπιβαίνων τῇ βύρσῃ τὸν δεξιὸν πόδα ὑπισχνεῖται κατὰ δύναμιν ἕκαστος
συμμαχήσειν. καὶ ἔστιν αὐτοῖς τοῦτο ὅρκων ὁ βεβαιότατος.

2256 Ἐπιβύσαντες: ἐπικαλύψαντες, σκεπάσαντες. Προκόπιος· ἐπι- E
βύσαντες τοὺς ῥωχμοὺς χώματι τὸ ὕδωρ μετοχετεύουσι. καὶ Ἀκρό-
βυστος, ὁ τὸ ἄκρον βεβυσμένον ἔχων.

2257 Ἐπιβύσας: ἐμπλήσας, γεμίσας. ὡς Ὅμηρος· νήματος ἀσκητοῖο Ar.
βεβυσμένον. Ἀριστοφάνης Πλούτῳ· τὸ στόμ' ἐπιβύσας κέρμασι τῶν
ῥητόρων.

2258 Ἐπιγαμβρεία. Δ

2259 Ἐπιγάννυται· δοτικῇ. ἐπιχαίρει. Σ

2260 Ἐπιγαυρωθείς: ἀνδρωθείς, θρασυνθείς. Ξενοφῶν· ὁ μὲν E
δὴ ταῦτα ἀκούσας καὶ ἐπιγαυρωθεὶς τῇ ἐντολῇ τοῦ Κύρου ἐπορεύετο.

2261 Ἐπιγενήματα: τὰ ἐξ ὑστέρου τοῖς τραύμασιν ἀναφυόμενα.
Πολύβιος· δεῖ τοὺς ὀρθῶς βουλευομένους περὶ τοῦ πολέμου, καθάπερ E
καὶ τοὺς ἐν ταῖς ἀρρωστίαις, μηδὲν ἧττον τῶν ἐπιγενημάτων ποιεῖσθαι
λόγον, ἢ τῶν ἐξ ἀρχῆς ὑποκειμένων παθῶν.

2262 Ἐπιγένης, κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἡρωΐνη καὶ Hesy.?
Μνημάτιον καὶ Βακχεία, ὡς Ἀθήναιος λέγει ἐν τοῖς Δειπνοσοφισταῖς.

2263 Ἐπιγένης: ὄνομα κύριον. ἐπειδὴ τοίνυν Ἐπιγένης ἀσθενὴς Δ
τριηραρχεῖν ἠναγκάζετο, ἀνάργυρος ὢν καὶ τῆς γῆς τῶν πολεμίων Rhet.
κρατούντων.

2252 Soph. Ai. 1386 c. sch. 2253 = Synt. Laur. et Gud. 2254 Harp. = Et. Gen., Et. M. 358, 11 2255 = Paroem. ed. Gsf. 36, n. 355 cf. Lucian. Toxar. 48 2256 ἐπιβύσαντες—μετοχετεύουσι Proc. Bell. 4, 19, 13 2257 Ar. Pl. 379 c. sch.; δ 134 2258 = Ambr. 1485 2259 δοτικῇ cf. Synt. Gud. et Laur. ἐπιχαίρει = Ba 228, 34 cf. H 2260 ὁ sq. Xen. Cyr. 2, 4, 30 2261 δεῖ sq. Polyb. fr. 41 2262 cf. Ath. 11, 474a, 480a, 498e 2263 ἐπειδὴ sq. Lys. fr. 93

2252 Z 791 2255 Z 800 2256 Z 836. Proc. cf. v. ῥωχμός 2260 Z 836 2261 Z 809 2263 cf. v. A 2043

4. 5 Πανδώρᾳ ed. pr.: Πανδόρᾳ omnes 6 ἐτελεῖτο] ἐκαλεῖτο F cf. vs. 5 A(GIFVM) 15 ῥοχμοὺς GIM 16 ἔχον A 17 ἀσκητοῖς A 18 βεβυσμένον ed. pr.: βεβυσμένου V cp. rell. 24 Ἐπιγεννήματα Kust.; item 25

Δ 2264 Ἐπίγειος: ὁ γήϊνος.

Δ 2265 Ἐπιγηθεῖ: χαίρει.

Ar. 2266 Ἐπιγλωττήσομαι: φλυαρήσω, βλασφημήσω. περὶ τῶν Ἀθηναίων γὰρ οὐκ ἐπιγλωττήσομαι.

Harp. 2267 Ἐπιγνώμονας: ἀντὶ τοῦ ἐπισκόπους. καὶ Ἐπιγραφέας, τοὺς καθεστηκότας ἐπὶ τοῦ γράφειν ἑκάστῳ, ὅσον εἰσφέρειν ὀφείλουσιν εἰς τὸ δημόσιον.

Ar. 2268 Ἐπίγονος: ὄνομα κύριον. Ἀριστοφάνης· ἐπιβλέψας ἐκεῖσε γυναῖκας ᾠόμην λέγειν. οὗτος ἐκωμῳδεῖτο ὡς μαλακὸς καὶ ὡς μετὰ γυναικῶν ἀεὶ εὑρισκόμενος.

Σ 2269 Ἐπιγουνίδα: τὸ πρὸ τοῦ γόνατος ἄνω σαρκῶδες τοῦ μηροῦ. ἔνιοι δὲ τὴν ἐπωμίδα.

Σ 2270 Ἐπίγραμμα: πάντα τὰ ἐπιγραφόμενά τισι, κἂν μὴ ἐν μέτροις εἰρημένα, ἐπιγράμματα λέγεται.

Σ 2271 Ἐπιγραφεῖς· ὁπότε δεήσειεν ἀργύριον εἰσφέρειν εἰς τὸ δημόσιον τοὺς ἀστοὺς ἢ τοὺς μετοίκους, οἱ ταῦτα διαγράφοντες ἐπιγραφεῖς ἐκαλοῦντο.

2272 Ἐπιγραφομένῳ: ἰδιοποιουμένῳ, οἰκειουμένῳ. εἰ καὶ δόξαν ἔμελλε φέρειν τὰ ὑπ' ἄλλων εὑρημένα ἐπιγραφομένῳ.

Ε 2273 Ἐπιγράφων· δοτικῇ. ἀντὶ τοῦ βεβαιῶν, διϊσχυριζόμενος. ὁ δὲ Ψευδοφίλιππος ἐπέγραφεν ἑαυτῷ Φίλιππον τὸν Μακεδόνα· ἀντὶ τοῦ ἡγησάμενον.

Σ 2274 Ἐπιγράψας: ἐπιξέσας.

Harp. 2275 Ἐπίγυον· τὰ πρυμνήσια ἐπίγυα ἔλεγον.

x + E 2276 Ἐπιγύοις: τοῖς ἀπὸ γῆς. τὰ δὲ πλεῖστα καὶ τοῖς ἐκ τῆς γῆς ἐπιγύοις προσέλαβον εἰς τὸ ζεῦγμα. καὶ αὖθις· τὴν δ' ἀπὸ τοῦ ῥεύματος πλευρὰν ἠσφαλίζοντο τοῖς ἀπὸ γῆς ἐπιγύοις.

Suid. 2277 Ἐπίδαμνος· ὅτι ἡ πόλις τὸ νῦν Δυρράχιον Ἐπίδαμνος τὸ πάλαι ἐλέγετο.

Δ 2278 Ἐπιδαύριος: ὄνομα τοπικόν.

2279 Ἐπίδαυρος: ὄνομα τοπικόν· ἐν ᾧ ὁ Ἀσκληπιὸς ἐτιμᾶτο.

2264 l. = Ambr. 1418 2265 = L 2266 Ar. Lys. 37 c. sch. 2267 Harp. = Et. Gen., Et. M. 358, 15 cf. An. Ox. 2, 494, 29—32 2268 Ar. Eccl. 167 c. sch. 2269 = Ba 228, 35, Et. Gen., Et. M. 358, 24 cf. sch. ρ 225, Ap. S. 72, 25 2270 cf. Bk. 260, 7 = Et. M. 358, 23 2271 cf. Et. Gen. = Et. M. 358, 17; Poll. 8, 103, Bk. 254, 3, sch. Pl. Leg. 850c 2273 ὁ—Μακεδόνα Polyb. attr. Valck. 2274 = Ba 229, 1 cf. sch. Λ 388, H 2275 Harp. cf. Ambr. 1520, H 2276 ἀπὸ γῆς cf. sch. A 476. τὰ—ζεῦγμα fort. Polybii. τὴν sq. Polyb. 3, 46, 3 2278 = L 2279 l. = Ambr. 1386

2266 cf. v. οὐκ ἐπιγλωττήσομαι. Z 836 2267 cf. 2271. Z 791 2269 Z 800 2270 Z 809 2271 cf. 2267. Z 836 2273 cf. 2026. Z 836 2275—6 Z 809 2276 Polyb. cf. 1123 2277 ex v. Δ 1585 2279 Z 791

A (GITFVM) 16 ἀστοὺς] αὐτοὺς V 18 οἰκειομένῳ V 19 ἄλλων] ἀλλήλων T Zon. 20 δοτικῇ GITM: αἰτιατικῇ A 21. 22 ἀντὶ τοῦ ἡγησάμενον del. Kust., ad aliamvis glossam rettulit Bhd. 2277 om. FV

2280 Ἐπιδαψιλευόμενος: πολυτελῶς διαπραξάμενος. καὶ Σ
Ἡρόδοτος· τάς τε μητέρας καὶ ἀδελφεὰς ἐπιδαψιλεύμεθα ὑμῖν, ὡς E
παντελῶς μάθετε τιμώμενοι πρὸς ἡμέων.
2281 Ἐπιδαψιλεύω· γενικῆ. Synt.
2282 Ἐπιδάν.
2283 Ἐπιδαίσιος οἶκος: ὁ ἐπίκοινος καὶ οὐ μεριστός. ὁ ἐξ ἴσου Ecl.
καταλειφθεὶς δύο τισίν.
2284 Ἐπιδεᾶ: ἐνδεᾶ, ἐλλιπῆ. Σ
2285 Ἐπὶ δ' ἐγδούπησεν: ἐπεκτύπησε. πλὴν περισσὸν καὶ παρέλκον Hom.
τὸ γ. καὶ ἐν τῷ ἐρίγδουπος ὁμοίως.
2286 Ἐπιδέκατον: τὸ δέκατον. καὶ ἐπίπεμπτον, τὸ ε' λέγειν εἰώθασι. Harp.
2287 Ἐπὶ Δελφινίῳ: δικαστήριον Ἀθήνησιν ἐπὶ τῶν ὁμολογούντων Harp.
μὲν δεδρακέναι φόνους, κατὰ νόμους δέ.
2288 Ἐπιδεξιελευθέρως· Πλάτων ἐν Θεαιτήτῳ· πάντα δυναμένους δξέως τε Suid.
καὶ τορῶς διακονεῖν, ἀναλάβεσθαι δ' οὐκ ἐπισταμένους ἐπιδεξιελευθέρως, οὐδὲ
ἁρμονίαν λόγων λαβόντας ὑπαντῆσαι θεόν. ζήτει ἐν τῷ ἀναλαμβάνειν.
2289 Ἐπίδεσμος: ὁ ἐπὶ τῇ πληγῇ δεσμός. Ἀριστοφάνης· ἄκουε, μὴ Ar.
φεῦγ'. ἐν Συβάρει γυνή ποτε κατέαξ' ἐχῖνον. οὐχῖνος οὖν ἔχων τίν'
ἐπεμαρτύρατο. εἶθ' ἡ Συβαρῖτις εἶπεν, εἰ ναὶ τὴν Κόραν, τὴν μαρτυ-
ρίαν ταύτην ἐάσας ἐν τάχει ἐπίδεσμον ἐπρίω, νοῦν ἂν ἔχῃς πλείονα.
2290 Ἐπίδειξον: ἀντὶ τοῦ εἰπέ. Ἀριστοφάνης Νεφέλαις· ἔχεις τινὰ Ar.
γνώμην, ἐπίδειξον αὐτήν.
2291 Ἐπιδειπνεῖς· λέκιθον, ἵν' ἐπιδειπνῇς, κόνισαι ἰσχυρῶς. καὶ Ar.
δεύτερον δειπνεῖν δυνηθείης.
2292 Ἐπὶ Δηλίῳ μάχη: χωρίον ἐστὶ τῆς Βοιωτίας τὸ Δήλιον, ἐν Harp.
ᾧ μαχόμενοι οἱ Ἀθηναῖοι ὑπὸ Βοιωτῶν ἐνικήθησαν.
2293 Ἐπιδήμιος: ἐμφύλιος, κοινός, δημόσιος. Σ
2294 Ἐπιδημῶ· δοτικῆ. Synt.
2295 Ἐπὶ δ' ἤνεον: ἐπήνουν, συγκατετίθεντο. Hom.
2296 Ἐπιδιατίθεσθαι: τὸ συνθήκας τινὰς ποιεῖσθαι, κατατιθεμένους Harp.
ῥητόν τι ἀργύριον παρά τινι τῶν μεταξὺ γινομένων, ὅπερ ἐγγυᾶται,
ὥστε εἰ ἡ πρᾶξις γίνοιτο, θατέρῳ πάντως τὸ ὡμολογημένον ἀργύριον
ἀποδοῦναι.

2280 l. = Ba 229, 2, Σ^{A} τὰς sq. Hdt. 5, 20, 4 2283 cf. Et. Gen. = Et. M. 358, 43; An. Ox. 2, 434, 4 2284 = H, Σ^{A}, Ba 229, 3 cf. Zon. 809 2285 — ἐπεκτύπησε = sch. D in Λ 45; περισσὸν—γ cf. sch. A (Aristonic.) in Λ 45, Et. M. 308, 55 2286 Harp. cf. Bk. 254, 7 2287 Harp. cf. Et. Gen. = Et. M. 358, 55 2289 Ar. Vsp. 1435—40 c. sch. 1438 2290 Ar. Nu. 747—8 c. sch. 2291 Ar. Eccl. 1178 c. sch. 2292 Harp. = Et. Gen., Et. M. 359, 11 2293 = Ba 229, 5 cf. H, Et. Gen., Et. M. 359, 7, sch. I 64, Greg. Cor. p. 561 2294 = Synt. Laur. et Gud. 2295 sch. Γ 461; — ἐπήνουν = Ambr. 1604 2296 Harp. = Et. Gen., Et. M. 359, 21

2280 Z 836 2283 Z 791 2285 cf. 2310. Z 836 2287 cf. v. Δ 206 2288 ex v. A 1950 2289 Z 791 2290—91 Z 837 2292 Z 801 2293 Z 791 2296 Z 837

2 ἐπιδαψιλευόμεθα GIT v. l. Hdt. 5 Ἐπιδάν I: Ἐπειδάν GM 6 οὐ] A (GITFVM) εὐ F 8 ἐλλειπῆ V Ba Σ^{A} 2288 om. AFV 18 Συβάρει] ἁβάρει GIM 20 ἔχεις I 32 γένοιτο F Harp. plen. ὁμολογημένον GIM Et. Gen.

Harp. 2297 Ἐπιδιετὲς ἠβῆσαι: ἀντὶ τοῦ ἑκκαίδεκα ἐτῶν γεγονέναι. τὸ γὰρ ἠβῆσαι μέχρι ιδ′ ἐστίν. ἀλλ' οἱ ἔφηβοι παρ' Ἀθηναίοις ὀκτωκαιδεκαετεῖς γινόμενοι ἐλέγοντο· καὶ ἔμενον μὲν ἐν τοῖς ἐφήβοις ἔτη δύο, ἔπειτα εἰς τὸ ληξιαρχικὸν ἐγράφοντο γραμματεῖον.

Σ 2298 Ἐπίδικα· οἷς ἄν τις ἐπεδικάζετο, ὡς προσήκουσιν αὐτῷ κατὰ γένους ἀγχιστείαν, εἰ μὴ εἶεν υἱεῖς ἢ υἱωνοὶ τῷ τετελευτηκότι, μήτε μὴν διαθῆκαι, ταῦτα ἐπίδικα καλεῖται.

Σ 2299 Ἐπιδικάζεται· γενικῇ. ἀντιποιεῖται.

Harp. 2300 Ἐπίδικος καὶ Ἔπικληρος καὶ Ἐπίπροικος καὶ Ἐπικληρῖτις. ἐπίκληρος μὲν ἡ ἐπὶ παντὶ τῷ κλήρῳ ὀρφανὴ καταλελειμμένη, μὴ ὄντος αὐτῇ ἀδελφοῦ. ἡ δὲ αὐτὴ καὶ ἐπικληρῖτις, ἐπίπροικος δὲ ἡ ἐπὶ μέρει τινὶ τοῦ κλήρου, ἥ τε προῖκα ἔχειν ἀδελφοὺς ἔχουσα. ἐπίδικος δὲ ἡ ἀμφισβητουμένη ἐπίκληρος, τίνι χρὴ αὐτὴν γαμηθῆναι. Ἰσαῖος δὲ τὴν ἐπίκληρον ἐν τῷ πρὸς Λυσίβιον ἐπικληρέτιν ἐκάλεσεν.

Synt. 2301 Ἐπιδοκιμάζω: ἀντὶ τοῦ ὑπερμαχῶ. γενικῇ.

Σ 2302 Ἐπιδίφρια: τὰ τῷ ἁρματίῳ δίφρῳ ἐπιτιθέμενα. καὶ ὁ ἐπὶ δίφρου ἱζάνων, ἢ καθήμενος παντοδαποῦ.

2303 Ἐπιδίφριος: ἀργός, καὶ γυναικώδης.

Σ 2304 Ἐπιδορατίς: ὁ σίδηρος, τοῦ ἀκοντίου τὸ ἄνω.

Δ 2305 Ἐπίδοσαν: ἀντὶ τοῦ εἶδον.

Σ 2306 Ἐπίδοξος: ἔνδοξος· ἢ προσδόκιμος. ὡς τό, ἐπίδοξος γὰρ ἦν
E αὐταρχῆσαι. καὶ Προκόπιός φησι· παρεχομένη χιλίας ἀργύρου
E+Σ λίτρας τὸν υἱωνὸν ὠνεῖσθαι ἐπίδοξος ἦν. καὶ αὖθις· ὁ δὲ ἀπήγγειλεν, ὡς Πέρσαι ἐπίδοξοί εἰσιν ἐς τὴν Ῥωμαίων γῆν εἰσβάλλειν.
EL ἀντὶ τοῦ προσδόκιμοι. καὶ αὖθις· ἐᾶσαι τὴν ὁδόν, ἣ ἔνδοξοι ἦσαν ἐπιθήσεσθαι οἱ Πέρσαι.

x+Σ 2307 Ἐπίδοσιν: ἐπὶ ἀρετῆς αὔξησιν, προκοπήν, προσθήκην. ὁ δὲ φιλοσοφῶν ἀνεμπόδιστος εἰς ἐπίδοσιν διετέλει καὶ ἐπεδίδου κατὰ πῆχυν,

2297 Harp. = Et. Gen., Et. M. 359, 16 cf. An. Ox. 2, 494, 32, Bk. 255, 15 2298 cf. Bk. 184, 1 2299 γενικῇ cf. Synt. Laur., Bk. 140, 13; 145, 8 ἀντιποιεῖται = Ba 229, 4, H 2300 Harp. = Et. Gen., Et. M. 359, 25 cf. Bk. 256, 8, sch. Pl. Leg. 630e, Lex. Patm. 151, Poll. 3, 33; Isae. fr. 91 2301 = Boisson. 2, 368 vs. 541; γενικῇ cf. Synt. Gud. 2302 — ἐπιτιθέμενα = Ba 229, 6 cf. H, sch. o 51 2304 = Ba 229, 9, H cf. Ambr. 1472 2306 — αὐταρχῆσαι = Σ^a, Ba 229, 7 cf. sch. Pl. Theaet. 143d, H, Thom. 136, 9, Phryn. Ecl. 132, Ammon. 80, sch. Greg. Ann. n. 106 παρεχομένη—ἦν Proc. h. a. 12, 8 ὁ—εἰσβάλλειν Proc. Bell. 1, 13, 12 προσδόκιμος = Erotian. 39, 3 ἐᾶσαι sq. Men. Prot. fr. 22, FHG 4, 230 = EL 454, 8—9 2307 — ἀρετῆς falso Dam. fr. 51. αὔξησιν—προσθήκην = Σ^a cf. Ba 229, 10 ὁ—p. 355, 1 ἀτεχνῶς Dam. fr. 166

2297 cf. v. H 19. Z 309 2298 Z 810 2299 Z 837 2300 Z 801 2304 Z 801 2305 Z 837 2306 Z 791 2307 cf. v. K 710

Λ(GITFVM) 9. 10 Ἐπικληρίτης AV Harp. ep. 11 ἐπικληρίτης A^{ac}V 12 ἥ τε] ὥστε F Et. Harp. plen. 14 ἐπικληρέτιν A Et. Harp. ep.: ἐπικληρῖτιν rell. 2301 om. AFV 2302 post 2303 V 19 τὸ ἄνω om. GIT Zon. 20 ἀντὶ τοῦ] αὐτὸν A 2306 extra ord. 23 τὸν] τῶν AI 25 ἐπίδοξοι Men., Port. 27 Ἐπίδοσις V^{ac}M ἀρετὴν F ἀνεμποδίστως Bhd. (ad v. K 710)

ὡς φάναι, ἀτεχνῶς. Ἐπίδοσιν μὲν οἱ Ἀττικοὶ λέγουσιν, ἡ δὲ Σ
προκοπὴ παρ' οὐδενὶ τῶν Ἑλλήνων.
2308 Ἐπίδοσις: αὔξησις, προσθήκη. Πισίδης· πρὸς τὰς ἐπιδόσεις Σ
τῶν ξιφῶν καὶ τῶν λίθων.
2309 Ἐπίδρομον: ἐπιδρομὴν παρέχον, εὐάλωτον. Σ
2310 Ἐπιδουπῆσαι: ἐπικτυπῆσαι. καὶ Ἐρίγδουπος, ὁ μεγα- Δ
λόηχος. Μένανδρος· οἱ δὲ Ἄβαροι κατὰ τὴν τοῦ πολέμου κίνησιν Ε
ἐβούλοντο ἦχον ἐγεῖραι ξυμμιγῆ τε καὶ ἄγριον, ἔτι τε οὖν ξὺν τῷ
ἀλαλάγματι ἐπιδουπῆσαι τοῖς τυμπάνοις, ὅπως ἂν ἐς τοσοῦτον αὐτοῖς
ὁ κτύπος ἐξαρθείη, ὡς καταπλῆξαί τε καὶ δεδίξεσθαι τὸ Ῥωμαϊκόν.
ταῦτα ἐπεὶ προέγνω ὁ Βῶνος, προαφηγήσατο τοῖς στρατιώταις, ὥστε
αὐτοὺς τῷ ἀθρόῳ μὴ καταπλαγῆναι, ἀλλὰ προανατυποῦντας ὅπερ
ἔμελλεν ἔσεσθαι, ἐθίζεσθαι τῇ δοκήσει καὶ τῷ μήπω παρόντι πρὸς τὸ
ἐσόμενον· καὶ ὅταν αἴσθοιντο τὸν πάταγον τῶν τυμπάνων, ἀντιπατα-
γεῖν καὶ αὐτοὺς ταῖς ἀσπίσι καὶ ἐπαλαλάζειν τὸ ἐνυάλιον καὶ παιωνί-
ζειν καὶ τοῖς ὑδροχόοις ἀγγείοις, ξυλίνοις οὖσιν, ἐπικτυπεῖν.
2311 Ἐπιέναι: ἐπελθεῖν. Σ
2312 Ἐπιεικές: πρέπον, καθῆκον, προσῆκον. Σ
2313 Ἐπιεικεστάτη: παρὰ Ἡροδότῳ μετρία, εὐγνώμων, καλῶς Hdt.
ἔχουσα.
2314 Ἐπιεικής. Δ
2315 Ἐπιεικῶς: τὸ ἐπίρρημα τοῦτο σημαίνει τὸ πάνυ. σημαίνει καὶ Σ
παραδόξως, καὶ παρ' ἐλπίδα, καὶ τὸ μετὰ ἐπιεικείας καὶ χρηστότητος.
σημαίνει καὶ τὸ μετρίως, ἤτοι συμμέτρως, καὶ τὸ ἱκανῶς. Προκό-
πιος· Λαζοὶ δὲ ἐπιεικῶς ἤχθοντο. δεῖσθαι χρημάτων οὐ πολλῶν Ε
εἰς τὴν ὁδόν, ζήσεσθαι γὰρ ἐπιεικῶς. καὶ αὖθις· ταῦτα παρ' ἐλπίδα Ε
τοῦ βασιλέως εἰς τὸ αὖθαδές τε καὶ ὑπέρογκον φέροντα ἢ καθότι Ε
εἰκάζετο, ἐπιεικῶς γεγράφθαι ἔδοξεν. καὶ αὖθις· τοιγαροῦν κομιδῇ Ε
ἐπιεικῶς ἀνατίθησι τῷ ἐπὶ πάντων θεῷ τὰς ἡνίας τῆς ἀποδράσεως.

2307 Ἐπίδοσιν sq. cf. Phryn. Ecl. 85, Thom. 290, 2 2308 — προσθήκη = Σ^{a} cf. Ba 229, 10, H, An. Ox. 2, 479, 18 πρὸς sq. Pisid. fr. 95 2309 = Ba 229, 11 cf. sch. Z 434 2310 Ἐρίγδουπος, ὁ μεγαλόηχος = Ps. Herodian. 36 cf. H v. ἐριγδούποισι, Ambr. 1801 οἱ sq. Men. Prot. fr. 31, FHG 4, 236 2311 = Ba 229, 12, H cf. sch. Ε 238 2312 = Σ^{a}, H; — πρέπον = Ba 229, 13, sch. A 547, Et. M. 359, 39, Et. Gen. cf. Ap. S. 73, 4, Ambr. 1369; προσῆκον = Ap. S. 73, 4 2313 Gl. Hdt. 2, 22 cf. H v. ἐπιεικές, sch. Pl. Charm. 153c 2314 cf. Ambr. 1369 2315 — ἱκανῶς = Et. Gen., Et. M. 359, 35; Ba 229, 14 (praeter καὶ τὸ ἱκανῶς) cf. Phot. Herm. 26, 254, sch. Pl. Rep. 431e, Charm. 153c, sch. Luc. 93, 27; 259, 27, Erotian. 40, 1 Λαζοὶ—ἤχθοντο Proc. Bell. 2, 28, 25 δεῖσθαι—vs. 26 ἐπιεικῶς Ios. Ant. 12, 198 τοιγαροῦν sq. Th. Simoc. 4, 10, 2 (falso Dam. fr. 179)

2310 cf. 2285 et 2980. Men. cf. v. Δ 150 2311 Z 845

7 Ἄβαροι] βάρβαροι V 8 ἐβάλοντο GVM ἐμβάλοντο I 14. 15 ἀντιπαγεῖν FV A (GIFVM) 16 ἐκτυπεῖν V 2313 non nov. gl. A 25 Λαζοὶ] κολάζοι A 26 εἰς τὴν] οὐ τὴν F αὐτὴν V 28 κομιδῇ] λίαν ss. V

Δ 2316 Ἐπίηρα: ἡ μετ' ἐπικουρίας χάρις. οἱ δὲ νεώτεροι ἀντὶ
Hom. τοῦ ἕνεκα φασίν.
2317 Ἐπιΐδμονα: ἔμπειρον.
Δ 2318 Ἐπιΐστορος.
Synt. 2319 Ἐπιζητῶ· αἰτιατικῆ.
2320 Ἐπιθάνατος: προσδόκιμος τοῦ ἀποθανεῖν.
Synt. 2321 Ἐπιθαρρῶ· δοτικῆ.
Suid. 2322 Ἐπὶ θάτερα.
Ε 2323 Ἐπιθανής: ἐγγίζων τῷ θανάτῳ. ἀνὴρ πρεσβύτης νοσῶν καὶ
ἐπιθανὴς ὤν.
Ar. 2324 Ἐπιθαυμάζειν: ἀντὶ τοῦ δώροις τιμᾶν. Ἀριστοφάνης. Σω-
κράτης φησί· Στρεψιάδην ἀσπάζομαι. ὁ δέ· κἄγωγέ σε. ἀλλὰ τουτονὶ
πρῶτον λάβε· δεῖ γὰρ ἐπιθαυμάζειν τι τὸν διδάσκαλον.
Ε 2325 Ἐπιθέντες: ἀποστείλαντες. οἱ δὲ ἀποπέμπουσι τὸν ἰατρὸν
Ε ἐπιθέντες γράμματα πρὸς τὸν τελώνην. καὶ αὖθις· πέμπουσι τῶν
σωματοφυλάκων μοῖραν οὐκ ὀλίγην ναυσὶν ἐπιδόντες.
Σ 2326 Ἐπιθεραπεύων: ἀντὶ τοῦ διορθούμενος, προμηθούμενος.
Ε Θουκυδίδης· ὁ δὲ Ἀλκιβιάδης ἐπιθεραπεύων τὴν ἑαυτοῦ κάθοδον εἰς
τὴν πατρίδα εἰδώς, εἰ μὴ διαφθερεῖ αὐτήν, ὅτι ἔσται ποτὲ αὐτῷ.
Harp. 2327 Ἐπιθέτους ἑορτάς· Ἰσοκράτης Ἀρεοπαγιτικῷ. τὰς μὴ
πατρίους ἑορτάς, ἄλλως δὲ ἐπιψηφισθείσας, ἐπιθέτους ἐκάλουν. ἐλέ-
γετο δὲ παρ' αὐτοῖς καὶ ἄλλα ἐπίθετά τινα, ὅσα μὴ πάτρια ὄντα ἡ
ἐξ Ἀρείου πάγου βουλὴ ἐδίκαζε. Λυσίας δὲ ἐπιθέτους ἐπιστολὰς λέγει
τὰς δοθείσας τισὶν ὥστε διακομίσαι. καὶ ἐπιθεῖναι ἐπιστολάς, ἀντὶ τοῦ
παραδοῦναι. καὶ ἐπέθηκεν, ἀντὶ τοῦ παρέδωκεν.
2328 Ἐπίθετοι: αἱ ἀπὸ ἀλλοτρίων. Ναρσῆς δὲ τὰς ἐπιθέτους
Ε δυνάμεις τὰς ἀπὸ τῆς Ἀρμενίας γνοὺς πλησιάζειν γράφει πρὸς Ἰω-
άννην.
Σ 2329 Ἐπιθειάσας: ἐπιθαυμάσας, τὸ θεῖον εἰσδεδεγμένος, θεοφορού-
Ε μενος. Θουκυδίδης· Ἀρχίδαμός τινα ἐπιθειάσας καθίστη ἐς τὸν πό-
λεμον τὸν στρατόν.

2316 — χάρις = Ambr. 1470 cf. sch. AD (Aristonic.) in A 572 = Et. Gen., Et. M. 359, 40, H οἱ sq. = sch. A (Aristonic.) in A 572 2318 = Ambr. 1390 cf. 1333 2319 = Synt. Laur. et Gud. 2320 = Ba 229, 18 cf. H 2321 = Synt Gud. 2323 ἀνὴρ sq. Aelian. fr. 102 2324 Ar. Nu. 1145—7 c. sch. 1147 2325 οἱ—τελώνην Iambl. attr. Bruhn, Rh. Mus. 45, 281 2326 ὁ sq. Thuc. 8, 47, 1 2327 Harp. = Et. Gen., Lex. Rhet. in Et. M. 359, 54 cf. H, Bk. 253, 1; Isocr. 7, 29 2328 Ναρσῆς sq. Th. Simoc. 5, 8, 9 2329 — θεοφορούμενος = Ba 229, 19, Et. Gen., Lex. αἱμ. 624, 7 cf. Et. M. 449, 48, H v. ἐπεθίαζεν, Ambr. 1624 Ἀρχίδαμός sq. Thuc. 2, 75, 1

2316 Z 818 2317 cf. v. I 124 2323 Z 791 2324 Z 837 2325—6 Z 837 2327 Z 801 2329 cf. v. Θ 306

A(GITFVM) 2322 om. TFV post 2320 A 16 ἐπιδόντες] ἐπιδιδόντες V ἐπιθέντες T Port. 19 διαφθαρῆ F διαφέρει GIT 21 ἐκάλουν om. V 23 ἐπιστολὰς] ἐπιθέτους A 29. 30 ἐπιφορούμενος V

2330 Ἐπιθειασμοί: πρὸς θεὸν ἱκεσίαι. ἐπιθειασμοί τε ὑπέρ τε E
αὐτοῦ βασιλέως καὶ τῆς στρατιᾶς ἐγίνοντο. καὶ αὖθις· οὐκ ἄνευ E
ὀλίγων ἐπιθειασμῶν καὶ οἰμωγῆς ἀπολειπόμενοι. τουτέστι θείων Thuc.
ἐπικλήσεων. καὶ αὖθις· τοῖς ἐπιθειασθεῖσι συνεπευφήμησαν. E
2331 Ἐπιθειάσων: ἑορτάσων. ὁ δὲ ἔμεινεν αὐτοῦ ἐπιθειάσων τῇ EL
γενεθλίᾳ ἡμέρᾳ τοῦ Χριστοῦ. καὶ γὰρ προσεπέλαζε τῆς ἡμέρας τὸ
σέβας.
2332 Ἐπιθεῖναι: ἐπικλεῖσαι. πέμπει ἄγγελον, ἐπιθεὶς ἐπιστολήν. Σ E
2333 Ἐπιθήκησα· Ἀριστοφάνης· ὑπό τι μικρὸν ἐπιθήκησα. Ar.
2334 Ἐπιθήξας: παρορμήσας, ἐρεθίσας. τὸν δὲ λουόμενον ἀπέκτει- E
νεν ἐπιθήξας οἱ τῶν δορυφόρων τοὺς ἀφειδεστάτους.
2335 Ἐπὶ θήρᾳ: ἐπὶ ἀπάτῃ. Σ
2336 Ἐπιθήσειν: ἀντὶ τοῦ ἐπενεγκεῖν. οὐκ εἰς μακρὰν καὶ παντελῆ E
ἐπιθήσειν αὐτῷ δίκην ξὺν τοῖς θεοῖς. καὶ αὖθις· ἐπιθεὶς γράμματα
δηλοῦντα τὴν τοῦ ἀνδρὸς ἀρετήν.
2337 Ἐπιθιγγάνει: ἐφάπτεται. Σ
2338 Ἐπὶ Θρασύλλῳ· Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον παρα- Harp.
γραφῇ τὸ ἐπὶ Θρασύλλῳ φησίν. Ἀττικὸν ἔθος ἀντὶ τοῦ ἐπὶ τῷ Θρα-
σύλλου μνήματι.
2339 Ἐπιθρώσκων: ἐφαλλόμενος. Σ
2340 Ἐπιθυμηταί: πρόθυμοι. οἱ δὲ ἐμεγαλοφρόνουν τότε καὶ ἐπι- E
θυμηταὶ ἐξίσταντο, ὡς δὴ μεγάλα μὲν λυμανούμενοι τοὺς ἐναντίους
καὶ πολλὰ καὶ κερδαλέα ἐνθένδε οἰσόμενοι. καὶ ἐπὶ τοῦ αἰτεῖσθαι. x + E
ὁ δὲ τοῦτον ἔλεγεν ἐπικαλεῖσθαι ξύμμαχον. τουτέστι δέεσθαι, χρῄζειν.
2341 Ἐπιθυμία· ἐπιθυμία ἐστὶν ἄλογος ὄρεξις, ὑφ' ἣν τάττεται Phil.
ταῦτα· σπάνις, μῖσος, φιλονεικία, ὀργή, ἔρως, μῆνις, θυμός. ἔστι δὲ
ἡ μὲν σπάνις ἐπιθυμία τις ἐν ἀποτεύξει καὶ οἷον κεχωρισμένη ἐκ τοῦ
πράγματος, τεταμένη δὲ διακενῆς ἐπ' αὐτὸ καὶ περισπωμένη. μῖσος
δέ ἐστιν ἐπιθυμία τις τοῦ κακῶσαί τινα μετὰ προσκοπῆς τινος καὶ
προστάξεως, ὀργὴ δὲ ἐπιθυμία τιμωρίας τοῦ δοκοῦντος ἠδικηκέναι οὐ
προσηκόντως, ἔρως δὲ ἐπιθυμία τις οὐ περὶ σπουδαίου πράγματος·
ἔστι γὰρ ἐπιβολὴ φιλοπονίας διὰ κάλλος ἐμφαινόμενον. μῆνις δέ

2330 ἐπιθειασμοί alt.—ἐγίνοντο Arr. Parth. fr. 34 οὐκ—ἀπολειπόμενοι Thuc. 7, 75, 4 θείων ἐπικλήσεων sch. Thuc. 7, 75, 4 2331 ὁ sq. Men. Prot. fr. 11, FHG 4, 214a = EL 183, 10—1 2332 — ἐπικλεῖσαι = Ba 229, 21 cf. H, sch. Ε 751 2333 Ar. Vsp. 1290 2334 τὸν sq. Aelian. fr. 258 2335 = Ba 229, 22 2336 οὐκ—θεοῖς fort. Aelian. 2337 = Ba 229, 23, H 2338 Harp. = Et. Gen., Et. M. 359, 51; Dem. 37, 25 2339 = Ba 229, 24, sch. Δ 177 cf. H = sch. Ε 772 2341 Laert. 7, 113—4

2330 Arr. cf. v. Θ 310 2333 cf. v. σκωμμάτιον 2336 cf. v. οὐκ ἐς μακράν 2340 Z 791

2 ἐγένοντο F 4 συνεπεφήμησαν V 20 ἐπισφαλλόμενος F 22 κατεξ- A(GITFVM)
ανίσταντο coni. Bhd. λυμανόμενοι GIM 23 καὶ ἐπὶ—24 χρῄζειν ad 2350 vel 2351 rettulit Kust. 29 τοῦ κακῶσαι] κατακακῶσαί F προκοπῆς IF Laert. 30 προτάσεως I παρατάσεως Laert. ἠδικημέναι A

ἐστιν ὀργή τις πεπαλαιωμένη, ἐπίκοτος καὶ ἐπιτηρητική· θυμὸς δὲ ὀργὴ ἀρχομένη.

2342 Ἐπιθυμία σώματος· ζήτει ἐν τῷ δεδοξοπεποιημένον.

x + Ar. 2343 Ἐπιθυμῶν· γενικῇ. προαιρετικῶς ἔχων. τοὺς δὲ ἦγε ζῶντας ἐπιθυμῶν Λακεδαιμονίοις ἀγαγεῖν. συντάσσεται μετὰ γενικῆς.

Σ 2344 Ἐπιθύνων: ἐπανορθούμενος.

Suid. 2345 Ἐπικαγχάζων.

Ε 2346 Ἐπικάθηται: ἐπικρέμαται. Πολύβιος· ὁ δὲ διατειχίζει τὴν πόλιν ἀπὸ τῆς ἄκρας, ἵνα μηδεὶς ἔτι φόβος ἐπικάθηται τοῖς Ταραντίνοις ἀπὸ τῶν κατεχόντων τὴν ἀκρόπολιν.

Ar. 2347 Ἐπικαθίζηται· Ἀριστοφάνης Πλούτῳ· κρατοῦσι γοῦν κἀν τοῖς πολέμοις ἑκάστοτε, ἐφ' οἷς ἂν αὐτὸς ἐπικαθίζηται μόνος. ἀπὸ μεταφορᾶς τῶν ζυγῶν. ἐπικαθέζεσθαι γὰρ τὸ βαροῦν λέγομεν.

Σ 2348 Ἐπὶ καλάμῃ ἀροῦν: ἔθος ἐστὶ τοῖς γεωργοῖς παρ' ἐνιαυτὸν ἀργὴν καταλείπειν τὴν γῆν, ὅπως ἀκεραίους ἐκτρέφῃ τοὺς καρπούς, ὡς μὴ κατ' ἔτος τοῖς σπέρμασι πονοῖτο. Λυσίας ἐν τῷ πρὸς Τληπόλεμον λόγῳ διαβάλλων τινὰ τῶν ἁπλήστων γεωργῶν, τὰ ἐν τῇ γῇ καταχρώμενον καὶ κατ' ἔτος ἐξαναλίσκοντα τὴν ἰσχὺν αὐτῆς, φησίν· οὗτοι δὲ πυροὺς ἐπὶ καλάμοις ἀροῖ. τουτέστιν ἀεὶ σπείρων οὐδεμίαν ἄνεσιν τῇ γῇ δίδωσιν.

Δ 2349 Ἐπικαλέσας: μεμψάμενος.

2350 Ἐπικαλουμένων: ἀντὶ τοῦ κατηγορουμένων. ἐνίας τῶν κατηγοριῶν εἴωθεν ἀπίστους ποιεῖν ὁ τῶν ἐπικαλουμένων βίος.

2351 Ἐπικαλῶν: ἀντὶ τοῦ κατηγορῶν, ἐγκαλῶν. ἀνεῖλε δὲ τοὺς ἄνδρας ἄλλο μὲν οὐδὲν ἐπικαλῶν, πλὴν ὅτι σοφώ τε καὶ ἀρίστω τὼ

Ε ἄνδρε γενέσθην. τὸν ἄνθρωπον λοιδορίας πέρι οὐδὲν ἐπικαλεῖν ἐπαγγείλασα, πλὴν ὅτι παιδερασταί.

Tact. 2352 Ἐπικαμπὴς παράταξις: ἐπὰν τὰ μέσα τοῖς πολεμίοις προσπίπτῃ, τὰ δὲ κέρατα ἐκ τῶν ὀπίσω μερῶν ὄρθια ὑφ' ἑαυτὴν ἔχῃ τεταγμένα.

Σ 2353 Ἐπὶ κάρ: ἐπὶ τὰ κάτω, ἐπὶ κεφαλήν. ἐξ ὀρέων ἐπὶ κάρ. οἷον ἐπὶ τὰ κατωφερῆ.

2343 γενικῇ cf. Ambr. 1726 = Synt. Laur. et Gud. τοὺς—ἀγαγεῖν sch. Ar. Eq. 392 sec. Bhd. 2344 = Ba 229, 25 2346 ὁ sq. Polyb. 8, 32, 2 2347 Ar. Pl. 184—5 c. sch. 185 2348 cf. Bk. 216, 25; 291, 23; aliter Greg. Cypr. M. III 51; Lys. fr. 212 2350 ἐνίας sq. fort. Dam. 2351 ἐγκαλῶν cf. sch. Luc. 2, 9; 111, 27 ἀνεῖλε—γενέσθην ad Io. Antioch. fr. 90, FHG 4, 575a (= EV 1, 183, 15—16) recte rettulit Porson τὸν sq. Proc. h. a. 16, 19 2352 Tact. 55 2353 cf. Ap. S. 73, 19, H, sch. Π 392, Et. M. 360, 8

2343—4 Z 838 2346 Z 838 2347 Z 838 2348 Z 802 2349 cf. 2039. Z 838 2350—1 Z 838 2352 cf. post litt. Ψ. Z 802 2353 Z 855

A(GITFVM) 4 γενικῇ om. FV Zon. 2345 ex GIM 9 ἔτι φόβος AFV: ἐπίφοβος GIM φόβος Zon. 12 αὐτὸς] οὗτος T Ar. 13 γὰρ A: δὲ rell. cf. sch. 16. 17 Τληπόλεμον Sauppe: Ταηπόλεμον AGIM Τακπόλεμον V Τηκπόλεμον T τὸν Πόλεμον F ed. pr. τὸν Πολέμονα Bas. 19 οὑτῶι A καλάμης GITM καλάμῃ Kust. 25 σοφώ τε] σοφώτερον V 26 ἐγενέσθην Dr. 29 ὄρθρια A

2354 Ἐπικαρπίας: κέρδη. Σ
2355 Ἐπικάρσιον: πλάγιον, οὐκ εὐθύ. Ἡρόδοτος. Hdt.
2356 Ἐπικατέσεισεν: ἐπικατέβαλεν. Ἰώσηπος· πολιορκοῦντος Ἀν- E
τιόχου τὰ Ἱεροσόλυμα, ἰδὼν Ἐλεάζαρος ὁ υἱὸς Ματθίου τὸν ὑψηλότα-
τον τῶν ἐλεφάντων κεκοσμημένον, ὑπολαβὼν ἐπ' αὐτοῦ τὸν Ἀντίοχον
εἶναι, πολὺ διακόψας τὸ στίφος τῶν πολεμίων καὶ τὸ θηρίον ὑπὸ τὴν
γαστέρα πλήξας ἐπικατέσεισεν ἑαυτῷ τὸν ἐλέφαντα, μηδὲν δράσας
πλεῖον τοῦ μεγάλοις ἐπιβαλέσθαι, καὶ συντριβεὶς ἀπώλετο.
2357 Ἐπικαιρότατα: ἐπικινδυνότατα. Δ
2358 Ἐπικαιρότατος: ἐπιτήδειος. ἐν τοῖς ἐπικαίροις τῶν χω- Σ
ρίων τόποις. ἀντὶ τοῦ ἐπιτηδείοις. E+Σ
2359 Ἐπὶ καιροῦ: εὐκαίρως, ἁρμοδίως. Σ
2360 Ἐπικεκηρυχέναι: ὁπότε βούλοιτο πόλις ἢ ἄρχων ἀναιρεθῆ- Harp.
ναί τινα τῶν μὴ ὑφ' ἑαυτοῖς, ἐκήρυττε δώσειν χρήματα τῷ ἀνελόντι
ἢ καὶ ζῶντα προσαγαγόντι· καθὰ καὶ Ξέρξην ἐπεκήρυξαν οἱ Ἕλληνες
τῷ καταγαγόντι ἢ ζῶντα ἢ τεθνηκότα Ἀθήναζε ρ′ δώσειν τάλαντα.
2361 Ἐπικελεύομαι· δοτικῇ.
2362 Ἐπίκενος λόγος: ὁ μάταιος. Δ
2363 Ἐπὶ κέρως παραπλέοντας: τουτέστι μίαν κατακολουθοῦσαν Thuc.
τῇ ἑτέρᾳ.
2364 Ἐπικερτομοῦσι: χλευάζουσιν. Ἀγαθίας· ὁ δὲ ἦκεν ἐπι- Σ E
κερτομήσων αὐτοὺς τῆς ἀβουλίας καὶ ἀμελείας. πρὸς αἰτιατικήν.
καὶ αὖθις· οὐχ ἥκιστα δὲ Πετράνης ἐλύπησεν αὐτὸν ἐπικερτομήσας E
τοιάδε.
2365 Ἐπικεύσω: ἐπικρύψω. Σ
2366 Ἐπὶ κεφαλαίου: συντόμως, ταχέως. Πολύβιος· μνησθεὶς δ' E+Σ
ἐπὶ κεφαλαίου τῶν γεγονότων αὐτοῖς ἐλαττωμάτων καὶ θεὶς πρὸ
ὀφθαλμῶν τὰ τῶν Μακεδόνων προτερήματα.
2367 Ἐπικεχήνασι. Δ
2368 Ἐπικεχοδώς: ἀποπατήσας, ἀποτιλήσας. Ar.
2369 Ἐπικείμενα: ἀντὶ τοῦ ἐπιφέροντα. δισχιλίας λίτρας χρυσίου E
στέλλουσι καὶ κειμήλια κάλλιστα οἱ περὶ Γεζέριχον τῷ Βασιλίσκῳ,
πρόφασιν τὴν τῶν Ἀρειανῶν ἐπικείμενα.

2354 = Ba 229, 28 2355 gl. Hdt. 7, 36 cf. H; — πλάγιον = Ba 229, 29 cf. sch. ι 70 2356 πολιορκοῦντος sq. Ios. Bell. 1, 42—3 2358 — ἐπιτήδειος = Ba 229, 26; l. = Ambr. 1404 2359 = Ba 229, 27 2360 Harp. = Et. Gen., Et. M. 360, 13 cf. Bk. 254, 21 2361 = Synt. Gud. 2362 = Ambr. 1367 2363 sch. Thuc. 2, 90, 4 2364 — χλευάζουσιν = Ba 229, 30 cf. sch. Π 744, sch. Luc. 257, 23 Ἀγαθίας cf. Byz. Zt. 21, 419 2365 = Ba 230, 1, Ap. S. 73, 24 cf. H, sch. K 115 2366 ταχέως cf. Ba 230, 2 = H μνησθεὶς sq. Polyb. fr. 42 2367 = Ambr. 1622 cf. H 2368 fort. sch. Ar. Av. 68 2369 δισχιλίας sq. Malcho attr. Bhd.

2354 Z 802 2355 Z 818 2357 Z 811 2358 cf. 69 et 646. Z 792 2359 Z 792 2364 cf. 2035 2366 Z 818 2369 Z 811

2354—5 ante 2351 A 3 ἐπικατέβαλλεν F V 13 Ἐπικεχωρηκέναι V A(G I F V M)
18 Ἐπίκαινος A F 19 κέρως V: καίρως rell. κατακολουθοῦσαν] παρακολοῦσαν V

2370 Ἐπίκειμαι τοῦ περίκειμαι διαφέρει. δοτικῇ.

Ε 2371 Ἐπικειμένου: τοῦ φαινομένου. ὁ δὲ ᾔτει τιμὴν τοὺς κεκτημένους τοῦ ἐπικειμένου καρποῦ, καὶ παρ' ὧν μὴ λάβοι, διέφθειρεν.

Δ+Σ 2372 Ἐπικήδειον: ἐπιτάφιον, ἐπιθανάτιον. καὶ Ἐπικήδειος θρῆνος ὁμοίως.

Σ 2373 Ἐπίκηρα: ἐπιθανάτια. κὴρ γὰρ ὁ θάνατος.

Δ 2374 Ἐπίκηρος ὕλη: ἡ πρόσκαιρος.

Σ+Thuc. 2375 Ἐπικηρυκεύεται: διὰ κήρυκός τινος συνθήκας τινὰς ἢ πρεσβείας ποιεῖται. ἢ φιλίαν σπένδει.

Synt. 2376 Ἐπικηρυκεύω· δοτικῇ.

Σ 2377 Ἐπικηρυκεία: φιλία ἡ ἐκ τῶν πολεμίων. Ἐπικηρυκεία, Harp. τὸ περὶ φιλίας καὶ διαλλαγῶν κήρυκας πέμπειν. Δημοσθένης ε′ Φιλιππικῶν.

Σ 2378 Ἐπικίδναται: ἐπισκορπίζεται.

Δ 2379 Ἐπικινδυνότατος.

Ε 2380 Ἐπικλάσωσιν: εἰς οἶκτον ἀγάγωσι. μὴ καὶ πρὸς ὀλοφυρμὸν Ε τραπόμενοι τοὺς στρατιώτας ἐπικλάσωσιν. Ἰώσηπος· ὁ δὲ τοῖς ἔργοις ἐφεστώς, παρ' αὐτῷ γὰρ ἐμεμαθήκεσαν, βραδυτῆτα ἐπικαλέσας τῆς ἀφίξεως.

Ar. 2381 Ἐπίκλαυτον: γοερόν, θρηνητικόν. Ἀριστοφάνης Βατράχοις· ἐπὶ βάρβαρον ἑζομένη πέταλον κελαρύζει ἐπίκλαυτον ἀηδόνιον νόμον.

Σ 2382 Ἐπίκλημα: ἔγκλημα. Ἀγαθίας· ἡγούμενοι δὲ ἀδύνατον Ε εἶναι, εὐπρεπέστατα ᾠοντο ἀποσείσασθαι τὸ ἐπίκλημα. καὶ αὖθις· Ε ὁ δὲ Πάκορος, ὁ Παρθυαίων βασιλεύς, καὶ ἄλλα τινὰ ἐπικλήματα ἐπέφερε Τραιανῷ βασιλεῖ, καὶ τὸ δοκεῖν ἐπίκλημα ἐποιεῖτο κατὰ Ῥωμαίων, ὅτι δόξαν ἐντὸς λ′ ἡμερῶν μηδετέρους παρὰ τὰ ξυγκείμενα ἐπιτελεῖν, οἱ δὲ οὐ κατὰ τὸ θεσπισθὲν ἐπιτειχίζουσιν.

2370 δοτικῇ = Synt. Gud. 2371 ὁ sq. App. Hisp. 64 fin. 2372 l. cf. Ambr. 1534. ἐπιθανάτιον = Ba 230, 3, H. Ἐπικήδειος θρῆνος = Ambr. 1415 2373 = Ba 230, 4, Et. Gen., Et. M. 360, 20 2374 aliter Ambr. 1462; l. = L 2375 cf. sch. Thuc. 6, 48, 1; — ποιεῖται = Ba 230, 5, Et. M. 360, 21 cf. Et. Gen., Bk. 243, 27 σπένδει cf. sch. Thuc. 6, 48, 1 2376 = Synt. Gud. 2377 — πολεμίων = Σ^{a}, Ba 230, 7 cf. Et. Gen. = Et. M. 360, 22; l. = Ambr. 1489 Ἐπικηρυκεία alt. sq. Harp. = An. Ox. 2, 495, 1 cf. Et. Gen. = Et. M. 360, 23; Dem. 5, 18 2378 = Ba 230, 8 cf. H (in B 850) 2379 = Ambr. 1403 2380 Ἰώσηπος? 2381 Ar. Ran. 683—4 c. sch. 2382 — ἔγκλημα = Ba 230, 9, Ambr. 1529 cf. H ἡγούμενοι—vs. 23 ἐπίκλημα Agath. 1, 12 p. 41 ὁ sq. Arr. Parth. fr. 32

2370 cf. v. περίκειμαι 2371 Z 839 2375 cf. 2088 2378 cf. v. K 1589 2380 Z 839 2381—2 Z 811

A(GIFVM) 2370 ex GIM 1 δοτικῇ om. G mg. I ss. M 2 ᾔτει] ἢ V 9 σπένδεται coni. Bhd. cf. sch. 11 Ἐπικηρυκία utrob. AFM^{ac} (Ba) Ἐπικηρυκεία alt.] nov. gl. A 12 ἀλλαγῶν V 12. 13 Φιλιππικῷ FVM Harp. plen. 14 Ἐπικίδραται V 15 Ἐπικινδενότατος A 18 αὐτοῦ A ἐπικαλέσας FV Kust. (ad 2382 rettulit Hermann): ἐπικλάσας rell. 21 κελαρύξει GI 24 Πάκηρος GIM Παρθαίων V 25 Τρ. τῷ βασιλεῖ GIVM τὸ AF: τῷ rell. corruptelam statuit Roos δοκεῖν] κεῖν V 26 μηδετέρους Gsf.: μηδετέρου A μηδέτερον F μηδέτερα rell. 27 θεσπιθὲν A ἀτειχίζουσιν V

2383 Ἐπίκλην: ἐπωνυμίαν. Σ
2384 Ἐπίκληρος: ὅταν παῖς ὀρφανὴ πατρὸς καὶ μητρὸς ἀδελφῶν Σ
τε οὖσα ἔρημος, καὶ ταύτῃ τύχῃ ὑποκειμένη οὐσία, ταύτην καλοῦσιν
ἐπίκληρον· ὁμοίως δὲ καὶ τὴν ἤδη γεγαμημένην, ὅταν ᾖ ἐπὶ τῇ οὐσίᾳ
ὅλῃ καταλελειμμένη. καλοῦσι γὰρ καὶ τὴν οὐσίαν κλῆρον. καλεῖται δὲ
ἐπίκληρος καὶ ἡ μηδέπω γεγαμημένη, ἀλλὰ παρὰ τῷ πατρὶ οὖσα,
καθότι καθήκει αὐτῇ πᾶσα ἡ οὐσία. καλοῦνται δὲ ἐπίκληροι, κἂν δύο
ὦσι κἂν πλείους. τινὲς δὲ τὴν ἐπίκληρον καλοῦσιν ἐπιπταματίδα καὶ
πατροῦχον.
2385 Ἐπίκληρος: νόμος ἦν Ἀθηναίοις γνησίας μὲν οὔσης θυγατρός, Ar.
νόθου δὲ υἱοῦ, μὴ κληρονομεῖν τὸν νόθον τὰ πατρῷα. ἢ ἡ μὴ ἔχουσα
ἀδελφοὺς ἑτέρους συγκληρονόμους, ἀλλὰ μονοκληρονόμος οὖσα. ἐπειδὴ
δὲ οὐκ ἐξῆν τοῖς νόθοις κληρονομεῖν, ταργύριον διὰ χειρὸς ἐδίδοσαν.
νόμος δὲ ἦν Ἀττικός, τοῖς νόθοις μέχρι ε′ μνῶν καταλιμπάνειν.
Ἀγαθίας· ἐφοίτων δὲ γυναῖκες ἀνὰ τοὺς προμαχῶνας, τυχὸν μὲν E
μητέρες οὖσαι τῶν ἀπολωλότων, τυχὸν δὲ ἐπίκληροι, τυχὸν δὲ ὀτῳοῦν
ἄλλῳ τρόπῳ μέλλον αὐταῖς.
2386 Ἐπίκλησιν: ἐπωνυμίαν. Σ
2387 Ἐπίκλητος: ἔξωθεν ἐρχόμενος. διὰ τῆς ἐπικλήτου καὶ Δ
ἀλόγου λοιδορίας ὑπέλαβε πιστότερος φανήσεσθαι. EV
2388 Ἐπίκλητος: ὁ ἐπί τινι καλούμενος ὑποθέσει. ὃν ἐν ταῖς
ἀμηχανίαις Ἰουδαῖοι ἐπίκλητον ἑαυτοῖς τύραννον προσήγαγον. EV
2389 Ἐπικλινές: ἐπιρρεπές εἰς κακόν. ἐπικλινές ἐστι τάλαντον. Call.
Καλλίμαχος.
2390 Ἐπικλινὴς ὁδός: καὶ κλίνεται τῆς ἐπικλινέος, καὶ ἐπικλινοῦς. Δ
2391 Ἐπικλίντης: ὁ σεισμός. καὶ κλίνεται ἐπικλίντου. Δ
2392 Ἐπίκλιντρον: εἶδος κοσμίου γυναικείου. τό τ' ἐπίκλιντρον Ar.
ἀποβάλοις.
2393 Ἐπίκλοπος: ἀπατεών. Σ
2394 Ἐπικλοπώτερος: παραλογιστικώτερος. Δ
2395 Ἐπικλύσαca: ἐπιδαψιλεύσαca, καταβαλοῦσα. ἢ οὖν Κλεοπάτρα E

2383 cf. Ba 230, 10, L, H 2384 cf. sch. Pl. Leg. 630e, Bk. 256, 8, Eust. I. 674, 30; 675, 52 2385 — καταλιμπάνειν sch. Ar. Av. 1652—3 ἐφοίτων sq. Agath. 1, 12 p. 40 2386 = Ba 230, 11, sch. ε 273 cf. Et. M 360, 46 2387 — ἐρχόμενος cf. H (gl. sacra) διὰ sq. Polyb. 8, 11, 2 = EV 2, 111, 19—20 2388 ὃν sq. Ios. Bell. 5, 11 = EV 1, 105, 6—7 2389 Call. (fr. 132 K., 312 S.) c. sch. 2391 = Ambr. 1364 2392 Ar. Eccl. 906 c. sch. 2393 = Σ^a, Et. Gen., Et. M. 360, 26, sch. X 281 cf. Ap. S. 73, 25 2395 ἢ sq. Aelian. fr. 55

2383 cf. 2386 2385 Agath. cf. 3875 2386 cf. 2383. Z 802
2387—8 Z 792 2391 Z 792 2392 Z 811 2394 Z 792 2395 Z 839

7 δὲ om. GIM 11 ἡ om. A 13 δὲ om. GIVM 14 τοῖς νόθοις Kust.: A(GIFVM) τοὺς νόθους omnes μνῶν] λιτρῶν ss.V 15 προμαχεῶνας 3875; πύργους ss.V 17 μέλον Agath. Kust. 22 προσήγαγον F Exc.: προσείγαγον A προεισήγαγον rell. cf. Ios. 23 ἐστι] δὲ GI τε Wilam. 25 καὶ alt. om.V 26 ἐπικλίντου] τῆς ἐπικλίντου I τῆς ἐπικλινεοῦς A cf. vs. 25 27 τ' ex A, Ar.

καὶ τοὺς Ἠλείους ἐπειρᾶτο πολλῷ χρυσῷ ἐπικλύσαςα τὸ ἄγαλμα τοῦ Διὸς πρίασθαι.

Prov. 2396 Ἐπὶ κνάφου ἔλκεις: ὅτι διαφθείρεις. οἱ γὰρ κναφεῖς ἀκανθῶν σωρὸν συστρέψαντες ἱμάτια κνάφουσιν. ὁ δὲ σωρὸς ἐλέγετο κνάφος.

Δ 2397 Ἐπικναίει καὶ Ἐπέκναιεν.

Σ 2398 Ἐπικνίζεται: δάκνεται.

Ar. 2399 Ἐπικνῶ: ἀντὶ τοῦ ἐπίβαλε. Ἀριστοφάνης Ὄρνισιν· ἀλλ' ἐπικνῶ τὸ σίλφιον.

Σ 2400 Ἐπὶ κόρρης: ἐπὶ κεφαλῆς, ἢ γνάθου, ἢ κροτάφου. κόρρην γὰρ καὶ κόρσην ὅλην τὴν κεφαλὴν σὺν τῷ αὐχένι λέγουσι. τινὲς δὲ καὶ ῥάπισμα λέγουσι τὸ ἐπὶ τῆς γνάθου λαμβάνειν, ἁπτόμενον καὶ τοῦ κροτάφου.

Harp. 2401 Ἐπὶ κόρρης: ἄλλοι μὲν ἄλλως ἀπέδοσαν. βέλτιον δὲ ἐπὶ τῆς γνάθου ἐκλαμβάνειν· ὃ κατ' ἔθος λέγομεν ῥάπισμα. οὕτως γὰρ χρῶνται καὶ οἱ ῥήτορες.

Σ 2402 Ἐπικουρῆσαι· δοτικῇ. βοηθῆσαι. καὶ Ἐπικουρία, ἡ Δ βοήθεια.

Δ 2403 Ἐπικούρειος Ἑρμων: ὁ παρὰ τῷ Λουκιανῷ.

Hesy. 2404 Ἐπίκουρος, Νεοκλέους, Ἀθηναῖος, Γαργήττειος τῶν δήμων, μητρὸς Χαιρεστράτης. ἀδελφοὶ δὲ αὐτοῦ Νεοκλῆς, Χαιρέδημος, Ἀριστόβουλος ἢ Ἀριστόδημος. φιλοσοφίας δὲ ἤρξατο ἀπὸ ἐνιαυτῶν ιβ' καὶ οἰκείαν αἵρεσιν εἰσηγήσατο, πρῶτον μὲν ἐν Σάμῳ διατρίψας σὺν τοῖς γονεῦσιν, εἶτα σχολαρχήσας ἐν Μιτυλήνῃ ἐνιαυτῶν ὧν ἦν, εἶτα ἐν Λαμψάκῳ καὶ οὕτως ἐν Ἀθήναις ἐν ἰδίῳ κήπῳ, ἀκούσας δὲ Ναυσιφάνους τοῦ Δημοκριτείου καὶ Παμφίλου τοῦ Πλάτωνος μαθητοῦ. γέγονε δὲ ἐπὶ τῆς ρθ' ὀλυμπιάδος μετὰ ἑπτὰ ἐνιαυτοὺς τῆς Πλάτωνος τελευτῆς καὶ παρέτεινεν ἐπὶ τῶν διαδόχων καὶ Ἀντιγόνου τοῦ Γονατᾶ· καὶ διέμεινεν ἡ αὐτοῦ σχολὴ ἕως Καίσαρος τοῦ πρώτου, ἔτη

2396 cf. Paroem. ed. Gsf. 49, n. 425, H 2398 = Σ^{a} 2399 Ar. Av. 1582 c. sch. 2400 = Ba 230, 14, sch. Pl. Gorg. 508d, Et. Gen., Et. M. 360, 34 cf. Ael. D. fr. 235 ap. Eust. I. 947, 25, Miller Mél. 400, H, Bk. 255, 8 2401 Harp.; βέλτιον sq. = Et. Gen., Et. M. 360, 38 2402 δοτικῇ cf. Synt. Gud. βοηθῆσαι = Ba 230, 19 cf. sch. Ε 614, H Ἐπικουρία sq. = L cf. H; l. = Ambr. 1495 2403 l. = Ambr. 1416; Lucian. Conviv. 9 2404 cf. Laert. 10, 1 sq., Steph. Byz. v. Γαργηττός

2396 cf. v. K 1854 2399 Z 839 2402 cf. 2407 2404 cf. v. σχολαρχήσας

A(GITFVM) 3 ὅτι] ἤτοι GIT 4 ἱμάτιον GITM 8 ἐπικνῶ] ἤγουν κόπτω ss. V σίλφιον] εἶδος βοτάνης ἀρωματικοῦ ss. V 9 κόρρην] κόρην AVM 14 κνάθου V 16 δοτικῇ om. FV 2404—6 post 2411 GITVM, sed etiam suo loco in brevius contractae V 19 Γαργήττειος—p. 363, 2 πλεῖστα om. F(V) Γαργήττιος Laert. Steph. 20 Χαριστράτης V 20. 21 Ἀριστόβουλος ἢ Ἀριστόδημος ex AV solis 22 εἰσηγήσατο] ἤγουν ἐδίδαξε ss. V διατρίψας] ἤγουν διατριβὴν ποιήσας, διδάξας ss. V 22. 23 σὺν τοῖς γονεῦσιν om. V 23 ἐνιαυτὸν Bas. Wolf. ὧν ἦν] ὢν κη' vel λβ' Gsf. ὧν del. Bas. ἕνα Wolf. Port. 26 ἐπὶ—ὀλυμπίαδος om. V ρθ' A: οθ' GIM 27. 28 τοῦ Γονατᾶ] τὰ γόνατα κληθέντος A

σκζ′. ἐν οἷς διάδοχοι αὐτῆς ἐγένοντο ιδ′. συγγράμματα δὲ αὐτοῦ πλεῖστα.

2405 Ἐπίκουρος· οὗτος τὸ θεῖον παρ' οὐδὲν ἐτίθετο· ἀδελφοὶ δὲ E τρεῖς ἦσαν, ⟨οἳ⟩ μυρίοις ἀρρωστήμασι περιπλακέντες ἀπέθανον οἴκτιστα. ὅγε μὴν Ἐπίκουρος ἔτι νέος ὢν αὐτὸς οὐ ῥᾳδίως ἀπὸ τῆς κλίνης οἷός τε ἦν κατιέναι, ἀμβλυώττων τε καὶ πρὸς τὴν τοῦ ἡλίου αἴγλην δειλὸς ὢν καὶ τῷ φαιδροτάτῳ τε καὶ ἐναργεστάτῳ τῶν θεῶν ἀπεχθανόμενος. καὶ μέντοι καὶ τὴν τοῦ πυρὸς αὐγὴν ἀπεστρέφετο αἱμά τε αὐτῷ διὰ τῶν πόρων ἀπεκρίνετο τῶν κάτω, τοσαύτη δὲ ἄρα ἡ σύντηξις ἡ τοῦ σώματος ἦν, ὡς ἀδυνατεῖν καὶ τὴν τῶν ἱματίων φέρειν ἐπιβολήν. καὶ Μητρόδωρος δὲ καὶ Πολύαινος, ἄμφω τὼ ἑταίρω αὐτοῦ, κάκιστα ἀνθρώπων ἀπέθανον· καὶ μέντοι τῆς ἀθεΐας ἠνέγκαντο μισθὸν οὐδαμὰ οὐδαμῆ μεμπτόν. οὕτω δὲ ἄρα ἦν ἡδονῆς ἥττων ὁ Ἐπίκουρος, ὥστε διὰ τῶν ἐσχάτων ἐν ταῖς διαθήκαις αὐτοῦ ἔγραψε τῷ μὲν πατρὶ καὶ τῇ μητρὶ καὶ τοῖς ἀδελφοῖς ἐναγίζειν ἅπαξ τοῦ ἔτους καὶ Μητροδώρῳ καὶ Πολυαίνῳ τοῖς προειρημένοις, ἑαυτῷ δὲ διττῶς εἰπεῖν, τῆς ἀσωτίας τὸ πλέον προτιμῶν καὶ ἐνταῦθα ὁ σοφός· καὶ τραπέζας λίθων πεποίηται, καὶ ὡς ἀναθήματα ἐν τῷ τάφῳ προσέταξε τεθῆναι ὁ προτένθης τε καὶ ὀψοφάγος οὗτος. καὶ ταῦτα ἐπέσκηψεν οὐκ ὢν ἐν περιουσίᾳ, λυττῶν οὖν ταῖς ἐπιθυμίαις, ὥσπερ οὖν καὶ ἐκείνων σὺν αὐτῷ τεθνηξομένων. ἐξήλασαν δὲ τοὺς Ἐπικουρείους τῆς Ῥώμης δόγματι τῆς βουλῆς κοινῷ. καὶ Μεσσήνιοι δὲ ἐν Ἀρκαδίᾳ τοὺς ἐκ τῆς αὐτῆς οἱονεὶ φάτνης ἐδηδοκότας ἐξήλασαν λυμεῶνας μὲν εἶναι τῶν νέων λέγοντες, κηλῖδα μὲν φιλοσοφίᾳ προσβάλλοντες διά τε μαλακίαν καὶ ἀθεότητα· καὶ προσέταξάν γε πρὸ τῶν τοῦ ἡλίου δυσμῶν ἔξω τῶν ὅρων τῆς Μεσσηνίας γῆς εἶναι αὐτούς, ἐκφρηνθέντων δὲ τοὺς ἱερέας καθῆραι τὰ ἱερά, τούς γε μὴν τιμούχους (καλοῦσι δὴ ταύτῃ τοὺς ἄρχοντας Μεσσήνιοι) καὶ τὴν πόλιν καθῆραι πᾶσαν, οἷα δήπου λυμάτων τινῶν καὶ καθαρμάτων ἀπηλλαγμένην. ὅτι ἐν Κρήτῃ Λύκτιοι τῶν Ἐπικουρείων τινὰς ἐκεῖ παραβάλλοντας ἐξήλασαν. καὶ νόμος ἐγράφη τῇ ἐπιχωρίῳ φωνῇ, τοὺς τὴν θήλειαν σοφίαν καὶ ἀγεννῆ καὶ αἰσχρὰν ἐπινοήσαντας καὶ μέντοι τοῖς θεοῖς πολεμίους ἐκκεκηρύχθαι τῆς Λύκτου· ἐὰν δέ τις ἀφίκηται θρασυνόμενος καὶ τὰ

2405 Aelian. fr. 39

2405 cf. vv. συντέτηκεν, οὐδαμά, H 630, προτένθης, φάτνη, 715. fin. hinc v. K 2800

1 ἐν οἷς om. V αὐτοῖς A δὲ αὐτοῖς V 2 πλεῖστα A: πολλά rell. A(GITVM)
3 παρ' οὐδὲν ἐτίθετο A: ἐ. π. ο. rell. 4 τρεῖς ἦσαν A: ἦ. τ. rell. ⟨οἳ⟩ suppl. Kust.
6 ἡλίου] ἰδίου A 9 πόρων—κάτω A: κάτω πόρων ἀπεκρίνετο rell. τοσαῦτα A^{ac}
10 σύνταξις V cf. v. συντέτηκεν 12 ἀνθρώπων om. V ἀπέθανεν A
13 οὐδαμὰ ex A 16 Μητροδώρῳ] δὲ add., om. τοῖς προειρημένοις, V 18 λίθων Kust.: λίθους omnes διαλίθους Bhd. πεποίηται A: πεποιῆσθαι GIVM καὶ alt. om. V ἐν A: τε εν GIVM 19 προσέταξε om. V τε om. V 20 οὖν] δὲ Dr. ὥσπερ] ἦν ὥσπερ ed. pr. 24 λυμεῶνας A: λυμεῶνες GIM λέγοντας A μὲν alt.] δὲ ed. pr. 24. 25 προσβάλλοντας ed. pr. 25 γε ex A 27 ἐκβληθέντων GI(V)

ἐκ τοῦ νόμου παρ' οὐδὲν ποιήσηται, δεδέσθω ἐν κύφωνι πρὸς τῷ ἀρχείῳ ἡμερῶν εἴκοσιν, ἐπιρρεόμενος μέλιτι γυμνὸς καὶ γάλακτι, ἵνα ᾖ μελίτταις καὶ μυίαις δεῖπνον καὶ ἀναλώσωσι χρόνῳ τῷ προειρημένῳ αὐτούς. τούτου γε μὴν διελθόντος, ἐὰν ἔτι περιᾖ, κατὰ κρημνοῦ ὠθείσθω στολὴν γυναικείαν περιβληθείς.

Δ 2406 Ἐπίκουρος: ὄνομα κύριον. εἶχε δὲ ἄρα τὸ βιβλίον τὰς
Ε Ἐπικούρου δόξας, ἃς ἐκεῖνοι κυρίας οὕτω καλοῦσιν, Ἐπικούρου κακὰ γνωρίσματα· ἐν αἷς ἄρα καὶ τόδε ἦν, ὅτι καὶ τόδε τὸ πᾶν φέρεται τύχῃ τινί, οὐ μὴν βουλήσει καὶ κρίσει θεοῦ. ταύτας δὴ τὰς θρυλουμένας ἀτόμους πληττομένας ὑπ' ἀλλήλων, εἶτα ἀφισταμένας, ἐκ τούτων γίνεσθαι ἀέρα, γῆν καὶ θάλατταν, εἶτα διαλύεσθαι τὰς ἀνακράσεις καὶ συνόδους καὶ παντελῶς ἀφανίζεσθαι εἰς ἀτόμους. φέρεσθαι δὲ εἰκῇ τὰ πάντα, καὶ ὡς ἔτυχεν, οὐ μὴν ἐκ τῆς τοῦ ποιητοῦ σοφίας. εἶτα ὅτι ἐκ προνοίας φύρεται πάντα, οὔτε κυβερνήτην οὔτε ἰθυντὴν οὔτε ποιμένα ἔχοντα. εἶτα ὁ πομπῇ τοῦ θεοῦ ἥκων οὐκ ἠνέσχετο παραλῆρεῖν αὐτόν, ἀλλὰ τὴν τῶν λόγων παραπλῆγα λύτταν κατεσίγασεν, εἶτα ἀνέθορεν, Ἐπικούρῳ καὶ ταῖς ἐκείνου δόξαις κλάειν λέγων.

Σ Synt. 2407 Ἐπίκουρος: βοηθός. καὶ Ἐπικουρῶ· δοτικῇ.

Σ 2408 Ἐπικωμάσαι: ὀρχεῖσθαι, ἢ λαλῆσαι αἰσχρά. πολλαὶ ταῖς ἐκκλησίαις ἐπεκώμασαν ταραχαί.

Σ 2409 Ἐπίκωμος: ὑβριστής, συγχαίρων. ταῦτα δὲ ἀχρεῖα τυγ-
Ε χάνειν ἔδοξεν, ὡς περιττὸς ἐπίκωμος. ὁ Προκόπιός φησι περὶ Θεοδοσίου βασιλέως.

Σ 2410 Ἐπικωπητήρ: ὁ τροπωτὴρ ἱμάς.

Ar. 2411 Ἐπίκωπος: ξιφήρης. κώπη γὰρ ἡ λαβὴ τοῦ ξίφους. ἢ ἀντὶ τοῦ διὰ νεώς, καὶ ναυτικὸς ὤν. καὶ Ὅμηρος· οὐ γάρ μοι νῆες εἰσὶν
Ε ἐπήρετμοι. ἐπὶ Ποπλίου συνθήκας ἐποιήσαντο Ῥωμαῖοι καὶ Καρχηδόνιοι, μὴ ἔχειν μήτε κτᾶσθαι Καρχηδονίους πλοῖον ἐπίκωπον, πλὴν δέκα τριήρων καὶ τῶν ἁλιευτικῶν καὶ περιχώρων, ὧν οὐδὲν ἦν δεκασκάλμου μεῖζον.

Δ| 2412 Ἐπικῶς: ἀντὶ τοῦ λογίως. Ἐπικῶς δὲ ἀντὶ τοῦ ποιητικῶς.

2406 — κύριον = Ambr. 1387 εἶχε sq. Aelian. fr. 61 2407 — βοηθός = Ba 230, 20, H cf. sch. B 130 Ἐπικουρῶ sq. = Synt. Laur. et Gud. 2408 — αἰσχρά = Ba 230, 25 2409 — συγχαίρων = Ba 230, 27, H Προκόπιός cf. Byz. Zt. 21, 418, 421 sq. 2410 = Et. Gen., Et. M. 360, 44 cf. H, Ambr. 1358 2411 — ἐπήρετμοι sch. Ar. Ach. 230; ρ 145 2412 — λογίως = L, aliter Ambr. 1787

2406 cf. v. K 1701 2407 cf. 2402. Z 792 2408 cf. 2041. Z 839 2409—11 Z 792 2411 Ar. cf. v. K 2295 2412 cf. v. οὐκ ἐπιεικῶς. Z 855

A(GITFVM) 1 ποιήσηται GI, v. K 2800: ποιήσεται AM 3 μύαις A ἀναλώσεως A 4 αὐτόν Kust. κρημνίου A 6 ἄρα om. GIM 8 ἄρα ex A καὶ alt. om. VT 9 δὴ] δὲ V 9. 10 θρυλλουμένας GITM; anacoluthiam orationis notavit Kust. 11 διαλαβέσθαι GITM 13 ὡς om. A 14 ἐκ προνοίας] ἄνευ π. Port. οὐκ ἐκ π. Wakefield ἐκ π. οὐδεμιᾶς Bhd. 15 εἶτα—17 λέγων om. TV ἥκων A: ἥκειν GIM 2407—11 ante 2404 GITVM 18 καὶ—δοτικῇ om. TFV 22 περιττὰ V 31 Ἐπικῶς pr. A: Ἐπιεικῶς rell. Ἐπικῶς alt.—ποιητικῶς om. AF

2413 Ἐπικρᾶναι: τῇ κεφαλῇ κατανεῦσαι. Σ
2414 Ἐπικράτεια. καὶ Ἐπικρατῶ· γενικῇ. Δ Synt.
2415 Ἐπικράτης, κωμικός. τῶν δραμάτων αὐτοῦ Ἔμπορος καὶ Hesy.
Ἀντιλαΐς.
2416 Ἐπικράτης· Ἐπικράτους οὐκ ὀλίγῳ καλλίονα πώγων' ἔχεις. Ar.
οὗτος γὰρ μέγαν πώγωνα εἶχεν. ἐπεκαλεῖτο δὲ σακεσφόρος. καὶ
Πλάτων ὁ κωμικός φησιν· ἄναξ ὑπήνης Ἐπίκρατες σακεσφόρε. καὶ
ἐκωμῳδεῖτο εἰς δασύτητα. ἦν δὲ ῥήτωρ δημαγωγός.
2417 Ἐπικράτης, Ἀθηναίων δημαγωγός, Ἔφορος ἐπικαλούμενος· Harp.
οὗ καὶ Δημοσθένης ἐν τῷ Παραπρεσβείας μνημονεύει. ἕτερος δέ ἐστιν,
οὗ μνημονεύει Λυκοῦργος ἐν τῷ Περὶ διοικήσεως· ὃν φασι κεκτῆσθαι
ταλάντων χ' οὐσίαν. ἄλλος δέ ἐστιν Ἐπικράτης, Αἰσχίνου τοῦ ῥήτο-
ρος κηδεστής· ᾧ ἐπώνυμον Κυρηβίων, ὡς Δημοσθένης ἐν τῷ κατ'
Αἰσχίνου.
2418 Ἐπικρεμαμένου: ἐπικειμένου. οἱ δὲ ὑπὸ μεγέθους τοῦ ἐπι- E
κρεμαμένου ἔτι κινδύνου πάντα οἰκτὰ ἐλογίζοντο.
2419 Ἐπικρεμάσας: ἐπενεγκών. οἷς δ' ἅμα ἀναταθεὶς καὶ τὸν ἐξ E
αὐτοῦ φόβον ἐπικρεμάσας.
2420 Ἐπίκρια: τὰ τῆς νηὸς σανιδώματα. Δ
2421 Ἐπικρίνει: δοκιμάζει. Σ
2422 Ἐπικριτής: σύμβουλος, δοκιμαστής. χρώμενος ἐπικριτῇ τῶν E
λεγομένων τῷ Μασσανάσσῃ διὰ τὴν τῶν τόπων ἐμπειρίαν.
2423 Ἐπικτήτης. Δ
2424 Ἐπίκτητος, Ἱεραπόλεως τῆς Φρυγίας, φιλόσοφος, δοῦλος Hesy.
Ἐπαφροδίτου, τῶν σωματοφυλάκων τοῦ βασιλέως Νέρωνος. πηρωθεὶς
δὲ τὸ σκέλος ὑπὸ ῥεύματος ἐν Νικοπόλει τῆς νέας Ἠπείρου ᾤκησε,
καὶ διατείνας μέχρι Μάρκου Ἀντωνίνου· ἔγραψε πολλά. ὅτι Θεο-
σέβιος ὁ φιλόσοφος ἔλεγε πολλὰ ἀπὸ τῶν Ἐπικτήτου σχολῶν, τὰ δὲ
καὶ αὐτὸς ἐπετεχνᾶτο τῆς ἠθοποιοῦ διανοήματα μούσης, ἱκανὰ πείθειν
καὶ δυσωπεῖν τῶν ψυχῶν τὰς μὴ παντάπασιν ἀτέγκτους καὶ ἀτεράμο-
νας· ἀποστρέφεσθαι δὲ καὶ ἀποδιδράσκειν τὰ χείρω τῆς ζωῆς εἴδη

2413 = Et. Gen., Et. M. 361, 6 cf. H 2414 Ἐπικράτεια = Ambr. 1480 cf. Ps. Herodian. 222 Ἐπικρατῶ· γενικῇ = Synt. Laur. et Gud. 2416 Ar. Eccl. 71 c. sch.; Pl. com. fr. 122 2417 Harp. cf. Et. Gen. = Et. M. 361, 3; Dem. 19, 277; Lycurg. fr. 25; Dem. 19, 287 2418 οἱ sq. Thuc. 7, 75, 7 2419 οἷς sq. Polyb. fr. 107 2420 cf. Ambr. 1546, L, sch. γ 353 2421 = Ba 230, 21 2422 χρώμενος sq. Polyb. 14, 3, 7 2423 = Ambr. 1377 2424 vs. 27 ὅτι sq. Dam. fr. 58 cf. Phot. Bibl. 339a 17—20

2413 Z 839 2416 cf. v. πώγων 2417 cf. v. K 2754 2418 cf. v. οἰκτά 2419 cf. v. A 2096. Z 839 2422 Z 793 2424 Dam. cf. v. A 4329

2 καὶ GIT: om. M^{mg} 2415 om. F 2416 om. T non nov. gl. FV A(GITFVM)
7 καὶ ex AF 10 δέ om. V 11 Περὶ] παρὰ FVM 13 ᾧ AF: οὗ rell.
16 ἔτι om. V 17 ἀνατιθείς GIVM 22 Μασσανάσσῃ e Polyb. Τουρ: Μασσάνῃ V cp. rell. cf. vv. A 1811 et 2080 2424 nov. gl. A solus 29 διανοήματα A: διανοήματος GIT cp. M 30 ἐνωπεῖν M

κατὰ δύναμιν, ἀσπάζεσθαι δὲ τὰ ἀμείνω καὶ μεταδιώκειν, καθόσον οἷόν τε παντὶ σθένει· τοιγαροῦν καὶ ἐν συγγράμμασι καταλέλοιπε τοιούτοις τισὶ τὰς ἑαυτοῦ νουθετήσεις οἵοις Ἐπίκτητος πρότερον. καί μοι δοκεῖ ὁ ἀνὴρ γεγονέναι ἄντικρυς, ὡς ἕνα πρὸς ἕνα ἀντιβαλεῖν, ὁ τοῦ καθ' ἡμᾶς χρόνου Ἐπίκτητος, ἄνευ μέντοι τῶν Στωϊκῶν δοξασμάτων. ὁ γὰρ Θεοσέβιος οὐδενὸς τοσοῦτον ὅσον τὴν Πλάτωνος ἀλήθειαν ἠσπάζετο καὶ ἐθαύμαζε. καὶ δή τι καὶ συνεγράψατο μικρὸν βιβλίδιον περὶ τῶν ἐν Πολιτείᾳ τῇ μεγάλῃ κεκομψευμένων, τὴν ἀπὸ τῶν θεῶν ἥκουσαν θεοσοφίαν ἐξαίρων λόγῳ· ταύτην γὰρ διαφερόντως ἐτίμα καὶ ἔσεβεν. ἀεὶ γὰρ ἐν τοῖς ἠθικωτέροις φιλοσοφήμασι διατρίβων ἐφαίνετο. καὶ γὰρ εὖ ἐπεφύκει πρὸς εὐζωΐαν μᾶλλον ἢ ἐπιστήμην, οὐδὲ ταύτην ἡσυχάζουσαν, οὐδὲ ἐν μόναις ταῖς φαντασίαις γυμναζομένην, ἀλλὰ ζῶσαν ἱκανῶς ἐπ' αὐτῶν τῶν πραγμάτων. εἰ μὴ γὰρ καὶ τὸν δημόσιον ἐπολιτεύσατο τρόπον, ἀλλὰ τὸν ἴδιον, ὃν καὶ Σωκράτης ἐκεῖνος καὶ ὁ Ἐπίκτητος καὶ πᾶς εὖ φρονῶν μεταχειρίζεται, τὴν ἑαυτοῦ καὶ ἐν ἑαυτῷ πολιτείαν διακοσμῶν· τοῦτο μὲν πρῶτον, ἔπειτα καὶ πρὸς ἄλλους ἐν μέρει καθέκαστον ἰδίᾳ συνισταμένην πρὸς τὸ βέλτιστον.

Σ 2425 Ἐπικυδέστερος: ἐπικρατέστερος, νικητικός, ἐνδοξότερος. κῦδος
EL γὰρ ἡ δόξα. τοὺς Ῥωμαίους ὁ Τοῦρκος ἐν τιμῇ πλείονι ἐποιήσατο, ὡς καὶ κατὰ τὴν ἐπικυδεστέραν ἀνακλῖναι στιβάδα.

EV 2426 Ἐπικύδης· ὅτι Ἐπικύδης καὶ Ἱπποκράτης ἀδελφὼ μὲν ἀλλήλων, στρατηγὼ δὲ Συρακουσίων, οἳ Ῥωμαίοις ἐκ πολλοῦ δυσχεραίνοντες, ἐπεὶ τὰς Συρακούσας οὐκ ἴσχυον ἐκπολεμῶσαι, κατέφυγον ἐς Λεοντίνους διαφερομένους τοῖς Συρακουσίοις καὶ κατηγόρουν τῆς πατρίδος, ὅτι τὰς σπονδὰς Ἱέρωνος ἐφ' ὅλῃ Σικελίᾳ πεποιημένου μόνοι Συρακούσιοι σφίσιν αὐτοῖς ἀνακοινώσειαν. οἱ δὲ ἠρεθίζοντο καὶ Συρακούσιοι μὲν ἐπεκήρυσσον, εἴ τις Ἱπποκράτους ἢ Ἐπικύδου κομίσειε τὴν κεφαλήν, ἰσόσταθμον αὐτῷ χρυσίον ἀντιδώσειν, Λεοντῖνοι δὲ αὐτῶν Ἱπποκράτην στρατηγὸν ᾑροῦντο.

Σ 2427 Ἐπικυκλῆσαι: ἐπεισαγαγεῖν.

2425 — ἐνδοξότερος = Ba 230, 23 cf. H. κῦδος—δόξα = Et. M. 543, 25 cf. sch. Γ 373, H, Ambr. 1373 τοὺς sq. Men. Prot. fr. 20, FHG 4, 228b = EL 194, 31—195, 1 2426 App. Sic. 3 = EV 2, 222, 14—22 2427 = Ba 230, 22

2425 cf. v. K 2614. Z 793 2427 Z 839

A(GITFVM) 1 ἀσπάζεσθαι—2 σθένει hic A: post p. 365, 30. 31 ἀτεράμονας GITM; anacoluthiam notavit Bhd. 2 παντὶ σθένει A: ἦν GITM 3 οἵοις A: οἷς ὁ GITM 8 ἐν] τῇ add. GIT κεκομψευμένων A 9 λόγῳ Port.: λόγου omnes 15 πᾶς] τὰς A 17 ἄλλους A: ἀλλήλους GITM; haec contracta esse perspexit Bhd. 21 μὲν ex AF 22 Συρακουσίων Exc.: cp. A Συρακούσιοι GIM Συρακούσῃ V οἳ om. Exc. Bhd. 23 ἐπὶ A Συρακούσας G Exc.: cp. IM Συρακούσεις A 26 μόνοι ex A Exc. 27 Ἱπποκράτους Exc.: cp. AGM Ἱππόκρατα I Ἐπικύδου A Exc.: cp. GI Ἐπικύδης M 29 αὐτῶν A: αὐτῷ GIM αὐτὸν Exc.

2428 Ἐπικύλλωμα: τὸ μετὰ τὴν τῶν ἄρτων διάρτησιν περισσευόμενον· κόλλιξ γὰρ ὁ ἄρτος. ὅθεν καὶ κολλούριον, ἀπὸ τοῦ κολοβόν. Ecl.
2429 Ἐπικυφότερος. Δ
2430 Ἐπιλάθῃ καὶ Ἐπιλάθωμαι· γενικῇ. αὐθυπότακτα. Δ
2431 Ἐπιλαμβάνεσθαι· γενικῇ. μέμφεσθαι. μὴ ὀνειδιστικῶς ἐπιλαμβάνεσθαι τῶν βάρβαρον ἢ κόλοικον ἢ ἀπηχές τι προενεγκαμένων.
2432 Ἐπίλαμπος· καταφανής, παρ' Ἡροδότῳ. Hdt.
2433 Ἐπιλανθάνεσθαι: ἀποβαλεῖν ἐπιστήμην.
2434 Ἐπιλαχόντα: τυχόντα. Σ
2435 Ἐπιλαχών· Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος· οὔτε λαχὼν οὔτ' ἐπιλαχών, ἀλλ' ἐκ παρασκευῆς πριάμενος. τοιοῦτον δέ ἐστι τὸ λεγόμενον. ἐκληροῦντο οἱ βουλεύειν ἢ ἄρχειν ἐφιέμενοι. ἔπειτα ἑκάστου τῶν λαχόντων ἕτερος ἐπελάγχανεν, ἵνα, ἐὰν ὁ προλαχὼν ἀποδοκιμασθῇ ἢ τελευτήσῃ, ἀντ' ἐκείνου γένηται βουλευτὴς ἢ ἄρχων ὁ ἐπιλαχών. Harp.
2436 Ἐπιλέγει: πρὸς τοῖς προειρημένοις φησίν. Σ
2437 Ἐπίλεκτος, προπαροξυτόνως. ἐκλεκτὸς δὲ ὀξυτόνως. διότι τὸ μὲν ἐκ τοῦ ῥήματος, τὸ δὲ ἐκ τοῦ ὀνόματος συντέθειται. Suid.
2438 Ἐπιλεξάμενος: ἀναμετρήσας, ἀναλογισάμενος. ὁ δὲ Ἡρακλῆς τὸν ἀριθμὸν τῶν βοῶν ἐπιλεξάμενος. καὶ Ἡρόδοτος· ὁ δὲ ἐπιλεξάμενος, ὡς ἦν δι' αὐτοῦ κατέλθωσιν οἱ φυγάδες ἐς τὴν πόλιν, ἄρξει τῆς Νάξου. ἀντὶ τοῦ ἀναλογισάμενος. κεῖται δὲ καὶ ἐπὶ τοῦ ἀναγνούς. ὁ δὲ εὑρίσκει τὰ γεγραμμένα καὶ ἐπιλεξάμενος ἐλέγχει τὸ πᾶν, ὡς ἐγένετο. E E E
2439 Ἐπιλείψει με: καταλείψει με· διηγούμενον ἡ ἡμέρα. Δ
2440 Ἐπὶ Λειψυδρίῳ μάχη: χωρίον ὑπὲρ τῆς Πάρνηθος, ὃ ἐτείχισαν οἱ φυγάδες τῶν τυράννων, ὧν οἱ Ἀλκμαιονίδαι προεστήκεσαν. ἐκπολιορκηθέντων δ' αὐτῶν ὑπὸ τῶν περὶ Πεισίστρατον, σκολιὸν εἰς αὐτοὺς ᾄδετο· αἳ αἳ Λειψύδριον προδωσέταιρον, οἵους ἄνδρας ἀπώλε- Σ

2428 = An. Ox. 2, 436, 25, Et. Gen., Et. M. 361, 7 2429 cf. Ambr. 1402 2430 Ἐπιλάθωμαι, αὐθυποτακτά = Ambr. 1768a. γενικῇ cf. Synt. Laur. et Gud. 2431 γενικῇ cf. Synt. Laur. et Gud. μὴ sq. Marc. 1, 10, 2 2432 gl. Hdt. 3, 69 2434 = Ba 230, 28 2435 Harp. = Et. Gen., Et. M. 361, 24 cf. Bk. 256, 3; Aeschin. 3, 62 2438 vs. 19 ὁ—20 ἐπιλεξάμενος Dionys. Hal. 1, 39, 3 vs. 20 ὁ—22 Νάξου Hdt. 5, 30, 3 vs. 23 ὁ sq. Iambl. fr. 7* R. 2439 cf. Ambr. 1683a (et Ep. ad Hebr. 11, 32) 2440 = Et. Gen., Et. M. 461, 31 cf. Eust. I. 461, 21, Ath. 15, 695e

2428 cf. v. K 1940. Z 811 2431 cf. v. A 3189. Z 839 2432 Z 793 2436 Z 839 2437 ex 459 2438 Z 839

1 διάρτησιν An. Ox. Et. Gen.: διάτρησιν AFV Zon. διάτριον M διάπλασιν A(GITFVM) GIT διάρτιον Kust. 2 κόλλιξ A: κόλλυξ GITM κόλλι V κύλλιξ F 4 αὐθυπότακτα ante gl. GIM · 6 τῶν] τὸν A 13 ἑκάστῳ Harp. προλαχὼν AF Et. Harp.: προλαβὼν GIVM 16 εἰρημένοις GITVM 2437 om. FV 17 ἐκλεκτὸς A: ἐκλεκτῶς M ἐπιλεκτῶς GIT 27 ὧν ex F Eust., v. l. Et. 29 προδωσέταιρον Ath. (Et.): προσδοσέταιρον A προδοσέταιρον rell. Eust.

cας, μάχεσθαι δ' ἀγαθούς γε καὶ εὐπατρίδας, ὁπότ' ἔδειξαν, οἵων πατέρων ἔσαν.

Δ 2441 Ἐπίληθον: τὸ λανθαστικόν.

Σ 2442 Ἐπὶ Ληναίῳ: περίβολός τις μέγας, ἐν ᾧ τοὺς ἀγῶνας ἦγον τοὺς σκηνικούς.

Σ 2443 Ἐπίληπτος: ἐπιλήψιμος, καὶ μέμψεως ἄξιος. καὶ Ἐπίληπτος, ὁ νοσῶν τὴν ἱερὰν νόσον, καὶ λυόμενος ἐπὶ τοῦ βασιλέως Θεοδοσίου.

Ar. 2444 Ἐπιλησμότατον: ἰδίως ἐπιλησμονέστατον. Ἄλεξις δὲ λέγει ἐπιλήσμη, Κρατῖνος ἐπιλησμοσύνη. Ἀριστοφάνης Νεφέλαις· οὐκ ἐς κόρακας ἀποφθερῇ ἐπιλησμότατον καὶ σκαιότατον γερόντιον.

Δ 2445 Ἐπιλήψει με: καταλάβῃ με.

Σ 2446 Ἐπιλίγδην: συμψαῦσαι καὶ ἀφάψασθαι μόνον. ὃ παρ' ἡμῖν Δ ἄνωθεν, ἄνω.

Δ 2447 Ἐπιλλίζω: τὸ διανεύω.

Ε 2448 Ἐπιλογισάμενος· καὶ ἐφ' ὧν ἐνόμιζε πλεονεκτήσειν κατὰ τὴν μάχην ἐπιλογισάμενος, πείθει.

Σ 2449 Ἐπιλλύζουσα: ἐπεγγελῶσα, ἐπιμύουσα τοὺς ὀφθαλμούς· ὅπερ ἴδιόν ἐστι τῶν γλαυκῶν, διὰ τὸ μὴ βλέπειν δι' ἡμέρας.

Hesy.? 2450 Ἐπίλυκος, κωμικὸς ποιητής. τῶν δραμάτων αὐτοῦ ἐστι Κορα- λίσκος, ὡς Ἀθήναιος.

Σ 2451 Ἐπιλυομένου: συγχωροῦντος.

Ε 2452 Ἐπίλυσιν: ἔφοδον. ὁ δὲ πέμπει Ἰωάννην, ὡς ἂν προφυλακῇ χρήσοιτο καὶ προκαταμάθοι τὴν ἐπίλυσιν τῶν βαρβάρων.

Δ 2453 Ἐπιλύτης: ἐπίλυτος.

Δ 2454 Ἐπιμᾶλλον: ἐπίρρημα. περισσοτέρως. καὶ ἐπιμᾶλλον ἐξ- Ε ήπτοντο εἰς ὀργήν.

2455 Ἐπιμᾶλλον: ἀντὶ τοῦ προθυμότερον. Δέξιππος· τῶν δέ Ε τινων τοῖς Ὑπερίδου λόγοις ἐπιμᾶλλον ἀχθέντων. καὶ ἀντὶ τοῦ περισσοτέρως. ἐνδιδόναι σφᾶς ἐπιμᾶλλον. καὶ αὖθις· ταῦτά τοι Ε ἐπιμᾶλλον ἐξῆψεν αὐτῷ τὸ μῖσος.

2441 = Ambr. 1525 2442 cf. H, Et. Gen. = Et. M. 361, 39 2443 — ἄξιος = Ba 230, 29 cf. Bk. 255, 5 Ἐπίληπτος alt.—νόσον cf. H 2444 Ar. Nu. 789—90 c. sch. cf. Et. Gen., Et. M. 361, 38; Alexid. fr. 315; Crat. fr. 410 2445 = Ambr. 1683b 2446 — μόνον = Σ^a cf. H, Ap. S. 73, 26 sch. P 599, sch. Luc. 13, 18 ἄνωθεν, ἄνω = Ambr. 1784 2447 = Ambr. 1755 cf. Et. M. 361, 42, H, sch. c 11 2448 Polyb. fr. 147 2450 Ἀθήναιος 4, 133b, 140a 2451 = Ba 230, 31 2452 ὁ sq. Men. Prot. attr. Burney 2453 cf. L; ἐπίλυτος = Σ^a 2455 τῶν—ἀχθέντων FGrHist 100 fr. 34 ταῦτα sq. Aelian. fr. 259

2446 hinc 2783 cf. v. A 1009 2447 Z 840 2449 Z 840 2451 Z 840 2454—5 Z 855

A(GITFVM) 3 λαθαστικόν V 7 ἐπὶ—8 Θεοδοσίου om. T, ex 2409 invectum putat Bhd. 9 λέγει ex A, sch. 10 ἐπιλίσμη A ἐπιλησμοσύνη] ἐπιλήσμονι sch. ἐπιλήσμοσι ex Crat. fr. 154 Gsf. 13 ἐφάψασθαι GI Hes. 18 Ἐπιλλίζουσα Zon. 20.21 Κορηλίσκος] καὶ ἄλλα τινά add. T 24 χρήσαιτο GI V^{ac} M^{ac} 2454 om. V 26 ἐπίρρημα om. F 31 αὐτῷ AF: cp. M αὐτοῦ GIV

2456 Ἐπίμαργος: μεμηνώς. Σ
2457 Ἐπιμαστίδιος: ὁ θηλάζων. ὁ δὲ νεώτατος παῖς ἐπιμαστίδιος E
ἦν, οὗ ἡ μήτηρ ἀντείχετο.
2458 Ἐπιμαχία συμμαχίας διαφέρει· καὶ ζήτει ἐν τῷ συμμαχία. Suid.
2459 Ἐπιμαχεῖν· φιλίαν σφίσιν ἔνσπονδον εἶναι ἐπὶ τῷ τῇ ἀλλή- E
λων ἐπιμαχεῖν· καὶ ἄμιλλα ἦν ἀμφοῖν, πότερος μᾶλλον τὰ δόξαντα
ἔργῳ ἐμπεδώσει.
2460 Ἐπίμαχος: δυναμένη πολεμεῖσθαι. καθὸ μὲν ἐπίμαχος ἦν E
πόλις, χώματα ἐγείρων. καὶ αὖθις· οἱ δὲ ἐπορεύοντο ἐπὶ χωρίον, E
ὃ ἐδόκει ἐπιμαχώτατον εἶναι.
2461 Ἐπὶ μέγα: ἐπίρρημα. ἀντὶ τοῦ μεγάλως. οἳ ἐπὶ μέγα ἀρθέν- Δ
τος αὐτοῖς τοῦ ὀνόματος τῆς Ἀσίας ἐπῆρχον. ἐπὶ μέγα τρυφῆς E
προελθόντες οἱ Συβαρῖται καὶ πλούτου ἐπὶ μέγα ἥκοντες ἑαυτοῖς E
καὶ ἄλλοις ἐδόκουν ἀξιόζηλοι εἶναι.
2462 Ἐπιμέλεον: φροντίδος ἄξιον. Ἡρόδοτος· ὡς δὲ παρεξήει
ἡ γυνή, ἐπιμέλεον τῷ Δαρείῳ ἐγένετο. ἐπιμελὲς δὲ ὥς οἱ ἐγένετο, E
πέμπει τῶν δορυφόρων τινὰς γνῶναι, ὅ τι χρήσαιτο τῷ ἵππῳ ἡ γυνή.
2463 Ἐπιμέλεια: ἡ σπουδή, ἡ φροντίς. Δ
2464 Ἐπιμελής: ἄρτος ὁ καθαρός.
2465 Ἐπιμελητὰς ἐμπορίου: δέκα ἐκλήρουν ἐπιμελητὰς οἱ Ἀθη- Harp.
ναῖοι ἐμπορίου, οἷς προστέτακτο τῶν τε ἐμπορίων ἐπιμελεῖσθαι καὶ
τοῦ σίτου καταπλέοντος εἰς τὸ Ἀττικὸν ἐμπόριον τὰ δύο μέρη
ἀναγκάζειν εἰς τὸ ἄστυ κομίζειν.
2466 Ἐπιμεληταί: παρὰ Πέρσαις ἦσαν ἐπιμεληταί, ὥς φησιν Ξενο- Σ?
φῶν, οἳ τοὺς τετρωμένους ἐν πολέμῳ ἐθεράπευον.
2467 Ἐπιμεληταὶ ἐχειροτονοῦντο τῶν χορῶν, ὡς μὴ ἀτακτεῖν τοὺς Σ
χορευτὰς ἐν τοῖς θεάτροις. ἄλλοι δὲ λέγουσιν, ὅτι ἐμπορίου ἄρχοντές
εἰσι κληρωτοὶ ἑκάστου ἔτους καθιστάμενοι, οἷς προσετέτακτο ἐπιμελεῖ-
σθαι τοῦ καταπλέοντος σίτου εἰς τὸ ἐμπόριον τὸ Ἀττικὸν καὶ τοὺς
ἐμπόρους ἀναγκάζειν εἰς τὸ ἄστυ κομίζειν.
2468 Ἐπιμελητὴς τῶν μυστηρίων: παρὰ Ἀθηναίοις ὁ λεγόμενος Harp.
βασιλεὺς πρῶτον μὲν μυστηρίων ἐπιμελεῖται μετὰ τῶν ἐπιμελητῶν,
οὓς ὁ δῆμος ἐχειροτόνει. δ΄ δὲ ἦσαν, β΄ μὲν ἐξ Ἀθηναίων ἁπάντων,
εἷς δὲ ἐξ Εὐμολπιδῶν καὶ εἷς ἐκ Κηρύκων.

2456 = Ba 230, 33 2460 οἱ sq. Xen. An. 5, 4, 14 2461 vs. 12 ἐπὶ sq. Aelian. fr. 87 2462 ὡς sq. Hdt. 5, 12, 3 2463 — σπουδή = H; l. = Ambr. 1484 2465 Harp. = Et. Gen. cf. Et. M. 362, 6 2466 cf. Byz. Zt. 23, 35. Ξενοφῶν? 2467 = Et. Gen., Et. M. 361, 57 cf. Bk. 255, 22 2468 Harp. = Et. Gen., Et. M. 362, 9 cf. Aristot. Ath. Pol. 57, 1

2456—7 Z 793 2458 ex v. συμμαχία 2459 cf. v. Δ 431 2460 Z 802 2461 Z 856 2462 Z 818 2463 Z 803 2464 cf. v. A 3903. Z 793

2458 om. ATFV 5 φιλίαν] καὶ φιλίαν GI 6 καὶ om. GI πρότερος IVM A(GITFVM)
9 πόλις] πολλὰ ed. pr. 11 ἐπίρρημα om. TFV 12 Ἀσίας] οὐσίας V
ὑπῆρχον G 28 εἰσὶ] οἱ εἰ V

Δ 2469 Ἐπιμελόμενος: ἐπιμελούμενος.

Ε 2470 Ἐπιμεμφόμενος· πρός γε καὶ πλεῖστα ἐπιμεμφόμενος ἦν τοῖς Πέρσαις, ἅτε δὴ πρὸς αὐτῶν ἄδικα πεπονθώς.

Hesy. 2471 Ἐπιμενίδης, Φαίστου ἢ Δοσιάδου ἢ Ἀγιασάρχου υἱός, καὶ μητρὸς Βλάστας, Κρὴς ἀπὸ Κνωσσοῦ, ἐποποιός· οὗ λόγος, ὡς ἐξίοι ἡ ψυχὴ ὁπόσον ἤθελε καιρόν, καὶ πάλιν εἰσῄει ἐν τῷ σώματι· τελευτήσαντος δὲ αὐτοῦ, πόρρω χρόνων τὸ δέρμα εὑρῆσθαι γράμμασι κατάστικτον. γέγονε δὲ ἐπὶ τῆς λ′ ὀλυμπιάδος, ὡς προτερεύειν καὶ τῶν ζ′ κληθέντων σοφῶν ἢ καὶ ἐπ' αὐτοῖς γενέσθαι. ἐκάθηρε γοῦν τὰς Ἀθήνας τοῦ Κυλωνείου ἄγους κατὰ τὴν μδ′ ὀλυμπιάδα, γηραιὸς ὤν. ἔγραψε δὲ πολλὰ ἐπικῶς· καὶ καταλογάδην μυστήριά τινα καὶ καθαρμοὺς καὶ ἄλλα αἰνιγματώδη. πρὸς τοῦτον γράφει Σόλων ὁ νομοθέτης μεμφόμενος τῆς πόλεως κάθαρσιν. οὗτος ἔζησεν ρν′ ἔτη, τὰ δὲ

Prov. ϛ′ ἐκαθεύδησεν. καὶ παροιμία τὸ Ἐπιμενίδειον δέρμα, ἐπὶ τῶν ἀποθέτων.

Ε 2472 Ἐπιμετρούσης: ἐπιχορηγούσης. ὥσπερ ἐπιμετρούσης καὶ συνεπαγωνιζομένης τοῖς γεγονόσι τῆς τύχης.

Synt. 2473 Ἐπιμετρῶ· δοτικῇ.

Δ 2474 Ἐπιμείλιον: τὸ προικίον.

Δ 2475 Ἐπιμείνης: αὐθυπότακτον.

Δ 2476 Ἐπιμηλίδες Νύμφαι.

Harp. 2477 Ἐπιμήνια: τὰ καθ' ἕκαστον μῆνα φυόμενα. ἢ τὰ ὑπὲρ ὅλου τοῦ μηνὸς ἅπαξ ποτὲ γενόμενα θύματα.

Suid. 2478 Ἐπὶ μικρόν.

Σ 2479 Ἐπιμίξ: ἐπιμεμιγμένως.

Suid. 2480 Ἐπίμπλατο καὶ Ἐπίμπλαντο.

Δ 2481 Ἐπιμύω: τὸ καμμύω.

2469 l. = Ambr. 1637 2470 Men. Prot. attr. Gsf. (ms.), Aeliano ego 2471 — ἐκαθεύδησεν cf. Laert. 1, 109—112 Ἐπιμενίδειον sq. = Diogen. VIII 28 2472 ὥσπερ sq. Polyb. 3, 118, 6 2473 = Synt. Laur. et Gud. 2474 = Ambr. 1541 cf. sch. I 147 2475 cf. Ambr. 1765 2476 = Ambr. 1469 cf. sch. Ap. Rh. 4, 1322 2477 Harp. = Et. Gen., Et. M. 362, 14 cf. Bk. 254, 13, Ambr. 1539 2479 = Ba 231, 1 cf. Ambr. 1790, H, sch. Λ 525 2481 = Ambr. 1642b cf. H

2469 cf. Z 840 2471 Ps. Hesych. 25 2472 Z 840 2480 ex 2513

A (GITFVM) 1 ἐπιμελούμενος om. AFV 2 Ἐπιμεμφόμενος—ἐπιμεμφόμενος om. A 4 Δοσιάδος GTM Δυσιάδος I Δοσιάρχου F 5 μητρὶ V 7 πόρρω χρόνων om. V Ps. Hesych. εὑρῆσθαι A: εὑρεθῆναι GITM εὑρέθη V Ps. Hesych. 8 γέγονε—9 γενέσθαι ex A 9 αὐτοῖς A: αὐτῶν Kust. ἐκάθηρε γοῦν A: οὗτος ἐκάθηρε rell. 10 Κυλωνίου GITM 11 πολλὰ—καταλογάδην om. V καὶ καταλογάδην om. GITM τινα ex A καθαρμοὺς AV: καθαρμὰ δὲ GITM 12 πρὸς—13 κάθαρσιν ex A 14 ϛ′ AV: ἓξ GITM ἑπτὰ Paroem. ed. Gsf. 107, n. 875 ἑξήκοντα sch. Luc. 110, 17, Wolf. ἑπτὰ καὶ πεντήκοντα Laert. καὶ A: ἡ rell. post 2471 τοῦτο καὶ περὶ Ἀριστέου εἴρηται ἀπιθάνως. καὶ παροιμία τὸ Ἐπιμενίδειον δέρμα mg. add. M 22 θυόμενα Harp. plen. Et. M. 23 γενόμενα AF Harp. ep.: γινόμενα rell. Et. 2478 om. ATFV mg. IM post 2482 G 2480 om. ATFV mg. IM post 2478 G

2482 Ἐπινάστειος: μέτοικος, ξένος, φυγάς. Σ
2483 Ἐπινενασμέναι: πεπληρωμέναι. Ἀριστοφάνης· αἱ τράπεζαί Ar.
γ' εἰσὶν ἐπινενασμέναι ἀγαθῶν πάντων καὶ παρεσκευασμέναι.
2484 Ἐπινέμησις: ὁ τοῦ χρόνου μερισμός. Δ
2485 Ἐπινενησμένον: ἐπικεκλωσμένον. καὶ Ἐπινησθεῖσαν, Δ
ἐπικλωσθεῖσαν. ἡνίκα ἂν τὴν πεπρωμένην ὁδὸν καὶ ἐπινησθεῖσαν δια- Δ + E
νύσω.
2486 Ἐπινεφρίδιον: τὸ ἐπὶ τοῖς νεφροῖς λίπος. Σ
2487 Ἐπινείμης: αὐθυπότακτον. Δ
2488 Ἐπίνειον: παραθαλάσσιον χωρίον, ἢ προσορμητήριον. ὁ λε- Σ
γόμενος κατάβολος. Πολύβιος· ὅτι οἱ Ῥωμαῖοι τὰς μὲν ναῦς Thuc.
ἐνεώλκησαν, τοὺς δὲ ἐν τῇ Ταρρακῶνι συναθροίσαντες ἐκ δὲ τῶν E
προγεγονότων ἐλαττωμάτων ἐπίνειον ἐποίησαν, ἐπὶ τῷ προκαθίσαντας
ἐπὶ τῆς διαβάσεως διαφυλάξαι τοὺς συμμάχους.
2489 Ἐπίνειον: παρὰ τὸ ἐν αὐτῷ νήχεσθαι τὰς ὁλκάδας καὶ ὀκέλ- Thuc.
λειν. ἢ πόλισμα παραθαλάσσιον, ἔνθα τὰ νεώρια τῶν πόλεών εἰσιν·
ὥσπερ Πειραιεὺς τῶν Ἀθηναίων καὶ Νίσαια τῆς Μεγαρίδος. δύναται
δὲ ἐπὶ παντὸς ἐμπορίου καὶ παραθαλασσίου χρήσασθαι τῷ ὀνόματι
τούτῳ, ὃ νῦν οἱ πολλοὶ κατάβολον καλοῦσιν.
2490 Ἐπινησθέντα· τὸν ἐπινησθέντα ἐνίοις βίον. τὸν ὁρισθέντα. E
καὶ αὖθις Αἰλιανός· καὶ ὅτε ἔμελλε τὴν ἐπινησθεῖσάν οἱ καὶ τελευταίαν
ὁδὸν ἰέναι, ᾤχοντο ἀπιοῦσαι.
2491 Ἐπινήσαντες· φρύγανα πρὸ τοῦ τείχους καὶ παντοδαπὸν E
φορυτὸν συγκομισάμενοι καὶ ἐπινήσαντες κόπρον πῦρ ὑπέβαλλον. ὡς
δὲ ἐπὶ πολὺ ἐπὶ τοσόνδε ἤρθη ὁ καπνός, ὥστε ἂν ἀπίοντες μὴ κατα-
φανεῖς εἶεν, ἀπανέστησαν τῆς πολιορκίας.
2492 Ἐπινησθεῖσαν: ἀντὶ τοῦ ἐπικλωσθεῖσαν. Δ
2493 Ἐπίνικος: καὶ αὐτὸς κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Hesy.
Ὑποβαλλόμεναι, ὡς Ἀθήναιος. Hesy.?

2482 = Ba 231, 2 2483 Ar. Eccl. 838—9 c. sch. 2484 — χρόνου = L; μερισμός cf. H; aliter Ambr. 1458 2485 Ἐπινησθεῖσαν, ἐπικλωσθεῖσαν cf. sch. Υ 128 ἡνίκα sq. Aelian. fr. 179 2486 = Ba 231, 4 cf. H, sch. Φ 204 2487 cf. Ambr. 1764 2488 — προσορμητήριον = Ba 231, 3 κατάβολος cf. ad 2489 ὅτι sq. Polyb. fr. 43 2489 — ὀκέλλειν sch. Thuc. 2, 84, 5. πόλισμα sq. sch. Thuc. 1, 30, 2 2490 τὸν pr.—βίον Aelian. fr. 260. καὶ ὅτε sq. Aelian. fr. 11 2493 Ath. 11, 469a cett.

2482 Z 793 2483 Z 840 2484 Z 803 2485 cf. 2492. Z 840 2488—9 Z 812 2490 Aelian. fr. 260 cf. v. A 4104; fr. 11 cf. v. Φιλήμων 1 2491 Z 840 2492 cf. 2485

2483 extra ord. 6. 7 διαλύσω A Zon. 12 δὲ alt. del. Bas. 13 προ- A(GIFVME)
καθαρίσαντας GI 15. 16 ὀκέλλειν V sch.: ὀκέλλην rell. 16 θαλάσσιον A
17 δύναται sch. 18 ἐμπορίου] ἤγουν λίμενος ss. V 19 πολλοί] παλαιοὶ F
20 Ἐπινησθέντα ed. pr. Kust. cf. v. A 4104: ἐπινηθέντα omnes ἐπινησθέντα alt. A:
ἐπινηθέντα rell. 21 ἐπινηθεῖσάν IVM ἐπισθεῖσάν F 2491 extra ord.
25 post πολὺ lacunam statuit Bhd. ἀπιόντας Bhd. 26 εἶεν] εἶναι E^{ac} Bhd.

Ε 2494 Ἐπίνικος, ὕπαρχος τῆς πόλεως ἐπὶ Βασιλίσκου, κόρον χρηματισμοῦ μὴ λαμβάνων μηδένα καὶ τὰ ἔθνη καὶ τὰς πόλεις πάσας καπηλεύων καὶ ἀτόπων τὰς ἐπαρχίας προσταγμάτων ἐμπλήσας· ἃ μὴ φέρουσαι ἔτι τῶν ἀρχόντων αἱ τάξεις, μηδὲ αἱ ἔξω βουλαί, φυγοῦσαι κατέλιπον τὰς τῶν φόρων εἰσπράξεις. ἐκ δὲ τῆς τούτου πλεονεξίας ἀρχόμενοι ἱκέται ἐν τοῖς κοινοῖς ἱεροῖς ἐκαθέζοντο ἐλέγχοντες τὰ τούτου κλέμματα. ἣν δὲ πᾶσιν ἀπεχθὴς τιμὴν οὐδενὶ νέμων προσήκουσαν. καὶ τοῦτον τῆς ἀρχῆς ἀπήλλαξαν ἀτίμως· ἀνθαιροῦνται δὲ ἄνδρα Λαυρέντιον, ὃς ἦν ἐξ ἀρχῆς τῶν ἐπὶ τῆς ἀγορᾶς τῆς μεγάλης ῥητόρων καὶ πρωτεύσας ἐν ταύτῃ. ὅτῳ δὲ συνείποι, οὔτε τρίβειν, ὡς ἂν μᾶλλον κερδαίνοι, οὔτε διέλκειν ἠνείχετο.

Δ 2495 Ἐπινῶς: τὸ λίαν.

Δ 2496 Ἐπίνυσεν.

Ar. 2497 Ἐπίξηνος: ὁ μαγειρικὸς κορμός, ἐφ' ᾧ τὰ κρέα συγκόπτουσιν. Ἀριστοφάνης· ὑπὲρ ἐπιξήνου θελήσω τὴν κεφαλὴν ἔχων λέγειν. εἰ μὴ λέγω, φησί, δίκαια, τῆς κεφαλῆς ἀφαιρεθείην.

Σ 2498 Ἐπὶ ξυροῦ: ἐπὶ κινδύνου, ἐν αὐτῇ τῇ τοῦ πράγματος ἐπιΕ τάσει. ὁ δὲ περιαλγῶν ἐπὶ τῇ προρρήσει ἦν δῆλος, ἐπὶ ξυροῦ τε ἀκμῆς, τὸ λεγόμενον, ὁ τούτου κίνδυνος ὤν, οἵ τε ναῦται καὶ ὅσοι περίνεοι οὐκ ἀνεξόμενοι τῆς τούτου μελλήσεως δῆλοι ἦσαν. καὶ αὖθις· καὶ αὐτοῦ τὸ κράτος ἐπὶ ξυροῦ ἀκμῆς ἦν.

Harp. 2499 Ἐπιορκήσαντα· Λυσίας ἐπιορκήσαντα τὸν ὀμόσαντα εἶπεν.

Hom. 2500 Ἐπίορκον ἀνώμοσεν: οὐ τὸ ἔξωθεν ἐπιπεφωνημένον ἐπίορκον ὤμοσεν ἑκουσίως· ἀλλ' ἐπειδὴ οὐκ ἔμελλε τελειωθῆναι τὰ ὀμωμοσμένα. καὶ ἐπιορκίας ἁλῶναι μάλιστα φυλαττόμενος.

Σ 2501 Ἐπιούσιος ἄρτος: ὁ ἐπὶ τῇ οὐσίᾳ ἡμῶν ἁρμόζων.

Δ 2502 Ἐπιωγή: ἡ σκέπη.

Δ 2503 Ἐπιώρκει: ὑπερσυντελικός.

2494 Malcho attr. Hemst. cf. Io. Antioch. fr. 211, FHG 4, 618b (= EI 133, 17 sqq.) 2495 = Ambr. 1785 2496 cf. Ambr. 1650 = H, Ap. S. 73, 33 2497 Ar. Ach. 318 c. sch. plenior.; κορμός = Ambr. 1336, Ludw. 81, 24, 186, 13. ἐφ' sq. cf. Et. Gen., Et. M. 362, 22, H 2498 — ἐπιτάσει = Ba 231, 5, Et. Gen., Et. M. 362, 24 cf. H, sch. K 173 ὁ—ἦσαν Aelian. fr. 84. vs. 21 καὶ sq. Aelian. fr. 129 (falso Dam. fr. 184) 2499 Harp. 2500 — ὀμωμοσμένα cf. sch. A (Aristonic.) in K 332 καὶ sq. fort. Sym. Metaphr. 2501 = Ba 231, 7, Et. M. 362, 32 2502 = Ambr. 1453, Et. Gud. cf. Ap. S. 75, 1, sch. ε 404, H

2495 Z 856 2497 cf. v. ὑπὲρ ἐπιξήνου. Z 794 2498 Aelian. fr. 84 cf. v. περίνεως 2, fr. 129 cf. v. A 905. Z 794 2500 καὶ sq. cf. v. A 1382 2502 cf. v. ὑπιγή. Z 803 2503 Z 841

A(GIFVM) 1 ἔπαρχος A κύρον A 3 πλήσας A 4 βουλαί] φυλαί ed. pr. 5 τῆς om. GITM 6 ἀγχόμενοι coni. Bhd. ἐρχόμενοι Dr. 13 Ἐπίνυσας V; ἀντὶ τοῦ διήγειρε add. m. rec. in A 14 ᾧ] οὗ Kust. sch. Et. Hes. Zon. 812 18 δειλὸς A 20 ἀνεξήμενοι A 22 ἐπιορκήσαντα alt. GIM: ἐπορκήσαντα AV 23 ἐπιφωνημένον AF 25 καὶ—φυλαττόμενος ex GIM 28 Ἐπιωρκήκει Dr. ὑπερσυντελικός] παρατατικός Kust.

2504 Ἐπιώψατο: κατέλεξεν, ἐξελέξατο. ἔστι δ' Ἀττικόν· ὁ βασι- Σ
λεὺς ἐπιώψατο ἀρρηφόρους. οἷον κατέλεξεν, ἐξελέξατο. Πλάτων ἐν
Νόμοις.

2505 Ἐπὶ Παλλαδίῳ: δικαστήριον Ἀθήνησιν, ἐν ᾧ οἱ Ἐφέται Harp.
ἀκουσίου φόνου ἐδίκαζον. Ἀργεῖοι γὰρ ἀπὸ Ἰλίου πλέοντες, ἡνίκα Σ
προσέσχον Φαλήροις, ὑπὸ Ἀθηναίων ἀγνοούμενοι ἀνῃρέθησαν. ὕστερον
δὲ Ἀκάμαντος γνωρίσαντος καὶ τοῦ Παλλαδίου εὑρεθέντος, κατὰ
χρησμὸν αὐτόθι τὸ δικαστήριον ἀπέδειξαν, ὡς Φανόδημος. Κλειτόδημος
δέ φησιν, Ἀγαμέμνονος σὺν τῷ Παλλαδίῳ προσενεχθέντος Ἀθήναις,
Δημοφῶντα ἁρπάσαι τὸ Παλλάδιον καὶ πολλοὺς τῶν διωκόντων
ἀνελεῖν· τοῦ δὲ Ἀγαμέμνονος δυσχεραίνοντος, κρίσιν ὑποσχεῖν ἐπὶ ν'
Ἀθηναίων καὶ ν' Ἀργείων, οὓς Ἐφέτας κληθῆναι, διὰ τὸ παρ' ἀμ-
φοτέρων ἐφεθῆναι αὐτοῖς περὶ τῆς κρίσεως.

2506 Ἐπιπαρένησαν· Θουκυδίδης· ταχὺ δὲ πλήρους γενομένου Ε
διὰ πολυχειρίαν, ἐπιπαρένησαν καὶ τῆς ἄλλης πόλεως, ὅσον ἐδύναντο.
ἀντὶ τοῦ ἐσώρευσαν.

2507 Ἔπίπαστα: τὰ ἐπιπασσόμενα τῷ σώματι ἄλφιτα. ἔθος γὰρ Ar.
εἶχον ποιεῖν πλακοῦντας ἢ ἄρτους καὶ ἐπιπάσσειν τινὰ καρυκεύματα
ἢ ἁλμυρά· καὶ ἐκ τούτου ἠναγκάζοντο πίνειν πολλά. τοῦτό ἐστι τὸ
ἐπίπαστα. ἐπίπαστα λείξας δημιόπραθ' ὁ βάσκανος, ῥέγχει μεθύων ἐν
ταῖς θύραις ὕπτιος. συμβαίνει δὲ μάλιστα τοῦτο πάσχειν τοὺς με-
θύοντας, ἢ τοὺς ὑπτίους κειμένους.

2508 Ἐπίπεμπτον· Λυσίας μὲν ἀντὶ τοῦ ἁπλοῦ τὸ πέμπτον εἶπεν. Harp.

2509 Ἐπιπηδῶ· δοτικῇ. οἷς οὐδὲ ἀπ' ἀρχῆς ἐπεπηδήσαμεν. αἰτιατικῇ δέ· Synt.
ἐπεπήδησεν ἀναιδῶς τὴν ἐξουσίαν.

2510 Ἔπιπλα: ἡ μὴ ἔγγειος κτῆσις, ἀλλὰ ἐπιπόλαιος. Hdt.

2511 Ἔπιπλα: σκεύη, τὰ μὴ ἔγγεια, ἀλλ' οἷον ἐπιπόλαια. οἱ δὲ Σ
ἐπίπλεα αὐτά φασιν.

2512 Ἔπιπλα: τὰ ἐξ ἐπιπολῆς σκεύη. οἷον ἡ ἐπιπόλαιος κτῆσις καὶ Harp.
ὅση δυνατὴ πλοΐζεσθαι, ἀλλ' οὐκ ἔγγειος.

2504 = Et. Gen. cf. Et. M. 362, 38; — κατέλεξεν = Ambr. 1647. Πλάτων Leg. 12, 947 c 2505 — ἐδίκαζον Harp. = Et. Gen., Et. M. 362, 43 cf. H, Bk. 257, 23; 311, 7 Ἀργεῖοι sq. = Paus. Att. fr. 172 ex Eust. O. 1419, 53 cf. Et. Gen. = Et. M. 362, 44; Harp. plen.; Clitodem. fr. 12, FHG 1, 361 2506 ταχὺ—ἐδύναντο Thuc. 2, 77, 3 2507 Ar. Eq. 103—4 c. scb. cf. Lex. rhet. ap. Et. Gen. et Et. M. 362, 51, H 2508 Harp. 2509 — δοτικῇ = Synt. Laur. 2510 gl. Hdt. 1, 150 2511 — ἐπιπόλαια = H cf. Bk. 255, 11, Et. Gen., Et. M. 363, 11 2512 Harp. = Et. M. 363, 9

2504 Z 841 2505 Z 812 2506 cf. v. παρένησαν. Z 841 2507 cf. v. Δ 433. Z 813 2508 Z 813 2510 Z 813

5 Ἀργεῖοι—13 κρίσεως om. TF Ἰλίου V Eust. Harp.: Ἰουλίου AGIM A(GITFVM)
11 ἐπὶ] ὑπὸ A 17 ἐπιπλασσόμενα AFV Zon. σώματι] ζωμῷ Zacher, Philol. Suppl. 7, 486 20 λήξας GITVM 2509 om. FV post 2507 A 25 τὴν] τὸ A 26 ἔγγειος] ἤγουν ἡ μὴ γήϊνος ss. V 28 ἐπίπλεα] ἐπίπλα A ἐπίπλοα Koenius ad Greg. Cor. Zon. 111 30 πλωΐζεσθαι GIFVM Et.

2513 Ἐπίμπλατο· ἡδονῆς τε ἐπίμπλαντο. καὶ Ἐπίμπλατο.

2514 Ἐπιπλέα: ἀνάμεστος, πεπληρωμένη. Ἡρόδοτος· καὶ τράΕ πεζαν ἐπιπλέην ἀγαθῶν παντοίων παραθέντες.

2515 Ἐπιπλέον καὶ Ἐπιπλεῖστον: ἐπίρρημα. ἐπὶ τὸ πλεῖστον δέ, ἐπὶ πλεῖον.

Σ 2516 Ἐπίπληξις: ἐπιτίμησις.

Ε 2517 Ἐπίπλους· Θουκυδίδης· ρν′ νηῶν ἐπίπλουν ἐξαρτύοντες οἱ Ἀθηναῖοι πρὸς τὸν πόλεμον.

Ε 2518 Ἐπίπλους: ἐπιβάτας. Ἀρριανός· κυβερνήτας δὲ καὶ πρωράτας μόνους ἐπίπλους εἶχον.

Σ 2519 Ἐπιπλώσας: ἐπιπλεύσας. καὶ Ἐπιπλώς, παρ' Ὁμήρῳ.

Ecl. παρὰ τὸ πλέω, πλώω, πλώσω, πλώσας, συγκοπῇ πλώς, καὶ ἐπιπλώς. ἔστι δὲ ἄκλιτον, διότι ἡ φωνὴ αὐτοῦ ἀόριστός ἐστι. τὸ δὲ σημαινόμενον παρατατικός.

Suid. 2520 Ἐπὶ πολύ.

Syn. 2521 Ἐπιπλήττω· δοτική.

Δ 2522 Ἐπίπνοια: ἐνθουσιασμός. Πολύβιος· οἱ δὲ Ῥωμαῖοι θείας Ε ἐπιπνοίας τινὸς ἐπεπλήρωντο τήν τε προθυμίαν ἀνανταγωνίστῳ σθένει φραξάμενοι.

Δ 2523 Ἐπιποθία: ἡ ἀγάπη.

Σ 2524 Ἐπιπολάζει: ἐπιπλέει.

Ε 2525 Ἐπιπολάς: τὰ ὤνια. τοὺς δὲ Ῥωμαίους θαρρεῖν συνέβαινε κρατοῦντας τοῦ περὶ τὰς Ἐπιπολὰς τόπου. ἐπιπολαστικῶς καὶ κατακόρως χρώμενοι τῇ κραυγῇ.

Σ 2526 Ἐπιπόλαια: τὰ πρὸς ὀλίγον φαινόμενα.

Phil. 2527 Ἐπιπόλαια: τὰ φαινόμενα ἔνδοξα, μὴ ὄντα δὲ ἔνδοξα, ἀλλ' ἐπιπόλαιον ἔχοντα παντελῶς τὴν φαντασίαν. ἐπιπόλαιον δέ ἐστι τὸ ἐκ βραχείας ἐπιστασίας ἐλεγχόμενον. τοιοῦτον δὲ τὸ εἶδος τῶν ἐριστικῶν προτάσεων καὶ συλλογισμῶν· οἷον τὸ τὸν ὁρῶντα ὀφθαλμοὺς ἔχειν· δι' οὗ συνάγεται, ὁ ἑτερόφθαλμος ὀφθαλμοὺς ἔχει· καὶ τό, ἃ λαλεῖς διὰ τοῦ στόματός σου διέρχεται· ὃ λαβών τις συνάγει τὸ τὴν

2514 καὶ sq. Hdt. 6, 139, 3 2516 = Ba 231, 8, Ambr. 1474 2517 ρν′ sq. Thuc. 2, 17, 4 2518 κυβερνήτας sq. Arr. Parth. fr. 59, 2 2519 — ἐπιπλεύσας = Ba 231, 9, Et. M. 363, 20, sch. Γ 47 cf. Ambr. 1656 = H et Ambr. 1584 Ἐπιπλῶς sq. cf. Et. M. 363, 20, An. Ox. 1, 142, 7 2521 = Synt. Gud. 2522 Πολύβιος fr. [44] est Th. Simoc. 5, 5, 1 cf. Byz. Zt. 21, 418 2523 = Ambr. 1494 2524 = Ba 231, 12; Ambr. 1672, H 2525 τοὺς—τόπου Polyb. 8, 37, 13. Ἐπιπολαστικῶς sq. Polyb. 4, 12, 9 2526 = Ba 231, 13 cf. sch. Luc. 214, 13 2527 Alex. Aphr. 20, 6—17

2513 cf. 1247. hinc 2480 2514 Z 813 2515 cf. 2717 2516 Z 803 2519 Z 841 2522—3 Z 803 2525 Z 803

A(GITFVM) 2513 om. ATFV 1 Ἐπίμπλατο pr.] Ἐπίμπλαντο ed. pr. ἐπίμπλαντο IM: ἐμπίπλαντο G 2515 om. TFV 2518 non nov. gl. A 12 πλώσω om. AFV 13 δὲ pr.] δὲ καὶ F 2520 om. TFV post 2515 A 18 ἀνταγωνίστῳ GIVM 22 Ἐπιπολάς A^{sc}F: Ἐπὶ πολλάς rell. 23 Ἐπιπολλὰς AGIT 26 μὴ—ἔνδοξα ex AFV 29 καὶ AFV: ἢ GIM om. Alex. τὸν] τῶν A

ἅμαξαν διὰ τοῦ στόματος διέρχεσθαι τοῦ ἅμαξαν λαλοῦντος. καί, ἃ οὐκ ἀποβέβληκας ἔχεις· τοῦτο γάρ τις λαβὼν συνάγει, ὅτι κέρατα ἔχεις, οὐκ ἀποβέβληκας γὰρ κέρατα. ὁμοίως καὶ τό, τὸν ὄψιν ἔχοντα ὁρᾶν, τὸν δὲ κοιμώμενον ὄψιν ἔχειν. τὰ γὰρ τοιαῦτα ἐπιπόλαιον ἔχει τὸ πιθανόν.

2528 Ἐπιπόλαιος· ὁ δὲ Σιλβανὸς ἐπιεικὴς μὲν ἦν καὶ τἄλλα ἱερός, ἁπλούστερος δὲ τὰ ἤθη καὶ ἐπιπόλαιος. ἀντὶ τοῦ οὐ βαθὺς τὸν τρόπον. x + Δ

2529 Ἐπιπολαίως: ἐξ ἐπιπολῆς. Ἰώσηπος· τιτρώσκει αὐτὸν ἐπιπολαίως, προεκλύσαντος τὸ βληθὲν τοῦ διαστήματος. Δ E

2530 Ἐπιπολῆς: τὸ ἐπάνω ἐπιπλέον, ἄρριζον. Σ

2531 Ἐπὶ πολλῷ: ἀντὶ τοῦ πολυπλασίως. οἱ δὲ χρόνον μέν τινα ἡσύχασαν· ἔπειτα ἐπὶ πολλῷ τὸ πάθημα σφῶν τοῖς Ῥωμαίοις ἀπέδοσαν. EL

2532 Ἐπιπόνως: χαλεπῶς. ὁ δὲ γυμνὸς ὤν, ὥρᾳ χειμῶνος ἐν ἄντρῳ ἐναυλισάμενος ἐπιπόνως, πρόβατα εὑρὼν ἀνεῖλε καὶ ταῖς δοραῖς αὐτῶν ἠμφιέσθη. E

2533 Ἐπιπραξάμενοι: ἐπὶ τοῖς προτέροις προσεπιθέντες, ἀπαιτήσαντες. οἱ Ῥωμαῖοι τοὺς Καρχηδονίους χρήματα ἐπιπραξάμενοι σπονδὰς ἀνενεώσαντο. E

2534 Ἐπιπρεπείαις: στολαῖς εὐπρεπέσιν. ὁ δὲ Ἀννίβας ὁ Καρχηδονίων στρατηγὸς κατεσκευάσατο περιθετὰς τρίχας, ἁρμοζούσας ταῖς κατὰ τὰς ὁλοσχερεῖς διαφορὰς τῶν ἡλικιῶν ἐπιπρεπείαις· καὶ ταύταις ἐχρῆτο συνεχῶς μετατιθέμενος. E

2535 Ἐπίπροσθεν· γενικῇ. ἔμπροσθεν. τιμητικώτερον. Ξενοφῶν· τὸν δὲ Κῦρον ἀφελκύσαντες ἤγον, ἐπίπροσθεν ποιούμενον τοὺς προσάγοντας, ὅτι ἑώρα τὸ πρόσωπον τοῦ πάππου ἠγριωμένον. ὅτι Πρόκλος τῆς φιλοσοφίας πάσης ἐπίπροσθεν ἦγε τὴν θεολογίαν· τῆς δὲ πρὸς ἀρετὴν ζωῆς ἐρρωμένης τὴν ἀντίστροφον πρὸς ἐκείνην εὐσέβειαν προτιμῶν ἐφαίνετο. Δ E

2536 Ἐπιπροσθεῖ: ἐπισκιάζει, ἐκ τῶν ἔμπροσθεν ὑπερανέχει. Σ

2537 Ἐπιπροσθοῦντος. Δ

2538 Ἐπίπρων καὶ Ἐνεπίπρων.

2528 ὁ—ἐπιπόλαιος Dam. fr. 223 οὐ βαθὺς cf. Ludw. 62, 28, H; Et. Gen. = Et. M. 363, 25, aliter Ambr. 1359, 1518 2529 — ἐπιπολῆς cf. Ambr. 1779 τιτρώσκει sq. Ios. Bell. 3, 236 2530 = Ba 231, 14 cf. H, sch. Greg. PG 36, 1213a 2531 οἱ sq. Cass. D. 55, 6, 3 = EL 420, 15—6 2532 ὁ sq. fort. Iambl. vel Aelian. cf. 3851 2533 Cass. D. 12, fr. 46 2534 ὁ sq. Polyb. 3, 78, 2 /2535 — γενικῇ = Synt. Gud. cf. Laur. ἔμπροσθεν = L, Gl. Dionys. PG 4, 25 (= Zon. 857) τὸν—ἠγριωμένον Xen. Cyr. 1, 4, 24 ὅτι Πρόκλος sq. Dam. fr. 80 2536 = Ba 231, 15

2528 cf. v. Σιλβανός. Z 794 2531—2 Z 856 2533 Z 841 2534 Z 803 2538 cf. 1247

6 ἱερὸς] καὶ add. GIM 7 δὲ ex A, v. Σιλβανός, Zon. 7 ἀντὶ—9/10 ἐπιπολαίως om. A (GIFVM) 10 διαστόματος A 12 πολλαπλασίως V 2538 ex A

Σ 2539 Ἐπὶ πρύμνην ἀνεκρούοντο καὶ ὤκελλον τὰς ναῦς: κατὰ πρύμναν ὑπεχώρουν οὐχὶ ἐπιστραφέντες καὶ ἐξέκλιναν τὰς ἐπιούσας τῶν πολεμίων ναῦς.

Harp. 2540 Ἐπὶ Πρυτανείῳ: δικαστήριον. ὅταν τὸ μὲν ἀποκτεῖναν βέλος ᾖ φανερὸν ἢ λίθος ἤ τι τοιοῦτον, ὁ δὲ δράσας μὴ ᾖ. ἀρχαῖον γὰρ ἔθος τὸ καὶ τὰ ἄψυχα κρίνειν, εἰ χρὴ ἐξορίζεσθαι.

Σ 2541 Ἐπὶ πυγὴν καθίσαι: ταπεινῶσαι.

Σ 2542 Ἐπὶ πυγὴν τρέχειν: εἰς τοὐπίσω τρέχειν.

Ε 2543 Ἐπιρραπίζων: κωλύων. ὁ δὲ ἤρχυνε τῇ ἀπειλῇ μόνῃ τὸ ἀκέλευστον αὐτοῦ καὶ τὸ ὑφ' ἑαυτοῦ βούλεσθαι τὴν πρᾶξιν, ἐπιρραπίζων ἄρα ἐκεῖνος.

x + Anth. 2544 Ἐπιρρέξει: θύσει. ἐν Ἐπιγράμμασι· καί σοι ἐπιρρέξει Γόργος χιμάροιο νομαίης αἷμα.

Δ 2545 Ἐπιρρεπής: ἐπικλινόμενος.

Ar. 2546 Ἐπίρρημα: παρὰ Ἀριστοφάνει μέρος τι τῆς κωμῳδίας. εἰ μετ' ὀρνίθων τις ὑμῶν, ὦ θεαταί, βούλεται διαπλέκειν, ζῶν ἡδέως τὸ λοιπόν, ὡς ἡμᾶς ἴτω. ὅσα γάρ ἐστιν ἐνθάδ' αἰσχρὰ τῷ νόμῳ κρατούμενα, ταῦτα πάντ' ἐστὶν παρ' ἡμῖν τοῖς ὄρνισι καλά. καὶ τὰ ἑξῆς δῆλα.

2547 Ἐπίρρησις: ὁ ψόγος, καὶ ἡ κατηγορία.

Σ 2548 Ἐπίρρητον: αἰσχρόν, καταγνώσεως ἄξιον. ὁ τῶν τριῶν
Ε ἐκείνων τῶν ἐπιρρήτων εἷς. ζῶν δὲ παρῄει ἐς οὐδὲν ἱερόν· ἤλαυνον γὰρ ὡς ἐπάρατον καὶ ἐπίρρητον. καὶ αὖθις· ἦν δὲ ἐπίρρητος ἐπὶ παιδερασταῖς. βιώσας βίον ἐπίρρητον καὶ βδελυρόν, οὐδεμίαν ἐπιστεύθη βασιλικῶν χρημάτων ἐξουσίαν.

Thuc. 2549 Ἐπὶ ῥητοῖς γέρασιν: ἀντὶ τοῦ ἐπὶ φανεραῖς τιμαῖς, ἐπὶ ὁμολογουμέναις.

Σ 2550 Ἐπίρροθος: βοηθός.

2551 Ἐπιρρωννύντος.

Σ 2552 Ἐπιρρώσει: ἐνισχύσει.

Δ 2553 Ἐπίρρωσις: ἡ ἐνίσχυσις.

2539 = Ba 231, 18, Et. Gen., Et. M. 363, 1 cf. v. πρύμναν; l. Hdt. 8, 84, 1 2540 Harp. = Et. Gen., Et. M. 362, 34 cf. An. Ox. 2, 495, 3, Bk. 311, 15 2541 = Ba 231, 22 2542 = Ba 231, 23 2543 ὁ sq. Aelian. fr. 261 2544 — θύσει cf. H καὶ sq. Anth. 6, 157, 3—4 2545 cf. Ludw. 100, 31, Zon. 856 2546 εἰ—καλά Ar. Av. 753—6 2547 = Orion 55, 22, Et. M. 363, 44 cf. H = L 2548 — ἄξιον = Ba 231, 17 cf. Ambr. 1361, H ὁ—εἷς Aelian. fr. 39; ζῶν—vs. 23 ἐπίρρητον Aelian. fr. 39 βιώσας sq. Aelian. fr. 112 2549 sch. Thuc. 1, 13, 1 2550 = Ba 231, 24, sch. Δ 390, L cf. Ambr. 1351, Et. Gen. = Et. M. 363, 51; H 2552 = Ba 231, 26 cf. Ambr. 1674 2553 aliter Ambr. 1452 et H

2543 Z 841 2544 cf. v. νομαία. Z 841 2546 cf. v. Δ 702 2547 Z 803 2548 ἦν—παιδερασταῖς cf. 2571 2549 Z 813 2550 Z 794

A(GIFVM) 2 ὑπερεχώρουν A 5 τι om. GIF cf. Et. 12 σοι] τοι A 13 χιμάρροιο GI cf. v. νομαία 16 ἡμῶν A 17 νόμῳ] κόμῳ A 23 ἐπάρατον] ἀπέρατον V 24 παιδαρασταῖς FVM cf. 2571 2551 om. AFV

2554 Ἐπιρρύξας: ἄγριος αὐτοῖς ἐπιπηδᾷς. Ar.

2555 Ἐπίρρυτοι: ἐχθροί. Σ

2556 Ἐπιρυγχίδα· ὅτι γαμψώνυχα ζῷα, ὅσα τῶν πτερωτῶν τὴν ἐπιρυγχίδα Suid.
γεγάμψωκεν ὑπὸ τὴν γένυν, οἷος ἐστὶν ἀετός, ἱέραξ, κεγχρῆς ἄλλα τε τὰ μὴ
πίνοντα.

2557 Ἐπίκαλος: ἀβέβαιος, εὐμετάπτωτος. ἐπικάλων τε τῶν τῆς σωτηρίας ἐλπίδων γενομένων αὐτοῖς, ἐξεχώρουν τοῦ ἄστεος. E

2558 Ἐπικάξαι: ἐπαναβῆναι. Ξενοφῶν· ἐὰν θόρυβος γένηται, δεῖ E
ἐπικάξαι τὸν ἵππον Πέρσῃ ἀνδρὶ καὶ θωρακισθέντα ἀναβῆναι ἐπὶ τὸν
ἵππον. ταῦτα δὲ πάντα χαλεπὰ ποιεῖν νύκτωρ, καὶ θορύβου ὄντος.

2559 Ἐπὶ σαυτῷ τὴν σελήνην καθέλκεις: αἱ τὴν σελήνην Prov.
καθέλκουσαι Θετταλίδες λέγονται τῶν ὀφθαλμῶν καὶ τῶν ποδῶν
στερίσκεσθαι. εἴρηται οὖν ἡ παροιμία ἐπὶ τῶν ἑαυτοῖς κακὰ ἐπισπω-
μένων.

2560 Ἐπισεῖσαι: ἐπενεγκεῖν. παρεκάλουν μὴ χαλεπώτερον αὐτοῖς E
ἐπισεῖσαι τὸν κίνδυνον. καὶ αὖθις· ἅπαντα τρόπον ἀπάτης τοῖς EL
δεομένοις ἐπισείσας. ἀντὶ τοῦ ἐπαγαγών.

2561 Ἐπισημαίνεσθαι: ἀντὶ τοῦ ἐπαινεῖν μὲν καὶ ἐπιφωνεῖν Ἰσο- Harp.
κράτης, ἀντὶ δὲ τοῦ ἐπισφραγίσαι Ἰσαῖος.

2562 Ἐπισημαινόμενος: διάφορα σημαίνει. καὶ νῦν Πολύβιος
φησί.

2563 Ἐπὶ σημείου: ἐπὶ ὕψους. Σ

2564 Ἐπισημήνασθαι: βεβαιῶσαι. ἐπισημηναμένων δὲ τῶν ἐκ Σ
τῆς Ἑλλάδος πρεσβευτῶν. ἀντὶ τοῦ κυρωσάντων. καὶ Πολύβιος· E
τίς γὰρ οὐκ ἂν ἐπισημήναιτο; ἀντὶ τοῦ ἐκπλαγείη, θαυμάσειεν. E
καὶ αὖθις· τοὺς μὲν χάρισι τοὺς δὲ κολάσεσιν, ὡς καὶ τοῖς ἄλλοις E
παράδειγμα εἶεν, ἐπισημαίνεσθαι.

2565 Ἔπισης: ἐπίρρημα.

2566 Ἐπισίξει: ποιόν τινα ἦχον ἐπιβοήσει. ἐκ τοῦ σίζω, σίτω. Δ

2567 Ἐπίσιον: τὸ αἰδοῖον τῆς γυναικός. Δ

2554 Ar. Vsp. 705 2555 = Ba 231, 25 2557 ἐπικάλων sq. Th. Simoc. 6, 5, 5 2558 ἐὰν sq. Xen. An. 3, 4, 35 2559 = Zen. IV 1 2560 ἅπαντα—ἐπισείσας Men. Prot. fr. 25, FHG 4, 231 a = EL 455, 15 2561 Harp. = An. Ox. 2, 495, 5; Isocr. 12, 2; Isae. fr. 82 2562 cf. B.-W. ad Polyb. fr. 46, Byz. Zt. 23, 26 2563 = Ba 231, 27 2564 — βεβαιῶσαι = Ba 231, 28 τίς—ἐπισημήναιτο Polyb. 9, 9, 5 τοὺς sq. Polyb. fr. 148 2567 cf. Et. M. 364, 1, H, Ambr. 1535

2556 ex v. Γ 53 2557 Z 794 = 804 2560—1 Z 842 2563 Z 813 2564 — ἐπισημηναμένων cf. v. A 4650. Polyb. 9, 9 cf. 2081. Z 842 2566 cf. v. σίζον. Z 843

1 ἐπὶ πηδᾷς A: ἐπιπηδήσας rell. 2556 om. FV 3 πτερωτῶν A v. Γ 53: A(GIFVM)
ζῴων GIM 4 γεγάμψωκεν GIM v. Γ 53: γειγάμτης A οἷα GIM ἱέρακ]
καὶ add. GIM 6 ἀμετάπτωτος V 15 Ἐπισεῖσθαι V Ἐπιπεῖσαι F 20 post
Ἐπισημαινόμενος vs. 18 ἀντὶ—19 Ἰσαῖος iterat A; glossa corrupta 24 τῆς]
τῶν A 2565 ex A 29 ἐπιβοήσειε FV ἐκ--σίτω] κατασίζω, σίσω FV
ἐκ A Zon.: ἐν GIM

Harp. 2568 Ἐπιcίτια: τὰ εἰc τροφὴν καὶ εἰc τὸ citeῖcθαι διδόμενα. ταῦτα δὲ ἐνίοτε καὶ citίον ἐκάλουν.

Δ 2569 Ἐπιcιτίζω ἀεί· αἰτιατικῇ. καὶ Ἐπιcίτιcιc.

Σ 2570 Ἐπίcιτοc: ὁ τροφῆc χάριν ἐργαζόμενοc.

Ε 2571 Ἐπιcθένηc· οὗτοc ἦν ἐπὶ Cεύθου τοῦ Θρᾳκῶν βαcιλέωc, ἐπίρρητοc ἐπὶ παιδερacτίᾳ.

Ε 2572 Ἐπιcκαλμίcι: τοῖc τῆc νηὸc μέρεcι. πτύα ὡc πλεῖcτα ταῖc ἐπιcκαλμίcιν ἐντροπωcάμενοι ἤρεττον.

2573 Ἐπιcκευάcacθαι: ἐπιφορτίcacθαι.

Synt. 2574 Ἐπιcκέψομαι· αἰτιατικῇ.

Δ 2575 Ἐπιcκήνιον.

Soph. 2576 Ἐπιcκήνουc· Cοφοκλῆc· μηδ' ἐπιcκήνους γόους δάκρυε.

Σ 2577 Ἐπιcκήπτει· δοτικῇ. ἐπιτιμᾷ. τὸν μὲν οὖν λοιμόν, καίπερ

Ε ἐπιcκήψαντα ἐc τὴν Εὔμπαcαν, διέφυγον ἄνθρωποι οὐχ ἥccους ἢ ὅcοιc

Synt. διαφθαρῆναι τετύχηκεν. τὸ δὲ παρακαλῶ αἰτιατικῇ.

Σ 2578 Ἐπίcκηψιc: δίκη κατὰ τῶν ψευδομαρτυρηcάντων.

Σ 2579 Ἐπιcκήψω: cημειώcομαι, ἐπιcτήcω τὸν νοῦν. Cοφοκλῆc·

Soph. ὑμῖν τε κοινὴν τήνδ' ἐπιcκήπτω χάριν.

Soph. 2580 Ἐπίcκιον· Cοφοκλῆc· ἄνακτα δ' αὐτὸν ὀμμάτων ἐπίcκιον χεῖρ' ἀντέχοντα κρατός, ὡc δεινοῦ τινοc φόβου φανέντοc οὐδ' ἀνacχετοῦ βλέπειν.

Ε 2581 Ἐπίcκοπα: εὔcτοχα. τὴν ἄφεcιν τῶν βελῶν κατ' ἴcον βιαίαν

Ε καὶ ἐπίcκοπα ἰέναι. καὶ αὖθιc· οἱ Καρδοῦχοι cφενδονῆται ἄριcτοι λίθοιc τε καὶ μολυβδίναιc cφαίραιc, ἃc ἑξακοντίζουcιν ἐπίcκοπα.

Soph. 2582 Ἐπίcκοπον: cημαντικόν, ἔφορον, οὐχ ἡμαρτηκὸc τῆc cυμφορᾶc, ἀλλ' ἐcτοχαcμένον. αὐδὴν γὰρ δοκῶ κλύειν βοῶνταc ἄτηc τῆcδ' ἐπίcκοπον μέλοc.

Soph. 2583 Ἐπιcκοπῶν: καθορῶν. τί μοί ποτ', ὦ ξένων, ὧδ' ἐπιcκοπῶν cτένειc.

2568 Harp. = Et. Gen., Et. M. 364, 2 cf. An. Ox. 2, 495, 7 2569 Ἐπιcιτίζω = Ambr. 1754. ἀεί + Ἐπιcίτιcιc = Ambr. 1459. αἰτιατικῇ cf. Synt. Gud. et Laur. 2570 = H v. ἐπιcίτιοc cf. sch. Pl. Rep. 420 a, Ath. 6, 246 f 2572 πτύα sq. Agath. 5, 22 p. 326 2574 cf. Synt. Gud. et Laur. 2575 = Ambr. 1544 2576 Soph. Ai. 579—80 2577 δοτικῇ cf. Synt. Laur. et Synt. Gud. p. 590 ἐπιτιμᾷ = Ba 231, 32 cf. H τὸν—τετύχηκεν Proc. h. a. 6, 22 τὸ sq. = Synt. Gud. p. 590 2578 = Bk. 255, 27, sch. Pl. Leg. 937 b 2579 — νοῦν = Ba 232, 1 cf. H ὑμῖν sq. Soph. Ai. 566 2580 Soph. OC 1650—2 2582 Soph. Ai. 975—6 c. sch.; ἔφορον cf. sch. X 255 2583 Soph. El. 1184 c. sch.

2568 Z 814 cf. 804 2569 Z 842 2570 Z 794 et 842 2571 cf. 2548 2573 Z 842 2577 Z 844 2578 cf. 2083. Z 804 2579 cf. v. A 4211. Z 842 2581 Z 814 = 856

A(GITFVM) 3 ἀεί om. GITM αἰτιατικῇ om. FV Zon. 6 παιδαραcτίᾳ GIFVM cf. 2548 7 τοῖc] ταῖc AF ποιοῖc coni. Bhd. 13 δοτικῇ om. FV 15 τὸ—αἰτιατικῇ ex GIM 19 ὀμμάτων AF: ὀνομάτων GIVM 22 et 23 Ἐπίcκοπτα V ἴcων A 24 μολιβδίναιc GIFVM 25 ἡμαρτηκὼc V ἡμαρτικὼc A 26 τῆδ' GITM

2584 Ἐπίσκοπος· οἱ παρ' Ἀθηναίων εἰς τὰς ἐπηκόους πόλεις ἐπι- Harp.
σκέψασθαι τὰ παρ' ἑκάστοις πεμπόμενοι ἐπίσκοποι καὶ φύλακες ἐκα-
λοῦντο· οὓς οἱ Λάκωνες ἁρμοστὰς ἔλεγον.
2585 Ἐπίσκοποι: ἐπόπται, κατάσκοποι. Σ
2586 Ἐπισκοπῶ σοι. Δ
2587 Ἐπισκοπῶ· αἰτιατικῇ. αἰτιατικὴ δέ. καὶ τόπους, οὓς οὐκ ἐπισκοπεῖ κύριος. Synt.
2588 Ἐπισκότησις. Δ
2589 Ἐπισκοτῶ. καὶ Ἐπισκοτεῖν· δοτικῇ. τὸ ἐπικεῖσθαί τινι Δ
καὶ ἐπιτειχίζειν τὸ φῶς.
2590 Ἐπισκύζονται: ὀργίζονται. Σ
2591 Ἐπισκύνιον: τὸ ἐπικείμενον ταῖς ὀφρύσι δέρμα. γυμνώ- Σ
σαντα βίου παντὸς ἐπισκύνιον. Anth.
2592 Ἐπισμῇ: ἐπιχρίει, ἐπιξύει. σμῆξαι δέ ἐστι τὸ τὸν ῥύπον ἀπο- Ar.
ξύσαι. οἱ δὲ μεταφορικῶς ἀπὸ τοῦ σμήχειν, οἷον ἐπιτρίβειν, σφοδρὰν
γάρ τινα τρίψιν καὶ τὴν σμῆξιν εἶναι. τάχα δὲ καὶ τὴν σμώδιγγα
εἰρῆσθαι ἀπὸ τούτου. οἱ δὲ ἐξ ἔθους γλωσσηματικὴν εἶναι τὴν λέξιν
καὶ μὴ εἶναι ἐπιτρίβειν, ἀλλὰ τύπτειν· σκώπτειν τὸ σμώχειν. ἔστι δὲ
λοιδορία· ἀπὸ τοῦ καθάπτεσθαι τῶν σμωμένων. Ἀριστοφάνης· τί γὰρ
οὗτος ἡμᾶς οὐκ ἐπισμῇ τῶν κακῶν.
2593 Ἐπίσσωτρα: οἱ κανθοί. τὰ ἐπάνω τῶν τροχῶν σίδηρα. Σ Δ
2594 Ἐπισπασάμενος: ἐφελκύσας. ὁ δὲ ἐπισπασάμενος τῆς κόμης E
τοῦτον κτείνειν ἔμελλεν.
2595 Ἐπισπαστῆρες: τῶν θυρῶν τὰ προσηλωμένα σιδήρια, δι' ὧν Σ
ἀνακλίνεται καὶ ἐπιτίθεται ἡ πύλη.
2596 Ἐπισπαστήρων: τῶν τῆς θύρας κρατημάτων. εὑρὼν προσ- E
κειμένας τὰς θύρας καὶ λαβόμενος τῶν ἐπισπαστήρων ἀπρὶξ εἶχετο,
καρτερῶς τε καὶ ἐγκρατῶς.
2597 Ἐπισπέρχει: κατεπείγει. Σ
2598 Ἐπὶ σπείρᾳ σχοινίον: ἐπὶ τῶν προσφερόντων τοῖς ἔχουσιν Prov.
ἔτι πλείονα. ἐπειδὴ καὶ αἱ σπεῖραι, ἐξ ὧν καὶ τὰ σχοινία εἰσίν.

2584 Harp. cf. Bk. 253, 24 = Et. M. 364, 38 2585 = Σ^{a} cf. sch. K 38, H, Et. Gen., Et. M. 364, 14 2586 cf. Ambr. 1716 2587 — αἰτιατικῇ = Synt. Gud. καὶ sq. cf. Prov. (bibl.) 19, 23 2589 Ἐπισκοτῶ = Ambr. 1718 2590 = Ba 232, 2 cf. H = sch. I 370; Et. M. 364, 13 2591 = Ba 232, 5 cf. Et. Gen., Et. M. 364, 6, sch. P 136, Ap. S. 74, 2 γυμνώσαντα sq. Anth. 7, 63, 2 2592 Ar. Th. 389 c. sch. 2593 — κανθοί = Ba 232, 6 cf. sch. Ε 725 = Et. M. 364, 29 τὰ sq. = Ambr. 1524, sch. Ε 725 cf. Et. Gen., Et. M. 364, 26, H, Ap. S. 74, 8 2596 εὑρὼν sq. Aelian. fr. 51 2597 = Ba 232, 3, Σ^{a} cf. sch. ε 304, H 2598 cf. Paroem. ed. Gsf. 40, n. 373

2584 cf. v. A 3979 2589 Z 842 2590 Z 844 2594 Z 842 2595 Z 795 2596 cf. v. προσκείμενοι 2598 cf. v. σπεῖραι

1 ἐπικόους IF ὑπηκόους Kust. Harp. 3 ἔλεγον] Ἐπίσκοπος, ὁ παρ' Ἀθη- A(GITFVM)
ναίων add. A 2586 om. T 5 Ἐπισκοτῶ F 2587 om. FV 6 Ἐπι-
σκοπῶ IT: Ἐπισκόπτω GM om. A αἰτιατικῇ pr.] δοτικῇ ego 8 δοτικῇ
om. AFV τὸ—9 φῶς om. A 13. 14 ἐπιξύσαι A^{ac} sch. ἀπιξυσαι A^{co}
14 σμύχειν GITM 16 γλωσσημαντικὴν GIFVM

2599 Ἐπίσπῃ: ἕψεται.

Δ 2600 Ἐπισπόμενος: ἐπακολουθῶν. Ἐπισπώμενος δὲ προσλαμβάνων καὶ ἐπισύρων.

Synt. 2601 Ἐπισπῶμαι· γενικῇ.

Ε 2602 Ἐπισταθμευόμενοι: κρίνοντες, ὑπονοοῦντες. οἱ δὲ Φωκεῖς τὰ μὲν ὑπὸ τῶν ἀπολειφθέντων Ῥωμαίων ἐν ταῖς ναυσὶν ἐπισταθμευόμενοι, τὰ δὲ τὰς ἐπιταγὰς δυσχερῶς φέροντες ἐκτασίαζον.

2603 Ἐπισταθμευόμενοι: εἰς τοὺς ἑαυτῶν οἴκους δεχόμενοι.

Ε ἐπισταθμευομένους τε ὑπ' αὐτῶν καὶ διαρπαζομένους.

Σ 2604 Ἐπίσταθμοι: ἄρχοντές τινες.

Harp. 2605 Ἐπίσταθμος· Ἰσοκράτης Πανηγυρικῷ· Ἑκατόμνος ὁ Καρίας ἐπίσταθμος. ὃς οὐδὲν ἕτερον ἦν ἢ κατὰ σατραπείαν Καρίας κύριος.

Phil. 2606 Ἐπίστασθαι: τοῦτο δύο σημαίνει, τὸ ἐπιστήμην αὐτὸς ἔχειν ἢ τὸ ἐπιστήμην αὐτοῦ εἶναι, καὶ ἑκάτερον διχῶς, ἢ καθ' ἕξιν ἢ κατὰ προχείριςιν.

Σ 2607 Ἐπιστασία: προστασία.

Σ | 2608 Ἐπίστασις: γνῶσις. Ἐπίστασις καὶ ἡ προσοχή, καὶ ἡ Ε μίμησις. Πολύβιος· ὁ δὲ Ἀσδρούβας πέφυκεν ἡμῖν ἄξιος ἐπιστάσεως εἶναι καὶ ζήλου. καὶ αὖθις· τὰ δὲ τῶν πόλεων πράγματα ἀλλοιοτέρας ἔτυχεν ἐπιστάσεως καὶ μεταβολῆς.

Δ 2609 Ἐπιστατεία.

Tact. 2610 Ἐπιστάτης: ὁ τοῦ λόχου ὀπίσω τεταγμένος, ὁ δὲ μετ' αὐτὸν πρωτοστάτης, ὁ δὲ μετὰ τοῦτον πάλιν ἐπιστάτης· ὡς εἶναι τὸν ὅλον στίχον ἐκ πρωτοστατῶν καὶ ἐπιστατῶν συγκείμενον. ἔνιοι δὲ λοχαγὸν μὲν τὸν πρωτοστάτην λέγουσι καὶ οὐραγὸν τὸν ἐπιστάτην, τοὺς ἐν μέσῳ δὲ οὐχ ὡσαύτως· ἀλλ' ἐπιστάτην μὲν τὸν μετὰ τὸν πρωτοστάτην, ἤτοι τὸν δεύτερον, τὸν δὲ τρίτον ἀπὸ τοῦ πρωτοστάτου ὑποστάτην.

Σ 2611 Ἐπιστάτης: τῶν πρυτανέων εἷς ὁ λαχὼν ἐπιστάτης ἐλέγετο. διὸ δὲ τὸν αὐτὸν ἐπιστατῆσαι οὐκ ἐξῆν. φυλάσσει δὲ τοῦ ἱεροῦ τὰς κλεῖς, ἐν ᾧ τὰ δημόσια χρήματα, ἔτι μὴν καὶ τὴν δημοσίαν σφραγῖδα.

2599 aliter sch. B 359, Ambr. 1628a, H 2600 cf. Ambr. 1560—1, 1724, L, sch. π 426, H, sch. Luc. 46, 11 2601 cf. Synt. Laur. 2602 οἱ sq. Polyb. 21, 6, 1 2604 = Ba 232, 9 cf. Bk. 253, 22, Et. M. 364, 37 2605 Harp.; Isocr. 4, 162 2606 Alex. Aphr. 380, 5—7 2607 = Ba 232, 7, Σ[a] cf. H; l. = Ambr. 1511 2608 — γνῶσις = Ba 232, 8, H ὁ—ζήλου Polyb. 11, 2, 4. τὰ sq. Polyb. fr. 149 2609 cf. L 2610 Tact. 6 2611 cf. Aristot. Ath. Pol. 44, 1, Telephus ap. Eust. O. 1827, 49, Poll. 8, 96, Lex. Patm. 13; φυλάσσει—σφραγῖδα = Et. Gen., Et. M. 364, 42

2599 Z 843 2600 Z 843 2603 Z 842 2607—8 Z 804 2610 cf. post litt. Ψ. Z 795

A(GITFVM) 2 Ἐπισπόμενος FV Ambr. 1560, sch. Hom.: Ἐπισπώμενος AT Ἐπισπάμενος GIM 5 Φωκαιεῖς Schweigh. 7 τὰ] τὰς V 9 τε] τε καὶ A 12 κυρίως GIVM 15 προχείρησιν AFV 18 πέφυκεν] πόφεν F πέφηνεν Polyb. 24 λοχαγὸν A 26. 27 πρωτοστάτην] γράφεται ss. F qui mg. γράφεται πρωστάτην 27 τοῦ om. V

ἐπειδὰν δὲ οἱ πρυτανεῖς συναγάγωσι τὴν βουλὴν ἢ τὸν δῆμον, ὁ ἐπιστάτης κληροῖ προέδρους ἐννέα, ἀπὸ φυλῆς ἑκάστης ἕνα, πλὴν τῆς πρυτανευούσης. καὶ πάλιν ἐκ τῶν ἐννέα τούτων ἐπιστάτην ἕνα κληροῖ καὶ τὸ πρᾶγμα παραδίδωσιν· αὐτὸς δὲ εἰσάγει τὴν δίκην καὶ ἐπιμελεῖται κατὰ νόμον πάντα γενέσθαι καὶ μηδὲν παραλειφθῆναι πρὸς τὸ διδαχθῆναι τοὺς δικαστάς.

2612 Ἐπιστάτης: δύο ἦσαν Ἀθήνησιν, ὧν ὁ μὲν ἐκ πρυτανέων ἐκληροῦτο, ὁ δὲ ἐκ τῶν προέδρων. ἐλέγετο δὲ καὶ ὁ ἐν τοῖς κοινοῖς ἐφεστηκὼς πράγματι ᾠτινιοῦν. Harp.

2613 Ἐπιστάτης: καὶ ἐπὶ τοῦ εἰδήμονος. ὡς ἰσχνολέσχης τῶν γραφῶν ἐπιστάτης. Πισίδης φησίν.

2614 Ἐπιστάτης: χαλκοῦς τρίπους χυτρόποδος ἐκτελῶν χρείαν. οἱ δὲ πήλινος Ἥφαιστος, πρὸς ταῖς ἑστίαις ἱδρυμένος, ὡς ἔφορος τοῦ πυρός. ἔνιοι δὲ ξύλον ἐπίμηκες πεπασσαλωμένον, ὅθεν ἐξαρτῶσι τὰ μαγειρικὰ σκεύη. Καλλίστρατος δὲ τὸ τῇ ἐσχάρᾳ ἐπιτιθέμενον ξύλον. οἱ δὲ πυριστάτην πλαττόμενόν τινα ξύλινον ἐν ταῖς ἐσχάραις, ὡς παρὰ ταῖς καμίνοις τὸν Ἥφαιστον ἀναπλάττουσιν. ἢ ξύλον κόρακας ἔχον, ἐξ οὗ κρεμῶσι τὰ μαγειρικὰ ἐργαλεῖα. οἱ δὲ τρίποδα χαλκοῦν, ᾧ ἐπιτιθέασι τὸν λέβητα καὶ ὑποκαίουσιν. οἱ δὲ ἀνδριάντα πήλινον πρὸς ταῖς ἐσχάραις. Ἀριστοφάνης Ὄρνισι· τὴν πανοπλίαν λαβόντε κρεμάσατον τύχἀγαθῇ εἰς τὸν ἰπνὸν εἴσω πλησίον τοὐπιστάτου. Ar.

2615 Ἐπιστάτης· καιρὸς γάρ, ὅσπερ ἀνδράσι μέγιστος ἔργου παντὸς ἔστ' ἐπιστάτης. ἐφ' ἑκάστου γὰρ πράγματος τὸ καίριον καὶ χρησιμώτατον ὁ καιρός ἐστιν· ὅπου καὶ τὰ σπουδαῖα παρὰ καιρὸν γινόμενα οὐκ ἀποδέχονται, ὡς ἰατρὸν τῷ κάμνοντι περὶ φύσεως τοῦ νοσήματος διαλεγόμενον· ὡς εἴ τις τοῖς μεθύουσι περὶ σωφροσύνης διαλέγοιτο. Soph.

2616 Ἐπιστάτις: θηλυκῶς. ἀρχή τις, ἥτις ἀνισταμένη συμβουλεύει περὶ πολέμου ἢ εἰρήνης ἢ ἄλλου τινός. Ἀριστοφάνης Θεσμοφοριαζούσαις· Τιμόκλει' ἐπιστάτει· Λύσιλλ' ἐγραμμάτευε. καὶ Σοφοκλῆς· ποιμνίων ἐπιστάταις. τουτέστι τοῖς κυσί. Δίων δὲ ὁ Κοκκιανὸς λέγει· οἱ δὲ ἐλέφαντες ἀχθόμενοι τοῖς πύργοις οὐδ' αὐτοὺς ἔτι τοὺς ἐπιστάτας ἔφερον. Ar. Soph. EV

2617 Ἐπιστατῶ· δοτικῇ. Synt.

2612 Harp. = Et. Gen., Et. M. 364, 41 + 43 cf. Bk. 244, 33 2613 ὡς—ἐπιστάτης Pisid. Sever. 280 2614 Ar. Av. 434—6 c. sch. cf. Ar. Byz. ap. Eust. O. 1827, 47 2615 Soph. El. 75—6 c. sch. 2616 — ἐγγραμμάτευε Ar. Th. 373—4 c. sch. ποιμνίων—κυσί Soph. Ai. 27 c. sch. οἱ sq. Cass. D. 73, 16, 3 = EV 2, 382, 13—4 2617 = Synt. Laur. et Gud., Bk. 143, 6

2615 cf. v. K 1189

2 φυλῆς ed. pr.: φυλακῆς omnes 10 καὶ ὁ ἐπὶ A 20 λαβόντε V Ar.: λαβὼντ A λαβόντα GIM; δυικόν mg. add. V 21 ἰπνὸν] φούρνον mg. add. V 22 Ἐπιστάτης om. V ὥσπερ AGIF cf. v. K 1189 A(GIFVM)

Soph. 2618 Ἐπιστέλλει: ἐντέλλεται, ὑποτίθεται. νῦν ἐπιστέλλει σαφῶς
EL τοὺς αὐτοέντας χειρὶ τιμωρεῖν τινας. ὁ δὲ στρατηγὸς τῶν Περσῶν
τοὺς λόγους δι' ἐπιστολέως εἰς βασιλέα παρέπεμψεν.
2619 Ἐπιστεφέας κρατῆρας: ὑπερχειλεῖς. οὕτω γὰρ ἐποίουν
τοὺς κρατῆρας οἱ παλαιοί, πρὸς οἰωνοῦ τιθέμενοι. ἑκάστῳ δὲ ποτή- 5
ριον παρέκειτο, καὶ μετὰ τὸ διανεῖμαι ἐπαρξάμενοι ἐκίρνων. πᾶσι δ'
ἐπαρξάμενοι, οὐ τοῖς ποτηρίοις, ἀλλὰ τοῖς ἀνδράσιν.
Σ 2620 Ἐπιστείβων: περιπατῶν.
Δ 2621 Ἐπιστείριον: τὸ τῆς νηός.
ΔΣ 2622 Ἐπίστη: ἀόριστος δεύτερος. ἀντὶ τοῦ ἐπίστασαι. ἢ ἐπι- 10
τίθει.
Σ 2623 Ἐπίστηθι: ἐπενέχθητι, ἐπιτέθητι.
2624 Ἐπιστήματα: στῆλαι ἐπιτάφιοι. ἔθαψάν τε ἐκείνους αὐτόθι,
E σεμνῶς τε καὶ σοβαρῶς ἐπιστήματα ἐπέστησαν. νεανία ἥστην, ὁ μὲν
ἤδη γενειῶν, ὁ δὲ αὐτοῖν γυμνὸς τὴν παρειὰν ἔτι. 15
Phil. 2625 Ἐπιστήμη καὶ αἴσθησις τῶν ἀνομογενῶν καὶ μὴ πολὺ διεστώ-
των· ἃ ἕτερα ἀλλήλων κατὰ γένος. τῆς μὲν γὰρ ἐπιστήμης ἡ ὑπό-
ληψις γένος, ἡ δὲ αἴσθησις οὐχ ὑπόληψις. κατὰ ἀναλογίαν μέντοι
ταὐτά ἐστιν· ὡς γὰρ αἴσθησις πρὸς αἰσθητά, οὕτως ἐπιστήμη πρὸς
ἐπιστητά, καὶ ἀμφότερα κριτικά· ἤδη γοῦν τινες διὰ τὴν ὁμοιότητα 20
αὐτῶν ταὐτὸν ἐπιστήμην τε καὶ αἴσθησιν εἶπον εἶναι. διαφέρει δὲ
ἀλλήλων· ἡ μὲν γὰρ αἴσθησις περὶ τὰ ἐνδεχόμενα ἄλλως ἔχειν,
ἐπιστήμη δὲ οὐδενὸς ἐνδεχομένου. καὶ ἡ μὲν ἐπιστήμη ἑκάστου τῆς
τῶν ἐπιστητῶν οὐσίας γνωστική, ἡ δὲ αἴσθησις οὐδενὸς τῶν αἰσθητῶν
τῆς οὐσίας ἐστὶ γνωστική. καὶ ἡ μὲν ἐπιστήμη ἐπίκτητος, ἡ δὲ ἐξ 25
ἀρχῆς. καὶ ἡ μὲν κοινὴ τῶν ἄλλων ζώων, ἡ δὲ ἴδιος ἀνθρώπων ἢ
ὅλως λογικῶν· καὶ ἡ μὲν φύσει, ἡ δὲ διδασκαλίᾳ. καὶ ἐπὶ μὲν τῆς
αἰσθήσεως προάγει ἡ ἕξις τὰς ἐνεργείας· ὁρατικοὶ γὰρ ὄντες εἴδομεν·
κατὰ δὲ τὰς ἐπιστήμας τὰς ἕξεις διὰ τῶν ἐνεργειῶν κτώμεθα·
ἐνεργοῦντες γὰρ κατὰ τὰ γραμματικὰ γραμματικοὶ γινόμεθα. καὶ 30
αἰσθήσεως μὲν ἀναιρουμένης συναναιρεῖται καὶ τὸ ζῷον· ἐπιστήμης
δὲ ἀναιρουμένης οὐκ ἀναιρεῖται τὸ ζῷον.
Suid. 2626 Ἐπιστήμη· ὅτι γεωμετρία ἐστὶν ἐπιστήμη ἐπιστητοῦ ἢ ὑποληπτοῦ.
ἐπιστητὰ γὰρ καὶ ὑποληπτὰ καὶ τὰ ὧν ἐστιν ἡ γεωμετρία ἐπιστήμη. ταύτην δὲ
τὴν ἐπιστήμην ἐφεῦρον Αἰγύπτιοι, ἐκ τοῦ ἁπλέτου τῆς γῆς καὶ τῆς διαιρέσεως 35
τῶν χωρῶν προδιδαχθέντες, εἶτα καὶ συγγράψαντες.

2618 — τινας Soph. OT 106—7 c. sch. ὁ sq. Th. Simoc. 1, 15, 13 = EL 480, 19—20 2619 Ath. 1, 13 d e 2620 = Ba 232, 10 cf. H 2621 = Ambr. 1542 2622 — δεύτερος = L ἀντὶ τοῦ ἐπίστασαι = Bk. 93, 8 cf. Et. M. 290, 39 2623 cf. Ba 232, 11 2624 — στῆλαι cf. H ἔθαψαν sq. Aelian. fr. 70 2625 Alex. Aphr. 116, 10—26

2618 Z 843 2619 Z 795 2622 Z 843 2624 cf. v. σοβαρός 2. Z 814 2220 ex v. Γ 164

A(GIFVM) 2 ὁ GFV Th.: οἱ AIM στρατηγοὶ AI cp. M 2619 non nov. gl. A 14 ἥστην] δυικόν et ἤγουν ὑπαρχέτην ss. V 15 αὐτοῖς GI 18 μέντοι] τοι F 24 ἡ—25 γνωστική om. V 26 ἰδίως A 28 γὰρ om. FV εἴδομεν] βλέπομεν F ss. GM 2626 om. FV

2627 Ἐπιστήμη· ὅτι φησὶν ὁ Ἀριστοτέλης ἐν τῇ Ἀποδεικτικῇ, κατὰ Phil.
δύο τρόπους κρίνεσθαι ἐπιστήμην ἐπιστήμης ἀκριβεστέραν. καθ' ἕνα μέν, ὅταν ἡ ἑτέρα τῆς ἑτέρας τὰς ἀρχὰς ἀποδεικνύῃ, οἷον φυσιολογία ἰατρικῆς ἀκριβεστέρα. ὡσαύτως καὶ ἡ γεωμετρία μηχανικῆς, διὰ τὴν αὐτὴν αἰτίαν ἀκριβεστέρα, καὶ ἀριθμητικὴ ἁρμονικῆς. καθ' ἕτερον δὲ λόγον ἀκριβεστέρα ἐστὶν ἐπιστήμη ἐπιστήμης, ὡς ἄϋλον ἔχουσα τὸ ὑποκείμενον· ὡς γεωμετρία ἀριθμητική τε καὶ θεολογία τῶν ὑποβαλλομένων τὰ ὑλικὰ ὑποκείμενα. διό φησι καὶ Ἀριστοτέλης ἐν τοῖς Μετὰ τὰ φυσικά, ὅτι ἡ τῶν νοητῶν θεωρία καὶ ῥᾴστη ἐστὶν καὶ χαλεπή· ῥᾴστη μὲν ὅτι περὶ ἑστώτων ἐστὶ πραγμάτων καὶ ἀεὶ ὡσαύτως ἐχόντων· φανότατα γὰρ τὰ θεῖα, ὡς ἀμετάβλητα καθάπαξ κατ' οὐσίαν, κατὰ δύναμιν, κατ' ἐνέργειαν. ῥᾴστη μὲν οὖν διὰ τοῦτο, χαλεπὴ δὲ διὰ τὴν ἡμετέραν ἀσθένειαν· οὐ γὰρ ἐξισχύομεν ἐνσώματοι καὶ ἐμπαθεῖς ὄντες εἰς τὸ ἐκείνων φῶς ἀτενίσαι, ὅπερ πάσχουσι καὶ αἱ νυκτερίδες πρὸς τὸν ἥλιον. ἐπιστήμη δέ ἐστιν ἕξις ἐν φαντασιῶν προσδέξει ἀνυποκρίτῳ. ἐπιστήμας δὲ κατὰ φιλοσοφίαν λέγει ὁ Ἀριστοτέλης τὴν φυσικήν, τὴν λογικήν, τὴν ἠθικήν, τὴν μετὰ τὰ φυσικά. ἐπιστήμη δὲ καὶ ἡ γνῶσις τοῦ πράγματος.

2628 Ἐπιστήμονος: τοῦ ἐμπείρου. Δ

2629 Ἐπίστιον: στρατιωτικὸν κατάλυμα. Ἡρόδοτος· ὁ δὲ ἀγη- Hdt.
λατέει τὰ ἐπίστια Ἀθηναίων. E

2630 Ἐπίστιος: παρὰ Ἡροδότῳ ὁ ἔποικος. Hdt.

2631 Ἐπιστολεῖς: γραμματοφόρους. ὁ δὲ Ναρσῆς ἐπιστολεῖς πρὸς E
Ἰωάννην πέμπει καὶ παρεγγυᾷ αὐτῷ, ὡς οὐ δεῖ Πέρσαις συμπλέκεσθαι, πρὶν αἱ δυνάμεις συναφθεῖεν.

2632 Ἐπιστολή: ἐντολή, ἐπίσκηψις. ὁ δὲ τῷ ἱερεῖ ἐπιστολὰς Σ
λέγει καθεύδοντι. ὁ τὰς ἐπιστολὰς τοῦ θεοῦ διαφυλάττων μέμνηται E
καλῶς καὶ τῆς πρὸς αὐτὸν ἐπανόδου.

2633 Ἐπιστολὴ Ἰουλιανοῦ τοῦ Παραβάτου πρὸς Πορφύριον Καθολικόν. πολλή τις ἦν πάνυ καὶ μεγάλη βιβλιοθήκη Γεωργίου, παντοδαπῶν μὲν φιλοσόφων, πολλῶν δὲ ὑπομνηματογράφων, οὐκ ἐλάχιστα δὲ ἐν αὐτοῖς καὶ τὰ τῶν Γαλιλαίων πολλὰ καὶ παντοδαπὰ βιβλία. πᾶσαν οὖν ἀθρόως ταύτην τὴν βιβλιοθήκην ἀναζητήσας φρόντισον εἰς Ἀντιόχειαν ἀποστεῖλαι, γινώσκων ὅτι μεγίστῃ μὲν αὐτὸς περιβληθήσῃ

2627 — vs. 15 ἥλιον Philop. 23, 17—34. vs. 15 ἐπιστήμη—16 ἀνυποκρίτῳ Laert. 7, 165. ἐπιστήμας—φυσικά Alex. Aphr. 28, 25—6 2628 l. = Ambr. 1388 2629 — κατάλυμα gl. Hdt. 5, 52 + 72 cf. H ὁ sq. Hdt. 5, 72, 1 2630 gl. Hdt. 1, 35 cf. H, sch. Ζ 265 2631 ὁ sq. Th. Simoc. 5, 8, 10 2632 — ἐπίσκηψις = Ba 232, 16, sch. Pl. Epist. 337e cf. H, sch. Soph. OC 1601 vs. 26 ὁ—27 καθεύδοντι Iambl. fr. 13*. vs. 27 ὁ sq. fort. Aelian. 2633 Iul. ep. 106

2627 fin. Z 804 2629 Z 814 2630 Z 795 2632 Z 804

1 ὁ ex V Philop. 4 ὡσαύτως—5 ἀκριβεστέρα om. A 13 ἐν σώματι F A(GIFVM) cf. Philop. 14 ἐμπαθεῖ V 20. 21 ἀγηλατεύει A 22 Ἡροδότου A cp. IM 23 Ἐπισταλεῖς A

ζημίᾳ, εἰ μὴ μετὰ πάσης ἐπιμελείας ἀνιχνεύσεως, καὶ τοὺς ὁπωσοῦν ὑπονοίας ἔχοντας ἀφῃρῆσθαι τῶν βιβλίων πᾶσι μὲν ἐλέγχοις, παντοδαποῖς δὲ ὅρκοις πλείονι δὲ τῶν οἰκετῶν βασάνῳ, πείθειν εἰ μὴ δύναιο, καταναγκάσεις ἐς μέσον πάντα προκομίσαι.

Σ 2634 Ἐπιστομιεῖν: ἐμποδίσαι, κατασχεῖν.

Synt. 2635 Ἐπιστομίζω σε.

Soph. 2636 Ἐπίστω: γίνωσκε. εὖ νῦν ἐπίστω, ταῦθ' ὅταν ζητῇς, ἐμοὶ ζητῶν ὄλεθρον.

Soph. 2637 Ἐπίστω: γίνωσκε. τὸν γὰρ Ἀλκμήνης τόκον καὶ ζῶντ' ἐπίστω καὶ κρατοῦντα. καὶ αὖθις Σοφοκλῆς· καὶ ταῦτ' ἐπίστω καὶ γράφε φρενῶν ἔσω. σὺ γὰρ νοσεῖς, τὸ δ' ἄλγος ἐκ θείας τύχης. οὐ νῦν

Ar. ἐπίστω τῶνδέ μ' αἰσχύνην ἔχειν. καὶ Ἀριστοφάνης· σύγγνωθί μοι· σκάπτειν γὰρ οὐκ ἐπίσταμαι. ἀντὶ τοῦ οὐ δύναμαι.

Synt. 2638 Ἐπιστρατεύω· δοτικῇ.

Hdt. 2639 Ἐπιστρεφέως: ἀντὶ τοῦ ἐπιμελῶς. παρὰ Ἡροδότῳ καὶ ἀπατητικῶς.

Σ 2640 Ἐπιστρέφεται· γενικῇ. φροντίδα ποιεῖ. καὶ Ἐπιστροφή,

Δ ἡ ἀντέκτισις.

Δ 2641 Ἐπιστρέφεια: ἡ ἀγχίνοια.

2642 Ἐπιστρεφής· ὁ δὲ ἀγχίνους ὢν καὶ ἐπιστρεφὴς ὅμως τι εὐπαράγωγον ἐπεδείκνυτο.

Σ 2643 Ἐπιστροφάδην: μετ' ἐπιστροφῆς, ἐφ' ἑκάτερα τὰ μέρη στρεφόμενος.

Tact. 2644 Ἐπιστροφή: ἐπειδὰν τὸ πᾶν σύνταγμα πυκνώσαντες κατὰ παρατάτην καὶ ἐπιστάτην καθάπερ ἀνδρὸς ἑνὸς σῶμα ἐπὶ δόρυ ἢ ἐπ' ἀσπίδα ἐγκλίνωμεν, καθάπερ ἐπὶ κέντρῳ τῷ λοχαγῷ παντὸς τοῦ τάγματος περιενεχθέντος, καὶ μεταλαβόντες τόπον μὲν τὸν ἔμπροσθεν, ἐπιφάνειαν δὲ τὴν ἐκ δεξιῶν, διαμενόντων ἑκάστῳ τῶν τε παραστατῶν καὶ ἐπιστατῶν.

Ε 2645 Ἐπιστροφῆς: ἀμύνης. ὁ δὲ δεινὸν ἡγεῖτο τὸ γινόμενον καὶ κοινῆς αὐτοὺς ἐπιστροφῆς ἔφη τεύξεσθαι, καὶ τοῦτο πείσεσθαι δικαίως. λέγεται δὲ ἐπιστροφὴ καὶ ἡ φροντίς. ἡ σύγκλητος πλείο-

Ε νος ἐπιστροφῆς εἶναι τὸ πρᾶγμα νομίσαντες. καὶ Ἀριστοφάνης·

2634 = Σ^a 2635 cf. Synt. Laur. et Gud. 2636 Soph. OT 658—9 c. sch. cf. Ambr. 1640 2637 — κρατοῦντα Soph. Tr. 182—3 c. sch. vs. 10 καὶ tert.— 11 τύχης Soph. Ph. 1325—7. οὐ—ἔχειν Soph. El. 616 σύγγνωθι sq. Ar. Av. 1432 c. sch. 2638 = Synt. Laur. et Gud. 2639 gl. Hdt. 1, 30 2640 γενικῇ cf. Synt. Gud. φροντίδα—ποιεῖ = Ba 232, 12 cf. H 2642 Dam. fr. 21 = Phot. Bibl. 336 b 7—8 2643 = Σ^a, Lex. rhet. ap. Et. Gen. et Et. M. 365, 5 cf. Ba 232, 14, Ap. S. 74, 17, H 2644 Tact. 35 2645 ὁ—δικαίως Polyb. 4, 4, 4 ἡ—νομίσαντες Polyb. fr. 150

2634 Z 844 2636 Z 844 2637 Ar. cf. v. οὐκ ἐπίσταμαι 2639 Z 856 2641—2 Z 804 2644 cf. post litt. Ψ. sch. B rec. in K 483 2645 Z 805

A (GITFVM) 5 Ἐπιστομεῖν A 2635 om. FV 15 Ἐπιστροφέως AGIT 18 ἀνέκτησις AF 27 μεταλαβόντος post litt. Ψ 28 διαμενόντων] διὰ μὲν τῶν A 31 τεύξασθαι GF^{ac}

μυρίαι ἐπιστροφαὶ κακῶν. ἀντὶ τοῦ συνελεύσεις, πλῆθος, καὶ συν- Soph.
αθροίσεις.

2646 Ἐπιστυγνάζω σοι· δοτικῆ. Synt.

2647 Ἐπισυνάγω· αἰτιατικῆ. Synt.

2648 Ἐπισυνήεσαν: συνηθροίζοντο. οἱ ἐξόπισθεν ἀπολελειμμένοι E
ἐπισυνήεσαν.

2649 Ἐπισύρεται: ἐφέλκεται. Σ

2650 Ἐπισύστητε: ἐπισυνάχθητε. ἐπὶ συνελεύσει, Ἐπισυνιέναι, Σ |
ἐπισυνάγεσθαι ἐγγυτέρω καὶ συνέρχεσθαι.

2651 Ἐπισφαλές: βλαβερόν, ἐπικίνδυνον. Σ

2652 Ἐπισφυρίοις: τοῖς ἐπὶ τῶν κνημίδων περιδεδεμένοις. Σ

2653 Ἐπισχερώ: ἐφεξῆς. Σ

2654 Ἐπὶ σχολῆς· ἀπραγμόνως φιλοσοφεῖν, ἀντὶ τοῦ ἐπὶ εὐκαιρίας x + Σ
ἢ ἀργίας.

2655 Ἐπισχών: κρατήσας, βραδύνας. Σοφοκλῆς· σὺ δ', ὦ τὸν Δ
αἰπὺν οὐρανὸν διφρηλατῶν ἥλιε, πατρῴαν τὴν ἐμὴν ὅταν χθόνα ἴδῃς, Soph.
ἐπισχὼν χρυσόνωτον ἡνίαν, ἄγγελον ἄτας τὰς ἐμὰς μόρον τ' ἐμὸν
γέροντι πατρί.

2656 Ἐπιτάδε: τὴν ἔνθεν. πᾶσαν τὴν ἐπιτάδε τῶν ποταμῶν τοῖς E
βαρβάροις ἄβατον κατασκήσας.

2657 Ἐπιτακτικῶς: προστακτικῶς. τοὺς δὲ πρὸς αὐτὸν πρεσβεύον- EL
τας ἐπιτακτικῶς αὐτῷ διαστέλλειν περὶ τούτων.

2658 Ἐπιτακτοί: στρατιῶται οἱ προστεταγμένοι τὴν μάχην ἐφορᾶν
καὶ τῷ πονοῦντι μέρει βοηθεῖν. Θουκυδίδης· καὶ τοὺς σκευοφόρους E
ἐντὸς τούτων τῶν ἐπιτακτῶν ἐποιήσαντο. καὶ αὖθις· Σωκράτης δὲ
ἦν ἐπιστάτης καὶ οὔτε ἐψήφιζε οὔτε κατεχειροτόνει.

2659 Ἐπὶ τὰ Μανδροβόλου: ἐπὶ τῶν εἰς τὰ χείρονα τρεπομένων. Σ
ἀπὸ Μανδροβόλου τινὸς τὸ ἐν Σάμῳ γεωφάνιον εὑρόντος καὶ πρῶ-
τον μὲν κριὸν χρυσοῦν ἀναθέντος, ἔπειτα ἀργυροῦν, ἔπειτα χαλκοῦν
ἐλάττονα, εἶτα οὐκέτι, ὡς Ἔφορος.

2660 Ἐπιτάρροθος: ὁ βοηθός. Hom.

2645 μυρίαι sq. Soph. OC 537 c. sch. praeter συνελεύσεις, quod ad Ar. Ran. 1383 rettulit Bhd. 2646 = Synt. Laur. 2647 = Synt. Gud. 2649 = Ba 232, 13 2650 — ἐπισυνάχθητε = Ba 232, 17, H 2651 = Ba 232, 18 cf. H 2652 = Ba 232, 19 2653 = Ba 232, 21, sch. Λ 667, Ap. S. 74, 21, H, Et. Gen., Et. M. 365, 14 2654 — φιλοσοφεῖν Iul. ep. 8 init. εὐκαιρίας cf. sch. Pl. Euthyphr. 6c 2655 — κρατήσας = Ambr. 1662, Zon. 844 σὺ sq. Soph. Ai. 845—9 2657 Diod. 38, 15 = EL 398, 8—9 2658 vs. 24 καὶ—25 ἐποιήσαντο Thuc. 6, 67, 1 2659 cf. Zen. III 82; FGrHist 70 fr. 59b 2660 = sch. Ε 808, Et. Gen., Et. M. 365, 30 cf. H

2648—9 Z 844 2652 Z 815 2654 cf. v. σχολή. Z 805 2655 cf. vv. Δ 1292 et AI 274 2658 Z 795. Σωκράτης sq. cf. v. Κ 1021 2659 cf. 2716

8 συνελεύσει] καὶ add. l nov. gl. ed. pr. 11 παραδεδεμένοις A 19 ποταμῶν A(GIFVM) Kust.: ποτ AF ποτὲ rell. 26 ἐψήφιζε] καὶ add. GIVM; haec ad 2611 rettulit Gsf. 27 Μανδροβούλου bis GIFVM cf. 2716 29 ἀνατιθέντος V

Synt. 2661 Ἐπιτάσσω· δοτικῇ.

E 2662 Ἐπιτάφιον· αὕτη ἡ πληγὴ καὶ τῆς ἀρετῆς αὐτῷ ἐπιτάφιον ἦν ἐγκώμιον.

2663 Ἐπιτεθῆναι.

Harp. 2664 Ἐπιτελεοῦν καὶ Ἐπιτελέωμα· ἐπιτελέωμα λέγεται τὸ ἐπὶ πᾶσι θυόμενον ὑπὲρ τοῦ τελείας γίνεσθαι τὰς πρότερον θυσίας.

Σ 2665 Ἐπιτέλλεται: ἐντέλλεται, παραγγέλλει.

2666 Ἐπιτελῆ: εἰς πέρας ἀγόμενα. ὁ δὲ ὑπέσχετο πάντα ἐπιτελῆ ποιήσειν.

E 2667 Ἐπιτεμόμενος: περικόψας. κέλευσόν με ἀποθνήσκειν ἐπιτεμόμενος τοῦ σταυροῦ τὴν περίοδον.

2668 Ἐπίτεξ ἦν ἡ γυνή: ἀντὶ τοῦ ἐν αὐτῷ τῷ κύειν.

Synt 2669 Ἐπιτέρπομαι· δοτικῇ.

Σ 2670 Ἐπιτετράφαται: ἐπιτετραμμένοι εἰσίν.

Ar. 2671 Ἐπιτέτριψαι: ποτὲ μὲν ἐπὶ ὑπερηφανίᾳ τάττεται, ποτὲ δὲ ἐπὶ κατάρᾳ. καὶ μὴν ἐπιτέτριψαί γε.

Σ 2672 Ἐπιτετυφωμένον: ἐπικεκαυμένον.

Σ 2673 Ἐπίτευγμα: ἐπιτυχία. οἱ δὲ θαυμάσαντες τὰ πλήθη τῶν EL κατοικούντων τὴν Αἴγυπτον καὶ τὰ τῶν τόπων ἐπιτεύγματα διέλαβον μεγίστην ἡγεμονίαν εἶναι.

Δ 2674 Ἐπιτεύξομαι σοῦ.

E 2675 Ἐπιτείλας: ἀνατείλας. νενικηκότας αὐτοὺς ὁ ἥλιος ἐπιτείλας ἴδῃ.

Δ 2676 Ἐπίτειλον: πρόσταξον.

Σ 2677 Ἐπιτειχίζει: ἐποικοδομεῖ.

Σ 2678 Ἐπιτειχισάντων: ἐπελθόντων.

Harp. 2679 Ἐπιτείχισμα: τὸ τειχιζόμενον κατά τινων χωρίων, ὅθεν ἦν τοὺς ἐπιτειχισθέντας κακῶς ποιεῖν. καὶ τὸ πρᾶγμα δὲ ἐπιτειχισμός. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

Ar. 2680 Ἐπίτηδες: ἐκ σπουδῆς. οὔκουν ἐπίτηδες ξυνελέγημεν. καὶ αὖθις· ὥσπερ ἐπίτηδες.

2681 Ἐπιτήδευμα: ἄσκησις, μάθησις. Ἱκανὸς ὄνομα, λῃστὴς τὸ E? ἐπιτήδευμα· ὃς ἀνεῖλεν Αἰσχύλον τὸν αὐλητὴν καὶ Στησίχορον τὸν

2661 = Synt. Gud. et Laur. 2662 Th. Simoc. 2, 6, 3 2664 Harp. = Et. Gen., Et. M. 365, 47 cf. H v. ἐπιτελέωμα 2665 = Ba 232, 27 cf. H, Apion 236, 2 2667 κέλευσόν sq. Iambl. fr. 11[e] 2669 = Synt. Laur. et Gud. 2670 = Σ[a], H, Et. Gen. cf. Ba 232, 28, Et. M. 365, 52, sch. B 25 2671 Ar. Pac. 369 c. sch. 2672 = Ba 232, 30, H cf. Moer. 196, 22 2673 — ἐπιτυχία = Ba 232, 32, H οἱ sq. Diod. 33, 28a = EL 407, 14—16 2674 cf. Synt. Laur. 2676 = Ambr. 1629 cf. H (ad Ω 112) 2677 = Ba 232, 25 cf. H 2678 = Ba 232, 26 2679 Harp. cf. An. Ox. 2, 495, 10; Dem. 18, 87 2680 — ξυνελέγημεν Ar. Eccl. 116 c. sch. ὥσπερ sq. Ar. Eq. 1135 2681 ἱκανὸς—p. 387, 1 κιθαρῳδόν fort. Aelian.

2664 Z 814 2665 Z 844 2666 Z 815 2667 Z 845 2671 Z 845 2672 cf. 2737 2673 Z 815 2675—8 Z 846 2680—1 Z 816

A(GITFVM) 2663 om. AFV 7 ἐντέλλεται om. GITM 8 ἀγάμενα A 2668 om. AFV 2674 om. T 27 χωρίον T Harp.

κιθαρῳδόν. καὶ τὸ μὲν ἐπιτήδευμα ἦν ῥήτωρ, Διοπείθης τὸ ὄνομα. E
καὶ αὖθις· ὁ δὲ ἦν τὸ ἐπιτήδευμα ἔμπορος.

2682 Ἐπιτήδευμα: τοῦ βίου ἡ διαγωγή.

2683 Ἐπιτήδευσις: πρᾶξις, καὶ σπουδή, καὶ ἐργασία. ὁ δὲ ἦν Σ
εὐτελὴς τὴν ἐπιτήδευσιν, οὐδὲν ὅτι μὴ ποιμὴν τὸ κατ' ἀρχάς.

2684 Ἐπιτηδεύω· αἰτιατικῇ. Synt.

2685 Ἐπιτήδεια: τὰ πρὸς τροφὴν ἁρμόδια. ἐσθῆτας δὲ καὶ τὰ
ἐπιτήδεια ἔκπλεα παρεῖχεν. Ξενοφῶν· τὰ ἐπιτήδεια ἄφθονα E
παρῆν. Ἀρριανός· οὐδὲν ἄλλο εἰ μὴ τὰ ἐπιτήδεια τῆς δικαίας τιμῆς E
λαμβάνοντας.

2686 Ἐπιτηδειέστερος· καὶ γὰρ ὁ Μιθριδάτης τά τε ἄλλα ἔνδι- E
κος βασιλεὺς ἦν καὶ Ῥωμαίοις ἐπιτηδειέστερος.

2687 Ἐπιτήδειος: φίλος, εὔνους. ἁρμόδιος. Ξενοφῶν· ὁ δὲ Σ Δ
βακτηρίαν ἔχων, εἴ τις αὐτῷ δοκοίη βλακεύειν, ἐκλεγόμενος τὸν ἐπι- E
τήδειον ἔπαιεν ἄν.

2688 Ἐπιτήδειος· παρὰ τὸ δέος, ὃ σημαίνει τὸν φόβον, ἄδεος, Ecl.
πλεονασμῷ τοῦ ι ἄδειος, ὁ ἐστερημένος τοῦ φοβεῖσθαι· ἐκτάσει τοῦ α
εἰς η καὶ πλεονασμῷ τοῦ τ, μετὰ τῆς ἐπὶ προθέσεως ἐπιτήδειος.

2689 Ἐπιτηδείως: ἐπιρρηματικῶς. Δ

2690 Ἐπιτίθεμαι· δοτικῇ. Synt.

2691 Ἐπιτήθη: ἡ τῆς τήθης μήτηρ, ὥστε εἶναι τὴν μὲν τήθην Σ
μητρὸς ἢ πατρὸς μητέρα, τὴν δὲ ἐπιτήθην τὴν τοῦ πατρὸς μητέρα
καὶ τῆς μητρὸς μητέρα. οὕτως Ἰκαΐος ἐν τῷ πρὸς Δωρόθεον.

2692 Ἐπιτίθης: περαίνεις. ἐπεὶ καὶ σὺ τῶν σῶν ὑπηκόων τοῖς τι E?
θανάτου ἄξιον ἐξεργασαμένοις, αὐτὸς ἐπιτίθης τὴν δίκην.

2693 Ἐπιτίθησιν: ἀποπέμπει. Δαμάσκιος· καὶ δὴ γραψάμενος
ἐπιστολὴν πρὸς τοὺς ἐν Καρίᾳ δύο φιλοσόφους ἐπιτίθησιν.

2694 Ἐπιτιμήδης: ὄνομα κύριον. Suid.

2695 Ἐπιτίμησις: παρὰ Ἀριστοτέλει ε′ εἰσί. λέγει γάρ, ὅτι μὴ αἱ Phil.
αὐταὶ ἐπιτιμήσεις ἐξεταζομένῳ λόγῳ καὶ ἐρωτωμένῳ. πρώτη δέ ἐστιν,
ὅταν ἐκ τῶν ἠρωτημένων μηδὲν συμπεραίνηται, μήτε τὸ προκείμενον

2681 καὶ τὸ — ὄνομα Aelian. fr. 22. ὁ sq. Aelian. fr. 71 2683 — ἐργασία = Ba 232, 33 ὁ sq. cf. Eutrop. 75 2684 = Synt. Gud. 2685 Ξενοφῶν? οὐδὲν sq. Arr. fr. Parth. vel Exc. 16 2686 Arr. Parth. attributa p. 18 R. 2687 — εὔνους = Ba 232, 31; — φίλος = Et. Gen., Et. M. 366, 16, H cf. sch. Thuc. 4, 78, 1 l. = Ambr. 1420. ἁρμόδιος cf. H v. ἐπιτηδείως ὁ sq. Xen. An. 2, 3, 11 2688 cf. Choer. Epim. Ps. 113, 13, ex quo Et. Gud. et Et. M. 366, 29 2689 = Ambr. 1794 2690 = Synt. Gud. cf. sch. Luc. 2, 14 2691 — μητέρα tert. = Lex. rhet. in Et. M. 366, 11, Et. Gen. (ex Aristoph. Byz. Jb. Suppl. 12, 321) Isae. fr. 35 2692 ἐπεὶ sq. fort. Arr. Parth. cf. fr. 40 2693 καὶ sq. Dam. fr. 263 2695 Alex. Aphr. 567, 7—568, 25

2682 Z 816 2683 Z 805 2685 ἐσθῆτας—παρεῖχεν cf. 575 2687 cf. v. B 316 2688 Z 795 2692 Z 846 2693 Z 847 2694 ex v. A 3903

8 τὰ] καὶ τὰ GI 9 εἰ F: ἢ rell. 19 ἐπιρρηματικόν V cp. A 21 ὥστε] A(GIFVM) ὡς τὸ A 23 τῆς] τὴν τῆς GI 24 περαίνης AI 25 ἐργασαμένοις IV 2693 non nov. gl. AV 2694 om. AFV

μήτ' ἄλλο τι, τουτέστιν ἂν ἀσυλλόγιστον ᾖ, καὶ ἔτι ψευδεῖς ὦσιν αἱ κείμεναι προτάσεις ἢ ἄδοξοι, ἐφ' αἷς ἐπιφέρει τὸ συμπέρασμα. τοιοῦτος γὰρ ὁ λέγων· τὸ παρὰ τὸ ὄν, οὐκ ὄν, τὸ οὐκ ὂν οὐδέν, ἓν ἄρα τὸ ὄν· οὐ γὰρ τοῦτο συνάγεται. οὗτος μὲν οὐ δοκεῖ τὸ προκείμενον συνάγειν, ἀλλ' ἄλλο τι συνάγει συλλογιστικῶς· τὸ γὰρ παρὰ τὸ μὴ ὂν οὐδέν. ἕτερος δὲ λέγει· εἰ τὸ γενόμενον ἀρχὴν ἔχει, τὸ μὴ γινόμενον οὐκ ἔχει· ἀλλὰ μὴν τὸ γενόμενον ἀρχὴν ἔχει· οὔτε τὸ προκείμενον οὔτ' ἄλλο τι συλλογίζεται πρὸς τῷ καὶ τὰ λαμβανόμενα ψευδῆ τε καὶ ἄδοξα λαμβάνειν. δευτέραν τίθησιν ἐπιτίμησιν, εἰ αἱ μὲν προτάσεις συλλογιστικῶς εἶεν κείμεναι καὶ ὁ λόγος εἴη συλλογιζόμενός τι, μὴ μέντοι τὸ προκείμενον, ἀλλ' ἄλλο τι. τρίτη ἐπιτίμησις, εἰ προστιθέμενά τινα συνάγει τὸ προκείμενον συλλογιστικῶς, τὸ μέντοι προτιθέμενον χεῖρόν τε εἴη τῶν κειμένων καὶ ἠρωτημένων καὶ ἧττον ἔνδοξον τοῦ συμπεράσματος. τετάρτη ἐπιτίμησις, ἂν ἀφαιροῦμεν ἀπὸ τοῦ λόγου ἐκ τῶν λειπομένων συνάγεται συλλογιστικῶς, ὃ ἔχουσιν οἱ παρέλκοντες λόγοι. πέμπτη ἐπιτίμησίς φησιν εἶναι, εἰ ἐξ ἀδοξοτάτων καὶ ἧττον πιστῶν τοῦ συμπεράσματος ὁ λόγος εἴη ἢ ἐξ ἀληθῶν μέν, χαλεπωτέρων δὲ δειχθῆναι τοῦ προβλήματος.

Ps. 2696 Ἐπιτίμησις: ἀποστροφή.

Harp. 2697 Ἐπιτιμητάς· τιμηταὶ μὲν οἱ πρῶτόν τι ἐκαλοῦντο τιμώμενοι, ἐπιτιμηταὶ δὲ οἱ χρόνῳ ὕστερον τὰ αὐτὰ τιμώμενοι.

Σ 2698 Ἐπιτιμία: εὐπορία, ἢ ἡ μὴ ἀτιμία. Κέφαλος ῥήτωρ· ὁσάκις αὐτὸν κινδυνεύοντα περὶ τῆς ἐπιτιμίας ἢ τῆς πατρίδος ἢ τοῦ βίου παντὸς διεσώσατε;

Soph. 2699 Ἐπιτίμια: τὰ ἐπὶ τιμῇ τινος γινόμενα. Σοφοκλῆς· ἀλλ' ἔστ' Ὀρέστου ταῦτα τἀπιτίμια.

Soph. 2700 Ἐπιτίμια: οἱ μισθοί. Σοφοκλῆς· γενοῦ πρόφρων ἡμῖν ἀρωγὸς τῶνδε τῶν βουλευμάτων καὶ δεῖξον ἀνθρώποισι τἀπιτίμια. τουτέστιν τοὺς μισθούς.

Σ 2701 Ἐπίτιμον: πλούσιον· ἢ τὸν μὴ ἄτιμον. Λουκιανός· ἡ βουλὴ δὲ ἐπικλασθεῖσα πρὸς αὐτὸν ἀφίησι τῷ Μενεκράτει τὴν καταδίκην, καὶ
E ἤδη ἐπίτιμός ἐστιν. τούς τε δούλους ἐλευθέρους καὶ τοὺς ἀτίμους ἐπιτίμους καὶ τοὺς μετοίκους πολίτας καὶ τοὺς ὀφείλοντας ἀφεῖσθαι ἐψηφίσαντο.

2696 = An. Ox. 2, 440, 28 2697 Harp. = Et. Gen., Et. M. 366, 41 cf. An. Ox. 2, 495, 8 2698 = Et. Gen., Et. M. 366, 37, Σ^{a}, Ba 233, 9 2699 Soph. El. 915 c. sch. 2700 γενοῦ sq. Soph. El. 1380—2 c. sch. 2701 — vs. 32 ἐστιν = Σ^{a}, Ba 233, 1 cf. Lex. rhet. in Et. Gen. et Et. M. 366, 33, H; Lucian. Tox. 26

2697 Z 795 2700 cf. v. τἀπιτίμια 2701 Z 796

3 παρὰ] περὶ A 6 λέγει GIM Alex.: λόγος AF cp. V 7 γενόμενον] A(GIFVM) γινόμενον A 8 τῷ] τὸ AF 12 μέντοι GIF Alex.: μέν τι AVM 16 εἰ om. GI ἀδοξοτάτων GIM: ἀδοξότατα V ἀδοξότητα $A^{cp}F$ 2696 om. FV mg. A 22 ῥήτωρ om. FV Et. Σ^{a} Ba 23 περὶ] παρὰ A 24 διεσώσατο GIM, v. l. Et. 31 Μενεκράτει V Σ^{a} Et.: Μενεκράτη rell. Ba

2702 Ἐπίτιμος: ὁ τετιμημένος, καὶ οὐκ ἄτιμος.

2703 Ἐπιτιμῶσα· τοῖς μὲν ἐρασθεῖσιν ὡς ἑταίρα συνῆν ἀδροὺς Ε?
αἰτοῦσα τοὺς μισθούς, ἐπιτιμῶσα τὴν ὑπὲρ τῆς ὁμιλίας αἴτησιν, διὰ τὸ
μὴ ἐξεῖναι δρᾶν ἐμφανῶς ἃ ἐθέλει. βαρύνουσα τὴν τιμήν.

2704 Ἐπιτιμῶ· δοτική. Synt.

2705 Ἐπιτίτθιον· ὑπομάζιον, ὑπὸ τὴν τροφόν. Σ

2706 Ἐπιτοαυτό: ἐπίρρημα. Δ

2707 Ἐπίτιτθον: τὸ ὑπὸ τὴν τροφόν. Σ

2708 Ἐπιτολῆς: ἀνατολῆς, φάνσεως ἄστρου. Σ

2709 Ἐπιτολμῆσαι· δοτική. ἐπιβουλεύσασθαι. καὶ ἀναπείθει ἐπι- Ε
τολμῆσαι τῷ Λυκίδῃ καὶ τῷ Σωσιβίῳ, ἐπαίρει δὲ ἅτε φορτηγοὺς τοιοῦ-
τος ῥᾳστά τε ἀναπείθει, καὶ νυκτὸς γενομένης ἀκράτου.

2710 Ἐπίτομος. Δ

2711 Ἐπιτομώτατον: τὸ συντομώτερον. Δ

2712 Ἐπίττον: ἠσέλγουν, κατεφίλουν. πιττοῦν δέ ἐστι κυρίως τὸ Ar.
τὰς πλατείας ναῦς πίττῃ χρίειν· ἔνθεν οὖν μετήνεκται ἡ λέξις. ἢ
ἀντὶ τοῦ ἐκίνουν, συνῆλθον. Ἀριστοφάνης Πλούτῳ· ἱκανὸν γὰρ αὐτὴν
πρότερον ἐπίττον χρόνον. Ἔπιτον δὲ δι' ἑνὸς τ, ἐπέρχεσθε, ἐπιπο-
ρεύεσθε. λέγετον, ἔπιτον. Ἀριστοφάνης Βατράχοις.

2713 Ἐπίτονος: ὁ δεσμεύων ἱμὰς πρὸς τὸν ἱστὸν τὸ κέρας. Σ

2714 Ἐπίτονος: Ἀριστοφάνης ἐπὶ ἐπιτόνου. γελοῖον δὲ ἐπὶ δέρμα- Ar.
τος. καὶ Ὅμηρος· ἐπίτονος βέβλητο.

2715 Ἐπιτοπίζω· κατοικίζω. Δ|

2716 Ἐπὶ τοῦ Μανδραβούλου: ἐπὶ τοῦ κατὰ τὸ χεῖρον προ- Prov.
κόπτοντος. ὁ γὰρ Μανδράβουλος θησαυρὸν εὑρὼν τῷ πρώτῳ χρόνῳ
πρόβατον χρυσοῦν ἀνέθηκε τῇ Ἥρᾳ, τῷ δὲ β' ἀργυροῦν καὶ τῷ γ'
χαλκοῦν.

2717 Ἐπὶ τὸ πλεῖστον.

2718 Ἐπιτωθάζων: ἐπιλοιδορούμενος, ἢ ἐπεμβαίνων, ἢ καυχώ- Σ
μενος, ἢ χλευάζων.

2703 τοῖς—ἐθέλει fort. Aelian. 2704 = Synt. Laur. et Gud. 2705 = Σ^{a}, Ba 233, 12 2706 cf. Ambr. 1780a 2707 cf. Σ^{a} 2708 = Ba 233, 13 cf. Ambr. 1448, H, Lex. Cant. 2709 δοτική cf. Synt. Laur. et Gud. καὶ ἀνα-πείθει sq. Aelian. fr. 262 2711 cf. sch. Luc. 259, 26; l. = L 2712 — χρόνον Ar. Pl. 1093 c. sch. Ἔπιτον sq. Ar. Ran. 1106 c. sch. 2713 = Ba 233, 14, Ap. S. 74, 30 cf. sch. μ 423, H 2714 sch. Ar. Lys. 923; μ 423 2715 l. = L 2716 cf. Zen. III 82 2718 = Ba 233, 19 cf. sch. Pl. Ax. 364b, H

2705 cf. v. ὀρθοτίτθιος 2709 Z 847 2712 Z 847 2713 Z 796 2716 cf. 2659 2717 cf. 2515 2718 Z 847

6 Ἐπιτίθιον A 2706 om. TFV; extra ord. 2707—11 ex A 8 Ἐπί- A (GITFVM)
τιτθον Port. Ba 233, 12, Zon.: Ἐπίτητθον A Ἐπίτθον Σ^{a} 10 δοτική om. Zon.
11 Σωσιβίῳ Bhd.: Σώς A Σώσιν Zon. ἅτε post vs. 12 ἀναπείθει transp. Bhd.
11. 12 τοιούτους Kust. 2710 nov. gl. Ald., non A 2712 non nov. gl. VM
15 Ἐπίττουν cett. Zon., sed contra ord. 18 χρόνον—19 ἔπιτον om. A
23 κατοικίζω om. FV 24 Μανδραβόλου A cf. 2659 2717 om. TFV post 2718 GIM

2719 Ἐπὶ τῶν ὑποκειμένων: ἐπὶ τῶν φθαράντων γενέσθαι.
Ε πρέσβεις δὲ ἔπεμπεν διασαφοῦντας, Πόπλιον μὲν εὐδοκεῖν τὴν εἰρήνην, τοὺς δὲ ἐν τῷ συνεδρίῳ διαφέρεσθαι καὶ φάναι διαμένειν ἐπὶ τῶν ὑποκειμένων. ἐνεστώτων.
Δ 2720 Ἐπιτραπέζια διηγήματα.
Σ 2721 Ἐπιτραπεζώματα: τὰ ἐπιτιθέμενα τῇ τραπέζῃ βρώματα.
Δ 2722 Ἐπιτραχήλιος κόσμος.
2723 Ἐπιτρέπει· δοτικῇ· χαρίζεται, παραδίδωσιν. ὁ δὲ τῆς ἐμῆς κατραπείας φυγάδα ἐλαύνει καὶ τούτῳ ἐπιτρέπει.
Harp. 2724 Ἐπιτρέπειν τοῖς οἰκείοις: Δημοσθένης ἀντὶ τοῦ δικαστὰς αὐτοὺς αἱρεῖσθαι, Λυσίας δὲ ἐπέτρεψεν ἀνδράσιν εἶπεν, ἀντὶ τοῦ ἐπιτρόπους κατέστησεν.
2725 Ἐπιτρέχειν· δοτικῇ· τοῦ ἀποτρέχειν διαφέρει.
2726 Ἐπιτρέχειν τοῦ ἐπιδιώκειν διαφέρει. ἐπιτρέχει μὲν γάρ τις τῷ μὴ φεύγοντι, διώκει δὲ τὸν φεύγοντα. ἔστι δὲ τὸ διώκειν οἷον ἐλαύνειν. ἔνθεν καὶ ὑποδιώκειν λέγεται.
Σ 2727 Ἐπιτριβείη: ἐντριβὴς γένοιτο, ἔμπειρος ὑπάρξοι, ἢ παρορμηθείη. σημαίνει δὲ καὶ ἀπολεσθείη.
Σ 2728 Ἐπιτριβόμενοι: ἐπερχόμενοι.
Ar. 2729 Ἐπίτριπτος: ὁ ἐπιτριβῆναι ἄξιος.
Harp. 2730 Ἐπιτρίταις· Ἰσαῖος ἐν τῷ κατὰ Καλλιφῶντος· ἑξακοσίαις δραχμαῖς ἐπιτρίταις. ἀντὶ τοῦ ἐπὶ η′ ὀβολοῖς· κατὰ τὸ τρίτον εἶναι μερίδα τοὺς η′ ὀβολοὺς τοῦ τετραδράχμου.
Σ 2731 Ἐπιτρῖψαι· αἰτιατικῇ. ἀπολέσαι. καὶ Ἐπιτρίψεις, συντρίψεις.
Ps.
Δ 2732 Ἐπιτροπή: παρατροπή. ὁ δὲ Λεύκιος προχειριζόμενος διαΕ πέμπεσθαι πρὸς τοὺς Λαπατηνοὺς καὶ λαλεῖν ὑπὲρ ἐπιτροπῆς ἀπαράσκευος ἦν εἰς τὸ μέλλον.
Synt. 2733 Ἐπιτροπεύω· γενικῇ. αἰτιατικῇ δέ· καὶ ἐπετρόπευσε μὲν τὸν υἱὸν Ἀλεξάνδρου τὸν Ἡρακλέους κληθέντα.

2719 πρέσβεις—ὑποκειμένων Polyb. 14, 2, 11 2720 = Ambr. 1547; Basil. PG 29, 164 B 2721 = Et. Gen., Et. M. 366, 52, Ath. 4, 170 e; 14, 641 b = H 2723 δοτικῇ cf. Synt. Laur. 2724 Harp.; Dem. 27, 1; Lys. fr. 63 2725 δοτικῇ cf. Synt. Gud. 2727 — παρορμηθείη = Σ^a, Ba 233, 7 ἀπολεσθείη ad Ar. Th. 557 rettulit Gsf. 2728 = Ba 233, 16 2729 = sch. Vict. Ar. Pl. 275 cf. Ba 233, 5—6 = Σ^a, sch. Luc. 63, 12; sch. Ar. Pl. 619 2730 Harp. = Et. Gen., Et. M. 366, 53 cf. Bk. 253, 13; Isae. fr. 79 2731 αἰτιατικῇ cl. Synt. Gud. ἀπολέσαι = Ba 233, 6 Ἐπιτρίψεις sq. = H (in Ps. 92, 3) 2732 ὁ sq. Polyb. fr. 151 2733 — αἰτιατικῇ cf. Synt. Laur., Bk. 145, 27; — γενικῇ = Synt. Gud.

2719 Z 818 2721 Z 816 2723—4 Z 847 2725 cf. v. A 3612 2726—8 Z 848 2732 Z 805

A(GIFVM) 2 ἔπεμπον GIFVM 6 βρώματα] ἐπιτραπεζώματα add. A 9 τούτων F^{pc} 10 δικαστὰς—11 τοῦ om. A 2725 om. FV 14 ἀποδιώκειν A 15 μὴ om. V 17 ἔμπυρος GIVM 18 δὲ om. A καὶ] τὸ add. F 21 Ἰσαῖος ex A Harp. Et. 22 et 23 η′] ν′ A 22 τρίτον GIM Harp. Et.: τρίτην AFV 24 αἰτιατικῇ om. FV καὶ—συντρίψεις om. AFV 2733 om. FV post 2734 A 29 αἰτιατικῇ δέ om. A 30 βληθέντα GIM

2734 Ἐπιτροχάδην: ἐπειγμένως, ὥσπερ τρέχων. ἢ κεφαλαιωδῶς, Σ
ταχέως. κόραξ ἐπιτρόχως φθεγγόμενος χειμῶνα σημαίνει.
2735 Ἐπὶ τροχοῦ δεῖ c' ἐκεῖ cτρεβλούμενον εἰπεῖν ἃ Ar.
πεπανούργηκας· Ἀριστοφάνης Πλούτῳ. παροιμία ἐπὶ τῶν πονη-
ρῶν. τροχὸς γάρ τις ἦν ἐν Ἀθήναις, ἐν ᾧ δεσμούμενοι οἱ οἰκέται
ἐκολάζοντο.
2736 Ἐπιτυχοῦcιν: εὐτελέσι. περὶ ὑπάτων μὴ ῥᾳθύμως σκοπεῖν, E
ὡς οὐ τοῖς ἐπιτυχοῦσι δέον ἐγχειρίσαι τὴν ἀρχήν, τοσούτων περιεστη-
κότων κινδύνων τὴν πόλιν.
2737 Ἐπιτυφῇ: ἐπικαῇ, ἐκπυρωθῇ. οὕτως Ἀριστοφάνης. ὅπως Σ
ἂν ἀνὴρ ἐπιτυφῇ μάλιστά μου. ἐπικαυθῇ ἐπ' ἐμοί. Ar.
2738 Ἐπιτυγχάνω· γενικῇ. Synt.
2739 Ἐπιφάνεια· ἐπιφάνεια ἐστὶ cώματος πέρας, ἢ τὸ μῆκος καὶ Phil.
πλάτος μόνον ἔχον, βάθος δὲ οὔ. αὐτὴ δὲ κατ' ἐπίνοιαν καὶ καθ'
ὑπόcταcιν λέγεται. Ἐπιφάνεια δὲ καὶ ἡ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ
Χριστοῦ ἔνcαρκος οἰκονομία.
2740 Ἐπιφάνιον καὶ τὰ Ἐπιφάνια. Δ
2741 Ἐπιφάνιος, Οὐλπιανοῦ, Πετραῖος, σοφιστής· παιδεύcας ἔν τε Hesy.
αὐτῇ καὶ ἐν Ἀθήναις. ἔγραψε Περὶ κοινωνίας καὶ διαφορᾶς τῶν
στάσεων, προγυμνάσματα, μελέτας, Δημάρχους, Πολεμαρχικόν, λόγους
ἐπιδεικτικούς· καί τινα cύμμικτα θεωρήματα.
2742 Ἐπιφάνιος, Κωνcταντείας τῆς Κύπρου ἐπίcκοπος, τῆς πρότε- Hesy.
ρον Cαλαμίνης. ἔγραψε κατὰ πacῶν τῶν αἱρέcεων λόγους, ἃ Πανάρια
λέγονται, καὶ ἕτερα πολλά· ἅτινα παρὰ μὲν τῶν πεπαιδευμένων διὰ
τὰ πράγματα, παρὰ δὲ τῶν ἰδιωτῶν διὰ τὰ ῥήματα ἀναγινώcκεται.
τελευτᾷ ἐcχατόγηρως.
2743 Ἐπιφάνιος, ἐπίcκοπος Ὀλυβρίας. ἔγραψε λόγον ἀντιρρητι- Hesy.
κὸν κατὰ εἰκονοκαυτῶν, λίαν ὠφέλιμον.
2744 Ἐπιφάνιος καὶ Εὐπρέπιος ἐγενέcθην Ἀλεξανδρεῖς τὸ γένος
ἀμφότεροι καὶ τῶν παρὰ Ἀλεξανδρεῦcι τελετῶν νομιζομένων δαημονέ-
cτατοι, τῶν μὲν Περcικῶν καλουμένων ὁ Εὐπρέπιος ἐξάρχων, τῶν δὲ
ἀμφὶ τὸν Ὄcιριν ὁ Ἐπιφάνιος. οὐ μόνον δέ, ἀλλὰ καὶ τῶν τοῦ

2734 — ταχέως = Ba 233, 17 cf. Et. Gen., Et. M. 367, 2; ταχέως = H κόραξ sq. Aelian. h. a. 7, 7 2735 Ar. Pl. 875 c. sch. 2736 περὶ sq. fort. Polyb. 2737 — ἐκπυρωθῇ cf. H, sch. Ar. Lys. 221 ὅπως sq. Ar. Lys. 221 c. sch. 2738 = Synt. Laur. et Gud. 2739 — λέγεται Laert. 7, 135. vs. 15 Ἐπιφάνεια sq. cf. Io. Dam. PG 94, 628a 2742 cf. Hieron. vir. ill. 122 2744 Dam. fr. 51

2735 cf. v. τροχιcθεῖca 2737 cf. 2072. Z 848 2739 Z 805 cf. 817 2744 cf. vv. Δ 10 et Ε 2233

5 Ἀθήναις AF: Ἀθήνηcιν GI cp. VM οἱ om. FVM 13 ἐπιφάνεια alt. A(GITFVM) om. GITM 15 λέγεται F: λέγει GV cp. AIM 20 Δημάρχους] Δημαρχικὸν vel Δημαρχικοὺς coni. Kust. Δημηγορίας Bhd. Πολεμαρχικῶν A 27 Ὀλυβρίας A: Cηλυβρίας Ὀλυβρίας GIFVM Cηλυβρίας T Cηλυβρίας ἢ Ὄ. ed. pr. 32 καὶ ex A

Αἰῶνος ὑμνουμένου θεοῦ· ὃν ἔχων εἰπεῖν ὅστις ἐστίν, ὅμως οὐ γράφω κατά γε τὴν παροῦσαν ταύτην ὁρμήν. ὁ δὲ Ἐπιφάνιος ἐξηγεῖτο καὶ τῶνδε τῶν ἱερῶν. οὗτοι μέντοι οἱ ἄνδρες οὐκ ἐγένοντο μὲν ἐπὶ τῆς ἀρχαιοπρεποῦς πολιτείας, τοῖς δὲ γενομένοις ἐπιβεβήκασι καὶ ἐνέτυχον, καὶ παρ' ἐκείνων ὠφεληθέντες, ἔπειτα τοῖς καθ' ἑαυτοὺς ἐγένοντο πολλῶν ἀγαθῶν ἡγεμόνες, τῶν τε ἄλλων καὶ παλαιῶν διηγμάτων πολύφωνοι κήρυκες. Δαμάσκιος.

2745 Ἐπίφασις: δήλωσις, ἔνδειξις. οἱ δὲ ἦκον μετὰ παιανισμοῦ καὶ στεφάνων καὶ τῆς τῶν νικώντων ἐπιφάσεως.

2746 Ἐπίφασις. διὰ τὸ πολλὴν ἐπίφασιν γενέσθαι τῆς εὐδαιμονίας περί τε τοὺς κατ' ἰδίαν βίους καὶ περὶ τὰ κοινά, τῶν ἐκ Μακεδονίας μετακομισθεισῶν εἰς τὴν Ῥώμην χορηγιῶν. καὶ αὖθις· κατὰ μὲν τὴν ἐπίφασιν ἐποίει τινά· τῇ δὲ ἀληθείᾳ περὶ τὰς παρασκευὰς εἶχεν.

2747 Ἐπιφαίνεται ὑψόθεν· Ὑποφαίνεται δὲ χαμόθεν.

Suid. 2748 Ἐπιφθασάμενον· λέγουσι τὴν αἶγα τὴν Διὸς τροφὸν κατηστερίσθαι. καί φασι τὸν ἐπιφθασάμενον ἐπιτέλλουσαν αὐτὴν ἐπιτυγχάνειν ὅσα ἂν εὔξηται.

2749 Ἐπιφέρειν: κατηγορεῖν, διασύρειν. ἄλλο μὲν οὐδὲν ἐπιφέρειν ἔχων, ὅτι δὲ εὔνους εἴη Ῥωμαίοις.

Hdt. 2750 Ἐπιφορήματα: παρὰ Ἡροδότῳ τραγήματα.

Σ 2751 Ἐπιφοραῖς: καταδίκαις. οἱ δὲ πεισθέντες καὶ παραδόντες ἑαυτοὺς εἰς τὴν ἐπιφορὰν τῶν πολεμίων ἀπέθανον γενναίως. ἀντὶ τοῦ τὴν ἐπέλευσιν.

2752 Ἐπίφορος: ὁρμητικός. οὐδὲ πρὸς ἀδικίαν ἢ πλεονεξίαν ἐπίφορος ἦν, προσκρουστικὸς δὲ καὶ ἀμιλλητικὸς πρὸς τοὺς ἄρχοντας.

Syat. 2753 Ἐπιφωνῶ· δοτικῇ.

2754 Ἐπιφρασθείς: ἐνθυμηθείς, διαλογισάμενος. Ἀρριανός· ὁ δὲ Νέαρχος ἐπιφρασθείς, ὅτι σπείρεσθαι τὴν χώραν εἰκός, λέγει πρὸς Ἀρχίδαν, καταληπτέα σφίσιν εἴη τὸ χωρίον.

Σ | 2755 Ἐπιφροσύνη: συνέσει. φρονήσει.

Σ 2756 Ἐπίφρων: συνετός.

Σ 2757 Ἐπιφοιτᾷ: παραγίνεται.

2745 οἱ sq. fort. Aelian. 2746 διὰ—χορηγιῶν Polyb. 31, 25, 7 = EV 2, 190, 1—3 κατὰ sq. Polyb. 14, 2, 9 2750 gl. Hdt. 1, 133 cf. H 2751 — καταδίκαις = Σ^a, Ba 233, 21 cf. H οἱ—γενναίως Polyb. fr. 152 2752 οὐδὲ sq. Dam. fr. 285 cf. Phot. Bibl. 351 b 20—1 2754 ὁ sq. Arr. Ind. 27, 8 2755 — συνέσει = Σ^a, Ba 233, 22 cf. sch. ε 437 φρονήσει = man. rec. Ba 233, 22 2756 = Ba 233, 23 cf. H v. ἐπίφρονα, sch. γ 128 2757 = Σ^a, H

2745 Z 806 2747 cf. v. ὑποφαίνεται 2748 ex v. Al 287 cf. v. φθασάμενον 2749 Z 848 2750 Z 817 2751 Z 806 2752 Z 796 2754 Z 848 2755 Z 806 2757 Z 848

A(GIFVM) 3 μέντοι ex AV 11 περί pr.] παρά A 13 ἐπίφασιν F: ἐπιφάνειαν GIV^{cp} cp. AM 2747 om. FV 2748 om. FV post 2750 A 16 αἶγαν A κατα-στέρισθαι GIM 2749 post 2747 A 2751 extra ord. 22 ἀπέθανε F 25 ἀμιλλητικὸς Phot., Hemst. Gsf.: ἀμιλλητὸς AGIM ἀμιλλητὴς V cp. F 28 σπείσεσθαι V πείρεσθαι F

2758 Ἐπιφυλλίδα: ῥαγολογίαν· ἤτοι μικρὸν βοτρύδιον. τὰ ἐπὶ τοῖς φύλλοις. Ἀριστοφάνης Βατράχοις· ἐπιφυλλίδες ταῦτ' ἔστι καὶ στωμύλματα. ἀντὶ τοῦ λάλοι καὶ πιθανολόγοι. ἐπὶ τῶν δοκούντων εἶναι σοφῶν ἢ ποιητῶν. ἐπιφυλλίδες δέ εἰσι τὰ ἐπικείμενα τοῖς μεγάλοις βότρυσι βοτρύδια, Καλλίστρατος δὲ τὰ αὐτὰ καθ' ἑαυτὰ μικρά. κέκληται δὲ οὕτως διὰ τὸ ἐπὶ τοῖς φύλλοις καλύπτεσθαι· ἢ τὰ πρὸς αὐτοῖς τοῖς φύλλοις. Σ Ar.

2759 Ἐπιφυόμενος· δοτικῇ. περιπλεκόμενος. τοῖς δὲ ταῖς χερσὶν ἐπιφυόμενος ἐδεῖτο βοηθῆσαι τοῖς ἀκληρήμασι. καὶ αὖθις· νυκτὸς γενομένης ἐπεφύοντο τοῖς δυσίν. ἀντὶ τοῦ κατήρχοντο, ἐπεχείρουν. EL E

2760 Ἐπιχάνῃ· ἔχεσθαι δὲ αὐτοῦ ἐκέλευσεν, ἵνα μὴ διαδρὰς ἔξω τοῦ στρατοπέδου, εἶτα μέντοι ζῶν ἀπέλθῃ καὶ ἐπιχάνῃ. ἀντὶ τοῦ ἐπεγγελάσῃ. E

2761 Ἐπιχάρης: ὄνομα κύριον. θηλυκόν. Δ

2762 Ἐπίχαρι. Δ

2763 Ἐπιχάρις, Σικυόνιος, προδότης. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. Δ + Harp.

2764 Ἐπίχαρις: ἐπιτερπής, ὁμιλητικός. ὁ δὲ σεμνὸς ὢν καὶ σπουδαστικός, ὅμως ἐπίχαρις ἦν ἐν ταῖς ὁμιλίαις.

2765 Ἐπιχαριτώτερος.

2766 Ἐπίχαρμος, Τιτύρου ἢ Χειμάρου καὶ Σικίδος, Συρακούσιος ἢ ἐκ πόλεως Κραστοῦ τῶν Σικανῶν· ὃς εὗρε τὴν κωμῳδίαν ἐν Συρακούσαις ἅμα Φόρμῳ. ἐδίδαξε δὲ δράματα νβ', ὡς δὲ Λύκων φησὶ λε'. τινὲς δὲ αὐτὸν Κῷον ἀνέγραψαν, τῶν μετὰ Κάδμου εἰς Σικελίαν μετοικησάντων, ἄλλοι Σάμιον, ἄλλοι Μεγάρων τῶν ἐν Σικελίᾳ. ἦν δὲ πρὸ τῶν Περσικῶν ἔτη ἕξ, διδάσκων ἐν Συρακούσαις· ἐν δὲ Ἀθήναις Εὐέτης καὶ Εὐξενίδης καὶ Μύλος ἐπεδείκνυντο. οὗτος εὑρετὴς καὶ τῶν μακρῶν στοιχείων η καὶ ω. καὶ Ἐπιχάρμειος λόγος, τοῦ Ἐπιχάρμου. Hesy. Δ

2767 Ἐπιχαιρεκακία: ἡδονὴ ἐπ' ἀλλοτρίοις κακοῖς. οὕτως οἱ φιλόσοφοι. Phil.

2758 — βοτρύδιον = Ba 233, 24 cf. Ludw. 63, 23, H vs. 1 τὰ sq. Ar. Ran. 92 c. sch. 91—2 2759 δοτικῇ cf. Synt. Laur. et Gud. τοῖς δὲ—ἀκληρήμασι Diod. 36, 15 = EL 408, 30—1 νυκτὸς—δυσίν ad Aelian. fr. 262 ex 2709 rettulit Bruhn, Rh. Mus. 45, 274 2760 — ἐπιχάνῃ alt. Aelian. fr. 263 2761 — κύριον = L cf. Ambr. 1382, Harp. 2762 = Ambr. 1523 2763 Harp.; Dem. 18, 295 2764 ὁ sq. Dam. fr. 176 2766 ἐκ—Σικανῶν cf. Steph. Byz. v. Κραστός Ἐπιχάρμειος λόγος = Ambr. 1423 2767 — κακοῖς Laert. 7, 114

2758 cf. v. στωμύλος 2760 extr. cf. 172 et 2027 2764 cf. v. σεμνόν

8 παραπλεκόμενος GITM 9 βοηθεῖσαι IV 10 κατήρχοντο—11 αὐτοῦ A (GITFVM) om. V 11 διαδράσας IT 14 Ἐπιχάρις ed. pr., Ambr. 1382 κύριον om. V θηλυκόν GIM^{cp} cp. AV om. TF 15 Ἐπίχαρον V, non nov. gl. 2763 om. A, non nov. gl. F 16 Ἐπιχάρις omnes, Ambr. 1382: Ἐπιχάρης Harp. 2765 om. AFV 21 Τιτύρρου A Χειμάρρου A Χιμάρου Bhd. Σηκίδος Bhd. 22. 23 et 26 Συρακούσσαις AM 23 Λύκων]Λυκόφρων Kaibel 25 Μεγαρέα Kaibel 25 δὲ] τῶν add. A 27 Εὐέτης cf. Wilhelm, Urk. dram. Auff. 100 Εὐξενίδης A Μῦλος A Μύλλος Mein. οὗτος—28 ω ex mg. IVM 28 Ἐπιχάρμιος A

Ar. 2768 Ἐπιχειλές: οὕτω λέγεται μέτρον τὸ μὴ πλῆρες, ἀλλ' ἀπολειπόμενον. Ἀριστοφάνης· τὴν πόλιν ἡμῶν μεστὴν ἐποίησεν εὑρὼν ἐπιχειλῆ.

Ar. 2769 Ἐπίχειρα: μισθούς, τὰ διὰ τῶν χειρῶν κέρδη. ἀνθ' ὧν τὰ
E ἐπίχειρα ἠνέγκαντο ἀλλήλοις πρεπωδέστατα.

Phil. 2770 Ἐπιχειρεῖν: τὸ ἐρωτᾶν καὶ συλλογίζεσθαι. τὸ γὰρ ἐπιχείρημα διαλεκτικός ἐστι συλλογισμός.

Δ 2771 Ἐπιχειρῶ σοι δὲ ἀεί.

Σ 2772 Ἐπιχειρημάτων: ἐννοιῶν.

E 2773 Ἐπιχειρήσειν: ἐπιβαλέσθαι. ἔγραφεν ἐπιχειρήσειν μέλλειν τοῖς Σιγγάροις καὶ ἐπὶ τῷδε πέμπειν πεζοὺς ἀποχρῶντας.

Σ 2774 Ἐπιχειρητέα: ἀντὶ τοῦ ἐπιχειρητέον, ὡς τὸ τολμητέα. φιλεῖ γὰρ Θουκυδίδης τὰ τοιαῦτα.

Harp. 2775 Ἐπιχειροτονία: ἡ τῶν χειροτονητῶν ἀπόστασις.

Thdr. 2776 Ἐπὶ χειρῶν ἀροῦσί σε: ἀντὶ τοῦ χειραγωγήσουσι, ποδηγήσουσιν, ὑπερείσουσιν ἀσθενοῦντα, παντοδαπὴν ἐπικουρίαν προσοίσουσιν.

Σ 2777 Ἐπιχθονίων: ἐπιγείων.

2778 Ἐπιχωματισμός· ζήτει ἐν τῷ χῶμα.

E 2779 Ἐπιχωρήσας: συμπαθήσας, παραχωρήσας. ἐθέλω σοι τὰ δυνατὰ ἐπιχωρήσας, τοῦ μὴ τὸ πέρα ἐς ἀμφίλογον προάγειν τὰ Ῥωμαίων πράγματα ξύμβουλος γενέσθαι.

2780 Ἐπιχώρησις, παραχώρησις. Ἀρριανός· ἴασιν δὲ τῶν παρόν-
E των ἐποίει τὴν τῆς ἀγνοίας προσποίησιν μᾶλλον ἢ τὴν ὡς γινωσκομένων ἐπιχώρησιν.

Thuc. 2781 Ἐπιχρῆσθαι: τὸ πολλάκις κεχρῆσθαι παρὰ Θουκυδίδῃ.

Σ 2782 Ἐπιψαύειν· δοτικῇ. ἐπιθιγγάνειν.

Suid. 2783 Ἐπιψαύδην: ἐπίρρημα. ὅσον ἐπιψαῦσαι μόνον· ὡς καὶ τὸ ἐπιλίγδην.

Σ 2784 Ἐπιψηφιζόμενος: ἐπικρίνων. καὶ Ἐπιψηφίζων, ἐπι-
Harp. κυρῶν.

Δ 2785 Ἐπλαστολόγει: ἐψεύδετο.

2768 Ar. Eq. 814 c. sch. 2769 — κέρδη sch. Ar. Vsp. 579; — μισθοὺς = Ba 233, 25 ἀνθ' sq. Aelian. fr. 90 2770 Alex. Aphr. 541, 10—11 2771 cf. Ambr. 1715 2772 = Σ^{a} 2773 ἔγραφεν sq. Arr. Parth. fr. 50 2774 = Ba 233, 27 cf. sch. Thuc. 1, 118, 2 et v. A 537 2775 Harp. 2776 Thdr. in Ps. 90, 12, PG 80, 1613b 2777 = Ba 233, 26, sch. A 266 cf. Et. Gen., Et. M. 367, 29 2779 ἐθέλω sq. Arr. Parth. fr. 94 2780 ἴασιν sq. Arr. An. 6, 25, 2 2781 sch. Thuc. 1, 41, 1 2782 δοτικῇ cf. Synt. Laur. et Gud. ἐπιθιγγάνειν = Ba 233, 29 cf. H v. ἐπιψαύσῃ 2784 — ἐπικρίνων = Ba 233, 30 Ἐπιψηφίζων sq. Harp. cf. sch. Pl. Gorg. 473e 2785 l. = Ambr. 1691

2768 cf. v. A 2787. Z 817 2769 cf. v. τὰ ἐπίχειρα. Z 817 2770—1 Z 849 2772 Z 818 2773 cf. v. Σιγγάροις. Z 849 2774 Z 849 2775—6 Z 806 2779 Z 849 2780 Z 807 2781 Z 849 2783 ex v. A 1009 cf. v. Ε 2446 2784—5 Z 849

A(GITFVM) 2771 om. T, non nov. gl. F 8 δὲ om. Zon. 12 τολμητέον GI 14 Ἐπιχειροτονητέα GITVM 23 ἀνοίας GIM 2783 om. TFV mg. M post 2785 A

2786 Ἐπλάττετο: ὑπεκρίνετο. Σ

2787 Ἐπλημμέλησαν: ἠτάκτησαν, ἐρρᾳθύμησαν. πλημμελὲς γὰρ Σ + x
τὸ ῥᾴθυμον καὶ ἀπαίδευτον. ἵνα ὑπὲρ ὧν ἐπλημμέλησαν κακιῶν
φθάνοντες, ἐν τῷ δευτέρῳ προφανεῖ κινδύνῳ τε ἰσωθῶσι κολα-
5 σθέντες.

2788 Ἔπλην: ἐπληςίαζον. ἔστι δὲ ῥῆμα πλῶ, τὸ πλησιάζω, παρά-
γωγον πλῆμι, ὁ δεύτερος ἀόριστος ἔπλην.

2789 Ἐπλινθεύθησαν: τὸ κατακλεισθῆναι περὶ οἰκοδόμημα μόνον, Σ
ὥστε ἔξοδον μὴ εἶναι καὶ οὕτω παντελεῖ ἀπορίᾳ ποτοῦ καὶ τροφῆς
10 τεθνάναι πλινθευθῆναι λέγεται.

2790 Ἐπλωΐσατο. Δ

2791 Ἔπνει δεινόν: ὠργίζετο.

2792 Ἐπόγδοον: τὸ δεδανεισμένον, ὥστε τοῦ κεφαλαίου τὸ ὄγδοον Harp.
μέρος λαβεῖν τὸν δανειστήν· οἷον τριώβολον τοῦ τετραδράχμου.

15 2793 Ἐποδήγει: ὡδήγει. Δ

2794 Ἐπόθησεν: ἠβουλήθη, ἠθέλησεν. ὁ δὲ Σκιπίων διὰ τῶν σὺν E
ἑαυτῷ πεζῶν ἐπόθησε τὴν ἱππέας ἀποφῆναι.

2795 Ἐποκέλλουσιν: ἐπικαθίζουσιν, ἐγγίζουσιν. Σ

2796 Ἐπολιάρχει: τῆς πόλεως ἦρχεν. Δ

20 2797 Ἐπολιόρκει. Δ

2798 Ἐπολιός: εἶδος ὀρνέου νυκτερινοῦ.

2799 Ἐπόλισεν: ἔκτισεν. Δ

2800 Ἐπολολύζω. Δ

2801 Ἐπολυώρησας: ἐφύλαξας, ἐφρόντισας. Δ

25 2802 Ἐπομβρία καὶ Ἐπόμβρησις. Δ

2803 Ἐπομβρῷ. Δ

2804 Ἐπομοσάμενος: εὐξάμενος. Δ

2805 Ἐπόνουν: ἐκακοπάθουν. Σ

2806 Ἔποπος· ἡ εὐθεῖα ὁ ἔποψ. Δ

2786 = Ba 233, 31 2787 ἵνα sq. Aelian. fr. 134 2788 — ἐπληςίαζον cf. H v. ἔπληντο. πλῶ sq. cf. Et. M. 367, 37 2789 cf. Bk. 187, 27; 253, 8 2792 Harp. 2793 cf. Ambr. 1596 2794 ὁ sq. Polyb. attr. Valck. 2795 cf. Ba 234, 6 = Σ^a 2796 cf. Ambr. 1572 2797 = L 2799 = Ambr. 1564 2800 = L 2801 — ἐφύλαξας = Ambr. 1566 cf. Ba 234, 7 = Σ^a, H; An. Ox. 2, 441, 8, Choer. Epim. Ps. 122, 23. ἐφρόντισεν cf. L 2802 Ἐπομβρία = Ambr. 1502. Ἐπόμβρησις = L 2803 = Ambr. 1729 2804 aliter L 2805 = Ba 234, 8 2806 cf. Ambr. 1431, H

2786 Z 849 2787 cf. v. πλημμελεῖν; Aelian. cf. v. A 2073. Z 849 2788 Z 849 2789 Z 850 2792 Z 817 2793 cf. 3963 2794—6 Z 851 2798 cf. v. H 302. Z 796 2799 Z 851 2804 Z 851

2 ἐρρᾳθύμησαν F: ἠρᾳθύμησαν A ἐρᾳθύμησαν rell. Zon. 6 δὲ om. A A(GIFVM)
8 περὶ—μόνον] περιῳκοδομημένον Bekk. 9 τρυφῆς GIM 13 Ἐπόγδοουν A
14 τετραδράχμου] ἁδραχμοῦ A 17 ἱππέας FVM: ἱππέᾳς A ἱππέαν GI
ἱππείαν Bas. 21 ὀρνέου om. V

Ar. 2807 Ἔποποῖ: ἐπίρρημα, ἀντὶ τοῦ ἐποπιστί. ἐὰν δὲ προπαροξύνηται, δῆλον ὅτι ἐσχημάτισται ὡς ἀπὸ εὐθείας τῆς ἔποπος. ἐποποί, ποί, ποποί, ποποί, ποποί. ἰώ, ἰώ, ἰτώ, ἰτώ, ἰτώ, ἰτώ, ἰτώ· ταῦτα δεῖ ὀξυτόνως προφέρεσθαι τῇ φωνῇ, ὥστε ὀρνέου ἦχον προφαίνεσθαι κατὰ μίμησιν. τιό, τιό, τιό, τιό, τιό, τιό, τιό, τιό· καὶ ταῦτα ὀξυτονητέον. τριοτό, τριοτό, τοτοβρίξ. δεῦρο, δεῦρο, δεῦρο, δεῦρο, δεῦρο. τορό, τορό, τορό, τοροτίγξ. κικκαβαῦ, κικκαβαῦ. τοροτοροτολιλίγξ, τοροτίγξ. τί, τί, τί, τί, τί, τί, τιό, τιό, τιοτίγξ. τιό, τιό, τιό, τιοτίγξ. ποῦ; ποῦ'στι; ποῦ; ποῦ; ποῦ'στι; ποῦ; ποῦ'στι; ποῦ; ποῦ; διὰ τῆς ἐπαναλήψεως τὴν σπουδαίαν ζήτησιν ἐμφαίνει. αὕτη σύ, ποῖ, ποῖ, ποῖ, ποῖ πέτῃ; μέν' ἥσυχος, ἔχ' ἀτρέμας, ἐπίσχες τοῦ δρόμου. τίς εἶ; ποδαπή; εὐράξ, πατάξ· ἐπιφθέγματα τάχους, παρὰ τὸ εὐρέως μιγήσομαι καὶ πατάξω· ὅθεν καὶ χαμαιτύπαι αἱ πόρναι. ταῦτα δὲ τὰ ἐπιρρήματα ἀνέλαβε διὰ τὸ κακέμφατον. ὠόπ, παρακελευστικόν, ἐπὶ τοῦ παύσασθαί τινος ὑποθέσεως, ὡς οἱ ἐρέσσοντες· κέλευσμα γάρ ἐστι τὸ ὠόπ τῶν ἐρεσσόντων, καταπαῦον τὴν κωπηλασίαν. βαβαιάξ, ὠκβάτανα τοῦ φορήματος. στριβιλικίγξ. ἀντὶ τοῦ οὐδεμίαν ῥανίδα. στρίβος καλεῖται ἡ ὀξεῖα βοή, λικίγξ δὲ ἡ ἐλαχίστη βοὴ τοῦ ὀρνέου· ἡ μὲν λέξις ἐκ τούτων γεγένηται· λέγει δέ, ὅτι ⟨οὐδὲ⟩ ἐλάχιστόν σοι μέρος μεταδίδωμι. ἀττατατταταί· θρηνῶν παρατραγῳδεῖ. ἰατταταιάξ τῶν κακῶν, ἰατταταί· σχετλιαστικὸν ἐπίρρημα· παρεπιγραφὴ δὲ λέγεται τὰ τοιαῦτα. ῥυππαπαί, ἐπιφώνημα ναυτικόν. ἱππαπαί, ἐπὶ ἵππων. Ἀριστοφάνης· τίς ἐμβαλεῖ. βαβαί, βαβαιάξ· σχετλιαστικά, ἀντὶ τοῦ φεῦ, φεῦ. οἴμοι τάλας, οἴμοι γε, κᾆτ' οἴμοι μάλα. ὦ εἶα, ὦ εἶα· μίμημα βαρβάρων ἐξελκόντων τι. δεῖ οὖν νοεῖν, ὅτι ταῦτα ἀνὰ μέρος λέγεται, τὸ μὲν τοῦ Ἑρμοῦ κελεύοντος καὶ ἕλκοντος, τὸ δὲ τῶν ἑλκόντων ὑπακουόντων. ὦ εἶα· εἶα μάλα. ὦ εἶα, ἔτι μάλα. ὦ εἶα. ὦ εἶα. φῦ, φῦ· ἐπὶ τοῦ φυσῶντος τὸ πῦρ. σοῦ σοῦ. ποῦ ποῦ 'στι

2807 cf. Theodosius ed. Göttling p. 79. — ἔποπος sch. Ar. Av. 58. vs. 2 ἐποποί—5 μίμησιν Ar. Av. 227—8 c. sch. vs. 5 τιό—ὀξυτονητέον Ar. Av. 237 c. sch. vs. 6 τριοτό—τοτοβρίξ l. l. 242. vs. 6 δεῦρο—8 τοροτίγξ l. l. 259—63. vs. 8 τί—τιοτίγξ l. l. 738. vs. 9 ποῦ—ποῦ non. l. l. 1122. vs. 10 αὕτη—12 ποδαπή l. l. 1199—1201. vs. 12 εὐράξ—14 κακέμφατον l. l. 1258 c. sch. vs. 14 ὠόπ—16 κωπηλασίαν l. l. 1395 c. sch. vs. 16 βαβαιάξ—17 φορήματος Ar. Ach. 64. vs. 17 στριβιλικίγξ—20 μεταδίδωμι sch. Ar. Ach. 1035. vs. 20 ἀττατατταταί—παρατραγῳδεῖ sch. Ar. Ach. 1190. vs. 20 ἰατταταιάξ—22 τοιαῦτα Ar. Eq. 1 c. sch. vs. 22 ῥυππαπαί—ναυτικόν sch. Ar. Ran. 1073. vs. 22 ἱππαπαί—23 ἐμβαλεῖ Ar. Eq. 602 c. sch. vs. 23 βαβαί—24 φεῦ sch. Ar. Pac. 248. vs. 24 οἴμοι—μάλα Ar. Pac. 280. vs. 24 ὦ—28 εἶα Ar. Pac. 459 c. sch. vs. 28 φῦ—πῦρ Ar. Lys. 295 c. sch. vs. 28 σοῦ—p. 397, 1 σοῦ Ar. Vsp. 209

2807 Z 857. vs. 13 cf. v. χαμαιτυπεῖον. vs. 21 hinc v. l 59. vs. 22 cf. 934. vs. 28 cf. v. σοῦ

A(GIFVM) 1. 2 προπαροξύνεται GF cp. AVM 3 ἰτώ tris I quater FV 4 προφέρεσθαι F: προσφέρεσθαι rell. 6 δεῦρο quater F 8 τί quater F, quinquies V 11 ἔχ'] ἔσχ' F εὖχ V 14 ὠόψ GIM cf. s. v. 15 παύσασθαί AFV: σπάσασθαί GIM ἐρέσσαντες GI 16 καταπαύων GIV 17 φορήματος AV: φρονήματος GIVM 19 ⟨οὐδὲ⟩ e sch. suppl. Kust. 28 φυσῶντος AGFM^{ac}

μοῦ τὸ δίκτυον; πάλιν σοῦ. ἀππαπαῖ, παπαιάξ· γερόντων σχετλιασμός. αὖ, αὖν, μίμημα ὑλακῆς κυνῶν. ῥυπαπαῖ. βομβάξ, ἐπίρρημα ἐπὶ θαυμασμοῦ λαμβανόμενον. βομβαλομβάξ, ἀναδιπλασιάζει τὴν λέξιν. ἀττατατατατταῖ, ἐπὶ τῶν ἀλγούντων. μῦ μῦ, ἐπὶ τῶν διὰ μυκτήρων ἠχούντων. ἰαππαπαιάξ. αἵρεσθ' ἄνω. ἰαί, εὐαί, δειπνήσομεν. εὐοῖ, εὐαί, εὐαὶ ὡς ἐπὶ νίκῃ. εὐαί, εὐαί, εὐά, εὐά· τέλος τῶν Ἐκκλησιαζουσῶν Ἀριστοφάνους.

2808 Ἐπόπται: οἱ τὰ μυστήρια παραλαμβάνοντες λέγονται ἐν ἀρχῇ μὲν μύσται, μετὰ δὲ ἐνιαυτὸν ἐπόπται καὶ ἔφοροι. Ar.

2809 Ἐποπτεύειν· διαφέρει μύστης καὶ ἐπόπτης.

2810 Ἐποπτεία: ἡ ἐπίσκεψις. Δ

2811 Ἐποποιΐα: ἡ δι' ἡρωϊκοῦ μέτρου ἱστορία. καὶ γὰρ στερομένη μύθου ποίησις ἐποποιΐα ἐστίν.

2812 Ἐποργῶσα: μηνιῶσα. Σ

2813 Ἔπορεν: ἔδωκεν. Σ

2814 Ἐπορθρεῦσαι: ἀγρυπνῆσαι· ἢ πρὸ ἡμέρας ἐπεγερθῆναι. Σ?

2815 Ἐπ' ὄριον Θασίων: ἐπάνω τοῦ ὄρους τῶν Θασίων.

2816 Ἔπος: λόγος, στίχος ἔμμετρος. Σ

2817 Ἔπος πρὸς ἔπος ἠρειδόμεθα: τουτέστιν ἀντεβάλλομεν, ἐφιλονεικοῦμεν. Ar.

2818 Ἐποτρύνει: παροξύνει, διεγείρει. Σ

2819 Ἐπ' οὐδόν: ἐπὶ πρόθυρον. Σ

2820 Ἔπου κατεπείγων: ἀντὶ τοῦ σαυτὸν κατελαύνων. Ar.

2821 Ἐποφθαλμίσας: φθονήσας· ἢ ἐπιθυμητικῶς ἐπιβαλών. ὁ Σ δὲ ἰδὼν τὸ χρυσίον ἐποφθαλμιᾷ τῷ ἀνθρώπῳ. καὶ αὖθις· ὁ δὲ E εἰς ὑπόνοιαν ἦλθεν ὡς ἐποφθαλμιῶν βασιλείᾳ. τουτέστιν ἐπιθυμητι- E κῶς ἔχων. καὶ Ἰώσηπος· διὰ τὸ ἐποφθαλμιᾶν τῷ πλήθει τῆς κτή- E σεως. καὶ αὖθις· ἀπέκτεινε δὲ αὐτὸν ὁ πανδοκεὺς ἐποφθαλμίσας E τῷ χρυσίῳ.

2807 vs. 1 ἀππαπαί—σχετλιασμός Ar. Vsp. 235 c. sch. vs. 2 αὖ—κυνῶν l. l. 903 c. sch. ῥυπαπαῖ l. l. 909. vs. 2 βομβάξ—3 λαμβανόμενον Ar. Th. 45 c. sch. vs. 3 βομβαλομβάξ l. l. 48 c. sch. vs. 4 ἀττατατατταῖ—ἀλγούντων l. l. 223 c. sch. vs. 4 μῦ—5 ἠχούντων l. l. 231 c. sch. vs. 5 ἰαππαπαιάξ l. l. 945. αἵρεσθ' sq. Ar Eccl. 1177—82 2808 sch. Ar. Ran. 745 2810 l. = Ambr. 1481, Ludw. 207, 29 2812 = Ba 234, 9 2813 = Ba 234, 10, H cf. Ap. S. 75, 7 2814 — ἀγρυπνῆσαι cf. H 2816 = Ba 234, 11 cf. Ludw. 97, 15 et 18; — λόγος = Et. M. 367, 55, H, Ambr. 1527 2817 Ar. Nu. 1375 c. sch. 2818 = Ba 234, 12 cf. H 2819 = Ba 234, 19 2820 Ar. Eccl. 293 c. sch. plenior. 2821 — ἐπιβαλών = Ba 234, 21 vs. 27 διὰ—κτήσεως Ios. Ant. 1, 321 ἀπέκτεινε sq. Aelian. fr. 81

2808 cf. 2838 2810—11 Z 807 2812—3 Z 851 2817 Z 817 2818 Z 851 2819 Z 794 2821 cf. v. ὀφθαλμιᾶσαι. Aelian. cf. v. Z 141 et v. τιμωροῦντος. Z 851

2 αὖν] αὖ GI 6 εὐά semel GIM 7 Ἀριστοφάνους ed. pr.: Ἀριστοφάνης A(GIFVM) FV cp. rell. 2808 post 2811 FV 9 δὲ ἐνιαυτὸν AFV: ἐνιαυτὸν δὲ GIM 14 Ἐποργῶσαι: μηνιῶσαι GIVM 21 διεγείρει, παροξύνει F 24 Ἐποφθαλμόσας A 26 ἐποφθαλμῶν F

Σ 2822 Ἐποχετεῦσαι: ἐπιρρεῦσαι, καὶ ποτίσαι.

Σ 2823 Ἐποχεῖται: ἐπικάθηται.

Phil. 2824 Ἐποχή· πρῶτος Πύρρων ἀκαταληψίας καὶ ἐποχῆς εἶδος εἰσήγαγεν. Ἐποχή ἐστιν ἡ μοῖρα, ἐν ᾗ καταλαμβάνεται ὅ τε ἥλιος καὶ ἡ σελήνη καὶ ἕκαστος τῶν πλανητῶν. εἰσὶ δὲ οὗτοι κατὰ τάξιν· Φαίνων, Φαέθων, Πυρόεις, Ἥλιος, Φωσφόρος, Στίλβων, Σελήνη. ἕκαστον δὲ τῶν ζῳδίων διαιρεῖται εἰς λ′ μέρη, ἃ καλοῦνται μοῖραι. ἡ δὲ μοῖρα διαιρεῖται εἰς ξ′ μέρη, ἃ καλεῖται ἑξηκοστὰ πρῶτα λεπτά. καὶ τὸ ἓν πρῶτον λεπτὸν διαιρεῖται εἰς ἑξήκοντα πάλιν, ἃ καλοῦνται δεύτερα λεπτά. πλέον δὲ τῶν δευτέρων λεπτῶν ἐν τῷ προχείρῳ κανόνι παραλαβεῖν οὐκ ἀναγκαῖον.

Suid. 2825 Ἔποψ· Ἀριστοφάνης· ἐγὼ γὰρ αὐτοὺς βαρβάρους ὄντας πρὸ τοῦ ἐδίδαξα τὴν φωνήν, συνὼν πολὺν χρόνον. περὶ τῶν ὀρνέων λέγει ὁ ἔποψ.

Δ 2826 Ἐποψειασμός.

Δ 2827 Ἐποψία.

Ar. 2828 Ἐπῳάζειν: τὸ ἐπὶ τοῖς ᾠοῖς καθέζεσθαι τὰ ὄρνεα. Ἀριστοφάνης Ὄρνισιν· ἄλλως ἄρ' οὔποψ, ὡς ἔοικε, τὴν λόχμην ἐμβὰς ἐπῷζε. τὰ δὲ ὄρνεα ἐν τῷ ἐπῳάζειν λάλα εἰσίν.

Σ 2829 Ἐπῳάζουσιν: ἐπὶ τοῖς ᾠοῖς ᾄδουσι, βοῶσιν.

Σ 2830 Ἐπωβελία· πολλῶν εἰς χρήματα συκοφαντούντων τοὺς ἐπιεικεῖς καὶ ἀπράγμονας τῶν πολιτῶν καὶ μάλιστα τοῦτο πράττειν διαβαλλομένων τῶν περὶ τὸ ἐμπόριον συμβαλλόντων ἐπὶ ναυτικοῖς τόκοις, Ἀθηναῖοι ζημίαν ἔταξαν κατὰ τῶν ἐγκαλούντων ὀβολὸν ἐκτείνειν, εἰ μὴ καθ' ὧν ἐνεκάλουν, τούτους ἕλοιεν. ταύτην τὴν ζημίαν ἐπωβελίαν ὠνόμασαν.

Σ 2831 Ἐπωβελία: τὸ ἕκτον μέρος τοῦ τιμήματος.

Harp. 2832 Ἐπωβελία: τὸ ἕκτον τίμημα τῆς δίκης, ὃ ἐπράττοντο οἱ γραψάμενοί τινας καὶ μὴ ἑλόντες αὐτοῖς τοῖς γραφεῖσιν. ἐκαλεῖτο δὲ Δ οὕτως, ὅτι καθ' ἑκάστην δραχμὴν ὀβελὸς ἦν. Ἐπωβελία οὖν ἡ Σ ζημία. Ἐπωβελία οὖν ὁ τόκος, ὑπὸ Πλάτωνος Νόμων ια′.

Σ Δ 2833 Ἐπῳδός: ἡ ἐπᾴδουσα τοῖς νοσοῦσι παισί. καὶ Ἐπῳδή, ἡ Ε γοητεία. Πολύβιος· πάσης ἐπῳδῆς καὶ περιάμματος πεῖραν ἐλάμβα-

2822 = Ba 234, 20 2823 = Ba 234, 23 2824 — εἰσήγαγεν Laert. 9, 61 vs. 4 Ἐποχή sq. fort. e vita Pythag. 2826 = L 2827 = Ambr. 1514 2828 Ar. Av. 266 c. sch. 2829 praeter ᾄδουσι = Ba 235, 2, H 2830 = Et. Gen., Et. M. 368, 48 2831 cf. Bk. 255, 31, Et. Gen., Et. M. 368, 56, H, sch. Pl. Leg. 921 d, Lex. Patm. 154, Poll. 8, 39, sch. Luc. 66, 15 2832 — vs. 29 ἦν Harp. = An. Ox. 2, 495, 13 vs. 29 Ἐπωβελία—30 ζημία = Ambr. 1497, Ludw. 208, 20 cf. Bk. 189, 1 vs. 30 Ἐπωβελία sq. = Et. Gen., Et. M. 369, 5 2833 — παισί = Ba 235, 3, H Ἐπῳδή, ἡ γοητεία aliter L, Ambr. 1445 πάσης—ἐλάμβανον Polyb. 33, 17, 2 = ES 200, 29—30

2822 Z 851 2824 Z 807 2825 ex v. B 105 2830—32 Z 807 2833 init. cf. 1987. Soph. cf. v. Θ 480 et v. πύκαζε

A(GITFVM) 4 Ἐποχή] nov. gl. GIFV ὅ τε] ὅτε δὲ ὁ FV 2825 om. TFV post 2826 A 13 ὁ A: om. GI 2828 post 2833 A, quod ad l. ἐπῴζειν quadrat 18 λάλαι V 24 ἐκάλουν F om. V 28 δὲ] γὰρ V 29 ὀβολὸς F Et. Ἐπωβελία—30 ζημία om. GITM 30 Ἐπωβελία] nov. gl. V οὖν del. ed. pr.

νον. Σοφοκλῆς· οὐ πρὸς ἰατροῦ σοφοῦ θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι. Soph.

2834 Ἐπ' ὠκεανοῖο ῥοάων: Ὅμηρος. ἀντὶ τοῦ ὡς ἐπ' ὠκεανοῦ ῥοάς. καὶ ἀλλαχόθι· ἀλλ' ἄγ' οἴστευσον Μενελάου. ὡς ἐπὶ τὸν Μενέλαον. Hom.

2835 Ἐπώκειλα: ἀπέκλινα. Σ

2836 Ἐπώλησε: διέπρασεν. Δ

2837 Ἐπωμαδόν· ὁ δὲ τοῖς ὤμοις φέρων ἐπωμαδόν. λέγεται καὶ ἐπωμάδιος.

2838 Ἐπωμίς: εἶδος περιβολαίου. ἐπωμίδες δὲ καὶ ἀναξυρίδες καὶ τῶν ὑποδημάτων τὰ πλεῖστα ἐκ τῶν Οὔννων τό τε ὄνομα τὸν τρόπον ἀποκέκριται σφίσι. Προκόπιός φησιν. οἱ μὲν γὰρ τὰ μυστήρια παραλαμβάνοντες μύσται καλοῦνται, οἱ δὲ τῷ ἑξῆς ἐνιαυτῷ ἔφοροι καὶ ἐπόπται. ἐγὼ οὖν, φησίν, ὅταν λάθρα καταράσωμαι τῷ δεσπότῃ, λίαν οὕτως ἥδομαι, ὡς δοκεῖν μυστήρια ἐποπτεύειν καὶ ἑορτάζειν. τὸ δέ, ἀλλ' ἐποπτεύω, ἀντὶ τοῦ οὐ ἀλλὰ ἐν οἵῳ τρόπῳ λέγομεν, οὐχ οἷον ἥδομαι, ἀλλ' ὑπερήδομαι. Δ E Ar.

2839 Ἐπώμοτον· Σοφοκλῆς· ὄμνυμ' ἔγωγε Ζῆν' ἔχων ἐπώμοτον. τουτέστι τοῦ ὅρκου ἐγγυητήν. Soph.

2840 Ἐπώνια: τέλος ἐστὶ τὸ ἐπὶ τῇ ὠνῇ διδόμενον. εἴη δ' ἂν ἴσως ἡ πέμπτη. Harp.

2841 Ἐπώνυμον: τὸ μεθ' ἑτέρου κυρίου καθ' ἑνὸς λεγόμενον. ἐπωνυμίαν θέμενοι Μαρκίῳ Κορβῖνον ἐπὶ τοῦ συναγωνιζομένου κατὰ τὴν μονομαχίαν ζώου. κόρβους γὰρ τοὺς κόρακας φασὶ Ῥωμαῖοι. E

καὶ αὖθις Ἀριστοφάνης· ὡς ἀγαθόν ἐστ' ἐπωνυμίας πολλὰς ἔχειν. ὡσανεὶ ἔλεγεν, οὐ ματαίως ἄρα σπεύδουσι πολλὰ ὀνόματα ἔχειν οἱ δικάζοντες. Ar.

2842 Ἐπώνυμοι: διττοί εἰσιν οἱ Ἐπώνυμοι, οἱ μὲν ι' ἀριθμόν, ἀφ' ὧν αἱ φυλαί, ἕτεροι δὲ β' καὶ τοῖς μέν, ἀφ' ὧν αἱ ἡλικίαι προσαγορεύονται τῶν πολιτῶν καθ' ἕκαστον ἔτος ἀπὸ ιη' ἔτους μέχρι ξ'. Harp.

2843 Ἐπώνυμοι: οἱ κατ' ἀρετὴν διαπρέποντες ἀστοὶ καὶ ξένοι χαλκαῖς εἰκόσιν ἐτιμῶντο· ὑφ' ὧν ἐνίων καὶ ταῖς φυλαῖς ἐτίθει ὀνό- Σ

2838 οὐ sq. Soph. Ai. 581—2 2834 — ῥοάς sch. Γ 5. ἄλλ' sq. Δ 100 c. sch. 2835 cf. Ba 235, 9; l. = Ambr. 1600 2836 cf. Ambr. 1563, L 2837 cf. H, Et. M. 368, 40 2838 — περιβολαίου cf. H, Ambr. 1446 Ἐπωμίδες—σφίσι Proc. h. a. 7, 14 οἱ sq. sch. Ar. Ran. 745 2839 Soph. Tr. 1188 c. sch. 2840 Harp. = Et. Gen., Et. M. 368, 30 2841 ἐπωνυμίαν—Ῥωμαῖοι Dionys. Hal. 15, 1, 4 cf. Byz. Zt. 23, 90 ὡς sq. Ar. Pl. 1164 c. sch. 2842 Harp. = P cf. Bk. 245, 17, H 2843 = P, Et. Gen., Et. M. 369, 6 cf. Bk. 189, 7

2837 cf. v. ὑφωμαδόν 2838 Ar. cf. 2808. Z 807 2839 Z 796 2840 Z 818 2841 cf. v. K 2070. Z 818

1 θρηνεῖν] θροεῖν T ἐπῳδὸν Gl 2 πήματι] τραύματι T 3 ὡς ex AF A(GITFVM) 8 τοῖς ὤμοις post l. transp. Kust. 10 post Ἐπωμίς ἐπωμίδος ὡς cυλλα ⟨ add. A 11 τῶν alt.] τὸν AGI Οὔννων GIFV, v. l. Proc. 30 μέχρις IVM cp. G

ματα. φασὶ δ' ἐκεῖθεν πρῶτον δόξαι τὰς φυλὰς ἐξηγήσασθαι· ἀπορούντων γὰρ αὐτῶν ὄνομα ταῖς φυλαῖς θέσθαι, ἀπὸ τῶν ἐνδοξοτάτων τοῦτο ποιῆσαι καὶ ἕκαστον ἑκατὸν ὀνόματα ἰδίᾳ γραψάμενον κληρῶσαι. παρὰ γοῦν τὰς εἰκόνας τῶν Ἐπωνύμων τούτων εἰσηγοῦντο τοὺς νόμους, πρὶν ἢ γενέσθαι κυρίους· ἵν' ἐντυγχάνοντες αὐτοῖς οἱ βουλόμενοι κατηγοροῖεν.

Δ 2844 Ἐπωπεύς, Ἐπωπέως.

Harp 2845 Ἐπωπτευκότων: οἱ μυηθέντες ἐν Ἐλευσῖνι, ἐν τῇ β' μυήσει ἐποπτεύειν λέγονται.

2846 Ἐπωρώθησαν: ἐσκληρώθησαν.

Δ 2847 Ἐπωρυόμενος: φωνῶν.

E 2848 Ἐπωτίδες· Θουκυδίδης· καὶ τὰς ἐπωτίδας ἐπέθεσαν ταῖς Thuc. πρώραις παχείας ὡς ἐπὶ ξ' πήχεις, ἐντός τε καὶ ἔξωθεν. Ἐπωτίδες εἰσὶ τὰ ἑκατέρωθεν πρώρας ἐξέχοντα ξύλα.

E 2849 Ἐπωτίσιν· ἐκ φορτίδων πολεμιστηρίας τὰς νέας κατεσκεύασε ταῖς ἐπωτίσι καὶ τοῖς στερίφοις ἀποφήνας εὐρρώστους.

2850 Ἐπ' ὠὐτόν: ἐπ' αὐτόν.

Δ 2851 Ἐπωφελές.

Σ 2852 Ἐπῴχετο: ἐπεπορεύετο.

Σ 2853 Ἐπράξατο: ἀπήτησεν. τοὺς δὲ Βυζαντίους καί τινας E ἄλλους ἐπράξαντο. ἀντὶ τοῦ χρήματα ἀπήτησαν. καὶ αὖθις· ὡς δὲ E δίκας αἰτῶν τοὺς Ἀθηναίους περὶ τοῦ παιδὸς οὐκ ἔτυχεν, αὐτὸς ἑαυτὸν ἐπράξατο.

Said. 2854 Ἐπράδει: ἀπέπαρδε. καὶ ἀποπαρδεῖν λέγεται. ἐπράδειν δὲ προτεταγμένου τοῦ ρ.

E 2855 Ἐπραξικόπει· ὁ δὲ ἐπραξικόπει τὴν πόλιν ἐκ πολιοῦ κατασκευαζόμενος ἐν αὐτῇ προδότας.

EL 2856 Ἔπραccον: ἀντὶ τοῦ ἐβουλεύοντο. ἀλλήλοις ξυγγινόμενοί ἔπραccον, ὅπως τά τε διάφορα λύσουσι καὶ τὰ ἀμφὶ τὴν εἰρήνην εὖ θήσονται.

2857 Ἐπραττόμην: ἀπήτουν.

E 2858 Ἔπραττον: ἐπεβούλευον, προεδίδοσαν. ἐπεσπῶντο τοὺς Αἰτω- E λοὺς καὶ τούτοις ἔπραττον τὴν πόλιν. καὶ αὖθις· ἀνήρ τις ἔπραττε κακῶς καὶ πᾶσα ἡ οἰκία αὐτῷ.

2844 = Ambr. 1383 2845 Harp. = P 2846 in Ep. Rom. 11, 7; aliter Ambr. 1658 = H 2847 = L cf. Ambr. 1583 2848 καὶ—ἔξωθεν Thuc. 7, 36, 2 Ἐπωτίδες alt. sq. sch. Thuc. 7, 34, 5 cf. 36, 2 2851 cf. L, Ambr. 1334 2852 = P cf. Ba 235, 10 = H; Ambr. 1659 2853 — ἀπήτησεν = Ba 334, 24 ὡς sq. fort. Aelian. 2855 Polyb. fr. 153 2856 ἀλλήλοις sq. Proc. Bell. 1, 11, 26 = EL 91, 7—8 2858 ἐπεσπῶντο—πόλιν Polyb. 4, 17, 12 ἀνήρ sq. Aelian. fr. 71

2848 Z 807 2850 Z 796 2853 Z 852 2854 ex v. A 3029 2856—7 Z 852 2858 Aelian. cf. 1395 et v. πράττω. Z 852

A(GITFVM) 3 ποιῆσαι] ποιεῖ GI 10 ἐσκληρύνθησαν T ἐκληρώθησαν V 15 φορτίδων V 16 τοῖς] ταῖς I 2851 non nov. gl. A 2854 ex GIM 29 λύσωσι GIVM cf. Proc.

2859 Ἐπρέςβευεν: ἐτίμα. ὁ δὲ Σωκράτης ἠθικὴν φιλοσοφίαν ἐπρέςβευεν.
2860 Ἐπρήςθη: ἐκαύθη πυρί. ἑάλω μέγα κακουργῶν καὶ ζῶν Δ+Ε ἐνεπρήςθη.
2861 Ἔπρηξας: ἔπραξας. Ἔπρηςας δὲ ἔκαυςας. Δ
2862 Ἐπρίατο· γενικῇ. ἠγόραζεν. Σ
2863 Ἔπρωςεν: ἐμοίρασεν. Σ
2864 Ἐπρυτάνευςε: παρέςχε, διῳκήςατο. δῶρά τε πέμπει ἐπὶ Σ φιλίᾳ τε καὶ cυμμαχίᾳ, ἣν Στρυγγαῖος ἐπρυτάνευςεν. Ε
2865 Ἑπτά: ὁ ἀριθμός.
2866 Ἑπταβόειον: ἑπτάβυρcον, ἑπτάπτυχον. Σ
2867 Ἑπτάπεκτος: ἡ βαθεῖαν ἔχουca κόμην, ἡ ἑπτάκις δυναμένη Eol. καρῆναι. πέξαι γὰρ τὸ κεῖραι, ἢ κτενίcαι.
2868 Ἑπταπλαcίονα: ἀντὶ τοῦ πολυπλαcίονα. ὁ γὰρ ἑπτὰ ἐπὶ πλήθους τάττεται.
2869 Ἔπταρον: ἠcθόμην. πταρμὸc γὰρ κεφαλῆc αἴcθηcιc. ἐπεὶ οἱ Ar. θιγόντες τοῦ μυκτῆροc λεπτῷ κάρφει πτάρνυνται.
2870 Ἑπταικώς: cφαλείς. ὁ δὲ ὑπερβαίνων τὸν οὐδὸν τῆc Σ αὐλῆc ἔπταιcε βιαιότερον καὶ πρὸc γῆν κατηνέχθη. Ε
2871 Ἑπτέρου: ἐκουφίζετο. Σ
2872 Ἑπτέτης: ζ' ἐτῶν. ἑπτέτης ὢν Ἀρχέδημοc οὐκ ἔφυcε φρά- Ar. τορας. τουτέcτι φράcτας ὀδόντας.
2873 Ἔπτηξεν: ἐφοβήθη, cυνεcτάλη, ἐταπεινώθη. Σ
2874 Ἑπτηχότες: δειλιῶντες, φοβούμενοι.
2875 Ἑπτοημένος: θαυμάζων. Σ
2876 Ἐποίκιον· τινὲc δὲ ἔμενον ἐν τοῖc ἐποικίοις ἐκ τῶν ποιμένων Ε κατὰ τὴν χώραν.
2877 Ἔποικος: μέτοικος. Ἔποικοι παρὰ Θουκυδίδῃ οἱ ἐν Δ πόλει, ἄποικοι δὲ οἱ ἐν ἐρήμῳ τόπῳ πεμπόμενοι οἰκῆcαι. ἀλλ' Thuc. ἅπερ ἤτιc ἔποικος ἀνάξια. Suid.
2878 Ἕποιμ' ἄν: ἀκολουθείην. Σ

2860 ἑάλω sq. Aelian. fr. 159 2861 cf. Ambr. 1586 et 1654 2862 — ἠγόραζεν = Ba 234, 26 cf. L, Ambr. 1634 2863 = Ba 234, 27, H 2864 — διῳκήςατο = Ba 234, 25 cf. H δῶρα sq. fort. Nic. Dam. FGrHist 90 fr. 5 extr. 2866 = Ba 234, 28, sch. H 220 cf. H = Ap. S. 75, 10 2867 = An. Ox. 2, 436, 7, Et. Gud cf. Et. Gen., Et. M. 368, 10, H 2869 sch. Ar. Ran. 647 2870 — cφαλείc = Ba 234, 29 cf. H ὁ sq. Aelian. fr. 38 2871 = Ba 234, 30, Σ^{a} 2872 Ar. Ran. 418 c. sch. 2873 = Ba 234, 32 cf. H 2875 = Ba 234, 33 2877 Ἔποικοι—οἰκῆcαι sch. Thuc. 2, 27, 1 2878 = Σ^{a}, Ba 233, 32

2859 cf. v. Σωκράτης 1. Z 852 2860 cf. v. μέγα 2 2861 Z 852 2864 Z 852 2866 Z 817 2869 cf. v. πταρμός. Z 852 2872 cf. v. φραcτῆρεc 2874 cf. v. πτήccει 2875 Z 853 2877 cf. v. A 3713. ἀλλ' sq. ex v. A 1983

3378 Εὐαστήρ: ἐπίθετον Διονύσου. παρὰ τὸ εὐοῖ ἐνθουσιαστικόν. ἐν Ἐπιγράμμασι· ἀγρονόμων τάδε Πανὶ καὶ εὐαστῆρι Λυαίῳ, τουτέστι Λυαίῳ, πρέσβυς καὶ Νύμφαις Ἀρκὰς ἔθηκε Βίτων. Anth.

3379 Εὐαφές: εὐμάλακτον, εὐψηλάφητον. Σ

3380 Εὐάφορα: εὔσκοπα, εὐθεώρητα. κολωνὸν ἐπιλεξάμενος, ὑφ' οὗ τά τε ἔμπροσθεν καὶ τὰ κατόπιν εὐάφορα ἦν, λόχον ἐπ' αὐτοῦ ἐπέστησεν. E

3381 Εὖ βεβηκότα: εὐσταθῆ. Σ

3382 Εὐβοεῖς: ἐθνικόν. Δ

3383 Εὔβοτον: καλὰ βοσκήματα ἔχουσαν. Σ

3384 Εὐβουλία: ἐπιστήμη τοῦ σκοπεῖσθαι, ποῖα καὶ πῶς πράττοντες πράξομεν συμφερόντως. Phil.

3385 Εὔβουλος: δημαγωγὸς ἦν ἐπιφανέστατος. Harp.

3386 Εὔβουλος, Κήττιος, Ἀθηναῖος, υἱὸς Εὐφράνορος, κωμικός. ἐδίδαξε δράματα ρδ'. ἦν δὲ κατὰ τὴν ρα' Ὀλυμπιάδα, μεθόριος τῆς μέσης κωμῳδίας καὶ τῆς παλαιᾶς. Hesy.

3387 Εὔβοια: ἡ νῆσος. Δ

3388 Εὐγαίων: ὄνομα κύριον. Δ

3389 Εὖγε: καλῶς, ὁσίως. λέγεται δὲ καὶ ἐπὶ εἰρωνείας πολλάκις. Σ

3390 Εὐγενάτορος: σοφιστοῦ τινος.

3391 Εὐγενέστερος Κόδρου: τοῦ υἱοῦ Μελάνθου τοῦ Μεσσηνίου, πατρὸς δὲ Μέδοντος καὶ Νηλέως. οὗτος ὁ Κόδρος Δωριέων ἐπιστρατευσάντων Ἀθηναίοις, ἐπεὶ τοὺς ἐκ Πελοποννήσου φυγάδας προσεδέξαντο, ἐν οἷς καὶ Μέλανθον, χρησμοῦ δὲ αὐτοῖς δοθέντος, αἱρήσειν τὴν πόλιν, ἐὰν ἀπόσχωνται τοῦ τῶν πολεμίων βασιλέως, νοήσας τὸν χρησμόν, ἀναλαβὼν ὑλοτόμου ἐσθῆτα καὶ ἐντυχὼν τοῖς φύλαξι τῶν Δωριέων ἕνα ἐξ αὐτῶν ἀνεῖλε. διοργισθέντες δὲ οἱ λοιποί, συλλαβόντες αὐτὸν ἀνεῖλον, ὡς Εὔδημος. οἱ δὲ περὶ Κόδρου φασίν, ὅτι βασιλεύοντος αὐτοῦ Ἀθηναίων, τοῖς Λακεδαιμονίοις γενομένης ἀφορίας Σ Prov.

3377 ὁ sq. Polyb. 21, 7, 5 = EV 2, 166, 19—22 3378 ἀγρονόμῳ sq. Anth. 6, 154, 1—2 3379 = P, Ba 238, 27 cf. H 3381 = P, Ba 238, 28 cf. H 3382 = Ambr. 2438 3383 = P, Ba 238, 29 cf. Ambr. 2266 3384 Laert. 7, 93; l. = Ambr. 2533 3385 Harp. = P 3387 = Ambr. 2470 cf. Et. M. 389, 2 3388 = Ambr. 2317 cf. 2351 et 2443 3389 = P, Ba 239, 1 cf. H 3391 — vs. 32 Εὔδημος = P vs. 32 οἱ sq. cf. Zen. IV 3

3377 cf. v. Παμφυλίδας 3379—80 Z 914 3383—4 Z 906 3389 Z 923 3390 cf. v. Φιλάγριος

9 ὑφ'] ἀφ' Port. 3390 om. TFV 27 ἐπεί] ἐπὶ A 32 Εὔδημος] A (GITFVM) Δήμων Phot. cf. p. 442, 11; GGA 1923, 134 33 βασιλεύσαντος GIT αὐτοῦ om. GIT γενομένοις V

κατὰ τὴν χώραν πᾶσαν, ἔδοξε στρατεύειν ἐπὶ τὰς Ἀθήνας, ὅπως ἐξανάστήσαντες τῆς Ἀττικῆς τοὺς ἐνοικοῦντας αὐτοὶ κατανείμωνται τὴν χώραν· καὶ πυνθάνονται τῆς Πυθίας, εἰ λήψονται τὰς Ἀθήνας. ἀνελόντος δὲ αὐτοῖς τοῦ θεοῦ, διότι τὴν πόλιν οὐχ αἱρήσουσιν, ἐὰν τὸν βασιλέα τῶν Ἀθηναίων Κόδρον ἀποκτείνωσι· καὶ ἐστράτευσαν ἐπὶ τὰς Ἀθήνας. Κλεόμαντις δὲ τῶν Δελφῶν τις πυθέσθαι τὸν χρησμὸν καὶ ἀποστεῖλαι Ἀθηναίοις. τοῦτο μαθὼν Κόδρος, πρὸ τῆς πόλεως ἐξελθὼν φρύγανα συνέλεγε. δύο δέ τινων ἐλθόντων πρὸς αὐτὸν πυνθάνεσθαι τίς εἴη· ὁ δὲ Κόδρος τῷ δρεπάνῳ πλήξας ἀπέκτεινεν αὐτόν, ὁ δὲ ἕτερος ἀνεῖλε τὸν Κόδρον. οἱ δὲ ῥήτορες τὸ Κόδρος ἐπὶ τοῦ ἐντίμου ἐχρήσαντο, ὥς φησιν Εὔδημος ἐν τῷ περὶ λέξεων ῥητορικῶν.

Δ 3392 **Εὐγένεια**: ἡ καλὴ γενεά. **Εὐγενία** δὲ ὄνομα κύριον, διὰ τοῦ ι.

3393 **Εὐγενής**: ὑπὲρ γένους ἤπερ πατρίδος. ἐπὶ δὲ τῆς τελευτῆς,

EL ἐπεὶ ἔδει τὴν τῶν ὅπλων παράδοσιν ποιήσασθαι, ὀδυρμός τις εὐγενὴς ἦν, καὶ παράστασις ψυχῆς πρὸς ἐλευθερίαν ἐνέπεσε τοῖς πλήθεσι.

Soph. Σοφοκλῆς· ἀλλ' ἢ καλῶς ζῆν ἢ καλῶς τεθνηκέναι τὸν εὐγενῆ χρή. πάντ' ἀκήκοας λόγον.

Hesy. 3394 **Εὐγένιος**, Τροφίμου, Αὐγουστοπόλεως τῆς· ἐν Φρυγίᾳ, γραμματικός. οὗτος ἐδίδαξεν ἐν Κωνσταντίνου πόλει καὶ τὰ μάλιστα διαφανὴς ἦν, πρεσβύτης ἤδη ὤν, ἐπὶ Ἀναστασίου βασιλέως. ἔγραψε κωλομετρίαν τῶν μελικῶν Αἰσχύλου, Σοφοκλέους, Εὐριπίδου, ἀπὸ δραμάτων ιε'. Περὶ τοῦ τί τὸ παιωνικὸν παλιμβάκχειον· Περὶ τῶν τεμενικῶν, ὅπως προφέρεται· οἷον Διονύσιον, Ἀσκληπίειον· Παμμιγῆ λέξιν κατὰ στοιχεῖον· ἔχει δὲ καὶ τὰ παράδοξα ἢ περὶ τόνον ἢ πνεῦμα ἢ γραφὴν ἢ μῦθον ἢ παροιμίαν ἑπόμενα αὐτῇ· Περὶ τῶν εἰς ια λητόντων ὀνομάτων, οἷον ἔνδεια ἢ ἐνδία· καὶ πότε διφορεῖται· καὶ ἄλλα τινὰ τρίμετρα ἰαμβικά.

Δ 3395 **Εὔγειος**: τόπος καλὴν ἔχων γῆν. καὶ οὐδέτερον τὸ εὔγειον, τὸ πρὸς τὴν δύσιν κείμενον.

Σ 3396 **Εὐγηρότατος**, καλὸς γέρων, ἀξιότιμος.

3392 cf. L. — γενεά cf. Ambr. 2489. Εὐγενία sq. = Ambr. 2505 3393 vs. 14 ἐπὶ δὲ—16 πλήθεσι Diod. 23, 16 = EL 406, 7—10 vs. 17 ἀλλ' sq. Soph. Ai. 479—80 3395 — γῆν = Ambr. 2422 πρὸς sq. ad εὐδείελον sch. β 167 et ι 21 rettulit Kust. 3396 = P, Ba 239, 4 cf. H

3393 Soph. cf. v. A 1180 3394 cf. Prooemion, v. Τρόφιμος 3396 Z 897

A(GITFVME) 1 ἐπὶ] περὶ GT παρὰ I 5 τῶν] τὸν A ἀποκτείνουσι V ἐστράτευσεν V 6 Κλεόμαντις] Κλεομένην E, ed. pr.; oratio hiat Δελφῶν Bhd.: ἀδελφῶν omnes; τὸν Δελφὸν om. τις ed. pr. 7 Ἀθηναίων V ὁ Κόδρος GIM 10 ῥήτορος V 14 ὑπὲρ] ἐπὶ T, ed. pr. ἤπερ] ἥπερ A ὑπὲρ F μᾶλλον ἤπερ T ἢ ἐπὶ ed. pr. 15 τὴν ex AF Exc. 20 τὰ] ἐς τὰ Daub 21 ἔγραψε—28 ἰαμβικά ex A solo 26 ἑπόμενα] καὶ τὰ ἑ. Bhd. εἰς Bas.: εἰ A 28 post τινὰ interpunxit Daub 29 οὐδετέρως G cp. AM οὐδιὰ F τὸ om. A

3397 Εὐγνωμοσύνη: εὔνοια, γνησιότης. Σ
3398 Εὔγνωτος: φανερός. Soph.
3399 Εὐγράμματον ὄνομα: τὸ εὔφημον. οὐκ εὐγράμματον δὲ τὸ δύσφημον· ὡς τὸ Νεφέρσωφρις Αἰγύπτου βασιλεύς.
3400 Εὐδαμίδας: ὄνομα κύριον. Δ
3401 Εὐδαῖμον· καὶ γηρῶντι γῆρας εὐδαίμόν τε καὶ μακαριστόν. E
καὶ Εὐδαιμονέστατος, εὐτυχής, πλουσιώτατος, μακαριστότατος. Σ
Εὐδαιμονία δέ ἐστιν εὔροια βίου. καὶ Εὐδαίμων, ὁ κατ' ἀρετὴν Phil.
ἐνεργῶν.
3402 Εὐδαιμονέστερος τῶν Καρκίνου στροβίλων: ἀντὶ τοῦ Ar.
κακοδαιμονέστατος. ἐν εἰρωνείᾳ. στροβίλους φησὶν Ἀριστοφάνης τοὺς υἱοὺς Καρκίνου τοῦ ποιητοῦ, οὓς ἀνωτέρω ὄρτυγας καὶ γυλιοτραχήλους εἴρηκε διὰ τὸ τραχὺ τοῦ σώματος. ἢ πρὸς τὸ τοῦ καρκίνου ὄνομα παίζων· ὀστρακόδερμοι γὰρ οἱ καρκίνοι καθάπερ καὶ οἱ στρόβιλοι. ἢ διὰ τὸ ἐν τῇ ὀρχήσει στροβεῖσθαι· ἐπεὶ καὶ οἱ στρόβιλοι κώνων ἔχουσι δίκην. ἢ ὅτι στρόβιλός ἐστιν ἡ συστροφή. στροβίλους οὖν εἶπε, καθὸ καὶ ἀλλαχοῦ γυλιαύχενας. καὶ Σοφοκλῆς· οὐ πάνυ Soph.
μοίρας εὐδαιμονῆσαι πρώτης. ἀντὶ τοῦ, οὐκ ἀγαθῆς, ἀλλὰ κακῆς. οὐ πάνυ τῆς πρώτης κατ' εὐδαιμονίαν μοίρας· τοὐναντίον δέ, κατὰ δυσδαιμονίαν ἐσχάτην.
3403 Εὐδαιμονία: εὐτυχία, εὐπραγία. Σ
3404 Εὐδαιμονία καὶ Εὐδαίμων: εἰσί τινα τῶν ἐναντίων ἄμεσα· Phil.
οἷον τῷ ἀνθρώπῳ νόσον ἢ ὑγίειαν· καὶ λευκὸν καὶ μέλαν. εὐδαίμων δὲ καὶ κακοδαίμων τῶν ἐμμέσων. εἰ γάρ τις εὐδαίμων, οὗτος οὐ κακοδαίμων. οὐ μὴν εἰ οὐκ εὐδαίμων, κακοδαίμων ἐξ ἀνάγκης. οὐ γὰρ ἀμέσως ἀντίκειται εὐδαιμονία τε καὶ κακοδαιμονία, ἐπεὶ ἐνδέχεταί τινα σπουδαῖον ὄντα μὴ εἶναι εὐδαίμονα. καὶ εἰ μὲν σπουδαῖος, οὐκ ἐξ ἀνάγκης κακός· οὐ γὰρ ἄμεσα ἀρετὴ καὶ κακία. καὶ ὁ μὲν σώφρων οὐ μαίνεται· οὐ μὴν ὁ μὴ σώφρων μαίνεται. ὥστε οὐκέτι πρὸς κατασκευὴν καὶ ἀνασκευὴν τὰ οὕτως ἐναντία χρήσιμα. μεταφέροντες δὲ τὸν λόγον κατὰ τὴν ἐτυμολογίαν λέγομεν, ὅτι ὁ σπουδαῖος εὐδαίμων ἐστί, τὸν εὐδαίμονα μεταλαμβάνομεν εἰς τὸν κατὰ τὴν ἐτυμολογίαν λόγον· ὁ γὰρ εὖ τὸν δαίμονα ἔχων σημαίνεσθαι δοκεῖ τὸ τοῦ εὐδαίμονος ὄνομα. εἰ δὴ δαίμων ἑκάστου ἡ ψυχή, καθὰ Ξενοκράτει

3397 = P, Ba 239, 5 cf. H 3398 sch. Soph. Ai. 703 3400 l. = L
3401 — μακαριστόν fort. Aelian. Εὐδαιμονέστατος—μακαριστότατος = P, Ba 239, 7 Εὐδαιμονία—βίου Alex. Aphr. 93, 9 = Laert. 7, 88 3402 — γυλιαύχενας sch. Ar. Pac. 864 vs. 18 οὐ sq. Soph. OC 144—5 c. sch. 3403 = P, Ba 239, 6 cf. H 3404 Alex. Aphr. 175, 14—21; 30; 176, 11—15

3398 Z 897 3399 cf. v. Τονεφέρσωρις 3402 Ar. cf. v. στρόβιλοι

4 βασιλέως GIM cp. A 13 βραχὺ F 14 ὀστρακόδερμα A 17 καθὰ I A(GIFVM)
20 ἐσχάτης sch., Kust. 23 νόσον] ὅσον F ἢ] καὶ Kust. 24 οὐ AF Alex.: ὁ GIM om. V 25 οὐκ F: μὴ v. l. Alex. om. rell., ms. D in Alex. 27 οὐκ om. GI cf. Alex. 29 ὁ] οὐ V μὴ AFV: μὲν GIM

δοκεῖ, εἴη ἂν εὐδαίμων ὁ εὖ τὴν ψυχὴν ἔχων· εὖ δὲ τὴν ψυχὴν ἔχει ὁ σπουδαῖος· σπουδαῖος δὲ ἄρα ὁ εὐδαίμων.

3405 **Εὐδαίμων.** πολλὰ μὲν οὖν χρήματα εὑρίσκεται καὶ ἄλλα, Ε ὅσα ἐπὶ προσλήψει τοῦ εὐδαίμονος ὠφελεῖ τοῖς ἔχουσιν.

Δ 3406 **Εὐδαίμων:** ὁ πλούσιος, ὁ ἐνάρετος. πᾶσα ἀνάγκη τοῖς μὲν ἀγαθοῖς ἐν ᾅδου ἔσεσθαι ἄμεινον, τοῖς δὲ κακοῖς κάκιον. οἶμαι δὲ ὅτι καὶ ἐνθάδε ἔτι διατρίβουσι, τοῖς μὲν δικαίοις ἀκολουθήσειν εὐδαίμονα χάριν, τοῖς δὲ ἀδίκοις κακοδαίμονα τίσιν.

Hesy. 3407 **Εὐδαίμων,** Πηλουσιώτης, γραμματικός, σύγχρονος Λιβανίου τοῦ σοφιστοῦ· πρὸς ὃν καὶ διαφόρως φαίνεται γράφων. οὗτος ἔγραψε ποιήματα διάφορα, Τέχνην γραμματικήν, Ὀνοματικὴν ὀρθογραφίαν.

Prov. 3408 **Εὐδαίμων ὁ Κορίνθιος, ἐγὼ δ' εἶην Τενεάτης:** Τένεα κώμη πλησίον Κορινθίων κατάφυτος. ὡς τῶν Κορινθίων, ἅτε ἐν μεγάλῃ πόλει, φθονουμένων καὶ πράγματα ἐχόντων, τῶν δὲ Τενεατῶν ἀπραγμονέστερον διὰ τὸ εὐτελὲς ζώντων ἐλέχθη ἡ παροιμία.

Δ 3409 **Εὔδαιος:** ὄνομα κύριον.

Hom. 3410 **Εὐδείελον:** εὐπεριόριστον.

Hesy. 3411 **Εὔδημος,** ῥήτωρ. ἔγραψε διάφορα, καὶ κατὰ στοιχεῖον περὶ λέξεων, αἷς κέχρηνται ῥήτορές τε καὶ τῶν συγγραφέων οἱ λογιώτατοι· πάνυ ὠφέλιμον.

Δ 3412 **Εὐδία:** ἡ ἄνευ ἀνέμων ἡμέρα.

3413 **Εὖ διάγειν·** οὕτως ἐπέγραφεν Ἐπίκουρος, εὖ διάγειν· χαίρειν δὲ ὁ Κλέων καὶ εὖ πράττειν ὁ Πλάτων.

Σ 3414 **Εὐδιάλογος:** εὐόμιλος.

Σ 3415 **Εὐδίαιος:** χειμάρρους, καὶ τρῆμα τῆς νεώς, δι' οὗ ἡ ἀντλία ἐκρεῖ.

Δ 3416 **Εὐδιεινός:** ὁ καιρός, καὶ ὁ ἄνεμος. καὶ **Εὐδινὸς** ὁμοίως.

Δ 3417 **Εὐδικία:** δικαιοσύνη. τὸ δὲ κλέος, ὅπερ ἐπὶ ταῖς νίκαις Ε τῶν πολεμίων καὶ ἐπὶ τῇ κατ' εἰρήνην εὐδικίᾳ ἣν πεπορισμένος, ἔτι ἀξιοθεατώτερον αὐτὸν πᾶσιν ἐποίει.

Harp. 3418 **Εὔδικος:** εἷς ἐστιν οὗτος τῶν κατασταθέντων ὑπὸ Φιλίππου κυρίων Θετταλίας ἁπάσης.

3405 πολλὰ sq. fort. Aelian. 3406 — πλούσιος = Ambr. 2257 πᾶσα sq. fort. Dam. 3408 cf. Zen. III 96 3410 sch. β 167 cf. Ap. S. 78, 26, H 3412 l. = Ambr. 2518 3413 Laert. 3, 61 3414 = P 3415 = P cf. H 3416 cf. L, Ambr. 2287 et 2585 3417 — δικαιοσύνη cf. sch. τ 111, H 3418 Harp. = P

3410 Z 915 3411 cf. Prooemion 3413 cf. 3664 et v. χαίρειν 6 3414—5 Z 897 3417 Z 906

A(GITFVM) 2 δὲ om. I Alex. 10 οὕτως A ἔγραψε] εἰς add. Daub 11 Ὀνοματικὴν ed. pr.: Ὀνοματικ M Ὀνοματ AGFV Ὀνομάτων IT 12 Τενεάτης Zen. Kust.: Τεναιάτης omnes Τένεα F: Τέναια rell. 14 μεγάλῃ πόλει Kust.: μεγαλοπόλει omnes 14. 15 Τενεατῶν Kust.: Τεναιατῶν omnes 18 καὶ om. F 22 οὗτος A 23 πλάττειν V 27 ὁ alt. om. F 30 ἀξιοθεατότερον Gsf.

3419 Εὐδίνητα: εὔστροφα, εὐκίνητα. τρύπανά τ' εὐδίνητα καὶ ὠκήεντα τέρετρα. ἐν Ἐπιγράμμασιν. x + Anth.

3420 Εὐδίοδον: εὐπόρευτον, βάσιμον. ἐσώρευον δὲ τὰ τεμνόμενα ξύλα ἐπὶ τῆς μεταξὺ χώρας, ὡς εὐδίοδα ᾖ. E

3421 Εὔδμητον: καλῶς ᾠκοδομημένον. Σ

3422 Εὐδοκεῖν: συγκατατίθεσθαι. ὁ δὲ ἔφη εὐδοκεῖν τοῖς λεγομένοις, εἰ λάβῃ πίστεις. ἀντὶ τοῦ ἀρέσκεσθαι. E

3423 Εὐδόκησας: τῆς σῆς ἠξίωσας οἰκειότητος. ὅτι εὐδόκησας ἐν αὐτοῖς. Thdr.

3424 Εὐδοκία: τὸ ἀγαθὸν θέλημα τοῦ θεοῦ. ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς. καὶ ὁ Ἀπόστολος· κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ. Thdr.

3425 Εὐδοκιμώτερος: ὁ γενναῖος. καί, γυναῖκες εὐδοκιμώταται. Δ Metaphr.

3426 Εὐδοκουμένην: καλῶς προσδοκωμένην, ἀρέσκουσαν. Πολύβιος· τοῦ δὲ λέγειν ἀληθινῶς ταῦτα, πίστιν ἔφη ποιήσειν εὐδοκουμένην. E

3427 Εὖδον: ἐκάθευδον. Σ

3428 Εὐδόξιος, ἐπίσκοπος Ἀντιοχείας, ἐξ Ἀραβισσοῦ τῆς μικρᾶς Ἀρμενίας. ὁ δὲ πατὴρ αὐτοῦ Καισάριος ἐπὶ Μαξιμιανοῦ τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο, καίτοι πρότερον ἡδονῶν ἥττων φανείς. ἀλλ' ἐβουλήθη τὰς πρώτας κηλῖδας διὰ τοῦ μαρτυρικοῦ αἵματος ἀπορρύψασθαι. ἥλους γὰρ μεγάλους ἑκατέρου τῶν ποδῶν ἐξ τὸν ἀριθμὸν αὐτῷ διαπερονήσαντες πυρὶ παρέδοσαν. καὶ ἐπειδὴ αὐτίκα πρὸς τὴν φλόγα χανὼν ἀπέθανεν, ἡμίφλεκτον ἔτι καὶ σῷν οἱ προσήκοντες τὸν νεκρὸν ἀνελόμενοι ἔν τινι ἀγρῷ Σουβὶλ λεγομένῳ κατέθεσαν. E

3429 Εὔδοξος, Αἰσχίνου, Κνίδιος, φιλόσοφος, Πλάτωνος ἡλικιώτης· ᾧ τρεῖς ἐγένοντο θυγατέρες, Ἀκτίς, Δελφίς, Φιλτίς. καὶ ἔσχε πρὸς ἀστρολογίαν ὑπερφυῶς ἔγραψέ τε πλεῖστα τοῦ εἴδους τούτου· καὶ Ὀκταετηρίδα, ἔτι δὲ δι' ἐπῶν Ἀστρονομίαν. Hesy.

3430 Εὔδρα. Σ

3431 Εὖ δρῶσι: καλῶς ποιοῦσιν. Σ

3419 — εὔστροφα cf. Et. Gud. = Miller Mél. 327; Byz. Zt. 16, 62 vs. 1 τρύπανά—τέρετρα Anth. 6, 205, 7 3421 = P, Ba 239, 9 cf. sch. A 448, H 3422 ὁ—πίστεις Polyb. fr. 155 3423 Thdr. in Ps. 43, 3, PG 80, 1180a 3424 Thdr. in Ps. 5, 13, PG 80, 901a; Ephes. 1, 5 3425 l. cf. Ambr. 2385; γυναῖκες sq. fort. Metaphr. 3426 τοῦ sq. Polyb. fr. 48 3427 = P, Ba 239, 10, sch. B 2, H cf. Et. M. 389, 48 3428 Philostorg. p. 60 3429 cf. Laert. 8, 86, 88 3430 cf. P = Ba 239, 11 3431 = P, Ba 239, 12, H

3419 Z 915 3420 Z 906 3421 Z 915 3422—3 Z 919 3424 cf. Z 906 3425 Z 897 3426 Z 919

7 λάβοι I λάβει F πίστεις A: πίστιν rell. 13 καὶ—εὐδοκιμώταται A(GIFVM) om. FV mg. AM ad 3428 init. Καισάριος πατὴρ Εὐδοξίου ἐπισκόπου Ἀντιοχείας mg. add. A 19 ἡδονῆς V 20 τοῦ om. A 21 ἀπορρίψασθαι GIM 21. 22 τῶν ἀριθμῶν A^{ac} 22 αὐτῷ A: cp. GM om. I(V) 23 χανὼν A: χαρρῶν I χωρῶν GM σῶιν A; σῷον GIM 24 Σουβὶ A Σούβιλον V 3431 non nov. gl. FM

Harp. 3432 Εὐαίων: ὄνομα κύριον.

Δ 3433 Εὐαίτητος.

Ε 3434 Εὔεδρον: ἀσφαλῆ, βεβαίαν. ὁ δὲ ἐπὶ τῶν νώτων ἐκάθισε καθέδραν εὔεδρον καὶ ἐχυράν.

3435 Εὐέκτης: ὁ ἐν ὑγείᾳ διαζῶν. ἐπεμελεῖτο καὶ σωμασκίας καὶ ἦν εὐέκτης.

Σ 3436 Εὐεκτικῶς: σχετικῶς.

Σ Δ 3437 Εὐεξία: εὐρωστία σώματος. Εὐεξία δέ ἐστιν ἐπιτεταμένη ὑγεία. ἀκρότης ὑγείας εὐεξία. ὅτι τὸ τῷ μείζονι ἀγαθῷ ἐναντίον

Phil. μεῖζόν ἐστι κακόν, ἐπ' ὀλίγον ἄν τις εὕροι τοῦτο μὴ ἔχον οὕτως. ὡς δοκεῖ ἐπὶ τῆς εὐεξίας ἔχειν καὶ τῆς ὑγείας. τὸ γὰρ τῷ μείζονι ἀγαθῷ ἐναντίον (τοῦτο δέ ἐστιν ἡ καχεξία) ἔλαττον εἶναι δοκεῖ κακὸν τῆς νόσου, ἥτις ἐναντία ἐστὶ τῇ ὑγείᾳ, τῷ ἐλάττονι ἀγαθῷ, τῷ τοὺς μὲν νοσοῦντας πάντας καχεκτεῖν, οὐ πάντας δὲ τοὺς καχεκτοῦντας ἤδη καὶ νοσεῖν. τὸ δὲ αἴτιον τοῦτό ἐστιν, ὅτι ἡ μὲν εὐεξία περιείληφεν ἐν αὑτῇ καὶ τὴν ὑγείαν· ἔστι γὰρ ἡ ὑγεία εὐεξία. διὸ περιέχουσα ἐν αὑτῇ καὶ τὴν ὑγείαν ἡ μεῖζον αὐτῆς ἀγαθόν· πρόσεστι γὰρ αὐτῇ τὸ εἶναι αὐτὴν τῶν δι' αὐτὴν αἱρετῶν. ἡ δὲ καχεξία οὐκέτι ἐν αὑτῇ περιέχει τὴν νόσον, ἀλλ' ἔστι μόνῳ ἐκείνῳ, ἐν ᾧ ὑπῆρχεν ἡ εὐεξία τῆς ὑγείας· ἡ δὲ νόσος ἐν αὐτῇ πάλιν περιέχει τὴν καχεξίαν· ἐπὶ γὰρ καχεξίᾳ γίνεται νόσος, ὡς καὶ ἡ εὐεξία ἐπὶ τῇ ὑγείᾳ.

Δ 3438 Εὐέπεια: ἡ καλὴ φράσις.

Δ 3439 Εὐεπήβολος: ὁ καλῶς ἐπιβάλλων. καὶ Εὐεπηβόλως, σαφῶς, καὶ ὀρθῶς.

Synt. 3440 Εὐεργετῶ· αἰτιατικῇ. καὶ Εὐεργέτησέ σε.

x + Anth. 3441 Εὐερκεῖ: καλῶς ἠσφαλισμένῳ. ὄφρα μοι εὐερκεῖ καναχὰν δόμῳ ἔνδοθι θείη.

Σ 3442 Εὐερμία: ἐπιτυχία, εὐτυχία. ὡς δυσερμία, ἡ ἀτυχία. ἐντεῦθεν καὶ τὰ ἀπὸ τῆς τύχης εὑρήματα κοινὸν Ἑρμῆν ἔλεγον. Αἰλιανός·

Ε Μιθριδάτης δὲ τὴν ἀποδημίαν Λευκούλλου ἑαυτῷ κατέγραψεν εὐερμίαν

3432 Harp. = P 3433 cf. L 3434 ὁ sq. Aeliano coll. 3362 attr. Bruhn, Rh. Mus. 45, 274 3436 = P, Ba 239, 15, H 3437 — σώματος = P, Ba 239, 16 ὑγεία = Ambr. 2520, H vs. 9 ὅτι sq. Alex. Aphr. 20, 21—21, 4 3438 l. = Ambr. 2494 3439 — καλῶς cf. Ambr. 2260 Εὐεπηβόλως, σαφῶς cf. Ambr. 2668 3440 — αἰτιατικῇ = Synt. Laur. et Gud., An. Ox. 4, 292, 32 3441 — ἠσφαλισμένῳ cf. H v. εὐερκές, Et. M. 390, 17 ὄφρα sq. Anth. 7, 193, 3 3442 εὐτυχία—ἔλεγον = P cf. Eust. I. 675, 54; — ἀτυχία cf. H Μιθριδάτης—p. 446, 1 εἶναι Aelian. fr. 12

3434 Z 907 3435 Z 898 3436 Z 923 3437 Z 907 3438 Z 906 3439 Z 898 et 923 3441 Z 898 3442 cf. v. Δ 1021. Z 907. Aelian. fr. 266 cf. v. K 146

A (GIFVM) 4 ἐχυράν A Zon.: ἐχράν F ὀχυράν GIVM 9 τὸ om. FV 10 ἔχων A^{ac}F 11 ταῖς εὐεξίαις F 12 δοκεῖ om. AF 15 τούτου Alex. 20 πάλιν ex A solo Alex. 23 Εὐεπίβολος F Εὐεπιβόλως F Ambr. σοφῶς Ambr. Kust. 3440 om. FV 28 ἐπιτυχία ex A solo Zon. 30 δὲ om. A Λευκούλλου A: Λευκούλου FV Λευκάλου GIM Λουκούλου ed. pr. κατέγραφεν A

εἶναι. καὶ αὖθις· ἀσπαζόμενος εὐερμίαν καιροῦ καὶ ἀνάγκης καλούσης μὴ εἴκων κάκῃ.

3443 Εὐερνής: εὐθαλὴς βλαστός. Σ

3444 Εὔερον: εὐάερον πόλιν· ἢ μαλακήν, ὥσπερ σισύραν εὐέριον. Ar.
Πλάτων Ὑπερβόλῳ· λέγει δὲ περὶ τῶν προβάτων. καὶ τοσοῦτον τῆς εὐερίας ἀπολέλαυκεν ὥστε ἀθλιωτάτη ἐστί. Κρατῖνος Πυλαιάν· γλῶσσαν εὐέραν βροτῶν.

3445 Εὐεστοῖ: εὐθηνίᾳ, κατασταίει. Δ

3446 Εὐεστώ· ὅτι Δημόκριτος ὁ Ἀβδηρίτης τέλος τὴν εὐθυμίαν εἶναι Phil.
λέγει, οὐ τὴν αὐτὴν οὖσαν τῇ ἡδονῇ, ὡς ἔνιοι παρακούσαντες ἐξεδέξαντο, ἀλλὰ καθ' ἣν γαληνῶς καὶ εὐσταθῶς ἡ ψυχὴ διάγει, ὑπὸ μηδενὸς τυραννουμένη φόβου ἢ δεισιδαιμονίας ἢ ἄλλου τινὸς πάθους. καλεῖ δὲ αὐτὴν καὶ εὐεστὼ καὶ πολλοῖς ἄλλοις ὀνόμασιν. ὅτι τὸ Suid.
εὐεστὼ εὐδαιμονία καλεῖται· ὥσπερ καὶ τὸ αἰειεστὼ ἐπὶ τῆς ἀϊδιότητος.

3447 Εὐετηρία: εὐθηνία, εὐνομία, εἰρήνη, τὸ καλῶς διακεῖσθαι.

3448 Εὐετήριος· οὗτος ἦν ἐπὶ Ἰοβιανοῦ βασιλέως· ὃς διὰ μὲν E
παιδείαν καὶ φύσεως ὑπερβολὴν οὐδέν τι τῶν ἀρχαίων ἀποδεῶν, διὰ δὲ μαλακίαν ψυχῆς καὶ ἁπλότητα πολλοὺς τῶν οὐκ αἰτίων ἐς κρίσιν κατέδησεν.

3449 Εὖ ἔχειν στόμα: τὸ εὐφημεῖν. οὕτως Εὔπολις. Σ

3450 Εὐζώϊος: ὄνομα κύριον. Δ

3451 Εὐζωΐτου: καλῆς ζωῆς. Σ

3452 Εὔζωνος: ἡ εὐτόκος κάλλει. ἢ καλή. Σ Δ

3453 Εὔζωνοι: ἔνοπλοι, ἢ οἱ μὴ ἔχοντες φορτία. Ἀππιανός· Σ
ποιμὴν ὑπέσχετο στρατὸν εὔζωνον ἄξειν ὁδὸν ἀτριβῆ τρισὶν ἡμέραις. E

3454 Εὔζωρον: εὐκέραστον. Ζωρόν, ἄκρατον. καὶ Εὔζωρον, Δ
καλὸν. ἄκρατον. Ar.

3455 Εὐειδής: ὁ κατὰ θεωρίαν καλός. Δ

3456 Εὖ εἰδότες: καλῶς γινώσκοντες. Σ

3457 Εὔεικτον: εὐπειθῆ, καλῶς εἴκοντα. Σ

3442 ἀσπαζόμενος sq. Aelian. fr. 266 3443 = P, Ba 239, 17 cf. H 3444 sch. Ar. Av. 121; Pl. com. fr. 169; Crat. fr. 175 3445 — εὐθηνίᾳ cf. H, Et. M. 390, 22 3446 — ὀνόμασιν Laert. 9, 45 3447 = P, Ba 239, 18, Bk. 244, 29 cf. H 3448 Eunap. attr. Bhd. 3449 = P; Eup. fr. 381 3450 = Ambr. 2307 3451 = P, Ba 249, 20 3452 — κάλλει = P, Ba 239, 22 cf. H καλή = H cf. sch. A 429 3453 — φορτία = P, Ba 239, 21 cf. H ποιμὴν sq. App. Mac. 6 3454 — εὐκέραστον = Ambr. 2579, H, P, Ba 239, 23. Ζωρόν, ἄκρατον = Ambr. Z 175 ἄκρατον sch. Ar. Eccl. 227 3455 aliter Ambr. 2283 3456 = P, Ba 239, 13 3457 cf. P = Lex. rhet. ap. Et. Gen. et Et. M. 390, 32; — εὐπειθῆ = H cf. Gl. Dionys., PG 4, 25

3443 Z 898 3444 Z 907 3445 Z 906 3446 vs. 14 ὅτι sq. ex v. Al 103 cf. v. A 618 3453 Z 898

5 λέγει—προβάτων post 7 βροτῶν transpos. Kust. sed vid. sch. 6 Πυλαίᾳ A(GIFVM) Pearson 9 ἀθυμίαν IM 13 ὅτι—14 ἀϊδιότητος om. FV mg. A 14 καὶ A: δὲ GM om. I 16 Ἰουβιανοῦ A 23 εὐτόνος F 24 οἱ om. AFV Ba

Δ 3458 Εὔειλος: τόπος ὁ θερμός.

Δ 3459 Εὐηγορία: ἡ καλλιέπεια.

Σ 3460 Εὔηθες: ἐπὶ τοῦ βελτίονος καὶ Θουκυδίδης ἐν γ′ καὶ ὁ φιλόσοφος.

Σ 3461 Εὐηθείας: μωρίας, ἀνοίας. ἔτι τε ἀπολαύων τοῦ καιροῦ καὶ τῆς εὐηθείας τῶν ἐπιχωρίων. οὐ γὰρ ἦν πρᾶγμα φενακίζειν τοὺς ἐπιχωρίους.

3462 Εὐήθειαν αὐτῶν κατεγνωκὼς καὶ Εὐηθείας αὐτῶν κατεγνωκώς· τὸ αὐτό.

Σ 3463 Εὐήθης: βλάξ, ἀνόητος· ἢ ἄχρηστος τὸ ἦθος. Πολύβιος· εὐήθως ἐκλογιζόμενοι τὰ παρόντα καὶ παιδικῶς.

Δ 3464 Εὐηθίζω: τὸ μωραίνω.

Δ 3465 Εὐηκής: ὁ καλῶς ἠκονημένος. καὶ Εὐηκέος.

Σ 3466 Εὐήλατον: τὸ καλῶς ἐληλαμένον. τὸ δὲ πεδίον ἦν ὕπτιον καὶ εὐήλατον καὶ ἐπιτήδειον ἵππῳ ἐμμάχεσθαι. ἀντὶ τοῦ εὐχερῶς ἐλαυνόμενον.

Δ 3467 Εὐήλιος: ὁ καθαρός.

Σ 3468 Εὐημερήσαντος· Ὑπερίδης. τῷ τε σφῶν αὐτῶν βασιλεῖ ἐγκαλεῖν, οἷς εὐημέρησεν ἐν ταῖς ἡλίου δυσμαῖς, καὶ τὰ ἐγκλήματα ἐπιφέρειν.

Σ 3469 Εὐημερία: ὡς ἐν τῇ συνηθείᾳ. Ἄλεξις Ὀλυνθίᾳ· Εὐημερία δέσποινα καὶ Μοῦσαι φίλαι.

Soph. 3470 Εὐημεροῦσαν: ἑκάστῃ ἡμέρᾳ εὖ διάγουσαν. φίλοισί τε ξυνοῦσαν, οἷς ξύνειμι νῦν, εὐημεροῦσαν. δὸς πᾶσιν ἡμῖν, ὥσπερ ἐξαιτούμεθα.

Σ 3471 Εὐηνέμους: εὐδιεινούς, καλούς, ἀχειμάστους.

Σ 3472 Εὐήνιον: εὐπειθές, καλῶς ἡνιοχούμενον. ἡνία γὰρ τὰ λῶρα.

Harp. 3473 Εὐηνιώτατα· εὔηνος, ὁ πρᾶος καὶ μέτριος καὶ μὴ ταραχώδης. ἡ μεταφορὰ ἀπὸ τῶν ἵππων.

3458 cf. L, An. Ox. 2, 210, 6, ex quo Et. M. 390, 31; An. Ox. 1, 303, 19 3459 cf. H 3460 = P cf. Et. M. 390, 48 cf. Bk. 91, 28, Thom. 149, 8; Thuc. 3, 83, 1; Pl. Rep. 4, 425b 3461 — ἀνοίας = P, Σ^{a} cf. Ba 239, 24 = An. Ox. 2, 479, 16; H = Lex. αἱμ. 624, 38, Et. M. 390, 47, Ambr. 2477 3463 — ἦθος = P, Σ^{a} cf. H, Bk. 243, 12, Et. M. 390, 45 εὐήθως sq. Polyb. fr. 49 3464 cf. sch. Pl. Rep. 336b; l. = Ambr. 2643 (= 2657) 3465 = Ambr. 2273 cf. sch. X 319, H, Et. M. 391, 3 3466 — ἐληλαμένον = P, Ba 239, 25 cf. H εὐχερῶς sq. cf. L, H 3467 l. = L 3468 — Ὑπερίδης (fr. 244) = P τῷ sq. Proc. Bell. 2, 3, 57 = EL 94, 24—6 3469 = P; Alexid. 161 (2, 356 K.) 3470 Soph. El. 652—4 c. sch. 3471 = P, Ba 239, 28, Et. Gen., Lex. Rhet. ap. Et. M. 391, 2; H 3472 = P, Ba 239, 26 cf. Et. Gen. = Et. M. 390, 55; H 3473 Harp. = P, Et. Gen. cf. Et. M. 390, 56, Bk. 257, 21, H

3458 Z 898 3459 Z 907 3460 Z 915 3461 Z 907 3464 Z 919 3465 Z 898 3466 Z 915 3467 Z 898 3471 Z 898 3472 cf. vv. Δ 1631, H 387. Z 915

A(GIFVM) 3462 om. FV post 3465 A 15 ἐμμάχεσθαι Port. Hdt. 9, 7 extr.: ἐνμάχεσθαι AGVM ἐν τῷ μάχεσθαι I ἐνδέχεσθαι F 19 εὐημέρησεν A Proc.: εὐημέρισεν GIM εὐημέριαν F εὐημέρησας V 20 ἐπιφέρουσιν A 28 εὐήνιος I Harp. plen. Kust.

3474 Εὐηνίνη: ἡ τοῦ Εὐήνου θυγάτηρ. Δ
3475 Εὐήνορα: τὸν ἀνδρείαν ποιοῦντα· ἐπὶ τοῦ οἴνου. ἐπὶ δὲ τοῦ Σ
χαλκοῦ τὸν εὖ τὸν ἄνδρα τιθέντα.
3476 Εὔηνος: δύο ἀναγράφουσι γεγράφθαι ἐλεγείων ποιητάς, καὶ Harp
ἀμφοτέρους Παρίους.
3477 Εὐῆρες: εὐάγωγον. ἀπὸ τῆς εἰρεσίας. Σ
3478 Εὐηρέστησα: ἤρεσα.
3479 Εὐηρότατον: τὸ καλὴν ἔχον γῆν, τὸ κάλλιμον τῆς γῆς. Δ?
3480 Εὐήροτον: καλῶς ἠροτριωμένον. Σ
3481 Εὐήτριον: ἱμάτιον εὐυφές. Σ
3482 Εὔϊε: Διονύσῳ ὕμνος ἐνθουσιαστικός.
3483 Εὐϊλατεύειν: εὐμενῆ εἶναι. καὶ Εὐΐλατος, ὁ εὐμενής. Σ Δ
3484 Εὖ ἴσθι: καλῶς γνῶθι. Σ
3485 Εὐθαρσῶς ἔπνει· Δέξιππος· ὁ δὲ πάντα τὸν ἀνθιστάμενον E
τιθεὶς ἐν δευτέρῳ ἐκ τῆς πείρας εὐθαρσῶς ἔπνει.
3486 Εὐθένεια: ἡ εὐθηνία. Δ
3487 Εὐθέος: φανεροῦ, εὐθοῦς. καὶ ὁ Δαβίδ· τοῖς εὐθέσι πρέπει Σ
αἴνεσις. τουτέστι τοῖς τὸν θεὸν ἐπεγνωκόσι καὶ πλάνης ἀπηλλαγμένοις. Thdr
Εὐθέως δὲ τὸ ἐπιρρηματικόν. Δ
3488 Εὖ θέσθαι: καλῶς διοικῆσαι. Σ
3489 Εὐθετῆσαι: κοσμῆσαι, συνθεῖναι. οὕτως Ἀριστοφάνης. Σ
3490 Εὐθεῖαν: ἀτρέπτως. εὐθεῖαν ἐδόκει ἐλαύνειν ὡς ἐπὶ Σελεύ- E
κειαν. καὶ αὖθις· ὁ δὲ κτεῖναι μὲν αὐτὸν ἐκ τῆς εὐθείας ἔδεισεν. E
3491 Εὐθεῖαν· τῆς δὲ τριβῆς τὰ αἴτια οὐ δυνατὸς γενέσθαι, εὐθεῖαν E
παρὰ βασιλέα ἐλάσαι, τῷ δεῖσαι τὰς φυλακὰς τὰς Ἀξιδάρου καὶ περι-
ελθεῖν ἐν κύκλῳ καὶ οὕτω διὰ μακροῦ ἀφικέσθαι.
3492 Εὐθηλήμονα· ἄρτι καταβρύκοντα τὸν εὐθηλήμονα μόσχον. Suid.
3493 Εὐθημοσύνη: τάξις. ἱερὸν καὶ πολιτικὸν διήγημα τῆς τῶν Σ
Ἀλεξανδρέων εὐθημοσύνης ἐλέγετο. Ξενοφῶν· καλὸν μὲν οὖν

3474 = Et. Gud. cf. Ambr. 2456, An. Ox. 2, 199, 33, H, sch. I 553 (557) 3475 — εὖ = P, Σ^a; ποιοῦντα = Ba 239, 29 cf. Et. M. 391, 8, Ap. S. 78, 32; τὸν εὖ sq. cf. Ap. S. 78, 30, H, Et. M. 391, 5 3476 Harp. = P 3477 = P, Et. M. 390, 54 cf. Et. Gen., H 3478 in Ps. 25, 3 3479 cf. H, Ambr. 2580 3480 = P, Ba 240, 1 3481 = P, sch. Pl. Polit. 310e cf. Ambr. 2591 3483 — εἶναι = P, Ba 240, 20, H Εὐΐλατος sq. = Ludw. 65, 23 3484 = P, Ba 240, 21, H 3485 FGrHist 100 fr. 37 3486 cf. L 3487 — εὐθοῦς = P, Ba 240, 2 τοῖς εὐθέσι—ἀπηλλαγμένοις Thdr. in Ps. 32, 1, PG 80, 1093b 3488 = P, Ba 240, 4 3489 — συνθεῖναι = P; Ar. fr. 782 3490 εὐθεῖαν—Σελεύκειαν Arr. Parth. fr. 102 ὁ sq. fort. Aelian. 3491 Arr. Parth. fr. 38 3493 — τάξις = P, Et. M. 391, 28 ἱερὸν—ἐλέγετο Dam. fr. 51 cf. Phot. Bibl. 349b 18 καλὸν sq. Xen. Cyr. 8, 5, 7

3477 Z 915 3485 cf. v. A 3292 3490 Arr. cf. v. πρόσω 2 3492 ex v. B 571

8 κάλλιστον ed. pr. 10 εὐϋφυὲς V εὐφυὲς F 17 ὁ om. A A(GIFVM)
20 διοικεῖσθαι V 25 βασιλέως AI 3492 om. FV mg. A

Ε ἡγεῖτο ὁ Κῦρος καὶ ἐν οἰκίᾳ εἶναι ἐπιτήδευμα τὴν εὐθημοσύνην. ὅταν γὰρ τίς του δέηται, δῆλόν ἐστιν, ὅπου δεῖ ἐλθόντα λαβεῖν.

Δ 3494 Εὐθηνία: εὐθηλία τις οὖσα.

3495 Εὐθηνούμενοι: ἐπὶ τὸ βέλτιον προκόπτοντες. καὶ κατ' ὀλίγον εὐθηνούμενοι δυνατώτεροι γίνονται τῶν δεξαμένων αὐτούς.

Δ 3496 Εὐθηνῶ: πλουτῶ.

Δ Harp. 3497 Εὐθίας: ὄνομα κύριον. τῶν ἐπὶ συκοφαντίᾳ διαβεβλημένων ἦν.

ΣΔ 3498 Εὔθικτον: εὐαφές, εὐψηλάφητον. καὶ Εὐθίκτως, τὸ ἐπιρρηματικόν.

3499 Εὐθιξίᾳ· ἔχων τὸν νοῦν εὐθιξίᾳ πρὸς τὴν θεραπείαν εὐθυβολοῦντα. τουτέστιν ἀκριβείᾳ, εὐφυΐᾳ.

Σ 3500 Εὐθύ: κατευθύ, καὶ κατ' ἐναντίον. ἐπ' εὐθείας.

Σ 3501 Εὐθυβόλῳ: ἐξ εὐθείας βάλλοντι.

Σ 3502 Εὐθυγενής: ἴσα καὶ πρὸς τὸ εὐθὲς τεταγμένος.

3503 Εὐθύγλωττος· ἦν δὲ καὶ εὐθύγλωττος πέρα τοῦ δέοντος. ἀντὶ τοῦ ἀληθής.

3504 Εὐθύδημος, διδάσκαλος Ἀπολλωνίου τοῦ Τυανέως, ἐκ Ταρσῶν τῆς Κιλικίας. ὁ γὰρ Ἀπολλώνιος προϊὼν εἰς ἡλικίαν, ἐν ᾗ συγγράμματα, μνήμης τε ἰσχὺν ἐδήλου καὶ μελέτης κράτος, καὶ ἡ γλῶττα Ἀττικῶς εἶχεν, οὐδὲ ἀπήχθη τὴν φωνὴν ὑπὸ τοῦ ἔθνους, ὀφθαλμοί τε πάντες ἐς αὐτὸν ἐφέροντο· καὶ γὰρ περίβλεπτος ἦν τὴν ὥραν. γεγονότα δὲ ἔτη ιδ' παρ' Εὐθύδημον ἄγει ἐς Ταρσοὺς τῆς Κιλικίας, ὃς τοῦτον ἐπαίδευεν· ὁ δὲ τοῦ μὲν διδασκάλου εἴχετο, τὸ δὲ τῆς πόλεως ἦθος ἄτοπόν τε ἡγεῖτο καὶ οὐ χρηστὸν ἐμφιλοσοφῆσαι· τρυφῆς τε γὰρ οὐδαμοῦ μᾶλλον ἅπτονται σκωπτόλαι τε καὶ ὑβρισταὶ πάντες καὶ δεδώκασι τῇ ὀθόνῃ μᾶλλον ἢ τῇ σοφίᾳ Ἀθηναῖοι. ποταμός τε αὐτοὺς διαρρεῖ Κύδνος, ᾧ παρακάθηνται καθάπερ τῶν ὀρνίθων οἱ ὑγρότατοι μεθύοντες τῷ ὕδατι. μεθίστησιν οὖν τὸν διδάσκαλον δεηθεὶς τοῦ πατρὸς ἐς Αἰγὰς τὰς πλησίον, ἐν αἷς ἡσυχία τε πρόσφορος τῷ

3494 l. = Ambr. 2522 3496 = Ambr. 2613 cf. H 3497 — κύριον = Ambr. 2313 τῶν sq. Harp. = P 3498 — εὐψηλάφητον = P, Ba 240, 5, Et. Gen., Et. M. 391, 30 Εὐθίκτως sq. cf. L; Ambr. 2664 = H 3499 — εὐθυβολοῦντα Dam. fr. 120 3500 = P cf. Moer. 195, 27, Tim. 3501 = P, Ba 240, 6 cf. H 3502 = P; Ba 240, 7 3503 — δέοντος Dam. fr. 23 = Phot. Bibl. 336 b 22 3504 Philostr. 1, 7

3495 Z 919 3498 Z 916 3499 Z 907 3500 Z 924 3503 cf. v. A 4587. Z 899 3504 cf. v. A 3193, v. ὀθόνη, v. K 2613; hinc v. σκωπτόλαι

A(GIFVM) 2 ἐστιν] ὅτι F 19 ὁ—p. 451, 5 Εὔξενος om. F 19 ᾗ—20 ἐδήλου A Philostr.: λόγοις πολλὴν ἰσχὺν εἶχε GIVM 20 ἡ—21 ἔθνους A Philostr., v. A 3193: γλώττης Ἀττικῶς GIM γλώττης Ἀττικῆς V 22 τε A Philostr.: δὲ GIVM ἐς] ὡς I ἑαυτὸν A 23 δὲ om. A ἔτη A Philostr.: ἐτῶν GIVM 25 πόλεως A Philostr.: χώρας GIVM 26 σκωπτόλη V σκωπτοῦλαι GI 27 τῇ alt. om. A, v. ὀθόνη Ἀθηναῖοι GVM 29 μεθύοντες τῷ ὕδατι ex A Philostr. 30 τε om. V

φιλοσοφήσοντι καὶ σπουδαὶ νεανικώτεραι καὶ ἱερὸν Ἀσκληπιῷ ἐπίδηλον τοῖς ἀνθρώποις. ἐνταῦθα ξυνεφιλοσόφουν μὲν αὐτῷ Πλατώνειοί τε καὶ Χρυσίππειοι καὶ οἱ ἀπὸ τοῦ Περιπάτου· οὐδὲ τῶν Ἐπικούρου λόγων ἀπεσπούδαζε. διδάσκαλος δὲ ἦν αὐτῷ τῶν Πυθαγόρου λόγων Εὔξενος.

3505 Εὐθυδικία· ὅταν εἰσάγηταί τις κριθησόμενος, περὶ ὧν μηδέπω γνῶσις ἐγένετο δικαστηρίου, τοῦτο εὐθυδικία καλεῖται. περὶ ὧν γὰρ κεκρίσθαι τίς φησι, περὶ τούτων παραγράφεσθαι ἐφεῖται. οὐκ ἀκούσαντες τῆς εὐθυδικίας, καὶ εἰκότως· οὐ γὰρ ἐπὶ τῷ δικάζειν ἐκάθηντο, ἀλλ' ἐπὶ προσχήματι καὶ προσώπῳ δικαστῶν. Σ E

3506 Εὐθυεπείαις: ὀρθολογίαις. Σ

3507 Εὐθυκλῆς· τῶν δραμάτων αὐτοῦ ἐστιν Ἄκωτοι ἢ Ἐπιστολή· ὥς φησιν Ἀθήναιος ἐν τοῖς Δειπνοσοφισταῖς. Hesy.?

3508 Εὐθυλήπτων: εὐχερῶς κρατουμένων, εὐκόλων. τοῦτο γὰρ δρᾶν εἰώθασιν αἱ σφοδραὶ ἐπιθυμίαι, οὐκ εὐθυλήπτων ὄντων τῶν ἐπιθυμουμένων. E?

3509 Εὐθυμένης: ὄνομα κύριον. ἄρχων Ἀθηναῖος· ἐφ' οὗ κατελύθη τὸ ψήφισμα τὸ περὶ τοῦ μὴ κωμῳδεῖν, γραφὲν ἐπὶ Μορυχίδου. Δ Ar.

3510 Εὔθυμος, Λοκρός τῶν Ἐπιζεφυρίων, ὃς ἠγωνίσατο πὺξ πρὸς Θεαγένην τὸν Θάσιον. καὶ ὑπερεβάλετο μὲν ὁ Θεαγένης, ἐπηρεάσας τὸν Εὔθυμον, οὐ μέντοι ἐν παγκρατίῳ λαβεῖν ἠδυνήθη τὸν κότινον, προκατειργασμένος ὑπὸ Εὐθύμου. ἐνίκησε δὲ Εὔθυμος τὰς ἑφεξῆς Ὀλυμπιάδας τρεῖς καὶ ἐστεφανώθη, τοῦ Θασίου μὴ καταστάντος οἱ ἐς πυγμήν, ἀλλ' ἑτέρων. οὗτος ὁ Εὔθυμος ἠγωνίσατο καὶ πρὸς τὸν ἐν Τεμέσῃ ἥρωα Ἀλύβαντα. ἡ δὲ Τέμεσα τῆς Ἰταλίας ἐστίν, ἐς ἣν Ὀδυσσεὺς πλανώμενος περὶ Σικελίαν ἦλθεν. ἔνθα εἷς τῶν ναυτῶν μεθύσας καὶ παρθένον βιασάμενος κατελεύσθη ὑπὸ τῶν ἐγχωρίων. καὶ Ὀδυσσεὺς μὲν ἐν οὐδενὶ τὴν ἀπώλειαν θέμενος ἔπλει, τοῦ δὲ τελευτήσαντος ὁ δαίμων οὐκ ἀνίει τοὺς ἐν Τεμέσῃ ἀνθρώπους ἐπεξερχόμενος καὶ φονεύων, ὥστε καὶ ὥρμησαν φυγεῖν καταλιπόντες τὴν πόλιν, εἰ μὴ ἡ Πυθία σφᾶς ἐπέσχε, τὸν ἥρωα ἱλάσκεσθαι τέμενος ἐργασαμένους καὶ κατ' ἐνιαυτὸν τὴν καλλίστην οὖσαν παρθένον ἐς γυναῖκα ἐπιδιδόντας. ταῦτα πολλοῖς ἔτεσι τελούμενα πυθόμενος ὁ Εὔθυμος ἐσῆλθεν εἰς τὸ τέμενος καὶ τὴν παρθένον ἰδὼν καὶ οἰκτείρας, πρὸς δὲ καὶ ἐς

3505 — ἐφεῖται = P, Lex. Rhet. ap. Et. Gen. et Et. M. 391, 44 cf. Bk. 259, 4 οὐκ sq. Aelian. fr. 168 3506 = P, Ba 240, 8, H 3507 Ἀθήναιος 3, 124 b 3508 τοῦτο sq. fort. Aelian. 3509 ἄρχων sq. sch. Ar. Ach. 67 3510 Paus. Per. 6, 6, 4—10

3505 sch. Dem. Bavar. 34, 4; Z 907 3506 Z 907 3508 Z 899

1 φιλοσοφήσαντι GIVM, v. l. Philostr. καὶ σπουδαὶ νεανικώτεραι ex A A (GIFVM) Philostr. Ἀσκληπιοῦ Philostr., ed. pr.; cp. A 2 μὲν om. V 8 περιγράφεσθαι GIFVM v. l. Et. ἀφεῖται F Et. Gen. 17 Ἀθήνησι Gsf., cp. AVM 18 μὴ om. A 21 λαλεῖν V 22 προκατηργασμένος GIM 25 Ἀλύβαντε V 27 καὶ alt.—28 ἔπλει om. V 28 τοῦ δὲ A: τούτου δὲ τοῦ rell.

ἔρωτα ἐλθὼν ἐνεσκευάσατο ὡς πολεμήσων τῷ δαίμονι, καὶ αὐτὸν μὲν νύκτωρ ἐπελθόντα ἐνίκησε καὶ ἐξήλασεν, ὡς μηκέτι αὐτόθι φανῆναι, τὴν δὲ παρθένον γαμετὴν ἠγάγετο.

Σ 3511 Εὔθυνα: ἡ εὐθύνη. κυρίως ἦν εἰσάγουσιν οἱ λογισταὶ πρὸς τοὺς δόξαντας μὴ ὀρθῶς ἄρξαι τῆς πόλεως ἢ πρεσβεῦσαι κακῶς. καὶ τὰ δικαστήρια μὲν οἱ λογισταὶ κληροῦσι, κατηγορεῖ δὲ ὁ βουλόμενος· καὶ τοῖς δικασταῖς ἐφεῖται τιμᾶσθαι τοῖς ἁλοῦσιν. ὅτι τῆς ἐλεφαντίνης Ἀθηνᾶς, ἣν Φειδίας ἐποίησεν, ἐπὶ τοῖς ἀναλώμασι ταχθεὶς ὁ Περικλῆς καὶ νοσφισάμενος ν′ τάλαντα, ἵνα μὴ δῷ τὰς εὐθύνας, τὸν πόλεμον ἐκίνησεν.

Σ 3512 Εὐθύνας: δίκας, τιμωρίας.

Σ 3513 Εὐθῦναι: ἐξετάσαι, ὀρθῶσαι.

Harp. 3514 Εὐθῦναι: ὄνομα ἀρχῆς παρὰ Ἀθηναίοις. δέκα δὲ τὸν ἀριθμὸν ἄνδρες ἦσαν, παρ' οἷς ἐδίδοσαν οἱ πρεσβεύσαντες ἢ ἄρξαντες ἢ διοικήσαντές τι τῶν δημοσίων τὰς εὐθύνας.

Σ 3515 Εὐθύνοντας: ὁρμῶντας.

Σ 3516 Εὔθυνος: εὐθυντής.

Σ 3517 Εὐθύνουσιν: ἐρωτῶσι, δίκας εἰσπράττουσιν.

Synt. 3518 Εὐθύνω· αἰτιατικῇ.

Δ 3519 Εὐθυωρία.

Harp. 3520 Εὐθυωρόν: ἀντὶ τοῦ κατ' εὐθεῖαν. οὕτως Ἀντιφῶν καὶ Ξενοφῶν. Εὐθυωρόν, αὐτῇ τῇ ὥρᾳ. τὸ δὲ βέλος ἀνεωγμένον Ε προφθάσαν τὸ στόμα, ἐκεῖσε ἐμπεσὸν κατέπαυσε τὴν πτῆσιν. καὶ δὴ ὁ Κὼχ εὐθυωρὸν ἀπεβίω.

Σ Δ 3521 Εὐθυρρήμων: ἐτυμολόγος. καὶ ῥῆμα Εὐθυρημονῶ.

Ar. ὅτε λέγει Ἀριστοφάνης τὸ δεῖνα, τὸ ῥηθησόμενον ἀηδὲς ἐκφεύγει εὐθέως λέγειν, ἵνα μὴ εὐθυρημονήσῃ.

Ar. 3522 Εὐθύς: ἀντὶ τοῦ ἐν ἀρχῇ, παραυτίκα. Ἀριστοφάνης· ἐπίσχες. εὐθὺς γάρ σ' ἔχω μέσον λαβὼν ἄφυκτον. τὸ ἑξῆς, λαβών σε ἄφυκτον

3511 — ἁλοῦσιν = P, Ba 240, 10, Et. Gen., Et. M. 391, 56, Bk. 245, 6 cf. Poll. 8, 45, sch. Pl. Leg. 945 d, Tim. ὅτι sq. cf. sch. Ar. Pac. 605
3512 = P, Ba 240, 16 cf. H 3513 = Ba 240, 9, P, H 3514 Harp. = P, Et. Gen., Et. M. 391, 53 3515 = P, Ba 240, 15, An. Ox. 2, 479, 21
3516 = P cf. Et. Gen. = Et. M. 391, 49; H 3517 = P, Ba 240, 17 cf. H
3518 = Synt. Laur. 3519 = Ambr. 2561 3520 — Ξενοφῶν Harp. = P; Antiph. fr. 40; Xen. An. 2, 2, 16 Εὐθυωρόν sec.—ὥρᾳ = Et. M. 391, 43 τὸ sq. Men. Prot. fr. 70, FHG 4, 269 3521 — ἐτυμολόγος = Ba 240, 18, Σ[a], P, H, Ambr. 2274 ὅτε sq. sch. Ar. Pac. 268 3522 — p. 453, 2 ἠττωμένων Ar. Nu. 1047 c. sch. vs. 3 σὺ sq. Ar. Nu. 987

3511 ὅτι sq. cf. v. Φειδίας 3511—4 sch. Dem. Bavar. 24, 54 3512 Z 907
3513 Z 919 3515 Z 919 3517 Z 919 3520 Men. cf. v. ὁ Κώχ. Z 916 = 924
3521 Z 899 3522 Z 924

A(GIFVM) 1 μὲν om.V 2 ἐπελθόντα A: φανέντα rell. 4 ἡ εὐθύνη ex A, sch. Dem. ad vs. 8 Ἀθηνᾶς ἄγαλμα ἐλεφάντινον mg. add. A 14 ἐδέδοσαν GIM 24 ὁ F, v. ὁ Κώχ: ὦ A ὄν(ομα) GIVM εὐθυωρὸν] ἤγουν παραυτίκα ss. V 25 Εὐθυρρημονῶ cett. I

ἔχω, εὐθὺς μέσον λαβών. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν παλαιστῶν, τῶν λαμβανομένων εἰς τὸ μέσον καὶ ἡττωμένων. καὶ αὖθις Ἀριστοφάνης Νεφέλαις· σὺ δὲ τοὺς νῦν εὐθὺς ἐν ἱματίοις διδάσκεις ἐντετυλίχθαι.

3523 Εὐθὺς καὶ Εὐθέως: ἀμφότερα Ἑλληνικά. τὸ δ' εὐθὺ διαφέρει τούτων. οὐ γὰρ τὸ παραχρῆμα σημαίνει, ἀλλὰ τὸ ἕως καὶ εἰς. οἷον... παρὰ Θουκυδίδῃ τὸ παραχρῆμα καὶ τὸ ἐξ εὐθείας καὶ ἀσκόπως. Thuc

3524 Εὐθὺ σκοποῦ: ἀκριβές, κατ' εὐθεῖαν. καὶ οἱ μὲν ἐκ τοῦ λιμένος ἀπῆραν, εὐθὺ δὲ τοῦ Παχύνου ἐφέροντο. Σ E

3525 Εὐθὺ τοῦ Διός: ἀντὶ τοῦ πρὸς τὸν Δία. Ar.

3526 Εὐκαρδίως: προαιρετικῶς. ἡ δὲ κόρη ὑπακούει προθύμως τε καὶ εὐκαρδίως. E

3527 Εὐκατάπρηστος: εὐκατάκαυστος. Σ

3528 Εὐκατεργάστου: εὐχειρώτου, εὐδιαλύτου. τῆς οἰκοδομίας οὔσης εὐκατεργάστου.

3529 Εὐκαιρία. ὅτι Ἀντίοχος ὁ βασιλεὺς πάνυ ὠρέγετο τῆς Ἐφέσου διὰ τὴν εὐκαιρίαν, τῷ δοκεῖν μὲν κατὰ τῆς Ἰωνίας καὶ τῶν ἐφ' Ἑλλησπόντου πόλεων καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἀκροπόλεως ἔχειν θέσιν, κατὰ δὲ τῆς Εὐρώπης ἀμυντήριον ὑπάρχειν ἀεὶ τῆς Ἀσίας βασιλεῦσιν εὐκαιρότατον. Δ E

3530 Εὐκέατον: τὸ εὔσχιστον. Δ

3531 Εὔκερως: βοῦς, ὁ καλὰ κέρατα ἔχων. Εὔκαιρος δὲ ὁ καλὸς καιρός. καὶ Εὐκαίρως, ἐπιρρηματικὸν ἀντὶ τοῦ ἁρμοζόντως, εἰς καιρὸν δέοντα. εὐκαίρως δὲ παριόντος Κράτητος, ὁ βιβλιοπώλης δείξας αὐτὸν φησί, τούτῳ παρακολούθησον. Δ

3532 Εὐκαιρεῖν: πλουτεῖν. ὁ δὲ ἑκάλει τῶν πολιτῶν τοὺς δοκοῦντας εὐκαιρεῖν τοῖς βίοις. E

3533 Εὐκαιρίαν· ὁ δὲ θαυμάσας τὴν τῆς πόλεως θέσιν καὶ τὴν τῆς ἀκροπόλεως εὐκαιρίαν πρός τε τοὺς ἐκτὸς Ἰσθμοῦ καὶ πρὸς τοὺς ἐντὸς ἀπολαμβανομένους τόπους. καὶ αὖθις· οἱ δὲ ἐθαύμαζον τὴν ἀρετὴν τῆς χώρας καὶ τὰς κατὰ τὸν Νεῖλον εὐκαιρίας. E EL

3534 Εὐκεί. Δ

3535 Εὐκηλήτειρα: ἡ ἡσυχάστρια. Δ

3523 — οἷον = P, sch. Luc. 2, 19 cf. Ammon. 100, Bk. 96, 8 παραχρῆμα sq. sch. Thuc. 2, 5, 6 cf. Et. M. 391, 39 3524 — εὐθεῖαν = P, Ba 240, 19 καὶ sq. fort. Diodor. 3525 sch. Ar. Pac. 68 3526 ἡ sq. Iambl. fr. 15* 3527 = P cf. H 3529 l. = Ambr. 2530 ὅτι sq. Polyb. 18, 41 a, 2 3530 = L cf. H, sch. ε 60, Ambr. 2464 3531 — ἔχων praeter βοῦς = Ambr. 2278. Εὔκαιρος—καιρός = Ludw. 181, 27 εὐκαίρως alt. sq. Laert. 7, 3 3532 Polyb. fr. 156 3533 — τόπους Polyb. 30, 10, 3 οἱ sq. Diodor. 33, 28 a = EL 407, 6, 10 3535 = Ambr. 2452, H

3523 Z 924 3526 Z 924 3528 Z 907 3530 Z 916 3532 Z 920 3535 Z 914

4 εὐθὺ AF: εὐθὺς rell. 5 σημαίνειν A 8 φέροντο V 16 τῆς AV: A(GIFVM) τοὺς F om. GIM 17 κατὰ alt. om. GIM. 18 τῆς alt. AV: τοῖς GIFM 3530—3 inverso ord. 28 ἐκτὸς AFVM: ἐντὸς GI 29 ἐντὸς AFV: ἐκτὸς GIM 32 Εὐκηλήτηρα A

Δ 3536 Εὔκηλος: ὁ ἥσυχος.

Hom. 3537 Εὐκλεές: ἔνδοξον.

Δ 3538 Εὔκλεια: ἡ δόξα. ἡγεῖσθαι μὲν ἀγαθὸν οὐδὲν εἶναι τὴν εὔκλειαν, ἀντιποιεῖσθαι μὴν αὐτῆς ἱκανῶς, ὠφελείας ἕνεκα τῶν ἄλλων ἀνθρώπων, ὡς τῶνγε φιλοσόφων δοξάντων ἀχημονεῖν, οἴχεσθαι ἐκ τοῦ βίου πᾶσαν αἰδῶ καὶ ζήλωσιν τοῦ ἀμείνονος ἤθους. καὶ αὖθις Ε Ἰώσηπος· θέμενος εὐκλείας ἐν δευτέρῳ τὸ ζῆν.

Hesy. 3539 Εὐκλείδης, Μεγαρεύς (Μεγάρων δὲ τῶν ἐν τῷ Ἰσθμῷ), φιλόσοφος, καὶ τὴν ἐξ αὐτοῦ κληθεῖσαν Μεγαρικὴν αἵρεσιν εἰσήγαγεν, ἣν δὴ καὶ Διαλεκτικὴν καὶ Ἐριστικὴν προσαγορευθεῖσαν. γέγονε δὲ μαθητὴς Σωκράτους· μεθ' ὃν Ἰχθύας, εἶτα Στίλπων ἔσχον τὴν σχολήν. συνέγραψε διαλόγους Ἀλκιβιάδην, Αἰσχίνην, Κρίτωνα, Φοίνικα, Λαμπρίαν, Ἐρωτικόν· καὶ ἄλλα τινά.

Anth. 3540 Εὐκλέϊσον: ἀντὶ τοῦ δόξης καὶ εὐκλείας ἀξίωσον. πρόφρων ἀμετέραν εὐκλέϊσον γενεάν.

Σ 3541 Εὐκληρία: εὐτυχία.

Λ 3542 Εὐκολίνη: ἡ εὔκολος πόλις.

Ai. 3543 Εὔκολος: ἁπλοϊκὸς τὸν τρόπον, καὶ ἐλευθέριος. ἢ ὁ ἐναντιούμενος τῷ δυσκόλῳ. ὁ δὲ ἁπλοῦς ἦν καὶ μάλα εὔκολος, συμπειθόμενος καὶ παρελκόμενος ἀγωνιᾶν τὸ ἀνδράποδον, καθάπερ Ὀδύσσειόν τινα καὶ Θεμιστόκλειον παρεληλυθότα δεινότητα καὶ πανουργίαν.

Σ 3544 Εὐκράς: ἀντὶ τοῦ εὔκρατος.

Σ 3545 Εὐκρινές: εὐχερές.

Δ 3546 Εὐκρίνεια: ἡ καθαρότης.

Σ 3547 Εὐκρινής: συνήθως μὲν ὁ ἐξ ἀρρωστίας ὑγιάνας λέγεται, διὰ τὸ εὖ κεκρίσθαι. οὗτοι δὲ καὶ ἐπὶ τοῦ νεκροῦ τιθέασι κατὰ ἀντίφρασιν.

Δ 3548 Εὔκριτος: ὄνομα κύριον.

Σ 3549a Εὐκταῖον: εὐχῆς ἄξιον, πολύτιμον, ὑγιές. παρ' ἐμοὶ δει-

3536 = Ambr. 2275, sch. A 554, Et. M. 392, 8, H 3537 sch. P 415 cf. Ba 240, 23, H, P 3538 — δόξα = Ambr. 2478 cf. Bk. 242, 31, H ἡγεῖσθαι —ἤθους fort. Dam. θέμενος sq. Ios. Bell. 1, 43 3539 cf. Laert. 2, 106, 108, 112 3540 πρόφρων sq. Anth. 6, 269, 6 3541 = P, Ba 240, 24 cf. H; l. = Ambr. 2571 3542 cf. Ambr. 2455; Et. M. 392, 27 = Call. fr. 62 S. 3543 — ἐλευθέριος sch. Ar. Ran. 82. vs. 18 ὁ—19 δυσκόλῳ l. l. 359 cf. P = H vs. 19 ὁ sq. Dam. fr. 21; sed Eunap. attr. Bhd. 3544 = Lex. Rhet. ap. Et. Gen, et Et. M. 392, 29, sch. Pl. Crit. 112d, P, H 3545 = P, Ba 240, 25, H 3546 l. = Ambr. 2488 3547 = P, Et. Gen., Et. M. 392, 30 cf. H 3548 = Ambr. 2302 3549a — ὑγιές = P, Ba 240, 26; — ἄξιον = Ambr. 2577, H v. εὐκτόν παρ'—p. 455, 2 χρήζεις fort. Iambl.

3537—8 Z 908 3540 Z 920 3541 Z 908 3543 Dam. cf. v. Ὀδύσσεια. Z 899 3544 Z 899 3546 Z 908

A(GIFVM) 4 μὴν AFV: μὲν GM δὲ I 7 τὸ] τῷ A 9 καὶ] δὲ Kust. δὲ καὶ Bhd.; 10 γέγονε—11 Σωκράτους post 9 φιλόσοφος transtulit Flach 9 ἦν—13 τινα om. FV 9.10 ἣν δὴ] ἤδη Bhd. 10 προσηγόρευσεν ed. pr. προσηγόρευσαν Kust. 11 Σωκράτους I: Σωκράτης GM cp. A 12 Ἀλκιάδην A Φοίνικας A 18 ἢ] καὶ V Zon. 29 ὑγιές] τὸ δι' εὐχῆς γεγονός add. F

πνήσατε πρότερον ἀμφότεροι· θύων γὰρ τυγχάνω ἱερὰ εὐκταῖα, καὶ τοὺς παῖδας ἄγων ἴθι, καὶ τῶν φίλων οὓς χρήζεις. καὶ Εὐκταῖος. Δ

3549b Εὐκτήμονος: πλουσίου.

3550 Εὐκτόν: ἐπιθυμητικόν. Ἀγαθίας· οἱ δὲ Φράγκοι ἀφειδῶς ἐνέκειντο, ὡς τὸν Ναρσῆν ζωγρήσαντες καὶ πόνῳ ξὺν βραχεῖ πέρας εὐκτὸν ἐπιθήσοντες ἅπαντι τῷ πολέμῳ. E

3551 Εὐλάβεια: παρὰ Σοφοκλεῖ ἔννοια καὶ σκέψις. ἐν γὰρ τῷ μαθεῖν ἔνεστιν εὐλάβεια τῶν ποιουμένων. οὐ γὰρ τὸν φόβον φησὶ νῦν. Soph.

3552 Εὐλάβεια: ἡ καθαρότης, καὶ ὁ φόβος. Εὐλαβία δὲ ὄνομα κύριον. Δ

3553 Εὐλαβεῖτο.

3554 Εὐλαβηθείς· τῶν Ῥωμαίων τὸ πρόθυμον εὐλαβηθεὶς ὁ Γεζέριχος τοῖς ἑαυτῷ ἑπομένοις ἐσήμαινε διὰ τάχους ἐπικουρεῖν. καὶ Πισίδης· οὐκ ηὐλαβήθης τὰς ἐνοχλούσας νόσους. E

3555 Εὐλαβής: ὁ εὖ τῶν πραγμάτων ἐπιλαμβανόμενος, ὁ μὴ προχείρως τι ποιῶν, ἢ καὶ ὁ εἰς λαβὴν ἐπιτήδειος· οἷον, εὐλαβὴς μάχαιρα. ἢ ὁ εὖ προσλαμβάνων τὸ μέλλον. δύσληπτος δὲ ὁ δυσχερής. ἀπὸ τῶν χειρῶν. Ecl.

3556 Εὐλαβοῦ: φυλάσσου. εὐλαβοῦ δέ, μὴ ἐκφύγῃ σε. καὶ γὰρ οἶδε τὰς ὁδούς, ἅσπερ Εὐκράτης ἔφευγεν εὐθὺ τῶν κυρηβίων. ἐπὶ τῶν φευγόντων. Ἀριστοφάνης. καὶ Εὐλαβοῦμαι· αἰτιατικῆ. γενικῆ δέ· ἀψύχων εὐλαβοῦμαι. εἰ γὰρ βαπτίσω σε. Σ Ar. Synt.

3557 Εὐλαβῶς· ὁ δὲ Φίλιππος ὁρῶν τοὺς Ἀχαιοὺς εὐλαβῶς διακειμένους πρὸς τὸν κατὰ Ῥωμαίων πόλεμον ἐσπούδαζε κατὰ πάντα τρόπον ἐμβιβάσαι αὐτοὺς εἰς ἀπέχθειαν. E

3558 Εὖλαχα: τὸ ἄροτρον, παρὰ Θουκυδίδῃ ἐν χρησμῷ τινι. Δώριος δὲ ἡ λέξις. Σ + x

3559 Εὐλαί: σκώληκες. καὶ Εὐλαίων, τῶν σκωλήκων. ἡ δὲ Φερετίμα, ἡ Κυρήνης βασίλισσα, ἀνθ' ὧν ἔδρασε δίκας ἔδωκε· ζῶσα γὰρ ἐξέζεσεν εὐλέων. ὅ ἐστι σκωλήκων. ὡς φησι Βάβριος ἐν μυ- Hom. Hdt. E + Hdt.

3550 οἱ sq. Agath. 1, 22 p. 61 3551 Soph. OC 115—6 c. sch. 3552 cf. L. Εὐλαβία sq. = Ambr. 2506 3554 — ἐπικουρεῖν fort. Prisc. οὐκ sq. Pisid. Heracl. Acr. 1, 169 3555 = An. Ox. 2, 437, 26, unde Et. M. 392, 40 3556 — φυλάσσου = P, Ba 240, 27 cf. Moer. 196, 2 εὐλαβοῦ alt.—φευγόντων Ar. Eq. 253—4 c. sch. Εὐλαβοῦμαι· αἰτιατικῆ = Synt. Gud. 3557 Polyb. 16, 38 3558 praeter ἐν χρησμῷ τινι = P, Zon. 908; Thuc. 5, 16, 2 3559 — σκώληκες sch. X 509 = Et. M. 392, 46, Orion 52, 11 cf. Ap. S. 78, 34 = sch. T 26; H = sch. Pl. Ax. 365c Εὐλαίων, σκωλήκων gl. Hdt. 3, 16 ἡ—vs. 30 εὐλέων Aeliano attr. de Boor, Rh. Mus. 45, 479 Βάβριος 205 (p. 184)

3556 Ar. cf. v. τὰς ὁδούς 3559 Aelian. fr. 53 cf. v. A 3674. Z 908

1 πρότερον] πρὼ Bhd. 4 Φράγγοι IF 5 ζωγρήσοντες GIVM cf. Agath. 3553 ex GIM 12 τὸ] τε G δὲ I 17 προλαμβάνων GIM 21 καὶ—22 σε om. FV δέ om. A 22 ⟨ἐπὶ⟩ ἀψύχων Bhd. 26 Δώριος A 28 et 30 Εὐλέων I^{ac}M^{ac} gl. Hdt. A (GIFVM)

Ε θικοῖc. καὶ αὖθιc: ἐξέζεcε ζῶν κακοῖc θηρίοιc, οἱ μὲν εὐλαῖc, οἱ δὲ ὅτι οὐ ταύταιc, φθειρσὶ δὲ μᾶλλον. ἢ οὕτωc· φθειρσί γε μήν.

Δ 3560 Εὔληπτοc: ὁ ταχέωc καταλαμβανόμενοc.

3561 Εὐλόγηcα, καὶ οὐκ ηὐλόγηcα. ὡc Ἀττικώτερον γὰρ τὸ εὐλόγηcα. εὐλογημένοc γὰρ λέγειc καὶ οὐκ ηὐλογημένοc.

Δ 3562 Εὐλογείτω.

Δ 3563 Εὐλογείτωcαν: ἐπαινείτωcαν.

Σ 3564 Εὐλόγηκεν: ἐβλαcφήμηcεν. ἐπὶ τοῦ Ἰώβ. εὐλογῶν εὐλογήcει.

Ar. 3565 Εὐλογῆcαι: ἐπαινέcαι, ὑμνῆcαι, ἐγκωμιάcαι. ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήcεται.

Thdr. 3566 Εὐλογήcαι ἡμᾶc ὁ θεόc· αἰτιατικῇ. εἰδέναι προcήκει, ὡc εὐλογοῦντεc μὲν οἱ ἄνθρωποι τὸν θεόν λόγουc αὐτῷ προcφέρουcι μόνουc, ἔργῳ δὲ αὐτὸν εὐεργετῆcαι οὐ δύνανται. ὁ δὲ θεὸc εὐλογῶν βεβαιοῖ τοὺc λόγουc τῷ ἔργῳ καὶ παντοδαπὴν παρέχει φορὰν ἀγαθῶν τοῖc εὐλογουμένοιc.

Δ 3567 Εὐλογιcτήc.

Σ 3568 Εὐλογιcτίαc: εὐλογίαc, εὐβουλίαc.

Phil. 3569 Εὔλογον ἀξίωμα: τὸ πλείονας ἀφορμὰc ἔχον εἰc τὸ ἀληθὲc εἶναι· οἷον, βιώcομαι αὔριον. λόγου ποτὲ γενομένου πρὸc Κλεάνθην τὸν φιλόcοφον καὶ Πτολεμαῖον τὸν βαcιλέα περὶ τοῦ δοξάcειν τὸν cοφόν, καί τινοc εἰπόντοc ὡc οὐ δοξάcει, βουλόμενοc ὁ βαcιλεὺc ἐλέγξαι αὐτόν, κηρίναc ῥοὰc ἐκέλευcε παρατεθῆναι. τοῦ δὲ cοφοῦ ἀπατηθέντοc ἀνεβόηcεν ὁ βαcιλεὺc ψευδεῖ cυγκατατεθεῖcθαι αὐτὸν φανταcίᾳ. πρὸc ὃν ὁ cοφὸc εὐcτόχωc ἀπεκρίνατο, εἰπὼν οὕτω cυγκατατεθεῖcθαι, οὐχ ὅτι ῥοαί εἰcιν, ἀλλ' ὅτι εὔλογόν ἐcτι ῥοὰc αὐτὰc εἶναι· διαφέρειν δὲ τὴν καταληπτικὴν φανταcίαν τοῦ εὐλόγου.

3570 Εὐλόφωc: γενναίωc. ὁ δὲ πρὸc τοὺc ἐπαναcτάνταc εὐλόφωc ἀγωνιcάμενοc ἐπέδειξεν ἀληθῆ ὄντα τὸν λόγον, ὃν ἔφη Cωκράτην εἰπεῖν ὁ Ξενοφῶν πρὸc Ἰcχόμαχον, ὡc ἔcτιν ἄρα τὸν ἀγαθὸν ὠφελεῖcθαι καὶ ὑπὸ τῶν βλάπτειν αὐτὸν πειρωμένων. καὶ αὖθιc· εὐλόφῳ

3559 vs. 1 ἐξέζεcε sq. Aelian. fr. 53 3560 = Ambr. 2272 cf. H 3562 cf. Ambr. 2599, H 3563 cf. H v. εὐλογείτω 3564 — ἐβλαcφήμηcεν = P, Ba 240, 28 εὐλογῶν sq. Deut. 15, 4 3565 — ἐγκωμιάcαι sch. Ar. Eq. 565 cf. Bk. 95, 4 ἡ sq. Ps. 48, 19 3566 αἰτιατικῇ cf. Synt. Laur. et Gud. εἰδέναι sq. Thdr. in Ps. 66, 8, PG 80, 1373b c 3568 = P, Ba 240, 29 cf. H 3569 — αὔριον Laert. 7, 76. λόγου sq. Laert. 7, 177 3570 vs. 28 ὁ—31 πειρωμένων Dam. fr. 298. εὐλόφῳ sq. Dam. fr. 89 cf. Phot. Bibl. 342a 32—5

3561 hinc v. H 646 3564—5 Z 920 3569 Z 917 3570 Z 924

A(GIFVM) 1 ζῶν om. FV μὲν] δὲ add. V 3561 om. F V post 3565 A 4 οὐκ om. A 14 δύναται AF 15 παντοδαπῆ VM παντοδαπῶν Thdr. 3568 non nov. gl. FM 20 Κλεάνθην] cf. Laert. 7, 176 21 δοξάcειν A Laert.: δοξάζειν rell. 22 δοξάcει A Laert.: δοξάζει rell. 23 παρατεθῆναι A^{ac}GIM Laert.: παρατεθεῖναι A^{ac} περιτεθεῖναι F παραδοῦναι V 24 αὐτὸν—25 cυγκατατεθεῖcθα om. A 26 διαφέρει A 29 ἔφη AF: ἔφθη GIVM Cωκράτην ed. pr.: cp. A. Cωκράτηc rell. 30 ὡc] ὅc V

αὐχένι τὴν ἄσκησιν ὑπομένων ἐφαίνετο, οὔτε τὸ σῶμα κεκακωμένος οὔτε τὴν ψυχὴν τεταλαιπωρημένος.

3571 Εὔλυτος· Μάρκος Ἀντωνῖνός φησιν· ἔξω ἀναμένων τὸ ἀνακλητικὸν ἐκ τοῦ βίου εὔλυτος μήτε ὅρκου δεόμενος μήτε ἀνθρώπου τινὸς μάρτυρος. Suid

3572 Εὐμάθεια: τὸ καλῶς μανθάνειν. Δ

3573 Εὐμαρέη: ἀπόπατος παρὰ Ἡροδότῳ. Hdt.

3574 Εὐμάρεια: ἡ εὐκολία. λέγεται δὲ καὶ ἡ εὐκοσμία παρὰ Μάρκῳ Ἀντωνίνῳ. καὶ ἐν Ἐπιγράμμασι· οὐ βαθύπεπλος εὔμαρις. Δ Anth.

3575 Εὐμάρεια: ἡσυχία Ἡρόδοτος. τοῦτο φυγῆς τῷ Ἀννίβᾳ πλείονα εὐμάρειαν παρέσχε· διώκειν γὰρ οἱ τετρωμένοι ἦσαν ἥκιστοι. Hdt E

3576 Εὐμάρειαι: εὐχέρειαι. τὸν πλοῦτον κτήσασθαι μὲν εὐμαρές, φυλάξασθαι δὲ οὐ ῥᾴδιον. Σ

3577 Εὐμαρής: εὔκολος, εὐχερής. Εὔμαρις δὲ θηλυκόν. Σ Δ

3578 Εὔμαιος: ὄνομα κύριον. Δ

3579 Εὐμένης, βασιλεὺς Μακεδόνων· ὃς τῇ μὲν σωματικῇ δυνάμει παραλελυμένος ἦν, τῇ δὲ τῆς ψυχῆς λαμπρότητι προσαντεῖχεν, ἀνὴρ ἐν μὲν τοῖς πλείστοις οὐδενὸς δεύτερος τῶν καθ' αὑτὸν βασιλέων γενόμενος, περὶ δὲ τὰ σπουδαιότατα καὶ κάλλιστα μείζων καὶ λαμπρότερος. ὅς γε πρῶτον μὲν παραλαβὼν παρὰ τοῦ πατρὸς τὴν βασιλείαν συνεσταλμένην τελέως εἰς ὀλίγα καὶ λιτὰ πολισμάτια ταῖς μεγίσταις τῶν καθ' αὑτὸν δυναστειῶν ἐφάμιλλον ἐποίησε τὴν ἰδίαν ἀρχήν, οὐ τύχῃ τὸ πλεῖον συνεργῷ χρώμενος, οὐδ' ἐκ περιπετείας, ἀλλὰ διὰ τῆς ἀγχινοίας καὶ φιλοπονίας, ἔτι δὲ πράξεως τῆς αὐτοῦ. δεύτερον φιλοδοξότατος ἐγενήθη καὶ πλείστας μὲν τῶν καθ' αὑτὸν βασιλέων πόλεις Ἑλληνίδας εὐηργέτησε, πλείστους δὲ κατ' ἰδίαν ἀνθρώπους ἐσωματοποίησεν. τρίτον ἀδελφοὺς ἔχων τρεῖς, καὶ κατὰ τὴν ἡλικίαν καὶ πρᾶξιν πάντας τούτους συνέσχε πειθαρχοῦντας αὐτῷ καὶ δορυφοροῦντας καὶ σῴζοντας τὸ τῆς βασιλείας ἄξίωμα. τοῦτο δὲ σπανίως εὕροι τις ἂν γεγονός. ὁ δὲ Εὐμένης οὗτος ὑπὸ Ἀντιγόνου ἀναιρεῖται, ἀνὴρ σοφώτερος ἢ κατὰ τοὺς λοιποὺς τῶν Μακεδόνων δόξας εἶναι καὶ ἀνεπίληπτος ἐν στρατηγίαις, ὡς καὶ τῷ ἔπειτα χρόνῳ παρασχεῖν ὄνομα. E V

3572 = Ambr. 2487 3573 gl. Hdt. 2, 35 et 4, 113 cf. H 3574 — εὐκολία aliter Ambr. 2499 λέγεται—εὐκοσμία Marc. 4, 3, 2 οὐ sq. Anth. 7, 413, 3—4 3575 — ἡσυχία gl. Hdt. 4, 113 = H τοῦτο sq. Polyb. attr. Valck. 3576 — εὐχέρειαι = P, Ba 240, 30 cf. H, sch. Soph. Tr. 193 3577 — εὐχερής = P, Ba 240, 31, Et. Gen., Et. M. 393, 10 cf. sch. Soph. El. 179, H 3578 = Ambr. 2303 3579 — vs. 29 γεγονός Polyb. 32, 8 = EV 2, 197, 28—198, 12

3571 ex v. A 1908 3573—5 Z 908—9 3574 cf. 3577 3576 cf. v. πλοῦτος 3579 Polyb. cf. v. περιπέτεια

3571 om. FV post 3572 A 9 ἡ ἡσυχία GIM Ἡροδότου A 13 θηλυκῶς F 3578 om. A 15 μὲν om. A 16 τῆς] τῇ A 19 παραλαβὼν A Exc.: λαβὼν GIVM 22 τύχει τῷ A 24 μὲν om. V; τῶν—25 βασιλέων om. GIVM 26 ἐσωματοποίησεν] ἀντὶ τοῦ καθιστόρησεν mg. add. A τρίτον] δὲ add. GIM 29 εὕροι τις ἂν GIM Exc.: ἂν εὕροι τις A οὗτος] ad Eumenem Cardianum pertinere perspexit Reines. 30 σοφώτερος A: σοφώτατος GIM 31 δόξας A: δόξειεν GIM A (GIFVM)

Hom.? Soph. 3580 Εὐμενίδες: αἱ Ἐριννύες, αἵ εἰσι καταχθόνιοι δαίμονες. μεταβαλεῖν δέ φασιν αὐτὰς τὸ ὄνομα ἐπὶ Ὀρέστῃ. τότε γὰρ πρῶτον Εὐμενίδας κληθῆναι, εὐμενεῖς αὐτῷ γενομένας, κριθέντι νικᾶν παρ' Ἀθηναίοις, καὶ ὁλοκαυτώσαντι αὐταῖς ὄϊν μέλαιναν. Φιλήμων δὲ ὁ κωμικὸς ἑτέρας φησὶ τὰς Σεμνὰς θεὰς τῶν Εὐμενίδων. Σοφοκλῆς· αἱ γὰρ ἔμφοβοι θεαί σφ' ἔχουσι, γῆς τε καὶ σκότους κόραι. καὶ παροιμία· ἄλλα δ' ἀλλαχοῦ καλά. παρ' ὅσον τὰς Εὐμενίδας ἄλλοί ἄλλως καλοῦσιν. ἄλλα οὖν ὀνόματα παρ' ἄλλοις καλὰ νομίζονται, παρ' ἡμῖν δὲ ταῦτα, τὸ ὀνομάζειν αὐτὰς Εὐμενίδας κατ' εὐφημισμὸν τὰς Ἐριννύας.

Suid.

Harp. 3581 Εὐμενίδες: Αἰσχύλος Εὐμενίσιν, εἰπὼν τὰ περὶ τὴν κρίσιν τὴν Ὀρέστου φησίν, ὡς ἡ Ἀθηνᾶ ἐπράϋνε τὰς Ἐρρινύας, ὥστε μὴ χαλεπῶς ἔχειν πρὸς τὸν Ὀρέστην, Εὐμενίδας αὐτὰς ὠνόμασεν. εἰσὶ δὲ τρεῖς, Ἀληκτώ, Μέγαρα, Τισιφόνη.

Prov. 3582 Εὐμεταβολώτερος κοθόρνου: κόθορνος εἶδος ὑποδήματος, ἑκατέροις ποσὶν ἁρμόζον. ὅθεν καὶ Θηραμένην, τὸν ἐπὶ τῶν Τριάκοντα, Κόθορνον ἐκάλουν οἱ Ἀθηναῖοι. ἐπὶ τῶν οὖν συνεχῶς μεταβαλλομένων ἡ παροιμία.

Σ 3583 Εὐμολπία πολλάκις τῆς ἡμέρας τρεπόμενος, ἢ εὐφωνία ἢ εὐημερία.

Σ 3584 Εὐμολπίδαι: γένος ἀπὸ τοῦ Θρᾳκός, ὃς καὶ τὴν μύησιν εὗρεν· ἢ ἀπὸ τοῦ Μουσαίου υἱοῦ, ὃς ἦν ἀπὸ τοῦ δευτέρου πέμπτος. ἐπηράσαντο δὲ αὐτῷ Εὐμολπίδαι καὶ Κήρυκες. καὶ αὖθις· εἶτα μέντοι E παρ' οὐδὲν θέμενος τὰ σεμνὰ Εὐμολπιδῶν καὶ Κηρύκων καὶ τῶν ἄλλων γενῶν ἱερῶν τε ὄντων καὶ θεοφιλῶν, ἐπίρρητον δὲ καὶ θῆλυν σοφίαν προελόμενος.

Hesy. 3585 Εὔμολπος, Ἐλευσίνιος ἤτοι Ἀθηναῖος, υἱὸς Μουσαίου τοῦ ποιητοῦ, ὡς δέ τινες μαθητὴς Ὀρφέως, ἐποποιὸς τῶν πρὸ Ὁμήρου. γέγονε δὲ καὶ Πυθιονίκης· πρὸς λύραν γὰρ ἐπεδείκνυντο οἱ ποιηταί. οὗτος ἔγραψε τελετὰς Δήμητρος καὶ τὴν εἰς Κελεὸν ἄφιξιν καὶ τὴν τῶν μυστηρίων παράδοσιν, τὴν ταῖς θυγατράσιν αὐτοῦ γενομένην, ἔπη τὰ πάντα τρισχίλια. Χειροσκοπικὰ πεζῶς, βιβλίον α΄.

3580 Ἐριννύες—δαίμονες sch. I 454 μεταβαλεῖν—vs. 6 κόραι Soph. OC 39—40 c. sch. 42; Philem. fr. 217 (2, 534 K.) 3581 Harp. = P 3582 cf. Zen. III 93, P, Paroem. ed. Gsf. 51, n. 440 3583 = Ba 241, 1 cf. P; εὐφωνία = H 3584 — πέμπτος = P, Et. Gen., Et. M. 393, 28 ἐπηράσαντο —Κήρυκες Maxim. Tyr. 6, 6 c (p. 73, 17 ed. Hobein) εἶτα sq. Aelian. fr. 10

3580 — δαίμονες cf. 2994. vs. 8 ἄλλα sq. ex v. A 1053 3584 sch. Dem. Bavar. 22, 27. Maxim. cf. 2196

A(GITFVM) 1 μεταβαλεῖν—9 Ἐριννύας om. V 6 καὶ alt.—9 Ἐριννύας om. F 7 καλά] κακά M 9 αὐτὰς ex A, v. A 1053 εὐφημισμὸν M 10 τὴν alt. om. F 13 Μέγαιρα T Harp. plen. Τισεφόνη GITM 15 ἁρμόζων GTVM 21 πέμπτος] ἔτους V 22 αὐτοῦ GITM 27 ποιητοῦ] hic vs. 20 ὃς—25 προελόμενος transpos. V ὡς—31 α΄ om. FV 31 πεζῶς A: πεζὰ δὲ GIM

3586 Εὐμοιρία: εὐκληρία. καὶ Εὐμοιρότερον, εὐτυχέστερον. Σ|
οἱ δὲ τοὺς ἀχρείους σφῶν ὑπὸ τοῦ λιμοῦ πιεζόμενοι ἐξέβαλον εἰς τὸ E
μεσοτείχιον, καὶ ἐκτείνοντο εὐμοιρότερον ὑπὸ τῶν πολεμίων. εἰς θέαν
καὶ νόησιν τοῦ ἀληθοῦς καὶ ψευδοῦς, εὐμοιρίαν. Δαμάσκιος.
3587 Εὐμοιρῶ σου. Δ
3588 Εὐνάς: κοίτας· ἢ ἀγκύρας. καὶ Εὐνίων, τῶν στρωμάτων. Σ
οἱ μὲν ἐκ τῶν εὐνίων ἀνεπήδων, οἱ δὲ ὡπλίζοντο ἀμελῶς. E
3589 Εὐνεῖκα, Σαλαμινία. Suid.
3590 Εὐνηθέντας: κατακοιτασθέντας. Σ
3591 Εὔνηος: ὄνομα κύριον. Δ
3592 Εὐνῖδαι: γένος ἐστὶ παρ' Ἀθηναίοις οὕτως ὀνομαζόμενον. Harp.
ἦσαν δὲ κιθαρῳδοί, πρὸς τὰς ἱερουργίας παρέχοντες τὴν χρείαν.
3593 Εὔνις: ἡ γαμετή. Εὖνις, ἐστερημένη τῶν ἐπιτηδείων. Δ
3594 Εὐνοϊκῶς: φιλικῶς, πιστῶς. Δ
3595 Εὐνομία: εἰρήνη. Δ
3596 Εὐνομιανός: ὄνομα κύριον. τὸν δὲ Εὐνομιανὸν ἔλουσε Βελισάριος τὸ Suid.
θεῖον λουτρόν (ἀντὶ τοῦ ἐβάπτισε), χερσὶ δὲ οἰκείαις ἀνελόμενος εἰσποιητὸν ἐποι-
ήσατο παῖδα, ἥπερ εἰσποιεῖσθαι Χριστιανοῖς νόμος.
3597 Εὐνομουμένη: εἰρηνεύουσα, εὐθηνουμένη, καλῶς διακειμένη. Σ
3598 Εὐνόμιος· οὗτος εἰς Κύζικον προβάλλεται ἐπίσκοπος ἐπὶ E
Οὐάλεντος τοῦ βασιλέως. ὑπογραφεὺς δὲ οὗτος γέγονεν Ἀετίου, τοῦ
ἐπικληθέντος Ἀθέου. συνὼν δὲ αὐτῷ τὸν ἐκείνου σοφιστικὸν τρόπον
ἐζήλωσε, λεξειδίοις τε σχολάζων καὶ ποιῶν ἑαυτῷ σοφίσματα οὐκ
ἠσθάνετο. ἐκ τούτων τυφωθεὶς εἰς βλασφημίαν ἐξέπεσε τὸ Ἀρείου
δόγμα ζηλῶν, κατὰ πολλὰ δὲ τοῖς τῆς ἀληθείας δόγμασι πολεμῶν,
ὀλιγομαθῶς μὲν ἔχων πρὸς τὰ ἱερὰ γράμματα καὶ μηδὲ συνιέναι αὐτὰ
δυνάμενος, πολύχους δὲ τὴν λέξιν καὶ τὰ αὐτὰ περιστρέφων ἀεὶ καὶ
μὴ δυνάμενος περιγενέσθαι τοῦ προτεθέντος σκοποῦ· ὡς δεικνύουσιν
οἱ ζ' τόμοι, οὓς ἐματαιοπόνησεν εἰς τὰς πρὸς Ῥωμαίους ἐπιστολάς.
πολλοὺς γὰρ λόγους ἐς αὐτὰς ἀναλώσας τῆς ἐπιστολῆς τὸν σκοπὸν
ἐλεῖν οὐ δεδύνηται. ἐφάμιλλοι δὲ αὐτοῦ καὶ οἱ ἄλλοι λόγοι τυγχάνου-
σιν, ἐν πολυλεξίᾳ ἔχοντες νοημάτων εὐτέλειαν.

3586 — εὐκληρία = P, Ba 240, 32 οἱ—πολεμίων App. Hann. 29 εἰς—εὐμοιρίαν Dam. fr. 32 cf. Phot. Bibl. 337a 35—6 3587 Εὐμοιρῶ = Ambr. 2633 3588 — ἀγκύρας = P, Ba 241, 4, H, Apion cf. sch. A 436, Ap. S. 79, 3, Et. M. 393, 45, L 3590 cf. P = Σ^a; Ba 241, 5; H, sch. θ 292 3591 l. = L 3592 Harp. = P 3593 — γαμετή cf. Ap. S. 79, 12. ἐστερημένη cf. sch. X 44, Ap. S. 79, 10, L, H, Et. M. 393, 40, Herodian. gr. 2, 272, 22, ap. Orion. 57, 31, unde Et. Gud. 3594 cf. H 3595 aliter Ambr. 2536, H 3597 = P, Ba 241, 6 3598 Socr. h. e. 4, 7

3586 Z 909 3589 ex v. Σαπφώ 1 3594 Z 924 3596 ex 902 3597 Z 920 3598 cf. v. πολύχους

3 μεσοτείχεον A 4 Δαμάσκιος om. A 3589 om. AFV 13 Εὖνις alt.] A(GIFVM) nov. gl. IF 3596 om. FV post 3597 A 19 εὐθυνουμένη GI ἐθυνουμένη F 21 δὲ γέγονεν οὗτος Ἀνετίου A 25 πολλὰ AM: πολὺ GI 30 αὐτὰς v. πολύχους: αὐτὴν Socr. αὐτοὺς omnes

Σ 3599 Εὐνοίας: φιλίας. τὸν γὰρ στρατόν, ᾧ καταρασσόμενον
E ἐλθεῖν αὐτὸν παρακαλοῦσι, δι' εὐνοίας εἶναι τῷ θεῷ.

Synt. 3600 Εὐνοῶ σοι.

Phil. 3601 Εὔνους· Ἀριστοτέλης λέγει ἐν τοῖς Τόποις· δεῖξαι θέλοντες, τὸν φίλον μὴ εἶναι εὔνουν εἶναι, εἰ εὔνους μὲν ὁ ὀρθῶς νοῶν καὶ τὰ ἀληθῆ καὶ τὰ ἀγαθὰ νοῶν, οὐ πάντως δὲ ὀρθῶς ὁ φίλος νοεῖ. ὁ δὲ τόπος οὗτος τὸ μὲν πιθανὸν καὶ ἔνδοξον καὶ διαλεκτικὸν ἔχει, οὐ μὴν ὑγιὲς τὸ λεγόμενον ἐπὶ πάντων· οὔτε γὰρ εὐθάλασσος λέγεται ὁ ἔχων ἀγαθὴν θάλασσαν, οὔτε εὔχειρ ὁ καλὰς ἔχων χεῖρας, ἀλλ' ὁ πυκτικός, οὔτε μεγαλόψυχος ὁ ἔχων ψυχὴν μεγάλην. διὸ οὐδὲ εὐδαίμων ὁ σπουδαῖος, ὡς ἤδη καὶ τὸν δαίμονα ἔχων τὸν ἐν αὑτῷ. καὶ τὸ τοῦ φίλου ἔργον αἱρετώτερον ἢ τὸ τοῦ εὔνου, καὶ φιλία εὐνοίας· ἔστι δὲ τοῦ μὲν φίλου ἔργον ἡ μετὰ βουλήσεως πρᾶξις τῶν ἀγαθῶν εἰς τὸν φίλον, τοῦ δὲ εὔνου ἡ βούλησις μόνον· καὶ ἐπεὶ φιλία εὐνοίας αἱρετώτερον, καὶ τὸ τῆς φιλίας ἔργον τοῦ τῆς εὐνοίας αἱρετώτερον· καὶ τὸ εὖ ποιεῖν τοὺς φίλους τοῦ κακῶς ποιεῖν τοὺς πολεμίους· καὶ ἔστι τὸ μὲν εὖ ποιεῖν τοὺς φίλους ἔργον τοῦ ἐλευθερίου, τὸ δὲ κακῶς τοὺς ἐχθροὺς τοῦ ἀνδρείου.

Prov. 3602 Εὔνους ὁ σφάκτης: τοῦτο κυρίως δύναται λέγεσθαι ἐπὶ τοῦ Ὀρέστου.

Σ 3603 Εὐνούστατα: φιλίως.

E 3604 Εὐνοῦχος· ἀνήρ τις ἦν (εἰ δοίημεν αὐτὸν ἄνδρα εἶναι) διὰ τῶν Ἐπικούρου λόγων τὴν ψυχὴν ἐκνευρισθεὶς καὶ θῆλυς γενόμενος, ὁ χλούνης τε καὶ γύννις, ὥσπερ ἐπιλαθόμενος ὤθησεν ἑαυτὸν ἐς τὸ μέγαρον φέρων, ἔνθα δήπου τῷ ἱεροφάντῃ μόνῳ παρελθεῖν θεμιτὸν

Suid. ἦν. ὅτι Ἀριστόνικος ὁ τοῦ Πτολεμαίου τοῦ βασιλέως Αἰγύπτου εὐνοῦχος ἦν, ἀλλ' ἀνδρώδης τὴν προαίρεσιν. ζήτει καὶ ἄλλα φερώνυμα ἐν τῷ ἄρρεν. ὅτι ὁ βασιλεὺς Θεοδόσιος ὁ μικρὸς ὀργῇ τῇ πρὸς Ἀντίοχον τὸν Πραιπόσιτον ἐξεφώνησε διάταξιν, εὐνοῦχον ἐν τοῖς πατρικίοις μὴ τελεῖν. καθῃρέθη δὲ εὐθὺς καὶ ὁ Πραιπόσιτος Ἀντίοχος τῆς τιμῆς καὶ ἐδημοσιεύθη καὶ τοῖς ἱερεῦσι κατετάγη, διαβληθεὶς εἰς καθοσίωσιν.

3605 Εὔξενος, οὐ πάνυ σπουδαῖος οὐδὲ ἐνεργῷ τῇ φιλοσοφίᾳ χρώμενος. γαστρός τε γὰρ ἥττων ἦν καὶ ἀφροδισίων, καὶ κατὰ τὸν Ἐπί-

3599 = P, Ba 241, 3 τὸν sq. Ios. Ant. 4, 106 3600 cf. Synt. Laur. et Gud. 3601 — vs. 11 αὐτῷ Alex. Aphr. 176, 27—177, 5. vs. 12 καὶ sq. l. l. 264, 12—18 3602 = Paroem. ed. Gsf. 41, n. 380 3603 = P, Ba 241, 8 3604 — vs. 26 ἦν pr. Aelian. fr. 10 3605 Philostr. 1, 7

3599 Z 909 3603 Z 924 cf. 917 3604 cf. 512, vv. Γ 504, I 195, M 381, χλοῦναι vs. 26 ὅτι—27 προαίρεσιν ex v. A 3925 vs. 27 ὅτι sq. partim ex v. ὕπατοι cf. v. A 2694, v. πατρίκιος 2 3605 cf. v. χαίρειν 2 et v. μελετώμενοι

A(GIFVM) 3599 extra ord. 3600 om. AFV 4 δεῖξαι—18 ἀνδρείου] καὶ τὰ ἑξῆς F om. V 5 εἶναι bis om. Alex. ὁ om. GIM cf. Alex. 8 γὰρ om. GIM 15 αἱρετωτέρα GIM cf. Alex. 17 καὶ om. A 22 ἦν del. Bhd. 24 ὅσπερ Kust. 26 ὅτι—27 προαίρεσιν ex A solo, post 3602 27 ζήτει—31 καθοσίωσιν ex A solo 30 τῆς Bas.: ὁ τῆς A 33 τὸν] τὴν V

κουρον ἐσχημάτιστο· τὰς δὲ Πυθαγόρου δόξας ἐγίνωσκεν, ὥσπερ οἱ ὄρνιθες, ἃ μανθάνουσι παρὰ τῶν ἀνθρώπων. τὸ γὰρ χαῖρε, καὶ τό, εὖ πράττε, καὶ τό, Ζεὺς ἵλεως, καὶ τὰ τοιαῦτα οἱ ὄρνιθες εὔχονται οὔτε εἰδότες ὅ τι λέγουσιν, οὔτε διακείμενοι πρὸς τοὺς ἀνθρώπους, ἀλλὰ ἐρρυθμισμένοι τὴν γλῶτταν. ὁ δὲ ὥσπερ οἱ νέοι τῶν ἀετῶν ἐν ἁπαλῷ μὲν τῷ πτερῷ παραπέτονται τοῖς γειναμένοις αὐτούς, μελετῶμενοι ὑπ' αὐτῶν τὴν πτῆσιν, ἐπειδὰν δὲ αἴρεσθαι δύνανται, ὑπερπέτονται τοὺς γονέας, ἄλλως τε κἂν λίχνους αἴσθωνται καὶ κνίσης ἕνεκα πρὸς τῇ γῇ πετομένους· οὕτω καὶ ὁ Ἀπολλώνιος προσεῖχε τῷ Εὐξένῳ παῖς ἔτι καὶ ἤγετο ὑπ' αὐτοῦ βαίνων ἐπὶ τοῦ λόγου, προελθὼν δὲ ἐς ἔτος ϛ′ καὶ ι′ ὥρμησεν ἐπὶ τὸν Πυθαγόρου βίον πτερωθεὶς ἐπ' αὐτὸν ὑπό τινος κρείττονος. οὐ μὴν τὸν Εὔξενον ἐπαύσατο ἀγαπῶν, ἀλλ' ἐς προάστειον, ἐν ᾧ κῆποί τε ἅπαλοὶ ἦσαν καὶ πηγαί, τοῦτον ἀγαγών, σὺ μὲν ζῆθι, ἔφη, τὸν σαυτοῦ τρόπον· ἐγὼ δὲ τὸν Πυθαγόρου ζήσομαι.

3606 **Εὔξεινος**: ὄνομα πελάγους, ὁ πόντος. λέγει Ἡρόδοτος· πελαγέων γὰρ ἁπάντων ἐστὶ θαυμασιώτατος. Σ + Δ E

3607 **Εὐξίθεος**: προδότης Ἠλείων. Harp.

3608 **Εὔξοον**: καλῶς ἐξεσμένον. Σ

3609 **Εὐοδία**: ἡ καλὴ ὁδός. σημαίνει δὲ καὶ κύριον ὄνομα. **Εὐωδία** δὲ ἡ εὐοσμία, διὰ τοῦ ω μεγάλου. Δ

3610 **Εὐοδιανός**: ὄνομα κύριον. Δ

3611 **Εὐοδίας**: ὄνομα κύριον. Δ

3612 **Εὔοδος**, Ῥόδιος, ἐποποιός, γεγονὼς ἐπὶ Νέρωνος, ὁ θαυμαζόμενος εἰς Ῥωμαϊκὴν ποίησιν. τούτου τὰ βιβλία οὐ φαίνεται. Hesy.

3613 **Εὐοδῶ**· αἰτιατικῇ. Synt.

3614 **Εὐομιλότατος**. Δ

3615 **Εὐόργητος**: πρᾶος. Σ

3616 **Εὐοργήτως**: ἀντὶ τοῦ εὐτρόπως. ὀργὴ ὁ τρόπος παρὰ Θουκυδίδῃ. Thuc

3606 — πελάγους = H cf. P = Ba 241, 9. ὁ πόντος = Et. M. 394, 38, Ambr. 2270 πελαγέων sq. Hdt. 4, 85, 2 3607 Harp. 3608 = P, Ba 241, 10, sch. Δ 105, Et. M. 394, 46 cf. H 3609 — ὁδός = Ambr. 2511, Ps. Herodian. 232, Ludw. 208, 26. κύριον ὄνομα = Ambr. 2504. Εὐωδία—εὐοσμία = H cf. Ambr. 2510. διὰ sq. = Ps. Herodian. 232 cf. Ludw. 208, 26 3610 = Ambr. 2306 3613 = Synt. Laur. et Gud. 3614 = Ambr. 2396 3615 = P 3616 sch. Thuc. 1, 122, 1

3609 cf. 3623. Z 914 3616 cf. v. ὀργή. Z 925

2 παρὰ A, v. χαίρειν, Philostr.: ἀπὸ GIVM 6 ἁπλῷ V αὐτοὺς ex A, v. μελετώμενοι, Philostr. A(GIFVM) 7 δύνωνται GI, v. μελετώμενοι 8 τε ex A, v. μελετώμενοι, Philostr. κνίσσης GIVM, v. l. v. μελετώμενοι 10 βαίνων—λόγου ex A Philostr. 11 ϛ′ καὶ ι′ A: ιϛ′ rell. Πυθογορείου V ἐπ' AM Philostr.: ὑπ' GIV 12 μὴν] δὲ add. GVM τὸν] τὸ A 14 ἔφη post ἀγαγὼν GIVM 20 καὶ om. A 25 φαίνεται] φέρεται Gsf. cf. 3953 extr. ὧ ὅσα ὁ χρόνος τῷ τῆς λήθης βυθῷ παραδίδωσι, τοῦτο μὲν ἐξ ἀπροσεξίας, τοῦτο δὲ φθόνου βολαῖς (βουλαῖς M) ἀϊστωθέντα mg. add. AM 29 ὀργὴ] γὰρ add. Zon.

Δ 3617 Εὐορκία: τὸ καλῶς ὀμνύειν.

Ar. 3618 Εὐόρκου: εὐσεβοῦς. Ἡσίοδος· ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείβη. καὶ Ἀριστοφάνης· ἀλλ' εἴ τι χαίρεις ἀνδρὸς εὐόρκου τρόποις.

3619 Εὔοπτος ἀνήρ.

Σ 3620 Εὐόφθαλμον: τὸ εὔοπτον. καὶ Εὐοφθάλμως, Ἀντιφῶν

Harp. ἀντὶ τοῦ εὐπρεπῶς.

Δ? 3621 Εὐοχεῖται: ἐπὶ τοῦ ἐλέφαντος. ἀντὶ τοῦ καλῶς ἡνιοχεῖται. Εὐωχεῖται δὲ ἀντὶ τοῦ εὐφραίνεται ἐν τραπέζῃ.

Σ 3622 Εὐοψίαν: ἀντὶ τοῦ εὐπροσωπίαν.

Δ 3623 Εὐωδία: ἡ εὐοσμία.

Δ 3624 Εὐωδοῦτο: κατευωδοῦτο. καὶ Εὐωδώθη, κατευωδώθη.

Δ 3625 Εὐωείκη: ὄνομα κύριον.

Σ Δ 3626 Εὔωνον: εὐτελές. καὶ Εὔωνος, ὄνομα κύριον.

Σ 3627 Εὐώνυμον: τὸ ἀριστερόν.

Σ 3628 Εὐωρία: ψιλῶς, τὸ μὴ πάνυ φροντίζειν, ἀλλὰ ῥᾳθυμότερόν πως ἔχειν.

Δ 3629 Εὔωπος: ὁ εὐόφθαλμος.

Δ 3630 Εὐωρῶ: τὸ παίζω.

Δ 3631 Εὐωχία: ἡ τράπεζα.

Synt. 3632 Εὐωχοῦμαι· γενικῆ.

Σ 3633 Εὐπάθεια: διάχυσις καὶ ἄνεσις τῆς ψυχῆς, καὶ τρυφή. ἡ

Phil. εὐπάθεια διαιρεῖται εἰς χαράν, εὐλάβειαν, βούλησιν. καὶ ἡ μὲν χαρὰ ἐναντία ἐστὶ τῇ λύπῃ καὶ τῇ ἡδονῇ οὖσαν εὔλογον ἔπαρσιν· τὴν δὲ εὐλάβειαν τῷ φόβῳ, οὖσαν εὔλογον ἔκκλισιν. φοβηθήσεσθαι μὲν γὰρ τὸν σοφὸν οὐδαμῶς, εὐλαβηθήσεσθαι δέ. τῇ δὲ ἐπιθυμίᾳ ἐναντίαν εἶναι τὴν βούλησιν, οὖσαν εὔλογον ὄρεξιν. καθάπερ οὖν ὑπὸ τὰ πρῶτα πάθη πίπτει τινά, τὸν αὐτὸν τρόπον ὑπὸ τὰς πρώτας εὐπαθείας. καὶ ὑπὸ μὲν τὴν βούλησιν εὔνοιαν, εὐμένειαν, ἀσπασμόν, ἀγάπησιν· ὑπὸ δὲ τὴν εὐλάβειαν αἰδῶ, ἀγνείαν· ὑπὸ δὲ τὴν χαρὰν τέρψιν, εὐφροσύνην, εὐθυμίαν.

3617 = Ambr. 2556 3618 Ar. Pl. 61 c. sch. plenior.; Hesiod. O. 285 3619 fort. Metaphr. 3620 — εὔοπτον = P Εὐοφθάλμως sq. Harp. = P; Antiph. fr. 60 3621 Εὐωχεῖται—εὐφραίνεται cf. H vv. εὐοχεῖται, εὐωχηθέντα 3622 = Bk. 93, 1 3623 = H cf. Ambr. 2510 3624 — Εὐωδώθη = Ambr. 2598 et 2600 cf. Ps. Herodian. 251 3626 — εὐτελές = P, Ba 242, 30 cf. H 3627 = H cf. Bk. 97, 1, P 3628 = P cf. H v. εὐωρεῖν 3629 cf. Ambr. 2264 et 2412, H 3630 = Ambr. 2611 cf. P = Ba 243, 1; H 3631 l. = Ambr. 2466 3632 = Synt. Laur. 3633 — τρυφή = P vs. 22 ἡ sq. Laert. 7, 116

3617 Z 910 3618 Z 901 3620 Z 901 et 925 3623 cf. 3609 3626 Z 918 3627 cf. Z 904 3629 Z 904 3633 Z 910

A (GIFVM) 3 ἀμείη A ἀμείνων Hesiod. τι] που add. GM 3619 om. FV post 3611 A; extra ord. 9 τραπέζῃ] μέγα add. F 3628 extra ord. 17 ἔχον V 18 ὁ A Zon. Ambr.: om. F ἡ rell. 23 καὶ—24 ἔπαρσιν om. GV, sed καὶ τὴν μὲν χαρὰν ἐναντίαν εἶναι τῇ λύπῃ φασὶν οὖσαν εὔλογον ἔπαρσιν praebent, quae mg. add. A et ante 23 καὶ textu IFM 24 οὖσαν] τὴν δὲ add. A 29 εὐγένειαν, ἀσπασμίον V

3634 Εὐπαθεῖσθαι: ἀντὶ τοῦ τρυφᾶν, καὶ διαχεῖσθαι. τοῖς δὲ λοιποῖς ἐν τοῖς καπηλείοις εὐπαθεῖσθαι διεκελεύετο. καὶ Εὐπαθοῦντες, ὑγιαίνοντες, τρυφῶντες. Ε Ps.

3635 Εὐπαλάμων ὕμνων: ἀντὶ τοῦ εὖ διακεχειρισμένων, ἢ συντεταγμένων. τέκτονες εὐπαλάμων ὕμνων. Ar.

3636 Εὐπαράγωγος: εὐπειθής. Ἀριστοφάνης· ἀλλ' εὐπαράγωγος εἶ θωπευόμενός τε χαίρεις κἀξαπατώμενος, πρὸς τόν τε λέγοντα ἀεὶ κέχηνας· ὁ νοῦς δέ σου παρὼν ἀποδημεῖ. καὶ αὖθις· ὁ δὲ εὐκολώτερος ἦν καὶ διὰ μελέτην μέθης εὐπαράγωγος. Ar. Ε

3637 Εὖ παρασχόν: ἀντὶ τοῦ παρασχόντος· δῆλον δὲ τοῦ δαίμονος· ὅ ἐστι δωρησαμένου τὴν νίκην. Σ

3638 Εὐπάρεδρον: καλῶς παραμένον, καὶ διηνεκῶς. Εὖ παρῆστο. Σ

3639 Εὐπάροιστον: εὐπαράγωγον. Σ

3640 Εὐπάρυφα: εὐκατέργαστα, ἢ πλούσια. ἰδὼν Διογένης ὁ Κύων εὐπάρυφόν τινα ἐν Κορίνθῳ ἔφη· τούτῳ με πώλει. ἔπειτα ἐς τὰ ἱμάτια ἠξίουν ἅπαντες εὐπάρυφοι εἶναι, κομπωδεστέραν ἢ κατὰ τὴν ἑκάστου ἀξίαν ἐνδιδυσκόμενοι τὴν ἐσθῆτα· κτᾶσθαι γὰρ αὐτοῖς τὰ τοιαῦτα ἐξ οὐ προσηκόντων παρῆν. τοῦ δὲ χιτῶνος τὸ ἀμφὶ τὼ χεῖρε μέρος αὐτοῖς τὰ μὲν ἐς τὸν καρπὸν ξυνίει σφίσιν ἐν στενῷ μάλιστα, τὰ δὲ ἐνθένδε ἄχρι ἐς ὦμον ἑκάτερον ἐς ἄφατόν τι εὖρος διεκέχυτο. ὁσάκις αὐτοῖς ἡ χεὶρ σείοιτο ἀναβοῶσιν ἐν τοῖς θεάτροις τε καὶ ἱπποδρομίαις ἢ ἐγκελευομένοις, ἥπερ εἰώθει, ἐς ὕψος αὐτοῖς τοῦτο δὴ τὸ μέρος ἀτεχνῶς ἤρετο, αἴσθησιν παρεχόμενον τοῖς ἀνοήτοις, ὅτι δὴ αὐτοῖς οὕτω καλόν τε τὸ σῶμα καὶ ἁδρὸν ἂν εἴη, ὥστε δεῖν γε αὐτοῖς πρὸς τῶν τοιούτων ἱματίων καλύπτεσθαι, καὶ οὐκ ἐνενόουν, ὅτι δὴ αὐτοῖς τῷ τῆς ἐσθῆτος ἠραιωμένῳ τε καὶ κενῷ πολλῷ ἔτι μᾶλλον τὸ τοῦ σώματος ἐξίτηλον διελεγχθείη. Ε

3641 Εὐπατέρεια: ἡ καλὸν πατέρα ἔχουσα. καὶ Εὐπάτορος, ὄνομα κύριον. Δ

3634 Εὐπαθοῦντες sq. cf. An. Ox. 2, 441, 13 3635 Ar. Eq. 530 c. sch. 3636 — ἀποδημεῖ Ar. Eq. 1115—20 c. sch. 1115(?) vs. 8 ὁ alt. sq. Eunap. fr. 76, FHG 4, 48 3637 = P, Ba 241, 12, sch. Thuc. 1, 120, 3 3638 — διηνεκῶς = P, Ba 241, 14 cf. H 3639 = P, Ba 241, 11 cf. H, Ambr. 2277 3640 — πλούσια = P, Ba 241, 15 cf. sch. Luc. 155, 3; 275, 7 ἰδὼν—πώλει Laert. 6, 74 ἔπειτα sq. Proc. h. a. 7, 11—13 3641 — ἔχουσα = Ambr. 2451, Et. M. 395, 3 cf. sch. λ 234. Εὐπάτορος sq. cf. Ambr. 2320 et 2365

3635 Z 901 3636 Eunap. cf. v. Λ 268. Z 901 3640 Proc. cf. vv. A 3460 et H 490. Z 918 3641 Z 910

1 καὶ om. V 2 καὶ—3 τρυφῶντες om. FV 4. 5 συντεταμένων A A(GIFVM)
10 παρασχόν A^{ac}GM Phot. Ba, sch.: παρασχών A^{ac}IF παρασχόντος V 16 Κορίνθοις V cp. A 18 τὴν pr.] τὸ V 19 τὸ] τοῦ AFV 21 ἄχρις GIM
23 ἢ—αὐτοῖς ex AF Proc. 23 δὴ ex AF solis 25 ὥστε—26 καλύπτεσθαι om. V 26 ἐνόουν GIVM 27 κενῷ A Proc.: κενεῷ F καινῷ GIVM
28 διελεχθείη FM

Σ 3642 Εὐπατρίδαι: εὐγενεῖς.

EV 3643 Εὐπερίκοπτος· ὁ δὲ πρὸς τὰς ἐντεύξεις εὐπερίκοπτος ἦν καὶ ἀνεπίφθονος.

E 3644 Εὐπερίοπτον: εὐκαταφρόνητον. ἠσθάνετο γὰρ τὴν τῶν Μακεδόνων ἀρχὴν εὐπερίοπτον ἐσομένην, εἰ δὴ τῆς πρώτης πείρας οἱ ἐπαναστάντες κρατήσειαν.

Σ 3645 Εὐπερίστατον: μωρόν, ταχέως περιτρεπόμενον. καὶ ὁ Ἀπόστολος· καὶ τὴν εὐπερίστατον ἁμαρτίαν.

Δ 3446 Εὐπέτεια. οἱ δὲ Ῥωμαῖοι διὰ πολλὴν εὐπέτειαν τῆς ὑπαί-

E θρου ἐκράτησαν. εἴτε κατ' εὐπέτειαν ἀπανισταμένους μετὰ τέκνων καὶ γυναικῶν εἴτε ἄλλο τι γινώσκοντας. ὁ οὖν Γανυμήδης κατ' εὐπέτειαν ἑαυτὸν ξίφει διειργάσατο. τουτέστιν εὐχερῶς. φύσει γὰρ πάντες ἐς τὸ εὐπετὲς τρέπονται.

Σ 3647 Εὐπετής: εὐχερής. καὶ Εὐπετῶς, ῥᾳδίως, εὐχερῶς, εὐκόλως, καὶ εὐσταλῶς.

3648 Εὖ πεφυκώς: ἁρμόδιος. παρεκελεύετο ἐμβαίνειν τοὺς

E στρατιώτας. καὶ γὰρ ἦν εὖ πεφυκώς, εἰ καὶ πρὸς ἄλλο τι, πρὸς τὸ θάρσος ἐμβαλεῖν καὶ συμπαθεῖς ποιῆσαι τοὺς παρακαλουμένους.

Δ 3649 Εὐπείθεια.

3650 Εὐπείθιος καὶ Ἀρχιάδας, δύο υἱοὶ Ἡγίου. καὶ ὁ μὲν Εὐπείθιος εὐφυέστερος ἐγένετο, τὰ δὲ ἤθη ἐπισεσυρμένος ἐς ἰδιωτισμόν, ἤδη δέ τι καὶ ἀτοπώτερον ἔχων ἢ κατὰ ἰδιώτην, ὡς δὲ συλλήβδην εἰπεῖν, πολλῷ τοῦ πατρὸς ἀπολειπόμενος· ὁ δὲ Ἀρχιάδας τὸ μὲν ὅλον τοῦ πατρὸς οὐκ ὀλίγῳ διαφέρων εἰς ἀρετὴν καὶ τῶν πολλῶν, τὰ δὲ ἐς φιλοσοφίαν ἄγοντα παρειμένος, ἅτε πρὸς ταῦτα ἀνάγωγος ὤν, διὰ τὴν οὐκ ἀκολάκευτον πατρῴαν οὐσίαν, ἱερὰν δὲ ζωὴν προβεβλημένος, εἴπερ τις ἕτερος, καὶ πολυπειρίαν ἀσκήσας ἱερῶν ἔργων τε καὶ λόγων οὐδέν τι μεῖον τοῦ πατρός· ἔχω γὰρ τοῦτο καὶ τῇ Ἡγίᾳ μαρτυρεῖν. ὁ δὲ Ἀρχιάδας καὶ τοῦ καθαροῦ συνειδότος ἐπεμελεῖτο διαφερόντως οὐδὲν ἧττον τῶν φιλοσοφούντων. ἦν οὖν αἰσθάνεσθαι πάντων, ἠσθανόμην δὲ καὶ αὐτὸς ἑκάστοτε τῶν ἀμφ' αὐτῷ κενοῦ φυσήματος ἄνευ νοῦ ἐμπιπλαμένων. παθῶν δὲ παντοίων κατάμεστοι ὄντες οὐδὲ ἐν μέσοις αὐτοῖς τοῖς δρωμένοις οἷοί τε ἦσαν ἤθεσι μετρίοις ἐγκαρτερεῖν. ἐπεὶ τά γε ἔξω μιγάγκεια κακῶν ἐφαίνετο μηδὲν διαφέρουσα τῆς τῶν ἀγελαίων ἀνθρώπων. ὁ δ' οὖν Διομήδης

3642 = P, Ba 241, 16 cf. Thom. 118, 10 3643 Polyb. 11, 10, 3 = EV 2, 125, 10—1 3644 ἠσθάνετο sq. Polyb. fr. [157] 3645 = P, Σ[a], Ba 241, 18 cf. Et. Gud. καὶ alt. sq. Ep. Hebr. 12, 1 3646 l. cf. Ambr. 2486 ὁ—διειργάσατο Nic. Dam. attr. Hemst. FHG 3, 370, sed chronici recentioris est φύσει sq. fort. Polyb. 3647 — εὐχερής = P, Ba 241, 17 cf. H. Εὐπετῶς sq. = P, Σ[a], Ba 241, 19 cf. H 3648 παρεκελεύετο sq. Polyb. 10, 14, 9—10 3649 cf. Ambr. 2490 3650 Dam. fr. 223 cf. Phot. Bibl. 349a 24—31

3644 Z 910 3646 ὁ—διειργάσατο cf. v. Μίνως 3647 Z 925

A (GIFVM) 14 εὐχερῶς] εὐκαιρῶς A 3648 post 3650 A 18 παρακελευομένους GIVM 19 Εὐπάθεια V 32 αὐτῷ GIM: αὐτῶν in αὐτὸν corr. A 34 μιγάγγεια GIM

διέφθαρτο καὶ αὐτὸς ὑπὸ τῆς συνουσίας καὶ οὐδὲν ἔχων ἔξαρμα φύσεως ἔτι ταπεινότερος ἐγεγόνει πρὸς τὰ ἐπιταττόμενα. καίτοι ὑπὸ κολάκων διεφθάρη τὴν διάνοιαν, εὐφυής τε γεγονὼς ἀνὴρ πρὸς φιλοσοφίαν, ἢ οὐδὲν ἀλλοτρίῳ κακῷ βλάπτεται οὐδὲ φθείρεται, οἰκείῳ δὲ μόνῳ, ὡς ἔφη Σωκράτης. διὸ καὶ φιλοσοφίαν ἐλυμήνατο τοῦτο αὐτὸ τὸ οἴκοθεν ὄνειδος. ὃν γὰρ ἔδει μάλιστα διασῴζειν καὶ θεραπεύειν πρὸς τὸ βέλτιστον, τοῦτον πρὸς ἡδονὰς ἀνατρέφοντες καὶ μετεωρίζοντες εἰς αὖχημα μεῖζον ἢ καθ' ἑαυτόν, ἔλαθον ἑαυτοὺς εἰς πᾶσαν ἀτιμίαν καταβάλοντες.

3651 Εὐπήδαξ χῶρος: ὁ καλὴν πηγὴν ἔχων. Δ

3652 Εὐπήληκος: καλὴν περικεφαλαίαν ἐχούσης. ἀλλὰ καὶ εὐπήληκος Ἀθηναίης ἐπὶ δουρὶ τὸν τέττιγ' ὄψει μ', ὦ 'νερ, ἐφεζόμενον. Anth.

3653 Εὐπλοῆσαι: τὸ καλῶς πλεῦσαι. Δ

3654 Εὐπλοίην: εὔπλοιαν. Hom.

3655 Εὐπλοκαμῖδες: καλλιπλόκαμοι. Σ

3656 Εὐπολείδιος: ὄνομα κύριον. Δ

3657 Εὔπολις, Σωσίπολις, Ἀθηναῖος, κωμικός. ὃς ἑπτακαίδεκα ἔτη γεγονὼς ἤρξατο ἐπιδείκνυσθαι· καὶ ἐδίδαξε μὲν δράματα ιζ', ἐνίκησε δὲ ζ'. καὶ ἀπέθανε ναυαγήσας κατὰ τὸν Ἑλλήσποντον ἐν τῷ πρὸς Λακεδαιμονίους πολέμῳ· καὶ ἐκ τούτου ἐκωλύθη στρατεύεσθαι ποιητήν. τὰ δὲ δράματα αὐτοῦ Αἶγες, Ἀστράτευτος ἢ Ἀνδρόγυνοι, καὶ ἄλλα. Hesy.

3658 Εὐπόριστον: εὐχερῶς ποριζόμενον. λέγεται γάρ, ὡς παρὰ Τούρκοις οὐκ εὐπόριστον χρῆμα ὁ σίδηρος. EL

3659 Εὐπορῶ· γενικῇ. Synt.

3660 Εὐποτμία: εὐτυχία. Ζηλῶ τοῦτον τῆς εὐποτμίας. καὶ αὖθις· εὐποτμίας δὲ ἀπολαύουσι πάσης ἐξ οὐρίων φερόμενοι. καὶ πάλιν· ἐν εὐποτμίᾳ τε καὶ εὐδαιμονίᾳ διῆγον πολλῇ. Δ | E

3661 Εὐπότμως: εὐτυχῶς. ἡ τοῦ στρατηγοῦ φρόνησις ἔχουσά τι καὶ τύχης εὐπότμου δι' αὐτήν. Σ E

3662 Εὐπραγότερος: εὐτυχέστερος. Δ

3652 ἀλλὰ sq. Anth. 6, 120, 5—6 3653 l. cf. Ambr. 2608 3654 sch. I 362 cf. L 3655 = P, Ba 241, 20, H cf. sch. β 119 3656 l. = L 3657 cf. Com. gr. ed. Kaibel p. 8 3658 λέγεται sq. Men. Prot. fr. 20, FHG 4, 227a = EL 192, 29—30 3659 = Synt. Laur. et Gud. 3660 — εὐτυχία = sch. Luc. 273, 18; l. = Ambr. 2568 εὐποτμίας—φερόμενοι Aeliano attr. Valck., ἐν sq. Gutschmid 3661 — εὐτυχῶς = P, H 3662 l. cf. Ambr. 2391

3651 cf. v. πιδακίων 3652 hinc v. ὤνερ. Z 910 3658 Z 921 3658 Z 918 3660 Z 910. ἐν sq. cf. v. Ξάνθος 1 extr. 3661 Z 925

6 τὸ ex A solo 9 καταβάλλοντες GI^{ac} 10 Εὐπῖδαξ coll. v. πιδακίων A(GIFVME) H. Stephan. 14 Εὐπλοίαν GIM 17 Σωσίπολις] Σωσίλις V ὡς Σωσίπολις vel (quod praeferendum) Σωσιπόλεως Kust. Σωσιπόλιδος Mein. δς A: οὗτος GIVM ἔτη A: ἐτῶν GIVM 18 μὲν ex A solo γράμματα V 19 ζ' I: ἑπτὰ rell. 21 Ἀστράτευτοι E

Δ 3663 Εὐπραξία: εὐημερία, εὐτυχία. ὁ δὲ Ὀζίας ὤλισθεν ὑπ'
EV εὐπραξίας καὶ κατηνέχθη πρὸς τὰ τοῦ πατρὸς ἁμαρτήματα, πρὸς ἃ κἀκεῖνον τῶν ἀγαθῶν ἡ λαμπρότης καὶ τὸ μέγεθος τῶν πραγμάτων, οὐ δυνηθέντα προστῆναι καλῶς αὐτῶν, ἤγαγεν.

3664 Εὖ πράττειν: οὕτως ἡ ἐπιγραφὴ τῶν ἐπιστολῶν Πλάτωνος. ἔγραψε δὲ ἐπιστολὰς ιγ'. εἰσὶ δὲ τοῦ ἠθικοῦ εἴδους. εὖ διάγειν· οὕτως Ἐπίκουρος ἐπέγραφε· χαίρειν δὲ ἐπέγραφε Κλέων.

Σ 3665 Εὔπρηστον: εὐφύσητον.

Δ 3666 Εὐπροσοδώτατος: τόπος εὔδρομος.

Δ 3667 Εὐπροσιτότατος: ὁ ἥμερος.

Soph. 3668 Εὐπρόσωπος: εὐπροσήγορος. Σοφοκλῆς· ἦπου Τελαμὼν δέξαιτ' ἂν εὐπρόσωπος.

Δ 3669 Εὐπρόσωπος: εὔμορφος. ὁ δ' ἐπισυράμενος εὐπρόσωπον
E λίθον στήλην ἔστησεν.

Ar. 3670 Εὐπτέρων· Ἀριστοφάνης· κἄστ' ἐκ γυναικῶν εὐπτέρων, τῶν Κοισύρας. ἀντὶ τοῦ εὐγενῶν, ἢ κούφων, ἢ ὧν ὁ λογισμὸς ἵπταται. ἡ μεταφορὰ ἀπὸ τῶν ὀρνέων τῶν μετεώρων καὶ ὑπερηφάνων· ἢ τιμίων καὶ εὐγενῶν.

Suid. 3671 Εὐποιία. ὅτι ἀποστέρησίς ἐστι τὸ τὰ ἀλλοτρία λαβόντας κατέχειν, καὶ ὅταν ἐλεημοσύνην μὴ παρασχῶμεν, ἐν ἴσῳ τοῖς ἀποστεροῦσι κολαζόμεθα.

Σ 3672 Εὔπτορθον: εὔκλαδον.

Synt. 3673 Εὐποιῶ· αἰτιατικῇ.

Δ 3674 Εὐράξ: ἐκ πλαγίου.

Ar. 3675 Εὖρες· Ἀριστοφάνης· εἴθε φαύλως, ὥσπερ εὖρες, ἐκβάλοις τὴν ἔνθεσιν. ἐπὶ τῶν παρὰ προσδοκίαν εὐδοκιμησάντων. τὸ δὲ εὖρες δηλοῖ τὸ καμάτῳ καὶ πόνῳ περιγενέσθαι τινός· καὶ ἔστι τῆς τοῦ κάμνοντος γνώμης καὶ προαιρέσεως ἔλεγχος. τὸ δὲ εὑρεῖν ἁπλῶς τῆς παρασχούσης τύχης, καὶ οὐ τῆς τοῦ εὑρόντος γνώμης καὶ προαιρέσεως.

Σ 3676 Εὑρεσιέπεια: εὑρεσιλογία.

Σ 3677 Εὑρεσιλόγος: φλύαρος, ἑτοιμολόγος. Πολύβιος· ἔχων δὲ
E καὶ πλείω λέγειν ἀγωνιῶ, μὴ δόξω τισὶν ὑμῶν οὐκ ἀναγκαίως εὑρεσιλογεῖν.

3663 — εὐτυχία aliter Ambr. 2509 ὁ sq. Ios. Ant. 9, 223 = EV 1, 69, 12—15
3664 Laert. 3, 61 3665 = P, Ba 241, 21, H, sch. Σ 471, Ap. S. 79, 14
3666 l. = L 3667 l. cf. Ambr. 2414 3668 Soph. Ai. 1008—9 c. sch.(?)
3669 ὁ sq. fort. Iambl. 3670 Ar. Nu. 800 c. sch. 3672 = P, Ba 241, 22
3673 = Synt. Laur. et Gud. 3674 = L, sch. Λ 251, H, Et. M. 395, 15 cf. Ap. S. 79, 15 3675 Ar. Eq. 404 c. sch. 3676 = P, Ba 241, 23 cf. H
3677 — ἑτοιμολόγος = P, Ba 241, 24 cf. H ἔχων sq. Polyb. fr. 50

3663 Z 910 3664 cf. 3413 et v. χαίρειν 6. Z 925 3668 cf. v. ποῖ 2
3671 ex v. A 3553 cf. v. Ε 785 3674 Z 925 3675 cf. 1360

A(GIFVM) 1 Ὠζίας A 2 εὐπραγίας GVM 10 Εὐπροσιτώτατος I 3669 om. A
3671 om. FV mg. ad 3655 M post 3655 GI 19 Εὐποιΐα om. A καὶ om. GIM
28 παρασχούσης AF, 1360: παρατυχούσης GIVM 3677—8 inverso ord.
31 ἑτυμολόγος GIVM cf. H v. εὑρεσιεπείαις 32 μὴ om. V

3678 Εὐρεσιεπής: καινολόγος. Σ
3679 Εὑρετής· ἦν δὲ καὶ εὑρετὴς ἑτοιμότατος ὧν τε αὐτὸς ἠπόρει πρὸς ἑτέρους καὶ ὧν ἕτεροι πρὸς αὐτόν, οὐ πολυμαθείᾳ καὶ ἀλλοτρίων δοξασμάτων ἱστορίᾳ καταχωννὺς μὲν τὴν ἀλήθειαν καὶ ἀποκρύπτων, ἐπιστομίζων δὲ τοὺς ἀποροῦντας. Εὑρέτις δὲ θηλυκόν, διὰ τοῦ ι, Δ ἡ ἐφευρετική.
3680 Εὐρεῖα· Ὅμηρος· τότε μοι χάνοι εὐρεῖα χθών. οὐ καθολικὸν Hom. ἐπίθετον ἡ εὐρεῖα, ἀλλ' ἐν ἴσῳ τῷ εὐρεῖα γενομένη· οἷον εὐρύ μοι χάσμα γένοιτο.
3681 Εὐρείτης: ἐπίθετον. ὁ καλῶς ῥέων ποταμός. Δ
3682 Εὕρημα: ἐπίτευγμα, βούλευμα. δῆλον δέ, ὡς τῷ πολλὰ πεπαιδευμένῳ καὶ πολλὰ εἰδέναι γλιχομένῳ, καὶ ταῦτα εὑρημά ἐστι. τουτέστι βούλευμα, ἐπιτήδευμα. καὶ Εὑρήματα ὁμοίως, ἐπιτεύγ- Σ + x ματα, βουλεύματα. Ξενοφῶν· ἐπεὶ εἶδον ὑμᾶς εἰς πολλὰ κἀμήχανα E ἐμπεπτωκότας, εὕρημα ἐποιησάμην, εἴ πως δυναίμην παρὰ βασιλέως αἰτήσασθαι, δοῦναί μοι ἀποσῶσαι ὑμᾶς εἰς τὴν Ἑλλάδα. εὕρημα δὲ καὶ τοὺς Μάγους ἐποιεῖτο, οἳ Βαβυλῶνα καὶ Σοῦσα οἰκοῦσιν.
3683 Εὔρης: αὐθυπότακτον. Δ
3684 Εὑρήσεται: ἀντὶ τοῦ εὑρεθήσεται. Σ
3685 Εὑρῆσθαι. Δ
3686 Εὑρησιλογίας. Δ
3687 Εὐρίζῳ· Δαβίδ· εὐρίζῳ ἀγαλλιάματι πάσης τῆς γῆς. ἀντὶ τοῦ ἐπιμόνῳ, καλῶς ἐρριζωμένῳ.
3688 Εὐρίζων: πλατύνων, ἢ καλὰς ῥίζας χαροποιοὺς ἔχων. κα- Σ λῶς θεμελιῶν καὶ παγίως, ὥστε ἀσάλευτον αὐτὴν καὶ ἀτρεμῆ διαμένειν. Thdr
3689 Εὔρινος: εὐόσφρητος. Σοφοκλῆς· κυνὸς εὔρινος βάσις. τουτ- Soph. έστιν ἡ βάδισις.
3690 Εὐρινότατος: καλόρρινος, ἢ καλῶς ὀσφρώμενος. Σ
3691 Εὐριπίδειον ἔπος: τοῦ Εὐριπίδου. καὶ Εὐριπίδειος λόγος Δ

3678 = P, Ba 241, 25 3679 — ἀποροῦντας Dam. fr. 40 = Phot. Bibl. 338a 11—15 Εὐρέτις θηλυκόν cf. L, Ambr. 2459 3680 — χθών Δ 182. οὐ sq. = sch. A (Aristonic.) in Δ 182 3681 praeter ἐπίθετον = Ambr. 2265 cf. H 3682 — ἐπίτευγμα cf. H Εὑρήματα, βουλεύματα = P, Ba 241, 26, H ἐπεί—Ἑλλάδα Xen. An. 2, 3, 18 vs. 16 εὕρημα sq. Philostr. 1, 18 3683 cf. Ambr. 2659 3684 = P 3685 cf. Ambr. 2594 3686 cf. Ambr. 2255 3687 — γῆς Ps. 47, 3 3688 — ἔχων = Ba 241, 27, P cf. H, An. Ox. 2, 441, 11, Ambr. 2646 καλῶς sq. Thdr. in Ps. 47, 2, PG 80, 1212b 3689 Soph. Ai. 8 c. sch. 3690 = Σ^{a}, Ba 241, 29; l. = Ambr. 2403 3691 — ἔπος = Ambr. 2588. Εὐριπίδειος λόγος = Ambr. 2421 cf. Ludw. 201, 11

3684 cf. v. Z 91 3687 Z 918 3688 Z 921 3689 cf. v. B 166. Z 901 3690 Z 901

3 πολυμαθίᾳ F Phot. 4 δοξασμάτων] δραχμάτων A 5 θηλυκῶς F cp. A A(GIFVM) 11 τῷ] τὸ F 12 πεπαιδευμένων A 17 καὶ om. GIM 3690 ante 3689 A 28 Εὐρινώτατος I Zon. καλόρινος GF Σ^{a} Ba 29 Εὐριπίδιον AGIM Εὐριπίδιος AGIM Ludw.

ὁμοίως. ὅτι ἔφη Εὐριπίδης, ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσι βρύων. καὶ αὖθις· στῦλοι γὰρ οἴκων εἰσὶ παῖδες ἄρσενες.

Ar. 3692 Εὐριπίδη Εὐριπίδιον· Ἀριστοφάνης. ἐρωτικὴν μιμεῖται φωνήν. οἱ γὰρ ἐρῶντες εἰώθασι τοὺς ἐρωμένους ἐρωτικῶς δι' ὑποκορισμῶν καλεῖν.

Hesy. 3693 Εὐριπίδης, Ἀθηναῖος, τραγικός, πρεσβύτερος τοῦ ἐνδόξου γενομένου. ἐδίδαξε δράματα ιβ', εἶλε δὲ νίκας β'.

Hesy. 3694 Εὐριπίδης, τραγικός, τοῦ προτέρου ἀδελφιδοῦς, ὡς Διονύσιος ἐν τοῖς χρονικοῖς. ἔγραψε δὲ Ὁμηρικὴν ἔκδοσιν, εἰ μὴ ἄρα ἑτέρου ἐστί. δράματα αὐτοῦ ταῦτα· Ὀρέστης, Μήδεια, Πολυξένη.

Hesy. 3695 Εὐριπίδης, Μνησάρχου ἢ Μνησαρχίδου καὶ Κλειτοῦς, οἳ φεύγοντες εἰς Βοιωτίαν μετῴκησαν, εἶτα ἐν τῇ Ἀττικῇ. οὐκ ἀληθὲς δέ, ὡς λαχανόπωλις ἦν ἡ μήτηρ αὐτοῦ· καὶ γὰρ τῶν σφόδρα εὐγενῶν ἐτύγχανεν, ὡς ἀποδείκνυσι Φιλόχορος. ἐν δὲ τῇ διαβάσει Ξέρξου ἐκυοφορεῖτο ὑπὸ τῆς μητρὸς καὶ ἐτέχθη καθ' ἣν ἡμέραν Ἕλληνες ἐτρέψαντο τοὺς Πέρσας. γέγονε δὲ τὰ πρῶτα ζωγράφος, εἶτα μαθητὴς Προδίκου μὲν ἐν τοῖς ῥητορικοῖς, Σωκράτους δὲ ἐν τοῖς ἠθικοῖς καὶ φιλοσόφοις. διήκουσε δὲ καὶ Ἀναξαγόρου τοῦ Κλαζομενίου. ἐπὶ τραγῳδίαν δὲ ἐτράπη τὸν Ἀναξαγόραν ἰδὼν ὑποστάντα κινδύνους δι' ἅπερ εἰσῆξε δόγματα. σκυθρωπὸς δὲ ἦν τὸ ἦθος καὶ ἀμειδὴς καὶ φεύγων τὰς συνουσίας· ὅθεν καὶ μισογύνης ἐδοξάσθη. ἔγημε δὲ ὅμως πρώτην μὲν Χοιρίνην, θυγατέρα Μνησιλόχου· ἐξ ἧς ἔσχε Μνησίλοχον καὶ Μνησαρχίδην καὶ Εὐριπίδην. ἀπωσάμενος δὲ ταύτην ἔσχε καὶ δευτέραν, καὶ ταύτης ὁμοίως ἀκολάστου πειραθείς. ἀπάρας δὲ ἀπ' Ἀθηνῶν ἦλθε πρὸς Ἀρχέλαον τὸν βασιλέα τῶν Μακεδόνων, παρ' ᾧ διῆγε τῆς ἄκρας ἀπολαύων τιμῆς. ἐτελεύτησε δὲ ὑπὸ ἐπιβουλῆς Ἀρριβαίου τοῦ Μακεδόνος καὶ Κρατεύα τοῦ Θετταλοῦ, ποιητῶν ὄντων καὶ φθονησάντων αὐτῷ πείσαντά τε τὸν βασιλέως οἰκέτην τοὔνομα Λυσίμαχον, δέκα μνῶν ἀγορασθέντα, τοὺς βασιλέως, οὓς αὐτὸς ἔτρεφε, κύνας ἐπαφεῖναι αὐτῷ. οἱ δὲ ἱστόρησαν οὐχ ὑπὸ κυνῶν, ἀλλ' ὑπὸ γυναικῶν νύκτωρ διασπασθῆναι, πορευόμενον ἀωρὶ πρὸς Κρατερὸν τὸν ἐρώμενον Ἀρχελάου (καὶ γὰρ σχεῖν αὐτὸν καὶ περὶ τοὺς τοιούτους ἔρωτας), οἱ δέ, πρὸς τὴν γαμετὴν Νικοδίκου τοῦ Ἀρεθουσίου. ἔτη δὲ βιῶναι αὐτὸν οε', καὶ τὰ ὀστᾶ αὐτοῦ ἐν Πέλλῃ

3691 ἄλλων—βρύων Eur. fr. 1086 στύλοι sq. Eur. Iph. T. 57 ex Artem. 2, 10, p. 97, 24 3692 sch. Ar. Ach. 404 3694 Διονύσιος FGrHist 251 fr. 4 3695 cf. sch. in Eur. ed. Schwarz 1, 1 sqq., Philochor. fr. 165, FHG 1, 412

3695 Man. Moschopuli vita, Westermann Biogr. p. 141 sq.

A(GIFVME) 2 ἄρρενες GIVM v. l. Artem. 12 δέ om. V 15 ἐτέθη V 18 Κλαζομενίου ed. pr. Moschopul.: Κλαζομένου GIV cp. AM 19 κίνδυνον V 20 δὲ] τε V τὸ ἦθος ex A Moschopul. 21 μισόγυνις GIVM 22 Χοιρίλλην E cf. sch. Eur. p. 2, 12; 5, 5 24 πειρασθείς V 25 τῶν om. IV 27 Ἀρριδαίου ed. pr. sed cf. Thuc. 4, 79, 2 Κρατένα GIM 28 φθονεσάντων AV 29 τοὔνομα— 30 ἔτρεφε ex A Moschopul. κύνας om. in lac. V ἐπαφεῖναι A^{ac} Moschopul.: ἐπαφῆναι rell. ἱστορήσαντες V 33 Νικοδήμου I 34 βιῶναι] βεβιωκέναι φασὶν Moschopul. καὶ—p. 469, 1 οε' om. A

μετακομίσαι τὸν βασιλέα. δράματα δὲ αὐτοῦ κατὰ μέν τινας οε′, κατὰ δὲ ἄλλους ϛβ′· σώζονται δὲ οζ′. νίκας δὲ ἀνείλετο ε′, τὰς μὲν δ′ περιών, τὴν δὲ μίαν μετὰ τὴν τελευτήν, ἐπιδειξαμένου τὸ δρᾶμα τοῦ ἀδελφιδοῦ αὐτοῦ Εὐριπίδου. ἐπεδείξατο δὲ ὅλους ἐνιαυτοὺς κβ′, καὶ τελευτᾷ ἐπὶ τῆς ϛγ′ Ὀλυμπιάδος.

3696 Εὔριπος: πέλαγος στενόν, ἢ τόπος ὑδατώδης μεταξὺ δύο γαιῶν. τουτέστι Βοιωτίας καὶ Ἀττικῆς. ἑπτάκις δὲ τῆς ἡμέρας τὸ ἐκεῖσε ὕδωρ τρέπεται. Σ

3697 Εὑρίσκω· αἰτιατικῇ. Synt.

3698 Εὕρομεν: παρατατικός. καὶ Εὕροσαν. Δ

3699 Εὐροναῖτοις: καλῶς ῥέουσιν. Σ

3700 Εὐροώτερος: ὁ πλατύτερος. Δ

3701 Εὔρρους· ἐμοὶ δὲ ἐξηγεῖτο λόγους Ἰσοκρατείους, ὅτε καὶ εἶδον ἄνθρωπον εὔρρουν τε ἅμα καὶ ἀμφιλαφῆ τὴν διάνοιαν πρὸς τὰς πολιτικὰς ἐξηγήσεις. Suid.

3702 Εὐρυόδεια: ἡ πλατυάμφοδος. Δ

3703 Εὐρώεντα: σκοτεινά, ζοφώδη. Σ

3704 Εὐρώεις: ὁ σκοτεινός, ἢ ὁ πλατύς. καὶ κλίνεται εὐρώεντος. Δ

3705 Εὕρωμαι: ἀντὶ τοῦ εὑρήσω. καὶ Εὕρωμεν, ἀντὶ τοῦ εὑρήσομεν. Δ

3706 Εὐρώπη: ὄνομα κύριον. καὶ ὁ τόπος. καὶ Εὐρώπιον κλῖμα, τῆς Εὐρώπης. καὶ πρέσβεις Εὐρωπαίων. Δ

3707 Εὐρώς: ὑγρότης σεσηπυῖα. Καλλίμαχος· πέδιλα τὰ μὴ πύσε νήχυτος εὐρώς. Σ Call.

3708 Εὐρώς: ἡ νοτία. παρὰ τὸ αὖρα, αὐρώς, καὶ τροπῇ εὐρώς. καὶ εὐρωτιῶ. Θεόκριτος· ἁ σύριγξ εὐρῶτι παλύνεται. Ecl.

3709 Εὐρώταν· ἐν Ἐπιγράμμασι· τὸν δ' ὑπεροιδαίνοντα κατέσκεπε πταμένη χείρ, οὐχ ὅλον Εὐρώταν, ἀλλ' ὅσον ἠδύνατο. περὶ αἰδοίου Anth.

3696 cf. Choer. in An. Ox. 2, 200, 24, ex quo Et. M. 395, 27; — γαιῶν = Ba 242,1 3697 = Synt. Laur. 3698 — παρατατικός = L 3699 = Ba 241, 28 3700 l. cf. Ambr. 2386 3702 cf. sch. Π 635, H; l. = Ambr. 2483 3703 cf. Ba 242, 10 = Σ[a] (in Υ 65, ω 10) 3704 — σκοτεινός = Ambr. 2268 cf. Et. M. 397, 57, H. ὁ πλατύς = Ps. Herodian. 210 cf. Ambr. 2267, Et. M. 398, 1, H 3705 Εὕρωμαι = Ambr. 2660. Εὕρωμεν sq. = Ps. Herodian. 274 cf. Ambr. 2659 3706 — κύριον = Ambr. 2467. τόπος = Ambr. 2474. Εὐρώπιον—Εὐρώπης = Ambr. 2576 cf. 2590 Εὐρωπαίων cf. Ambr. 2444 3707 — σεσηπυῖα Tim. = Et. M. 397, 52 cf. sch. Pl. Tim. 84 b πέδιλα sq. Call. fr. 73 K. 313 S. 3708 cf. Et. M. 397, 51; Theocr. 4, 28 3709 τὸν—ἠδύνατο Anth. 5, 59, 5

3696 Z 902 3700 cf. 3704 3701 ex v. A 1740 3702 cf. 3714 et 3725 3704 cf. 3700

2 σώζονται δὲ οζ′ om. V ἀνείλετο A Moschopul.: εἵλετο rell. 3 τὴν alt. om. GIM A (GIFVME) 4 ἀδελφιδοῦς V αὐτοῦ Εὐριπίδου om. V κβ′ AV: κϛ′ GM κζ′ I μβ′ Bhd. μϛ′ Hartung 4. 5 καὶ τελευτᾷ A: τελευτᾷ Moschopul. ἀπέθανε δὲ rell. 5 τῆς] τῇ V Ὀλυμπιάδι V cp. AM 10 παρατατικός om. F 11 Εὐροναήτοις GIM 3701 om. FV post 3702 A 18 Εὔρωμαι] μετ⟨οχή⟩ add. A 3702 extra ord. 20 ὁ om. V Εὐρώπειον I Εὐρωπόν G κλῆμα AGI 21 καὶ—Εὐρωπαίων ex GIM 24 ἡ om. V νοητία A τροπῇ] τοῦ α ἐς ε ex Etym. add. F 26 κάτεσκε V 27 πεπταμένη Anth.

ἀνδρὸς ὁ λόγος. καὶ αὖθίς φησι Λάκαινα πρὸς τὸν ἴδιον υἱόν· λεῖπε τὸν Εὐρώταν, ἴθι Τάρταρον, ἡνίκα δειλὴν οἶσθα φυγὴν τελέθειν, οὔτ' ἐμός οὔτε Λάκων.

Δ 3710 Εὐρώτας: ποταμὸς Λακωνικῆς.

Σ 3711 Εὐρῶτι: σηπεδόνι.

Σ 3712 Εὐρωτιῶν: σαπείς, ἠφανισμένος. ἢ Εὐρωτιῶν, σκωληκοβρώτων.

Ar. 3713 Εὐρωτιῶν· τοῦ εὐρωτιῶν ἐξήγησις τὸ εἰκῇ κείμενος· τοῖς γὰρ εἰκῇ καὶ ἀμελῶς κειμένοις ἰδρὼς προσίζει καὶ νοτίς. τοιοῦτος δὲ ὁ τῶν ἀγροίκων βίος, ὥσπερ αὖ ἐπιμελὴς καὶ καθάριος ὁ τῶν ἀστικῶν. διόπερ καὶ εἰς πενίαν συνεχῶς ὑπὸ τῶν ποιητῶν τύπτεται καὶ ὀνειδίζεται· ὥς φησι Μένανδρος· εἰς τὰ καθαρὰ λιμὸς εἰσοικίζεται.

Σ 3714 Εὐρυάγυια: πλατυάμφοδος.

Prov. 3715 Εὐρυβατεύεσθαι: πονηρεύεσθαι. τὸν γὰρ Εὐρύβατον, τὸν ἕνα τῶν Κερκώπων, γενέσθαι τοιχωρύχον φασίν, οἱ δὲ προδότην περὶ τοὺς χρόνους πρὸ Κροίσου.

Δ 3716 Εὐρυβάτης: ὄνομα κύριον.

Harp. 3717 Εὐρύβατον ἄνδρα: φασὶ τοῦτον Ἐφέσιον εἶναι καὶ λαβόντα χρήματα παρὰ Κροίσου, ὥστε στρατιὰν συναγαγεῖν εἰς τὸν πόλεμον τὸν εἰς τοὺς Πέρσας, προδότην γενόμενον ἐγχειρίσαι τῷ Κύρῳ τὰ χρήματα τοῦ Κροίσου· καὶ ἐντεῦθεν τοὺς πονηροὺς Εὐρυβάτας καλεῖσθαι.

Σ 3718 Εὐρύβατος: πονηρός. ἀπὸ τοῦ πεμφθέντος ὑπὸ Κροίσου ἐπὶ ξενολογίαν μετὰ χρημάτων, ὥς φησιν Ἔφορος, εἶτα μεταβαλλομένου πρὸς Κῦρον. ἦν δὲ οὗτος Ἐφέσιος. οἱ δὲ τὸν Κέρκωπα τὸν ἕτερον. Διότιμος Ἡρακλέους ἄθλοις· Κέρκωπές τοι πολλὰ κατὰ τριόδους πατέοντες Βοιωτῶν σίνοντο. γένος δ' ἔσαν Οἰχαλῆες, Ὦλός τ' Εὐρύβατός τε, δύω βαρυδαίμονες ἄνδρες. Νίκανδρος· Αἰγίνεον Εὐρύβατον πανουργότατον· οὗ μνημονεύει Ἀριστοτέλης ἐν α' περὶ δικαιοσύνης.

3709 λεῖπε sq. Anth. 7, 551, 7—8 3710 — ποταμὸς = Ambr. 2424, H 3711 = Σ^{a} cf. Ba 242, 11, sch. Luc. 138, 3 3712 — ἠφανισμένος = Ba 242, 12 cf. H Εὐρωτιῶν sq. cf. gl. Octateuchi ap. Fabric. Bibl. Gr. 10, 63 3713 sch. Ar. Nu. 44 cf. Jb. Suppl. 16, 570; 577, 1; Men. com. fr. 841 3714 = Ba 242, 3 cf. sch. B 12, H, Et. M. 396, 23 3715 = Paroem. ed. Gsf. 51, n. 444 cf. Cohn, Neue Jb. Suppl. 12, 353 3716 cf. sch. A 320 3717 Harp. 3718 cf. Eust. O. 1864, 20, Bk. 188, 11; 257, 18, sch. Luc. 181, 9; Ephor. F Gr Hist 70 fr. 58c; Diotim. p. 213 Kinkel; Nicandr. fr. 112; Aristot. fr. 73; Durid. F Gr Hist 76 fr. 20; Ar. fr. 184

3714 cf. 3702 3715 Z 921 3717 Z 921

A(GIFVME) 1 ἀνδρὸς] γυναικὸς coll. Anth. Toup φησι om. A 2 οἶσθαι A 4 ποταμὸς GIM Ambr.: cp. A ποτὲ V τοπ⟨ος⟩F 8 εὐρωτιῶν AV: εὐρωτιῶντος GIM, Jb. Suppl. 16, 570 ἐξήγησις] Ἀριστοφάνης add. F 9 εὐμελῶς A ἰδρὼς] εὐρὼς Papabasil. Athena 1, 229 cf. Jb. Suppl. 16, 570 10 αὖ] ἂν A 11 διότιπερ GFVM τύπτεται] σκώπτεται Bhd. 14 τὸν alt. del. ed. pr. 16 πρὸ del. Bhd. 20 ἐγχειρῆσαι V cf. Harp. 24 οὗτος om. A 26 πατέωντες A Οἰχαλιῆες Port. 27 δύο A βαρυδαίμονε ἄνδρε E Iacobs

Δοῦρις δὲ ἐν δ' τῶν περὶ Ἀγαθοκλέα, ἀπὸ τοῦ Ὀδυσσέως ἑταίρου. καὶ Ἀριστοφάνης Δαιδάλῳ, ὑποθέμενος τὸν Δία εἰς πολλὰ ἑαυτὸν μεταβάλλοντα καὶ πλουτοῦντα καὶ πανουργοῦντα· εἰ δή τις ὑμῶν εἶδεν Εὐρύβατον Δία. λέγεται τὸν Εὐρύβατον κλέπτην ὄντα, εἰρχθέντα καὶ παραφυλαττόμενον, ἐπειδὴ συμπίνοντες ἔλυσαν αὐτὸν οἱ φυλάσσοντες, ἐκέλευσαν ἐπιδείξασθαι τὴν ἐπὶ τοὺς οἴκους ἀναρρίχησιν, τὸ μὲν πρῶτον διωθεῖσθαι· δεομένων δὲ ὡς οὐ βουλόμενον, ἐπεὶ μόλις ἀνέπεισαν, περιθέμενος τοὺς σπόγγους καὶ τὰς ἐγκεντρίδας, ἀναδραμεῖν εἰς τοὺς τοίχους. ἀναβλέποντες δὲ ἐκεῖνοι καὶ θαυμάζοντες τὰς τέχνας, λαβεῖν αὐτὸν τὸν ὄροφον καὶ ὑπερβάλλοντα, πρὶν ἐκεῖνοι κύκλῳ περιέλθωσι, διὰ τοῦ τέγους καταπηδῆσαι.

3719 Εὐρυδίκη: ὄνομα κύριον. Δ

3720 Εὔρυθμον: εὖ τετραμένον. Σ

3721 Εὐρυκλῆς: πᾶς ὁ ἐγγαστρίμυθος. ἀπὸ Εὐρυκλέους τοιούτου τινὸς μάντεως. Ar.

3722 Εὐρυκρείων: μεγάλως βασιλεύων. Σ

3723 Εὐρυμέδων: ποταμὸς Παμφυλίας. Harp.

3724 Εὐρύνεται: πλατύνεται. Σ

3725 Εὐρυόδεια: ἡ πλατεῖα ὁδός. καὶ κλίνεται εὐρυοδείας. Δ

3726 Εὐρύοπα: μεγαλόφθαλμον, ἢ μεγαλόφωνον. ἡ εὐθεῖα εὐρύωψ. Σ Δ

3727 Εὐρυπυλής: πλατείας πύλης. Σ

3728 Εὐρύς: ὁ πλατύς. Δ

3729 Εὐρύσακες: ὁ μεγάλην ἔχων ἀσπίδα. Σοφοκλῆς· ἀλλ' αὐτό μοι σὺ λαβών, ὦ παῖ, ἐπώνυμον Εὐρύσακες, ἶσχε διὰ πολυρράφου στρέφων πόρπακος ἑπταβόειον ἄρρηκτον σάκος. Soph.

3730 Εὐρυσάκης: ὄνομα κύριον. καὶ Εὐρυσάκειον· τέμενός ἐστιν Εὐρυσάκου τοῦ Αἴαντος ἐν Ἀθήναις οὕτως ὀνομαζόμενον. Δ Harp.

3731 Εὐρυσθενής: μεγαλοδύναμος. Σ

3732 Εὐρυσθεύς: ὄνομα κύριον. καὶ Εὐρυσθείδης. Δ

3733 Εὐρυχωρία: πλάτος. Εὐρύχορος δὲ ἡ καλλίχορος. Δ

3719 = Ambr. 2468 3720 = Ba 242, 4 3721 sch. Ar. Vsp. 1019 cf. sch. Pl. Soph. 252c, H 3722 = Ba 242, 5, H cf. sch. A 102 3723 Harp. 3724 = Ba 242, 6 cf. H 3725 — ὁδός cf. Ambr. 2512; l. = Ambr. 2483 3726 — μεγαλόφωνον = Ba 242, 7 cf. Ambr. 2435—6, Et. Gen., Ap. S. 79, 20 εὐρύωψ cf. Ambr. 2436 3727 = Ba 242, 8 cf. sch. Ψ 74, H v. εὐρυπύλῳ 3728 = Et. M. 396, 17 cf. sch. A 229 3729 — ἀσπίδα = H ἀλλ' sq. Soph. Ai. 574—6 3730 — κύριον = Ambr. 2312 Εὐρυσάκειον sq. Harp. cf. Ambr. 2586 3731 = Ba 242, 9 cf. H; Et. Gen. = Et. M. 397, 3, sch. Θ 201 3732 — κύριον = Ambr. 2309. Εὐρυσθείδης = L 3733 — πλάτος cf. Ambr. 2558

3721 cf. 45 3722 Z 902 3725 cf. 3702 3729 cf. v. πόρπαξ 1

5 ἔλυσαν del. Bhd. 6 ἐκέλευσαν] καὶ ἐκέλευσαν vel κελευσθέντα Boisson. 8 περιθέμενον Boisson. 11 στέγους V 25 ἶσχε] Δοῦρις δὲ add. V cf. vs. 1 26 ἄρρηκτον I Soph.: ἄρρητον rell., v. πόρπαξ A(GIFVM)

3734 Ἐῦc: ὁ ἀγαθός. παιδὸς ἐῆος. ἀντὶ τοῦ ἀγαθοῦ. καί, θεοὶ δοτῆρες ἐάων. ἀντὶ τοῦ ἀγαθῶν.

Phil. 3735 Εὐcέβεια: ἐπιστήμη θεοῦ θεραπείας. cπουδαῖοι τοιγαροῦν θύειν θεῷ ἁρμόδιοι, ἁγνοὶ τυγχάνοντες· ἐκνεύειν γὰρ τὰ περὶ θεοῦ ἁμαρτήματα, καὶ τὸν θεὸν ἄγασθαι αὐτούc· ὁcίουc τε γὰρ εἶναι καὶ δικαίουc. καὶ μὲν τούτουc ἱερέαc εἶναι· ἐπεcκέφθαι γὰρ καὶ περὶ θυcιῶν, ἱδρύcεων καὶ καθαρμῶν καὶ τῶν ἄλλων τῶν πρὸc τὸ θεῖον
E οἰκείων. ὅτι ἡ εὐcέβεια κοῦφόν ἐcτι καὶ cωφροcύνης ἀνάπλεων
Soph. καὶ ἥκιcτα ἀχθεινόν. ἡ γὰρ εὐcέβεια cυνθνήcκει βροτοῖc· κἂν ζῶcι, κἂν θάνωcιν, οὐκ ἀπόλλυται.

Soph. 3736 Εὐcεβεῖν δεῖ τὰ πρὸc θεόν, ὡc τἆλλα πάντα δεύτερ' ἡγεῖται πατὴρ Ζεύc. καὶ αὖθιc ἕτεροc λέγει· ὁδὸc ἀνθρώποιc εἰc εὐδαιμονίαν ὑπὸ θεοῦ κατεδείχθη μία διὰ τῆc ἀρετῆc. τιμιώτατον δὲ ἐν αὐτῇ καὶ ὥcπερ κεφάλαιον ἀρετῆc ἁπάcηc εὐcέβεια· μόνη γὰρ αὕτη τῶν ἀνθρωπίνων πραγμάτων ἱκανῶc ἐπιμελεῖται καὶ πρὸc τὰ θεῖα γίνεται ἡγεμὼν ἀνθρώποιc ἀγαθή.

Hesy. 3737 Εὐcέβιοc, ὁ Παμφίλου, προcκείμενοc τῇ Ἀρειανικῇ αἱρέcει, ἐπίcκοποc Καιcαρείαc τῆc Παλαιcτίνηc, cπουδαῖοc ἐν ταῖc θείαιc γραφαῖc καὶ τῆc θείαc βιβλιοθήκηc ἅμα Παμφίλῳ τῷ μάρτυρι ἐπιμελέcτατοc ἀνιχνευτής. ἐξέδωκε πολλὰ τεύχη, ὧν εἰcι τάδε· Εὐαγγελικῆc ἀποδείξεωc λόγοι κ', Εὐαγγελικῆc προπαρακευῆc λόγοι ιε', Θεοφανείαc λόγοι ε', Ἐκκληcιαcτικῆc ἱcτορίαc λόγοι ι', Χρονικῶν κανόνων παντοδαπῆc ἱcτορίαc, καὶ τούτων ἐπιτομή. καὶ Περὶ τῆc τῶν Εὐαγγελίων διαφωνίαc, Εἰc τὸν προφήτην Ἡcαΐαν λόγοι ι'. Κατὰ Πορφυρίου τοῦ τότε cυγγράφοντοc ἐν Cικελίᾳ, ὥc τινεc οἴονται, λόγοι λ'. Τοπικῶν λόγοc εἷc, Ἀπολογίαc ὑπὲρ Ὠριγένουc λόγοι ϛ', Περὶ τοῦ βίου Παμφίλου λόγοι γ'. περὶ μαρτύρων ἕτερα cυγγράμματα· καὶ εἰc τοὺc ρν' ψαλμοὺc δεδοκιμαcμένα ὑπομνήματα, καὶ ἕτερα πολλά. ἤνθηcε μάλιcτα ἐπὶ Κωνcταντίνου τοῦ βαcιλέωc καὶ Κωνcταντίου, καὶ διὰ τὴν φιλίαν τὴν πρὸc Πάμφιλον μάρτυρα τῆc ἐπωνυμίαc αὐτοῦ
E ἠξιώθη. Εὐcέβιοc ὁ Παμφίλου· οὗτοc ὁ Εὐcέβιοc ἔγραψε καὶ πρὸc Μαρῖνον, ἐν ᾧ λέγει, ὅτι ἡ Χριcτοῦ ἐκκληcία δύο βίουc νομοθετεῖ καὶ τρόπουc· τὸν μὲν ὑπερφυᾶ καὶ τῆc ἀνθρωπίνηc πολιτείαc ἐπέκεινα, οἷοc ἐcτὶν ὁ μοναδικόc· τὸν δὲ ὑποβεβηκότα καὶ ἀνθρωπινώτερον, ὃc καὶ γάμοιc ὑποτίθεται cυγκοινωνεῖν.

3734 — ἀγαθός = Et. M. 398, 3, Ap. S. 79, 24, H cf. Lex. de spiritu παιδὸc— ἀγαθοῦ = A 393 c. sch. θεοὶ sq. = θ 325 c. sch. 3735 — vs. 8 οἰκείων Laert. 7, 119 vs. 8 ὅτι—9 ἀχθεινόν Aelian. fr. 267 vs. 9 ἡ sq. Soph. Phil. 1443—4 3736 — Ζεύc Soph. Ph. 1441—3 ὁδὸc sq. fort. Dam. 3737 — vs. 31 ἠξιώθη cf. Hieron. vir. ill. 89, Phot. Bibl. p. 4 b, 7—12 et cod. 10 vs. 31 Εὐcέβιοc alt. sq. Georg. 334, 12—16; 335, 7—9 cf. Herm. 21, 11

3734 cf. 289 3735 Aelian. cf. 3795 3737 Hesy. cf. v. Δ 157. Georg. cf. v. B 294

A(GIFVM) 4 θύειν A: θύcειν rell., Laert. 5 ἄγεcθαι GIM 6 καὶ alt. om. A 10 ἀπόλλυνται A 3736 non nov. gl. F 23 τῆc om. GVM 26 εἷc IV Hieron.: α' GM πρῶτοc A 31 Εὐcέβιοc pr.] nov. gl. GI

3738 Εὐσέβιος, Ἀράβιος, σοφιστής, ἀντισοφιστεύσας καὶ αὐτὸς Οὐλπιανῷ. Hesy.

3739 Εὔσημος: ὁ περιφανής. Δ

3740 Εὐσθένεια: ἡ ἰσχύς. Δ

3741 Εὔσκαρφος: εὐκίνητος, ταχύς. Σ

3742 Εὐσκευοῦμεν: καλῶς παρεσκευάσμεθα, καὶ ἔχομεν πάντα, ὧν δεῖ πρὸς θάνατον. οὕτω μὲν εὐσκευοῦμεν. Σοφοκλῆς. Soph.

3743 Εὐσπειρῆ: καλῶς συνεσπειραμένον. τὸν εὐσπειρῆ δὲ δράκοντα, χρύσειον ῥαδινῶν κόσμον ἐπισφυρίων. Ael.

3744 Εὐστάθεια: ἡ καρτερία. Δ

3745 Εὐσταθής. αὐτὸς δὲ λαβὼν ἄνεμον εὐσταθῆ παρεκομίζετο παρὰ τὴν χώραν, ἀκινδύνως πλέων. Δ E

3746 Εὐστάθιος, Ἐπιφανεύς. Χρονικὴν ἐπιτομὴν τῶν ἀπὸ Αἰνείου μέχρι Ἀναστασίου βασιλέως, ἐν τόμοις θ′, καὶ ἄλλα τινά. ὅτι Εὐστάθιος Σεβαστιανὸς Μακεδονιακῆς θρησκείας ἦρξεν ἅμα Βασιλείῳ Ἀγκυρανῷ, ἐπισκόπῳ τῆς αὐτῆς πόλεως. Hesy. Suid.

3747 Εὐσταθῶς· Ἀππιανός· ὁ δὲ ἐστρατοπέδευσεν εὐσταθῶς, ἧπερ ἐβούλετο. ἀντὶ τοῦ ἀσφαλῶς, βεβαίως. E Δ?

3748 Εὐσταλής: καλῶς ἐστολισμένος. ἢ κοῦφος. ἀπεδίδρασκον εὐσταλεῖς, ὑποζύγια καὶ σκηνὰς καταλιπόντες. ἦν δὲ τὸ ἑπόμενον στράτευμα Μαρκελλίνῳ ἐπιφανέστερον τῷ εὐσταλεῖ τῆς ὁπλίσεως. Σ | E E

3749 Εὐστέφανον: εὐτείχιστον. Σ

3750 Εὐστέφιος, Ἀφροδισιεύς, σοφιστής. ἐπιφανίων τῶν ἐν Ἀδρότοις τῷ εὐκτηρίῳ, ὃ κεῖται ἐν Λυδίᾳ. ἔγραψε μελέτας. Hesy.

3751 Εὐστιβής: τετριμμένη. Σ

3752 Εὔστολον: εὔκοσμον. ὁ δὲ προῆγε ποιήσας εὔστολον τὴν ἀκολουθίαν. E

3753 Εὐστομεῖν: τὸ εὐφημεῖν. καὶ οἱ Ἴωνες εὔστομα κεῖσθω φασί. Σ

3754 Εὔστομον: εὐπρόσωπον. ἀπὸ μέρους. Σ

3755 Εὐστόχιος, Καππαδόκης, σοφιστής. ἔγραψε τὰ κατὰ Κώνσταντα τὸν βασιλέα καὶ ἀρχαιολογίαν Καππαδοκίας καὶ λοιπῶν ἐθνῶν. Hesy.

3739 = Ambr. 2276 3740 aliter Ambr. 2474 3741 = Σ^{a} cf. sch. N 31 = Et. M. 398, 23; H v. εὔσκαρθμοι, Ap. S. 79, 25 3742 Soph. Ai. 823 c. sch. 3743 τὸν sq. Anth. 6, 206, 7—8 3744 = Ambr. 2495 cf. Et. Gud. 3745 l. = L 3747 ὁ—ἐβούλετο App. Iber. 25 βεβαίως cf. H v. εὐσταθής 3748 — ἐστολισμένος = Ba 242, 13, H κοῦφος cf. sch. Thuc. 3, 22, 2 3749 = Ba 242, 14 cf. H 3751 = Ba 242, 15 cf. H 3753 — εὐφημεῖν cf. sch. Ar. Nu. 834. εὔστομα κεῖσθω Hdt. 2, 171, 2 3754 = H

3739 Z 903 3741 Z 903 3742 Z 922 3743 Z 905 3746 ὅτι sq. ex v. B 151 3747 Z 925 3748 Z 903 cf. 925 3752 cf. v. περικοπή 2. Z 912 3753 Z 922 3754 Z 903

3 ὑπερηφανής GIM 5 Εὔσκαρθμος ed. pr. παχύς V 9 ῥαδινὸν V A(GIFVM) ῥαβδινῶν G ῥανδινῶν M 14 μέχρις VM ἐν ex A solo τόμοι V ὅτι— 16 πόλεως om. FV 15 Σεβαστειανὸς GI Μακεδονικῆς GIM 16 ἐπισκόπῳ] ἐπίσκοπος ὁ A 23 post σοφιστής lac. statuit Bhd. 30. 31 Κωνσταντῖνον F

Ar. 3756 Εὔστρα: τὸ μαδιστήριον, ἢ ἡ φλογίστρα. Ἀριστοφάνης· ἐν ταῖσιν εὔστραις κονδύλοις ἡρμοττόμην. ἀντὶ τοῦ ἐπαιδευόμην. ἀπὸ τῆς μουσικῆς.

Soph. 3757 Εὔσοια: εὐσθένεια. ζῶντά τ' εὐσοίας χάριν.

Harp. 3758 Εὐσύμβουλος: ἀντὶ τοῦ ῥᾳδίως καὶ εὖ συμβάλων· τουτέστιν ἀγαθὸς συμβάλλειν. Ἀντιφῶν ἐν τῷ Πολιτικῷ.

3759 Εὐσυνείδητος: καλῷ ζῶν συνειδότι.

E 3760 Εὐσυνθετεῖν: εὐνοϊκῶς ἔχειν. Μασσαγέται ἐβουλεύσαντο εὐσυνθετεῖν πρός τε Γελίμερα καὶ Βελισάριον.

Σ 3761 Εὐσύνοπτον: εὐεπίγνωστον, εὐθεώρητον.

Hesy.? 3762 Εὔσχημος, κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἐμπολή· ὡς Ἀθήναιος λέγει.

Rhet. 3763 Εὐσχήμων: οὐχ ὁ πολλὰ κεκτημένος καὶ πλούσιος, ἀλλ' ὁ Δ κόσμιος καὶ πειθόμενος τοῖς νόμοις. καὶ συστέλλει.

Δ 3764 Εὐταίων: ὄνομα κύριον.

Hom. 3765 Εὖτε: ἔστι καὶ χρονικόν, ἀντὶ τοῦ ἡνίκα, καὶ ὁμοιωματικόν, ἀναλογοῦν τῷ ⟨ἠΰτε⟩. ἠΰτε βοῦς ἀγέληφι ταῦρος. βοῦς μὲν γενικῶς, ταῦρος δὲ ἰδικῶς.

Δ + Ar. 3766 Εὐτέλεια· Εὐτελία δὲ ἡ εὐδαιμονία. παρὰ τὸ εὖ τελεῖν. Ἀριστοφάνης· σοὶ γὰρ διδόαμεν ἐπ' εὐτελείᾳ τὸν σανδαλίσκον.

Σ 3767 Εὐτελής: ἐπ' ἀρετῆς ὁ φειδωλός, καὶ ὀλιγοδάπανος. οὕτω Μένανδρος· ἐγὼ δὲ ἀνόητος, εὐτελὴς ὑπερβολῇ. καί, ὁ ἄσωτος ἐστὶ πολυτελής, θρασὺς σφόδρα.

Σ 3768 Εὐτειχεῖ πάγῳ: καλῶς τετειχισμένῃ.

Σ 3769 Εὐτοκία: πολύγονος.

E 3770 Εὐτόκιος, ἀπὸ Θρᾴκης ἐλθὼν οὔτε γνώμην ἐπιεικής τις ἦν οὔτε γένους εὖ ἥκων, ἀλλὰ στρατιώτης μὲν ὁ τυχών, πολλὰ δὲ χρήματα κοινὰ τοῦ ἰδίου τάγματος ὑποκλέψας ᾤχετο φεύγων εἰς τὴν

3756 Ar. Eq. 1236 c. sch. 3757 Soph. OC 390 c. sch. cf. H 3758 Harp. = Et. Gen., Et. M. 398, 29; Antiph. fr. 82 3760 Massagétai sq. Proc. Bell. 4, 2, 3 3761 = Ba 242, 16 cf. H 3762 Ἀθήναιος 13, 571e 3763 — νόμος cf. Bk. 259, 27 = Et. M. 398, 21 συστέλλει = Ambr. 2860 3765 — χρονικόν + ὁμοιωματικόν—ἠΰτε pr. = sch. A (Aristonic.) in Γ 10. ἡνίκα = sch. D in Z 515, Apion. ἠΰτε alt. sq. B 480 c. sch. D 3766 Εὐτέλεια = Ambr. 2496. εὐδαιμονία sq. Ar. Ran. 406 c. sch. 3767 — ὀλιγοδάπανος cf. Paus. Att. fr. 306 ap. Eust. I. 881, 29, H, Ath. 2, 40e; ἐγὼ sq. Men. com. fr. 615 (sed ὁ sq. haud est Menandri) 3768 = Ba 242, 17, Σ^{A} cf. sch. A 129 = Et. M. 399, 4 3769 = Ba 242, 18 3770 Eunap. fr. 106, FHG 4, 55

3756 cf. v. H 534. Z 912 3757 Z 912 3760 Z 922 3761 Z 903 et 918 3768 Z 903 3770 cf. 566

A(GIFVM) 2 ἡρμοττόμενος V 4 ζῶν V 14 καὶ alt. ex V συστέλλει G: cp. AM συστέων V om. IF 15 Εὐταίων A cf. v. νῆις: Εὐκταίων rell. 17 ⟨ἠΰτε⟩ suppl. Kust. 19 τελῶν A 20 εὐτελίᾳ $GI^{ac}FVM$ 22 ὁ] ὁ δ' Grotius 23 θρασὺ AI 24 Εὐτυχεῖ A Ba 26 γνώμης GIFVM 27 ἀλλὰ] οὗτος V 28 φεύγων ex A solo

Παλαιστίνην. ἐπεχείρησε μὲν οὖν Ἐλευθεροπολίταις ἑαυτὸν ἐγκαταλέξαι, τῆς βουλῆς μετασχὼν ἐπὶ χρήμασι μεγάλοις. καὶ γὰρ ἐγλίχετο τὴν τύχην μεταβαλεῖν ἐς τὸ εὐγενέστερον. καίτοι ἔδει πρότερον μετατίθεσθαι τὴν προαίρεσιν εἰς τὸ κρεῖττον, ἀλλ' ὅμως οἱ Ἐλευθεροπολῖται τὸ πλῆθος ὑπειδόμενοι τῶν χρημάτων οὐ προσεδέξαντο τὸν Εὐτόκιον. ὁ δὲ μετεχώρησεν ἐς τὴν Ἀσκάλωνα. καὶ ὁ τότε πρωτεύων Κρατερὸς εὐμενῶς αὐτὸν ὑπεδέξατο μετὰ τῶν χρημάτων πολιτικῆς τε μετέδωκεν ἐλευθερίας. οἱ δὲ Θρᾷκες ὑστέρῳ χρόνῳ κατὰ πύστιν ἥκοντες ἐπὶ τὸν Εὐτόκιον ἀπῄτουν τὸν Κρατερὸν αὐτόν τε καὶ τὰ χρήματα. ὁ δὲ οὐ μεθίει τὸν ἄνδρα. τῶν δὲ στρατιωτῶν ἐπὶ δίκην τὸ πρᾶγμα φερόντων, ὁ Κρατερὸς ὑπεραγωνίζεται τοῦ Εὐτοκίου καὶ περιγίνεται τῶν Θρᾳκῶν· ἐφ' ᾧ καὶ χρησμὸς ἐξέπεσεν, ἔχων ὧδε.

3771 Εὐτραπελία: μωρολογία, κουφότης, ἀπαιδευσία. ὁ δὲ Πτολεμαῖος πάντας ἐκέλευσεν ἀνακροτῆσαι, τῆς εὐτραπελίας ἀποδεχόμενος αὐτόν. Σ E

3772 Εὐτράπελον· οὔτε τιν' ἔχων πρόφασιν οὔτε λόγον εὐτράπελον, εὔστροφον, αὐτὸς ἄρχων μόνος. οὕτω δ' ἦν εὐτράπελος τὴν φύσιν, ὥστε παρ' Ἀθηναίοις Ἀθηναῖος ἦν ἄκρος καὶ Λάκων Λακεδαιμονίοις καὶ Θηβαίοις Θηβαῖος. ὅτι τὸν εὐτράπελον ἡ κωμῳδία ἐπιδέξιον καλεῖ. καὶ ζήτει ἐν τῷ ἀνασεσυρμένην. Εὐτράπελος οὖν κυρίως ὁ μιμολόγος, ὁ γελωτοποιός. Ar. E Said

3773 Εὐτρεπῆ: τὰ ἕτοιμα, καὶ τέλος ἔχοντα. Σ

3774 Εὐτρεπισμός: ἡ ἑτοιμασία. Δ

3775 Εὐτρόπιος, Ἰταλός, σοφιστής. τὴν Ῥωμαϊκὴν ἱστορίαν ἐπιτομικῶς τῇ Ἰταλῶν φωνῇ. ἔγραψε καὶ ἄλλα. Hesy.

3776 Εὐτρόπιος, ὁ εὐνοῦχος, ἐπίτροπος Θεοδοσίου τοῦ βασιλέως. καί φησιν Εὐνάπιος· ὁ μὲν γὰρ Ῥουφῖνος ἀνήρ τε ὢν ἢ δοκῶν καὶ ἐν ἀξιώμασι γεγονὼς καὶ ποικίλαις ὁμιλήσας τύχαις, οὐ παρὰ λόγον οὐδὲ τοῦ πρέποντος ἐκτὸς ἐδόκει κατεξανίστασθαι τῆς νεωτεριζούσης ἅπαντα τύχης. ὁ δὲ θαλαμηπόλος εὐνοῦχος παραλαβὼν τὸ ἐκείνου κράτος ἐς τοσόνδε κατέσεισεν ἅπαντα καὶ κατεβρόντησεν, ὥστε οὐ E

3771 — ἀπαιδευσία = Ba 242, 19, Lex. αἰμ. 625, 7, Et. M. 399, 30 cf. H ὁ sq. Ios. Ant. 12, 214 3772 — εὐτράπελον + αὐτὸς—μόνος Ar. Vsp. 468—70. εὔστροφον cf. Bk. 92, 8, fort. sch. οὕτω—Θηβαῖος de Alcibiade, fort. ex Aeliano 3773 — ἕτοιμα cf. H 3774 = Ambr. 2284 3776 Eunap. fr. 66, FHG 4, 44

3771 cf. v. A 1919 et v. Πτολεμαῖος 9. Z 912 3772 vs. 19 ὅτι—20 καλεῖ ex v. A 2061 cf. v. σκώπτης 3773 cf. v. H 653 3774 Z 903 3776 cf. v. χρῆμα 1

1 οὖν om. V 1. 2 καταλέξαι GIVM 2 γὰρ om. V 3 μεταβαλεῖν A(GIFVM) om. V καίτοι—4 κρεῖττον ex A solo 5 τὸ—χρημάτων ex A solo 6 τὸν Ἀσκάλων V 7 Κρατερῶς AG^{pc} 9 αὐτόν τε A: τὸν Εὐτόκιον GIVM 11 τὸ πρᾶγμα φερόντων A: ἐλθόντων GIVM Κρατερῶς A 12 ἐφ—ὧδε om. V 14 ἐκέλευεν A cf. v. A 1919 ἀνακρατῆσαι GIV 18 παρ'] παρὼν vel delendum esse statuit Bhd. Ἀθηναῖος om. A ἄκρως M. Schmidt 19 ὅτι—21 γελωτοποιός om. FV 24 τὴν—25 ἄλλα om. F 25 καὶ ἄλλα om. V

μόνον Ῥουφῖνος ἦν αὐτός, ἀλλ' ὁ τοῦ μύθου Σαλμωνεὺς μικρόν τι χρῆμα πρὸς αὐτὸν ἦν, ὅσγε ὢν εὐνοῦχος ἀνὴρ εἶναι κατεβιάζετο. καὶ οἱ μὲν μῦθοί φασι τὴν Γοργόνα φανεῖσαν ἅμα τε φαίνεσθαι καὶ τοὺς ἰδόντας μεταβάλλειν εἰς λίθον· ὁ δὲ καθ' ἡμᾶς βίος ληρόν τινα περιττὸν καὶ φλήναφον τὸν μῦθον ἀπέδειξε. καὶ πολὺν καταχέει διασυρμὸν ὁ ἱστορικὸς τουτουῖ τοῦ εὐνούχου, τοῦ βίου αὐτοῦ ἐπάξιον.

EV 3777 Εὐτρόπιος, ὁ τοῦ Ἀρκαδίου τοῦ βασιλέως πρόκοιτος· ὃς οὐδὲν τῶν δεινῶν ἀπελίμπανεν, τάς τε ἀρχὰς δημοσίᾳ πιπράσκων καὶ τοὺς τῆς δυνάμεως κυκοφαντῶν ἐξορίαις τε τοὺς μεγιστᾶνας ὑποβάλλων καὶ πᾶσαν ὕβριν τρῖς τῆς συγκλήτου βουλῆς ἐπάγων. ἀλλ' οὐδὲ τῆς τῶν βαρβάρων ἀπείχετο συμμαχίας, ὡς ἂν αὐτὸς ἐλπίζων ἐς τὴν τοῦ βασιλέως μεταβαίνειν ἀξίαν. καί ποτε καὶ τοὺς ἐν ταῖς ἐκκλησίαις πεφευγότας συλλαμβάνειν βουλόμενος προὔθηκεν ἐπιτρέπων τούτους ἐκ τῶν θυσιαστηρίων ἀφέλκεσθαι. καὶ ὁ μὲν νόμος ἐγέγραπτο, δίκη δὲ εὐθέως τῆς ὠμότητος ἠκολούθει. μετ' οὐ πολὺ γὰρ προσκρούσας τῷ βασιλεῖ Εὐτρόπιος ἐν τοῖς πρόσφυξιν ἐγένετο καὶ ὑπὸ τὸ θυσιαστήριον ἔκειτο, Ἰωάννου ἐπισκοποῦντος τοῦ Χρυσοστόμου, ἐκεῖθέν τε ἀφαιρεθεὶς νυκτὸς τῆς κεφαλῆς ἀποτέμνεται. οὕτω μὲν ὁ Εὐτρόπιος δίκας τῆς ἁμαρτάδος ὑποστὰς καὶ ἐξ αὐτοῦ τοῦ καταλόγου τῶν ὑπάτων ἠμείφθη,

E μόνου τοῦ συνυπατεύσαντος Θεοδώρου γεγραμμένου. ὅτι ἐπὶ τούτου τοῦ Εὐτροπίου τὸ τῶν εὐνούχων ἔθνος διὰ τὴν ἐκείνου βαρύτητα καὶ δυναστείαν ἐς τοσοῦτον ἐπέδωκε καὶ παρετάθη πλήθους, ὥστε τινὲς ἤδη καὶ τῶν γενειάδας ἐχόντων εὐνοῦχοι βουληθέντες γενέσθαι, σὺν τοῖς ὄρχεσιν καὶ τῆς ψυχῆς ἀφῃρέθησαν.

E 3778 Εὐτρόχαλον· εἶναι δὲ τὴν ἀσπίδα μικρὰν καὶ εὐτρόχαλον. περιφερῆ.

3779 Εὔτροχον· οἵ τε ὀφθαλμοὶ τὸ τῆς διανοίας εὔτροχον ἀποσαφοῦντες.

Hdt. + Σ 3780 Εὔτυκτα: παρὰ Ἡροδότῳ ἀντὶ τοῦ ῥᾴδια, ἕτοιμα εἰργασμένα· καλῶς κατεσκευασμένα.

Soph. 3781 Εὐτυχεῖ: ἐπιτυγχάνεται. πόνου τοι χωρὶς οὐδὲν εὐτυχεῖ.

EV 3782 Εὐτυχής· οὗτος ἡγούμενος γέγονεν ἐν Κωνσταντινουπόλει μοναστηρίου, τῆς κατὰ Μάνεντα καὶ Ἀπολινάριον ἀντιθέου μοίρας

3777 — vs. 20 γεγραμμένου Io. Antioch. fr. 189, FHG 4, 610 = EV 1, 203, 3—17 3779 Dam. fr. 80 3780 — εἰργασμένα gl. Hdt. 1, 119. καλῶς sq. cf. Ba 242, 20 = Et. Gen., Et. M. 399, 12; sch. Γ 336 3781 Soph. El. 945 c. sch. 3782 Georg. 472, 11—23 = EV 1, 144, 12—23

3777 Io. Antioch. cf. v. ὕπατοι 2; extr. cf. v. σπάδων 2 extr. 3778 Z 912 3779 cf. v. A 3516

A(GIFVM) 1 ἦν del. Bhd. 2 ἀνὴρ γε εἶναι A 4 μεταβάλλειν εἰς λίθον] ἀπολιθοῦν V 6 τοῦ εὐνούχου τουτουῖ GIM 12 ταῖς ex A Exc. 14 ἐφέλκεσθαι V 16 Εὐτρόπιος ex A Exc. ἔκειτο A Exc.: προὔκειτο rell. 17 Ἰωάννου om. V 19 ἠλείφθη Bas. Vales. 20 ὅτι ex A solo 21 τοῦ Εὐτροπίου ex AV^{ms} solis 24 καὶ—ἀφῃρέθησαν A cf. v. σπάδων: ἀφῃρέθησαν καὶ τὰς ψυχάς GI(V)M 33 μοναστηρίου Kust. Exc.: cp. A μοναστὴς rell.

τρίτος ὑπαςπιστής, ἄλλον εἶναι παρ' ἑαυτῷ τὸν Χριστὸν καὶ ἄλλον τὸν θεὸν λόγον, μὴ ἀνεχόμενος ὁμοούςιον ἡμῖν καὶ ὁμοφυῆ τὴν cάρκα τοῦ κυρίου ὁμολογεῖν· καὶ ἀπηρνεῖτο cῴζεcθαι λέγειν ἐν τῷ Χριστῷ δύο φύcεις μετὰ τῆς τούτων ἑνώcεώς τε καὶ cυμφυΐας. οὐ μὴν δὲ ἀλλὰ καὶ τερατώδη τινὰ καὶ ἀλλόκοτα παρέπλαττεν, ἐξ οὐρανοῦ λέγων κατενεχθῆναι τὸ cῶμα τοῦ κυρίου, καὶ ὡς διὰ cωλῆνος τῆς παρθένου παραδραμεῖν τὸν θεὸν λόγον, οὐρανόθεν τοῦτο ἐνδεδυμένον, ἵνα δόξῃ γεγενῆcθαι ἐκ γυναικὸς καίπερ μὴ γεγεννημένος. Μανιχαῖος οὗτος ὁ λόγος καὶ πεφαντακμένος πολλῷ μᾶλλον ἐκείνου. μίαν φύcιν καὶ οὗτος διεςτραμμένῃ καρδίᾳ τὸν Χριστὸν ἐπρέcβευεν.

3783 Εὐτυχίδης: πατρωνυμικόν. Δ

3784 Εὐτυχῶ· γενικῇ. Synt.

3785 Εὐοῖ: cχετλιαστικόν. Δ

3786 Εὐοιώνιcτον: εὔφημον, καλὰ προcημαίνουcαν. Νίκης ἄγαλμα χρυcοῦν ποιήcας ἀπέcτειλε τῷ δήμῳ, ἅμα μὲν διὰ τὸ λυcιτελές, ἅμα δὲ διὰ τὸ εὐοιώνιcτον εἶναι προcδέξαcθαι τὴν νίκην. x + E

3787 Εὐοῖ, cαβοῖ· Δημοcθένης ὑπὲρ Κτηcιφῶντος. Βακχικόν τι ἐπίφθεγμά ἐcτιν. Εὐοῖ, cαβοῖ, μυcτικὰ μέν ἐcτιν ἐφιφθέγματα. φαcὶ δὲ τῇ Φρυγῶν φωνῇ τοὺc μύcτας δηλοῦν· ἀφ' οὗ καὶ ὁ Cαβάζιος Διόνυcος. Harp. Σ

3788 Εὖ οἶ ᾄcαι: ἔcτι τοῦτο ὕμνος εἰc Διόνυcον. καὶ ἀνευάcαι. Suid.

3789 Εὐΰφαντον. Δ

3790 Εὐφεγγίας· ἀπὸ τῶν δύο τοίχων εὐφεγγίας ποιούντων. Suid.

3791 Ἐφείλιξαν· cχοινίον τε ἐφείλιξαν μίλτῳ. E

3792 Εὐφήμει: καλὰ λάλει, ἢ ἐπαίνει. Ἀριcτοφάνης· εὔφημος πᾶc ἔcτω λεὼc cτόμα cυγκλείcας. ἐνδημεῖ γὰρ θίαcος Μουcῶν ἔνδον μελάθρων. Εὐφήμει οὖν cιώπα, μὴ ἀκαιρολόγει. Σ Ar.

3793 Εὐφημηςμός. Εὐφήμου cτόμα φροντίδος, ἡ φωνή. cτόμα γὰρ ἡ φωνή. Ὅμηροc· πολέμου cτόμα. καὶ Cοφοκλῆς· χαλκοcτόμου κώδωνος. ὁ δὲ νοῦc, τὴν φωνὴν τῆς εὐφήμου φροντίδος Δ Soph.

3783 = Ambr. 2347 3785 cf. Ambr. 2669 3786 Diod. 33, 28a cf. EL 406, 18—21 3787 — vs. 18 ἐcτιν Harp. = P cf. An. Ox. 2, 495, 19; Dem. 18, 260 vs. 18 Εὐοῖ sq. = P cf. Lex. Patm. 145, Bk. 257, 17, Et. M. 391, 12 3791 Aelian. fr. 59 3792 — ἐπαίνει = Ba 242, 21, H εὔφημος—μελάθρων Ar. Th. 39—41 vs. 27 εὐφήμει sq. = Ba 242, 23, sch. Pl. Gorg. 469a 3793 Εὐφημηςμός = L, Ambr. 2279 Εὐφήμου sq. Soph. OC 131 c. sch.; K 8; Soph. Ai. 17

3786 Z 912. Diod. cf. v. A 316 et v. Λ 865 3787 cf. v. Σάβοι. Z 926 3788 ex v. A 2342 3790 ex v. Δ 1531 3791 cf. 3882 et v. μίλτος 3792 cf v. Θ 378. Z 922 3793 cf. v. cτόμα 2 hinc pars v. K 2220

1 εἶναι παρ' ἑαυτῷ A: ἑαυτῷ παρεῖναι rell. 5 ἔπλαττεν V 7 παρ- A(GIFVM)
έδραμεν A ἐνδεδημένον A 8 γεγενημένος GIVM Exc. 9 ἐκεῖνος V
14 Νίκης] Εὐνίκης GIM 18 Εὐοῖ] nov. gl. F 3788 om. FV mg. A
3790 om. FV 3791 extra ord. 24 cχοινίων A post μίλτῳ ἀντὶ τοῦ add. A 26 λαὸc GIVM 28 Εὐφημιcμός IM, contra ord. Εὐφήμου] nov. gl. A

ἱέντες. ὅ ἐστι μετὰ φροντίδος πολλῆς εὐφήμως τὴν φωνὴν ἀφιέντες. εὔφημον οὖν τὴν σιωπηλήν· τὸ γὰρ εὐφημεῖν ἐπὶ τοῦ σιωπᾶν τίθεται.

Δ 3794 Εὐφήτης: ὄνομα κύριον.

Δ 3795 Εὐφημία. εὐφημίας χάριν προτιμᾷ τὴν Λακεδαίμονα τὸ
E θεῖον ἤπερ τῶν Ἀθηναίων βωμοὺς σύμπαντας καὶ νεὼς καὶ ἀγάλ- 5
ματα καὶ ἑκατόμβας καὶ τὸν λοιπὸν φλήναφον τῶν ῥᾳθυμούντων τε καὶ θοινάζειν γλιχομένων. οὐκοῦν διδάσκει ὁ λόγος, ὡς ἡ ὄντως εὐσέβεια κοῦφόν ἐστι καὶ σωφροσύνης ἀνάπλεων, καὶ ἥκιστα ἀχθεινόν. εὐφημία γὰρ εὐκολώτατος πόνων. ἤκουσάς που, ὦ παῖ Ἀρίστωνος. καὶ Εὐριπίδης· εὐφημία γὰρ παρὰ σπονδαῖσι κάλλιστον. 10

Δ| 3796 Εὐφημία. ὅτι Εὐφημίας τῆς γυναικὸς Ἰουστίνου τοῦ Θρᾳκὸς στήλη ἵστατο ἐν τῇ ἁγίᾳ Εὐφημίᾳ, ὑφ' αὑτῆς κτισθείσῃ.

Ar. 3797 Εὐφημία ἔστω: εὐφημίᾳ χρῶνται οἱ κωμικοί, ἐπειδὰν εὐχὴν ἢ ψήφισμα εἰσάγωσιν.

3798 Εὐφήμιος, πατριάρχης Κωνσταντινουπόλεως. Ζήτει ἐν τῷ φατρία. 15

Δ 3799 Εὐφορία: ἡ εὐθηνία.

Hesy. 3800 Εὐφορίων, υἱὸς Αἰσχύλου τοῦ τραγικοῦ, Ἀθηναῖος, τραγικὸς καὶ αὐτός· ὃς καὶ τοῖς Αἰσχύλου τοῦ πατρός, οἷς μήπω ἦν ἐπιδειξάμενος, τετράκις ἐνίκησεν. ἔγραψε δὲ καὶ οἰκεῖα.

Hesy. 3801 Εὐφορίων, Πολυμνήστου, Χαλκιδεύς, ἀπὸ Εὐβοίας, μαθητὴς ἐν 20
τοῖς φιλοσόφοις Λακύδου καὶ Πρυτάνιδος καὶ ἐν τοῖς ποιητικοῖς Ἀρχεβούλου τοῦ Θηραίου ποιητοῦ, οὗ καὶ ἐρώμενος λέγεται γενέσθαι. ἐγεννήθη δὲ ἐν τῇ ρκϛ′ ὀλυμπιάδι, ὅτε καὶ Πύρρος ἡττήθη ὑπὸ Ῥωμαίων· καὶ ἐγένετο τὴν ἰδέαν μελίχρους, πολύσαρκος, κακοσκελής. τῆς Ἀλεξάνδρου, τοῦ βασιλεύσαντος Εὐβοίας, υἱοῦ δὲ Κρατεροῦ, γυναικὸς 25
Νικίας στερξάσης αὐτόν, εὔπορος σφόδρα γεγονὼς ἦλθε πρὸς Ἀντίοχον τὸν μέγαν ἐν Συρίᾳ βασιλεύοντα καὶ προέστη ὑπ' αὐτοῦ τῆς ἐκεῖσε δημοσίας βιβλιοθήκης· καὶ τελευτήσας ἐκεῖσε τέθαπται ἐν Ἀπαμείᾳ, ὡς δέ τινες ἐν Ἀντιοχείᾳ. βιβλία δὲ αὐτοῦ ἐπικὰ ταῦτα· Ἡσίοδος· Μοψοπία ἢ Ἄτακτα· ἔχει γὰρ συμμιγεῖς ἱστορίας, Μοψοπία δέ, ὅτι ἡ 30
Ἀττικὴ τὸ πρὶν Μοψοπία ἐκαλεῖτο ἀπὸ τῆς Ὠκεανοῦ θυγατρὸς

3794 = L 3795 l. = L εὐφημίας—ἀχθεινόν Aelian. fr. 267 vs. 9 εὐφημία—πόνων Eur. fr. 1087, sed vs. 10 εὐφημία—κάλλιστον verisimilius est Euripidis 3796 Εὐφημίας sq. Preger 164, 8—10 3797 sch. Ar. Th. 295 3799 l. = Ambr. 2521

3795 Aelian. cf. 3785

A(GIFVM) 1 μετὰ om.V ἐφιέντες GIM 3794 extra ord. 5 εἴπερ M 10 Εὐριπίδης AIV: cp. GFM Εὐριπίδου ed. pr. 12 κτισθείσης G κτισθεῖσα I κτηςθεῖσα FV 3798 om. AFV 19 καὶ] τὰ add. A 20 Πολυμνήτου GVM 22 Θηραίου A: Θυβαίου I Θυραίου rell. Θηβαίου coll. Hephaest. p. 28, 14 (Consbruch) Bhd. οὗ] τούτῳ δὲ A 23 ρκ′ A 24 μελίχρους A: μελάχρους I μελάγχρους GVM κακοσχελής A τῆς] δὲ suppl. Hemst. 26 Νικαίας Bhd. 27 βασιλεύοντα ex A solo ἐκεῖσε AV: ἐκείνου GIM 28 δημοσίας ex A solo ἐκεῖσε] ἐκεῖ M 29 Ἀντιοχείᾳ I: cp. rell. ἐπικὰ ταῦτα om. V 30 γὰρ om. V

Μοψοπίας, καὶ ὁ λόγος τοῦ ποιήματος ἀποτείνεται εἰς τὴν Ἀττικήν· Χιλιάδες· ἔχει δὲ ὑπόθεσιν εἰς τοὺς ἀποστερήσαντας αὐτὸν χρήματα, ἃ παρέθετο, ὡς δίκην δοῖεν κἂν εἰς μακράν· εἶτα συνάγει διὰ χιλίων ἐτῶν χρησμοὺς ἀποτελεσθέντας· εἰσὶ δὲ βιβλία ϵ′, ἐπιγράφεται δὲ ἡ πέμπτη χιλιάς. περὶ χρησμῶν, ὡς διὰ χιλίων ἐτῶν ἀποτελοῦνται.

3802 Εὔφορος: κοῦφος, ἐλαφρός. ὁ δὲ θυρεὸς τῶν Ἰβήρων εὔφορος. E

3803 Εὐφωνία· ζήτει ἐν τῷ γλῶττα.

3804 Εὔφωνον κήρυκα: δυνάμενον μέγα βοῆσαι.

3805 Εὐφώρατον: φανερόν. Σ

3806 Εὐφραδής: σαφής, ὁ καλῶς λέγων. Σ

3807 Εὐφραίνομαί σοι· Εὐφραίνω σε δέ. Synt.

3808 Εὐφραῖος: ὄνομα κύριον. Ὀρείτης ἦν τὸ γένος· μετέσχε δὲ τῆς τοῦ Πλάτωνος διατριβῆς. Δ Harp

3809 Εὐφραίων: ὄνομα κύριον. Δ

3810 Εὐφρήτης: ὁ Εὐφράτης ποταμός. Δ

3811 Εὐφρόνη: ἐπίθετον τῆς νυκτός. ταύτην μὲν τὴν εὐφρόνην οὕτως ἔμειναν. E

3812 Εὐφρόνη: ἡ νύξ. τίς τὸν μεγιστόφωνον ἔνδον τῆς στέγης ἔπεισεν ὄρνιν ὡρολογεῖν τὴν εὐφρόνην; Δ

3813 Εὐφρονῶ τὰ σά: ἀντὶ τοῦ εὔνους σοί εἰμι. Soph.

3814 Εὔφρος: εὔθυμος. Δ

3815 Εὔφρων, κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Αἰσχρά, Μοῦσαι, Hesy.? Συνέφηβοι, Θεωροί· ὡς Ἀθήναιος γράφει ἐν τοῖς Δειπνοσοφισταῖς.

3816 Εὐφυᾶ: καλὴν φύσιν ἔχοντα. ὡς εὐφυὴς καὶ εὐεπιχείρητος Σ ἀπ᾽ ἀληλυθὼς τῆς διατριβῆς εἴη νεανίσκος. Πολύβιος· ὁ δὲ ἦν ὑπηρετικὸν σκεῦος εὐφυὲς καὶ πολλὰς ἔχων ἀφορμὰς εἰς πραγμάτων EV οἰκονομίαν.

3802 ὁ sq. Polyb. attr. Toup 3805 = Ba 242, 26 3806 = Ba 242, 25 3807 cf. An. Ox. 4, 292, 30—1; — σοι cf. Synt. Laur. Εὐφραίνω σε cf. Synt. Gud. 3808 — κύριον = L Ὀρείτης sq. Harp. 3809 = Ambr. 2338 3810 cf. Ambr. 2433 3811 ταύτην sq. Hdt. 7, 188, 2 3812 — νύξ = L, Ps. Herodian. 229, Orion 58, 21, Et. Gen., Et. M. 399, 50, H τίς sq. Pisid. Hexaem. 1113—4 3813 Soph. Ai. 491 c. sch. 3815 cf. Ath. 7, 307e; 8, 343b; 9, 377d et 399b 3816 — ἔχοντα = Ba 242, 24 ὡς—νεανίσκος Laert. 4, 30 ὁ sq. Polyb. 13, 5, 7 = EV 2, 137, 13—4

3802 Z 904 3814 Z 904 3816 Polyb. cf. vv. σκεῦος et ὑπειρετικοῖς

1 τὴν Ἀττικήν] τὸν Ἀντίοχον Ruhnken 2 Χιλιάδες VM: cp. AGI; ϵ′ add. V A(GIFVM) αὐτὸν AV: αὐτοὺς GIM 3 ὡς—μακράν ex A solo 4 ἐτῶν] ἐπῶν Heyne ἐπιγράφεται—5 χιλιάς damnavit Bhd. 5 περὶ—ἀποτελοῦντων om. GIV mg. AM ante gl. F διὰ χιλίων M Kust.: διχιλίων AF 6 θυραιὸς AFV v. l. Zon. 9 Εὔφορον FV 11 ὁ—λέγων ex AF Ba 3807 ex AF 13 Ὀρείτης—14 διατριβῆς om. F 3809 om. GF 17 εὐφροσύνην A v. l. Hdt. 20 εὐφρόνην I Pis. Port.: ἑσπέραν rell. 21 σοί] σοῦ FV 22 Εὔφρος] Εὔφρων F Εὔφορος V 25 Εὐφυαῖ A 27 εὐφυὴς V

Δ 3817 Εὐφυΐα. εὐφυοῦς ἐστι τὸ ᾠκειῶσθαι μὲν πρὸς τὸ ἀληθές,
Phil. ἀποστρέφεσθαι δὲ τὸ ψεῦδος. ὁ δὲ τοῦτο ἔχων ἔχει καὶ τὸ κρίνειν τἀληθὲς δύνασθαι καλῶς. οἱ δὲ ῥᾳδίως μέν τισι παρακολουθοῦντες καὶ μανθάνοντες, ὁμοίως δὲ ἔχοντες πρὸς πάντα τὰ μαθήματα, οὐκ ἂν κυρίως εὐφυεῖς λέγοιντο τῷ μὴ ἔχειν τὸ κριτικὸν ἐν αὐτοῖς, ὅ ἐστιν ἡ πρώτη καὶ κυρίως εὐφυΐα. καὶ τῶν προσφερομένων, εἴτε μαθήματα ταῦτα εἴη εἴτε καὶ ἄλλα τινά, τὰ μὲν ἄξια εὐπορεῖσθαι καὶ φιλεῖν αἱρούμενοι, τὰ δὲ μὴ τοιαῦτα ἀποστρεφόμενοι καὶ μισοῦντες, εὖ τε τοῦτο ποιοῦσι καί εἰσιν ἀγαθοὶ κριταί.

Synt. 3818 Εὐχαριστῶ· δοτική.

3819 Εὐχά. Εὐχαί: αἱ ὑποσχέσεις. τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω. Εὐχὴ γάρ ἐπαγγελία θεῷ τῶν κατ' εὐσέβειαν ἀφιερουμένων, προσευχὴ δὲ δέησις μετὰ ἱκετηρίας τῷ θεῷ προσαγομένη.

Δ 3820 Εὐχαίτης: ἵππος καλόθριξ.

Δ 3821 Εὔχεμος: ὄνομα κύριον. ὁ Αἰγεάτης.

Δ 3822 Εὐχέρεια: εὐκολία.

Σ 3823 Εὔχεται: καυχᾶται.

Δ 3824 Εὐχείμονος: τοῦ καλὰ ἱμάτια ἔχοντος.

Δ 3825 Εὐχειρία: ἡ διὰ χειρῶν εὐκινησία. οἱ δὲ Μακεδόνες ταῖς
E εὐχειρίαις πολὺ περιῆσαν.

Δ 3826 Εὐχολόγιον: τὸ βιβλίδιον.

E 3827 Εὐχίδης καὶ Ἄσσαπος καὶ Χρυσόμαζος καὶ Ἐχίων, ὀνόματα κύρια. ὠκύτατοι οὗτοι τοῖς ποσὶν ὑπῆρχον.

Ar. 3828 Εὔχομαι δέ σοι τάδε: ἀντὶ τοῦ καταρῶμαι, παρὰ Ἀριστοφάνει.

Σ 3829 Εὖχος: καύχημα.

Σ 3830 Εὐχωλή: εὐχή, ἢ καύχημα.

Δ 3831 Εὐχρηστία: ἡ καλὴ χρῆσις.

Ar. 3832 Εὐχροεῖς: εὐσωματεῖς.

Δ 3833 Εὐχυλότερος: ὁ ταχέως πεττόμενος.

3817 Εὐφυΐα = Ambr. 2539 εὐφυοῦς sq. Alex. Aphr. 584, 14—24
3818 = Synt. Laur. et Gud., An. Ox. 4, 292, 25 3819 τὰς—ἀποδώσω Ps. 115, 5 εὐχή sq. = Et. Gud., An. Ox. 1, 140, 20 3820 = Ambr. 2269, Ps. Herodian. 166 cf. Boisson. 4, 376 vs. 184 3821 ὁ Αἰγεάτης cf. L 3822 = Ambr. 2497
3823 = Ba 242, 27, H, sch. A 91 cf. Apion, Et. M. 400, 24 3824 cf. Ambr. 2263; l. = Ambr. 2361 3825 l. = Ambr. 2566 οἱ sq. Polyb. fr. 158 3826 l. = L; aliter Ambr. 2589 3827 Prisco attr. Müller FHG 4, 617 3828 Ar. Eq. 928 c. sch. 3829 = Et. Gen., Et. M. 400, 34 cf. Ba 242, 28, sch. Ε 654, H
3830 = Ba 242, 29 cf. H, Et. M. 400, 36, sch. B 160, Apion, Ambr. 2458
3831 = Ambr. 2517 cf. 2569 3832 sch. Ar. Lys. 80 3833 l. cf. Ambr. 2400

3819 Z 913 3821 cf. 2239 3822 Z 913 3823 Z 922 3825 Z 913
3827 cf. 4014 et v. l 368. Z 904 3828 Z 923 3829 Z 918 3830—1 Z 913
3832 Z 923 3833 Z 904

A(GIFVM) 1 ᾠκειοῦσθαι GIVM 3 ἀληθὲς V 5 τῷ] τὸ V 7 καὶ pr. om. GIM
9 τε om. A 3818 om. FV 11 Εὐχά ex FV 16 ἡ εὐκολία F 24 δέ ex AF solis 30 Εὐχυλώτερος V

3834 Εὐψυχία: ἀνδρεία. καθάπερ γὰρ ἐπὶ τῆς Ἐπαμινώνδου καὶ Δ
Πελοπίδου καὶ Βρασίδου καὶ Κλεομβρότου τελευτῆς καὶ διὰ τὴν ἐν
τῷ ζῆν ἀρετὴν καὶ διὰ τὴν ἐν τῷ τελευτᾶν εὐψυχίαν ἀδυνατοῦσιν
οἱ συγγραφεῖς ἀξίους εὑρίσκειν λόγους τῆς προκαθηγουμένης τῶν
ἀνδρῶν ἐννοίας. καὶ αὖθις· μὴ εἶναι φοβερόν, ὅτι πλήθει προ- E
έχουσιν οἱ πολέμιοι· τὴν γὰρ εὐψυχίαν ἀεὶ τοῦ πλείονος ἐπικρατεῖν.
3835 Εὔψυχος· Ἀριστοτέλης ἐν τοῖς Τόποις λέγει τὴν ἐν τῷ ζῆν Phil.
ἀρετὴν καὶ τὴν ἐν τῷ τελευτᾶν εὐψυχίαν. οὐχ ὁ ἀνδρεῖος μόνος, εἰ
μεταληψόμεθα τὸ εὔψυχος εἰς τὸν λόγον κατὰ τὴν ἐτυμολογίαν· ἔστι
δὲ οὗτος ὁ εὖ τὴν ψυχὴν ἔχων. ἀλλὰ μὴν εἰ εὔψυχός ἐστιν ὁ εὖ
τὴν ψυχὴν ἔχων, ἀγαθὴν δὲ τὴν ψυχὴν ἔχει καὶ ὁ δίκαιος καὶ ὁ
σώφρων καὶ ὁ φρόνιμος, οὐδ' ἂν ὁ ἀνδρεῖος μόνος εὔψυχος εἴη, οὐδ'
ἂν ἡ εὐψυχία ἀνδρεία εἴη. ὅτι δὲ εὔψυχος ὁ εὖ τὴν ψυχὴν ἔχων,
δείξομεν τῇ τῶν ὀνομάτων παραθέσει. καὶ γὰρ εὔελπις ὁ εὖ ἐλπίζων,
τουτέστιν ὁ ἀγαθὰ ἐλπίζων· καὶ εὐδαίμων ὁ εὖ τὸν δαίμονα ἔχων.
Ἀρριανός· τῶν μάλιστα εὐψυχίαν τινὰ ἐν τοῖς δεινοῖς ἐπιδεικνυμένων. E
ἀντὶ τοῦ εὐτολμίαν. Μένανδρος· μὴ εἶναι φοβερὸν τοῦτο, ὅτι πλήθει
προέχουσιν οἱ πολέμιοι· τὴν γὰρ εὐψυχίαν ἀεὶ τοῦ πλείονος ἐπι-
κρατεῖν.
3836 Εὐψύχους: ἀντὶ τοῦ τολμηρούς. ἐπιλεξάμενος ἄνδρας εὐψύχους E
τε καὶ γενναίους.
3837 Εὐψυχότερος. Δ
3838a Εὔψυχοι. Δ
3838b Ἐφ' ἅ: ἐφ' ἅτινα. Δ
3839 Ἐφάλια: παραθαλάσσια. Σ
3840 Ἔφαμμα: τὸ περίβλημα. Πολύβιος· οἱ μὲν γὰρ τὰς ἀναξυ- Δ
ρίδας καὶ τοὺς εὐπετεῖς τῶν σάγων ἔχοντες περὶ αὐτοὺς ἐξέταζον· E
οἱ δὲ διὰ φιλοδοξίαν ταῦτ' ἀπορρίψαντες γυμνοὶ μετὰ τῶν ὅπλων
ἔστησαν, ὑπολαβόντες οὕτως ἔσεσθαι πρακτικώτατοι διὰ τό τινας τῶν
τόπων βατώδεις ὄντας ἐμπλέκεσθαι τοῖς ἐφάμμασιν.
3841 Ἐφάμιλλον: ὅμοιον, ἴσον. Σ
3842 Ἐφαπλώματα· Ἀριστοφάνης πεπλώματα λέγει. καὶ ζήτει ἐν τῷ δυσπινῆ
καὶ ἐν τῷ πέπλος.

3834 l. = Ambr. 2541 καθάπερ—ἐννοίας Polyb. fr. [159] μὴ sq. App. Iber. 40 3835 — vs. 15 ἔχων Alex. Aphr. 176, 2—12 vs. 16 τῶν—ἐπιδεικνυμένων Arr. Parth. vel Exc. fr. 17 μὴ sq. cf. ad 3834 3837 cf. Ambr. 2399 3839 = P, Ba 243, 2 3840 οἱ μὲν sq. Polyb. 2, 28, 7—8 3841 = P, Σ^{a} cf. Ba 243, 3; — ὅμοιον = H cf. Ambr. 2704; ἴσον = Bk. 257, 31

3838 cf. 3958 3839—40 Z 931

1 Ἐπαμινώνδου V: Ἐπαμινώνδας F Ἐπαμινώνδα I cp. rell. 2 Πελο- A(G1F V M)
πίδου V: cp. rell. Βρασίδου V: cp. rell. 5. 6 προσέχουσιν G V M
14 ὀνομάτων] ὁμοίων Alex. 17 Μένανδρος—18. 19 ἐπικρατεῖν om. I
26 τὰς] τοὺς A 27 σάγων] συγγενῶν V 3842 om. F V mg. A 32 τῷ
δυσπινῆ] πινῆ in lac. A

E 3843 Ἐφαπτίδας· οἱ δὲ ψιλοὶ Ῥωμαίων ἕκαστος αὐτῶν εἶχον ἐφαπτίδα καὶ κνημῖδά τε καὶ λογχάσθην καὶ ἀκόντιον, διόλου σιδήρου πεποιημένον.

Synt. 3844 Ἐφαρμόζω· δοτικῇ.

Σ 3845 Ἐφαύλιζον: εὐτέλιζον. οἱ δὲ ἐφαύλιζον αὐτόν, οὐδαμῆ σπουδαῖον ὄντα· μικρὸς γὰρ ἦν τὸ σῶμα.

Σ 3846 Ἐφάψασθαι: ἄρξασθαι, ψηλαφῆσαι.

Σ 3847 Ἐφεδρεύει· δοτικῇ. ἐπικάθηται. ἐφεδρεύειν δὲ ἐκείνοις φίλους καὶ συγγενεῖς τῶν ἀπολωλότων. ἀντὶ τοῦ εἰσί τινες ἐξ ὑστέρου τιμωροὶ τῶν ἀπολωλότων.

3848 Ἐφεδρεία: ἡ ἐπίκληρος παραμονή.

3849 Ἐφεδρεία: τὸ πρᾶγμα. παρὰ Ῥωμαίοις θάνατος πρόστιμον τῷ λιπόντι τὴν ἐφεδρείαν. τουτέστι τὴν παρατήρησιν.

Σ 3850 Ἔφεδρος: ταυλιστὴς τρίτος, καὶ ἐνεδρεύων. Ἀριστοφάνης Ar. Βατράχοις· νυνὶ δ' ἔμελλε Κλειδημίδης ἔφεδρος καθεδεῖσθαι· κἂν μὲν Αἰσχύλος κρατῇ, ἔξειν κατὰ χώραν· εἰ δὲ μή, περὶ τῆς τέχνης διαSoph. γωνιεῖσθαι. Ἔφεδρός ἐστιν ἐν τοῖς ἀγῶσιν ὁ μὴ πλανώμενος εἰς τὸ ἀγωνίζεσθαι τοῖς νικῶσιν. ἔφεδρον δὲ λέγει ὁ Σοφοκλῆς τὸν Αἴαντα, ὅτι ἔσχατος καὶ ὡς ἔφεδρος ἐλείφθη μοι ὁ Αἴας εἰς κακόν. οἷον πρὸς τοῖς πρώτοις κακοῖς ὥσπερ δεύτερόν ἐστι μοι κακὸν τὸ τοῦ Αἴαντος ξυνεστηκός. τοῦτο γὰρ δηλοῖ τὸ ἔφεδρος. λέγει γάρ, καί μοι δυσθεράπευτος Αἴας ξύνεστιν ἔφεδρος.

3851 Ἔφεδρος: ἐλπίζων, παραμένων. ἔφεδροι γίνονται τοῖς καιροῖς καὶ ἑτοίμως διάκεινται πρὸς τὸ πάλιν ἀντοφθαλμεῖν τούτοις.

E μεσολαβηθεὶς δ' ὁ νέος ἐξ ἐχθρῶν ὑπερκειμένων καὶ ἐφέδρων, εἰς τὸ ἄντρον εἰσκριθεὶς ἐπίπονον βίον συνεστήσατο καὶ θηριώδη.

x+Σ+E 3852 Ἐφεθέν: παρασχεθέν, ὁρισθέν, συγχωρηθέν. ὁ δὲ βασιλεὺς Ἀντίγονος, ἐφεθέν οἱ δικάσαι, προσέταξε κλήρῳ διακριθῆναι.

Phil. 3853 Ἐφεκτικοί: φιλόσοφοί τινες. παρὰ τὸ ἐπέχειν περὶ τῶν πραγμάτων καὶ δογματίζειν αὐτὰ ἀκατάληπτα.

Harp. 3854 Ἔφεκτος τόκος: ὁ ἐπὶ τὸ ἕκτον τοῦ κεφαλαίου.

3844 = Synt. Gud. et Laur. 3845 — εὐτέλιζον = P, Ba 243, 4, H 3846 = P, Ba 243, 5 3847 δοτικῇ = Synt. Laur. et Gud. ἐπικάθηται = P, Ba 243, 6 ἐφεδρεύειν—ἀπολωλότων fort. Aelian. 3848 — ἐπίκληρος cf. H v. ἔφεδρος, gl. Hdt. 5, 41; aliter Ambr. 2696 3849 παρὰ—ἐφεδρείαν Polyb. 1, 17, 11 3850 — ἐνεδρεύων = P, Σ^{a}, H νυνὶ—διαγωνιεῖσθαι Ar. Ran. 791—4 vs. 17 Ἐφεδρός sq. Soph. Ai. 609—10 c. sch. 3851 ἔφεδροι—τούτοις Polyb. fr. [160] μεσολαβηθεὶς sq. Aeliani vel Iamblichi cf. 2532 3852 ὁ sq. Aelian. fr. 47 3853 Laert. Prooem. 16 3854 Harp. = P, Et. Gen., Et. M. 402, 48

3843 cf. v. Z 170. Z 929 3845 cf. v. φαυλίζει. Z 933 3846 Z 933 3848 Z 930 3849 cf. v. πρόστιμα 3851 extr. cf. v. Ει 287 3852 συγχωρηθέν cf. 3883—6. Z 933 3853—4 Z 926

A(GITFVM) 1 εἶχεν v. Z 170 5 ἐφαύλιζον I^{pc}T: εὐτέλιζον rell. 8 ἐφεδρεύων V 13 λείποντι IV 16 Αἰσχύλος κρατῇ ed. pr.: Αἰσχυλοκρατῇ omnes 17 Ἔφεδρός] nov. gl. GIVM 18 ὁ om. AFV 28 ἐφεθέν οἱ] οἱ F οἷον V

3855 Ἐφελκυστής: βοηθός. Σ
3856 Ἐφενάκιζον: ἠπάτων. Δ
3857 Ἐφ' ἕνδεκα κώπαις: κέλευσμά ἐστι ναυτικὸν οὕτω λεγόμενον. Ar
αἵρεσθ' αὐτῶν πολὺ τὸ ῥόθιον. ἀπὸ τῶν ἐρεσσόντων μετήνεγκεν ἐφ'
ἕνδεκα κώπαις.
3858 Ἐφέντες: ἐνδόντες, ὑποχαλάσαντες. οἱ δὲ ἄνδρες, ἐπειδὴ τὸ E
σύμμετρον ἀπ' ἀλλήλων διέστησαν, ἐφέντες τοῖς ἵπποις τὰς ἡνίας.
Ἐφέντας σημαίνει καὶ τὸ ἀπὸ δικαστηρίου εἰς δικαστήριον ἐλθόντας. Σ?
3859 Ἐφέξεται: ἐπικάθηται. Σ
3860 Ἐφέξει: σταθῇ, ἐφελκύσει. Σ
3861 Ἐφεξῆς: ἐπίρρημα. ἐπίσης, κατὰ τάξιν.
3862 Ἔφες: ἐπίπεμψον. Σ
3863 Ἐφέσεις: ὁρμάς. ἀπὸ δὲ τῆς τῶν στρατιωτῶν γνώμης Σ
λαβὼν ἔφεσιν παρὰ τοῦ στρατηγοῦ ξένην καὶ παράδοξον βοήθειαν E
ἐπορίσατο πρὸς τὴν ὑποκειμένην παράστασιν.
3864 Ἐφέσια γράμματα: ἐπῳδαί τινες δυσπαρακολούθητοι· ἃς καὶ Σ
Κροῖσον ἐπὶ τῆς πυρᾶς εἰπεῖν. καὶ ἐν Ὀλυμπίᾳ Μιλησίου καὶ Ἐφεσίου
παλαιόντων, τὸν Μιλήσιον μὴ δύνασθαι παλαίειν, διὰ τὸ τὸν ἕτερον
περὶ τῷ ἀστραγάλῳ ἔχειν τὰ Ἐφέσια γράμματα. φανεροῦ δὲ γενο-
μένου καὶ λυθέντων αὐτῷ, τριάκοντα τὸ ἑξῆς πεσεῖν τὸν Ἐφέσιον.
3865 Ἔφεσις: ἐπιθυμία, ὁρμή, ἔκκλητος, αἵρεσις ἄλλου δικαστηρίου Σ
καὶ μεταγωγή. ἡ ἔφεσις λέγεται καὶ ἔκκλητος παρὰ τὸ ἐκκαλεῖσθαι Rhet.
καὶ παραιτεῖσθαι καὶ φεύγειν τὸ πρῶτον καὶ ἔλαττον δικαστήριον.
3866 Ἔφεσις: ἡ ἐξ ἑτέρου δικαστηρίου εἰς ἕτερον μεταγωγή. τὸ Harp
δὲ αὐτὸ καὶ ἔκκλητος καλεῖται. τὸ οὖν ἔφεσις ἀπὸ τοῦ ἐφεῖναι
ῥήματος.
3867 Ἐφεσπερεία: ἡ τῆς ἑσπέρας. Δ
3868 Ἐφεσπόμενα: ἐπακολουθοῦντα. Σ
3869 Ἐφ' ἑστίας: ἀντὶ τοῦ κατ' οἶκον. καὶ Ἐφέστιον, ἀντὶ
τοῦ ἐπὶ τὴν οἰκίαν γενόμενον, τουτέστιν ἔποικον. Σοφοκλῆς· εἶτα Soph
τόνδ' ἐφέστιον πῆξαι λαβόντα σκῆπτρον.

3855 = P, Ba 243, 7 3856 = Ambr. 2714 3857 Ar. Eq. 546 c. sch. 3859 = P cf. Σ^{a}, H v. ἐφέζεται 3860 = P, Ba 243, 8 cf. H 3861 aliter Ambr. 2734 3862 = Ba 243, 10, sch. E 174, H cf. P 3863 — ὁρμάς = P, Ba 243, 11 ἀπὸ sq. Polyb. fr. 161 3864 = P, Et. Gen., Et. M. 402, 22 3865 — μεταγωγή = P, Ba 243, 13 cf. Bk. 244, 8, H, Ambr. 2688; L = Ps. Herodian. 38 vs. 23 ἔλαττον sq. cf. Lex. Patm. 12 3866 Harp. = P cf. Et. Gen. = Et. M. 401, 50; H, sch. Luc. 96, 15 3867 aliter Ambr. 2699 3868 = Ba 243, 9 cf. H 3869 Ἐφέστιον sq. Soph. El. 419—20 c. sch.

3855 Z 926 3856 Z 934 3857 cf. v. A 3470 3858 Z 933 3860 Z 933 3861 Z 938 3862 Z 933 3863 Z 930 3864 Eust. O. 1864, 17 sec. Wentzel (= Ael. D. fr. 185) 3866—7 Z 930 3868 Z 933

8 Ἐφέντες A τὸ] τοὺς Dr. 9 Ἐφέζεται GI, Σ^{a} 11 ἐπίρρημα ex A solo A(GIFVM)
15 περίστασιν F κατάστασιν ed. pr. 19 περὶ AF: παρὰ rell. 20 τριάκοντα] τρὶς Kust. τρὶς ἄκοντα Papabasil. Athena 1, 229 3866 non nov. gl. AM
24 μεταγωγῆς A 28 Ἐφεσπόμενα F Ba Zon., ordo poscit: Ἐφεπόμενα rell.

Σ 3870 Ἐφεστιασάμενος: εὐωχηθείς.

Σ 3871 Ἐφέστιοι: αὐτόχθονες, σύνοικοι, ἔποικοι.

Metaphr. 3872 Ἐφεστὼς πόρρωθεν τῆς παρατάξεως.

3873 Ἐφεστρίς: ἱμάτιον Ῥωμαϊκόν. λέγεται δὲ καὶ μανδύης καὶ βίρρον· ἅτινα ἐν ὀνείρῳ βλεπόμενα θλίψεις σημαίνουσιν.

Δ Ε 3874 Ἐφεστρίς. ἐξ ὧν οἱ τοξόται ταῖς ἐφεστρίσι καλυπτόμενοι βάλλουσι τοὺς ἐπὶ τῶν τειχῶν. ὕφασμα ἐξ αἰγείων τριχῶν.

Ε ἀρτῶντες κύκλῳ ἐφεστρίδας καὶ νάκη, ὡς ἂν τὰ τοιαῦτα προβλήματα μὴ εὔφλεκτα εἴη.

Σ 3875 Ἐφεστρίς: χλανίς. Ἀγαθίας· γύναια δὲ πολλὰ διαπληκτι-

Ε ζόμενα καὶ τὰς ἐφεστρίδας περιρρηγνύντα ἀνὰ τοὺς προμαχεῶνας

EL ἐφοίτα. καὶ αὖθις· οὐκ ἐπιφερόμεθα χρημάτων περιουσίαν, πλήν γε δὴ στρατιωτικὴν ἐφεστρίδα, ἣν γε δὴ καὶ περιβεβλήμεθα.

Σ 3876 Ἐφέται: ἄνδρες, οἵτινες π′ ὄντες ἐδίκαζον. ἐφέται δὲ ἐκλήθησαν, ἤτοι ὅτι ἐπὶ αἵματι δικάζουσιν, ἢ ὅτι ἔφεσις παρ' αὐτῶν οὐ δύναται εἰς ἄλλο δικαστήριον γενέσθαι, τουτέστιν ἔκκλητος.

Σ 3877 Ἐφέται: ἄνδρες ὑπὲρ ν′ ἔτη γεγονότες καὶ ἄριστα βεβιωκέναι ὑπόληψιν ἔχοντες· οἳ καὶ τὰς φονικὰς δίκας ἔκρινον. ἐκαλεῖτο δ' αὐτῶν τὰ δικαστήρια ἐφετῶν.

Harp. 3878 Ἐφέται: οἱ δικάζοντες τὰς ἐφ' αἵματος κρίσεις ἐπὶ Παλλαδίῳ καὶ ἐπὶ Πρυτανίῳ καὶ ἐπὶ Δελφινίῳ καὶ ἐν Φρέατι ἐφέται καλοῦνται.

Δ καὶ Ἐφέτης, ὁ δικαστής.

Σ 3879 Ἐφετικός: ἐπιθυμητικός.

3880 Ἐφετόν· εἶδον ἐγὼ δικαστὴν ἐφετόν, μετροῦντα τοῖς ἀγορεύουσι τὸν χρόνον.

3881 Ἐφευρετὰς κακῶν: τοὺς ἐπὶ τοῖς παλαιοῖς κακοῖς ἕτερα καινοτομοῦντας κακά.

Ε 3882 Ἐφείλιξαν· σχοινίον τε ἐφείλιξαν μίλτῳ. ἀντὶ τοῦ ἔφυραν καὶ περιείλιξαν.

3870 = P, Ba 243, 12 3871 — σύνοικοι = P, Ba 243, 16; αὐτόχθονες = Et. Gen., Et. M. 402, 33, sch. B 125 cf. H. ἔποικοι = Et. Gen., Et. M. 402, 33, sch. B 125 cf. Ambr. 2672, H 3872 fort. Metaphr. 3873 Artem. 2, 3, p. 88, 7; — ἱμάτιον cf. Ambr. 2685; μανδύης cf. sch. Luc. 168, 8; 261, 11; Et. M. 402, 49 3874 ἀρτῶντες—εἴη Dexipp. FGrHist 100 fr. 29, vs. 23—4 3875 — χλανίς = P, Ba 243, 15, H γύναια—ἐφοίτα Agath. 1, 12, p. 40, 5 οὐκ sq. Men. Prot. 27, FHG 4, 233a = EL 458, 10—12 (sec. Gsf. ms.) 3876 = P, Ba 243, 17; ἐφέται alt. sq. = Et. Gen., Et. M. 402, 4 cf. H 3877 = P, Et. Gen., Et. M. 402, 1 cf. Bk. 188, 30 3878 — καλοῦνται Harp. = P cf. An. Ox. 2, 495, 21, Bk. 257, 23 Ἐφέτης sq. = Ambr. 2675, Et. Gud. cf. H 3879 = P, Ba 243, 21 3880 Synes. Dio, PG 66, 1148a 3881 in Ep. Rom. 1, 30 3882 σχοινίον—μίλτῳ Aelian. fr. 59

3870 Z 933 3871 Z 926 3878 cf. v. B 306. Z 930 3875 Agath. cf. 2885 3876—8 sch. Dem. Bavar. in 23, 38 3881 Z 927 3882 cf. 3791 et v. M 1071. Z 934

A(GITFVM) 3872 om. FV mg. A 5 ἐν om. A 3874—3911 om. I in lac., T; 6 ταῖς—3911 om. G 18 φωνικὰς F φοινικὰς V 21 Φρέατι FVM: cp. A Φρεατοῖ Harp. ep. Phot. 27 κενοτομοῦντας A κατανοοῦντας V 28 μίλτῳ] ἤγουν ὑγροπίσσῃ ss. V ἔφυραν] ἅφτραν V

3883 Ἐφειμένον: συγκεχωρημένον. ὡς δὲ ἐφειμένον αὐτῷ παραγίνεσθαι, ἐς ὄψιν ἐλθὼν εἶπεν.

3884 Ἐφεῖναι: συγχωρῆσαι, κελεῦσαι. ἡ δὲ οὐκ ἐπείσθη, πρὶν ἢ τοὺς προσήκοντας ἐφεῖναι λαβεῖν.

3885 Ἐφείσθω τούτοις ἐξονυχίζειν: ἀντὶ τοῦ συγκεχωρήσθω ἀκριβολογεῖσθαι. Σ+Σ

3886 Ἐφεῖτο: συνεχωρεῖτο. καὶ οὐδενὶ ἐφεῖτο μὴ κελευσθὲν ἐξωτέρω προϊέναι. Σ E

3887 Ἐφεῖτο: ἐνετέλλετο. Ἀριστοφάνης· χθὲς οὖν Κλέων ἡμῖν ἐφεῖτ' ἐν ὥρᾳ ἥκειν. Σ Ar.

3888 Ἐφηβεία: νεότης. ἡ ἀκμὴ τῆς ἡλικίας. Σ|

3889 Ἔφηβος: παῖς, νέος, ἐν αὐτῇ τῇ ἀκμῇ. ὅθεν ἐφηβεύω. Τιμαίων, μειράκιον Αἰγύπτιον, ἐφήβου δὲ ἄρτι ὑπαπήει καὶ τὴν ὥραν ἄρτι ἔρρωτο. σωφρονοῦντι δὲ αὐτῷ ἡ μητρυιὰ ἐρῶσα ἐπέκειτο καὶ χαλεπὸν τὸν πατέρα ἐποίει. Σ

3890 Ἔφηβος. Κιλίκιος λόγος· ποῖ τρέχεις; ἢ ἐπὶ τὸν ἔφηβον; ἐπὶ Ἀπολλωνίῳ ἐλέγετο καὶ παροιμιώδη τιμὴν ἔσχεν. μόνοις δὲ ἐλευθέροις ἐφίησιν ὁ νόμος ἐφηβεύειν. ἐχρῆν δὲ τὸν ἔφηβον ἐν τῇ χλανίδι τὴν δεξιὰν ἔχειν ἐνειλημμένην διὰ τὸ ἀργὴν εἶναι εἰς ἔργα καὶ λόγους εἰς ἐνιαυτὸν καὶ μὴ προϊέναι τὴν χεῖρα. ἔνδημον δὲ ἐχρῆν εἶναι τὸν ἐφηβεύοντα. ἡ δὲ ἐφηβεία κανὼν ἦν ὀρθοῦ βίου καὶ ὑγιοῦς. Δ|

3891 Ἐφήγησις· ἐφήγησίς ἐστι δίκη εἰσαγομένη ἀπὸ τοὺς ὑποδεξαμένους τὸν εἰργόμενον ὑπὸ τῶν νόμων ἐπιβαίνειν τῆς χώρας, οἷον φυγάδα ἢ ἀνδροφόνον· ἢ ὅταν τῶν δημοσίων τι κατέχειν δοκῇ τις κρύφα. Σ

3892 Ἐφήδεσθαι: εὐφραίνεσθαι. Δ

3893 Ἐφήδῃ: εὐφραίνῃ σύ. Δ

3894 Ἐφήδοιτο: τέρποιτο. καὶ Ἐφήδοντο· δοτικῇ. ἐπέχαιρον. Αἰλιανός· καὶ αὐτῷ τῶν συγγενῶν τινες ἐφήδοντο ὡς τὰ αὐτοῦ διαδεξόμενοι. ἐκείνῳ γὰρ μὴ εἶναι παῖδας, ἅτε ῥᾳθυμον βίον καὶ λάγνον, Δ Σ+E

3885 l. Iul. or. 5 p. 162c. ἀκριβολογεῖσθαι cf. ad 1802 3886 — συνεχωρεῖτο = P, Σ^{a} 3887 — ἐνετέλλετο = H cf. P (= H) χθὲς sq. Ar. Vsp. 242 3888 — νεότης = P, Ba 243, 22 3889 — ἐφηβεύω = P; — ἀκμῇ = Ba 243, 23 cf. H Τιμαίων sq. Philostr. 6, 3 init. 3890 l. cf. Ambr. 2671 Κιλίκιος—ἔσχε Philostr. 1, 8 μόνοις sq. Artem. 1, 54 init. 3891 = P, Et. Gen., Et. M. 403, 23, Bk. 312, 31 cf. Bk. 187, 6, Lex. Patm. 13, Psell. PG 122, 1009d 3892 = Ambr. 2729 3894 — τέρποιτο = P, Ba 243, 24, H δοτικῇ cf. Synt. Laur. et Gud. ἐπέχαιρον = L καὶ αὐτῷ—p. 486, 1 προηρημένῳ Aelian. fr. 106

3883 Z 933 3883—6 cf. 3852 3885 cf. 1802 et v. ὀνυκίζεται. Z 934 3886—7 Z 934 3888 Z 930 3889 cf. v. Τιμαίων 3894 ἐπέχαιρον cf. 3907

1 ὡς] ὁ Bhd. 7 οὐδενί] οὐδὲν A 13 ὑπαπήει] ἤγουν ἐξῆλθεν ss. V A(FVM) 14 post ἔρρωτο lac. in V 18 δὲ om. F 23 ἀπὸ AF Phot. Et.: ἐπὶ VM 24 εἴργοντα FV 29 ἔχαιρον F 31 ἐκείνῳ] ἐκεῖνο A

τὸν εἰς ἑταίρας καὶ πότους, προῃρημένῳ. καὶ αὖθις· ὁ δὲ ἔσπευδε θέλων ἐφησθῆναι αὐτοῖς.

Σ 3895 Ἔφῆκα: ἔπεμψα.

Δ 3896 Ἐφήλαντο: ἐπεπήδησαν.

Σ 3897 Ἔφηλος: ἐφηλίδας ἔχων εἰς τὴν ὄψιν.

3898 Ἔφηλος: ὁ ἀπατηλός. ἐκ τοῦ φηλῶ, τὸ ἀπατῶ.

Δ 3899 Ἔφηλος: ὁ ἥλιος. καὶ Ἔφηλος, ὁ ἡλωμένος.

Ar. 3900 Ἐφ' ἡμᾶς ξυμβοηθήσειν οἴει: ἀντὶ τοῦ καθ' ἡμῶν.

Σ 3901 Ἐφημερία: ἡ πατρία. λέγεται δὲ καὶ ἡ τῆς ἡμέρας λειτουργία.

Ar. 3902 Ἐφημέριοι βροτοί: καθημερινὰ εἰδότες, οὐ προορώμενοι τὸ μέλλον.

3903 Ἐφημερίς: τῶν ἐφ' ἑκάστης ἡμέρας συμπιπτόντων ἀπογραφή.

Σ 3904 Ἐφήμερος: πρόσκαιρος. Ἐφήμερον δηλητήριον, τὸ

Suid. ἐν μιᾷ ἡμέρᾳ ἀναιροῦν. λέγεται δὲ καὶ ἀμφήμερος, καὶ ἀμφημερινὸς πυρετός.

Σ 3905 Ἔφηνεν: ἔδειξεν.

Σ 3906 Ἐφῆπτο: ἐπεκρέματο, ἐπέκειτο.

| Σ 3907 Ἐφησθέντες: ἐπιχαρέντες. καὶ Ἐφησθεῖεν, ἐπιχαρεῖεν.

ΣE 3908 Ἐφήσθη: ἐχάρη. οἱ δὲ τοῖς τῶν πολεμίων σώμασιν ἐφήσθησαν. καὶ αὖθις· ἐφησθῆναι θέλων ἐκείνοις ἔσπευδεν. ἤγουν ἐπιγελάσαι.

3909 Ἐφιάλτης: ὁ λεγόμενος παρὰ πολλοῖς βαβουτζικάριος. ἡ εἰς τὴν κεφαλὴν ἀνατρέχουσα ἀναθυμίασις ἐξ ἀδηφαγίας καὶ ἀπεψίας παρὰ ἰατροῖς ἐφιάλτης λέγεται.

3910 Ἐφιᾶσι: συγχωροῦσιν, ἐπιτρέπουσιν. ἐφιᾶσιν ὅπη τις ἐθέλοι ἀπιέναι.

Σ 3911 Ἐφιέμενοι: ἐπιθυμοῦντες.

3912 Ἐφιέναι· ὑποκριτοῦ τραγῳδίας ἐφιέναι φήσαντος, ἐξελαθῆναι γὰρ παρὰ Πολέμωνος κατ' ἀρχὰς τοῦ δράματος. ὁ δὲ Ἀντωνῖνος ἤρετο, πηνίκα εἴη, ὅτε τῆς σκηνῆς ἠλάθη. τοῦ δ' εἰπόντος, ὡς

3895 = P, Ba 243, 25, sch. E 206 cf. H 3896 cf. Ambr. 2708 3897 = P, Ba 243, 26 cf. H, L 3899 Ἔφηλος alt. sq. = Ambr. 2673 3900 Ar. Lys. 247 c. sch. 3901 = P, Ba 243, 27, Et. Gen., Et. M. 403, 14, Ambr. 2700; ἡ alt. sq. = H 3902 (praeter βροτοί) sch. Ar. Av. 687 3904 — πρόσκαιρος = P, Ba 243, 29 Ἐφήμερον—ἀναιροῦν cf. sch. Nicand. Al. 249 3905 = P, Ba 243, 30, H 3906 = P, Ba 243, 31 cf. H, sch. B 15 3907 Ἐφησθεῖεν sq. = P, Ba 243, 32, H cf. Ambr. 2712 3908 — ἐχάρη = P, Ba 244, 1 cf. H 3909 βαβουτζικάριος cf. Kalitsunaris, Mitth. Seminar. or. Spr. 12, 2, 189 sq. 3910 — ἐπιτρέπουσιν cf. sch. Luc. 67, 29 3911 = P, Ba 244, 3, H cf. Ambr. 2728 3912 Philostr. vit. soph. 1, 25, 3

3894 vs. 1 ὁ sq. cf. 3908 3895—6 Z 934 3897 Z 927 3898 cf. vv. φῆλος et φηλοῦν 3903 Z 931 3904 λέγεται sq. ex v. A 1695 3905—6 Z 934 3907 cf. 3894 3908 extr. cf. 3894 extr. 3909 Z 927 3910 cf. 3918 et 3921 Z 934 3911 cf. 3914 et 3920

A(GIFVM) 1 πότους]τόπους F προειρημένῳ FVM 14 λέγεται—15 πυρετός om. FV 20 ἔσπευσεν V 22 ἡ—24 λέγεται om. AF post l. M 22 ἡ M: γί(νεται) V 3912 inc. GI 30 ὑπόντος A

μεσημβρία τυγχάνοι οὖσα, μάλα ἀστείως ὁ αὐτοκράτωρ, ἐμὲ δέ, εἶπεν, ἀμφὶ μέσας νύκτας ἐξήλασε τῆς οἰκίας καὶ οὐκ ἐφῆκα. ἐχέτω ταῦτα δήλωσιν βασιλέως πρᾴου καὶ ἀνδρὸς ὑπέρφρονος.

3913 Ἐφίερον· Δημοσθένης ἐν τῷ περὶ τοῦ τριηραρχήματος. ἱερόν ἐστι τῶν ιβ′ θεῶν ἐν Βοσπόρῳ. Harp.

3914 Ἐφίεται· γενικῇ. ἐπιθυμεῖ. Σ

3915 Ἐφιέτω: ἀνείτω. Σ

3916 Ἐφιζάνει: ἐπικάθηται. Σ

3917 Ἐφίζεται: ἐπικαθέζεται. Σ

3918 Ἐφίει: ἐπέτρεπεν. ὁ δὲ Καῖσαρ δηοῦν τὰ πρὸ τῆς πόλεως ἐφίει. Σ+E

3919 Ἐφίει: πέμπει. καὶ Ἐφιείς, ἐπιπέμπων, ἐπιβάλλων. Δ Σ

3920 Ἐφίῃ: ἐπιθυμεῖς. τί μοι τῶν δυσφόρων ἐφίῃ. γλίχῃ. τί μοι, φησί, τούτων γλίχῃ, ἅπερ ἐστὶν οὐκ εὐκόλως φέρειν, θρήνου καὶ πένθους; Soph.

3921 Ἐφίησιν: ἐπιτρέπει. ἐπιπέμπει. Σ Δ

3922 Ἐφικέσθαι· γενικῇ. καταλαβέσθαι. Σ

3923 Ἐφικνούμενος· γενικῇ. καταλαμβανόμενος. μέγα ἀνεβόησε καὶ ἀνθρώπου ἐφικνούμενον. Σ Metaphr.

3924 Ἐφίκοντο: ἐφήψαντο. Σ

3925 Ἐφικτόν: δυνατὸν καταληφθῆναι. ὁ δὲ ἤτει αὐτῷ παρὰ τῶν θεῶν πολλὰ καὶ ἀγαθά, τά τε ἄλλα καὶ τῆς ἀρχῆς τὸ κράτος, ἐς ὅσον μήκιστον ἀνθρώπῳ ἐφικτόν. Σ E?

3926 Ἐφίλατο: ἠγάπησε. διπλοῦς ἐς λυκάβαντας ἐφίλατο τὴν καλαμῖτιν. Anth.

3927 Ἐφίππειον. ἐκλῦσαι δὲ τὸν ἵππον τοῦ χαλινοῦ καὶ τοῦ ἐφιππείου. οἱ δὲ Σκύθαι ἤτουν ἀποδοθῆναι σφίσι τὸ ἐφίππειον, τ′ αἰχμαλώτους Ῥωμαίων ἀντιδωρούμενοι. ἐμοὶ μὲν ἔξω λόγου δοκεῖ. Δ E

3913 Harp. = P; Dem. 50, 17 3914 γενικῇ cf. Synt. Laur. et Gud. ἐπιθυμεῖ = P, Ba 244, 5, An. Ox. 2, 479, 26 cf. Ambr. 2722 3915 = P, Ba 244, 4 3916 = P, Ba 244, 6 cf. H 3917 = P, Ba 244, 7 cf. sch. γ 411 3918 ὁ sq. Cass. D. temere attrib. Toup 3919 — πέμπει cf. H, Ambr. 2711 Ἐφιείς sq. = P, Ba 244, 2, H cf. Ambr. 2725 = sch. A 51, Et. M. 403, 27 3920 Soph. El. 144 c. sch. 3921 — ἐπιτρέπει = P, Ba 244, 8, H ἐπιπέμπει cf. Ambr. 2710 3922 — γενικῇ = Synt. Laur. καταλαβέσθαι = P, Ba 244, 9, H cf. sch. Pl. Hipp. mai. 292a 3923 γενικῇ cf. Synt. Laur. et Gud. καταλαμβανόμενος = P, Ba 244, 10 · μέγα sq. fort. Metaphr. 3924 = P, Ba 244, 11 3925 — καταληφθῆναι = P, Ba 244, 12 cf. H, Ambr. 2703 ὁ sq. fort. Aelian. 3926 διπλοῦς Anth. 7, 198, 5

3913 Z 931 3914 cf. 3911 et 3920 3915 Z 935 3918 cf. 3910 et 3921. Z 935 3920 cf. 3911, 3914, v. Δ 1711 3921 cf. 3910 et 3918. Z 935 3924 Z 934 3926 cf. v. K 197. Z 935

1 τυγχάνει FV cf. Philostr. ἀστεῖος A 11 ἐφίει T Zon. Toup: ἐπέτρεπεν AF ἐπέτρεψεν GVM 18 μέγα—19 ἐφικνούμενον ex GIM 26 ἐλκύσαι AI 27 τ′ GM: τ̄ AI τῷ V τὸ F τοὺς ed. pr. 28 ἀντιδωρούμενος V A(GITFVM)

ὅτι τοσούτοις τὸ ἐφίππειον ἐτιμήσαντο. οἱ δὲ Ῥωμαῖοι τῶν αἰχμαλώτων οὐκ ἠλλάξαντο. Προκόπιός φησιν.

Σ 3928 Ἐφίππιον: ἀγώνισμα ἐφ' ἵπποις τρεχόντων.

Hesy. 3929 Ἔφιππος, Ἀθηναῖος, κωμικὸς τῆς μέσης κωμῳδίας.

Hesy. 3930 Ἔφιππος, Κυμαῖος, υἱὸς Δημοφίλου, οἱ δὲ Ἀντιόχου, Ἰσοκράτους ἀκουστὴς τοῦ ῥήτορος, ἱστορικός· ἔσχε δὲ υἱὸν Δημόφιλον τὸν ἱστορικόν. ἦν δὲ ἐπὶ τῆς ϛγ΄ ὀλυμπιάδος, ὡς καὶ πρὸ τῆς Φιλίππου βασιλείας εἶναι τοῦ Μακεδόνος. ἔγραψεν ἀπὸ τῆς Ἰλίου πορθήσεως καὶ τῶν Τρωϊκῶν μέχρι τῶν αὐτοῦ χρόνων βιβλία λ΄, Περὶ ἀγαθῶν καὶ κακῶν βιβλία κδ΄, Παραδόξων τῶν ἑκασταχοῦ βιβλία ιε΄, Εὑρεμάτων, ὧν ἕκαστος εὗρε, βιβλία β΄. καὶ λοιπά.

Tact. 3931 Ἐφίππων ὀνόματα: ἴλη ἱππέων, ἄνδρες ξδ΄. ἐπιλαρχία, β΄ ἴλαι ἱππέων, ἀνδρῶν ρκη΄. ταραντιναρχία, β΄ ἴλαι ἱππέων, ἀνδρῶν ϲνϛ΄. ἱππαρχία, β΄ ταραντινοὶ ἱππέων, ἀνδρῶν ιβ΄. ἐφιππαρχία, β΄ ἱππαρχίαι ἱππέων, ἀνδρῶν ,ακδ΄. τέλος, β΄ ἐφιππαρχίαι ἱππέων ,βμη΄. ἐπίταγμα, β΄ τέλη ἱππέων, ἀνδρῶν ,θϛ΄.

Synt. 3932 Ἐφίπταται· αἰτιατικῇ.

E 3933 Ἐφιστάμενος: ἀναμένων, σχολαίως βαδίζων. ὁ δὲ ἐπορεύετο ἄλλοτε καὶ ἄλλοτε ἐφιστάμενος. ὅσον δ' ἂν χρόνον τὸ ἡγούμενον τοῦ στρατεύματος ἐπιστῇ, τοσοῦτον ἀνάγκη χρόνον δι' ὅλου τοῦ στρατεύματος γίνεσθαι τὴν ἐπίστασιν.

3934 Ἐφίστη: ἔταττεν, ὥριζεν. ἄρχοντάς τε ἐφίστη τούτοις ἄπασι τοὺς ἀδωροτάτους, ὅπως μὴ διὰ φιλοπλουτίαν βλακεύοιεν.

Σ 3935 Ἐφθαλέου: ἐφθοῦ. καὶ Ἐφθοῦν, τὸ ὀπτᾶν. ἢ τὸ δι' ὕδατος ἕψειν.

Ar. 3936 Ἐφθοὶ πυροὶ διεγερτικοί εἰσι πρὸς συνουσίαν. καὶ πυροὺς τῇ Ἀφροδίτῃ ἔθυον.

Ar. 3937 Ἔφλα με: ἔτυπτέ με.

E 3938 Ἐφλέγετο: ἐν ἐπιθυμίᾳ ἦν. Αἰλιανός· ὁ δὲ Ἰάσων ὁ Θετταλὸς ἐπὶ τοῖς ἀναθήμασιν ἐν Δελφοῖς ἐφλέγετο.

Ar. 3939 Ἐφοδεύεται: διοδεύεται.

Σ 3940 Ἐφοδευσάτωσαν: κατασκοπησάτωσαν.

3927 Πρόκοπιός cf. Byz. Zt. 21, 419 3928 = P 3930 cf. Strabo 13, 3, 6; FGrHist 70 T 1 3931 Tact. 32 3932 cf. Synt. Laur. et Gud. 3933 ὁ sq. Xen. An. 2, 4, 26 3935 — ὀπτᾶν = P, Σ^{a}; Ἐφθαλέου = H 3936 sch. Ar. Av. 565 3937 sch. Ar. Nu. 1376 3938 ὁ sq. Aelian. fr. 52 3939 sch. Ar. Av. 1160 3940 = P, Ba 244, 13, H

3928 Z 932 3931 cf. post litt. Ψ. Z 927 3933—4 Z 935 3935 Z 928 et 936 3936 hinc v. πυρός, Z 928 3937—8 Z 936 3939—40 Z 937

A(GIFVM) 1 τοσούτου Bhd. 5 Ἔφιππος] Ἔφορος Kust. 7 καὶ] γὰρ V 8 εἶναι om. V 10. 11 Εὑρημάτων Bas. 12 ἐπιλαρχίαι GIVM 13 ἴλαι alt.] ἐπιλαρχίαι post litt. Ψ, Kust. 14 ταραντινοὶ] Ταραντιναρχίαι Kust. ιβ΄] φιβ΄ post litt. Ψ, Kust. ἐφιππαρχία V: cp. A ἐφιππαρχίαι rell., v. l. post litt. Ψ 15 ,βμη΄] ,αμη΄ GIM 24 Ἐφθοῦν] Ἐφθοῦντος V post 3935 Ἔφθη: προέλαβεν add. F = sch. Π 814 cf. H 3936 non nov. gl. A 32 κατασκωπησάτωσαν A καταπαιδευσάτωσαν F

3941 Ἐφόδια: τὰ πρὸς τὴν ὁδὸν ἐπιτήδεια ἀναλώματα. ἐφόδιον Σ
παιδείας ὁ πλοῦτος.
3942 Ἐφόδιον. εὔχεται τῷ θεῷ τοὺς κακοὺς μὴ δυναστεύειν καὶ Δ
ἔχειν πλοῦτον εἰς ἐφόδιον ἀδικίας. E
3943 Ἔφοδος: ὁρμή. Σ
3944 Ἐφόλκια: καράβια μικρά. παρὰ τὸ ἕλκεσθαι ὑπὸ τῶν κωπηλα- Σ
τῶν ἢ τῶν μεγάλων πλοίων. καλοῦνται δὲ καὶ οἱ τῶν πόλεων τὰ
ὤνια ἐπισκοπούμενοι. τῶν δὲ στειλάντων ἐν ἐφολκίῳ τινάς καὶ E
μαθόντων Ῥωμαϊκὴν εἶναι τὴν πεῦσιν. καὶ τὰ ἔπιπλα τὰ ἀγώ-
γιμα. ὅλπη μοι καὶ πλήρη ἐφόλκια. καὶ Ἀριστοφάνης Σφηξίν· Anth.
οὐ μὴν πρὸ τοῦ γ' ἐφολκὸς ἦν, ἀλλὰ πρῶτος ἡμῶν ἡγεῖτ' ἀναΐδων Ar.
Φρυνίχου. ἀντὶ τοῦ ὕστερος. καὶ αὖθις· ἐθάρρει γὰρ τὸν χῶρον E
ἐφολκὸν εἶναι τῇ ὄψει καὶ πολλοὺς Ῥωμαίων ἐπάξεσθαι. ἀντὶ τοῦ
ἐφελκυστικόν.
3945 Ἐφολκίδα· ὁ τοίνυν Βλαῖσος ἐπὶ τὴν θοίνην κληθεὶς οἷον ἐφολκίδα ἄκλη- Suid
τον ἐπάγεται Ἀσκώνιον Παιδιάν· ἐξὴν γὰρ καὶ ἐπικλήτους οἴονεί σκιὰς ἑαυτοῖς
παρακαλεῖν τινας. Ζήτει ἐν τῷ Ἀπίκιος Μάρκος.
3946 Ἐφορεύειν: ἐποπτεύειν. Σ
3947 Ἐφορεία: ἡ ἐποψία, ἡ ἐπίσκεψις. Δ
3948 Ἐφορεία: ἡ ἐπὶ τῶν ὅρων γιγνομένη προαγόρευσις· ὡς Δη- Harp.
μοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους.
3949 Ἐφορμεῖν: ἐν τῷ ἐφεδρεύειν. οὕτω Δημοσθένης ἐν Φιλιππι- Harp
κοῖς. ἐνεδρεύειν δὲ ἐν πλοίοις.
3950 Ἐφόρμους· Θουκυδίδης· οἱ Ἀθηναῖοι τοὺς ἐφόρμους ἐπ' E
ἀμφοτέροις τοῖς λιμέσιν ἐποιοῦντο. τὰς ἐφορμίσεις.
3951 Ἔφορος: ὁ πάντων ἐπόπτης καὶ θεωρὸς θεός. Σ
3952 Ἔφορος, Κυμαῖος, ἱστορικός, ὁ νεώτερος. ἔγραψε τὰς Γα- Hesy
ληνοῦ ἱστορίας ἐν βιβλίοις κζ', Κορινθιακά, Περὶ τῶν Ἀλευαδῶν·
καὶ ἄλλα.

3941 — ἀναλώματα = P, Ba 244, 14 cf. H, Ambr. 2707 ἐφόδιον sq. Artem. 4, 67 init. 3942 l. = L cf. Ambr. 2707 εὔχεται sq. Aelian. 3943 = P, Ba 244, 15 cf. Ambr. 2687 (= Zon. 931), H, An. Ox. 2, 479, 23 3944 — ἐπισκοπούμενοι = P, Ba 244, 17, Σ[a]; — πλοίων = H cf. Ap. S. 80, 7 ὅλπη—ἐφόλκια Anth. 7, 67, 5 οὐ—ὕστερος Ar. Vsp. 268—9 c. sch. (plenior.) 3946 = P, H 3947 ἡ ἐπίσκεψις = Ambr. 2691 cf. P 3948 Harp. = P, An. Ox. 2, 495, 22; Dem. 23, 37 3949[a]— Φιλιππικοῖς Harp. = P; Dem. 3, 7 3950 — ἐποιοῦντο Thuc. 3, 6, 1 3951 = P, Ba 244, 19, Σ[a] cf. Ambr. 2674, H

3945 ex v. A 3213 3946 Z 936 3949 Z 936 3951 Z 928

1 ἐφόδειον A; nov. gl. GI 4 ἔχειν] τὸν add. A 7 καλοῦνται—8 ἐπι- A(GIFVM)
σκοπούμενοι ad 3951 rettulit Zon. 928, Bachmann 10 πήρη Anth. 13 Ῥω-
μαίους GI 3945 om. FV 15 Βλαῖσος v. A 3213: Βλῆσος A Βλίσος GIM
20 γινομένη A Harp. plen. προαγόρευσις A Harp. Phot.: προσαγόρευσις rell.
23 πλείοις A 25 ἐφορμήσεις Abresch 27. 28 Γαληνοῦ] ad fabulam eroticam
rettulit Gutschmid, Γαληνοῦ ed. pr. 28 Ἀλευαδίῳ V

3953 Ἔφορος Κυμαῖος καὶ Θεόπομπος Δαμασιστράτου, Χῖος, ἄμφω Ἰσοκράτους μαθηταί, ἀπ' ἐναντίων τό τε ἦθος καὶ τοὺς λόγους ὁρμώμενοι. ὁ μὲν γὰρ Ἔφορος ἦν τὸ ἦθος ἁπλοῦς, τὴν δὲ ἑρμηνείαν τῆς ἱστορίας ὕπτιος καὶ νωθρὸς καὶ μηδεμίαν ἔχων ἐπίτασιν· ὁ δὲ Θεόπομπος τὸ ἦθος πικρὸς καὶ κακοήθης, τῇ δὲ φράσει πολὺς καὶ συνεχὴς καὶ φορᾶς μεστός, φιλαλήθης ἐν οἷς ἔγραψεν. ὁ γοῦν Ἰσοκράτης τὸν μὲν ἔφη χαλινοῦ δεῖσθαι, τὸν δὲ Ἔφορον κέντρου. φυγὰς δὲ γενόμενος ὁ Θεόπομπος ἱκέτης ἐγένετο τῆς Ἐφεσίας Ἀρτέμιδος, ἐπέστελλέ τε πολλὰ κατὰ Χίων Ἀλεξάνδρῳ, καὶ μέντοι καὶ αὐτὸν Ἀλέξανδρον ἐγκωμιάσας πολλά. λέγεται δὲ καὶ ψόγον αὐτοῦ γεγραφέναι, ὃς οὐ φέρεται.

E 3954 Ἐφόρουν: ἐκόμιζον. Θουκυδίδης· ἐφόρουν δὲ τὴν ὕλην εἰς αὐτὸ καὶ λίθους καὶ γῆν καὶ εἴ τι ἄλλο ἀνύτειν μέλλοι ἐπιβαλλόμενον.

3955 Ἔφοροι· Περικλέης τοὺς Ἐφόρους τῶν Σπαρτιατῶν συμπείσας ἐπὶ τῷ τῆς πόλεως συμφέροντι χρήμασι τοῦτο μὲν τοῖς λόγοις οὐκ ἀνέγραψεν, ὡς ἂν ἀπόρρητον ὑπάρχον καὶ πολλὴν αἰσχύνην τοῖς δωροδοκήσασι φέρον· ἐς μέντοι τὸ δέον ἀναγέγραφεν αὐτὰ ἀνηλῶ-
E σθαι. καὶ αὖθις· οἱ δὲ Ἡρακλεῶται ἐμπίπτουσιν ἐς στάσιν βαρεῖαν. εἶτα ἐπανελθεῖν ἐς φιλίαν καὶ συμβιβάσεις βουλόμενοι προαιροῦνται ἔφορον τῆς αὖθις ὁμονοίας τὸν Κλέαρχον. καὶ αὖθις· ὁ δὲ πρὸς τοὺς ἐφόρους ἔγραψεν, ὡς ἐκείνους κήρυγμα ποιήσασθαι δημοσίᾳ τήν τε πίτταν τῶν βαλανείων ἐξαιροῦντας καὶ τὰς παρατιλτρίας ἐξελαύνοντας ἐς τὸ ἀρχαῖον ἀποκαθίστασθαι.

Σ 3956 Ἔφοροι· παρὰ Λακεδαιμονίοις τὸν ἀριθμὸν ε', οὓς ἐφόρους ἐκάλουν διὰ τὸ ἐφορᾶν τὰ τῆς πόλεως πράγματα. ἐν διαδοχῇ δὲ ἦσαν.

3957 Ἐφόσον: ἓν μέρος λόγου.

Σ 3958 Ἐφ' ὅτῳ: ἐφ' ᾧ τινι.

Δ 3959 Ἐφούδ.

3960 Ἐφ' ᾧ: ἐπὶ τούτῳ. Πολύβιος· ὁ δὲ Μάρκος δοὺς πίστεις

3953 FGrHist 70 T 28a cf. vit. Isocr. ed. Westermann 257, 98—108; Ἰσοκράτης—κέντρου cf. Cicer. Brut. 204, de or. 3, 36, ad. Att. 6, 1, 12, Quintil. Inst. 2, 8, 11; 10, 1, 74 3954 ἐφόρουν sq. Thuc. 2, 75, 2 3955 vs. 19 οἱ—21 Κλέαρχον Aelian. fr. 86 vs. 21 ὁ sq. Philostr. 4, 27 3956 cf. Bk. 257, 28 = Et. M. 403, 55; P 3958 = P, Ba 244, 16, Ambr. 2735, An. Ox. 2, 479, 4, H 3960 ὁ—p. 491, 3 ὠφεληθῶσι Polyb. 9, 27, 11

3954 Z 937 3955 Aelian. cf. v. K 1714. Philostr. cf. vv. πίττα et φίλιτια 3958 cf. 3838

A(G1P'VM) 3953 post 3955 sed α' adiecto A 2 ἦθος AV: ἦσαν GIM 9 Χῖον GI 10 πολλάς A καὶ om. A 11 φαίνεται V cf. 3012 17 ἐνέγραφεν GI ἀνέγραψεν Ald. ἀναγέγραφεν Bhd. ἂν om. V 21 αὖθις pr.] αὐτῆς F 23 παρατιλτρίας] παρατλιτρίας F παραδιατρίας παρατιλτρίας A 3957 om. FV mg. A 28 λόγου] λέγ A^{cp}

ὑπὲρ ἀσφαλείας ἔπεισεν αὐτοὺς ἐκχωρεῖν ἐς Ἰταλίαν, ἐφ' ᾧ λαμβάνον- E
τας μέτρημα παρὰ τῶν Ῥηγίνων πορθεῖν τε Βρεττιανὴν κυρίους ὄντας,
ὧν ἂν ἐκ τῆς πολεμίας ὠφεληθῶσι. καὶ αὖθις· καὶ συνέθεντο E
μεθέξειν τῆς κοινῆς συμμαχίας, ἐφ' ᾧ λαμβάνειν κ' τάλαντα κατ'
ἐνιαυτόν.

3961 Ἐφώδευσαν: ἐπέτρεχον. Σ

3962 Ἐφ' ᾧ πάρει· καὶ Χριστὸς πρὸς τὸν Ἰούδαν· ἑταῖρε, ἐφ' ᾧ
πάρει; ἀντὶ τοῦ ἐπὶ τίνι παραγέγονας;

3963 Ἐφωδήγει, Ἐποδήγει δέ.

3964 Ἐφραθᾶ: τόπος.

3965 Ἐφραΐμ: ὄνομα κύριον. Δ

3966 Ἐφραῖος: ὄνομα κύριον. Δ

3967 Ἔφριξα: τὰς τρίχας ὠρθώθην, ἐπυκνώθην. Ὅμηρος· ἔφριξε Hom.
δὲ μάχη. καὶ Σοφοκλῆς· ἔφριξ' ἔρωτι, περιχαρὴς δ' ἀνεπτόμην. Soph.
ἀντὶ τοῦ ὠρθώθην τῇ ἡδονῇ, ἀνεπτερώθην.

3968 Ἐφρύαξαν: ἐταράχθησαν. Ps.

3969 Ἐφοινίττετο: ἠρυθραίνετο. αὐτίκα ὅτε τῷ πληκτικῷ τοῦ EL
λόγου συγχέας τὸ πρόσωπον ἐφοινίττετο.

3970 Ἔφυ: ἐγένετο. Σ

3971 Ἔφυγον κακόν, εὗρον ἄμεινον: τάττεται ἐπὶ τῶν ἀπὸ Prov.
κακοῦ εἰς κρεῖττον ἐλθόντων. ἔθος γὰρ Ἀθήνησιν ἐν γάμοις στρέφεσθαι
ἀμφιθαλῆ παῖδα, ἀκάνθας μετὰ δρυΐνων καρπῶν φέροντα καὶ λίκνον
πλῆρες ἄρτων, λέγειν τὸ προκείμενον, αἰνισσόμενον τὴν ἐπὶ τὸ κρεῖτ-
τον μεταβολήν. τὸ γὰρ ἐκ τῶν δρυῶν καὶ ἀκανθῶν στέμμα κακὸν
ἔλεγον.

3972 Ἔφυδρος: ὕδωρ ἐπάγων. κολυμβηταῖς ἐφύδροις. ὑφύδρους Σ
δὲ ἁλύσεις διατείνας διὰ τοῦ στόματος τοῦ λιμένος. E

3973 Ἐφ' ὕδωρ: ἐν ταῖς πρὸς ὕδωρ δίκαις ἐλάγχανεν ὁ ἐπιμελησό- Σ
μενος τούτου.

3960 v. 3 καὶ alt. sq. Polyb. 4, 29, 7 3961 = P, Σ^{a}, Ba 245, 15
3962 Matth. 26, 50 c. explic. 3963 = Ambr. 2717 3965 = Ambr. 2677
3966 = Ambr. 2676 3967 — μάχη N 339 c. sch. cf. sch. D ἔφριξ' sq. Soph.
Ai. 693 c. sch. 3968 aliter An. Ox. 2, 441, 15, H 3969 αὐτίκα sq. Men. Prot
fr. 17, FHG 4, 224a = EL 448, 24—5 3970 = P, Ba 245, 8, H cf. Ambr. 2726
3971 cf. Zen. III 98; P = Paus. Att. fr. 186 ex Eust. O. 1726, 18; H
3972 — ἐπάγων = P, Ba 245, 9, sch. Ξ 458, Ap. S. 80, 11 cf. H κολυμβηταῖς
ἐφύδροις cf. Thuc. 4, 26, 8. ὑφύδρους sq. Cass. D. 51, 9, 4 3973 = P cf. H

3961 Z 937 3962 Z 929 3963 cf. 2793 3965 Z 928 3967—8 Z 937
3969 Z 936 3970 Z 937 3972 Z 928

1 αὐτοὺς] ἑαυτοὺς V om. A, Büttner-Wobst 1. 2 λαμβάνοντες V A(GIFVM)
2 Ῥηγίων F 6 ἐπέτρεχον] ἐπέτρεψαν V^{ac} 7 καὶ] ὁ V Ἰούδα F
cp. GVM 3963—4 om. FV mg. A 13 ἐπυκνώθη M Zon. 14 καὶ Σοφο-
κλῆς om. A 3968 om. FV mg. A 23. 24 κρεῖσσον AV cf. Zen. 26 ὑφύδρους]
ἐφύδρους Zon.

E 3974 Ἐφυλάξατο: ἐξέκλινεν, εἴασεν. τὰ μαλακὰ καὶ γεώδη ἢ ψαμμώδη ἐφυλάξατο διὰ τὰς ἐκομένας ὑφιζήσεις.

Σ 3975 Ἐφύμνιον: τὸ ἐπὶ τῷ ὕμνῳ ᾄσμα.

Σ 3976 Ἔφυντο: ἐνέφυσαν. σφόδρα ἐπεβάλλοντο, ὥστε δοκεῖν συμπεφυκέναι.

Σ 3977 Ἐφύπερθεν: ὑπεράνω.

Σ 3978 Ἔφυρον: ἔβρεχον, ἢ ἔπλυνον.

Δ 3979 Ἐχάτιζεν: ἔχρηζεν.

Soph. 3980 Ἐχέγγυον: ἀσφαλῆ. ἀλλ' ὥσπερ ἔλαβες τὸν ἱκέτην ἐχέγγυον, ῥύου με καὶ φύλασσε.

Σ 3981 Ἐχέγγυος: ὁ ἀσφαλὴς ἐγγυητής· ὁ διὰ πίστεως ἄξιος.

Thuc. παρὰ δὲ Θουκυδίδῃ ἰσχυρόν, ἐγγυῆσαι δυνάμενον.

Σ 3982 Ἔχε δή: ἀντὶ τοῦ ἄγε δή, ἢ ἆρα δή, πρόσεχε, ἤ τι τοιοῦτο.

Δ 3983 Ἐχέδημος: ὄνομα κύριον.

Σ 3984 Ἔχεεν: ἔχωσεν.

Δ 3985 Ἐχεκρατίδας· καὶ Ἐχεκρατίδης, ὁ τοῦ Ἐχεκράτου παῖς.

Σ 3986 Ἐχεμυθεῖ: ἔχει ἐν ἑαυτῷ τὸν λόγον.

Σ 3987 Ἐχεμυθία: σιωπή, μυστήρια.

Σ 3988 Ἐχέμυθον: μυστήριον κρυπτόν, ἢ φρόνιμον. ἦν δὲ ἐχέμυθος ἐς τὰ μάλιστα καὶ κρυψίνους, ἀλλ' εἴς γε συναύξησιν ἀρετῆς καὶ κακίας μείωσιν ὅλην ἐξεκέχυτο τὴν ψυχήν.

Δ 3989 Ἐχεμυθότατος: ὁ φρονιμώτατος.

3990 Ἐχενηΐς: ἡ κρατοῦσα τὴν ναῦν ἄγκυρα. ἐν Ἐπιγράμμασι·

Anth. ἄγκυράν τ' ἐπὶ τοῖς ἐχενηΐδα, δεσμὸν ἀέλλης.

3991 Ἐχενηΐς: γένος ἰχθυδίου, ὅ ἐστιν ἄβρωτον· μέγεθος δ' ἔχει κωβιοῦ καὶ πτέρυγας δ'. χρῶνται δέ τινες αὐτῷ πρὸς φίλτρα καὶ δίκας. εἴληφε δὲ τὸ ὄνομα ἀπὸ τοῦ ἔχεσθαι τῶν θεουσῶν νηῶν· ὃ καὶ ναυκράτης καλεῖται. ὁ ἅγιος Βασίλειος περὶ τούτου φησίν. Ναυκρατίτης ἰχθύς.

3975 = P, Ba 245, 10 3976 = P, Ba 245, 11 3977 = P, Σ^a cf. Ba 245, 13 = H 3978 = P, Σ^a cf. Ba 245, 14, H, sch. Ω 162, Ambr. 2709 3979 = L 3980 Soph. OC 284—5 c. sch. 3981 — ἄξιος = P; — ἐγγυητής = Ba 245, 16, H, Ambr. 2739; διὰ sq. cf. Tim. ἰσχυρόν sq. sch. Thuc. 3, 46, 1 3982 = P; gl. Plat. 3983 = Ambr. 2746 3984 = P, Ba 245, 17, H; gl. Hom. 3985 Ἐχεκρατίδης sq. cf. Ambr. 2744 3986 = P, Ba 245, 18, H 3987 = P, Ba 245, 19 cf. H 3988 — φρόνιμον = P, Σ^a, Ba 245, 20 ἦν sq. Dam. fr. 28 3989 l. = Ambr. 2758 3990 ἄγκυράν sq. Anth. 6, 27, 5 3991 — ἰχθυδίου cf. Ambr. 2762 = H Βασίλειος PG 29, 161 c

3974 cf. v. ὑφιζήσεις. Z 937 3975 Z 932 3976 Z 937 3978 cf. v. φύρεται. Z 937 3980 Z 940 3981 Z 938 3982 Z 940 3984 Z 940 3986 Z 940 3987 Z 939 3988 Z 940. Dam. cf. vv. I 122, K 2509, M 850, ὅλην 3989 Z 940 3990—1 hinc v. Ναυσικράτης extr. et partim Coisl. 177 n. 228 = App. Prov. II 93 3991 Eust. O. 1490, 19

A(GIFVM) 1 μαλακὰ] κακὰ V 8 Ἐχάτισεν A 13 τοιοῦτον AIF Zon. 15 ἔχυσεν GI^{pc} 21 ἐξέχυντο V 26 φίλτρα ed. pr. 28. 29 ναυκρατίτης ἰχθύς om. AVG mg. M

3992 Ἐχέπωλος: ὁ ἔχων ἵππους. Δ
3993 Ἔχεσθαι· γενικῇ. Synt.
3994 Ἐχέτλη: τοῦ ἀρότρου τὸ κράτημα. Σ
3995 Ἔχετον: ἀντὶ τοῦ ἐχέτωσαν. δυϊκῶς. λέγετον τοῦτο Τίμαιος Δ
καὶ Ἀναξιμένης, ἔχετον δὲ καὶ Κλείταρχον αὐτοῖς νοοῦντας ἐς μίαν καὶ E?
τὴν αὐτήν. καὶ Ἐχέτην, δυϊκῶς ἀντὶ τοῦ εἶχον. Δ
3996 Ἔχετος: τύραννος ἀπηνὴς καὶ σκληρός. Ὅμηρος· πέμψω σ' εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων, ὅς κ' ἀπὸ ῥῖνα τάμῃσι καὶ οὔατα νηλεῖ χαλκῷ. καὶ ἕτερος· ἐκπέμπει δὲ ὁ Φῆστος τὸν E
ποιητικὸν καὶ μυθώδη Ἔχετον καὶ εἰ δή τις ἄλλος ἐκ Σικελίας ἢ Θετταλίας, χρυσὸν ἀποδείξων καὶ πανήγυριν.
3997 Ἐχέτω: κρατείτω. Ἀριστοφάνης· ἐχέτω δὲ πνοὰς νήνεμος Ar
αἰθήρ· κῦμα δὲ πόντου μὴ κελαδείτω γλαυκόν.
3998 Ἐχέφρων: συνετός. Σ
3999 Ἔχει αὐτὸν ὁ τοῦ θανάτου ζόφος χαλινώσας: ἀντὶ Σ
τοῦ τέθνηκεν.
4000 Ἔχει ὁ ἀνὴρ γυναῖκα, ἔχεται δὲ ἡ γυνὴ ὑπὸ τοῦ ἀνδρός.
4001 Ἐχειρώθη: ἐκρατήθη.
4002 Ἔχεις τι: ἐπὶ τῶν ἀγρευόντων ἤτοι ὄφιν ἢ ἰχθύν. λέγεται Ar
δὲ τὸ ἔχεις τι, ἀντὶ τοῦ εἴληφάς τι. συνεβούλευε γὰρ αὐτῷ ὁ Σωκράτης ὥσπερ ἀναπτῆναι τὴν διάνοιαν, ἐάσαντι τὴν φροντίδα, τῇ τῶν ἀγρευόντων χρησάμενος λέξει. τοῖς γὰρ ἁλιεῦσιν ἢ τοῖς ὀρνιθοθήραις οὕτω φασίν, ἔχεις τι; ὁ δὲ γέρων φησί, μὰ τὸν Δί', οὐδὲν ἔγωγε. οὐδὲν πάνυ; οὐδέν, πλὴν τὸ πέος ἐν τῇ δεξιᾷ. τουτέστι τὸ αἰδοῖον.
καὶ μιμεῖσθαι τὸν δερμύλλοντα ἑαυτόν.
4003 Ἐχεῖτο: ἐξεκέχυτο. Δ
4004 Ἐχηρώθησαν: ἀνδρῶν ἐστερήθησαν, ἐχήρευσαν. Σ
4005 Ἐχήρωσεν: ἐστέρησεν. ὁ δὲ τῶν ἀγαθῶν τὴν βασιλείαν ἐχήρω- Σ+E
σεν ἁπάντων.
4006 Ἐχείδιον: τὸ ὀφείδιον. Δ
4007 Ἔχιδνα: ὄφις. Δ

3992 cf. L 3993 cf. Synt. Laur. 3994 = P, Ba 245, 21, sch. Luc. 69, 10, Et. Gen., Et. M. 404, 15 cf. Ambr. 2761, Ps. Herodian. 39, H 3995 λέγετον—αὐτήν fort. Polyb., FGrHist 72 fr. 39, 137 fr. 36 Ἐχέτην sq. cf. Ambr. 2775 3996 — τύραννος cf. H. Ὅμηρος c 83—5 ἐκπέμπει sq. Eunap. fr. 39, FHG 4, 29 3997 Ar. Th. 43 c. sch. 3998 = P, Ba 245, 22, sch. I 341, H 3999 = P 4000 ἔχεται sq. cf. Eust. I. 61, 4 4002 Ar. Nu. 733—4 c. sch. 4003 aliter Ambr. 2774 4004 = P, Ba 245, 24 4006 = Ambr. 2767 4007 cf. Ps. Herodian. 38, Et. M. 404, 39 aliter Ambr. 2760

3993 cf. 4081 3995 cf. v. Εἰ 342. Z 941 3996 Eunap. cf. v. Φῆστος 3997 Z 941 3999 Z 941 4001 Z 941 4002 cf. v. πέος 4003—4 Z 941 4006 hinc 4015. Z 940 4007 Z 940

5 νοοῦντα Bhd. 6 Ἔχετον FV Εἴχετον Abresch Ambr. 12 νήρεμος A A(GIFVM)
15 ζόφος] φόβος ss. ζόφος F 19 Ἔχει A τῶν om. V 20 εἰληφέ V
22 ἢ AFV sch.: καὶ GIM 4006 extra ord.

Δ 4008 Ἐχινάς, Ἐχινάδος: ὄνομα νήσου.

Σ 4009 Ἔχῖνος τὸν τόκον ἀναβάλλῃ: λέγεται ἐφ' ὧν τὸ ἀναβάλλεσθαι πρὸς χείρονος γίνεται. καὶ γὰρ οἱ χερσαῖοι ἐχῖνοι δοκοῦσι κεντούμενοι ἀνέχειν τὸν τόκον, εἶθ' ὕστερον ὑπὸ τραχυτέρων τῶν ἐμβρύων κάκιον ἀπαλλάσσειν ἐν τῷ τόκῳ. Ἔχῖνος δὲ καὶ τὸ ζῷον, καὶ ἡ γαστὴρ τοῦ βοός. ἐν Ἐπιγράμμασι· ὀξέσι λαχνήεντα
Anth. δέμας κέντροισιν ἐχῖνον. καὶ αὖθις· κώμαυλος τὸν ἐχῖνον ἰδὼν ἐπὶ νῶτα φέροντα ῥᾳγας ἀπέκτεινε τῷδ' ἐπὶ θειλοπέδῳ.

Δ 4010 Ἐχῖνος. ποῖος δὲ Νηρεὺς τῶν ἐχίνων τοῖς κάλοις προβλεπτικὰς δίδωσιν ἐν βυθῷ κόρας, ὅπως φύγωσι πρὸ ζάλης τὰ τῆς ζά-
Prov. λης. καὶ παροιμία· πρίν κε δύο ἐχῖνοι ἐς φιλίαν ἔλθοιεν, ὁ μὲν ἐκ πελάγους, ὁ δὲ ἐκ χέρσου· ἐπὶ τῶν ἀνομοίων.

4011 Ἐχίνους: τοὺς χοιρογρυλλίους.

Harp. 4012 Ἔχῖνος: ἄγγος τι, εἰς ὃ τὰ γραμματεῖα τὰ πρὸς τὰς δίκας ἐτίθεντο. μνημονεύει δὲ Δημοσθένης τοῦ ἄγγους τούτου, ἀλλὰ καὶ Ἀριστοτέλης καὶ Ἀριστοφάνης. ἦν δὲ καὶ πόλις, ἧς μνημονεύει Δημοσθένης ἐν ε' Φιλιππικῶν. ἔστι δέ τι καὶ ζῷον χερσαῖον, καὶ θαλάσσιον ὄστρεον.

Σ 4013 Ἔχῖνοι: οἱ μὲν χαλκοῖ, οἱ δὲ ἐκ κεράμου· εἰς ἃ καθιᾶσιν οἱ διαιτηταὶ τὰ γραμματεῖα τῶν μαρτυριῶν, ἅ τινες ἐμαρτύρησαν, καὶ κατασημηνάμενοι μετὰ ταῦτα, εἰ ἐγκληθείη ἡ δίαιτα, τοῖς δικασταῖς ἐπεδίδουν.

ΔΕ 4014 Ἐχίων: ὄνομα κύριον. καὶ συστέλλει. ἦν δὲ ὠκύτατος ποσίν.

Δ + Ecl. 4015 Ἔχις: εἶδος ὄφεως. ἀπὸ τοῦ κατέχειν· διότι μόνον τῶν ὄφεων
Suid. οὐκ ᾠοτοκεῖ, ἀλλὰ ζωοτοκεῖ. ἡ δοτικὴ τῷ ἔχει. καὶ Ἐχείδιον. λέγεται καὶ αἱμόρρους γένος ἔχεος, ἐν τοῖς πετρώδεσι χηραμοῖς ἔχον τὰς διατριβάς.

Soph. 4016 Ἐχθραντέος· Σοφοκλῆς· ὅ τ' ἐχθρὸς ἡμῖν ἐς τοσόνδ'

4008 cf. Ambr. 2763, H, L 4009 — τόκῳ = P cf. Diogen. IV 91 vs. 5 Ἔχῖνος—6 ζῷον = Ps. Herodian. 174 cf. 38; Seleuc. in Et. Gud., Ambr. 2736. γαστὴρ = Et. Gen., Et. M. 404, 48, Et. Gud. τοῦ βοός = sch. Nic. Th. 579 ὀξέσι—ἐχῖνον Anth. 6, 45, 1. κώμαυλος sq. Anth. 6, 169, 1—2 4010 ποῖος—ζάλης Pisid. Hex. 1161—3 πρὶν sq. = Diogen. VII 61 4012 Harp. = P cf. An. Ox. 2, 495, 24; Et. Gen. = Et. M. 404, 44 et 52, Ps. Herodian. 38; Dem. 49, 65; Aristot. fr. 415, Ar. fr. 263; Dem. 9, 34 4013 = P cf. Lex. Rhet. ap. Et. Gen. = Et. M. 404, 55; Bk. 189, 5 et 258, 3 4014 — κύριον = Choer. An. Ox. 2, 199, 21, unde Et. M. 404, 42. συστέλλει = Ambr. 2751 4015 — ὄφεως = An. Ox. 2, 199, 22 cf. Ambr. 2736 ἀπὸ—ζωοτοκεῖ cf. Seleuc. in Et. Gud. = An. Ox. 2, 433, 24, Et. M. 404, 36 4016 Soph. Ai. 679—82 c. sch.

4008 Z 939 4009 Anth. 6, 169 hinc v. K 2257 4011 cf. v. χοιρογρύλλιος 4012—3 sch. Dem. Bavar. 39, 17 4014 cf. 3827 4015 Ἐχείδιον ex 4006; αἱμόρρους sq. ex v. Αἱ 206 4016 cf. v. Α 655

A(GIFVM) 2 ἀναβάλλει $A^{sc}V$ 3 χεῖρον Diogen. 6 λαχθήεντα GI 11 κε AV Paroem.: καὶ F δὲ GIM 17 ε'] τῶν add. GI 19 ἃ] οὗ Phot. 22 ἀπεδίδουν F 26 ζωτοκεῖ VM καὶ—28 διατριβάς om. FV 27 γένους GIM 4016 extra ord. 29 ἡμῖν A: ἥμην rell., v. Α 655

ἐχθραντέος, ὡς καὶ φιλήσων αὖθις· ἔς τε τὸν φίλον τοιαῦθ' ὑπουργῶν ὠφελεῖν βουλήσομαι, ὡς αἰὲν οὐ μενοῦντα. δεῖ, φησί, προσέχειν τοῖς ἐχθροῖς, ὡς αὖθις φίλοις ἐσομένοις· καὶ τοῖς φίλοις, ὡς ἐχθροῖς. συμμέτρως οὖν φησι χρῆσθαι τοῖς πράγμασιν.

4017 Ἐχθραντέος τοῦ ἐχθραντέου κλίνεται. καὶ ζήτει παράνω ἐν τῷ ἔχις.

4018 Ἐχθαίρει· αἰτιατικῇ. μισεῖ. Σ

4019 Ἔχθημα: μίσημα. Σ

4020 Ἔχθιον: ἐχθρότατον. Σοφοκλῆς· βουλῆς γὰρ οὐδέν ἐστιν ἔχθιον κακῆς. τούτοις ἐγὼ ζῆν τοῖς νόμοις οὐ βούλομαι. Soph

4021 Ἔχθιστος: ἐχθρότατος. Σ

4022 Ἐχθοδοπόν: ἐχθροποιόν. Σ

4023 Ἐχθόμενος: ἐχθρός, ἢ μισούμενος. Σ

4024 Ἔχθος: ἔχθρα, μῖσος. Σ

4025 Ἐχθραίνει· δοτικῇ. ἐχθρὸν ποιεῖ. καὶ Ἐχθρεῦσαι, ἐχθροὺς γενέσθαι. ἐχθρεῦσαι φασιν αἰετὸν καὶ κάνθαρον ἐκ τοῦ ἑκάτερον αὐτῶν θατέρου τὰ ᾠὰ διασπᾶν. Δ x + Ar

4026 Ἐχθρὸς καὶ ἐκδικητής: παρὰ τῷ Δαβὶδ ὁ διάβολος. Thdr

4027 Ἐχθρωδῶς: ἀπεχθῶς, καὶ κακῶς.

4028 Ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήϊσιμα· ὁ Αἴας φησίν· ἀλλ' εἶμι πρός τε λουτρὰ καὶ παρακτίους λειμῶνας, ὡς ἂν λύμαθ' ἁγνίσας ἐμὰ μῆνιν βαρεῖαν ἐξαλεύσωμαι θεᾶς. μολών τε χῶρον, ἔνθ' ἂν ἀστιβῆ κίχω, κρύψω τόδ' ἔγχος τοὐμὸν ἔχθιστον βελῶν γαίας ὀρύξας, ἔνθα μή τις ὄψεται, ἀλλ' αὐτὸ νὺξ ᾄδης τε σῳζόντων κάτω. ἐγὼ γάρ, ἐξ οὗ χειρὶ τοῦτ' ἐδεξάμην παρ' Ἕκτορος δώρημα δυσμενεστάτου, οὔπω τι κεδνὸν ἔσχον Ἀργείων πάρα. ἀλλ' ἔστ' ἀληθὴς ἡ βροτῶν παροιμία· ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήϊσιμα. τοιγὰρ τὸ λοιπὸν εἰσόμεσθα μὲν θεοῖς εἴκειν· μαθησόμεθα δ' Ἀτρείδας σέβειν. ἄρχοντές εἰσιν ὥσθ' ὑπεικτέον· τί μή; καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτερώτατα τιμαῖς ὑπείκει. Soph.

λύσις ὀνείρου· ἐχθροῖς συνέσθειν εἰς καταλλαγὴν φέρει. On.

4018 αἰτιατικῇ cf. Synt. Laur. μισεῖ = Σ^{a}, Ba 245, 23, P cf. H, L 4019 = P cf. H 4020 βουλῆς sq. Soph. El. 1047 et 1043 4021 = P, Σ^{a}, sch. A 176, Et. M. 405, 52 cf. Ba 245, 25, H 4022 Tim. = P cf. sch. Pl. Leg. 810d, Ambr. 2741 et 2781, H 4023 = P, Ba 245, 26 4024 = P, Σ^{a}, Et. M. 405, 39, Ba 245, 27 cf. H, Ps. Herodian. 39 4025 l. cf. L δοτικῇ cf. Synt. Laur. ἐχθρεῦσαι alt. sq. sch. Ar. Pac. 129 4026 Thdr. in Ps. 8, 3, PG 80, 916c 4027 l. = L aliter Ambr. 2785 = Zon. 942 4028 — vs. 29 ὑπείκει Soph. Ai. 654—70 ἐχθροῖς sq. Astramps.

4018 cf. v. H 681 4019—20 Z 940 4022 Z 940 cf. 938 4023 Z 941 4024 Z 940 4025 Z 941 4027 Z 942 4028 Soph. cf. vv. A 519, El 152 et 296

2 ὡς αἱ μὲν οὐ μενοῦν V 4017 om. FV mg. ad 4021 A 5 καὶ—ἔχις A(GIFVM) om. GI 6 Ἐχθραίνει V Phot. Zon. 941 11 Ἐχθροδοπόν GFV, v. l. Zon. 940 18 κακῶς AF Zon.: ἱκανῶς rell. 20 πρακτίους FV 21 ἐξελεύσωμαι (F)V 26. 27 εἰσόμεθα GIF cp. VM μαθησόμεθα F (Soph.): εἰσόμεθα rell. δ' om. F

Δ 4029 Ἔχμα: τὸ στήριγμα.

Δ 4030 Ἐχολώθηcαν: ὠργίcθηcαν.

Synt. 4031 Ἔχομαι· γενικῆ.

Ε 4032 Ἐχόμενα· ὁ δὲ Πέρcης πολλὰ μὲν καὶ ἄλλα ἔδραcεν ἀceβείας τε καὶ ὕβρεως ἐχόμενα καὶ βάρβαρον ἀμαθίαν τε καὶ ἀπαιδευcίαν ὁμολογοῦντα. καὶ ἀντὶ τοῦ ἀκολουθοῦντα, ἀντεχόμενα.

Σ 4033 Ἐχόμενοc: ἐγγύc, ἢ κατέχων.

Ar. 4034 Ἔχοντας citί' ἡμερῶν τριῶν: Ἀριcτοφάνης. ἀντὶ τοῦ πολεμεῖν μέλλοντας. οἱ γὰρ πολεμοῦντες πρὸc γ' ἡμέρας ὡρίζοντο παρὰ τῶν cτρατηγῶν ἔχειν citία εἰc τὸν πόλεμον. ἐχορηγοῦντο δὲ αὐτὰ ἐκ τῶν δημοcίων.

Σ 4035 Ἔχοντεc: οἰκοῦντεc.

Ε 4036 Ἐχόντων: ἀντὶ τοῦ ἐχέτωcαν. ἐχόντων μὲν οὖν ὡc ἔχουcιν ἕκαcτοι, καὶ ὥc πῃ ἑκάcτῳ φίλον, κρινέτω.

Ε 4037 Ἔχουν: ἐχώννυον. κἀκ τούτου οἱ μὲν ἔχουν, οἱ δὲ τοῖc βάλ-
Ε λουcιν ἀντεμάχοντο. καὶ αὖθιc· καὶ χώματα β' ἑκατέρωθεν ἔχουν, ὡc πρὸc τὸ τεῖχοc. ξύνδεcμοc δὲ τοῦ χώματοc αἱ πλίνθοι ἐγίνοντο αἱ ἐκ τῶν οἰκιῶν.

Synt. 4038 Ἔχω· αἰτιατικῆ.

Δ 4039 Ἐχώλαναν.

Δ 4040 Ἔχραον: μετὰ βλάβης ἐπῆλθον.

Δ 4041 Ἐχρηματίcθη: χρηcμὸν ἐδέξατο. καὶ Ἐχρήcθη, ὁμοίωc.

Δ 4042 Ἔχρῆν: ἔπρεπεν, ἥρμοζεν.

Δ 4043 Ἔχρηcεν: ἐμαντεύcατο, ἢ ἐδανείcατο.

Soph. Δ 4044 Ἔχριμπτ' ἀεί: ἀεὶ ἐπληcίαζεν. καὶ Ἔχριμψαν.

Δ 4045 Ἔχριcεν: ἤλειψεν.

Δ 4046 Ἐχρωματίcθη. χρῶμα ἐδέξατο.

Δ 4047 Ἐχρῶντο.

Δ 4048 Ἔχοι.

Ar. 4049 Ἐχύμιcαν: ἀντὶ τοῦ ἔγχυμον ἐποίηcαν. Ἀριcτοφάνης Θεcμοφοριαζούcαιc· Ἀνακρέων, Ἀλκαῖοc, οἵπερ ἁρμονίαν ἐχύμιcαν.

4029 = Ambr. 2765 cf. Eust. I. 995, 53, Et. Gud. 4030 cf. Ambr. 2772, L, H 4031 cf. Synt. Laur. 4032 ἀντεχόμενα cf. H 4033 = P, Ba 245, 28 cf. sch. Luc. 19, 13 4034 Ar. Pac. 312 c. sch. 4035 = P, Ba 245, 29 cf. sch. A 18 4036 ἐχόντων sq. Aeliano attr. Bruhn, Rh. Mus. 45, 275 4037 καὶ χώματα sq. Arr. Parth. fr. 95 cf. Byz. Zt. 23, 110, 2 4038 cf. Synt. Laur. 4039 cf. Ambr. 2771, H 4040 = L cf. Ambr. 2778, sch. β 50, H 4041 aliter Ambr. 2780 = H 4042 — ἔπρεπεν = Ambr. 2786, H 4043 — ἐμαντεύcατο cf. Ambr. 2776, L, H 4044 — ἐπληcίαζε Soph. El. 721 c. sch. cf. H Ἔχριμψαν cf. Ambr. 2779 4045 = Ambr. 2777 cf. H 4046 cf. Ambr. 2770, H 4047 = L, Ambr. 2768 4049 Ar. Th. 162 c. sch. (fort. Atticist.)

4029 Z 940 4030 Z 941 4031 cf. 8998 4035—7 Z 941 4040—2 Z 942 4044 cf. v. cύριγξ. Z 942 4049 cf. 989. Z 942

A(GIFVM) 17 ὡc] ι' add. V cώματοc F 22 καὶ—ὁμοίωc om. FV 27 χρῶμα ἐδέξατο om. FV

4050 Ἐχύρωμα: ἀσφάλεια. ὁ δὲ σκόλοπας, ὀξεῖς ἐπιφερόμενος Δ
ἐνάλλεται τῷ ἐχυρώματι καὶ μετεωροπορεῖ. E
4051 Ἐχυρῶς: ἰσχυρῶς. ἢ ἀσφαλῶς. Σ
4052 Ἐχύρωσεν: ἰσχυροποίησεν. Σ
4053 Ἐχυρώτατον.
4054 Ἔψα. Δ
4055 Ἐψανόν: ἁπαλόν. καὶ ἀτέραμνον, τὸ δυσέψανον. οὕτως Πλάτων. Suid.
4056 Ἕψεαι: ἀκολουθήσεις. Δ
4057 Ἕψεμα: ὅπερ ἐστίν . . .
4058 Ἕψεται: ἀκολουθήσει. ἢ ἀκολουθεῖ. Σ
4059 Ἑψήσας. καὶ Ἑψημένος. Δ Suid.
4060 Ἑψητήριον: ἡ λοπάς. Δ
4061 Ἑψητόν· καὶ Ἑψητός, ὁ ἑψημένος. Δ
4062 Ἔψηχον: κατέμασσον, ἔτριβον, ἔξεον. οἱ μὲν τοὺς ἵππους Σ + x + E
ἔψηχον.
4063 Ἐψία: ἡ ὁμιλία. Δ
4064 Ἔψια: τὰ ἀπὸ λόγων παίγνια· καὶ φιλέψιος, ὁ φιλοπαίγμων· EcL
ψιλούμενον δὲ φιλολόγος ἐστὶν ὁ φιλέψιος.
4065 Ἐψιάσθων: παιζέτωσαν. καὶ Ἐψιᾶται, παίζει. Δ
4066 Ἐψιατέον: παικτέον, δεῖ παίζειν. Δ
4067 Ἐψιάτιμον: γνωστικὸν παίγνιον. Δ
4068 Ἐψιλωμένοι: γεγυμνωμένοι. Δ
4069 Ἔψιμον: τὸ παίγνιον. Δ
4070 Ἔψισαν: ἐψώμισαν. Δ
4071 Ἑψόμενος: ἀκολουθήσων, ἕψων. Δ
4072 Ἔψοντα κυάμους.
4073 Ἔψον καὶ ἀπέψον, τὸ ἕψιον, διὰ τοῦ ο μικροῦ. ἀπέψων δὲ τὸ ἀπεσπόγγιζον, Suid.
διὰ τοῦ ω μεγάλου. Ἑψῶν δὲ ἀντὶ τοῦ κνηθόμενος.

4050 — ἀσφάλεια cf. Ambr. 2742 et 2766, Ps. Herodian. 39 ὁ sq. Th. Simoc. 2, 18, 15 4051 = P, Ba 245, 30, H 4052 = P, Ba 245, 31 4056 = Ambr. 2793 cf. H 4057 cf. H 4058 = P, Ba 245, 32 cf. H = sch. Δ 415 4060 = Ambr. 2792, H 4061 Ἑψητόν = Lex. de sp. Ἑψητός sq. = Ambr. 2787 4063 = Ambr. 2788, Ps. Herodian. 39 cf. H 4064 = An. Ox. 2, 437, 24 cf. Et. M. 406, 8, sch. Ap. Rh. 1, 459, Lex. de sp., L 4065 — παιζέτωσαν = Ambr. 2795, sch. ρ 530, Ap. S. 80, 26, H v. ἐψιλάσθων Ἐψιᾶται sq. = L cf. Ambr. 2794 = H, Eust. O. 1831, 5; P = Et. M. 406, 12, Eust. O. 1831, 3 (= Lex. Rhet. fr. 389 Schwabe) 4066 — παικτέον = H. δεῖ παίζειν = Ambr. 2800 4067 cf. Ambr. 2791, H 4068 cf. Ambr. 2796 4069 = Ambr. 2789 4070 cf. Ambr. 2797 = H 4071 cf. H, Ambr. 2799, Lex. de sp. 4072 fort. Metaphr.

4050 cf. v. Σάπειρ. Z 940 4051 Z 942 4055 ex v. Τέραμνον. Z 944 4059 καὶ Ἑψημένος ex 4061 4060 Z 944 4061 hinc 4059, Z 943 4062 cf. v. ψήχειν. Z 944 4063 Z 943 4064 cf. v. φιλέψιος. Z 944 4065—70 Z 944 4071 cf. v. Εἰ 343 4073 Z 944—5. — μεγάλου ex v. A 3112

4053 ex GIM 4054 om. A 4055 om. FV 4056 non nov. gl. FV A(GIFVM)
8 Ἕψεται AF 9 Ἔψημα GIM, Hes., Lex. de sp. ἐστίν om. AF 11 καὶ Ἑψημένος om. FV Ἑψομένος A 4072 om. FV mg. M post 4075 GI 28 Ἑψῶν—κνηθόμενος mg. A

Δ 4074 Ἐψῶν· τοῦτο καὶ βαρύνεται καὶ περισπᾶται. ὁ ἐνεστὼς ἐψῶ, ἐψήσω. ὥσπερ οἱ τὴν χρυσῖτιν γῆν ἐψῶντες.

Ar. 4075 Ἐψώμισεν: ἔθρεψεν.

Δ 4076 Ἔψυρεν: ἀπεδίωξεν.

Σ 4077 Ἐψυχαγώγησεν: ἐπήλπισε, παρεμυθήσατο· ἢ ψυχὰς διὰ μαγγανείας τῶν τελευτησάντων ἀνήγαγεν.

Anth. 4078 Ἐψύχθη: ἀπεπαύθη, ἠρέμησεν. ἄγρια δ' αὐτοῦ ἐψύχθη χαλεπῆς πνεύματα θευφορίης.

4075 sch. Ar. Lys. 19 4076 cf. L 4077 = P, Ba 245, 33; παρεμυθήσατο = Ambr. 2798 4078 ἄγρια sq. Anth. 6, 220, 3—4

4075—6 Z 945 4077 cf. v. ψυχαγωγεῖ. Z 945 4078 cf. v. Θ 198. Z 944

A(GIFVM) 4074—5 inverso ord. 1 Ἐψώνην A τοῦτο—περισπᾶται om. F V 2 γῆν om. A ἐψῶντες] συνεψόντες A 4 ἀπεδίωξεν] ἐψυχαγώγησεν add. omnes, del. Kust. 8 θευφορίας F θευθορίης V

1 Ζαβαρεῖον: ἐν ᾧ αἱ ζάβαι, αἵ εἰσιν ὅπλα πολεμικά, ἀπόκεινται. Δ
ζάβα γὰρ τὸ λωρίκιον.
2 Ζαβουλών: χώρα. λέγεται δὲ καὶ ὁ πάνυ βουλόμενος. Δ|
3 Ζαβρόν: πολυφάγον. Σ
4 Ζαγρεύς: ὁ Διόνυσος παρὰ ποιηταῖς. δοκεῖ γὰρ ὁ Ζεὺς μιχθῆναι Σ
τῇ Περσεφόνῃ, ἐξ ἧς χθόνιος Διόνυσος.
5 Ζαές: μέγα, πολύ, λαμπρόν, ἢ ἰσχυρόν. Σ
6 Ζαῆν ἄνεμον: τὸν σφοδρῶς πνέοντα. Σ
7 Ζαθέη: ἄγαν θεία. καὶ Ζαθέων. Δ
8 Ζαθέρει: ἄγαν θερμῷ. ἐν Ἐπιγράμμασι· οἶδα καθίζων ἀείδειν Σ + Anth.
ζαθέρει καύματι θαλπόμενος.
9 Ζάκορος: νεωκόρος. Μένανδρος Δὶς ἐξαπατῶντι· οὐ Μεγάβυζος Σ
ἦν, ὅς τις γένοιτο ζάκορος. καὶ ὁ ὑπηρέτης. Λευκαδίᾳ· ἐπίθες τὸ
πῦρ ἡ ζάκορος ἱερέως οὕτωσὶ καλῶς. ἢ ὁ ἱερεύς, ὁ τὸν ναὸν σαρῶν.
κορεῖν γὰρ τὸ σαίρειν παρὰ Ἀττικοῖς.
10 Ζάκοτον: ἄγαν ὀργίλον· κότος γὰρ ἡ ὀργή. Σ
11 Ζακχαῖος: ὄνομα κύριον. Δ
12 Ζάλευκος, Λοκρὸς ἐκ Θουρίου, Πυθαγόρειος φιλόσοφος καὶ νο- Hesy.?
μοθέτης, ὃς τελευτᾷ ὑπὲρ τῆς πατρίδος ἀγωνιζόμενος. ἦν δὲ οὗτος
πρότερον δοῦλός τε καὶ ποιμήν· καὶ ἐκπαιδευθεὶς νόμους ἔθετο τοῖς
ἑαυτοῦ πολίταις· ἐν οἷς καὶ τό, προϊούσας ἐπ' ἀγορᾶς τὰς γυναῖκας,
τὴν μὲν ἐλευθέραν λευχείμονα μετὰ οἰκείων παιδίσκην μίαν ἔχουσαν,
τὰς δὲ ἄλλας ἐν ἀνθινοῖς.
13 Ζάλην: μεγάλην ἄλα. ἀπὸ τοῦ σφόδρα ἁλίζεσθαι. καὶ Ζάπλουτος, Σ
ὁ σφόδρα πλούσιος. Πλάτων Πολιτείᾳ· οἷον ἐν χειμῶνι ὑπὸ κονιορτοῦ

1 — ζάβαι = L 2 — χώρα cf. Ambr. 23 ὁ sq. cf. Choer. Epim. Ps. 154, 35, ex quo Et. M. 406, 45 3 = P, H 4 = P, Lex. Rhet. in Et. Gen., Et. M. 406, 46 cf. H 5 = P, H 6 = P, sch. μ 313, Lex. Rhet. in Et. Gen., Et. M. 406, 57 cf. H, Ambr. 2 7 — θεία = Ambr. 25 cf. sch. A 38 = H; Et. M. 407, 14 8 — θερμῷ cf. Bk. 261, 16, H. οἶδα sq. Anth. 6, 120, 1—2 9 = P cf. Lex. Rhet. in Et. Gen., Et. M. 407, 23, Ambr. 9; Lex. αἱμ. 625, 13, H, Men. com. fr. 126 et 311 10 = P cf. Et. Gen. = Et. M. 407, 16; — ὀργίλον = sch. Γ 220, H; Ambr. 4 et 33 11 = Ambr. 13 12 = P cf. Et. Gen., Et. M. 407, 32; Ζάπλουτος—πλούσιος cf. H, Ambr. 3; vs. 4 μεγάλη sq. cf. H, Pl. Rep. 496d et Tim. 43c

1—2 Z 950 5 Z 951 6 Z 948 8 Z 951 9 cf. v. K 2076 10 cf. v. K 2162 11—2 Z 949

3 δὲ om. V 5 ὁ pr.] ὀνο⟨μα⟩ V 7 ἢ om. F Hes. 9 Ζαθέη] Ζαθέν A A(GIFVM)
10 ἀείδειν] καὶ εἴδειν M 14 ἱερέως om. Phot. Et. ἢ] καὶ add. V 19 οὗτος om. V 22 λευχειμονεῖν Bhd. οἰκείων] βαδίζειν add. ed. pr.

καὶ ζάλης ὑπὸ πνεύματος φερομένου ὑπὸ τείχει ὑποστάς. καὶ ἐν Τιμαίῳ· εἴτε ζάλη πνεύματος ὑπ' ἀέρος φερομένη καταληφθείη. cυστροφὴν γὰρ καὶ cυρμὸν βούλεται δηλοῦν. τινὲς ἄνεμος λάβρος, πνεῦμα θορυβῶδες. Κλήμης. δύναται καὶ ζάλη τὶς εἶναι μεγάλη cυστροφὴ ἀνέμου. τινὲς Ζάλην τὴν χάλαζαν.

Δ 14 Ζαμβρῆς, Ζαμβρῆ: ὄνομα κύριον.

Σ 15 Ζαμβύκη: μουσικὸν ὄργανον.

Soph. 16 Ζαρενής· Σοφοκλῆς· ἢ ζαμενὴς λόγος ἐκ Δαναῶν κακόθρους Δ ἐπιβῇ. οἷον ὀργίλος καὶ λοίδορος, καὶ βίαιος.

Σ 17 Ζάμολξις: Πυθαγόρᾳ δουλεύσας, ὡς Ἡρόδοτος δ'. Σκύθης· ὃς ἐπανελθὼν ἐδίδασκε περὶ τοῦ ἀθάνατον εἶναι τὴν ψυχήν. Μνασέας δὲ παρὰ Γέταις τὸν Κρόνον τιμᾶσθαι καὶ καλεῖσθαι Ζάμολξιν. Ἑλλάνικος δὲ ἐν τοῖς Βαρβαρικοῖς νόμοις φησίν, ὅτι Ἑλληνικός τε γεγονὼς τελετὰς κατέδειξε Γέταις τοῖς ἐν Θρᾴκῃ καὶ ἔλεγεν, ὅτι οὔτ' ἂν αὐτὸς ἀποθάνοι οὔθ' οἱ μετὰ τούτου, ἀλλ' ἕξουσι πάντα ἀγαθά. ἅμα δὲ ταῦτα λέγων ᾠκοδόμει οἴκημα κατάγαιον. ἔπειτα ἀφανισθεὶς αἰφνίδιον ἐκ Θρᾳκῶν ἐν τούτῳ διητᾶτο. οἱ δὲ Γέται ἐπόθουν αὐτόν. τετάρτῳ δὲ ἔτει πάλιν φαίνεται, καὶ οἱ Θρᾷκες αὐτῷ πάντα ἐπίστευcαν. λέγουσι δέ τινες, ὡς ὁ Ζάμολξις ἐδούλευσε Πυθαγόρᾳ Μνησάρχου Σαμίῳ καὶ ἐλευθερωθεὶς ταῦτα ἐσοφίζετο. ἀλλὰ πολὺ πρότερος δοκεῖ ὁ Ζάμολξις Πυθαγόρου γενέσθαι. ἀθανατίζουσι δὲ καὶ Τέριζοι καὶ Κρόβυζοι καὶ τοὺς ἀποθανοῦντας ὡς Ζάμολξίν φασιν οἴχεσθαι, ἥξειν δὲ αὖθις· καὶ ταῦτα ἀεὶ νομίζουσιν ἀληθεύειν. θύουσι δὲ καὶ εὐωχοῦνται, ὡς αὖθις ἥξοντος τοῦ ἀποθανόντος.

Δ 18 Ζάμολξις: θηλυκῶς. ὄνομα θεᾶς.

Suid. 19 Ζανὸς ἐλαστρηθεὶς γυιοπαγεῖ νιφάδι· ἐν Ἐπιγράμμαci. ἀντὶ τοῦ βιαcθείς, κινηθείς.

Anth. 20 Ζαπληθές: ἄπειρον, ἄμετρον. Στησίχορον Ζαπληθὲς ἀμέτρητον στόμα Μούσης ἐκτέρισε Κατάνας αἰθαλόεν δάπεδον.

Δ 21 Ζατρεφής: ὁ εὐτραφής. καὶ τὸ πληθυντικὸν ζατρεφέων.

Δ 22 Ζαφελής: ὁ ἀφελής. καὶ Ζαφελῶς, πάνυ ἀφελῶς.

14 = Ambr. 11 15 = P, Ba 246, 21, H 16 — ἐπιβῇ Soph. Ai. 137—8 ὀργίλος = Lex. αἰμ. 625, 10, Et. M. 407, 43. βίαιος = L 17 = P, Et. Gen., Lex. Rhet. ap. Et. M. 407, 45; Hdt. 4, 95, 1; Mnaseae fr. 23, FHG 3, 153; FGrHist 4 fr. 73 20 Στησίχορον sq. Anth. 7, 75, 1—2 21 cf. H, Et. M. 408, 14, sch. H 223; l. = L 22 — ἀφελής = L, aliter Ambr. 7. Ζαφελῶς sq. cf. Ambr. 32

14 Z 947 15 Z 950 16 cf. v. K 162 17 cf. v. Πυθαγόρας 1 19 ex v. Ε 747 20 Z 951 22 Z 951

A(GIFVM) 3 γὰρ om. V 4 ζάλης V 6 Ζαβρῆς A Zon. Ζαβῆ F Ζαβρῆ A Zon. om. F 15 post 16 V 9 οἷον AF: ἦγον M ἤγουν GIV καὶ βίαιος om. V 10 δ' om. V 11 ἀθάνατος V 13 Ἕλλην Bhd. τε] τις A^{ac} (Ἑλληνικοῦ τις γένους Menag.) 14 τελετὰς] γενέσθαι add. A 18 πάντες V 22 Κροβίζοι V ἀποθανοῦντας AGIM: ἀπαθανατοῦντας V ἀποθανόντας Phot. Et. ἥξειν V Phot. Et.: ἥξει AGIM 25 θηλυκόν IV 19 om. FV 28 Στησίχορος GIVM ἄμετρον V 30 πληθυντικῶς A cp. F 31 ὁ] πάνυ add. V

23 Ζαχαρίας: ὄνομα κύριον. Δ
24 Ζαχρειής: ὁ ἄγαν χρειώδης. Ζαχρηείς δέ, Ζαχρηέντος. Δ
25 Ζεβεέ: ὄνομα κύριον. Δ
26 Ζεβεδαῖος: ὄνομα κύριον. Δ
27 Ζέω· δοτικῇ. Synt.
28 Ζέλεια: ὄνομα πόλεως. καὶ Ζελείτης, ἀπὸ τόπου. Δ
29 Ζέρκων, Σκύθης οὕτω καλούμενος, Μαυρούσιος τὸ γένος. διὰ δὲ E
κακοφυΐαν σώματος καὶ τὸ γέλωτα ἐκ τῆς τραυλότητος τῆς φωνῆς καὶ
ὄψεως παρέχειν (βραχὺς γάρ τις ἦν, κυρτός, διάστροφος τοῖς ποσί,
τὴν ῥῖνα τοῖς μυκτῆρσι παραφαίνων διὰ σιμότητος ὑπερβολήν), Ἄσπαρι
τῷ Ἀρδαβουρίῳ ἐδεδώρητο, καθ' ὃν ἐν Λιβύῃ διέτριβε χρόνον. ἧλω
δὲ τῶν βαρβάρων· ἐς τὴν Θρᾳκῶν ἐμβαλόντων καὶ παρὰ τοὺς βασι-
λείους ἤχθη Σκύθας. καὶ Ἀττήλας μὲν οὐδὲ τὴν αὐτοῦ ἤνεγκεν ὄψιν·
ὁ δὲ Βλήδας ἥσθη τε λίαν αὐτῷ φθεγγομένῳ οὐ μόνον γέλωτος ἄξια,
εἰ μή γε καὶ βαδίζοντι καὶ περιττῶς κινοῦντι τὸ σῶμα. συνῆν δὲ
αὐτῷ εὐωχουμένῳ καὶ ἐκστρατεύοντι, πεποιημένην πρὸς τὸ γελοιότερον
ἀναλαμβάνων ἐν ταῖς ἐξόδοις πανοπλίαν. διὸ δὴ περισπούδαστον
αὐτὸν ὁ Βλήδας ποιούμενος μετὰ αἰχμαλώτων ἀποδράντα Ῥωμαίων,
τῶν μὲν ἄλλων κατωλιγώρησεν, αὐτὸν δὲ μετὰ πάσης φροντίδος
ἀναζητεῖσθαι προσέταξεν. καὶ ἁλόντα καὶ παρ' αὐτὸν ἀχθέντα ἐν
δεσμοῖς ἰδὼν ἐγέλασεν. καὶ καθυφεὶς τῆς ὀργῆς ἐπυνθάνετο τὴν αἰτίαν
τῆς φυγῆς, καὶ ὅτου χάριν νομίζοι τὰ Ῥωμαίων τῶν παρὰ σφίσιν
ἀμείνονα. ὁ δὲ ἀπεκρίνατο, ἁμάρτημα μὲν τὴν φυγὴν εἶναι, ἔχειν δὲ
τοῦ ἁμαρτήματος λόγον, τὸ μὴ γαμετὴν αὐτῷ δεδόσθαι. τῷ δὲ γέλωτι
μᾶλλον ὁ Βλήδας ὑπαχθεὶς δίδωσιν αὐτῷ γυναῖκα τῶν μὲν εὖ γεγονό-
των καὶ τῇ βασιλίδι διακονησαμένων, ἀτόπου δέ τινος πράξεως ἕνεκα
οὐκέτι παρ' ἐκείνην φοιτῶσαν. καὶ οὕτω διετέλει ἅπαντα τὸν χρόνον
τῷ Βλήδᾳ συνών. μετὰ δὲ τὴν αὐτοῦ τελευτὴν Ἀττήλας Ἀετίῳ τῷ
στρατηγῷ τῶν Ἑσπερίων Ῥωμαίων δῶρον τὸν Ζέρκωνα δίδωσιν, ὃς
αὐτὸν παρὰ τὸν Ἄσπαρα ἀπέπεμψεν.
30 Ζέσας θυμῷ: ἐξαφθεὶς τῇ ψυχῇ. Σ

23 cf. Ambr. 16 24 — χρειώδης = L, Et. M. 408, 36 cf. sch. Θ 525, H. Ζαχρήεις sq. = Ambr. 8 cf. L 25 = L cf. Ambr. 39 26 = Ambr. 38, Ps. Herodian. 40 27 = Synt. Gud., An. Ox. 4, 293, 4 cf. Synt. Laur. 28 — πόλεως = Ambr. 50 cf. H. Ζελείτης sq. cf. L, Ambr. 43 29 Prisc. fr. [11], FHG 4, 96 30 = P cf. Ambr. 57

24 Z 951 25—6 Z 952 30 Z 955

2 Ζαχρηείς] Ζαχρηής FV δὲ] καὶ F 25—6 inverso ord. 26 om. A A(GITFVM)
3 Ζαβεέ V 28—9 om. F 6 ἀπὸ τόπου] ὁ πολίτης V 29 post 32 V
10 σιμότητος TM: σημοτητος AGI σιμότατος V 11 Ἀρδαβουρίων A Ἀρδα-
βουρίου Niebuhr 12 Θρᾴκην V 14 τε om. V οὐ—30 ἀπέπεμψεν] καὶ
εἶχεν αὐτὸν ἀδιάσπαστον ἀπ' αὐτοῦ χάριν μεταβολῆς V καὶ ἐς τέλος εἶχε παρ'
αὖτον T 15 εἰ] δὲ add. Bhd. 18 ἀποδράντων GIM 21 ἐπυνθάνετο—
22 φυγῆς om. I 26 διακονισαμένων, αὐτόπου A 28 Ἀττίλας A 29 Ζέρ-
μωνα GIM 31 τῇ ψυχῇ] τὴν ψυχήν AI Ambr.

Δ 31 **Ζευγήσιον**: τὸ τοῦ ζευγίτου τέλος.

Σ 32 **Ζεύγλη**: τὸ ἄκρον τοῦ ζυγοῦ, καθ' ὃ ἐντίθηςι τοὺς τραχήλους τὰ ζῷα.

33 **Ζεῦγμα**: Εὐνάπιος. ἡ τοῦ ποταμοῦ διάβαςις, ἡ γέφυρα. Ζεύγνυ-
Ε ται δὲ Ῥωμαίοις ἀπονώτατα τῶν ποταμῶν τὰ ῥεύματα, ἅτε καὶ τοῦτο διὰ μελέτης ἀεὶ τοῖς ςτρατιώταις ὥςπερ ἄλλό τι τῶν πολεμικῶν ἀςκούμενον, ἐπί τε Ἴςτρῳ καὶ Ῥήνῳ καὶ Εὐφράτῃ. ἔςτι δὲ ὁ τρόπος, οὐ γὰρ δὴ πάντας εἰδέναι, τοιόςδε· πλατεῖαι μέν εἰςιν αἱ νῆες, δι' ὧν ὁ ποταμὸς ζεύγνυται, ἀνορμίζονται δὲ ὀλίγον ἄνω τοῦ ῥεύματος ὑπὲρ τὸν μέλλοντα ζεύγνυcθαι τόπον. ἐπὰν δὲ τὸ cημεῖον δοθῇ, ἀφιᾶcι πρώτην μίαν ναῦν κατὰ ῥοῦν φέρεcθαι πληcίον τῆς οἰκείας ὄχθης. ἐπὰν δὲ κατὰ τὸν ζευγνύμενον ἥκῃ τόπον, ἐμβάλλουcιν ἐc τὸ ῥεῦμα φορμὸν λίθων ἐμπεπληcμένον καλωδίῳ δήcαντες, ὥcπερ ἄγκυραν· ἀφ' οὗ δεθεῖca ἡ ναῦc πρὸc τῇ ὄχθῃ ἵcταται canίcι καὶ ζεύγμαcιν, ἅπερ ἄφθονα αὐτοῖc ἡ ναῦc φέρει, παραχρῆμα μέχρι τῆς ἀποβάcεως κατακτρώννυται. εἶτα ἄλλην ἀφιᾶcιν ὀλίγον ἀπ' ἐκείνης καὶ ἄλλην ἀπ' ἐκείνης, ἔcτ' ἐπὶ τὴν ἀντιπέραν ὄχθη ἐλάcωcι τὸ ζεῦγμα. ἡ δὲ πρὸc τῇ πολεμίᾳ ναῦc καὶ πύργους ἐπ' αὐτῇ καὶ πυλίδα καὶ τοξότας καὶ καταπέλτας φέρει. βαλλομένων δὲ τῶν βελῶν πολλῶν ἐπὶ τοὺc ζευγνύντας ὁ Κάccιος ἀφιέναι βέλη καὶ καταπέλτας κελεύει. πεcόντων δὲ τοῖc βαρβάροις τῶν πρώτων ἐφεcτηκότων ἕτεροι ἦκον.

Σ **Ζεῦγος ἡμιονικὸν** ἢ βοεικὸν ζεύξαντες, τὴν λεγομένην κλινίδα, ᾗ ἐcτιν ὁμοία διέδρῳ, τὴν τῆς νύμφης μέθοδον ποιεῖται. παραλαβόντες δὲ αὐτὴν ἐκ τῆς πατρῴας ἑcτίας ἐπὶ τὴν ἅμαξαν ἄγουcιν ἐc τὰ τοῦ γαμοῦντος ἑcπέρας ἱκανῆς. κάθηνται δὲ τρεῖc ἐπὶ τῆς ἁμάξης, μέcη μὲν ἡ νύμφη, ἑκατέρωθεν δὲ ὅ τε νυμφίος καὶ ὁ πάροχος. οὗτος δέ ἐcτι φίλος ἢ cυγγενὴc ὅτι μάλιcτα τιμώμενος καὶ ἀγαπώμενος. ἐπειδὴ δὲ ἡ ἅμαξα ὄχημα ἐλέγετο, ὁ ἐκ τρίτου ὁ παροχούμενος πάροχος ἐκλήθη. καὶ ἀπὸ ταύτης τῆς cυνηθείας, κἂν πεζοὶ μετίωcί τινες κόρην, ὁ τρίτος cυμπαρὼν πάροχος λέγεται.

31 — ζευγίτου = Ambr. 54 cf. Bk. 260, 33; P = Et. Gen., Et. M. 410, 1 32 = P, Et. Gen., Et. M. 409, 54, H cf. sch. Greg. Ann. n. 96 33 Εὐνάπιος fr. 93, FHG 4, 54 cf. Byz. Zt. 23, 31 ζεύγνυται—vs. 21 ἦκον Cass. D. 71, 2, 4 vs. 22 Ζεῦγος sq. = P, Lex. Rhet. in Et. Gen., Et. M. 409, 34 cf. H, Paus. Att. fr. 273 ex Eust. I. 833, 49

31 cf. Z 954 33 Z 954

A(GIFVM) 1 Ζευγίcιον V Et. M. cf. Choer. An. Ox. 2, 215, 10 2 καθ'—3 ζῷα om. V 5 ἅτε—30 λέγεται] καὶ τὰ ἑξῆς F 7 δὲ καὶ ὁ τρόπος οὗτος V 8 δὴ V: δεῖ rell.; εἰκός vel οἶμαι excidisse putat Bhd. τοιόcδε A: τοιῶcδε GVM τοῖcδε I νῆες AV: ῥῆνες GIM 13 λίθον V ἐπεπληcμένον VM κλαδίῳ GIVM 14 καὶ om. V 15 ἄφθα A 16 καὶ—17 ἐκείνης om. GIV 17 ἔcτ'] ἔcτ' ἂν GI 19 δὲ A: δὴ rell. τῶν πολλῶν βελῶν GIVM 21 τῶν βαρβάρων V προύτων A ἥκων A^{ac} εἶκον Reines. 22 Ζεῦγος] nov. gl. V solus κηλῖδα GIM 23 ποιοῦνται Phot. Et. 24 αὐτὴν] αὐλὸν V 26 δὲ om. V 28 ὁ alt. om. GI Phot. Et. 29 μετίαcί V 30 κόρης V

34 Ζευξιδία: ἡ Ἥρα. Δ

35 Ζευξίθεος: ὄνομα κύριον. Δ

36 Ζευξίλεως: ᾧ ὑπεζευγμένοι εἰσὶν οἱ λαοί. Σ

37 Ζεύξιππος· ὅτι Χριστόδωρος, ἐποποιός, ἔγραψεν ἔκφρασιν ἀγαλμάτων τοῦ Suid.
Ζευξίππου.

38 Ζεῦξις, Ζεύξιδος. ὄνομα κύριον. Ἀριστοτέλης κατὰ τὸν Δ Harp.
Ἰσοκράτους χρόνον ζωγράφον. οὗτος ἐν τῷ ναῷ τῆς Ἀφροδίτης ἔγραψεν Suid.
Ἔρωτα ὡραιότατον, ἐστεμμένον ῥόδοις.

39 Ζεύς· τούτου τὸ ἄγαλμα ἱστοροῦσι καθήμενον, γυμνὰ ἔχον τὰ ἄνω, τὰ δὲ κάτω ἐσκεπασμένα, κρατοῦν τῇ μὲν εὐωνύμῳ σκῆπτρον, τῇ δεξιᾷ δὲ ἀετὸν προτεῖνον. καὶ τὸ μὲν καθῆσθαι τὸ ἑδραῖον τῆς δυνάμεως αἰνίττεται, τὸ δὲ τὰ ἄνω γυμνὰ ἔχειν, ὅτι φανερὸς τοῖς νοεροῖς καὶ τοῖς οὐρανίοις τοῦ κόσμου μέρεσιν. τὰ δὲ λοιπὰ σκέπεται, διότι τοῖς χαμαιζήλοις ὁ θεὸς ἄγνωστος. τὸ δὲ τῇ λαιᾷ σκῆπτρον κατέχειν, σημαίνει τὸ ἐξουσιαστικόν· τὸ δὲ τῇ ἑτέρᾳ προτείνειν ἀετὸν δηλοῖ, ὡς τῶν ἀεροφόρων πνευμάτων κρατεῖ, ὡς ὁ ἀετὸς τῶν μεταρσίων ὀρνέων. καὶ παροιμία· ὁ Ζεὺς κατεῖδε χρόνιος Prov.
εἰς τὰς διφθέρας· ἐπὶ τῶν ποτὲ ἀμειβομένων ὑπὲρ ὧν πράττουσι καλῶν ἢ κακῶν. ὅτι οὐκ ἀπρονόητά φασι τὰ πάντα, ἀλλὰ τὸν Δία εἰς διφθέρας τινὰς ἀπογράφεσθαι καί ποτε ἐπεξιέναι.

40 Ζεὺς Κτήσιος, ὃν καὶ ἐν τοῖς ταμιείοις ἱδρύοντο, ὡς πλουτοδότην. Σ

41 Ζεφυρία πνοή: τοῦ ζεφύρου. καὶ Ζεφύριον πνεῦμα. Δ
Ζέφυρος γὰρ λεῖος ἄνεμος.

42 Ζεῖ: βράζει. καὶ Ὅμηρος· ὡς δὲ λέβης ζεῖ. ἀπὸ τοῦ ζέω ῥήματος. Δ

43 Ζειά: εἶδος κριθῆς. Δ

34 cf. Ambr. 51, Stud. An. 269; Et. M. 409, 28 35 l. = L 36 = P, Et. Gen. cf. H, Eust. I. 401, 12 38 — κύριον = Ambr. 39 Ἀριστοτέλης—ζωγράφον Harp. = P 39 — vs. 17 ὀρνέων = Preger 154, 8—17 vs. 17 Ζεὺς sq. cf. Paroem. ed. Gsf. 53, n. 460, Zen. IV 11; fr. com. ad. 545 40 = P 41 — Ζεφύρου cf. H = sch. η 119; Ζεφυρία πνοή = L. Ζεφύριον πνεῦμα = Ambr. 55, Ps. Herodian. 40. Ζέφυρος sq. cf. P, Ba 246, 24; Et. M. 408, 43 = H; Ambr. 42, L 42 — βράζει = Ambr. 60, Ps. Herodian. 41. Ὅμηρος Φ 362. Ζέω sq. cf. Ambr. 58 43 = Choer. An. Ox. 2, 215, 17, Herodian. gr. 1, 285, 9 cf. Ambr. 49 = Et. M. 410, 12; Ps. Herodian. 41, H

34 Z 954 36 Z 953 37 ex v. Χριστόδωρος 1 38 Z 953. οὗτος sq. ex v. A 2492 39 sch. B in A 175. Z 953. Prov. cf. v. A 4076 40 cf. v. K 2523 41 Z 954 42 Z 955

2 Ζευξίθεος V 36 om. F 37 om. FV 4 Χριστόδωρος Bas.: Χρηστόδωρος omnes A(GITFVM) 6 Ζεῦξις—κύριον om. F Ἀριστοτέλης] ἄριστος T Harp. ep. 7 Ἰσοκράτην V cp. AF ζωγράφος T Harp. ep. οὗτος—8 ῥόδοις om. FV 9 τούτου AF sch. B: τοῦτο GIVM γυμνὰ—20 ἐπεξιέναι om. F 12 τὰ om. A γυμναὶ V 16 δηλοῖ om. V Preger πνευμάτων] πρῶν A ὁ om. V Preger 19 φησι V 21 ταμηΐοις AF 24 Ζέφυρος] Ζεφύριος A 25 δὲ] καὶ V ἰζέω V 25. 26 ῥήματος om. V

Σ 44 Ζείδωρον: τὴν τὰ πρὸς τὸ ζῆν δωρουμένην. ἔστι καὶ ἡ γῆ. καλεῖται δὲ καὶ βιοδώρα καὶ φερέσβιος.

Δ 45 Ζειπύτης: ὄνομα κύριον.

Harp. 46 Ζειρά: ἤτοι ειρά, ὥς τινες. ἢ ἔνδυμά τι, ὃ ἐπενδύοντο μετὰ τοὺς χιτῶνας, ὥσπερ ἐφαπτίδας.

Σ 47 Ζειραί: χιτῶνες ἀνακεκολαμμένοι, ἢ ἀνάκολοι. ἢ μίτρα. Ἡρό-

Hdt. δοτος.

Σ | 48 Ζῆ: ἀντὶ τοῦ ζῆθι. Εὐριπίδης. καὶ ἀντὶ τοῦ ζέει. Ζῆ

Prov. χύτρα, ζῆ φιλία, ἐπὶ τῶν δείπνῳ συνιόντων εἰς φιλίαν. καὶ Ζῇ, ἀντὶ τοῦ ὑπάρχει, βιοῖ.

Δ 49 Ζήβ: ὄνομα κύριον, Ἑβραϊκόν.

Δ 50 Ζήβυρες: ὄνομα ἔθνους.

Δ 51 Ζήθης καὶ Ζῆθος: ὀνόματα.

Suid. 52 Ζῆθος καὶ Ἀμφίων: ὀνόματα. καὶ ζήτει ἐν τῷ Ἀντιόπῃ.

Prov. 53 Ζῆ· καῖε πῦρ: ἐπὶ τῶν μόλις γενομένων.

Δ 54 Ζηλήμων: ὁ ζηλούμενος.

Δ 55 Ζηλίτης: ὄνομα κύριον.

Soph. 56 Ζῆλος· Σοφοκλῆς· ἴδε τὴν ὁμευνέτιν Αἴαντος, ὃς μέγιστον ἴσχυσε στρατοῦ, οἵας λατρείας ἀνθ' οἵου ζήλου τρέφει.

Greg. 57 Ζῆλος: ἀγαθοῦ τινος ἐπιθυμία φθόνου τινὸς χωρὶς ἐγγινομένη τῇ ψυχῇ. οἷον, ἔχει τις ἀνδρείαν, ζηλῶ τοῦτον τῆς ἀρετῆς· τουτέστιν ἐπιθυμῶ κτήσασθαι τὸ καλόν, μὴ φθονήσας τῷ κεκτημένῳ, ἀλλὰ κἀγὼ

E βουλόμενος ἀνδρεῖος εἶναι. Ἀππιανός· Δεντάτῳ κατὰ ζῆλον ἀρετῆς εἵπετο νέων λογάδων πλῆθος ὀκτακοσίων ἐπὶ πάντα τὰ ἔργα ἕτοιμοι· καὶ βαρὺς ἦν τῇ βουλῇ παρὰ τὰς ἐκκλησίας.

Σ 58 Ζηλοτυπία: ζῆλος ἐξ ὑπονοίας, τοῦ ἀνδρὸς κατὰ τῆς οἰκείας

E γυναικὸς εἰς ἕτερον ἀσελγῆ ὑπόνοια. Ἰάμβλιχος· ἡ δὲ μεστὴ μὲν ἦν καὶ τῆς ἔμπροσθεν ζηλοτυπίας, προσείληφε δὲ καὶ τὴν ἀπὸ τῆς

44 — δωρουμένην = P, Ba 246, 22 cf. Choer. An. Ox. 2, 215, 22, ex quo Et. M. 410, 5 = H; Ap. S. 81, 2, sch. B 548, Ambr. 48 γῆ sq. Artem. 2, 39, p. 145, 1; γῆ = L cf. H, sch. B 548, Ap. S. 81, 2 46 Harp. = P cf. Bk. 260, 31 47 — ἀνάκολοι = P, Lex. rhet. ap. Et. Gen. et Et. M. 410, 20; — ἀνακεκολαμμένοι = Tim. cf. H μίτρα gl. Hdt. 7, 69 = H 48 — Εὐριπίδης (Iph. T. 699) = P, Bk. 97, 29 cf. sch. Soph. Ant. 1169, Et. M. 410, 43 vs. 8. 9 Ζῆ χύτρα— 9 φιλίαν = Paroem. ed. Gsf. p. 53, n. 461, Zen. IV 12 49 — κύριον = Ambr. 67 50 = L cf. Ambr. 84 51 = Ambr. 66 et 64 53 = Paroem. ed. Gsf. 53, n. 463 54 l. cf. Ambr. 80 55 = Ambr. 68 56 Soph. Ai. 501—3 57 — εἶναι sch. Greg. Ann. 152 cf An. Ox. 2, 480, 3 et PG 36, 1228 a Δεντάτῳ sq. App. Samn. fr. 5 58 — ὑπόνοια = P, Ba 246, 25; — ζῆλος = Ambr. 90 vs. 27 ἡ—p. 505, 3 γεγυμνάσμεθα Iambl. fr. 24

44 cf. v. B 290 48 Prov. cf. 96 49—50 Z 955 56 cf. vv. I 42 et Λ 146 58 Z 957. Polyb. cf. v. A 1056

A (GITFVM) 1 Ζείδωρον: τὴν] Ζείδωρος: ἡ T sch. Hes. Ambr. τὰ—ζῆν] τὰς ζειὰς V Ambr. cf. Et. M. 410, 6 δωρουμένη T sch. Hes. Ambr. καὶ A: δὲ rell. 4 ἐπεδύοντο A 8 Ζῆ alt.] Ζεῖ ed. pr. cf. 96 et Paroem.; nov. gl. GITF 52 om. FV 14 καὶ—Ἀντιόπῃ om. A 15 γινομένων ed. pr., Paroem. 18 ὁμευνέτην AI, v. l. v. I 42 21 ἔχειν A 24 ὀκτακοσίων om. GITM 26 οἰκείας] ἰδίας V

πράξεως εὐτολμίαν. ὡς οὖν ἐλάβετο τῆς ὁδοῦ, ὁ μὲν πρῶτος ἀγών, ἔφη, διηγώνισται· ἐχώμεθα δὲ καὶ τοῦ δευτέρου. καὶ γὰρ ἐν καιρῷ γεγυμνάσμεθα. καὶ Πολύβιος λέγει· τοῖς γὰρ πλείστοις ὑπερεγεγόνει E
τὶς ζῆλος ἐκ τῆς τῶν ἄλλων ἀλαζονείας καὶ τῆς ἀκαιρίας· ἐσπούδαζον γὰρ τὰς ἀκολουθίας καὶ τὰς ἐσθῆτας διαφερόντως. καί τις ἦν περὶ τοὺς πλείστους καλλωπισμὸς ὑπερέχων τὴν ἐκ τοῦ βίου χορηγίαν· ὅπλων δὲ οὐδὲ τὸν ἐλάχιστον ἐποιοῦντο λόγον.

59 Ζηλοτυποῦν· αἰτιατικῇ. Αἰσχίνης, ἀντὶ τοῦ μισοῦν· ζηλοῦν γὰρ Harp.
τὸ μακαρίζειν, ζηλοτυπεῖν δὲ τὸ εἰς ἀπέχθειαν ἐληλυθέναι.

60 Ζήλου· αἰτιατικῇ. μισοῦ. Σ

61 Ζηλοῦν· Σοφοκλῆς· καίτοι σε καὶ νῦν τοῦτό γε ζηλοῦν ἔχω, Soph
ὅθ' οὕνεκ' οὐδὲν τῶνδ' ἐπαισθάνῃ κακῶν. ἐν τῷ φρονεῖν γὰρ μηδὲν ἥδιστος βίος. τὸ μὴ φρονεῖν γὰρ κάρτ' ἀνώδυνον κακόν, ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθῃς.

62 Ζηλῶ· δοτικῇ. ζηλῶν ἐζήλωκα τῷ κυρίῳ. αἰτιατικῇ δέ, ζήλωσον Πέτρον. Synt.

63 Ζηλῶ: μακαρίζω. Ἀριστοφάνης Θεσμοφοριαζούσαις· οὐ ζηλῶ Σ
σε τῆς παιδεύσεως. ζηλῶ σε τῆς εὐβουλίας, μᾶλλον δὲ τῆς εὐωχίας, Ar.
ἄνθρωπε, τῆς παρούσης. καὶ πάλιν· ζηλῶ σε τῆς εὐγλωττίας. ἀντὶ τοῦ τῆς γραφῆς, τῆς κατηγορίας. καὶ αὖθις· ζηλῶ σε τῆς εὐωχίας, τὸν πρεσβύτην, οἵων μετέστη ξηρῶν τρόπων καὶ βιοτῆς. ἕτερα δὲ νῦν ἀντιμαθών.

64 Ζηλώματα: ζηλοτυπίας. κώμους καὶ τὰ νέων ζηλώματα καὶ τὰ Σ + Anth.
ποθεύντων κνίσματα καὶ μύστην λύχνον ἀπειπαμένη.

65 Ζηλῶσαι: μιμήσασθαι. Ἡρόδοτος· ὧν εἴ τις παρ' ἡμῖν ζηλῶσαι τὴν δίαιταν ἐπιχειρήσει, οὐδὲν ἄμεινον διακείσεται τῶν τὸ κώνειον προσενεγκαμένων ἢ τὴν ἀκόνιτον ἢ τὴν ἑλλέβορον.

66 Ζηλωταί: παρὰ Ἰουδαίοις οἱ τοῦ νόμου φύλακες. Ἄνανος ἀποκλείσας τοὺς Ζηλωτὰς εἰς τὸ ἱερὸν καὶ φρουρὰν αὐτοῖς ἐπιστήσας E
παρεκάθητο.

67 Ζηλωτός: μακαριστός, ἐπαινετός. Σ

58 vs. 3 τοῖς sq. Polyb. 11, 8, 4 59 αἰτιατικῇ cf. Synt. Laur. Αἰσχίνης (3, 211) sq. Harp. = P, An. Ox. 2, 495, 26 60 μισοῦ = P, Ba 247, 1, Ambr. 97, H 61 Soph. Ai. 552—5 62 cf. An. Ox. 4, 293, 7, Synt. Laur. et Gud.; ζηλῶν—κυρίῳ 3 Reg. 19, 14 63 — μακαρίζω = P cf. H sch. Soph. Ai. 552, Moer. 197, 25 οὐ—παιδεύσεως Ar. Th. 175. vs. 17 ζηλῶ—18 παρούσης Ar. Ach. 1008—10. vs. 18 ζηλῶ—19 κατηγορίας Ar. Eq. 837 c. sch. vs. 19 ζηλῶ sq. Ar. Vsp. 1449—52 64 — ζηλοτυπίας cf. Moer. 197, 23 κώμους sq. Anth. 7, 219, 5—6 65 ὧν sq. Iul. ep. 155 cf. Byz. Zt. 21, 417 sq. 67 = P, Ba 247, 2 cf. H, Ambr. 61

59 Z 958 60 cf. 65. Z 958 61 cf. v. K 425 Z 958 63 Ar. Vsp. cf. v. οἵ 2 64 cf. v. K 1878 65 cf. 60 et v. H 536 66 cf. v. A 1975. Z 956

2 διηγώνιστο GI διήνυστο T ἐχόμεθα F καὶ pr. om. V 61 non A (GITFVM) nov. gl. V 62 om. FV mg. A 15 ζηλῶν om. A, An. Ox. 20 οἵων] οἵ με A οἵ s. v., Ar. 22 νέα V 26 ἢ pr.] καὶ V

Ar. 68 Ζηλωτότατον: μακάριον. Ἀριστοφάνης· ζηλωτότατον βίον ἀνθρώπων διάξεις.

Δ 69 Ζημία: ἡ στέρησις.

Synt. 70 Ζημιῶ· δοτικῇ. ἐζημίωσε χρήμασιν. αἰτιατικῇ δέ, πῶς μὴ τὰ μέγιστα ζημιώσω τοὺς παρόντας;

Δ 71 Ζήν, Ζηνός, Ζηνί.

Suid. 72 Ζῆν καὶ Ἀποζῆν: ζῆν μὲν τὸ μετὰ τρυφῆς καὶ πολυτελείας, ἀποζῆν δὲ τὸ εὐτελῶς ζῆν. καὶ ζήτει ἐν τῷ ἀποζῆν.

Hesy. 73 Ζηνόβιος, σοφιστής, παιδεύσας ἐν Ῥώμῃ ἐπὶ Ἀδριανοῦ Καίσαρος. ἔγραψεν Ἐπιτομὴν τῶν παροιμιῶν Διδύμου καὶ Ταρραίου ἐν βιβλίοις τρισί, Μετάφρασιν Ἑλληνικῶς τῶν Ἱστοριῶν Σαλουστίου τοῦ Ῥωμαϊκοῦ ἱστορικοῦ καὶ τῶν καλουμένων αὐτοῦ Βελῶν, Γενεθλιακὸν εἰς Ἀδριανὸν Καίσαρα· καὶ ἄλλα.

Hesy. 74 Ζηνόδοτος, Ἐφέσιος, ἐποποιὸς καὶ γραμματικός, μαθητὴς Φιλητᾶ, ἐπὶ Πτολεμαίου γεγονὼς τοῦ πρώτου, ὃς καὶ πρῶτος τῶν Ὁμήρου διορθωτὴς ἐγένετο καὶ τῶν ἐν Ἀλεξανδρείᾳ βιβλιοθηκῶν προῦστη καὶ τοὺς παῖδας Πτολεμαίου ἐπαίδευσεν.

Hesy. 75 Ζηνόδοτος, Ἀλεξανδρεύς, γραμματικός, ὁ ἐν ἄστει κληθείς. Πρὸς τὰ ὑπ' Ἀριστάρχου ἀθετούμενα τοῦ ποιητοῦ. ἔγραψε Πρὸς Πλάτωνα περὶ θεῶν, Περὶ τῆς Ὁμηρικῆς συνηθείας, Λύσεις Ὁμηρικῶν ἀπορημάτων, Εἰς τὴν Ἡσιόδου Θεογονίαν, καὶ ἄλλα συχνά.

Δ 76 Ζηνόθεμις: ὄνομα κύριον.

Hesy. 77 Ζήνων, Τελευταγόρου, Ἐλεάτης, φιλόσοφος τῶν ἐγγιζόντων Πυθαγόρᾳ καὶ Δημοκρίτῳ κατὰ τοὺς χρόνους, ἦν γὰρ ἐπὶ τῆς οη' Ὀλυμπιάδος, μαθητὴς Ξενοφάνους ἢ Παρμενίδου. ἔγραψεν Ἔριδας, Ἐξήγησιν τῶν Ἐμπεδοκλέους, Πρὸς τοὺς φιλοσόφους περὶ φύσεως. τοῦτόν φασιν εὑρετὴν εἶναι τῆς διαλεκτικῆς, ὡς Ἐμπεδοκλέα τῆς ῥητορικῆς. καθελεῖν δὲ θελήσας Νέαρχον, οἱ δὲ Διομέδοντα, τὸν Ἐλέας τύραννον, ἑάλω. καὶ ἐρωτώμενος ὑπ' αὐτοῦ τὴν γλῶτταν αὐτοῦ ἐνδακὼν καὶ ἀποτεμὼν προσέπτυσε τῷ τυράννῳ. καὶ ἐν ὅλμῳ βληθεὶς συνετρίβη πτισσόμενος. διαφέρει δὲ Ἐλεάτης καὶ Ἐλαΐτης.

68 l. cf. Ambr. 82. Ζηλωτότατον sq. Ar. Nu. 464 69 = Ambr. 92 70 — αἰτιατικῇ cf. Bk. 146, 15—6, 22—3, Synt. Laur. αἰτιατικῇ sq. cf. An. Ox. 4, 293, 6, Synt. Gud. ἐζημίωσε χρήμασιν fort. Cass. D. I p. 60, 3 vel Isocr. 15, 129 71 — Ζηνός = Ambr. 69 75 cf. Porphyr. in Il. ed. Schrader p. 428 sq. 76 = Ambr. 70 77 Hesy. cf. sch. Pl. Alc. 119a, Laert. D. 9, 25—27, 29

68 Z 956 69 Z 957 72 ex v. A 3303 74 Z 956 77 διαφέρει sq. cf. v. Ε 768

A(GIFVM) 68 non nov. gl. V 70 om. FV 72 om. FV post 73 A 7 τὸ pr.] τῶι A 10 ἐν om. V βιβλία γ' V cp. A 11 Ἑλληνικῶν V 12 Βέλλων anon. ap. Voss. Hist. Gr. 15 πρώτου cf. Rohde, Kl. Schr. 1, 127 sq. τῶν del. Bhd. 18 κληθείς] δς add. Daub 19 ἔγραψε del. Flach 20. 21 ἀπορημάτων Ὁμηρικῶν F 23 Τελευτάγρου A 27 τοῦτον] τοιοῦτον V τῆς pr. om. GIM 31 πτισόμενος $A^{ac}I^{ac}$ πισσόμενος V

78 Ζήνων, Μουσαίου, Σιδώνιος, φιλόσοφος Στωϊκός, μαθητὴς Διο- Hesy.
δώρου τοῦ κληθέντος Κρόνου, διδάσκαλος δὲ καὶ αὐτὸς Ζήνωνος τοῦ Κιτιέως. ἔγραψεν Ἀπολογίαν ὑπὲρ Σωκράτους καὶ Σιδωνιακά.

79 Ζήνων, Μνασέου ἢ Δημέου, Κιτιεύς (πόλις δ' ἐστὶ Κύπρου τὸ Hesy
Κίτιον), φιλόσοφος, ὃς ἦρξε τῆς Στωϊκῆς αἱρέσεως. ἐπεκλήθη δὲ καὶ αὐτὸς Στωϊκὸς διὰ τὸ ἐν τῇ στοᾷ τῇ ἐν Ἀθήναις διδάξαι αὐτόν, ἥτις πρώην μὲν Πεισιανάκτειος, ὕστερον δὲ ζωγραφηθεῖσα Ποικίλη ἐκλήθη. μαθητὴς δὲ ἦν Κράτητος τοῦ Κυνικοῦ, εἶτα Πολέμωνος τοῦ Ἀθηναίου. ἐτελεύτησε δὲ ἐτῶν ϛ′ ἀφελὼν ἑκάστοτε τῆς τροφῆς, ἕως ἀτονίᾳ διεφθάρη. ἐχρήσθη δὲ αὐτῷ πυνθανομένῳ περὶ βίου συγχρωτίζεσθαι τοῖς νεκροῖς, ὅπερ ἦν τοῖς ἀρχαίοις διὰ τῶν βιβλίων. Φοίνιξ δ' ἐπεκλήθη, ὅτι Φοίνικες ἔποικοι τοῦ πολιχνίου ἐγένοντο. ἤκμαζεν ἐπὶ Ἀντιγόνου τοῦ Γονατᾶ, ἐπὶ τῆς κ′ καὶ ρ′ Ὀλυμπιάδος. καὶ παροιμία, Ζήνωνος ἐγκρατέστερος. οὗτος γὰρ ἄκραν εἶχε δίαιταν καὶ λιτὴν ὥστε καὶ εἰς παροιμίαν χωρῆσαι. φιλοσοφίαν καινὴν γὰρ οὗτος ἐφιλοσόφει. τῷ γὰρ ὄντι πάντας ὑπερεβάλετο τῷ τε εἴδει καὶ σεμνότητι καὶ νὴ Δία μακαριότητι. καὶ δὴ η′ πρὸς τοῖς ϛ′ βιοὺς ἔτη κατέστρεψεν ἄνοσος καὶ ὑγιὴς διατελέσας.

80 Ζήνων, Διοσκορίδου, Ταρσεύς, ὡς δέ τινες Σιδώνιος, φιλόσοφος, Hesy.
μαθητὴς Χρυσίππου τοῦ Ταρσέως, φιλοσόφου Στωϊκοῦ, καὶ διάδοχος.

81 Ζήνων, Κιτιεύς. εἰ δὲ ῥήτωρ τις ἦν ἢ φιλόσοφος, ἄδηλον. Hesy.
ἔγραψε Περὶ στάσεων, Περὶ σχημάτων, Ὑπόμνημα εἰς Ξενοφῶντα, εἰς Λυσίαν, εἰς Δημοσθένην, Περὶ ἐπιχειρημάτων.

82 Ζήνων, Ἀλεξανδρεύς, ἀνὴρ Ἰουδαῖος μὲν γεγονώς, ἀπειπάμενος δὲ δημοσίᾳ πρὸς τὸ φῦλον τῶν Ἰουδαίων, ὡς παρὰ σφίσι νενόμισται τὸν λευκὸν ὄνον ἐν τῇ ἀργούσῃ ἡμέρᾳ διὰ τῆς καλουμένης αὐτῶν συναγωγῆς ἐλασάμενος. οὗτος ὁ Ζήνων ἐπιεικὴς μὲν ἦν φύσει καὶ ἱερός, ἀλλὰ νωθέστερος ἐν λόγοις καὶ μαθήμασιν, ἐφιέμενος μὲν ἀεί τι μανθάνειν καὶ ἐρωτῶν, ὅ τι ἂν ἀγνοοῖ, πάντα δὲ σχεδὸν ἀγνοῶν. καὶ γὰρ νοῆσαι βραδύτατος ἦν, καὶ τῶν νοηθέντων ὀψέ ποτε προδότης ὑπὸ λήθης ἑτοιμότατος. ἦν δὲ καὶ ἕτερος Ζήνων, τοῦ Πρόκλου ἑταῖ-

79 Hesy. cf. Laert. 7, 1—2 vs. 14 Ζήνωνος sq. Laert. 7, 27—8 80 cf. Laert. 7, 35 82 — vs. 31 ἑτοιμότατος Dam. fr. 141 cf. Byz. Zt. 18, 438, 1. ἦν sq. Dam. fr. 88

79 cf. v. Πεισιανάκτιος, v. A 4420, v. συγχρωτίζεσθαι

2 αὐτοῦ Volkmann 3 Κιτέως A 4 Μνασαίου I Μνασυου G Δημαίου A 5 ὃς—13 Ὀλυμπιάδος] καὶ τὸ ἑξῆς F 6 αὐτὸς] πρῶτος Volkmann 12 ἤκμασεν I ἤκμαζε δὲ V 13 κ′ καὶ ρ′ AGM: ρ′ καὶ κ′ I ρ′ καὶ ε′ V ρκε′ Clinton 13 καὶ—18 διατελέσας post 86 iterum A 13 καὶ παροιμία om. FV 14 Ζήνωνος—18 διατελέσας] Z. ἐγκρατέστερος καὶ τὰ ἑξῆς post 90 F 15 ὥστε—18 διατελέσας om. V 17 καὶ alt.—18 διατελέσας GI, ss. M (cf. Laert.), post 86 A: κατέστρεψε δὲ τὸν βίον ἄνοσος—διατελέσας textu AM 21 εἰ] ἡ A ἢ] ὁ A 22 στάσεως A ad 81 ζήτει περὶ τούτου ἐν τῷ αὖεις M cf. ad 79 24 ἀνὴρ—p. 508, 5 φράζειν om. F ἀνὴρ—30 ἦν] οὗτος ἀνὴρ Ἰουδαῖος νοῆσαι βραδύς, πάντα μὲν ἐρωτῶν, πάντα μὲν ἀγνοῶν V 27 συναγωγῆς ἐλασάμενος ex A solo: lac. in GM 28 ἐφιέμενος—29 τι pr. A: ἐνεργὴς μὲν εἰς τὸ GIM 29 ἐρωτᾶν GI

A(GIFVM

ρος, κατὰ τὸν αὐτὸν χρόνον, τῷ μὲν γένει Περγαμηνός, τῇ δὲ φύσει καὶ αὐτὸς ἐνδεέστερος, τά γε πρὸς ἐπιστήμην· ἐπιεικὴς δὲ καὶ τὰ ἤθη κατηρτυμένος. ὁπότερος δὲ αὐτοῖν ἀφορμὴν τῇ διαστάσει παρέσχετο τῷ Σαλουστίῳ πρὸς τὸν Πρόκλον, οὐκ ἔχω φράζειν.

E 83 Ζήνων, βασιλεὺς Ῥωμαίων, τὴν μὲν ὠμότητα, ἣ ἐκέχρητο Λέων, ἐν τῇ φύσει οὐκ εἶχεν. οὐδὲ τὸ θυμούμενον ἀπαραίτητον αὐτῷ καθειστήκει ἐσάπαξ, οἷον τοῦ Λέοντος διέμενε. καὶ τήν γε προαίρεσιν ἐν πολλοῖς εἶχε φιλότιμον· καὶ ἃ ἔπραττε δόξης ἕνεκεν καὶ τοῦ θαυμάζεσθαι ἔπραττεν, ἐπιδεικτικῶς μᾶλλον ἢ ἀληθῶς. οὐ μὴν οὔτε ἔμπειρος τῶν πραγμάτων ἦν οὔτε εἶχεν ἐπιστήμην, δι' ἧς ἔστιν ἀσφαλῶς τὰς βασιλείας ἰθύνεσθαι. πρὸς δὲ κέρδος καὶ λῆμμα οὐχ οὕτω μὲν ἐμμανῶς ὡς ὁ Λέων διέκειτο· οὐδὲ ἔπλαττε μὴ ὄντα τοῖς κεκτημένοις ἐγκλήματα· οὐ μὴν οὐδὲ παντελῶς κρείττων ὑπῆρχε τοῦ πράγματος. καὶ χρηστῆς ἂν βασιλείας ἔτυχον Ῥωμαῖοι, εἰ μὴ Σεβαστιανὸς ὁ τότε παραδυναστεύων ἦγεν αὐτὸν ἐς ὅπη ἐβούλετο, καπηλεύων ὥσπερ ἐξ ἀγορᾶς ἅπαντα καὶ μηδὲν ἄπρατον ἐῶν ἐν τῇ βασιλέως αὐλῇ διαπράττεσθαι. ἀλλὰ τὰς μὲν ἀρχὰς ἀπεδίδοτο πάσας, ἰδίᾳ μὲν ἑαυτῷ, ἰδίᾳ δὲ λαμβάνων τῷ βασιλεῖ τὰ τιμήματα. καὶ εἰ προσῆλθεν ἕτερος βραχύ τι προστιθείς, ἐκεῖνος ἦν αἱρετώτερος. τῶν δὲ ἐν τοῖς ἀρχείοις γινομένων ἁπάντων οὐδὲν ἦν, ὃ μὴ λαβὼν ἀπεπίπρασκεν. εἰ δέ τινα ἀρχὴν τῶν περὶ αὐτὸν ὄντων ἐχαρίσατο Ζήνων, ὥσπερ πολιτοκάπηλος αὐτὸς ταύτην ὀλίγου παρ' ἐκείνου λαμβάνων, ἄλλοις παρεῖχε τοῦ πλείονος, Ζήνωνι δὲ τὰ κλέμματα παρέχων.

E 84 Ζήνων, βασιλεὺς Ῥωμαίων. ὃς Ζήνωνα τὸν ἑαυτοῦ υἱὸν διάδοχον καταλιμπάνειν θέλων κομιδῇ νέον προῆγέ τε δι' ἀξιῶν καὶ σωμασκεῖσθαι ἐκέλευεν εἰς ἐπίδοσιν τῆς ἡλικίας. οἱ δὲ βασιλικοὶ ἐν ἐξουσίᾳ γενόμενοι τοῦ ἄδην τὰ δημόσια καταναλίσκειν Συβαριτικῶς τὸν νέον κραιπαλᾶν ἐνήργουν καὶ μαστροπεύοντες αὐτῷ τοὺς συνήβους πρὸς τοὺς τῶν ἀρρένων ἔρωτας λυσσᾶν ἐπαίδευσαν ἐκτόπως. διαίτης οὖν ἐν ἡδοναῖς καὶ τύφῳ τιθεμένης τὸ καλὸν ἐθὰς γενόμενος καὶ τὴν ὑποτυφωμένην ἀλαζονείαν ἐπὶ τῇ βασιλικῇ καραδοκίᾳ διὰ τῶν προσώπων ἀπεμφαίνων ἀκροβατεῖν τε ἤρξατο καὶ μετέωρον τὸν αὐχένα

83 Malchi fr. 9, FHG 4, 118a 84 Malchi fr. 9, FHG 4, 118b, 117b

84 cf. vv. A 463, M 270, Δ 885

A(GIFVM) 1 κατὰ] ἀνὰ A τῷ μὲν γένει om.V τῇ—2 ἐπιστήμην om.V 2 δὲ om.V 3 κατηρτυμένας A ὁπότερος—4 φράζειν] τῇ δὲ φύσει καὶ αὐτὸς νωθρός V 4 τῷ ex A solo 5 Ζήνων] ὅτι Ζήνων ὁ V τὴν—p. 509,12 ὁμώνυμον om.F 5 κέχρητο GIM 7 καθεστήκει GIVM διέμεινε GIM 8 ἕνεκε VM 9 ἐπιδεικτικῶς—ἀληθῶς om. V 13 οὐ—14. 15 Σεβαστιανὸς] Σ. δὲ V 15 ἐς ὅπη] ὅποι V 15. 16 καπηλεύων—23 παρέχων] ὃς τῆς ἀρχῆς ἅπαντα ἀπεπίπρασκε καὶ τῷ διδόντι βραχύ τι πλέον ἐκείνῳ ἐδίδου· Ζήνωνι δὲ τὰ κλέμματα παρεῖχε καὶ οὕτως διέφθειρε τὰ Ῥωμαίων V 21 τινα ἀρχὴν] ἀρχήν τινι Bhd. 24 Ζήνων] ἕτερος Z. V διάδοχον om.V 25 θέλων] βασιλ⟨έα⟩ add.V 26 οἱ] οὐ A 28 ἐνήβους V, v. l. v. M 270 29 ἐκτόπως—p. 509.1 ἀνθρώποις om. V 31 ὑποτυφομένην I^{ac} cf. v. Δ 885 31. 32 τοῦ προσώπου ὑπεμφαίνων GIM^{ac} 32 μετέωρα A

αἴρειν καὶ συλλήβδην φάναι, προσέχειν πᾶσιν ὡς οἰκέταις ἀνθρώποις. ἀλλ' ὁ πάντων ἔφορος τὴν φυσικὴν καὶ διδακτικὴν κακότητα αὐτοῦ τεθεαμένος, διαρρεύσαντα τῇ γαστρὶ καὶ ἀναισθήτως ἐπὶ πολλὰς ἡμέρας ἐς τὴν εὐνὴν ἀποπατοῦντα, πρόωρον τῶν ἀνθρωπείων ἐδικαίωσεν ἐκβῆναι. ὅτι Ζήνων ὁ βασιλεύς, πυθόμενος τῶν οἰκείων τὴν ἧτταν E? ἐς φρούριον καταφεύγει ἐπὶ λόφου κείμενον, ὃ Κωνσταντινούπολιν οἱ πρόσχωροι ἐκάλουν. ὅπερ γνούς, τοῖς συνοῦσι στενάξας, θεοῦ παίγνιον, εἶπεν, ἄρα ὁ ἄνθρωπος· εἶγε καὶ ἐμὲ οὕτω παίζειν φιλεῖ τὸ δαιμόνιον. ἐμοὶ γὰρ δὴ οἱ μάντεις τὸν Ἰούλιον μῆνα ἐξ ἀνάγκης ἐν Κωνσταντινουπόλει διατεινόμενοι προὔλεγον. κἀγὼ μὲν ἐνόμιζον ἐς Κωνσταντινούπολιν ἀναβήσεσθαι· νῦν δὲ πάντων ἔρημος καὶ φυγὰς ἐς λόφον ἦλθον, εὑρηκὼς ὁ δείλαιος προσηγορίαν ὁμώνυμον.

85 Ζηνωνίς: ὄνομα κύριον. Ζήτει ἐν τῷ Ἁρμάτος. Δ

86 Ζηρυνθία: ἡ Ἀφροδίτη. καὶ Ζηρύνθιον. καὶ Ζήρινθον Δ ἄντρον, ἐν ᾧ τοὺς κύνας ἔθυον. ἔνθα ἦν τὰ τῶν Κορυβάντων καὶ Ar. τῆς Ἑκάτης μυστήρια. Ζήτει ἐν τῷ ἀλλ' εἴ τις. Suid.

87 Ζῆσαι δὶς λέγουσι καὶ ἀναβιῶναι τὸν Ἡρακλέα, τὸν Τυνδάρεων καὶ τὸν Suid. Γλαῦκον, τινὲς δὲ καὶ τὸν Αἴσωπον.

88 Ζήσειας· Ζήτει ἐν τῷ ἀμυστί.

89 Ζητεῖν: ἐπὶ τοῦ βούλεσθαι τιθέασιν Ἀττικοί. μηδὲ σὺ ζήτει τι Σ πυθέσθαι.

90 Ζήτης: ὁ τοῦ Βορέου παῖς. Δ

91 Ζητήσεται: ἀντὶ τοῦ ζητηθήσεται. Σ

92 Ζητηταί: ἀρχή τις ἦν Ἀθήνησι κατὰ καιροὺς καθισταμένη, πρὸς Σ ἧς ἐμηνύοντο οἱ ὀφείλοντες χρήματα τῇ πόλει καὶ μὴ ἀποδεδωκότες.

93 Ζητητηρίων ὄργανα: τὰ βασανιστήρια. οἱ δὲ προσάγουσι πῦρ E καὶ τὰ τῶν ζητητηρίων ὄργανα. ὁ δὲ τὰ πραχθέντα ἐξεῖπεν.

94 Ζητρεῖον: τὸ τῶν δούλων κολαστήριον. Εὔπολις. Σ

85 — κύριον = L, Ambr. 88 86 — Ἀφροδίτη = Ambr. 93, Stud. An. 269, Et. M. 411, 30, sch. Lycophr. 449. Ζηρύνθιον cf. Ambr. 96 Ζηρίνθον— ἔθυον sch. Ar. Pax. 277 89 = P cf. H; μηδὲ sq. fr. trag. ad. 329 90 cf. Ambr. 73 91 = P 92 = P, Et. Gen., Et. M. 411, 1, Bk. 261, 4 cf. Harp. = P, An. Ox. 2, 495, 28 94 = P cf. Et. Gen. = Et. M. 411, 33; — κολαστήριον = H, Bk. 261, 12; Eup. fr. 348

86 cf. v. A 1164, ex quo ἔνθα sq., et v. Σαμοθράκη. Z 957 87 cf. vv. A 1806 et Al 335 89 Z 958 90 Z 956 91 cf. v. Ε 3684. Z 958 92 Vind. 8 94 cf. 142. Z 957

2 διδακτὴν αὐτοῦ κακότητα V 4 ἐδικαίων GI 5 ὅτι—12 ὁμώνυμον A(GIFVM) hic A: ante 88 GIVM 5 ὅτι Ζήνων AGI: Ζήνων, βασιλεὺς Ῥωμαίων· ὅτι Ζήνων V ζήτει κάτω M, χ mg. et post 5 ἐκβῆναι add. ὅτι Ζήνων ζήτει ἀνωτέρω ἐν σημ⟨είῳ⟩ τοιούτῳ χM πειθόμενος A 7 πρόσχωρες AV 9 ἐμοὶ] ἐμὲ A; recte, siquidem infinitivus desideratur, velut ἔσεσθαι Bhd. δὴ et τὸν om.V ἐν om. A 10 προὔλεγων A^{ac} λείπει ἀπαράθ⟨ε⟩τ⟨ον⟩ ss. M ἐς] ἐν A 13 Ἁρμάτος Kust.: Ἀρβάτος IM 14 Ζηρυνφία AFVM^{ac} Ζηρύνφιον AFVM^{ac} Ζήρυνθον G 15 ἔνθα—16 τις om. FV Zon. 87 om. FV post 84 A 17 λέγεται GI 88 om. AFV 20 Ἀττικοί] οἱ Ἀ. GIM 25 ἧς AFV: οἷς GIM ἦν Phot. Bk. Et. ἀποδιδόντες GIVM^{ac} Bk.

Prov. 95 Ζητῶν γὰρ ὄψον θοἰμάτιον ἀπώλεσα: ἐπὶ τῶν ἀτυχεστάτων.

Prov. 96 Ζῆ χύτρα, ζῆ φιλία: ἐπὶ τῶν διὰ τοῦ δείπνου συνιόντων εἰς φιλίαν.

Σ 97 Ζιβύνη: ὁλοσίδηρον ἀκόντιον, λόγχη, σπάθη.

Δ 98 Ζιβύτης: ὄνομα κύριον.

Δ 99 Ζιζάνιον: ἡ ἐν τῷ σίτῳ αἶρα.

Δ 100 Ζιήλας: ὄνομα κύριον.

Σ 101 Ζινίχιον: τὸ λωρίον τοῦ ὑποδήματος.

Δ 102 Ζίρης, καὶ κλίνεται Ζίρη, Σκυθικῇ φωνῇ.

Δ 103 Ζολιμίηλος: ὄνομα κύριον.

Δ 104 Ζοροβάβελ: ὄνομα κύριον.

Δ 105 Ζοφερά: ἡ σκοτεινή. καὶ Ζοφερὸν ὁμοίως.

Δ 106 Ζοφοδερκίας: ὁ σκοτεινὸς δεῖπνος.

Δ 107 Ζοφώδης ὁ σκοτεινός. καὶ Ζοφοειδής, σκοτεινός.

108 Ζοφομηνία: ἡ ἔκλειψις τῆς σελήνης.

Σ 109 Ζόφον: τὴν δύσιν. οὕτως γὰρ καλεῖται ἡ δύσις, Ζόφος.

Soph. 110 Ζῶ· δοτικῇ. Σοφοκλῆς· οὐ γάρ τι σοὶ ζῶ δοῦλος, ἀλλὰ Λοξίᾳ.

Phil. 111 Ζῶα· ὅτι τὰ ζῶα ἄνω ἔχειν τὴν κεφαλὴν λέγεται, οὐ πάντως ὡς πρὸς τὸ πέριξ λαμβανόμενα, ἀλλ' ὡς ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. καὶ τῶν ἀλόγων τοίνυν ζώων τῶν πλείστων, σχεδὸν δὲ πάντων, ἐπὶ γῆς κεκυφότων, ὡς μηδὲ τῶν ὀπισθίων ἐπὶ τὸ πέριξ ἔχειν τὴν κεφαλήν, ὅμως λέγεται τὰ ἄνω τῶν ζώων μέρη εἶναι κεφαλή τε καὶ τὰ περὶ τὴν κεφαλήν. καὶ ἐπὶ τῶν φυτῶν τοίνυν, ὡς μὲν πρὸς τὰ πέριξ, ἄνω λέγοιντο οἱ κλάδοι καὶ τὰ φύλλα· ὡς δὲ πρὸς τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, καὶ μᾶλλόν ἐστι συμφυές, ἄνω μὲν αἱ ῥίζαι, κάτω δὲ οἱ κλάδοι. διὸ καὶ ἀναλογοῦσι κεφαλῇ καὶ μὴν καὶ στόματι. δι' αὐτῶν γὰρ ὡς διὰ στόματος ἡ τροφὴ χορηγεῖται καὶ διοχετεύεται τῷ σώματι.

95 = Zen. IV 13 96 cf. ad 48 97 = P, Ba 247, 3, H; — ἀκόντιον = Ambr. 112 cf. Ps. Herodian. 40 98 = Ambr. 109 99 cf. Ambr. 113 100 cf. Ambr. 108, L 101 = P v. σφαιρωτήρ, Ba 377, 10 102 cf. L, Ambr. 107 103 cf. Ambr. 119; l. cf. L 104 = Ambr. 118, Ps. Herodian. 41 105 — σκοτεινή = Ambr. 120 cf. H = Ap. S. 81, 4 106 = L cf. Ambr. 117, H 107 = Ambr. 115 et 116 cf. Byz. Zt. 16, 62 vs. 4 108 cf. Ambr. 122; H = Bk. 261, 22 109 — δύσιν = P, Ba 247, 4 cf. Apion, sch. κ 190, Et. M. 412, 45. οὕτως sq. cf. Ap. S. 81, 5 = H 110 δοτικῇ = Synt. Gud. et Laur. οὐ sq. Soph. OT 410 111 Philop. 276, 23—29 cf. 6—21

96 cf. 48 97 cf. v. κιβύνη. Z 959 101 cf. v. σφαιρωτήρ. Z 959 102 Z 959 103—8 Z 960

A(GIFVM) 95 non nov. gl. A 96 om. GI 3 Ζῆ pr. AFM^{ac}: Ζεῖ VM^{pc} cf. 48 συνόντων F 5 Ζηβύνη FV 10 Ζίρης] ὁ Ζ. V Ζίρη F Ζίρη] τοῦ Ζίρη V Ζίρης F ρη A 11 Ζολιμίηλος AFV Zon.: Ζομίηλος GIM, L 13 ἡ et ὁμοίως om. V 14 Ζοφοδορπίας GIM Zon. cf. An. Ox. 2, 20, 10 15 Ζοφοειδής] Ζοφοοιδής A Ζοειδής F 17 Ζόφος om. F 18 τι] τοι GI 21 ζῴων] πάν add. F 24 περὶ om. GIM τὰ] τὸ Kust. 25 λέγοιντ' ἄν ed. pr. δὲ] γὰρ V

112 Ζωάγρια καὶ Ζώγρια: δι' ὧν λύτρων τὸ ζῆν περιγίνεται. Σ+x
Ζωάγρια γὰρ τὰ τῆς ζωῆς χαριστήρια. Hom.
113 Ζωαρκῆ: τὰ πρὸς ζωὴν ἀρκοῦντα. καὶ Ζωαρκὲς ὁμοίως. Σ Δ
114 Ζωάς, καὶ τὸ πληθυντικὸν τῶν ζωῶν. Δ
115 Ζωβία: ὄνομα κύριον. ζήτει ἐν τῷ Ἀριστογείτων Σκυδίμου. Δ?
116 Ζωγράφος. καὶ Ζωγραφῶ· αἰτιατικῆ. Δ Synt.
117 Ζωγρεῖ· αἰτιατικῆ. ζῶντας λαμβάνει. καὶ Ζώγρει, ζῶντα Σ Δ
φύλαττε.
118 Ζωγρεῖον: εἶδος σπυριδίου. Δ
119 Ζωγρία: τὸ ζῷα ἀγρεύειν. Δ
120 Ζώγρια: δι' ὧν λύτρων τὸ ζῆν περιγίνεται. Προκόπιος· τῷ x+Σ
Χοσρόῃ ζώγρια δόντες τὴν πόλιν καὶ σφᾶς αὐτοὺς διεσώσαντο. E
121 Ζωγρίᾳ λαβεῖν: ἀντὶ τοῦ ζῶντα λαβεῖν καὶ κρατῆσαι. καὶ
Πολύβιος· οἱ δὲ γενόμενοι ζωγρίᾳ κύριοι τοῦ στρατηγοῦ, τοῦτον E
ἀνεσταύρωσαν.
122 Ζωγρίη· Ἡρόδοτος· τὸν δὲ Ἰστιαῖον ζωγρίῃ ἔλαβεν. ἐζωγρήθη E
δὲ ὧδε. ὡς φεύγων κατελαμβάνετο ὑπὸ ἀνδρὸς Πέρσεω, καὶ ὡς
καταιρεόμενος ὑπ' αὐτοῦ ἔμελλε συγκεντηθήσεσθαι, Περσίδα γλῶσσαν
μετεὶς καταμηνύει ἑαυτὸν ὡς εἴη Ἰστιαῖος Μιλήσιος. καὶ αὖθις·
ὑπὲρ δὴ τούτων τούτῳ ζωάγρια ἀποδιδούς, ἥπερ οὖν δυνατὸν ἦν. E
123 Ζῴδιον: τὸ μικρὸν ζῷον. Δ
124 Ζώεσκον: ἀντὶ τοῦ ἐπλούτουν. ἐγὼν ἔτι ζώεσκον.
125 Ζῴη: εὐκτικῶς. Δ
126 Ζωή: παρατήρησις, καὶ μονὴ τῶν ὄντων. ὅτι ἡ ζωὴ καὶ τὸ
ζῆν πολλαχῶς λέγεται, τουτέστι πλειόνων οὐσῶν ψυχικῶν δυνάμεων Phil.
καθ' ἃς τὸ ζῆν ἐγγίνεται, πλείους καὶ αἱ δι' αὐτῶν ζωαὶ καὶ τὸ ζῆν·
οἷον κατὰ νοῦν, κατ' αἴσθησιν, κατὰ τὰ λοιπά. διὸ κἂν ἕν τι τούτων
ὑπάρχῃ τινί, ζῆν λέγεται τὸ μετέχον αὐτοῦ. ὅθεν καὶ τὰ φυτὰ θρεπτι-
κὴν ἔχοντα δύναμιν ζῇ μηδεμίαν τῶν ἄλλων ἔχοντα, μήτε αἰσθητικὴν

112 — περιγίνεται (praeter καὶ Ζώγρια) = P, Ba 247, 11 cf. H Ζωάγρια alt. sch. Σ 407 cf. Ambr. 180 113 — ἀρκοῦντα = P, Ba 247, 10 Ζωαρκές sq. cf. H, Ambr. 174 114 cf. H, aliter Ambr. 162 116 Ζωγράφος = L Ζωγραφῶ sq. = Synt. Gud., An. Ox. 4, 293, 14 cf. Synt. Laur. 117 αἰτιατικῆ cf. An. Ox. 4, 293, 10, Synt. Laur. ζῶντας λαμβάνει = P, Σ^a, H, Et. Gen. cf. Ba 247, 12; Ap. S. 81, 10 = Et. M. 412, 49 Ζώγρει sq. = Ambr. 184, Apion 118 cf. Ambr. 179 et 169 120 τῷ sq. Proc. Bell. 2, 12, 2 121 οἱ sq. Polyb. 1, 79, 4 122 — Μιλήσιος Hdt. 6, 28, 2—29 ὑπὲρ sq. Aelian fr. 95 123 cf. Bk. 98, 3, Ambr. 181 125 = L 126 — ὄντων Artem. 3, 60 vs. 24 ζωὴ sq. Philop. 233, 29—234, 7; 236, 7—12

112 cf. 120. Z 966 113 Z 966 115 Z 964 117 Z 968 118 Z 966
120 cf. 112. Z 966 121 Z 967 123 Z 966 124—5 Z 968 126 Artem. Z 964

2 τῆς ex F sch., Ambr. cod. Ath. 5 Ζωαία GIM 6 καὶ—αἰτιατικῆ A(GIFVM)
om. FV 7 ζῶντα] ζῶντας F με, ζῶντα με GI 10 τὸ] τὰ A διαγρεύειν A
120 om. F 11 λύτρον AVM 16 ἐζωγρίθη FV ἐζωγρίσθη A 18 συγκετη-
θήσεσθαι A συγκεντρηθήσεσθαι G(I)M 26 ἐκγίνεται AF 28. 29 θρεπτικὰ V

μήτε τὴν κατὰ τόπον κινητικὴν μήτε τῶν ἄλλων μηδεμίαν. ὅτι ζῆν μὲν λέγεται τὰ φυτά, οὐ ζῷα δὲ εἶναι. διότι ὥςπερ δρομέας λέγομεν οὐ τοὺς ὁπωςοῦν δρόμου μετέχοντας, ἀλλὰ τοὺς cφοδρῶς καὶ τρανέστερον μετειληφότας τοῦ τρέχειν, οὕτω καὶ ζῷα λέγονται οὐ τὰ ὁπωςοῦν μετέχοντα τοῦ ζῆν καὶ τῆς ζωῆς, ἀλλ' ἐν οἷς τὸ ζῆν καὶ ἡ ζωὴ τρανότερον καὶ περιφανέστερόν ἐστιν.

Prov. 127 Ζωὴ πίθου: ἐπὶ τῶν μετρίως καὶ ταπεινῶς ζώντων, ἀπὸ Διογένους τοῦ φιλοςόφου, ᾧ πίθος ἦν ἡ ἡδίστη καταγωγή.

Σ 128 Ζωήν: τὴν κτῆcιν, τὴν οὐcίαν. διαφέρει δὲ ζωὴ ψυχῆς· ζῇ γὰρ καὶ τὰ φυτά.

Δ 129 Ζωηρός: ὁ ζῶν, καὶ παρέχων ζωήν.

Hesy. 130 Ζωῖλος, Ἀμφιπολίτης (πόλις δ' ἐστὶ Μακεδονίας Ἀμφίπολις, ἥτις πρώην ἐκαλεῖτο Ἐννέα ὁδοί), ὃς ἐπεκλήθη Ὁμηρομάστιξ, ὅτι ἐπέςκωπτεν Ὅμηρον. διὸ αὐτὸν διώξαντες οἱ ἐν τῇ Ὀλυμπίᾳ κατὰ τῶν Σκιρωνίδων πετρῶν ἔρριψαν. ῥήτωρ δὲ ἦν καὶ φιλόςοφος. ἔγραψε μέντοι τινὰ καὶ γραμματικά· Κατὰ τῆς Ὁμήρου ποιήςεως λόγους θ', Ἱcτορίαν ἀπὸ θεογονίας ἕως τῆς Φιλίππου τελευτῆς βιβλία γ', Περὶ Ἀμφιπόλεως, καὶ Κατὰ Ἰcοκράτους τοῦ ῥήτορος, καὶ ἄλλα πλεῖcτα, ἐν οἷς καὶ ψόγος Ὁμήρου.

Soph. 131 Ζῶμα: ἡ ζώνη. Cοφοκλῆς· δὸς αὐτῷ τῆνδ' ἀλιπαρῆ τρίχα καὶ ζῶμα τοὐμὸν οὐ χλιδαῖς ἠcκημένον. τὴν ζώνην λέγων, οὐ τὸ ἔνδυμα.

Ar. 132 Ζωμάλμη: ὄνομα κύριον. ἦν δὲ Θαcία.

Prov. 133 Ζῶμεν γὰρ οὐχ ὡς θέλομεν, ἀλλ' ὡς δυνάμεθα: ἐπὶ τῶν μὴ κατὰ προαίρεcιν ζώντων. κέχρηται Πλάτων ἐν Ἱππίᾳ.

Suid. 134 Ζωμεύματα, ὑποζώματα δέ, τὰ ἑύλα τῆς νηός. ὁ οὖν cκυτεὺc ἀντὶ τοῦ εἰπεῖν ὑποζώματα, πρὸc μάγειρον παίζων εἶπε ζωμεύματα, ὡc ἀρτύcεων ἔμπειρον καὶ ζωμευμάτων.

135 Ζωμήρυcιc: μαγειρικὸν ἐργαλεῖον. ἐν Ἐπιγράμμαcι· ζωμήρυcίν τε τὴν λίπους ἀφρηλόγον.

Anth.

Σ 136 Ζωμὸc μέλας: ἡ λεγομένη αἱματιά.

Phil. 137 Ζῶναι· ἐπὶ γῆς ε'. βόρειος ὑπὲρ τὸν ἀρκτικὸν κύκλον, ἀοίκητος

127 = Zen. IV 14 128 — οὐcίαν = P, Ba 247, 13 cf. H 129 — ζῶν = Ambr. 136 130 — ὁδοί cf. Steph. Byz. v. Ἀμφίπολις 131 Soph. El. 451—2 c. sch. cf. Bk. 261, 24 132 cf. sch. Ar. Ach. 671 133 = Zen. IV 16; Pl. Hipp. mai. 301 c 135 ζωμήρυcίν sq. Anth. 6, 101, 5 136 = P cf. Poll. 6, 57 137 Laert. 7, 156

128 Z 964—5 129 Z 963 130 Z 963 131 cf. v. A 1239 132 cf.' v. Θαcίαν. Z 965 134 ex v. ὑποζώματα 135 Z 965 136 Z 964 137 Z 965

A(GITFVM) 5 ἐν om. A 12 Ἀμφίπολις—19 Ὁμήρου] καὶ τὰ ἑξῆς F 15 Σκειρωνίδων GI^{ec}T^{ac}M^{ec} ἔρριψαν AV: ἐξέπεμψαν T om. GIM ἔγραψα A 17 τῆς om. V 18 καὶ alt.—19 οἷς om. V 19 ψόγον V 22 Θαcία] Θαλαccία F 24 τῶν κατὰ μὴ V 134 om. FV 29 λίπους AMγρ Zon. Anth.: κρέους FV κρέως GITM^{ac}

διὰ ψῦχος· εὔκρατος· καύματος, ἡ καλουμένη διακεκαυμένη· ἀντεύκρατος· νότιος, ἀοίκητος διὰ καῦμα.

138 Ζωναῖνος· ἔγραψεν ἐρωτικὰς ἐπιστολάς, καὶ περὶ τοῦ σφαιρίζειν. φέρονται δὲ αὐτοῦ καὶ ἕτεραι ἐπιστολαὶ ἀγροικικαί, ἀλλ' ἀποπίπτουσι τοῦ χαρακτῆρος. Hesy.

139 Ζώνη: πορφυροῦν ἱμάτιον. Ἡρόδοτος. Hdt.

140 Ζώνη: τροπικῶς ἡ δύναμις. ἐπειδὴ ὁ ἐζωσμένος εὐσταλέστερός ἐστι πρὸς τὴν πρᾶξιν. Thdr.

141 Ζώνη: τὸ ἀξίωμα. ἀναζητουμένους τῆς βασιλίδος ὠθεῖσθαι οὐ μόνον ἰδιώτας, ἀλλὰ καὶ τοὺς ὑπὸ ζώνην. καὶ Αἰλιανός· καί πως τὴν ζώνην τοῦ χρυσίου, ἣν ἐπήγετο ὁ ξένος, ὁ πανδοκεὺς ἐθεάσατο καὶ παραχρῆμα ἐποφθαλμιᾷ. λύσις ὀνείρου· ζώνη κοπεῖσα τὴν ὁδὸν λύει τάχος. E E On.

142 Ζώντειον: κολαστήριον οἰκετῶν. Δ

143 Ζώννυσθαι: καθοπλίζεσθαι. καὶ Ζωννύω· αἰτιατικῇ. Σ Synt.

144 Ζωογονῶ· αἰτιατικῇ. Synt.

145 Ζωοδότειρα: ζωὴν παρέχουσα. Σ

146 Ζωοδότης: ὁ ζωὴν πᾶσι διδοὺς ἀγαθὸς θεός.

147 Ζωοποιῶ· αἰτιατικῇ. Synt

148 Ζωὸς γενήσῃ κρομμύου μόνον λαβών: πρὸς τοὺς ἀπὸ μικρᾶς αἰτίας μεγάλας δόξας καρπουμένους. Prov

149 Ζώων: μετοχή. ζῶν. ζώων μὲν σέο ματρὶ διαμπερὲς αἶσχος ἀνάπτεις καὶ κρατερῆς πάτρης πάτρια θεσμὰ λύεις. Δ? Anth.

150 Ζώπυρα: τοῦ ζῆν ποιητικά. Σ

151 Ζώπυρα: φυσητῆρες, ὅθεν οἱ χαλκεῖς τὸ πῦρ φυσῶσιν. Σ

152 Ζώπυρα: λείψανα. Σ

153 Ζωπυρεῖ: ἀναζῆν ποιεῖ, ἢ ἐκκαίει. Σ

154 Ζωπυρῆσαι: ἀναθάλψαι. ἐκ μεταφορᾶς ἀπὸ τοῦ πυρός, ἐπὶ Δ

139 gl. Hdt. 7, 69 140 Thdr. in Ps. 64, 8, PG 80, 1352b 141 vs. 10 καὶ— 12 ἐποφθαλμιᾷ Aelian. fr. 81 vs. 12 ζώνη sq. Astramps. 142 cf. Ambr. 177, Theognost. An. Ox. 2, 128, 13, ex quo Et. M. 414, 41 143 — καθοπλίζεσθαι = P, Σ^{a}, H, Ambr. 187 cf. Ba 247, 15; sch. Λ 15 = Et. Gen., Et. M. 413, 52, Ap. S. 81, 16 Ζωννύω sq. = Synt. Gud., An. Ox. 4, 293, 12 144 = Synt. Gud., An. Ox. 4, 293, 13 145 = P, Ba 247, 16, H 146 aliter Ambr. 139 147 = Synt. Laur. et Gud., An. Ox. 4, 293, 11 148 = Zen. IV 15 149 ζώων sq. Anth. 9, 397, 3—4 150 Tim. = P 151 = P, Ba 247, 17 cf. H 152 = P 153 = P; — ποιεῖ = Ba 247, 19, Σ^{a}, H, Ambr. 188 154 — ἀναθάλψαι = Ambr. 183 ἐκ pr.—p. 514, 1 Ἀττικοί = P cf. Lex. Rhet. ap. Et. Gen. = Et. M. 413, 7

139—40 Z 965 141 Aelian. cf. v. Ε 2821. Z 965 142 cf. 94. Z 966 143 Z 968 149 Z 970 151 Z 966 153—4 Z 968

1 καύματος] κάματος F cf. Laert. ἑκατέρωθεν μέση ζώνη praemisit T A(GITFVM) ἀντεύκρατος· νότιος] ἀνταρκτικὴ T 2 καῦμα] ψῦχος T ed. pr., Laert. 3 Ζωναῖνος A^{ac} et γρ. mg., GM: Ζωναῖος A^{ac}IFV cf. Sternbach, Comm. Ribbeck. 361 sq. 4. 5 ὑποπίπτουσι AFVM^{ac} 9 ἀναζητουμένης Zon. post βασιλίδος αὐλῆς vel similia suppl. Bhd. 11 ἐπείγετο GITFVM 14 Ζώντιον V 15 καὶ— αἰτιατικῇ om. FV 18 ἀγαθὸς om. V 22 μετοχή ex GIT ss. M 150 om. FV 24 ζεῖν A 151 om. TF, non nov. gl. V 27 ἀναζεῖν AV Σ^{a} 28 ἐπεὶ ed. pr.

Σ τοὺς ἐξ ἀρρωστίας ἀναρωννυμένους λέγουσιν Ἀττικοί. Ζωπυρῆσαι κυρίως ἐστὶ τὸ ἐκ μικροῦ σπινθῆρος φυσῶντα μεγάλην φλόγα ἀνάψαι. καὶ ἐπὶ πολέμου δὲ λέγεται.

Ar. 155 Ζωπυρήσεις: ἀντὶ τοῦ ἀνεγειρεῖς. εἰ μὴ τῷ θεῷ ζωπυρήσεις, λύσω τὴν ἐμαυτῆς υἱόν. καὶ ποιήσω τήμερον τοὺς δημότας βωστρεῖν c' ἐγὼ πεκτούμενον.

Σ 156 Ζωπύρια: φυσητήρια.

Σ 157 Ζώπυρον: πεπυρακτωμένον, ἔνθερμον.

Prov. 158 Ζωπύρου τάλαντα· Ζώπυρος ὁ Πέρσης βασιλεῖ χαριζόμενος μαστιγώσας ἑαυτὸν καὶ τῆς ῥινὸς καὶ τῶν ὤτων ἀφελόμενος εἰσῆλθεν εἰς Βαβυλῶνα καὶ πιστευθεὶς διὰ τὰ περὶ τὸ σῶμα προὔδωκε τὴν πόλιν. ἐκ μεταφορᾶς οὖν εἶπε τάλαντα καὶ ζυγά, οἱονεὶ ἔργα καὶ πράξεις.

Hesy. 159 Ζωροάστρης, Περσομῆδος, σοφός. ζήτει περὶ τοῦτου ἐν τῇ ἀστρονομίᾳ. ὃς καὶ πρῶτος ἦρξε τοῦ παρ' αὐτοῖς πολιτευομένου ὀνόματος τῶν Μάγων. ἐγένετο δὲ πρὸ τῶν Τρωϊκῶν ἔτεσι φ'. φέρεται δὲ αὐτοῦ Περὶ φύσεως βιβλία δ', Περὶ λίθων τιμίων α', Ἀστεροσκοπικά, Ἀποτελεσματικὰ βιβλία ε'.

160 Ζωροάστρης, ἀστρονόμος, ἐπὶ Νίνου βασιλέως Ἀσσυρίων, ὅστις ηὔξατο ὑπὸ πυρὸς οὐρανίου τελευτῆσαι παρεγγυήσας τοῖς Ἀσσυρίοις τὴν τέφραν αὐτοῦ φυλάττειν· οὕτω γὰρ αὐτοῖς ἡ βασιλεία οὐκ ἐκλείψει διαπαντός· ὅπερ μέχρι νῦν πεφύλακται παρ' αὐτοῖς.

Hesy. 161 Ζωρομάσδρης, Χαλδαῖος, σοφός. ἔγραψε μαθηματικὰ καὶ φυσικά.

Δ 162 Ζωρόν: ζωτικόν.

Σ 163 Ζωροπόται: ἀκρατοπόται.

Σ Anth. 164 Ζωρότερον: ἀκρατότερον. ἐν Ἐπιγράμμασι· καὶ ζωρὸν κεράσας ἰσοχειλέα. καὶ Ὅμηρος εἰπών, ζωρότερον δὲ κέραιε, διαφορὰς κράσεων λέγει, ὡς μίγματός τινος στερεμνίους ποιοῦντος τοὺς πίνοντας.

Δ 165 Ζῶς: ἀντὶ τοῦ ζῶν.

Soph. 166 Ζώσας: ἐναργεστέρας, οὐκ ἀπολλυμένας. Σοφοκλῆς· ὡς τοῖσιν

155 Ar. Lys. 682—4 c. sch. 156 = P, Ba 247, 20 157 = P, Ba 247, 21 158 = Zen. IV 9 cf. H 160 cf. [Io. Antioch.] fr. 3 (Exc. Salmas.) FHG 4, 541; Gelzer, Iulius Afr. 1, 79 162 cf. Ambr. 175, sch. I 203 = Et. M. 414, 31 163 = P, Ba 247, 22 cf. H, Ambr. 138 164 — ἀκρατότερον = P, Ba 247, 23, Ap. S. 81, 17, H, Et. M. 414, 31; l. = L vs. 27 καὶ—28 ἰσοχειλέα Anth. 6, 105, 3 vs. 28 Ὅμηρος (I 203) sq. Ath. 1, 10 d (textu pleniori) 165 = L, sch. Є 887 166 Soph. OT 44—5 c. sch.

155 cf. v. B 503 et v. πεκτούμενον. Z 968 157 Z 966 160—1 Z 964 162 Z 967 163 Z 964 164 cf. v. Є 3454. Z 967 165 Z 969 166 Z 966.

A(GIFVM) 1 Ζωπυρῆσαι] nov. gl. GIM 4 ἀνεγερεῖς GIM 5 λύσα A τὴν AM^{mg}: τὸν rell. 12 εἶπε] εἰ περὶ V 14 ζήτει—15 ἀστρονομίᾳ ex GIM 16 ἔτεσι] ει V 17 φύσεως βιβλία] φι in lac. V α'] ἓν M om. V 19 Νίκου A 23 Ζωροβάσδρης V 29 στερεμνοὺς V

ἐμπείροιcι καὶ τὰc ξυμφορὰc ζώcαc ὁρῶ μάλιcτα τῶν βουλευμάτων. τουτέcτι ἐν τοῖc cυνετοῖc τὰc cυντυχίαc καὶ τὰc ἀποβάcειc τῶν βουλευμάτων ὁρῶ ζώcαc καὶ οὐκ ἀπολλυμένας. ἀντὶ τοῦ οὐ cφάλλεται, ἀλλὰ τοῦ ἀποβηcομένου cτοχάζεται καλῶc.

167 Ζωcιμᾶc: ὄνομα κύριον. Δ

168 Ζώcιμοc, Ἀλεξανδρεύc, φιλόcοφοc. Χημευτικὰ πρὸc Θεοcεβίαν τὴν ἀδελφήν· ἔcτι δὲ κατὰ cτοιχεῖον ἐν βιβλίοιc κη′, ἐπιγράφεται δὲ ὑπό τινων Χειρόκμητα· καὶ ὁ Πλάτωνοc βίοc. Hesy.

169 Ζώcιμοc, Γαζαῖοc ἢ Ἀcκαλωνίτηc, cοφιcτής, κατὰ τοὺc χρόνουc Ἀναcταcίου τοῦ βαcιλέωc. ἔγραψε Λέξιν ῥητορικὴν κατὰ cτοιχεῖον καὶ ὑπόμνημα εἰc τὸν Δημοcθένην καὶ εἰc Λυcίαν. Hesy.

170 Ζῶcμα φατεινόν: τὸν χιτῶνα, ἀπὸ τοῦ ζώννυcθαι. ἄλλοι δὲ τὸν θώρακα, οἱ δὲ κυρίωc τὸ ζῶcμα. οἱ Ῥωμαίων ψιλοὶ ἐφαπτίδα εἶχεν ἕκαcτοc αὐτῶν καὶ ζώματα πρὸ τῶν μηρῶν. Σ E

171 Ζώcτειον: ὄνομα τόπου. Δ

172 Ζωcτήρ: ᾧ ἐπάνω τοῦ θώρακοc χρῶνται. Σ

173 Ζῶcτρα: ἐνδύματά τινα ἀνδρῶν, οἷον χιτῶναc βαθεῖc, οἷc ζώννυται ἡ ζώνη. Σ

174 Ζωτεῖcθαι: ζωογονεῖcθαι. Σ

175 Ζωῦφιον. Δ

176 Ζυγάδην: cυνεζευγμένωc. Σ

177 Ζυγάcτροιc· Ξενοφῶν· τὰ δὲ ἄλλα χρήματα παραδεχομένουc ἐc ζυγάcτροιc cτήcαντεc ἐφ' ἁμάξηc κομίζειν, ἵνα ὅπη καιρὸc εἴη διαλαμβάνοιεν ἕκαcτοι τὰ ἄξια. ζύγαcτρον γὰρ ἡ ξυλίνη coρόc. E Σ

178 Ζύγαινα: εἶδοc ἰχθύοc. Δ

179 Ζυγεῖν: τὸ ἐπ' εὐθείαc κεῖcθαι τῷ κατὰ βάθοc cτίχῳ· τοῦτο γὰρ καὶ κυρίωc λέγεται cτίχοc. Tact.

180 Ζυγία: ἡ Ἥρα. Δ

181 Ζυγιανόc: ὁ ζυγόc. Δ

167 = Ambr. 145 170 — ζῶcμα = P et H v. ζῶμα φ. cf. Et. M. 413, 50; — χιτῶνα = sch. Ξ 482; θώρακα = Ambr. 176, Apion cf. Aristarch. ap. Ap. S. 81, 20 = Et. M. 414, 26 171 cf. Ambr. 178 172 = P, Ba 247, 24; H cf. Ap. S. 81, 18 = Et. M. 414, 23 173 = Σ^{a}, P cf. Ba 247, 25, Apion ap. Ap. S. 81, 24, sch. ζ 38, H 174 = P v. ζωφυτεῖcθαι, Ba 247, 27 175 = L cf. Ambr. 181 176 = P, Ba 247, 5 177 — ἄξια Xen. Cyr. 7, 3, 1 ζύγαcτρον sq. = Paus. Att. fr. 188 ex Eust. I. 956, 5; P = Lex. Rhet. in Et. Gen. et Et. M. 412, 30; cf. Ambr. 131, sch. Soph. Tr. 692, H 178 = Ambr. 129 cf. H 179 Tact. 22 180 = H, L, Stud. An. 269 cf. Ambr. 130 181 = Ambr. 125

167—8 Z 964 169 cf. Prooemion 170 extr. cf. v. Ε 3843 171 Z 968 172 Z 964 173 Z 968 174 Z 970 176 Z 963 178 Z 962 179 cf. post litt. Ψ. Z 963 180 Z 962

2 τουτέcτι—βουλευμάτων ex FV sch. 3 cφάλλονται et 4 cτοχάζονται GIM^{oc} A(GIFVM) 6 Χημευτικὰ—8 βίοc om. V 6 Χημευτικὰ Reines. Gsf.: Χειμευτικὰ omnes cf. Phot. Bibl. p. 117a 28 12 φατεινόν] ἴcωc φαεινὸν γράφει add. GI^{mg} ss. M cf. Phot. Hes. 14 εἶχον v. Ε 3843 ζώcματα ed. pr. 23 ἐc] ἐν I ἁμάξαc GIFM 27 κύριοc A λέγεται AG, post litt. Ψ: λέγει IFV cp. M cτίχοc V, post litt. Ψ: cτίχον GIM cp. A cτοίχοc F

Δ 182 Ζυγίζω.

Ar. 183 Ζύγιοι ἵπποι: οἱ ὑποβαλλόμενοι τῷ τοῦ ἅρματος ζυγῷ. τουτέστιν ὁ μέσος ἀριστερὸς καὶ ὁ μέσος δεξιός. καὶ ἁπλῶς ὁ μὴ παράσειρος οὕτως λέγεται.

Σ 184 Ζυγόδεσμος: ὁ ἱμὰς τοῦ ζυγοῦ.

Σ 185 Ζυγομαχεῖ: στασιάζει, ὡς οἱ βόες ἐζευγμένοι. μετῆκται ἡ λέξις ἀπὸ τῆς τῶν βοῶν πρὸς ἀλλήλους μάχης. ἐκεῖνοι γάρ πολλάκις ὅταν ἕλκωσι κάμνοντες, ἐπερείδουσι τὸ βάρος πρὸς ἀλλήλους. κέχρηται Ὑπερίδης.

Ecl. 186 Ζυγομαχεῖν: ἀπὸ τῶν πωλούντων σταθμῷ καὶ διαφερομένων πρὸς τοὺς ὠνουμένους. οἱ δὲ ἀπὸ τῶν ὑποζυγίων ἢ βοῶν ἢ ἵππων ἤ τινων τοιούτων μὴ συμφώνως ἐργαζομένων. Ἡσίοδος· βόε δ' ἐναετήρω ἄρσενε κεκτῆσθαι· τῶν γὰρ σθένος οὐκ ἀλαπαδνόν. οὐκ ἂν τώγ' ἐρίσαντε. Ἡρόδοτος δὲ ἀπὸ τῶν ἐν τοῖς πλοίοις ζυγῶν δύνασθαι εἶναι τὴν λέξιν, ὅταν περὶ τὰς καθέδρας διαφέρωνται οἱ ἐρέται. ζήτει στήλην Ζυγελάτου ἐν τῷ Βασιλική.

Σ 187 Ζυγός: ἐν τοῖς Τακτικοῖς τὸ ἐκ παρεστηκότων ἀλλήλοις πλῆθος. ἐρετικὴ καθέδρα. τὰ τοῖς ζῴοις ἐπιτιθέμενα. καὶ τὸν ζυγὸν ἐν θαλάμῳ. τῶν μουσικῶν ὀργάνων ὁ πῆχυς. τὸ τὰς ἰσότητας διακρῖνον σκεῦος. καὶ αἱ χηλαὶ τοῦ ἐν οὐρανῷ Σκορπίου. καὶ ἡ Ζυγοτρυτάνη δὲ στάσιμον. καὶ ὁ περικείμενος ἱμὰς τοῖς δακτύλοις πλαγίοις ἐπὶ

Ar. τῶν σανδαλίων. Ἀριστοφάνης· τὸ δακτυλίδιον πιέζει τὸ ζυγόν.

Thdr. 188 Ζυγός: ὁ νόμος παρὰ τῇ θείᾳ γραφῇ. καὶ ὁ Χριστός· ἄρατε τὸν ζυγόν μου, ὅτι χρηστός ἐστι, καὶ τὸ φορτίον μου ἐλαφρόν.

Ps. καὶ Ζυγὸν τὴν τοῦ νόμου βαρύτητά φησιν ὁ Δαβίδ.

Δ 189 Ζυγοστάτης καὶ Ζυγοστατῶ.

Σ 190 Ζυγοφορούμενα: ἐν ζυγῷ σταθμιζόμενα.

E 191 Ζυγῷ· γυμνοὺς ὅπλων τοὺς ἄνδρας ζυγῷ καθέκαστον ἀποδυομένους ἐπονειδίστως ἀπελθεῖν προσαναγκάσαντες.

182 = Ambr. 135 183 sch. Ar. Nu. 122 (plenior.) 184 = P, Ba 247, 6 cf. H = Ap. S. 81, 8 185 = P, Et. Gen., Et M. 411, 15; — ἐζευγμένοι = Ba 247, 7. μετῆκται—μάχης cf. Bk. 261, 7; Hyper fr. 245 186 — ἐρέται = An. Ox. 2, 443, 17, Et. M. 412, 21 cf. Et. Gen. 187 — σανδαλίων = P cf. Lex. Rhet. in Et. Gen.; Ζυγοτρυτάνη sq. cf. H, sch. Ar. Lys. 417, Paus. Att. fr. 188 ap. Eust. I. 956, 5 vs. 22 τὸ sq. Ar. Lys. 417 188 — ἐλαφρόν Thdr. in Ps 2, 3, PG 80, 876d; Matth. 11, 29, 30 vs. 25 Ζυγὸν—βαρύτητά = An. Ox. 2, 443, 29 189 Ζυγοστατῶ = Ambr. 133 190 = P, Ba 247, 8 cf. H 191 Exc. Planud. 16, Cass. D. I p. CXVII

188 Z 962 184 Z 961 187 cf. v. K 542 188 Z 961 190 Z 963

A(GIFVM) 1 Ζυγιάζω A 3. 4 παράσυρος GIM 14 Ἡρόδοτος] Ἡρωδιανός Wesseling Ἡρόδωρος H. Stephan. 15 διαφέρωνται IVM^{sc}: διαφέρονται GFM^{ac} Ecl. φέρωνται A 20 Ζυγοτρυπάνη F Ζυγοπρυτάνη V; τρυτάνη add. Phot. cf. Et. 22 σανδαλείων A πιέζοι V τὸ] τὸν IF 25 καὶ—Δαβὶδ om. FV Δαβὶδ in lac. om. GIM 29 ἐπελθεῖν F ὑπελθεῖν GIM^{sc}; App. Samn. 4, 5 contulit Bhd.

192 Ζυγώθριcον: ἴcωcον, ζυγοcτάτηcον. ἔacον τὸ ἀπορούμενον, Ar.
ἔπειτα πάλιν ἀνακόπηcον καὶ οἷον ἀνοίγειν ἀποπειράθητι. τὸ γὰρ
ἀναζυγοῦν ἐcτι τὸ ἔξωθεν ἀνοίγειν τὴν θύραν. οἱ δὲ Ζυγώθριcον,
cυνάρμοcον, cύμπηξον. Ἀριcτοφάνης Νεφέλαις.
193 Ζύγωθρον: ὁ cυνέχων τὰc δύο θύρας μοχλός.
194 Ζυγῶcαι: τὸ ζεῦξαι ζυγῷ. ἥρωc ζυγώcac εὐcθενεcτάτῳ θράcει
ταύρους.
195 Ζυγοί: παρὰ Ἡροδότῳ αἱ καθέδραι. Hdt.
196 Ζύθοc: οἶνος ἀπὸ κριθῆc γινόμενος. Δ
197 Ζύμη: τὸ φύραμα. καὶ Ζυμήτηc ἄρτοc. ὅτι λόγος ἔχει, Δ
ὡc ἀπὸ ϛ′ ὥρας τὰc ιδ′ τοῦ μηνὸc ἡμέρας cάλπιγγος φωνούcηc πᾶc
ἄρτος ζυμωτός, εἴ τιc τοῖc Ἑβραίοιc ὑπελείπετο, πυρὶ καιόμενος
ἠφανίζετο.

192 sch. Ar. Nu. 744 193 aliter L 194 ἥρωc sq. fort. Pisid. 195 cf. gl. Hdt. 1, 24 196 = Ambr. 123, H; — κριθῆc = P, Ba 247, 9 197 — φύραμα = Ambr. 128, H cf. Thom. 378, 7. Ζυμήτηc ἄρτοc = Ambr. 124 cf. Et. Gen., H

192 Z 963 193 Z 962 194 Z 963 197 Z 961

1 Ζυγώθρηcον GIFVM 3 ἀναζυγοῦν] τι add. V Ζυγώθριcον Junger- A(GIFVM)
mann: Ζυγώθρηcον omnes 5 δύο] βω A 9 κριθῶc A κριτῆc F κρήτης V
10 Ζυμίτης GIV cf. Hes. 12 καιόμενοc] ἀφανιζόμενος add. F

Ar. 1 Εἶ, εἶ, εἶ, εἶ, εἶ, εἶ· ἡ ἐπέκτασις τοῦ ει εἰλίσσεται. κατὰ μίμησιν εἴρηται τῆς μελοποιΐας παρὰ Ἀριστοφάνει ἐν Βατράχοις.

2 Εἶ: εὐκτικόν. καὶ κατ' ἐπέκτασιν εἴθε. Πισίδης· εἰ γὰρ ἂν τὸ Περσίδος ἔσβεστο θράσος.

3 Εἶα: παρακελεύσεως ἐπίρρημα.

4 Εἰ ἐπιστολή· εἰ μὲν εἰσακούσαις πρώτη, εἰ δ', ἀλλ' ἀπείη τὸ ἀπευκταῖον, μόνη μοι ἔστω πρὸς σὲ ἡ ἐπιστολή.

Δ 5 Εἶα: συνεχώρει.

Δ 6 Εἶα: χόρτος. Ἧϊα δὲ βρώματα.

Δ 7 Εἰαδότα: ἀρέσκοντα.

Δ 8 Εἰαμενή: ὁ κάθυγρος τόπος.

Δ 9 Εἰανόν: τὸ λεπτόν.

Δ? 10 Εἶαρ: τὸ ἔαρ.

Δ 11 Εἰαρινὸν ἄνθος: τὸ κατὰ τὸν καιρὸν τοῦ ἔαρος.

Δ 12 Εἴασεν: ἀφῆκεν.

13 Εἵατο: ἐκάθητο. ἥμην ὁ παρατατικός· ἧντο, Ἰωνικῶς ἕατο, ποι-
Suid. ητικῶς εἵατο. ἄλλως. ἐῦ, ἔημι, ἕεμαι, ἧμαι, κάθημαι, ἧνται, ἕαται Ἰωνικῶς καὶ πλεοναςμῷ εἵαται, ὡς μέμνηται, μεμνέαται.

Σ 14 Εἴβεσθαι; δακρύειν, στάζειν. καὶ Εἴβει, στάζει. σπήλυγγες
Anth. Νυμφῶν εὐπίδακες, αἱ τόσον ὕδωρ εἴβουσαι σκολιοῦ τοῦδε κατὰ φρέατος.

1 Ar. Ran. 1348 c. sch. plenior. 2 — εἴθε cf. An. Ox. 1, 18, 15 ex quo Et. M. 26, 51, Et. Gud.; sch. Luc. 46, 19 εἰ γὰρ sq. Pisid. fr. 103 3 cf. Choer., An. Ox. 2, 213, 14, ex quo Et. M. 294, 42; Eust. I. 107, 29; l. = Σ^{a}, Ba 207, 29 5 = Ambr. 18 6 cf. H 8 = Ambr. 3, Ps. Herodian. 44 cf. sch. Δ 483, H; Choer. An. Ox. 2, 203, 30 ex quo Et. M. 295, 16, Et. Gud. 10 = Et. M. 294, 53 cf. Choer. An. Ox. 2, 207, 24 ex quo Et. Gud. aliter Ambr. 12, H 11 cf. Ambr. 1, sch. B 89 12 cf. H vv. ἔασεν et εἴασεν, Ambr. 22 13 — εἵατο cf. An. Ox. 1, 126, 32; 130, 27, Et. M. 294, 57; — ἐκάθητο cf. sch. Ω 799, H, Ambr. 25, Choer. Gramm. Gr. 4, 2, 2, 198, 15 14 — στάζειν = Ba 208, 1 cf. H. Εἴβει, στάζει = Σ^{a} cf. sch. T 323, H, Ba 207, 30; Ambr. 58 = Ps. Herodian. 44; Et. M. 295, 21 σπήλυγγες sq. Anth. 6, 253, 1—2

1 cf. v. φάλαγξ 5 Z 637 6 cf. v. H 140 7 cf. v. Ε 4 8 cf. v. ῥειαμενῆ 9 cf. v. Ε 8 10 Z 635 11 cf. v. Ε 13 12 Z 637 13 Z 638; ἄλλως sq. ex v. Ε 14 14 Anth. cf. vv. σπήλυγγες, πρεῶν, πρῶνες. Z 638

A(GITFVM) 2 τῆς] τοῖς A 4 om. ATF mg. VM 6 Εἰ om. V ἀπήει V 9 βρώματος V 14 ἀέρος AI 17 ἄλλως—18 μεμνέαται om. F κλίνεται κανών mg. add. AGTVM 18 μέμνηνται I Bhd. 19 στάζει om. F 20 τόσον AF Anth.: πόσον rell.

15 Εἶ γάρ: εἴθε γάρ. Δ
16 Εἴ γ' ἐθέλεις: εἰ γνώμην ἔχεις, εἰ φρόνιμος εἶ καὶ συνετός. Σ
17 Εἰ δ' ἄγε νῦν: διὸ δή. Σ
18 Εἰδαλίμας: συνετάς.
19 Εἰδάλιμον: τὸ εὐειδές. Δ
20 Εἴδαρ: ἔδεσμα. καὶ Εἴδατα, τὰ βρώματα. Σ Hom.
21 Εἴδαυλος: συνετὸς λογισμός. Δ
22 Εἰδέα· ὅτι Πλάτων διαφόροις ὀνόμασιν ἐπὶ τοῦ αὐτοῦ σημαινο- Phil.
μένου χρῆται. τὴν γοῦν εἰδέαν εἶδος ὀνομάζει καὶ γένος καὶ παρά-
δειγμα καὶ ἀρχὴν καὶ αἴτιον καὶ οὔτε κινούμενον οὔτε μένον καὶ
ταὐτὸ καὶ ἕν καὶ πολλά. καὶ πάλιν ἓν ὄνομα ἐν διαφόροις σημαινό-
μενον. οἷον τὸ φαῦλον, ὃ σημαίνει τὸ ἁπλοῦν καὶ εὐχερές, ὡς Σ
Εὐριπίδης ἐν τῷ Λικυμνίῳ· φαῦλον, ἄκομψον, τὰ μέγιστ' ἀγαθόν.
ἁπλοῦν καὶ ἀπόνηρον λέγων. ἔστι δ' ὅτε τίθεται καὶ ἐπὶ κακοῦ, καὶ
τοῦ τυχόντος. Πλάτων ἐν τῷ περὶ ψυχῆς· φαῦλον πρᾶγμα, ἔφη, Κέβης
ζητεῖς. τεθείη δ' ἂν καὶ ἐπὶ τοῦ τυχόντος, οἷον, φαῦλον πρᾶγμα ἔσται.
τὸ τυχὸν πρᾶγμα. καὶ ἐπὶ τοῦ ἁπλῶς τεθείη ἂν πρὸς τὸ οὕτω τυχόν.
Πλάτων· πρᾶγμα δ' ἔσται, ὡς ἔοικεν, οὐ φαῦλον, οὐδὲ μικρᾶς δεόμενον
ἀρετῆς.
23 Εἰδέα: ἡ μορφή. καλὸς τὴν εἰδέαν εἴ τις καὶ ἄλλος. τὸ Ἰδέα | Δ
οἱ νῦν διὰ τοῦ ι γράφουσιν.
24 Εἰ δέ τῳ: εἰ δέ τινι. Δ
25 Εἰδεχθές: ἄμορφον, ἀπρεπές, μυσαρόν, κεκαπριασμένον, σικχαν- Σ
τόν. καὶ θηλυκὸν Εἰδέχθεια. Δ
26 Εἰδεῖεν: γινώσκοιεν. καὶ Εἰδείη, γινώσκοι, ἐπίσταιτο. Ἀρι- Δ
στοφάνης· ἔρδοι τις ἣν ἕκαστος εἰδείη τέχνην. Δ + Ar.
27 Εἰδείην: εὐκτικῶς· ἀντὶ τοῦ γνοίην. ἔστιν εἰδώς, εἰδότος· Δ

15 = sch. α 255, L, H, Ambr. 139 cf. sch. Pl. Crit. 45d, Moer. 197, 6 17 = Ba 208, 2 (in Π 667) 18 in ω 278 19 cf. Ambr. 189, H, Et. M. 295, 25, sch. ω 278, H 20 — ἔδεσμα = Ba 208, 3 cf. Et. M. 295, 23, sch. Ε 369 Εἴδατα = Ap. S. 63, 23, sch. α 140 cf. H; Ambr. 181 = Ps. Herodian. 46; Et. M. 295, 23 21 = Ambr. 152 cf. Et. M. 295, 30 22 — σημαινόμενον Laert. 3, 64 οἷον sq. cf. ad v. φαῦλον 2, Laert. 3, 63; Eur. fr. 473; Pl. Phaed. 95e; Symp. 213c; Leg. 918c 23 καλὸς—ἄλλος fort. Dam. Ἰδέα sq. cf. Et. M. 295, 38 24 = H, An. Ox. 2, 479, 27, gl. Dionys. PG 4, 25; l. = Σ^{a} 25 — σικχαντόν = Ba 208, 4 cf. H Εἰδέχθεια cf. Ambr. 177 26 — γινώσκοιεν = Ambr. 227 ἐπίσταιτο cf. Ambr. 226. ἔρδοι sq. Ar. Vsp. 1431 27 — εὐκτικῶς cf. Et. Gud. γνοίην = Ambr. 207 vs. 27 ἔστιν sq. cf. Et. Gen., Miller, Mél. 100, Διογ[ενιανός] in Et. M. 296, 36

15 cf. v. Al 19. Z 638 17 Z 649 18 Z 631 19 cf. v. I 87 20 Z 635 21 Z 628 22 cf. v. I 96 et v. φαῦλον 2 23 cf. 40 et v. I 96 26 Ar. cf. v. Ε 2918 27 Z 638

6 τὰ om. F Ap. sch. 8 ὅτι AF: ὁ GITM om. V διαφόρως ὀνό- A(GITFVM
ματα V 9 γοῦν] γὰρ F ἰδέαν TV 11 διαφόρως V cp. M
11. 12 σημαινομένοις I 13 Λικυμνίων M ἀγαθά GITV cp. M 16 πρᾶγμα φαῦλον V 17 δ' ἂν V 20 καλῶς F ἰδέαν GITVM 20 τὸ—21 γράφουσιν om. T mg. AIVM post vs. 8 Εἰδέα F 23 κεκαπρισμένον V^{ac} 23. 24 σικχαντόν A σιχανδόν V 24 θηλυκῶς F 25 γινώσκοι AF: γινώσκει rell. ἐπίσταιτο A: ἐπίστατο F ἐπίσταται rell.

καὶ τὸ εὐκτικὸν ὤφειλεν εἶναι εἴδοιμι, ἀλλ' οὐκ εἰδείην, ἐπειδὴ τὰ ἔχοντα τὴν μετοχὴν εἰϲ ϲ ὀξύτονον, διὰ τοῦ ντ κλινομένην, εἰϲ ην ἔχουϲι τὸ εὐκτικόν, οἷον τυφθείϲ, τυφθείην. αὐτὸ δὲ οὐ κλίνεται διὰ τοῦ ντ, καὶ οὐκ ὤφειλεν εἶναι εἰδείην. ἀλλ' ὥϲπερ τροπῇ τῆϲ μι εἰϲ ην καὶ τοῦ ο εἰϲ ε, εἰδείην. καὶ ἐπειδὴ εἰϲ ην καθαρόν ἐϲτι τὸ εὐκτικόν, ἡνίκα ὦϲι μετὰ περιϲπωμένου ἐνεϲτῶτοϲ, οἷον ποιῶ, ἐὰν ποιῶ, ἢ ἐὰν ἔχωϲι τὴν μετοχὴν εἰϲ ϲ μετ' ὀξείαϲ διὰ τοῦ ντ κλινομένην δαρείϲ, δαρῶ. ἐν οἷϲ οὖν τοῦτο οὔτε μετὰ περιϲπωμένου τόνου ἐϲτι τοῦ ἐνεϲτῶτοϲ οὔτε ἔχει τὴν μετοχὴν εἰϲ ϲ ὀξύτονον διὰ τοῦ ντ κλινομένην, εἰδὼϲ γὰρ εἰδότοϲ, οὐκ ὤφειλε περιϲπᾶϲθαι· ἀλλὰ περιεϲπάϲθη ὡϲ εἴρηται· ἐπειδὴ ἐγένετο τὸ εὐκτικὸν εἰϲ ην καθαρόν.

28 Εἰ δεῖ: ἐὰν χρῇ.

273 Εἰσιτήρια: ἡμέρα ἑορτῆς, ἐν ᾗ οἱ ἐν τῇ ἀρχῇ πάντες προϊᾶσιν, οὕτως ἐκαλεῖτο. ταύτην δὲ τὴν ἡμέραν πρώτην τοῦ ἔτους Ἀθηναῖοι νενομίκασι. Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας· ἡ βουλὴ τὰ εἰσιτήρια ἔθυσεν. συνεστιάθησαν δὲ καὶ τῶν ἐκοινώνησαν οἱ στρατηγοὶ καὶ σχεδὸν εἰπεῖν αἱ ἀρχαὶ πᾶσαι. Σ

274 Εἰσιτήριος: ὁ εἰσόδιος λόγος. Δ

275 Εἰσιτητός: ὁ πορευτός. Δ

276 Εἰς θεῶν ὧτα ἦλθεν: ἐπὶ τῶν οὐ λανθανόντων ἐφ' οἷς ἔπραξαν. Prov.

277 Εἰσθορόντα: εἰσπηδήσαντα. ὅταν ἴδωσιν αὐτὸν εἰσθορόντα τοῖς πολεμίοις, φονῶντα καὶ πεφονευμένον θεάσωνται. E

278 Εἰς καλόν: εὐκαίρως. Σ

279 Εἰς καιρόν: εὐκαίρως. Σ

280 Εἰσκεκριμένον: ἐπείσακτον. · καὶ Εἰσκριθείς, εἰσελθών. Σ|

266 Ar. Ran. 518 c. sch. 267 — εἰσεφθάρη = H, Lex. αἰμ. 623, 45, Et. M. 306, 17 ἀφ'—προσελθόντος + γράφεται—εἰσελθεῖν Ar. Eq. 4 c. sch. εἰςῆλθεν, εἰσεπήδησεν cf. Et. M. 306, 17, Ambr. 2146, Lex. αἰμ. 623, 45 ὁ—αὐτόθι Men. Prot. fr. 41, FHG 4, 242 b = EL 201, 2 λόγος—πόλις Th. Simoc. 5, 6, 8 268 = Ambr. 2171 269 = Ba 210, 25, L cf. H, Ambr. 2144, sch. B 87 270 — εἴσελθε = Ambr. 2145, H. Εἶσιμεν cf. H 271 aliter Ambr. 2107 = Ap. S. 65, 2; sch. Z 264, H 273 cf. Bk. 187, 22; Dem 19, 190 274 = Ambr. 2096 275 = Ambr. 2087 cf. 2122 276 = Zen. III 49 279 = Ba 210, 26, sch. Pl. Prot. 340e 280 — ἐπείσακτον = Ba 210, 27

266 Z 648 267 cf. 254, vv. A 2424, H 509. Z 648 269 cf. 151. Z 648 270 Z 644 273 cf. 152 et 158. Z 643 278 Z 637 274—5 Z 626 277 Z 648 278—9 Z 637 280 cf. 287. Z 643

5 αὐτῇ GI cp. V 6 τῆς] τῆς τε F 7 φορᾶς GI φορὰς V 8 εἰςέρρησε FM 10 καταφορᾷ GI εἰσεφθαρμένοις F 268 om. AF mg. V, extra ord. 14 ὁμοίως om. GI 19 τῆς om. F πρεσβείας GF 26 εἰσθορῶντα I cf. Zon. 27 φονῶντα] φονᾶν τε Bhd. 279 om. GI A(GIFVM)

Ar. 281 Εἰσκεκύκληκεν: εἰσήνεγκεν, εἰσήγαγεν. Ἀριστοφάνης· νὴ τὸν Διόνυσον, ἄπορά γ' ἡμῖν πράγματα δαίμων τις εἰσκεκύκληκεν ἐς τὴν οἰκίαν. ὁ γὰρ γέρων ὡς ἔπιε διὰ πολλοῦ χρόνου ἤκουσέ τ' αὐλοῦ, περιχαρὴς ἦν τῷ πράγματι.

Ar. 282 Εἰσκηρύττεται: καλεῖται ὑπὸ τοῦ κήρυκος.

Prov. 283 Εἰς κόλπον πτύειν: τοῦτο ἐν ἴσῳ τῷ, οὐ μεγαλορημονῶ εὐλαβούμενος.

Σ 284 Εἰς κόπρον θυμιᾷς. ἐπὶ τῶν ἀνηνύτων καὶ μὴ ὄντων λέγεται
Suid. ὑπὸ τῶν Ἀττικῶν.

Σ 285 Εἰς κόρακας: εἰς τὸ σκότος, εἰς ὄλεθρον.

Δ 286 Εἴσκω: εἰκάζω.

Ε 287 Εἰσκριθείς: ἀντὶ τοῦ εἰσελθών, ἐναρίθμιος γενόμενος. ὁ δὲ εἰς τὸ ἄντρον εἰσκριθεὶς ἐπίπονον βίον συνεστήσατο καὶ θηριώδη.

Δ 288 Εἰσκρίνειν: εἰσχωρίζειν.

Σ 289 Εἰσκυκλεῖ: εἰσφέρει καὶ ἐπισυνάπτει. καὶ ἐπεισκυκλεῖ. καὶ

Δ Εἰσκυκλεῖσθαι, κυκλοειδῶς τρίβεσθαι.

Σ 290 Εἰς Κυνόσαργες: εἴρηται ἐπὶ ὕβρει καὶ ἀρᾷ. ἔστι δὲ τόπος ἐν τῇ Ἀττικῇ, ἐν ᾧ τοὺς νόθους τῶν παίδων ἔταττον. ὠνόμασται δὲ οὕτως ἀπὸ κυνὸς ἀργοῦ, τουτέστι λευκοῦ ἢ ταχέος. καὶ γὰρ Ἡρακλεῖ θύοντας κύνα λευκὸν ἢ ταχύν, ἀετὸν ἁρπάσαντα τοῦ θυομένου τὰ μηρία αὐτοῦ καταθεῖναι, καὶ ἐπερωτήσαντας τοὺς θεούς λαβεῖν χρησμόν, ἱερὸν Ἡρακλέους ἱδρῦσαι τῷ τόπῳ. ἐξ οὗ καὶ τοὺς νόθους ἐκεῖ συντελεῖν, ὅτι καὶ Ἡρακλῆς νόθος ὢν ἴσα θεοῖς ἐτιμήθη.

Σ 291 Εἰς λατομίας: Φιλόξενος ὁ διθυραμβοποιὸς οὐκ ἀνεχόμενος τῶν Διονυσίου τοῦ τυράννου ποιημάτων ὡς φαύλων, ποτὲ πέμψαντος αὐτὸν εἰς λατομίας τοῦ Διονυσίου, τὸ δὲ ὕστερον αὐτὸς ἑκὼν ἐξανέστη, τοῦ δὲ ἐπερωτωμένου τὴν αἰτίαν, τοῦτο εἰπεῖν, ὡς κρεῖττον εἶναι ἐκεῖ διατρίβειν ἢ τῶν αὐτοῦ ποιημάτων ἀνέχεσθαι, τοῦτο ἐπειπόντα· ἢ οἶκος φίλος, οἶκος ἄριστος· ἅπερ ἐστὶ τῆς χελώνης.

Σ 292 Εἰς λῆξιν: εἰς τελειότητα.

Prov. 293 Εἰς μελίττας ἐκώμασας: παροιμία ἐπὶ τῶν παρὰ δόξαν κακουμένων ἀθρόως.

281 Ar. Vsp. 1474—7 c. sch. 1475 282 sch. Ar. Ach. 135 283 = Paroem. ed. Gsf. 52, n. 453 285 = Σ^a, Ba 210, 28 cf. H 286 cf. H, sch. Γ 197 aliter Ambr. 323 287 ὁ sq. Aelian. vel Iambl. 288 = Ba 210, 29 cf. H 289 — ἐπεισκυκλεῖ = Ba 211, 9. Εἰσκυκλεῖσθαι sq. = Ambr. 2147 290 = Ba 210, 30 cf. sch. Pl. Ax. 364 a 291 — vs. 28 ἀνέχεσθαι = Sabb. οἶκος sq. cf. Paroem. ed. Gsf. 91, n. 750, Paus. Att. fr. 135 ap. Eust. I. 408, 7 292 = Ba 211, 11, H 293 = Zen. III 53, H cf. Paus. Att. fr. 160 ap. Eust. I. 897, 57

281 cf. v. Δ 708. Z 648 284 cf. v. ὄνου πόκαι ex quo ἐπὶ sq. 285 cf. v. Ε 3154 286 Z 648 287 cf. 280 et v. Ε 3851. Z 648 288 Z 644 289 Z 648 290 cf. vv. Ε 3160 et Κ 2721 291 cf. v. Α 2862 292 Z 630

A et A^2(GIFVM) 8 ἐπὶ—9 Ἀττικῶν om. F 285 inc. A^2 10 τὸ om. F 13 βίον om. F 19 ταχέως GI Ba καὶ γὰρ] παρὰ τοῦ F 20 θύοντος Ba θυόντων ed. pr. 23 ἐτιμήθη] ἐκοιμήθη F 26 αὐτὸς] μεταπέμψαντος add. Bhd. 27 αἰτίαν] αὐτὴν V τοῦτο εἰπεῖν om. F 28 ἐπειπόντα—31 ἐκώμασας om. A 28 ἐπειπόντος V ἐπειπών ed. pr. 31 ἐκώμασας F Paroem. Eust. Hes.: γ' ἐκώμασας rell.

294 Εἰς νέωτα: εἰς τοὐπιόν. καὶ ὁ μὲν ὧδε τὰ καθ' ἑαυτοὺς Σ
διετίθει ὡς πολεμήσων εἰς νέωτα. καὶ αὖθις· ἀνάζευξίς τε παρηγ- Ε
γέλλετο ὡς ἐς νέωτα παρεσομένων αὖθις ἐν τοῖς ὅπλοις. Ε
295 Εἴσοδος: εἰσφορά. Δ
296 Εἴσομαι: γνώσομαι. τοιγάρτοι λοιπὸν εἰσόμεθα μὲν θεοὺς Σ
εἶκειν, εἰσόμεθα δ' Ἀτρείδας σέβειν. ἄρχοντές εἰσιν, ὥσθ' ὑπεικτέον· Soph.
τί μή; καὶ γὰρ τὰ δεινὰ καὶ τὰ καρτερώτατα τιμαῖς ὑπείκει. τοῦτο
μέν νιφοστιβεῖς χειμῶνες ἐκχωροῦσιν εὐκάρπῳ θέρει, ἐξίσταται δὲ
νυκτὸς αἰανὴς κύκλος τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν.
297 Εἰς ὀρθὸν ἐπιδοῦναι: τὸ ἐπὶ τὴν ἐξ ἀρχῆς θέσιν ἀποκαταστῆ- Tact.
σαι ἄνδρα ἕκαστον. ὥστε εἰ ἐπὶ δόρυ κλίνειν ἐκ τῶν πολεμίων
κελεύοιντο, εἶτα αὖθις εἰς ὀρθὸν ἀποδοῦναι, δεήσει ἐπὶ τοὺς πολεμίους
πάλιν τρέπεσθαι. καλεῖται δὲ τοῦτο καὶ ἐπ' ὀρθὸν κατάστησαι.
298 Εἰσορώων: βλέπων. καὶ Εἰσορώωντες. Δ
299 Εἰς ὅ τι δή: ἕως ἄν. Σ
300 Εἰς οὐρανὸν τοξεύειν: ἐπὶ τῶν διακενῆς κατ' αὐθάδειαν τὶ Prov.
ποιούντων.
301 Εἴσω· τὸ τοῦ Ἰσιδώρου πρόσωπον καὶ εἶδος, ὡς ἔνθεον ἦν καὶ
πλῆρες εἴσω φιλοσόφου ζωῆς.
302 Εἴσω ἁλός: ἰσοδυναμεῖ τὸ εἴσω τῇ εἰς· οἷον εἰς ἁλός. καὶ Hom.
παρὰ τοῖς ῥήτορσιν εἴρηται, εἴσω τὴν χεῖρα ἔχειν, ὅπερ ἔνιοι ἁμάρτημα Rhet
ἔδοξαν εἶναι· ἀλλ' ἐπλανήθησαν ἀγνοοῦντες, ὅτι ὥσπερ ἔνδον εἰποι-
μεν, δηλοῖ δὲ καὶ τὸ ἔν τινι, καὶ τὸ ἔς τινα, οὕτω καὶ τὸ εἴσω ἐφ'
ἑκάτερον παραλαμβάνεται.
303 Εἰσωθεῖν καὶ Εἰσωθοῦμεν.
304 Εἰσωποί: ἀντιπρόσωποι. Δ
305 Εἰσωχέτευσαν: ἔνδον μετέφερον. Δ
306 Εἰς πάγας ὁ λύκος: ἐπὶ τῶν πονηρῶν, ὅταν εἰς προῦπτον Prov.
ἐμπέσωσι κίνδυνον.
307 Εἰς παραβολήν: εἰς γέλωτα, εἰς διήγημα. Σ
308 Εἰσπεπαίκασιν: εἰσπεπηδήκασιν. Σ

294 — τοὐπιόν = H 296 — γνώσομαι = Ba 211, 12, sch. Θ 532 cf. sch. Ar. Ach. 332, H τοιγάρτοι sq. Soph. Ai. 666—673 297 Tact. 38 298 — βλέπων = Ambr. 2158, H cf. sch. Δ 4 Εἰσορώωντες cf. Ambr. 2161 299 = Ba 211, 13 300 cf. Zen. III 46 301 Dam. fr. 80 302 — ἁλός alt. = sch. A (Aristonic.) in Φ 125 cf. Apion ῥήτορσιν Dem. 19, 255 304 in O 653 305 cf. Ambr. 2164 306 cf. Paroem. ed. Gsf. 44, n. 389 307 = Ba 211, 14 cf. H 308 = Ba 211, 15 cf. H

294 Z 637 295 Z 630 296 cf. 32. Soph. cf. v. Ε 4028 297 cf. post litt. Ψ 298—9 Z 649 301 cf. 40 302 Z 630 304 Z 626 305 Z 649 307 Z 630 308 Z 649

5 γνώσομαι ex FV solis 6 εἰσόμεθα] μαθησόμεσθα ex Soph. E 9 αἰανὴς A^2F(GIVME) κύκλος om. F 14 καὶ Εἰσορώωντες om. F Zon. Εἰσορόοντες GVM ante 300 παροιμία add. AIVM post l. GI 16 τοξεύεις F Paroem. 19 ζωεῶς A 20 εἰς pr.] εἴσω FV 24 ἑκάτερα GV cp. M 303 om. F

Ε 309 **Εἰσπιπλάς**· Ξενοφῶν· ὁ δὲ Κῦρος εἰσπιπλὰς ἁπάντων τὴν γνώμην ἀπέπεμπεν.

310 **Εἰσπομπή**: εἰσβολή. Εὐνάπιος· περιεφέρετο δὲ ὁ ἀριστεὺς
Ε καὶ δόρατος εἰσπομπὴν ἐπὶ τοῦ εὐωνύμου βραχίονος.

Σ Synt. 311 **Εἴσπραξις**: ἀπαίτησις. καὶ **Εἰσπράττω**· αἰτιατικῇ.

Σ 312 **Εἰσποιητόν**: θετόν, οὐ γνήσιον. καὶ **Εἰσεποιεῖτο**, ἀντὶ
Synt. τοῦ ὑπετίθει. καὶ **Εἰσποιῶ**, τὸ καλλωπίζω· δοτικῇ.

Prov. 313 **Εἰς πῦρ ξαίνειν**: παροιμιακόν. ἐπὶ τῶν καθ' ἑαυτῶν τι πραττόντων μάτην ἢ λεγόντων. ὁμοία τῇ κατὰ πετρῶν σπείρειν.

Prov.? 314 **Εἰς τέφραν γράφειν**: ἐπὶ τῶν ἀδυνάτων. ἐγὼ δὲ τοὺς ὅρκους αὐτοῦ, τὸ τῆς παροιμίας, οἶμαι δεῖν εἰς τέφραν γράφειν.

Suid. 315 **Εἰς τετρημένον πίθον ἀντλεῖν**: εἴρηται ἡ παροιμία ἀπὸ τοῦ περὶ τὰς Δαναΐδας μύθου, παρ' ὅσον ἀνιμῶσαι ἐκεῖναι ὕδωρ εἰς πίθον ἔβαλλον. πάσχουσι δὲ περὶ τοῦτον τὸν πίθον αἱ τῶν ἀμυήτων ψυχαί.

Δ 316 **Εἰστήκειεαν**.

Δ 317 **Εἰστήκομεν**: ἀντὶ τοῦ ἑστηκότες ἦμεν.

Ε 318 **Εἰστία**: ἐκάλει. ὁ δὲ εἰστία τὸν στρατὸν ἡμερῶν ς' εἰς παν-
Δ θοινίαν. καὶ **Εἰστιᾶτο**, ἐτρέφετο. καὶ **Εἰστίων**.

Σ 319 **Εἰς τὸ δέον, καὶ Ἐς τὸ δέον**: Περικλῆς δῶρα δοὺς τοῖς πολεμίοις τοῖς περὶ Κλεανδρίδαν, ἵνα μὴ δηώσωσι τὴν χώραν, δεκαπέντε τάλαντα ἀνήνεγκε τὸ ἀνάλωμα τοῖς Ἀθηναίοις, οὕτω πως ἀπογράψας· εἰς τὸ δέον. Ἀριστοφάνης Νεφέλαις· ὥσπερ Περικλέης εἰς τὸ δέον ἀνάλωσα. καὶ Μένανδρος ἐν Ἐπαγγελλομένῳ. μέμνηται δὲ καὶ ἑτέρωθι.

Ar. 320 **Εἰς τὸν ἀγρὸν ἀποβλέπων**: Ἀριστοφάνης. οἱ γὰρ πολεμούμενοι καὶ πολιορκούμενοι ἐπὶ τὸν ἀγρὸν ἀποβλέπουσιν, ἐπιθυμοῦντες ἐν αὐτῷ εἶναι.

Prov. 321 **Εἰς τὸν τετρημένον**: λείπει πίθον ἀντλεῖν. τάσσεται δὲ ἐπὶ τῶν εἰς κενὸν πονούντων. καὶ γὰρ μυθεύουσιν ἐν ᾅδου τοὺς ἀσεβεῖς εἰς πίθον τετρημένον ἀντλεῖν.

309 Xen. An. 1, 7, 8 310 Εὐνάπιος cf. Byz. Zt. 21, 418; περιεφέρετο sq. Th. Simoc. 2, 6, 3 311 — ἀπαίτησις = Ba 211, 17, Bk. 245, 11 Εἰσπράττω sq. = Synt. Gud. 312 — γνήσιον = Ba 211, 16 cf. H, Poll. 3, 21 Εἰσποιῶ sq. cf. Synt. Gud. 313 — λεγόντων = sch. Pl. Leg. 780 c. ὁμοία sq. = Paroem. ed. Gsf. 45, n. 398 314 ἐγὼ sq. Iul. ep. ad Athen. p. 286 c d 318 Εἰστιᾶτο sq. cf. Ambr. 2154 319 τοῖς Ἀθηναίοις sq. = Sabb.; Ar. Nu. 859; Men. com. fr. 163 320 Ar. Ach. 32 c. sch. 321 cf. Paroem. ed. Gsf. 52, n. 449

310 Z 631 311 Z 634 312 cf. 253 et v. Θ 295 313 cf. v. Ε 3196 314 cf. v. Ε 3207 315 ex 321 et v. Α 3230 316—7 Z 649 318 cf. v. Ε 3227. Z 649 319 cf. v. Δ 243 321 hinc 315 init.

A²F(GIVM) 1 Εἰσπιμπλάς F εἰσπιμπλὰς FV^ac M 4 δόρατος F Th.: cp. V δόρατα rell. 5 καὶ—αἰτιατικῇ om. F 7 καὶ—δοτικῇ om. F καὶ om. V 8 παροιμιακόν om. F 11 αὐτὸν V 315 om. F; extra ord. 12 τετριμμένον V εἴρηται—14 ψυχαί om. V 13 ἐκεῖναι A, v. A 3230: ἐκεῖσε GIM 15 Εἰστήκησαν F 317 non nov. gl. GM 16 Εἰστήκειμεν Zon. (sed non Moschopul. ed. Titze p. 55), ed. pr. 17 ς' F, v. Ε 3227: ἓξ Zon. καὶ rell. 20 Κλεανδρίδοις V 23 ἀνάλωσα (cf. vs. 21 ἀνάλωμα)] ἀπώλεσα E Sabb. Ar. Ἀπαγγελλομένῳ F Sabb. 28 τετριμμένον F τετραήμερον GIVM 29 ποιούντων GIVM

322 Εἰς τοὔμπαλιν: εἰς τοὐναντίον. Σ

323 Εἰς Τροφωνίου μεμάντευται: ἐπὶ τῶν σκυθρωπῶν καὶ Prov.
ἀγελάστων ἡ παροιμία τάττεται. οἱ γὰρ καταβαίνοντες εἰς Τροφώνιον
λέγονται τὸν ἑξῆς χρόνον ἀγέλαστοι εἶναι. τὸν δὲ Τροφώνιόν φασιν
5 ἔχοντα τὴν κεφαλὴν τοῦ ἀδελφοῦ αὐτοῦ Ἀγαμήδους καὶ διωκόμενον
ὑπὸ Αὐγαίου, εὐξάμενον εἰς χάσμα ἐμπεσεῖν, οὗ δὴ καὶ τὸ μαντεῖόν
ἐστιν.

324 Εἰς Τροιζῆνα δεῖ βαδίζειν: ἐπὶ τῶν κακογενείων καὶ Prov
σπανοπωγώνων εἴρηται. Πώγων γάρ ἐστι λιμὴν εἰς Τροιζῆνα.

10 325 Εἰστρυπᾶν: τὸ παρεισέρχεσθαι. Σ

326 Εἰς ὕδωρ σπείρειν: ἐπὶ τῶν μάτην πονούντων· ὡς τὸ καθ' Prov.
ὕδατος γράφειν.

327 Εἰς ὕδωρ γράφειν: ἐπὶ τῶν μάτην πονούντων.

328 Εἴ σφιν: εἰς ἑαυτούς. Σ

15 329 Εἰσφθαρείς: τὸ ἐπὶ κακῷ εἰσελθεῖν που. ἐκφθαρεὶς δέ ἐξελθών. οὕτω Suid.
λέγεται τὸ ἐπὶ κακῷ ἐξελθεῖν.

330 Εἰσφορά: τέλεσμα. Σ

331 Εἰσφρήσασθαι: εἰσδέξασθαι. Εὐνάπιος· ἕτερος δὲ Μηδικὸς Σ
ὄϊστὸς ἐπὶ θάτερον χεῖλος ἔνερθεν εἰσφρήσας ἀντιθέτως πως ἀνετείνετο. E + Σ
20 ἀντὶ τοῦ εἰσδύς, εἰσελθών.

332 Εἰσφρήσειν: εἰσάξειν, εἰσδέξασθαι. πολὺ τοὔνομα παρὰ τοῖς Harp.
ῥήτορσιν.

333 Εἰσφρήσωσιν: ἀντὶ τοῦ εἰσδεχθῶσιν εἴσω τῶν ἱερῶν εἰσφρή- Σ + E
σωσιν.

25 334 Εἶτ' ἐφ' ὕδωρ κακός: ἐπὶ τῶν δυσκληρούντων ἡ παροιμία Prov
εἴρηται. ἐν γὰρ τοῖς δικαστηρίοις τὸ φαυλότατον ἔργον ἦν ὕδωρ
διαμετρεῖν τοῖς δικαζομένοις. ἐγένετο δὲ τοιοῦτος ὁ ἀπόκληρος.

335 Εἴ τι Πεισάνδρου βδελύττῃ τοὺς λόφους καὶ τὰς Ar
ὀφρῦς: οὗτος ἐπὶ δειλίας ἐσκώπτετο παρὰ τοῖς πολλοῖς. φιλοπόλεμος
30 δὲ ἦν καὶ πολεμοποιὸς κερδῶν ἰδίων ἕνεκεν. ἦν δὲ καὶ δειλός.
ἐχρῆτο δὲ τριλοφίᾳ καὶ ὅπλοις ἐπισήμοις, ὑπὲρ τοῦ δοκεῖν ἀνδρεῖος
εἶναι, μὴ ὤν. καὶ ἐν ἄλλοις ἐπαχθῶς αὐτοῦ ἐπιλαμβάνεται.

322 = Ba 211, 18 323 cf. Paroem. ed. Gsf. 39, n. 368 324 cf. Paroem. ed. Gsf. 45, n. 400 325 cf. Ael. D. fr. 161 ap. Eust. O. 1532, 5, H v. ἐκτρυπῆσαι 326 — πονούντων = Zen. III 55 327 = Paroem. 1, 344 vs. 5 328 cf. Σ^{a}, Ba 211, 19 330 = Ba 211, 20, H cf. Bk. 243, 14 331 — εἰσδέξασθαι = Ba 211, 21 cf. Bk. 244, 11 Εὐνάπιος cf. Byz. Zt. 21, 418. ἕτερος—ἀνετείνετο Th. Simoc. 2, 6, 2. εἰσδύς sq. cf. ad 254 332 Harp. cf. H 333 εἴσω sq. Aelian. 334 = Paroem. ed. Gsf. 40, n. 376 335 Ar. Pac. 394 c. sch.

324 cf. v. Πώγων 325 Z 649 326 hinc v. K 129 327 cf. v. Ε 3238 329 ex v. Ε 710 330 Z 630 et 634 331 cf. 254. Z 649 332—3 Z 649 335 cf. v. Πεισάνδρου

1 τοὔπαλιν IV 4 χορὸν εἶναι ἀγέλαστοι V 5 Ἀγαμήδους A: Ἀγα- A^{2}F(GIVM)
πίδους rell. καὶ om. F 325 om. A 327 om. F mg. V 13 ἐπὶ—πονούντων VM: ὁμοίως GI om. A 14 Εἴ] Εἰς F εἰς omnes, Σ^{a}: εἰ Ba ἑαυτοῖς Ba Σ^{a} 329 om. F 15 κακῶς A ἐκφθαρεῖν V 19 πως F Th.: προς AGIM om. V 25 ὕδωρ] κακὸς εἶτα, εἶτ' ἐφ' ὕδωρ add. V 28 Πεισάνδρῳ GIM cp. V 29 δειλίαις FV δειλίᾳ sch. 30 ἕνεκα V

Ar. 336 Εἴ τις ἐν Αἰγύπτῳ σῖτον ἄγοι καὶ ἐν Κιλικίᾳ κρόκον: ὅμοιόν ἐστι τὸ γλαῦκα Ἀθήναζε. ἐπὶ τῶν μάτην σωρευόντων τινὰ προϋπάρχοντα.

Ar. 337 Εἰ τὸ μέσον κτήσαιο Κορίνθου καὶ Σικυῶνος: Αἰσώπῳ τῷ μυθογράφῳ χρωμένῳ περὶ πλούτου ὁ θεὸς ἀνεῖλε τὸ λόγιον τοῦτο· εὔφορος γὰρ αὕτη ἡ χώρα. καὶ χρησμὸς ἐδόθη παρὰ Βάκιδος τοῦ χρησμολόγου· ἀλλ' ὅταν οἰκήσωσι λύκοι πολιαί τε κορῶναι ἐν ταὐτῷ τὸ μεταξὺ Κορίνθου καὶ Σικυῶνος. ἠνίξατο τοῦτο, ὅτι καὶ ἡ πόλις μεταξὺ οὐρανοῦ καὶ γῆς ἵδρυται, ἤτοι ἡ Νεφελοκοκκυγία.

Σ Δ 338 Εἴτω: πορευέτω. συγχωρείσθω. σημαίνει καὶ τὸ ἐάν τινι.

Soph. 339 Εἴτοι νομίζεις κτῆμα τὴν αὐθαδίαν εἶναί τι τοῦ νοῦ χωρίς, οὐκ ὀρθῶς φρονεῖς. εἴτοι νομίζεις ἄνδρα συγγενῆ κακῶς δρῶν οὐχ ὑφέξειν τὴν δίκην, οὐκ εὖ φρονεῖς. Σοφοκλῆς.

340 Εἰ φίλου χρῄζεις ὑπουργίας: ἐπὶ τῶν γενναίαν ψυχὴν ἐχόντων. ἀρρωστοῦντι γὰρ Ἀντισθένει ἱφίδιον δέδωκε Διογένης εἰπὼν τοιοῦτον λόγιον.

Σ 341 Εἶχεν: ἐγεγαμήκει.

Δ 342 Εἶχον καὶ Εἰχέτην.

Δ 343 Εἶψα: ἠκολούθησα.

336 sch. Ar. Av. 301 337 sch. (plenior.) Ar. Av. 968 338 — πορευέτω = Σ^{a}, Ba 211, 22 ἐάν τινι = L 339 Soph. OT 549—52 340 cf. Iul. or. 6, 181b 341 = Ba 211, 23 342 cf. Ambr. 2775 '

338 Z 649 340 cf. v. A 2723 341 cf. v. H 673 342 cf. v. Ε 3995 343 cf. v. Ε 4071

A^{2}F(GIVM) 1 ἄγει AIF 2 τὸ] τῷ AI 3 προϋπάρχοντος V 4 Εἰ] Εἰς GI cf. sch. 9 ἤτοι om. AV 10 πορευέσθω GI Ba καὶ] δὲ καὶ F 339 non nov. gl. AFV 11 Εἴτοι GM: Εἴ τι AIF Εἴ του V 12 εἴ τι AIF ὑφέξει A ὑφέξεις GIM 15 ἀρρωστοῦντι] ἀσθενοῦντι I 16 τοιοῦτον] τὸ τ. F λόγον IV 18 Οἰχέτην M 19 ἠκολούθησα AF: ἠκολούθει G^{cp}I M^{cp} ἡ ἀκολουθία V

1 Ἦ ἤ· παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις· ἢ ἤ, σιώπα, μηδὲν εἴπῃς Ar.
νήπιον. συγκαταθετικῶς. μὴ εἴπῃς δὲ εὔηθες.
2 Ἦ: ἀντὶ τοῦ ὥς, καθώς. Σ
3 Ἦ: ἔφη, εἶπεν. Hom.
4 Ἦ: χωρὶς τοῦ ν ἀντὶ τοῦ ἦν. ἀλλ' οἷάπερ αὐτὸς ἔμαθον ὅτε παῖς Ar.
ἦ. ἀντὶ τοῦ ἔα. Ἀριστοφάνης Ὄρνισι. καὶ ἐν Λυσιστράτῃ· ἢ δεκέτις.
ἀντὶ τοῦ ἔα, κατὰ συναίρεσιν ἦ.
5 Ἦ: ἀντὶ τοῦ ἤμην. καὶ χωρὶς τοῦ ν. Ἀριστοφάνης Πλούτῳ· ἃ Ar.
κρύπτειν ἢ παρεσκευασμένος. τίθεται καὶ ἐπὶ τρίτου προσώπου. ὅτι
δὲ καὶ ἐπὶ τοῦ ἤμην ἐκ τῆς Ὁμηρικῆς διαιρέσεως· ὡς ἔον, εἶποτ'
ἔηνγε. περὶ τοῦ ἢ συνδέσμου. ἢ γὰρ διαζευκτικός ἐστιν ἢ διασαφη-
τικός ἢ ὑποδιαζευκτικός. καὶ διαζευκτικὸς μὲν ὁ τὰ ἐναντία ἐν τῇ
συντάξει διϊστῶν· οἷον, ἡμέρα ἢ νύξ· ἢ νέος ἠὲ παλαιός. ὑποδια-
ζευκτικὸς δέ ἐστιν ὁ διάφορα πράγματα τιθεὶς μηδὲν ἕτερον ἐν τῇ
διαιτήσει διϊστῶν· οἷον, δός μοι χρυσὸν ἢ ἄργυρον ἢ λίθους τιμίους.
διασαφητικὸς δέ, ὅταν τῶν δύο προτεθέντων τὸ ἓν ἀναιρῆται· οἷον,
κρεῖσσον ἐν γῇ πένεσθαι ἢ πλουτοῦντα πλεῖν. καί, θέλω τύχης
σταλαγμόν ἢ φρενῶν πίθον.
6 Ἦ: ὅπου· τοπικόν. ἢ ἅμα μὲν στερεόν, ἅμα δὲ χθαμαλὸν ἦν. Δ E
7 Ἦ νομίζεται: ὡς νενόμισται ἐπὶ τοῖς νεκροῖς. καὶ αὖθις· ἢ Soph.
ἀντὶ τοῦ ὅπου. ἢ σὺ φιλῆδῶν οὕτως ἀρέσκῃ καὶ μένειν ἔγνως. Δ Anth.

1 Ar. Nu. 105 c. sch. 2 = P, Ba 247, 28 3 sch. A 528 = Et. M. 416, 26 cf. H, Et. M. 415, 1 et 9, Ap. S. 81, 31, Ba 248, 3 4 — vs. 6 ἔα Ar. Av. 1363 c. sch. cf. P. vs. 6 ἢ sq. Ar. Lys. 643 c. sch. cf. Eust. I. 883, 19, O. 1759, 38 5 — ἔηνγε Ar. Pl. 77 c. sch. cf. P; Λ 762 vs. 11 ἢ sec. sq. = An. Ox. 1, 188, 25—189, 6 unde Et. M. 415, 22 cf. Choer. Epim. Ps. 30, 28 et in Theodos. Gramm. Gr. IV 1, 106, 13 sq. vs. 13 ἢ alt.—παλαιός Ξ 108. vs. 17 κρεῖσσον—πλεῖν Antiphan. fr. 101 (2, 51 K.). θέλω sq. Diogen. Sinop. fr. 2 (Trag. fr. p. 809 Nauck) 7 — νεκροῖς sch. Soph. OC 1603 vs. 21 ἢ σὺ sq. Anth. 7, 98, 3—4

1 Z 969 4 Z 969 5 cf. 366. Z 969; Antiphan. cf. v. Ε 1150 6 cf. v. χθαμαλά 7 cf. v. φιλῆδῶν. Z 970

2 μὴ—εὔηθες om. V post 2 Ἦ: ἀντὶ τοῦ καθώς add. AM 3 ex F, A^2F (GIVM) V (bis) 3 Ἦ—5 ν′ sic Ἦ: ἔφη, εἶπεν. Ἦ: χωρὶς τοῦ ν ἀντὶ τοῦ ὡς, καθώς. Ἦ: ἔφη εἶπεν. Ἦ: χωρὶς V 5 Ἦ om. A 6 ἀντὶ] Ἦ: ἀντὶ V καὶ— 8 Ἦ om. V 8 ἀντὶ τοῦ post 9 παρεσκευασμένος V 9 ὅτι] ἔτι A 10 ἤμην] δῆλον add. sch. ἔον] ἐὴν A 13 ἠὲ] ἢ AF 15 ἢ alt.] ἠδὲ GIM 17 κρείσσων A 19 χθαμαλὸν] μαλθακὸν F 21 ἀρέσκῃ AF, v. φιλῆδῶν, Anth.: ἀρέσῃ V ἀρέσην M ἀρέσειν GI ἔγνως F

Σ 8 Ἦα: διευλλάβως τὸ ἐπορευόμην, σὺν τῷ ι γράφεται. οἱ γοῦν Ἴωνες ἤϊα λέγουσι, καὶ ἤϊσαν, τὸ ἤεσαν. καὶ παρὰ Θουκυδίδῃ οὕτως ἀναγνωστέον, ὅτι ἀκμάζοντές τε ἤϊσαν ἐς αὐτόν. Ἴωνες ἤεσαν καὶ ἤϊσαν. Ἀριστοφάνης Ὀλκάσιν. ἐπεὶ δ' ἐγενόμην οἷπερ ἤϊ' ἐπὶ ξύλα.

Suid. 9 Ἡ ἀγάπη οὐ περπερεύεται: ἀντὶ τοῦ οὐ προπετεῖ. καὶ ζήτει ἐν τῷ περπερεία. 5

Δ 10 Ἠακότες: θρηνήσαντες.

Prov. 11 Ἡ ἀπὸ Σκυθῶν ῥῆσις: τέτακται ἡ παροιμία ἐπὶ τῶν ἀποτόμως οἰμώζειν τινὰ λεγόντων· παρ' ὅσον οἱ Σκύθαι Δαρείῳ τῷ Πέρσῃ, μηνύσαντι περὶ τοῦ εἶξαι, ἀπεκρίναντο κλαίειν αὐτὸν εἰπόντες. 10

Δ 12 Ἀρίζον: τὸ τοῦ ἔαρος ἔλεγον.

Σ 13 Ἠβᾷ: ἀκμάζει, σφριγᾷ.

Σ 14 Ἠβάσκει: ἀκμάζει.

ΔΣ 15 Ἠβαιαί. καὶ Ἠβαιόν, μικρόν, ὀλίγον.

ΣΔ 16 Ἥβη: νεότης, ἀκμή. σημαίνει δὲ καὶ ὄνομα θεᾶς. 15

Σ 17 Ἡβηδόν: ἡβῶντας· ἢ τὰς στρατιάς, ἢ ἀθρόον ὅλα καθ' ἡλι-
E κίας. οἱ δὲ ἡβηδὸν ἅπαντας ἀπέσφαξαν ὀργὴν ποιούμενοι τῷ μὴ τοῖς σφῶν ὑπαχθῆναι λόγοις.

Δ 18 Ἡβηδόν: σὺν πάσῃ ἡλικίᾳ. παρὰ δὲ Ἡροδότῳ ἀντὶ τοῦ μετὰ
Hdt. αἰσχύνης, μετὰ ἀκολασίας. 20

Σ 19 Ἠβήσαντες: ἀκμάσαντες. Εὐνάπιος· οἱ δὲ παῖδες ἡβήσαντες
E καὶ γενόμενοι θυμοῦ καὶ χειρῶν κύριοι. καὶ Ἐπὶ διετὲς ἡβῆσαι
Rhet. λέγεται ὅταν οἱ ἐπικλήρων υἱεῖς δοκῶσι γεγενῆσθαι ἁρμόδιοι τὰ πατρῷα παραλαμβάνειν. Ἰσαῖός φησιν· ἐνηγόμεθα μὲν ἐκείνῃ μὲν τὸν ἐγγυτάτω γένους δεῖ συνοικεῖν, τὰ δὲ χρήματα τέως μὲν τῆς ἐπικλήρου εἶναι· 25 ἐπειδὰν δὲ παῖδες ἐπὶ διετὲς ἡβῶσιν, ἐκείνους αὐτῶν κρατεῖν.

8 = P; — vs. 4 ἤϊσαν = sch. Pl. Rep. 449 a; — vs. 2 ἤϊσαν = Et. Gen. cf. Ael. D. fr. 189 ex Eust. O. 1761, 50, sch. Pl. Conv. 173 a; Thuc. 1, 1, 1; Ar. fr. 403 10 = Ambr. 3 11 cf. Paroem. ed. Gsf. 55, n. 479 12 = Ambr. 5 cf. Lex. de spiritu 13 = P, Ba 248, 6; — ἀκμάζει = H cf. Ambr. 19 = Ps. Herodian. 44; Moer. 198, 17 14 = P, Ba 248, 8 cf. L; Ambr. 16 = Ps. Herodian. 44 15 Ἠβαιαί Ξ 141 Ἠβαιόν sq. = P, Ba 248, 7 cf. Lex. de spiritu, L; μικρόν = H, Ambr. 14; ὀλίγον = Et. M. 417, 15 cf. sch. Ξ 141 16 — ἀκμή = P, Ba 248, 11, H cf. sch. Ω 728, Et. M. 417, 38; ἀκμή = Apion cf. Ap. S. 82, 9 ὄνομα θεᾶς = Ambr. 12 cf. Apion, Ap. S. 82, 9, Et. M. 417, 37 17 — ἡλικίας = P, Ba 248, 9, Et. Gen. cf. Et. M. 417, 48 18 — ἡλικίᾳ = Ambr. 20, Lex. de spiritu μετὰ sq. gl. Hdt. 1, 172 cf. H 19 — ἀκμάσαντες = P, Ba 248, 12 cf. sch. Ε 550, Ambr. 17 Εὐνάπιος in fragm. non invenitur Ἰσαῖος cf. 10, 12

8 Z 969 9 ex v. περπερεία cf. v. A 155 10 Z 969 12 Z 969 13 cf. 19. Z 971 15 Z 971 17 Z 972 19 cf. 18 et v. Ε 2297. Z 972

A³(GIFVM) 2 λέγουσι] ἄγουσι F 3 ἦεσαν IFV: εἶεσαν AGM 9 om. F mg. V 16 ὅλης A 17 ἅπαντες A ἅπαν F κατέσφαξαν V Zon. τῷ] τὸ AI 19. 20 μετὰ αἰσχύνης om. V 21 ἀκμάσαντες—ἡβήσαντες ex FV Zon. ἀκμήσαντες V 22 διετοῦς A 23 λέγονται A υἱεῖς δοκῶσι] τινὲς ἀσκῶσι F 24 παραλαλεῖν V μὲν alt. del. ed. pr 25 δεῖ] δεῖν ed. pr.

Ἠβητήρ. καὶ Ἥβη, ἡ πρώτη ἔκφυσις τῶν τριχῶν. ἐν Δ | Ἐπιγράμμασι· οὐ καλὸν ἠβητῆρες. ἀπεχθαίρω γὰρ ἐκείνην τὴν τρίχα Anth. τὴν ταχὺ φυομένην.

Ἠβητήριον: τὸ παιδευτήριον. Δ

Ἠβητήριον: ἡ κατάλυσις. Δ

Ἠβός: ὁ κυρτός. Ἱπποκράτης ὁ Κῷός φησιν.

Ἐβουλόμην: ὡς Ἀττικώτερον, ἠβουλόμην δὲ πολλοί.

Ἢ βούλονται: καθὸ βούλονται. Σ

Ἠβῶμαι καὶ Ἠβῷμι καὶ Ἠβώοιμι, αὐξάνοιμι. Δ

Ἠβώωσα: ἀκμάζουσα. Δ

Ἠβυλλιῶσαι: ἀκμάζουσαι τὴν ἡλικίαν. Ἀριστοφάνης Βατράχοις· Ar. ὀρχηστρίδες ἠβυλλιῶσαι κἄρτι παρατετιλμέναι. λείπει τὰς τρίχας. αἱ γὰρ μελλόνυμφοι ἔτιλλον τὰς τρίχας.

Ἠγαθέη: ἡ ἄγαν θεία. Δ

Ἤγαλλεν: ἐθεράπευεν. Δίων ἐν ις′ λόγῳ Ῥωμαϊκῶν· διά τε Σ οὖν ταῦτα, καὶ ὅτι τὸ θεῖον ἀκριβῶς ἤγαλλεν. κέχρηνται δὲ τῇ λέξει ταύτῃ ἄλλοι τε καὶ Εὐνόμιος ὁ δυσσεβής. καὶ αὐτὸς οὗτος πολλάκις.

Ἠγαλέη: ἡ θεραπευτική. Δ

Ἡ γαμήλιος.

Ἢ γάρ: ἀντὶ τοῦ οὐχ οὕτως; Σ

Ἠγάσαντο: ἐθαύμασαν. καὶ Ἠγάσθην, ἐθαύμασα. ὁ δὲ Σ Δ Καῖσαρ, ὡς ἔμαθε πάσας τὰς κατ' αὐτὸν τύχας, ἠγάσθη τοῦ ἀνδρὸς E καὶ ἔσχε σύμμαχον.

Ἠγγέλη: ἀπηγγέλη. Δ

Ἡγέλοχος: τραγῳδὸς ὑποκριτής. ἔξεστι δ' ὥσπερ Ἡγέλοχος Ar. ἡμῖν λέγειν, ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλῆν ὁρῶ. ἐπὶ τῶν διαφυγόντων τὰ λυπηρά. ὁ γὰρ Ἡγέλοχος οὗτος καὶ ἐν τῷ Ὀρέστῃ τοῦ

20 οὐ sq. Anth. 5, 276, 3—4 21 = L 22 = Ambr. 15 cf. H 24 cf. Et. M. 419, 30, Thom. 130, 11 25 = P, Ba 248, 13 26 cf. Ambr. 16 27 = Ambr. 10, H, sch. ε 69 cf. gl. Dionys. PG 4, 25 28 Ar. Ran. 515—6 c. sch. 29 = Ambr. 34 cf. Ps. Herodian. 45, H, sch. A 252, Et. M. 417, 56 30 = Lex. rhet. in Et. Gen. et Et. M. 418, 5; — δυσσεβής = P, Ba 248, 15; — ἐθεράπευεν = L; Cass. D. fr. 57, 39 31 = Ambr. 35, L 33 = P, Tim. 34 — ἐθαύμασαν = P, Ba 248, 14 cf. sch. Γ 181 Ἠγάσθην, ἐθαύμασα = Ambr. 57 cf. An. Ox. 2, 480, 7 35 aliter Ambr. 61, L 36 Ar. Ran. 303—5 c. sch.; Pl. com. fr. 215

20 Z 970 21—22 Z 971 23 cf. v. ὑβός 24 cf. v. ε 33. Z 972 26 Z 972 28 Z 972 29 Z 973 30 Z 974 31 Z 973 34—5 Z 974

3 φοβουμένην AM 5 Ἠβητήριον V Ambr.: Ἠβήτριον rell. Zon. A^2F(GIVM) 22—3 om. F mg. V 6 Ἱπποκράτης Kust.: Ἱπποστ in Ἱπποκρ corr. V Ἱππόλυτος rell. 7 Ἠβουλόμην ed. pr. Ἀττικώτερον A Zon.: ἀτιμώτερον rell. ἐβουλόμην ed. pr. 8 βούλονται pr.] βούλοντο F βούλοιντο V βούλονται alt.] βούλοιντο V 9 Ἠβῶμι] Ἠβοῖμι V 10 ἀκμαζούσα F Ambr. (ms. Ath.) H sch. cf. vs. 11: αὐξανούσα rell. cf. vs. 9 . 12 ὀρχηστρίδος V cp. FM 15 Ῥωμαϊκῷ FV . 16 κέχρηται AGM 17 ἄλλοι τε] καὶ ἄλλοι I cf. Ba 18 Ἠγαλέη F Ambr.: Ἠγαλλαίη V cf. L Ἠγαλλέη rell. 21 Ἠγάθην, ἐθαύμασεν V cf. An. Ox. 22 πάσαν V 23 συμμέτοχον V 24 Ἠγγέλθη V^{ac} cf. Ambr. 25 τραγῳδία V τραγῳδίας sch. Bhd. 26 ὑμῖν A λέγει GIFVM αὖ ex A solo ἂν F

Εὐριπίδου προστάντος αὐτῷ τοῦ πνεύματος ἐν τῷδε τῷ στίχῳ, ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν' ὁρῶ (γαλήνην γὰρ τὸ πλῆρες), αἰφνιδίως ὀφθῆναι συνελόντα τὴν συναλοιφήν. τοῦτον δὲ καὶ ὡς ἀτερπῆ τὴν φωνὴν Πλάτων σκώπτει. ἤμπουσα φρούδη.

Σ Δ 37 Ἡγεμονεύω: διοικῶ. καὶ Ἡγεμόνει, ὑπερσυντελικός.

x + E 38 Ἦγε καὶ ἔφερεν: ἀντὶ τοῦ ἠχμαλώτιζε, κατέτρεχεν. ὁ δὲ ἐκεῖθεν ὁρμώμενος ἦγε καὶ ἔφερε τῆς ὑπ' ἐκείνῳ οὐκ ὀλίγην, καὶ αὐτὸς οὐδαμῆ ἦν αὐτῷ ἁλώσιμος.

Σ 39 Ἡγεμονία δικαστηρίου· τοῖς ἄρχουσιν οὐ πάσας πᾶσιν ἐφεῖτο δίκας εἰσάγειν· ἀλλὰ τῷ μὲν Ἄρχοντι τὰς τῶν ὀρφανῶν καὶ τὰ τῆς παρανοίας καὶ τὰς τῶν ἀποκλήρων ἐπιδικασίας, τοῖς δὲ λογισταῖς τὰς κατὰ τῶν ἀρξάντων εὐθύνας, τῷ μέντοι γε Βασιλεῖ τάς τε φονικὰς καὶ τὰς τῆς ἀσεβείας καὶ ἄν τις ἱερωσύνης ἡμφισβήτει· πρότερον δὲ καὶ τὰς περὶ τῶν ἱερῶν τοῖς ἱερεῦσιν ἀμφισβητήσεις· προηγόρευε δὲ καὶ τῶν νόμων εἴργεσθαι τοὺς ἐναντία. τῷ πολεμάρχῳ δὲ ὅσαι ἀποστασίου γραφὴν ἔφερον· ἔτι μὴν καὶ ὅσα ὁ Ἄρχων ἐν τοῖς ἀστοῖς, ὁ πολέμαρχος τοῖς μετοίκοις διήτει. οἱ θεσμοθέται συκοφαντίας καὶ δώρων καὶ ὕβρεων καὶ μοιχείας καὶ βουλεύσεως. τοῖς Ἕνδεκα ὅσαι λῃστὰς καὶ λωποδύτας καὶ ἀνδραποδιστὰς εἰσάγουσι. τῷ στρατηγῷ περὶ τριηραρχίας καὶ ἀντιδόσεως. οὕτως οὖν διαιτοῦντες ἡγεμονίαν δικαστηρίου ἔχειν λέγονται. ἀλλὰ γὰρ ὁ Βασιλεὺς καὶ τῶν μυστηρίων ἅμα τοῖς ἐπιμεληταῖς προΐσταται· ἔχει δὲ μόνος καὶ στέφανον.

Harp. 40 Ἡγεμονία δικαστηρίου· Αἰσχίνης κατὰ Κτησιφῶντος. ἀλλὰ καὶ πρὸς ἄλλους τῶν ἀρχόντων ἐλαγχάνοντο δίκαι· τὰς δὲ ἀπενεχθείσας αἱ ἀρχαὶ κατὰ τὸν αὐτὸν ἑκάστη νόμον εἰσῆγον εἰς δικαστήριον ἡγουμένη καὶ προεστῶσα. οἷον πρὸς μὲν τὸν Ἄρχοντα αἱ τῶν ὀρφανῶν καὶ τῶν ἐπικλήρων· πρὸς δὲ τὸν Βασιλέα αἱ τῆς ἀσεβείας· πρὸς δὲ πολέμαρχον ἀπροστασίου τε καὶ ἀπρονοησίου· πρὸς δὲ τοὺς θεσμοθέτας αἱ τῆς ξενίας τε καὶ δωροξενίας καὶ συκοφαντίας καὶ ψευδεγγραφῆς καὶ ὕβρεως καὶ μοιχείας καὶ ἐπιβουλεύσεως καὶ ἄλλων.

Σ 41 Ἡγεμονικόν: ὁ νοῦς. ἢ τὸ κυριώτατον τῆς ψυχῆς, ἐν ᾧ αἱ

37 — διοικῶ = P, Ba 248, 21 cf. Et. Gen.; l. = L 38 ὁ sq. Arr. Exc. fr. 31 39 = P cf. Bk. 310—11. Aristot. Ath. Pol. 56, 6; 61, 1, Poll. 8, 89 sq. 40 Harp. = P cf. Aristot. Ath. Pol. 59, 3; Aeschin. 3, 14 41 — νοῦς = P, Ba 248, 22, H, Ambr. 40 cf. Laert. 7, 159 τὸ sq. Laert. 7, 159

37 Z 974 38 Arr. cf. v. A 1401. Z 974 39 cf. v. E 1156 41 Z 973

A³(GIFVM) 2 αὖ A: ἂν F om. rell. γαλήνην] γαλήνη I γαληνὰ Kust. 5 Ἡγεμόνει] Ἡγεμονεύει GI 6 ἠχμαλώτευσε V 10 τὰ] τὰς Phot. 11 ἐπικλήρων Kust. cf. vs. 27 12 κατὰ τῶν] τῶν κατὰ V 14 περὶ om. AI 15 ἐναντία] cp. AV ἐν αἰτίᾳ coll. Poll. 8, 90 Hemst. 16 γραφαὶ V ἔτι] γε add. F ὅσα] καὶ add. A 17 διήτα Bhd. 18 ὅσα F ὅσοι M 20 διαιτῶντες A 21 δικαστήριον A γὰρ FV Phot.: καὶ rell. 23. 24 ἀλλὰ καὶ] ἄλλαι Harp. plen. 24 δίκαιον V 25 εἰσῆγεν F 27 καὶ F Phot. Harp.: καὶ αἱ rell. ἐπικλήρων F Phot. Harp.: ἀποκλήρων rell. cf. vs. 11 δὲ om. V 29. 30 ψευδογραφῆς V Phot. cf. Harp. 30 βουλεύσεως vs. 18, Phot. Harp

φαντασίαι καὶ αἱ ὁρμαὶ γίνονται, καὶ ὅθεν ὁ λόγος ἀναπέμπεται· ὅπερ εἶναι ἐν τῇ καρδίᾳ. Phil.

42 Ἡγεμών, ἡγεμόνος καὶ ὦ ἡγεμών. ἡγεμόνας ἐδέοντο τῆς ἀτραποῦ σφίσι ξυναποστεῖλαι, ὡς ἂν αὐτοὶ ἡγήσοιντο τούτοις ἐπὶ τὸ Σίρμιον. Δ E

43 Ἡγεμών: ὁ τῆς ὁδοῦ ἡγούμενος. Ξενοφῶν· καὶ τὸν ἡγεμόνα δήσαντες παραδιδόασιν αὐτοῖς. E

44 Ἡγεμὼν συμμορίας· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ὁ προέχων πλούτῳ καὶ διὰ τοῦτο τῶν ἄλλων ἡγεμονεύειν ἐπειλημμένος. Harp.

45 Ἡγεν: ἐτέλει. ὁ δὲ Ἰουλιανὸς ἐν Πέρσαις ὧν γυμνικοὺς ἀγῶνας ἦγεν. E

46 Ἠγερέεσθαι: συναθροίζεσθαι. Δ

47 Ἠγέριος: ὄνομα κύριον. Δ

48 Ἡγέτης: ὁ ἡγεμών. ὦ δικαὶ ἀγέτα θηροσύναι. Σ Anth

49 Ἡγηλάζω: ἄγω, φέρω. Ἡγηλάτουν ὁμοίως. Δ

50 Ἥγημα: βουλή, γνώμη. παρὰ τῷ προφήτῃ εἴρηται. Σ

51 Ἥγημαι: λελόγισμαι, ἔσχον. Σ

52 Ἡγήμων, ὁ Θάσιος, ὁ ἐπικληθεὶς Φακή. Suid.

53 Ἡγήμων· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. εἷς ἦν τῶν Μακεδονιζόντων καὶ τῶν ἐπὶ δωροδοκίᾳ διαβεβλημένων. τῶν δραμάτων αὐτοῦ ἐστι Φιλίννα, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς. Harp. Hesy.?

54 Ἤγειρα: παρώξυνα. Σ

55 Ἡγείσθην: ἀντὶ τοῦ ἡγοῦντο. Δ

56 Ἡγήσανδρος: ὄνομα κύριον. Δ

57 Ἡγήσιππος· οὗτός ἐστιν ὁ Ἀρώβυλος ἐπικαλούμενος, οὗ δοκεῖ τις εἶναι ὁ ζ′ Φίλιππος Δημοσθένης ἐπιγραφόμενος. τῶν δραμάτων αὐτοῦ ἐστι Φιλέταιροι, ὡς Ἀθήναιος. Harp. Hesy.?

42 — ἡγεμών cf. Ambr. 21 et 31, Et. M. 418, 15 ἡγεμόνας sq. Men. Prot. attr. Bhd. 43 καὶ sq. Xen. An. 4, 2, 1 44 Harp. = P, Lex. rhet. ap. Et. Gen. cf. Et. M. 418, 16; Dem. 18, 312 45 ὁ sq. fort. Eunap. 46 = Ambr. 50, H cf. Et. M. 418, 28 47 = Ambr. 28 48 — ἡγεμών = P, Ba 248, 23 ὦ sq. Anth. 6, 167, 2 49 cf. Ambr. 56; — ἄγω = Ambr. 42, Et. M. 418, 41 cf. sch. ρ 217 = Ap. S. 82, 12; H 50 — γνώμη = P, Σ^{a}, Ba 248, 24 προφήτῃ Ezech. 17, 3 51 = P; — λελόγισμαι = Ambr. 55 53 — διαβεβλημένων Harp. = P, Et. Gen., Et. M. 418, 43; Dem. 18, 285 Ἀθήναιος 15, 699 a 54 = P, Ba 248, 20 55 = L, sch. B 731 56 = Ambr. 24 57 — ἐπιγραφόμενος Harp. = P, Et. Gen., Et. M. 418, 46

43—44 Z 973 45 cf. vv. Γ 484 et Ε 322. Z 974 46 Z 974 48 Z 973 50 Z 973 52 ex v. Τιμαχίδας 54—55 Z 974

3 ἡγεμόνας—6 Ἡγεμών om. AT 4 ξυναποστεῖλους V αὐτοῖς Bhd. τούτοις] ταύτῃ Bhd. 9 περιέχων V πλούτῳ AI Harp. plen.: πλοῦτον rell. Phot. Harp. ep. 15 ἄγεται F 16 Ἠγηλάτουν ὁμοίως F: Ἠγηλάτουν AGI Ἠγηλατούμενος V Ἠγηλατούμενοι M 17 περὶ F τοῦ προφήτου FV 52 om. F mg. V 21 τῶν—22 Δειπνοσοφισταῖς om. TF 21. 22 δραμόντων V cf. vs. 27 22 ἐστι] εἰς τὴν V Δειπνοσοφίᾳ GIVM 54—5 extra ord. 24 Ἡγείσθην Zon. L: Ἡγάσθειν A Ἡγάσθην rell. 26 Κρώβυλος Harp. plen. 27 τιειν Harp. Φιλιππικὸς Harp. Δημοσθένους Harp. plen. cp. GF Et. Gen. δραμόντων V cf. vs. 21 28 Φιλέταιρος I Φλέταιρος A Φιλαίτερος V A^{1}F (GITVM)

Σ 58 Ἡγήσῃ: προηγήσοιτο.

Σ Δ 59 Ἡγήτορες: ἡγεμόνες. καὶ Ἡγητορία, ἡ ἡγεμονία.

60 Ἡγίας· οὗτος ἀμείνω τοῦ πατρὸς ἦν τὰ πρὸς ἀρετὴν ἥκοντα καὶ τὰ πρὸς λόγους. ἔτι μὴν μειράκιον γεγονὼς ἐλπίδας ἔσχεν ἐφ' ἑαυτῷ καὶ πᾶσι παρέσχεν ὡς οὐ πολύ τι ἀπολειπόμενος τοῦ μεγάλου Πλουτάρχου. τοιγαροῦν ὁ Πρόκλος ἠξίωσεν αὐτὸν ἔτι νέον ὄντα τῆς τῶν Χαλδαϊκῶν λογίων ἀκροάσεως. φιλομαθία τις αὐτῷ καὶ ἐπιείκεια προσῆν κατὰ φύσιν. ἀλλὰ τοῦτο δὴ τὸ εἰωθὸς ὁ πλοῦτος μέγα κακὸν ταῖς ψυχαῖς ἔοικεν εἶναι, νομὴν ἄφθονον τοῖς κόλαξι παρεχόμενος, οὐ χρυσίου μόνον (οὔπω γὰρ τοῦτο δεινόν), ἀλλὰ νέου ψυχῆς ἁπαλῆς καὶ ῥᾳδίως ὑπὸ τῶν τοιούτων θηρίων καταβοσκομένης, ὥσπερ ἀτεχνῶς ἄρτι ἀνθούσης βοτάνης. οὗτοι διέφθειραν τὴν Ἡγίου ζωὴν πρός γε τὸ μὴ γνησίως φιλοσοφεῖν. ἄλλως δὲ φιλομαθὴς ὅσα τὴν φύσιν ἐξηγήσασθαι· ἐπεὶ κατὰ τὴν ἄλλην συνήθειαν ἔστιν ὅπη καὶ διεκπίπτει τῶν ὀρθῶν λογισμῶν. ἱερὸς δὲ εἴπερ τις ἄλλος εἶναι βουλόμενος τά τε τῶν κηδεστῶν ἱερὰ λαθὼν ἐτελειώσατο κατὰ τὴν Ἀττικήν, οὐ πείσας ἐκείνους, καὶ πολλὰ ἄλλα τῶν κειμένων τέως ἐκ πλείστου χρόνου πάλιν ἐκίνησε παραβολώτερον ἢ εὐσεβέστερον τῇ προθυμίᾳ χρησάμενος. ὅθεν ἐν τῇ πολιτείᾳ περιβότος ἐγένετο καὶ χαλεποὺς ἐφ' ἑαυτῷ τοὺς ἐχθροὺς ἐπεσπάσατο τούς τε μεγάλων χρημάτων ὀρεγομένους, ὧν κύριος ἦν, καὶ ἀπὸ τῶν καθεστώτων νομίμων ἐπιβουλεύοντας· ἐνῆν γάρ τι τῷ Ἡγίᾳ καὶ τῆς Θεαγένους μεγαλόφρονος φύσεως ἐν ταῖς εὐεργεσίαις· ἀκριβέστερον δὲ ἐκείνου τοσοῦτον ὅσον ἐς φίλους καὶ δεομένους ἀναλίσκειν.

Σ 61 Ἠγλαϊσμένη: χαίρουσα, λαμπρυνομένη.

Ar. 62 Ἡ γλῶττα τῷ κήρυκι τούτων τέμνεται: τουτέστιν ἡ γλῶττα τῶν θυομένων τῷ Ἑρμῇ δίδοται. Καλλίστρατος δέ φησι τῶν θυομένων τὰς γλώσσας τοῖς κήρυξιν ἀπονέμεσθαι.

Ar. 63 Ἡ γλῶττ' ὁμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

64 Ἠγμένως: πεπαιδευμένως. καὶ Ἀγωγή, ἡ παίδευσις.

Σ 65 Ἠγμένος: τεθηρευμένος, καὶ πάντα πειθαρχῶν. ὁ δὲ ἠγάσθη τὸ μειράκιον ὥστε καὶ θυγάτριον ἔχων, ἠγμένον καὶ αὐτὸ φιλοσόφως, αὐτῷ κατεγγυῆσαι.

58 cf. P = Ba 248, 25, gl. Dionys. PG 4, 25 59 — ἡγεμόνες = P, Ba 248, 26, H cf. sch. B 78 Ἡγητορία sq. cf. Ambr. 39 et 38 60 Dam. fr. 221 61 = P, Ba 248, 27 62 Ar. Pl. 1110 c. sch. 63 Eur. Hipp. 612 e sch. Ar. Ach. 398 65 — πειθαρχῶν = P cf. H ὁ sq. Marin. c. 9

59 Z 973 63 cf. v. A 1796 64 Z 974 65 Marin. cf. v. Ὀλυμπιόδωρος

A²F(GIVMB) 1 Ἡγήσοι F 3 ἀμείνων A 4 ἔτι—24 ἀναλίσκειν] καὶ τὰ ἑξῆς F 4 μὴν M: μὲν rell. ἔσχεν] ἔχειν V ἐφ'] ἐν A 7 φιλομαθεία A τις] τις ἦν A 9 νομὸν B 13 ὅσην V 16 ἐτελεώσατο V 20 τοὺς pr. post vs. 21 ἀπὸ transtulit Bhd. ἐπισπάσατο V 22 τις VM 28 γλώσσας τοῖς A sch.: γλῶττας rell. 29 φρὴν ἀνώμοτος om. V 64 mg. V post 65 F 30 Ἠγμένος, πεπαιδευμένος A καὶ om. F 31 Ἠγμένος—δὲ om. V 32 φιλοσόφως] βουληθῆναι add. Bhd

66 Ἡγμένους: ἀγομένους. Δ
67 Ἡγνικότες: καθάραντες. Δ
68 Ἡγόμην: ἐτρεφόμην, ἐτύγχανον. ἡγόμην δ' ἀνὴρ ἀστῶν μέγιστος Soph.
τῶν ἐκεῖ, πρίν μοι τύχη τοιάδ' ἐπέστη.
69 Ἡγορόωντο: ἐδημηγόρουν.
70 Ἡγοῦμαί σου: ἄρχω σου· γενικῇ. Synt.
71 Ἡγουμενεία διὰ διφθόγγου. Δ
72 Ἡγούμενος: προηγούμενος. Σ
73 Ἤγουν, Εἴτουν: ἐπιρρήματα διασαφητικά.
74 Ἠγρίωσαι: ἀντὶ τοῦ σκληρύνῃ. Σοφοκλῆς· σὺ δ' ἠγρίωσαι
κοὔτε σύμβουλον δέχῃ, ἐάν τε νουθετῇ τις εὐνοίᾳ λέγων, στυγεῖς Soph.
πολέμιον δυσμενῆ θ' ἡγούμενος.
75 Ἠγροικισάμην: κακῶς ἐφθεγξάμην. Δ
76 Ἠγγύα: ἐβεβαίου. Δ
77 Ἡ δέ: ἀντὶ τοῦ ἡ αὐτὴ δέ. Σ
78 Ἤδεε: ᾔδει, ἠπίστατο. Hom.
79 Ἠδέσθη· αἰτιατικῇ. Synt.
80 Ἤδεσαν: ἔγνωσαν. Δ
81 Ἡδέσι: τοῖς γλυκέσιν. Δ
82 Ἤδει: ἠπίστατο. καὶ Ἤδεσαν ὁμοίως. Δ
83 Ἡδεῖα: γλυκεῖα. Δ
84 Ἤδεισθα: ᾔδεις. Δ
85 Ἢ δεῖ χελώνης κρέα φαγεῖν, ἢ μὴ φαγεῖν: τῆς χελώνης Σ
ὀλίγα κρέα βρωθέντα στρόφους ποιεῖ, πολλὰ δὲ καθαίρει· ὅθεν τὴν
παροιμίαν εἰρῆσθαι Δήμων. ἕτεροι δέ ἐπὶ τῶν ἀποδύντων μὲν τὸ
πρᾶγμα, στρατευομένων δέ. φασὶ δὲ αὐτὴν Τερψίωνος εἶναι.
86 Ἤδη: ἀπάρτι. Δ
87 Ἤδη: πρὸ τούτου, λοιπόν, τὸ ἐγγὺς τοῦ παρόντος νῦν ἀτόμου. Σ
μέρος δὲ χρόνου, ἢ τοῦ μέλλοντος ἢ τοῦ παρεληλυθότος· ἤδη τε γὰρ

66 = H cf. Ambr. 41 67 = Ambr. 51 cf. H 68 Soph. OT 775—7 c. sch.
69 = Ambr. 45 cf. sch. Δ 1 70 cf. Synt. Gud. 71 cf. Ambr. 37
72 cf. P 74 σὺ sq. Soph. Ph. 1321—3 75 = Ambr. 44 76 cf. Ambr. 43
77 = P, Σ^a cf. Ba 248, 28, sch. α 185 78 sch. B 832 = H cf. Ambr. 91
79 cf. An. Ox. 4, 293, 19, aliter Synt. Laur. 80 cf. H 82 — ἠπίστατο = L,
Lex. de spiritu cf. Ambr. 96. Ἤδεσαν sq. = Ambr. 92 cf. H 83 = Ambr. 77
84 = Ambr. 89 85 = P cf. Zen. IV 19, H 86 = L, Ps. Herodian. 45, 269,
Lex. de spiritu 87 = P, Σ^a, Ba 248, 30 cf. Bk. 262, 6

66 Z 974 68—9 Z 975 71 Z 973 74—5 Z 975 78 cf. 82. Z 977
80 Z 977 81 Z 976 82 cf. 78. Z 977 84 Z 977 86 Z 978

5 Ἠγοράοντο GIVM Ἠγορότων F 70 om. F mg. V 7 Ἠγουμενεία F A^2F(GIVM)
Zon. Ambr.: Ἡγουμενία rell. διφθόγγου F cf. Zon.: τοῦ ι rell. 9 ἐπίρρημα
διασαφητικόν coni. Bhd. 11 κοὔ τῆς M λέγων om. V 16 Ἤδεσε F
79 om. F mg. V 18 καὶ Ἤδεσαν ὁμοίως ἔ. V qui vs. 20 καὶ—ὁμοίως om.
25 ἕτερος V ἀποδυνάτων V τὸ om. F Phot. 26 στραγγευομένων
Casaub. cf. vv. I 744 et K 2740 δέ] δέον F 28 τὸ] τοῦ F om. Phot. ἀπο-
τόμου AGIM

βαδιεῖσθαι φαμέν· καὶ τὸ συνάπτον τῷ νῦν· ἤδη τε γὰρ βεβαδικέναι· οὐ πολὺ ἀφιστάντες τοῦ νῦν τὸν χρόνον.

Ar. 88 Ἤδη: ἀντὶ τοῦ λοιπόν, ταχέως. Ἀριστοφάνης Νεφέλαις· φεύγοις
E ἂν ἤδη τοὺς πονηρούς. καὶ Ἰάμβλιχος· ἤδη γὰρ ἐλεῶ σε, ὅτι τὰ
Σ αὐτά σοι δυστυχῶ. ἀντὶ τοῦ ἐγγὺς τοῦ παρόντος. καὶ αὖθις·
E εἰ δὲ ἤδη μεταμέλει τούτων Ἀντωνίῳ, καὶ αὐτὸς ξυνομολογῶ οὐκ
Soph. ἀπὸ θυμοῦ εἶναι φιλίαν ξυνάψαι Ῥωμαίοις. περὶ Πυθαγόρου· ἤδη γὰρ εἶδον πολλάκις καὶ τοὺς σοφοὺς λόγῳ μάτην θνήσκοντας· εἶθ' ὅταν δόμοις ἔλθωσι πάλιν, ἐκτετίμηνται πλέον. ὡς Πυθαγόρας καθείρξας ἑαυτὸν ἐν ὑπογείῳ λογοποιεῖν ἐκέλευσε τὴν μητέρα, ὡς ἄρα τεθνηκὼς εἴη. καὶ μετὰ ταῦτα ἐπιφανεὶς περὶ παλιγγενεσίας καὶ τῶν καθ' ᾅδου τινὰ ἐτερατεύετο, διηγούμενος πρὸς τοὺς ζῶντας περὶ τῶν οἰκείων, οἷς ἐν ᾅδου συντετυχηκέναι ἔλεγεν. ἐξ ὧν τοιαύτην ἑαυτῷ δόξαν περιέθηκεν, ὡς πρὸ μὲν τῶν Τρωϊκῶν Αἰθαλίδης ὢν ὁ Ἑρμοῦ, εἶτα Εὔφορβος, εἶτα Ἑρμότιμος Σάμιος, εἶτα Πύθιος Δήλιος, εἶτα ἐπὶ πᾶσι Πυθαγόρας.

Δ? 89 Ἤδη: τέρπῃ σύ.

Δ 90 Ἠδημόνουν.

ΔΣ 91 Ἥδιον: τὸ γλυκύ. Ἡδίων δὲ ἡδύτερος. ἀρσενικῶς διὰ
Δ τοῦ ω μεγάλου.

Δ 92 Ἡδίονος· τὸ συγκριτικόν.

Σ 93 Ἥδιστα: ἡδέως.

Thdr. 94 Ἠδολέσχησα: διελάλουν ἐμαυτῷ προσδιαλεγόμενος.

Δ 95 Ἥδομαί σοι: δοτικῇ. εὐφραίνομαί σοι. καὶ Ἥδομεν, εὐφραινόμεν.

Σ 96 Ἡδόμενος: ἀρεσκόμενος.

Phil. 97 Ἐκ τῶν Πλωτίνου. Ἡδοναί, λύπαι, θάρρη, φόβοι, ἐπιθυμίαι, ἀποστροφαὶ καὶ τὸ ἀλγεῖν, τίνος ἂν εἶεν; ἢ γὰρ ψυχῆς, ἢ χρωμένης ψυχῆς σώματι ἢ τρίτου τινὸς ἐξ ἀμφοῖν. διχῶς δὲ καὶ τοῦτο. ἢ γὰρ τὸ μῖγμα ἢ ἄλλο τι ἐκ τοῦ μίγματος. Ὅροι ἡδονῆς, α' λεία κίνησις,

88 — πονηρούς Ar. Pl. 96 c. sch. vs. 4 ἤδη—5 δυστυχῶ Iambl. fr. 25 εἰ—Ῥωμαίοις Arr. Parth. fr. 28, 2 περὶ sq. Soph. El. 62—4 c. sch. 89 cf. Ba 248, 29 = P; Ambr. 97 91 — γλυκύ = Ambr. 85 Ἡδίων—ἡδύτερος = P, Ba 249, 5 92 = Ambr. 72 cf. 67 93 = P, Ba 249, 4 cf. Ambr. 101, H 94 Thdr. in Ps. 76, 4, PG 80, 1477 b 95 δοτικῇ = Synt. Laur. et Gud., An. Ox. 4, 293, 18. — σοι alt. = Ambr. 100 96 = P, Ba 249, 6 97 — vs. 30 μίγματος Plotin. Enn. 1, 1. Ὅροι—p. 553, 4 μή Alex. Aphr. 164, 14—20

88 Z 978. Soph. cf. v. τί γάρ με λυπεῖ 94 Z 977 95 cf. 575 97 Laert. 2, 86 Z 976

A(GIFVMBD) 1 νῦν] ναῷ V 2 χορόν V 3 Νεφέλαις] Πλούτῳ BD 6 μεταμέλλει GM μεταβάλλει V 14 Αἰθαλίδης FV: Αἰθάλιδος AM Καιθαλίδης G Καιθάλιδος I 15 Εὔφορβος AF: Εὔφορμος V Ἄφορβος GIM 19 ἀρσενικὸν GIM 92 non nov. gl. F 24 δοτικῇ om. F 27 Ἡδονά M non nov. gl. AV 28 γὰρ om. A 29 ψυχῆς om. A σώματος V 30 μῖγμα—τι] ἢ ἄλλο τι μῖγμα V ὅροι ἡδονῆς mg. F (rubr.)

β' ἡ γένεσις εἰς φύσιν αἰσθητή, γ' ἡ ἄλογος διάχυσις, δ' ἡ ἐνέργεια τῆς κατὰ φύσιν ἕξεως ἀνεμπόδιστος, ε' ἡ τὸ παρακολουθοῦν τέλος ταῖς τελευταίαις ἐνεργείαις. ἐκ τούτων τῶν ὅρων ἰσχύει τις ἀνασκευάζειν καὶ κατασκευάζειν, ὅτι ἀγαθὸν ἡ ἡδονή, καὶ ὅτι μή. Ἡδονὴ δέ ἐστι λεία κίνησις, πόνος δὲ τραχεῖα κίνησις. καὶ τὴν μὲν εὐδοκητὴν πᾶσι ζῴοις, τὸν δὲ ἀποκρουστικόν. ἡδονὴν μέντοι τὴν τοῦ σώματος, ἣν καὶ τέλος εἶναι, οὐ τὴν καταστηματικὴν ἡδονήν τὴν ἐπ' ἀναιρέσει ἀλγηδόνων καὶ οἷον ἀοχλησίαν τέλος εἶναι φασί. διαφέρει δὲ τέλος εὐδαιμονίας. τέλος μὲν γὰρ εἶναι τὴν κατὰ μέρος ἡδονήν, εὐδαιμονίαν δέ τὸ ἐκ τῶν μερικῶν ἡδονῶν σύστημα, αἷς συναριθμοῦνται καὶ αἱ παρῳχηκυῖαι καὶ αἱ μέλλουσαι. εἶναί τε τὴν μερικὴν ἡδονὴν δι' αὑτὴν αἱρετήν, τὴν δὲ εὐδαιμονίαν οὐ δι' αὑτήν, ἀλλὰ διὰ τὰς κατὰ μέρος ἡδονάς. Ἡδονὴ δέ ἐστιν ἄλογος ἔπαρσις ἐφ' αἱρετῷ δοκοῦντι ὑπάρχειν. ὑφ' ἣν τάττεται κήλησις, ἐπιχαιρεκακία, τέρψις, διάχυσις. κήλησις μὲν οὖν ἐστιν ἡδονὴ δι' ὧτων κατακηλοῦσα, ἐπιχαιρεκακία δὲ ἡδονὴ ἐπ' ἀλλοτρίοις κακοῖς, τέρψις δὲ οἷον τρέψις, προτροπή τις ψυχῆς ἐπὶ τὸ ἀνειμένον· διάχυσις δὲ ἀνάλυσις ἀρετῆς. ἔστι δὲ περὶ ἑκατέρου μέρους τῆς ἀντιφάσεως συλλογισμὸς ἔνδοξος. ὅτι μὲν ἀγαθὸν ἡ ἡδονή, δείκνυσιν ὁ συλλογισμὸς οὗτος· οὗ πάντα ἐφίεται, ἀγαθόν· τῆς ἡδονῆς δὲ πάντα ἐφίεται· ἡ ἡδονὴ ἄρα ἀγαθόν. τὸ δὲ μὴ εἶναι αὐτὴν ἀγαθὸν ὁ τοιοῦτος· τὸ ἀγαθὸν ἀγαθοὺς ποιεῖ· ἡ ἡδονὴ ἀγαθοὺς οὐ ποιεῖ· οὐκ ἄρα ἡ ἡδονὴ ἀγαθόν. ἡ ἡδονὴ τοίνυν ἐστὶ κίνησις λεία· ἐνέργεια δὲ ἀτελὴς πᾶσα κίνησις· μηδὲν δὲ ἀγαθὸν ἀτελές· ἡ ἡδονὴ ἄρα οὐκ ἀγαθόν.

98 Ἡδονή: ἡ ἀκάθαρτος καὶ ἡ φυσικὴ κατάστασις, ἣν Ἐπίκουρος ἐδογμάτιζε, τέλος παντὸς πράγματος τὴν ἡδονὴν εἶναι τιθέμενος. τουτέστι τὸ πρώτιστον ἀγαθόν, ὅ ἐστι θεός. Greg.?

99 Ἡδονῆς ἀκρότης: τὸ πρὸς λύπην ἄμικτον. Phil.

100 Ἡ δ' ὅς: οἱ μὲν περὶ Ἐρατοσθένην ἀντὶ τοῦ ἔφη δὲ ὅς. διὸ καὶ δασύνουσι τὴν ἑξάτην· ἐντετάχθαι γὰρ ἄρθρον τὸ ὅς. καὶ ἦ, ἀντὶ τοῦ ἔφη· ἀλλὰ περιμενοῦμεν, ἦ δ' ὃς ὁ Γλαύκων. καὶ ἦν δ' ἐγώ, ἀντὶ τοῦ ἔφην δὲ ἐγώ. παρὸ δὴ καὶ Ἕρμιππος ἐν Ἀθηναῖς γοναῖς Σ

97 vs. 4 Ἡδονὴ—13 ἡδονάς Laert. 2, 86—8. vs. 13 Ἡδονὴ—17 ἀρετῆς Laert. 7, 114. vs. 18 ἔστι—22 ἀγαθόν Alex. Aphr. 77, 14—18. vs. 22 ἡ sq. l. l. 143, 21—25 98 cf. sch. Greg. Ann. n. 153 99 Alex. Aphr. 265, 19—20 100 = P cf. Et. Gen. = Et. M. 416, 31; Boethus ap. Didym. Miller, Mél. 399; ἀλλὰ—Γλαύκων Pl. Rep. 1, 327 b; Hermipp. fr. 1 (1, 225 K.); A 528, χ 8

99 Z 976 100 cf. 371 et 582

1 εἰς φύσιν F V Alex. (ex Aristot. Eth. Nic. 1152 b 13): ἡ φύσις rell. 2 ἡ ex F V A²F(GIVM) Alex. τὸ παρακολουθοῦν F Alex.: τοῦ παρακολοθοῦντος rell. τέλος F Alex.: τέλους I cp. rell. 4 ὅτι pr.—μή rubr. F ἡ om. A Ἡδονὴ] nov. gl. GIVM 5 δὲ om. F 6 μέντοι] μὲν V 7 et 8 τέλος F Laert.: cp. V τελείαν rell. 9 γὰρ om. V 10 αἷς A F Laert.: αἱ V M οἷς I οἱ G 13 Ἡδονὴ] nov. gl. A G I V 16 οἷον om. F 19 (et 22) ἀγαθὴ V ἡ om. F 25 ἡ alt. om. F 29 Ἐρατοσθένην F Phot. Et.: Ἐρατοσθένους rell. 31 ὁ Γλαύκων ex F V Phot.

ἠείν ἀντὶ τοῦ φησίν· ὁ Ζεὺς διδώνω πολλάς, φησί, τοὔνομα. Ἀρίσταρχος δὲ τὸ μὲν ἦ δ' ὅς ἀντὶ τοῦ ἔφη δὲ ὅς. τὸ δὲ ἦν δὲ ἐγώ, ἔφην δ' ἐγώ. τὸ δὲ ἦ τῶν ἀρχαίων ἔφη εἶναι λεξειδίων, Ὅμηρον δ' οὐ κατὰ πάντα χρῆσθαι αὐτῷ, οὐδὲ σχηματίζειν ἀπ' αὐτοῦ τὸ ἀνάλογον μέν, ὡς ὅταν λόγου τελευτὴν σημαίνῃ· ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι. καί, ἦ, καὶ ἐπ' Ἀντινόῳ. τοὺς δὲ μεθ' Ὅμηρον ἀδιαφόρως αὐτὸ τάσσειν.

Σ 101 Ἦ δ' ὅς: ἔφη δὲ ὅς. τούτῳ χρῶνται καὶ ἐπὶ πλήθους καὶ ἐπὶ
Prov. θηλυκοῦ καὶ ἀρσενικοῦ. καὶ παροιμία· Ἦ δ' ὅς, οὐ μόνον ἀντὶ τοῦ ἔφη, ἀλλὰ καὶ ἐπὶ πολλῶν τίθεται ἀντὶ τοῦ ἔφασαν.

Δ 102 Ἥδος: ὄφελος. ψιλοῦται. Ὅμηρος· ἀλλά τί μοι τῶν ἥδος, ἐπεὶ φίλος ὤλετο;

Δ 103 Ἡδωνὰ ἱμάτια: Θρᾳκικά.

Δ 104 Ἡδωνίς, Ἡδωνίδος. χώρα οὕτω λεγομένη. καὶ Ἡδωνοί,
Suid. ὄνομα ἔθνους. Αἰσχύλος. ὁ δ' αὐτὸς ἐν Ἡδονῇ καὶ τὰς νεβρίδας οὕτως καλεῖ. καὶ ζήτει ἐν τῷ αἰγίζειν.

Σ Δ 105 Ἥδρασεν: ἐστήριξεν. καὶ Ἡδρασμένος, βέβαιος, πάγιος.

Δ 106 Ἡδραίωται.

Δ 107 Ἡδρυμένος: ηὐξημένος.

Δ 108 Ἡδύγαιον: τὸ καλὴν ἔχον γῆν.

Σ 109 Ἡδυεπής: ἡδυλόγος.

Harp. 110 Ἡδύλειον: ὄρος, ὅπερ ἐστὶν ἐν Βοιωτίᾳ.

Synt. 111 Ἡδύνομαι· δοτικῇ.

Δ 112 Ἡδύοσμος: εἶδος βοτάνης.

Σ 113 Ἡδυπαθής: φιλήδονος, πάθει χαίρων. καὶ Ἡδυπάθεια,
Δ ἡ πορνεία.

101 — ἀρσενικοῦ cf. sch. Pl. Phaed. 65 b; P = Ba 249, 8 vs. 9 Ἦ δ' ὅς sq. cf. Paroem. ed. Gsf. 57 n. 489 102 — ψιλοῦται = Lex. de spiritu cf. Eust. O. 1417, 19 (vid. Paus. Att. fr. 190); Herodian. gr. in Et. M. 420, 30, sch. A in A 576, sch. Ap. Rh. 1, 1294 (Herodian. ed. Lentz 1, 537, 10); — ὄφελος = Lex. de spiritu, L s. v. εἶδος cf. P = Ba 249, 13, Ambr. 80. H. Ὅμηρος Σ 80 103 = Ambr. 86 104 — χώρα cf. Ambr. 74. Ἡδωνοί—ἔθνους cf. Ambr. 73 105 — ἐστήριξεν = P, Ba 249, 7 cf. H Ἡδρασμένος sq. cf. Ambr. 88 106 = L 107 = Ambr. 93 108 = Ambr. 82 109 = P, Ba 249, 12, H, Ps. Herodian. 45 cf. sch. A 248 110 cf. Harp. = P; — ὄρος = Ambr. 87 112 = Ambr. 65, Ps. Herodian. 45 113 — χαίρων = P, Ba 249, 14, Ambr. 70, H Ἡδυπάθεια sq. = Ambr. 78

103 Z 977 104 Z 976 et 977. Αἰσχύλος sq. ex v. Al 44 105 Z 978 107 Z 977 108 Z 976 110 Z 976 112 cf. v. M 1083. Z 975 113 Z 975 et 976

A³(GIFVM) 1 διδώνω—τοὔνομα om. in lac. A διδώνω GIF Phot.: διδώνα V διδώναι M δίδωμι Dobree πολλὰς FV Phot.: πολὺ GI πολλὺ M Παλλὰς Dobree φησί] ἠσί Dobree 3 δ' ex F Phot. ἔφη] ἔφην V Ὅμηρος F 4 χρηματίζειν F 5 μὲν del. Bhd. ὅταν] μὲν add. F 8 οὕτω F πλήθει IV 10 ἔφησαν F 11 Ὅμηρος F: cp. V ὅμως rell. τῶν] τὸ A τούτων I 14 οὕτως F λεγομένη F: cp. V λέγεται rell. Ἡδονοί V Ἡδονή F 15 Αἰσχύλος— 16 αἰγίζειν om. F mg. V 15 Ἡδωνῇ IM cf. v. Al 44 16 καὶ—αἰγίζειν om. V 107 non nov. gl. F 23 αἰτιατικῇ V (mg.) 112 om. F

114 Ἡδύς: εὐήθης. ἐκάλουν δὲ οὕτω καὶ τοὺς ὑπομώρους. Σ
115 Ἡδύσματα: βρώματα, ἢ εὐοσμία. Σ
116 Ἦε: ἐπορεύετο. Δ
117 Ἠέ: βαρυτόνως διαζευκτικὸς σύνδεσμος. ἠὲ διατμῆξαι κοῖλον δόρυ. Σ
περισπωμένως δὲ ἀπορηματικὸς περισπᾶται. ἦ μαχεούμενον. ἠὲ καὶ οὐκί.
118 Ἠέλιος: ὁ ἥλιος. καὶ Ἠελιῶτις. Δ
119 Ἤεμεν: ᾔδειμεν. Harp
120 Ἦεν: ὑπῆρχεν. Δ
121 Ἢ ἐν ὁδῷ καθελών: ἀντὶ τοῦ ἐνεχθέντα ἑλών. τουτέστιν ἔν Harp.
τινι ἐνέδρᾳ καταβαλών. Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους.
122 Ἠέρα: ἀορασία. Δ
123 Ἠερέθονται: ἀπαιωροῦνται. Δ
124 Ἠερίβοια: ὄνομα κύριον. Δ
125 Ἠέριαι· καὶ Ἠερίη, ἑωθινή. καὶ Ἠερινός, ὀρθρινός. Δ
126 Ἠερόεν καὶ Ἠεροειδές: σκοτεινόν. Δ
127 Ἠερόεις: ὁ σκοτεινὸς ᾅδης. Δ
128 Ἤερος ὄγμοι: αἱ ὁδοί, οἱ τόποι. λέγεται δὲ θηλυκῶς ἐν Call.?
Ἐπιγράμμασι· καὶ διὰ μέσης ἠέρος εὔαγρον τοῖσδε δίδου κάματον. Anth.
129 Ἠεροφοῖτις: ἡ ἀοράτως ἐρχομένη κατὰ τὰ ἔργα. Σ
130 Ἦεσαν: ἐπορεύοντο. Σ
131 Ἠετίων: ὄνομα κύριον. Δ
132 Ἠετιώνεια: οὕτως ἐκαλεῖτο ἡ ἑτέρα τοῦ Πειραιέως ἄκρα ἀπὸ Harp
τοῦ κατακτησαμένου τὴν γῆν Ἠετίωνος. καὶ Ἠετιώνειος δίαιτα, Δ
ἡ τοῦ Ἠετίωνος. Δ
133 Ἦει: ἐπορεύετο.

114 = P, Ba 249, 15, sch. Pl. Rep. 7, 526d cf. Tim., Et. M. 420, 42 115 = P, Ba 249, 17 116 = Ambr. 120 cf. sch. A 307 117 = P cf. Ap. S. 82, 21, H, sch. cf. Herodian. in sch. A in A 190; Θ 507; λ 402; B 300 118 — ἥλιος = Ambr. 105, Ps. Herodian. 44, Lex. de spiritu 119 Harp. = P 120 = Ambr. 124 cf. H = sch. Γ 211 121 Harp. = P; Dem. 23, 53 122 = Ambr. 111 cf. sch. Θ 50, H 123 = L cf. sch. Γ 108, H, Et. M. 421, 3 124 = Ambr. 114, Ps. Herodian. 44, Et. M. 421, 31 125 Ἠέριαι Γ 7. Ἠερίη, ἑωθινή cf. Ambr. 112 = sch. A 497, Et. M. 421, 19, H; Ambr. 116 126 cf. H. Ἠεροειδές sq. = Ambr. 119 cf. Et. M. 421, 47, H, sch. Ψ 744 127 — σκοτεινός = L cf. Ambr. 104, sch. O 191, H 128 l. fort. Call. Hec. καὶ sq. Anth. 6, 183, 5—6 129 = P cf. Ba 249, 19, H, Et. M. 421, 55 130 = P, Ba 249, 18, Ambr. 121 cf. sch. K 197 = H 131 = Ambr. 107, Ps. Herodian. 44, Lex. de spiritu 132 — Ἠετίωνος pr. Harp. = P cf. Bk. 262, 25 Ἠετιώνειος δίαιτα = Ambr. 117 133 = Ambr. 120, sch. θ 290, H cf. P = Ba 249, 3

114 Z 975 115 Z 976 118 Z 978 120 cf. 135. Z 979 121 cf v. ὁδός 2 123 Z 979 125 Z 979 et 978 127 Z 978 128—30 Z 979 131 Z 978 132—3 Z 979

1 οὕτως V 4 ὀξυτόνως F Kust. 5 ἀπορρηματικὸς FGI cf. Phot. A²F(GIVM)
περισπᾶται om. I Port. μαχεόμενον A Kust. ἠὲ] ἢ V 7 Ἠελιώτης I^{ac}
8 Ἤεμεν v. l. Harp. ᾔδημεν AI 12 ἀοραείαν A, sch. Zon. 978 18 θηλυκῶς F: θηλυκὸν rell. cf. p. 556, 27 20 ὡράτως VM

Δ 134 Ἤειρεν: ἔδησεν.
135 Ἤϊα: ὑπῆρχον.
Σ 136 Ἠΐθεος: ἄφθαρτος πρὸς γυναῖκας. καὶ ἐν Ἐπιγράμμασι·
Anth. ἠϊθέοις οὐκ ἔστι τόσος πόνος, ὁππόσος ἡμῖν ταῖς ἀταλοψύχοις. καὶ
ὁ ἴσος τοῖς θεοῖς.
Δ 137 Ἤικτο: ὡμοίωτο.
Σ 138 Ἠϊόεντι: καλὸν αἰγιαλὸν ἔχοντι.
Δ 139 Ἠϊόεις: ὁ αἰγιαλός.
Δ 140 Ἤιον: τὸ εἰς ὁδὸν βρῶμα.
Σ 141 Ἠϊόνα: αἰγιαλόν, ὄχθην.
Δ 142 Ἠϊονεύς: ὄνομα κύριον.
Δ 143 Ἠϊών: ὁ αἰγιαλός.
Hom. 144 Ἠΐων: ἀχύρων. Ὅμηρος· ὡς δ' ἄνεμος ζαὴς ἠΐων θημῶνα
τινάξει. καὶ Βάβριος· οὔπω καιρός ἐστιν ἤϊα λύειν.
Δ 145 Ἠΐσκομεν: ἀπεικάζομεν.
Soph. 146 Ἠΐστωσας: ἠφάνισας. σὺ γάρ μοι πατρίδ' ἠΐστωσας δορί.
Δ 147 Ἠΐχθη: ὥρμησεν.
Σ 148 Ἠθάδων: συνήθων. χειμέριον νύκτα ἐτήρησαν, ἐν ᾗ οὐδ' ἄν
Ε τις αὐτῶν τῶν βαρβάρων ἠθάδων ἄνευ τινὸς ἐξαισίου ἀνάγκης ἔξω
τῶν σκηνωμάτων ἐγένετο.
Δ 149 Ἠθαλωμένος: ὁ κεκαυμένος.
Δ 150 Ἠθάμ: ὄνομα τόπου. Ἑβραϊστὶ δὲ λέγεται αἷμα.
Hdt. 151 Ἤθεα: παρὰ Ἡροδότῳ οἱ τόποι, ἐν οἷς ἀναστρέφονται.
Σ 152 Ἦθέμις: ὡς νόμος, ὡς προσῆκον.
153 Ἠθεῖε: τοῦτο οὔτε ψιλῶς ἐπὶ ἀδελφοῦ φέρεται οὔτε πρεσβύτου,
ἀλλ' ἐπὶ σεπτικῆ προσηγορίᾳ, καθ' ἣν νέος πρεσβυτέρῳ ἀδελφῷ
Δ προσφωνεῖ. τὸ δὲ πλῆρες Ἠθεῖε. καὶ θηλυκὸν Ἠθεία.

134 cf. sch. K 499, aliter Ambr. 122; L = H 135 cf. sch. Ε 808, aliter Ambr. 152, P 136 — γυναῖκας Tim. = P ἠϊθέοις—ἀταλοψύχοις Anth. 5, 299, 1–2 137 = H cf. Et. M. 423, 57 aliter Ambr. 151, sch. δ 796 138 = P, Ba 249, 23 cf. Et. M. 423, 7, sch. Ε 36 139 cf. Zon. 982, Ambr. 142 140 βρῶμα = Ambr. 147 cf. Et. M. 423, 20, sch. Ap. Rh. 1, 659, H, Ap. S. 82, 33; sch. N 103, Lex de sp. 141 = P, Ba 249, 24 cf. sch. M 31 = sch. Luc. 268, 19; H 142 = Ambr. 143, Lex. de spiritu 143 = Ambr. 139, Ps. Herodian. 44, Et. M. 422, 51, An. Ox. 2, 446, 1 144 — τινάξει ε 368 c. sch. cf. Et. M. 423, 28 οὔπω sq. cf. Babr. 88, 11 145 = Ambr. 150 (in Φ 332) 146 Soph. Ai. 515 c. sch.(?) cf. Ambr. 148, H 147 = Ambr. 149 cf. H aliter sch. Γ 368 148 — συνήθων = P, Ba 249, 20 cf. H, Ambr. 127 χειμέριον sq. cf. Polyb. fr. 38 ex v. Ε 1584 150 — τόπου = Ambr. 131, Ps. Herodian. 46 151 gl. Hdt. 1, 156 cf. sch. Z 511 = Ap. S. 82, 30, Ambr. 135, H 152 = Ba 249, 22, P cf. sch. B 73 153 — προσφωνεῖ cf. sch. A in Z 518 et X 229 (Aristonic.), Et. M. 422, 7, H

135 cf. 120. Z 982 136 cf. v. A 4314. Z 981 137–8 Z 982 139 cf. 143 140 cf. v. Εἰ 6. Z 982 141 Z 982 143 cf. 139 145–7 Z 982 148 cf v. σκηνημάτων. Z 980 149 Z 981 150 Z 980 151 cf. v. Ε 1716. Z 981

A²F(G1VM) 1 Ἤειρεν A 2 ὑπῆρχεν V 3 καὶ ex F solo 4 ἠΐθεος V ὅππόσος GV: ὅποσος rell. τοῖς IF 8 αἰγιαλώδης (ed. pr.) Zon. Ambr. cf. vs. 12 13 Ὅμηρος] ὅμως V ζαὸς F 14 τινάζει A 16 δουρί A δηρί GM 22 Ἠθάμη F τόπου] πόλεως F 24 ὡς pr.] ὁ F 25 πρεσβυτέρου AI 27 θηλυκῶς F cf. p. 555, 18

154 Ἠθλοθέτει: τοὺς ἀγῶνας διετίθει. ἕως ὁ μέγιστος Ἑλλανοδίκης Γαϊνὰς τὸν Ῥωμαϊκὸν ὅλεθρον ἠθλοθέτει. τουτέστι τὸν ἀγῶνα διετίθει. E

155 Ἠθμός: ὁ διυλιστήρ. καὶ μέντοι καὶ διακριθὲν πρότερον ὑπὸ τοῦ λεγομένου ἠθμοῦ. Δ

156 Ἠθολόγος: θεατριστής. Σ

157 Ἠθοποιΐα: μίμησις ἤθους ὑποκειμένου προσώπου.

158 Ἧκα: ἡσύχως. Δ

159 Ἤκαλλον: ἐθώπευον. ἀπὸ τοῦ αἰκάλλω θέματος. Ecl.

160 Ἡ κάμηλος ψωριῶσα πολλῶν ὄνων ἀνατίθεται φορτία.

161 Ἤκαχες: ἐλύπησας, παρέτρεψας. ἆ πόσων ἠθέων νόων ἤκαχες· ἀλλ' ἴδε, Λήθην ναίεις ἀγλαΐην ἐν χθονὶ κατθεμένη. περὶ Λαΐδος τῆς ἑταίρας. Δ + Anth

162 Ἤκαχον· ἠρώων τὸν ἀοιδὸν Ἴμ ἔνι παῖδες Ὅμηρον ἤκαχον, ἐκ Μουσέων γρῖφον ὑφηνάμενοι. ἀντὶ τοῦ ἐλύπησαν. Anth. + Δ

163 Ἠκαιρεῖσθε: ἐκωλύεσθε, καιρὸν οὐκ εἴχετε. Σ

164 Ἧκεν: ἐφῆκεν. Σ

165 Ἠκέσατο: ἰάσατο, ἐθεράπευσεν. Σ

166 Ἠκέστης: ὁ ἀδάμαστος. Δ

167 Ἠκεστίδης: ὄνομα κύριον. Δ

168 Ἤκεστος. Δ

169 Ἧκει: ἀντὶ τοῦ ἑώκει, ὡμοίωτο. ὄρτυξ καλεῖται, καὶ γὰρ ἧκει ὄρτυγι. ἀπὸ τοῦ εἴκω, τὸ ὁμοιῶ. Ecl.

170 Ἧκεις· ἀλλ' οὖν ἧκεις γ' ὅθεν ἥκεις, φαύλως τ' ἀποδρὰς οὐ λέξεις, οἷον δράσας διέδυς ἔργον; λήψῃ δὲ κακόν. ἧκεις, φησίν, εἰς τὰς χεῖρας ἡμῶν, ὅθεν οὐ φεύξῃ. Ar

171 Ἠκή: ἡ ὀξύτης τοῦ σιδήρου. Δ

172 Ἠκηδίασεν. Δ

154 ἕως—ἠθλοθέτει Eunap. fr. 79, FHG 4, 49 155 — διυλιστήρ = Ambr. 129 καὶ pr. sq. Artem. 5, 5 156 = P, Ba 249, 21, H, Ambr. 128 157 = Hermogen. Progymnasm. c. 9 init. cf. H 158 = Ambr. 176, Ps. Herodian. 47, Lex. de spiritu cf. sch. Γ 155 = Et. M. 424, 5; H, Ap. S. 83, 5 159 — αἰκάλλω = An. Ox. 2, 444, 3; — ἐθώπευον = Ambr. 163 160 Synes. Ep. 113, 254 b 161 — ἐλύπησας cf. Ambr. 171 = sch. Π 822, Ap. S. 83, 6; H ἆ sq. Anth. 7, 220, 5—6 162 — ὑφηνάμενοι Anth. 7, 1, 1—2 ἐλύπησαν cf. ad 161 163 = P, Ba 249, 25 cf. Ambr. 173 164 = P, Ba 249, 26 cf. sch. A 382, H 165 = P, Σ^{a} cf. Ba 249, 27, Lex. de spiritu, H, sch. Ε 402, Ambr. 172 166 = Ambr. 153 cf. sch. Z 94 = Herodiani schem. Jb. 149, 341 n. 57; H, Paus. Att. fr. 193 ap. Eust. O. 1473, 45 167 = Ambr. 156 169 (praeter ὡμοίωτο) = An. Ox. 2, 444, 4 cf. P v. ἧκειν; Ar. Av. 1298 170 Ar. Th. 710—13 c. sch. 171 = Et. M. 424, 18 cf. Ambr. 157

154 cf. v. Ε 740. Z 981 155 cf. vv. Δ 605 et I 240. Z 980 156—7 Z 980 158 Z 984 159 cf. v. AI 160 161 cf. v. A 822—3. Coisl. 177. Z 983 162 cf. v. Γ 458. Z 983 163 Z 983 165—6 Z 983 169 Z 983

2 τουτέστι—3 διετίθει om. F 4 καὶ pr.—5 ἠθμοῦ om. F 6 Ἠθηλόγος V A^{2} F (G I V M) 11 Ἤκαχες pr.—12 ναίεις F (Kust.): εἰς rell. νόον Anth. 12 καταθεμένη IF 162 non nov. gl. G M 14 Ὅμηρος F 15 ἐλύπησεν V 22 ὡμοιώσατο A G I M

Σ 173 Ἠκιςμένους: ἠφανιςμένους.

Σ 174 Ἥκιστα: οὐδαμῶς, οὐχ ἧττον. καὶ Λιβάνιός φηςιν· εἴ τινα ἄλλον τρόπον, ὃν ἥκιστα ὤφθη μετελθών ὁ ἐπὶ τῇ φιάλῃ ἔμπορος.

E ἥκιστα δ' ἄν τις αὐτὸν ἐθεάςατο παρεκβαίνοντα τὸ ἀληθὲς ἔργῳ ἢ
E λόγῳ ποτέ. ὁ δὲ Δομετιανὸς ὕπατον αὐτὸν ἀποφήνας ὡς ἥκιστα
E ἐπιφανῆ πιστεύει τὴν ςτρατιὰν πρὸς Κελτούς. καὶ αὖθις· τὰ τῆς
Phil. ἐμπορίας ἐπικερδῆ ἥκιστα αὐτῷ ἦν. Ξενοφάνης ἔφη· τοῖς τυράννοις
ἐντυγχάνειν ὡς ἥκιστα ἢ ὡς ἥδιστα. καὶ αὖθις· ἥκιστα μελῆςαν
Σ αὐτοῖς τῆς ἀληθείας. ἀντὶ τοῦ οὐδαμῶς. Ἰάμβλιχος· ἀνὴρ
E ἐπιςτάμενος ἥκιστα ψεύδεςθαι, φίλος δὲ εἴπερ τις ἄλλος ἀληθείᾳ. καὶ αὖθις· ἥτις δεινὸν ἡγηςαμένη καὶ φορητὸν ἥκιστα ἑαυτὴν διέφθειρε. καὶ αὖθις· τὸ δαιμόνιον πάντα ἐφορᾷ καὶ ἥκιστα βούλεται ταῖς τιμωρίαις ἀπαραιτήτους τε καὶ ἀμειλίκτους εἶναι. Οὐχ ἥκιστα δὲ ἀντὶ τοῦ πάνυ, μάλιςτα.

Hom. 175 Ἥκιστος: ἐλάχιστος. παρὰ τὸ ἧκα, ὅ ἐςτιν ἡςυχῆ. καταςτρέφει δὲ εἰς τὸ ἐλάχιστον. καὶ ψιλῶς προενεκτέον, οὐχ ὡς παρὰ τοῖς Ἀττικοῖς δαςύνεται.

EV 176 Ἥκμαζεν: ἔρρωτο. ὁ δὲ Τραϊανὸς τῇ ψυχῇ ἤκμαζεν, ὥςτε μήτε ὑπὸ νεότητος θραςύνεςθαι μήτε ὑπὸ γήρως ἀμβλύνεςθαι.

Δ 177 Ἥκομεν: παρεγενόμεθα.

178 Ἠκόνα τὴν προθυμίαν.

Hdt. 179 Ἠκούςης: ἐχούςης, παρὰ Ἡροδότῳ.

Σ 180 Ἧκω: ἦλθον.

Ar. 181 Ἧκω τοῦ κατέρχομαι διαφέρει. ἐλθεῖν μὲν εἰς τὴν πόλιν ἐςτίν, ὅταν μετῇ τινι τῆς πατρίδος· ὅταν δὲ φυγὰς ἔλθῃ, κατέρχεται. Ἀριςτοφάνης Βατράχοις· εἰς γῆν μὲν ἐλθεῖν ἔςθων ὅτῳ μετῇ πάτρας·

173 = P, Ba 249, 28 174 — ἔμπορος = P, sch. Pl. Leg. 10, 899 d, sch. Luc. 229, 29; — ἧττον = Ba 249, 29; — οὐδαμῶς = Lex. de spiritu, Et. Gen., Bk. 147, 9, An. Ox. 2, 372, 32; 374, 15 cf. Bk. 262, 3. Λιβάνιος non repertum vs. 4 ἥκιστα—5 ποτέ Iambl. fr. 11, falso Dam. fr. 23 vs. 6 τὰ—7 ἦν Aelian. fr. 71 Ξενοφάνης—ἥδιστα Laert. 9, 19 vs. 9 ἀνὴρ—10 ἀληθείᾳ Iambl. fr. 11 ἥτις—διέφθειρε Aelian. vs. 12 τὸ—13 εἶναι Aelian. Οὐχ—πάνυ = An. Ox. 2, 374, 18 πάνυ cf. P = sch. Pl. Leg. 10, 899 d, sch. Luc. 229, 29; μάλιςτα = An. Ox. 2, 373, 5 cf. Bk. 262, 3 175 — ἐλάχιστος cf. H. παρὰ sq. = sch. A in Ψ 531 cf. Et. M. 424, 29, Herodian. ap. An. Ox. 2, 372, 32 176 Cass. D. 68, 6, 3 = EV 2, 364, 18 + 19 —365, 1 177 cf. Ambr. 165 et 169 178 fort. Metaphr. 179 Gl. Hdt. 1, 30 180 = P, Ba 249, 30 cf. Ambr. 167 181 Ar. Ran. 1163—5 c. sch.

178 Z 984 174 Iambl. cf. v. El 207. οὐχ ἥκιστα sq. cf. vv. οὐκ ἀπεικός et οὐχ ἥκιστα 175 Z 983 176 hinc v. μήθ' ὑπὸ cf. v. A 1528 et v. πονεῖςθαι 179 Z 984

A² F(G I V M) 3 φιάλῃ] φιλίᾳ V 4 ἥκιστα] nov. gl. A M 5 αὐτὸν] ὠτὸν V ἀπέφηνεν F 6 τὴν ςτρατιὰν] τὸν Χριςτιανὸν V πρὸς τοὺς K. F 7 ἐμπορίας F, ed. pr.: ἐμπειρίας rell. Ξενοφ()της V M 8 ἐντυγχάνειν A Laert.: ἐντυγχάνει rell. μελῆςαν F: μελῆται rell. 12 πάντες V 13 τε om. V 17 δαςέως F cp. V M 18 ἔρρωςτο V M Τραϊανὸς] τριὰ V 19 αὐλύνεςθαι V M 178 om. F mg. V 22 ἐρχούςης V 180 om. sed ἀντὶ τοῦ ἦλθον ss. F 24 κατερχομένου V 26 ἔςθων] ἔςτιν A ἔςθ' Ar.

χωρὶς γὰρ ἄλλης συμφορᾶς ἐλήλυθεν. φεύγων δ' ἀνὴρ ἥκει τε καὶ κατέρχεται.

182 Ἥκω: τὸ ἔρχομαι, διὰ τοῦ η, ἵκομαι δὲ παθητικὸν διὰ τοῦ ι. Δ

183 Ἡκροβολίζοντο. Δ

184 Ἠκρωτηριασμένος· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος· Harp.
ἠκρωτηριασμένοι τὰς αὐτῶν ἕκαστοι πατρίδας. ἀντὶ τοῦ λελυμασμένοι. οἱ γὰρ λυμαινόμενοί τιςιν εἰώθασι περικόπτειν αὐτῶν τὰ ἄκρα. τὸ μέντοι ἠκρωτηριασμένοι ἀντὶ τοῦ ἠκρωτηριακότες.

185 Ἠκουσιάσθησαν: ἑκουσίως ἠθέλησαν ποιῆσαί τι.

186 Ἧκτο: ἧγετο. ἐκ τοῦ ἄγω τὸ φέρω. Δ

187 Ἡ κύων ἐν τῇ φάτνῃ: ἐπὶ τῶν μήτε ἑαυτοῖς χρωμένων μήτε Prov.
ἄλλους ἐώντων· παρόσον αὕτη κριθὰς οὐκ ἐσθίει καὶ τὸν ἵππον κωλύει.

188 Ἠκύρουν: ἀβέβαια ἐποίουν. Ἐκύρουν δὲ ἐτύγχανον. βωμῷ θύων ἐκύρουν. Suid.

189 Ἠλαζονεύετο: ἀντὶ τοῦ ἐψεύδετο. Ἀριστοφάνης Βατράχοις· Ar.
ἠλαζονεύεθ', ἵνα φοβηθείην ἐγώ, εἰδώς με μάχιμον ὄντα, φιλοτιμούμενος.

190 Ἠλακάτη: ἐργαλεῖον γυναικός. ἐργάτιν εὐκλώστου νήματος Σ Anth.
ἠλακάταν. καὶ Ἠλάκατα, λεπτὰ νήματα.

191 Ἤλαλκον: ἀπεσόβουν. Δ

192 Ἤλασεν: ἔσκαψεν, ἔπληξεν. Σ

193 Ἠλάσκοντο: ἐπλανῶντο. Δ

194 Ἠλάστρεον: ἐδεινοπάθουν. Δ

195 Ἤλατο: ἐπήδησεν. Ἠλᾶτο δὲ ἐπλανᾶτο. καὶ ὁ μὲν τῶν Δ
νόμων ἡττώμενος ἠλᾶτο. E

196 Ἤλαυνε δ' ἔσχατος Ὀρέστης τῷ τέλει πίστιν φέρων. οἷον Soph.
πιστεύων, ὅτι ἐπὶ τῷ τέλει τοῦ δρόμου παρελεύσεται.

182 — ἔρχομαι = Ps. Herodian. 47 et 246, Lex. de spiritu. διὰ pr. sq. cf. Ambr. 169 183 cf. Ambr. 160 184 Harp. = P cf. Ambr. 174, Dem. 18, 296 186 — ἧγετο = L 187 = Diogen. V. II 83, Philol. Suppl. 6, 232, n. 69 cf. P, H 189 Ar. Ran. 280—1 c. sch. 190 — γυναικός = P, Ba 250, 3 cf. sch. Z 491, Et. M. 424, 43, Ap. S. 83, 8, Ambr. 214, Apion, H ἐργάτιν—ἠλακάταν Anth. 6, 174, 4 Ἠλάκατα sq. in ζ 53 191 = Ambr. 238 192 = P, Σ^{a}, Ba 249, 31 cf. sch. H 450, Ap. S. 83, 13, Apion, H 193 = Ambr. 240 cf. H, Et. M. 424, 53 194 cf. Ambr. 241, sch. O 21, H 195 — ἐπλανᾶτο cf. H; — ἐπήδησεν = L, Lex. de spir. καὶ sq. fort. Aelian. 196 Soph. El. 734—5 c. sch.

183 cf. v. πλήθουσα ἀγορά 185 Z 984 187 cf. v. K 2729 188 hinc v. Є 704 extr.; Ἐκύρουν sq. ex v. Є 704 189 cf. vv. Єl 89 et M 304. Z 987 190 Z 985 191—5 Z 988 193 cf. v. I 301 196 cf. v. τῷ τέλει

182 non nov. gl. A 3 διὰ τοῦ ι ante παθητικὸν A 5 Ἠκρωτηριασμένοι A^{2}F(GIVM) A Harp. 6 ἑαυτῶν F Harp. plen. 7 τιςιν FV Phot. Harp.: τοὺς in lac. GI τοὺς cἶν M om. in lac. A 185 extra ord. 9 Ἠκουάσθησαν V 11 χρωμάτων V 12 ἐόντων FIM κριθὰς F Paroem.: κατεκρίθη V κριθὴν rell. Zon. 188 om. F 13 Ἐκύρουν—14 ἐκύρουν mg. V 16. 17 φιλοτιμούμενος A Ar.: καὶ φιλοτιμούμενον rell. v. l. v. M 304 19 ἠλακάταν F Anth.: ἠλακάτην AG cp. IVM 27 τοῦ δρόμου om. F

Σ 197 Ἤλεγχον: ἐφανεροποίουν· ἢ ἀνέκρινον, ὡς Ξενοφῶν. οἱ
Ε δὲ τοὺς αἰχμαλώτους συναγαγόντες ἤλεγχον τὴν κύκλῳ πᾶσαν χώραν,
τίς ἑκάστη εἴη.
Δ 198 Ἠλέκτρα: ὄνομα κύριον. καὶ πόλις Θηβῶν.
Ar. 199 Ἤλεκτρα: ἰδίως τὰ ταῖς κλίναις ἐπιβαλλόμενα ἐλεφάντινα οὕτως
ἐκάλουν, ἤλεκτρα. Ἀριστοφάνης· ἐκπιπτουσῶν τῶν ἠλέκτρων, καὶ τοῦ
τόνου οὐκ ἔτ' ὄντος. ἀκολούθως μετὰ τὴν κλίνην ἐμνημόνευσε καὶ τοῦ
τόνου. τόνος δὲ τῆς κλίνης τὰ σχοινία, τροπικῶς δὲ δηλοῖ τὴν τῆς
φωνῆς τάσιν. αἱ γὰρ ἀρχαῖαι κλῖναι τοὺς πόδας εἶχον ὠφθαλμισμέ-
νους ἄνθραξι καὶ ἠλέκτροις, ὥσπερ νῦν ἀργύρῳ ἢ καττιτέρῳ. ἁρμονίας
δὲ τὰ συμπηκτόμενα τῶν κραββάτων μέρη. ἐπέμεινε δὲ τῇ τροπῇ.
Σ 200 Ἤλεκτρον: ἀλλότυπον χρυσίον, μεμιγμένον ὑέλῳ καὶ λιθίᾳ.
οἵας ἐστὶ κατασκευῆς ἡ τῆς ἁγίας Σοφίας τράπεζα.
Σ | 201 Ἠλέκτωρ: ὁ ἥλιος. ἥλιος δέ ἐστιν ἄστρον ἡμεροφανές. λέ-
Ecl. γεται δὲ ἠλέκτωρ, ὅτι ἄληκτός ἐστι καὶ ἀκάμας. ἀλλ' ἡ ἐτυμότης ὅλη
σφαιρική. ἔνιοι δὲ ἀπὸ τῆς λαμπρότητος τοῦ ἠλέκτρου· ἢ ὅτι ἐγείρει
ἡμᾶς ἀπὸ τοῦ ὕπνου ἀπὸ τοῦ ἀλέκτορος. πολυόχευτον γὰρ τὸ ζῷον,
ὅτι ἐκ τῶν λέκτρων ἡμᾶς ἐγείρει. ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυ-
λος ἠώς, ὄρνυτ' ἄρ' ἐξ εὐνῆφιν.
Δ 202 Ἠλεκτρυών: ὄνομα κύριον. καὶ Ἠλεκτρυώνη, ὄνομα κύριον.
Δ 203 Ἠλέματος: ὁ μάταιος.
Δ 204 Ἠλεός: ὁ μάταιος, καὶ μωρός.
Δ 205 Ἠλεύατο: ἐξέκλινεν.
Ε 206 Ἠλεί, ἱερεὺς Ἰσραήλ. υἱοὶ αὐτοῦ Ὀφνεὶ καὶ Φινεές· οὓς τῇ
παροινίᾳ καὶ τῇ ἀταξίᾳ τῇ ἐπὶ τῶν θυσιῶν μετῆλθεν ἡ θεία δίκη. οἱ
μὲν γὰρ ἐν πολέμῳ δεινῶς ἀνῃρέθησαν, ὁ δὲ τῆς θείας ἀκοῦσας φωνῆς

197 — Ξενοφῶν = P, Ba 250, 1 οἱ sq. Xen. An. 3, 5, 14 198 -- κύριον = Ambr. 219. πόλις sq. cf. Et. M. 425, 27 199 Ar. Eq. 532 c. sch. 532—3 200 — λιθίᾳ = P, Ba 250, 4, Lex. rhet. ap. Et. Gen. et Et. M. 425, 25; χρυσίον = H 201 — ἥλιος pr. = P, Ba 250, 6, Ambr. 179, Et. Gen., Et. M. 425, 31, H, Ap. S. 83, 20, sch. Z 513 λέγεται—ὕπνου = An. Ox. 2, 444, 32 cf. Et. M. 425, 32; πολυόχευτον—ζῷον cf. Et. M. 425, 39; ὅτι—ἐγείρει cf. Ap. S. 83, 20; ἦμος sq. β 1—2 202 — κύριον pr. = Ambr. 195. Ἠλεκτρυώνη = L 203 = Ambr. 185, H, Et. M. 425, 41 204 cf. Et. M. 425, 47; — μάταιος = Ambr. 181, Lex. de spiritu cf. sch. Ξ 464, H 205 = Ambr. 242, H cf. sch. Γ 360 206 Georg. 159, 17—160, 6; 1 Reg. 2, 30—1 et 3, 13. — ἱερεὺς = Ambr. 193

197 Z 988 198 Z 985 199 cf. v. τόνον, v. ὠφθαλμισμένους, v. A 3977 200 hinc v. χαλκολίβανον, Z 986 201—2 Z 985 203 cf. v. K 1894. Z 984 204 Z 984 205 Z 988 206 Z 985

A[2]F(GIVM) 4 πόλις] πύλαι Et. Gen. ὄνομα πύλης Ambr. 11 συμπηκτόμενα GIF[ac], v. l. v. A 3977 vs. 15 13 οἵας—τράπεζα om. F, hab. Zon. τράπεζα] ἱερὰ τ. M τρούλα V ad 201 cuncta exstant mg. M 14 ἥλιος alt.] ὅταν V cf. p. 563, 31 15 ὅτι] ὅλη add. FV cf. in fine vs. 16 σφαιρική ad vs. 14 ἄστρον rettulit Kust. σχολική coni. Bhd. ἠλέκτορος V ep. F 19 ἄρ' AF: ἂν GIVM 20 Ἠλεκτρίων FV ὄνομα κύριον pr. om. F Zon. Ἠλεκτρυώνη I Zon. Laur.: Ἠλεκτριώνη FV Ἠλεκτρώνη AGM ὀνόματα κύρια F Zon. 22 Ἠλαιός F 24 Ὀφεὶ F

λεγούσης· εἶπα, ὁ οἶκός σου διελεύσεται ἐνώπιόν μου ἕως αἰῶνος. καὶ νῦν οὐχ οὕτως, ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω, καὶ οἱ ἐξουθενοῦντές με ἀτιμασθήσονται, καὶ ἐξολοθρεύσω τὸ σπέρμα σου ἐκ τοῦ θυσιαστηρίου μου. καὶ πάλιν· ἰδοὺ ἐγὼ ἐκδικῶ τὸν οἶκον Ἠλεὶ ἕως αἰῶνος ἐν ἀδικίαις υἱῶν αὐτοῦ.

207 Ἠλεῖος: ὁ πολίτης, καὶ τὸ ἐθνικόν. Δ

208 Ἠλήλατο: ἐνεπάγη. Δ

209 Ἠληλίμμην: ἐχριόμην. Δ

210 Ἠλί, ἠλί, λιμὰ σαβαχθανί: θεέ μου, θεέ μου. Δ

211 Ἠλία: χώρα. καὶ κλίνεται Ἠλίου. Δ

212 Ἠλίας, ὁ προφήτης, ἐπὶ Ἀχαὰβ βασιλέως ἦν. ὁ δὲ υἱὸς Ἀχαὰβ Ὀχοζίας ἀσεβέστατος ἦν· ὃς ἐχρήσατο Μυίᾳ εἰδώλῳ τῷ ἐν Ἀκκάρων. ἐντυχὼν δ' αὐτοῖς Ἠλίας ὁ προφήτης ὠνείδισε τὴν εἰδωλολατρίαν. καὶ μεταπεμφθεὶς διὰ πεντηκοντάρχου διέφθειρεν αὐτὸν οὐρανίῳ πυρί, ἅμα πεντήκοντα τοῖς σὺν αὐτῷ· καὶ δεύτερον ὁμοίως. ὁ δὲ τρίτος γονυπετῶν ἐσώθη καὶ παρέλαβε τὸν προφήτην.

213 Ἠλίασις: ἡ τοῦ ἡλίου θέρμη. Δ

214 Ἠλιασταί: οἱ ἐν Ἠλιαίᾳ δικασταί· Ἠλιαία δὲ τὸ μέγιστον δικαστήριον Ἀθήνησιν· οἵτινες ὑπὸ τῶν δημοτῶν ἐτρέφοντο τριώβολον λαμβάνοντες μισθὸν δικαστικὸν μετὰ τὸ κρῖναι. ὡς δημαγωγὸς οὖν ἐπικαλεῖ οὓς ἔτρεφε. συγγενεῖς δὲ αὐτοὺς εἶπε τοῦ τριωβόλου, οἷον προσῳκειώμενοι καὶ προσπεφυκότες τῷ τριωβόλῳ· λέγει γάρ, ὡς γέροντες ἡλιασταὶ φράτορες τριωβόλου. Ar.

215 Ἠλιαστής: δικαστής· ἀπὸ μεγάλου δικαστηρίου τῆς Ἠλιαίας. οὕτω δὲ ἐκλήθη διὰ τὸ ἐν ὑπαίθρῳ εἶναι τόπῳ καὶ ὑπὸ τοῦ ἡλίου βάλλεσθαι. Ἀριστοφάνης· μάλα ἀθατέρου. πέπονθε δὲ τοῦτο. ἀντὶ τοῦ οὐκ ἄλλως θατέρου τρόπου· τουτέστι μισόδικος. εἰπὼν γὰρ ἀπηλιαστής, ἀντὶ τοῦ μισόδικος· οἱ γὰρ ἄγροικοι οὐ φιλοδικασταί. καὶ Φιληλιαστής, ὁ φιλόδικος. Ἀριστοφάνης· φιληλιαστὴς ἐστιν ὡς οὐδεὶς ἀνήρ. ὅτι πάντες Ἀθηναῖοι δημοσίᾳ ὤμνυον τὸ παλαιὸν τὸν ὅρκον τὸν Ἡλιαστικόν. Ar. Suid.

216 Ἠλίβατα.

207 ἐθνικόν = Ambr. 203 cf. Lex. de spiritu 208 = Ambr. 245 cf. H 209 = Ambr. 239 210 = Lagarde 175, 14, Ambr. 264, Matth. 27, 46 213 = Ambr. 209 214 — Ἀθήνησιν sch. Ar. Eq. 898; Ἡλιαία sq. Ar. Eq. 255 c. sch. 215 — vs. 28 φιλοδικασταί sch. Ar. Av. 109—111. Φιληλιαστής sq. Ar. Vsp. 88 c. sch.

207 Z 985 208—9 Z 988 211 Z 986 213 Z 986 215 cf. v. A 3154 et v. φιληλιαστής. vs. 30 ὅτι sq. ex v. A 3807

1 λεγούσης om. F μου A Georg.: σου rell. 3 τὸ ex A Georg. A^2F(GIVM) 9 λιμὰ σαβαχθανί A, ms. Ath. in Ambr. cf. Lagarde: λιμὰ σαβαχθανή F λιβᾶ σαβαχθανή V λιμᾶς ἀβαχθανή GIM ms. Mediol. in Ambr. post 210 καὶ τὰ ἑξῆς add. F 10 καὶ—Ἡλίου ex mg. VM 12 ἦν om. F 13 αὐτὸς V 14 διὰ] τοῦ add. A 22 οἷον—23 τριωβόλου ex FV solis 23 φράτορες F Ar.: φράτερος V 25 δὲ om. F 26 Ἀριστοφάνης bis F θατέρου I sch. vs. 30 ὅτι—31 Ἡλιαστικόν om. F mg. V 216 om. FV

Ar. 217 Ἡλιαία: τὸ μέγα δικαστήριον ἐν τῇ Ἀττικῇ. καὶ οἱ δικασταὶ Ἡλιασταὶ ἐκαλοῦντο.

Σ 218 Ἡλιαία καὶ Ἡλιάζεσθαι: βουλὴ συνεστῶσα ἐξ ἀνδρῶν χιλίων.

Harp. ἐλέγετο δὲ καὶ ὁ τόπος οὕτως, ἐν ᾧ συνηθροίζοντο. Ἡλιάζεσθαι δὲ καὶ Ἡλίασίς ἐστι τὸ ἐν Ἡλιαίᾳ δικάζειν.

Harp. 219 Ἡλιαία καὶ Ἡλίασις: Ἡλιαία μέν ἐστι τὸ μέγιστον δικαστήριον Ἀθήνησιν, ἐν ᾧ τὰ δημόσια τῶν πραγμάτων ἐκρίνετο, χιλίων δικαστῶν ἢ χιλίων καὶ πεντακοσίων συνιόντων. συνίασι δὲ οἱ μὲν χίλιοι ἐκ δυοῖν δικαστηρίων, οἱ δὲ χίλιοι πεντακόσιοι ἐκ τριῶν.

Ar. 220 Ἠλιθιάζω: ἀναισθητῶ, μωραίνω, προσποιοῦμαι ἠλίθιος εἶναι· ἀναίσθητοι γὰρ οἱ λίθοι, ἀφ' οὗ καὶ τὸ ἠλίθιος· ἀντὶ τοῦ ἀνοη-

Prov. ταίνω. καὶ παροιμία· Ἠλιθιώτερος τοῦ Πραξίλλης Ἀδώνιδος, ἐπὶ τῶν ἀναισθήτων.

Ar. 221 Ἠλιθιάζω: ἑκουσίως μωρὸν ὑποκρίνομαι. νοῦς οὐκ ἔνι ταῖς κόμαις ὑμῶν, ὅτε μ' οὐ φρονεῖν νομίζετ'· ἐγὼ δ' ἑκὼν ταῦτ' ἠλιθιάζω.

Δ 222 Ἠλιθίκεισαν.

Σ 223 Ἠλίθιος: ἄφρων, ὁ σκληρὸς ἢ ἀναίσθητος. ἠλίθιός τε γὰρ
E ὑπερφυῶς ἦν καὶ νωθής, ὄνῳ ἐμφερὴς μάλιστα, καὶ οἷος τῷ χαλινὸν
EV ἕλκοντι πείθεσθαι, συχνά οἱ σειομένων τῶν ὤτων. τὸ δὲ ἁπλοῦν καὶ ἀληθὲς ἐνομίζετο αὐτῷ ἠλίθιον εἶναι.

E 224 Ἥλικες: οὕτως ἐλέγοντο οἱ Ἀντιόχου τοῦ Ἐπιφανίου Μακεδόνων στῖφος· ὑψηλοὶ πάντες, ὀλίγον ὑπὲρ ἀντίπαιδας, τὸν Μακεδονικὸν τρόπον ὡπλισμένοι τε καὶ πεπαιδευμένοι· ὅθεν καὶ τὴν ἐπίκλησιν εἶχον.

Harp. 225 Ἡλικία τῆς πόλεως: ἀντὶ τοῦ ἐν ἡλικίᾳ, οἱ νέοι. οὕτω Λυσίας καὶ Δημοσθένης ἐν Φιλιππικοῖς.

226 Ἡλικιῶται: συμπράκτορες.

Δ 227 Ἡλικιώτης: τῆς αὐτῆς μετεσχηκὼς ἡλικίας. λέγεται δὲ καὶ θηλυκὸν διὰ τοῦ ι. Ἰσιδώρῳ τῷ φιλοσόφῳ ἡλικιώτης ἔτη ιη' γεγονώς.

217 sch. Ar. Eq. 898 218 — συνηθροίζοντο cf. Bk. 189, 20; βουλὴ cf. Σ[e] Ἡλιάζεσθαι alt. sq. Harp. = Et. Gen., Et. M. 427, 38 219 Harp. = P cf. Lex. Patm. 137; Et. Gen. = Et. M. 427, 35; Bk. 262, 10 220 — ἀνοηταίνω sch. Ar. Eq. 1124 221 Ar. Eq. 1120—24 c. sch. 223 — ἀναίσθητος = P, Ba 250, 7 cf. sch. Luc. 4, 15, H, Ps. Herodian. 48, Bk. 262, 5 vs. 17 ἠλίθιός—19 ὤτων Proc. h. a. 8, 3 τὸ sq. Xen. An. 2, 6, 22 = EV 2, 69, 19—20 224 Ios. Bell. 5, 460 225 Harp. = P, Et. Gen. cf. An. Ox. 2, 495, 31; Lys. 2, 49, Dem. 1, 28 227 — ἡλικίας aliter Ambr. 180. θηλυκὸν—ι cf. Ambr. 215 Ἰσιδώρῳ sq. Dam. fr. 107

220 Z 988 221 cf. v. νοῦς οὐκ ἔνι. Z 988 223 Xen. cf. v. M 618

A[2]F(GIVMO) 1 Ἡλιαία bis F 4 οὕτος GI[ac]VM 219 non nov. gl. GM 8 καὶ om. F 9 δὲ ex IF Harp. Phot. 15 ὅτι V νομίζειτ' V 16 Ἠληθίκεισαν Charitonides Mnemos. 49, 140 18 ὑπερφυῶς F Proc.: ὑπερφυὴς rell. 21 Ἥλικες bis V Ἐπιφάνους O, Ios. 25 ἐν F Phot. Et. Harp. ep.: οἱ ἐν A (sed οἱ supra scr.), GIVM Harp. plen. 26 καὶ] τε καὶ V 28 μετέσχηκεν F δὲ om. F 29 θηλυκῶς F

228 Ἡλίκον: μέγα, πηλίκον. ὅτι Φάβιος ἐνετέλλετο μὴ τοιαύτην Σ
ποιεῖσθαι σπουδὴν ὑπὲρ τοῦ βλάψαι τοὺς πολεμίους, ἡλίκην ὑπὲρ τοῦ Ε
μηδὲν αὐτοὺς παθεῖν δεινόν.
229 Ἠλινδημένον: ἀντὶ τοῦ ἀνεστραμμένον. Δείναρχος ἐν τῷ Σ
κατὰ Φορμισίου. ὅπερ Ἰσοκράτης καλινδεῖσθαι λέγει.
230 Ἠλινδῆσθαι: κεκυλίσθαι. Δ
231 Ἥλιξ ἥλικα τέρπει· μόνος ἀνθρώπων ὧν ἀκοῇ ἴσμεν τὴν
παλαιὰν παροιμίαν ἔργῳ διήλεγξεν· οὐ γὰρ ἐκεῖνόν γε ἥλιξ ἔτερπεν
ἥλικα ὄντα, ὁ νέος τὸν νέον, ἀλλά τινι λόγῳ ἑτέρῳ κατακολουθοῦσα
ἡ φύσις τοῖς ὁμοίοις αὐτὸν συνῆπτε κατὰ τὸ ὅμοιον οὐ τῶν ἐτῶν
τοῦ σώματος, ἀλλὰ τῶν τρόπων τῆς ψυχῆς.
232 Ἡλιομανής: ὁ τέττιξ· ἐπιμαίνεται γὰρ τῷ ἡλίῳ. Ar.
233 Ἥλιον κρύπτεσθαι, ἄστρα δείκνυσθαι: ταῦτα οἱ μὲν
ῥήτορες καλοῦσι γοργά, γραμματικοὶ δὲ ὁμοιοκατάληκτα, φιλόσοφοι δὲ
πάρισα.
234 Λύσις ὀνείρου. Ἥλιος· φωστῆρας ἰδεῖν πραγμάτων δηλοῖ φάος. On.
235 Ἥλιος· μετὰ τὴν τελευτὴν Ἡφαίστου, τοῦ βασιλέως Αἰγύπτου,
Ἥλιος ὁ υἱὸς αὐτοῦ τὴν ἀρχὴν διεδέξατο, ζήσας ἡμέρας ,δυοζ′, ὡς
γίνεσθαι ἔτη ιβ′, μῆνας γ′, ἡμέρας ε′. οἱ μὲν γὰρ τὰς ἡμέρας ἐνιαυ-
τοὺς ἐψήφιζον, οἱ δὲ τὰς περιόδους τῆς σελήνης, ἕτεροι δὲ τοὺς δ′
καιρούς. οἱ γὰρ μετὰ ταῦτα δυναστεύσαντες καὶ ὑποτελεῖς τὰς χώρας
ποιήσαντες ἀπὸ τῆς αὐξήσεως τῶν καρπῶν τοὺς χρόνους διέκριναν
καὶ ἐνιαυτοὺς κυρίως ἐκάλεσαν. ὁ τοίνυν Ἥλιος τὴν τοῦ πατρὸς
φυλάττων νομοθεσίαν, εὑρηκὼς μοιχευομένην γυναῖκα ταύτην ἐθριάμβευ-
σεν. ὅπερ μετέβαλε ποιητικῶς Ὅμηρος, ὅτι ὁ ἥλιος τὴν Ἀφροδίτην
ἔδειξε μιγνυμένην τῷ Ἄρει· Ἀφροδίτην μὲν τὴν ἐπιθυμίαν καλέσας,
Ἄρεα δὲ τὸν μετ' αὐτῆς καταληφθέντα στρατιώτην.
236 Ἥλιος: δακύνεται. Ἡλίας δὲ ψιλοῦται καὶ κλίνεται Ἡλιοῦ. Δ
237 Ἥλιος: ἀπὸ τῆς ἁλὸς γενικῆς.
238 Ἥλιος· Ἡλίους τὰ τέκνα ὑποκοριζόμενοι φασὶν οἱ γονεῖς.
ἥλιον καὶ τὴν ἐλευθερίαν καλοῦσιν.
239 Ἥλιος: ἀπὸ τοῦ ἁολλίζεσθαι ἐν ταῖς ἡμέραις. καὶ ἐν Ἀθήναις Ecl.

228 — πηλίκον = P, Ba 250, 10 cf. Ambr. 228, H ὅτι sq. Polyb. 3, 94, 9
229 = P cf. Bk. 262, 27; Dinarch. fr. X 2, Isocr. 13, 20; 15, 213 230 cf. Ambr. 248 231 Dam. fr. 51 232 sch. Ar. Av. 1096 234 Astramps. 235 cf. [Io. Antioch. fr. 5] Exc. Salmas. FHG 4, 542, Gelzer, Iul. Afric. 1, 80—1 236 Ἡλίας cf. Lex. de spiritu, Ambr. 192 237 cf. Et. M. 426, 50 238 Artem. 2, 36 init. 239 = An. Ox. 2, 444, 24 cf. Et. M. 426, 55; Empedocl. fr. 41 Diels

234 cf. v. σελήνη 236 cf. 244 239 cf. v. A 1109

3 αὐτοῖς GIVM 6 Ἠλινδῆσθαι A, Ambr.: Ἠλινδεῖσθαι rell. 8 γε om. A A²F(GIVM)
10 ἐτῶν] ἐκ τῶν F 11 τῶν] τὸν FI^{ac} τρόπον F 238 non nov. gl. F
13 ἄστρα in lac. om. F 14 Γοργίεια Charitonides Mnemos. 49, 140
15 περισσά GI^{ac} 234 om. F mg. AV 16 Ἥλιος om. A 235—6 om. F
18 ὁ αὐτοῦ υἱὸς A 19 γενέσθαι M ε′] διακοσίας A 21 δυσανασταύσαντες V 29 γενικῆς om. V 238 om. F 31 ἥλιον] ὅταν V cf. p. 560, 14
239 non nov. gl. A 32 καὶ—p. 564, 5 ἀμφιπολεύει om. F

δὲ δικαστήριον ἦν Ἡλιαία, ἀπὸ τῆς συναγωγῆς τῶν ἀνθρώπων. ὁ δὲ ἥλιος ἀπὸ τοῦ ἀλεαίνειν, ὅ ἐστι θερμαίνειν καὶ διαχεῖν. τινὲς δὲ ἀπὸ τῆς γινομένης διαπνεύσεως ἐκ τοῦ στόματος πρὸς τοὺς δακτύλους, ὃ λέγεται αὔειν καὶ ἄξειν κατὰ μίμησιν τῆς φωνῆς τῆς θάλψεως τοῦ στόματος. Ἐμπεδοκλῆς· ἁλεῖσθαι μέγαν οὐρανὸν ἀμφιπολεύει.

Soph. 240 Ἡλιοστερὴς κυνῆ: σκιαστική, πλατύπιλος κυνῆ, καλύπτουσα καὶ ἀφαιρουμένη τὴν ἡλίωσιν. Θεσσαλὶς δέ, διότι περισσοὶ ἦσαν οἱ Θεσσαλικοὶ πῖλοι.

Δ 241 Ἡλιοτρόπιον: ὡρολογεῖον.

Suid. ὅτι γνώμων ἐστὶ τὸ ἐν τοῖς ἡλιοτροπίοις πηγνύμενον, ὅπερ ἐφεῦρεν Ἀναξίμανδρος καὶ ἔστησεν ἐπὶ τῶν σκιοθήρων.

Δ 242 Ἡλιούπολις καὶ Ἡλιουπολίτης.

Δ 243 Ἧλις, Ἥλιδος: ὄνομα πόλεως.

Suid. 244 Ἡλιοῦ: τοῦ προφήτου. γενικῆ.

Δ 245 Ἡλισγήθην: ἐταράχθην.

Σ 246 Ἡλισγημένος: μεμιασμένος, μεμολυσμένος, ἠρτυμένος.

Δ 247 Ἥλισεν: ἅλατι ἤλειψεν. Ἥλισε δὲ συνήθροισεν.

Σ 248 Ἡλίσκοντο: ἐπόρθουν, ἢ ἠλέγχοντο.

Δ 249 Ἥλιτεν: ἥμαρτεν. καὶ Ἡλίτησας ὁμοίως.

Δ 250 Ἡλιτενὴς πέτρα: ὑψηλή.

Anth. 251 Ἡλιτοεργός: ὁ τοῦ ἔργου ἀποτυχών. ὡς θάνεν ἡλιτοεργός.

Σ 252 Ἡλιτόμηνον: τὸ παρὰ μῆνα γεννηθέν.

Δ 253 Ἥλκωσαι: τέτρωσαι. καὶ Ἡλκωμένος.

Σ+Ε 254 Ἡλογήθησαν: ἠμελήθησαν, κατεφρονήθησαν. οἱ δὲ ἠλογήθησαν εἰς τὴν εἴσοδον καὶ κατεπατήθησαν. καὶ αὖθις· πάντων ἠλόγουν. τουτέστι κατεφρόνουν.

Ar. 255 Ἡλόησεν· ἡ μητέρ' ἠλόησεν. ἀντὶ τοῦ ἔτυψεν. οὕτως Ἀριστοφάνης ἐν Βατράχοις.

Δ 256 Ἡλοκίσατο: ἠροτρίασεν.

Δ 257 Ἧλος: τὸ ἡλάριον.

240 sch. Soph. OC 313—4 242 Ἡλιούπολις = Ambr. 224. Ἡλιουπολίτης cf. Ambr. 190 et 206 243 = Ambr. 218 = 223 245 = Ambr. 234 246 = P, Ba 250, 12 cf. H 247 cf. Ambr. 232, Lex. de spiritu 248 = P, Ba 250, 11 249 = H; — ἥμαρτεν = Ambr. 233, sch. I 375 cf. Et. M. 428, 14 250 = Ambr. 216, iniuria Call. fr. 133 K. an. 27 S. (vid. Schneider) 251 ὣς sq. Anth. 7, 210, 7 252 = P, Ba 250, 14 cf. Ambr. 186, H 253 Ἡλκωμένος cf. Ambr. 246, Lex. de spiritu 255 Ar. Ran. 149 c. sch. 256 cf. L 257 = Ambr. 184

241 Z 987. ὅτι sq. ex v. Γ 346 242—3 Z 986 244 ex v. I 222; cf. 236 246 cf. v. A 1247. Z 989 247 cf. vv. A 1249 et 1251 249 cf. vv. A 1252 et 1254 250 Z 986 252 Z 987 254 cf. v. A 1307 255 cf. vv A 1412 et 1417

A²F(GITMV) 1 δὲ ἦν δικαστήριον V 5 ἀμφιπολεύει V, Et. M. Macrob. 1, 17, 46: ἀμφιπολεύειν AGIM 6 καλύπτουσα—8 πῖλοι om. F 9 ὅτι—10 σκιοθήρων om. FT 12 Ἥλιδος post πόλεως GITFVM; καὶ κλίνεται Ἥλιδος ibid. F 244 om. FT 15 μεμολυμμένος VM 17 ἐλέγχοντο FV 18 ὁμοίως om. AGIT (propter compend.) 21 Ἡλιτόμενον F 23 οἱ—25 κατεφρόνουν om. FT 24 πάντων] πάλιν V 26 οὕτως—27 Βατράχοις om. FT

258 Ἥλω: ἐλήφθη, ἐφανερώθη, ἐπορθήθη. λύσις ὀνείρου· ἥλους Σ
κρατῶν τὰ κέντρα τῶν ἐχθρῶν βλέπε. Ση.
259 Ἥλῳ τὸν ἦλον ἐκκρούει: παροιμία. ἀντὶ τοῦ ἁμαρτήματι τὸ Σ + Prov
ἁμάρτημα σπεύδεις ἐξελάσαι· τὸ δὲ οὐχ οἷόν τε.
261 Ἥλωκεν: ἐκράτησεν. Δ
262 Ἠλώκισεν: ἀλλαχοῦ ᾤκισεν. Δ
263 Ἁλωκότος: κρατηθέντος. καὶ Ἁλωκόσιν. Δ
264 Ἥλω· γενικῇ. ταύτης ὁ μέγας ἥλως Κυπριανός. Synt.
265 Ἠλώμην: ἐπλανώμην. Δ
266 Ἅλων: ἤλαυνον. Δ
267 Ἠλώνη: πόλις. καὶ Ἠλωνιαῖος, ὁ πολίτης. Δ
268 Ἥλωσαν: ἐνικήθησαν, ἐλήφθησαν. Σ
269 Ἠλλοιωμένος: μεταβληθείς, ταπεινωθείς. οὐδὲν ἠλλοιωμένος E
ὑπὸ τῶν συμβεβηκότων δυστυχημάτων, ἔτι δὲ βεβαιότερον μένων ἐπὶ
τῆς ἐξ ἀρχῆς διαλήψεως.
270 Ἠλύγη: τὸ σκότος, καὶ ἠλυγισμένον, τὸ ἐσκιασμένον. βαρύνεται Ar
δέ· παρὰ γὰρ τὴν λύγην. πλεονάζει τὸ η. Ἀριστοφάνης Ἀχαρνεῦσιν·
οὐδὲν ὁρῶντες, εἰ μὴ τῆς δίκης τὴν ἠλύγην. ἀντὶ τοῦ τῶν ἀνθρώ-
πων. καὶ ἐξ αὐτοῦ Ἠλυγαία. Δ
271 Ἡ λύκου δεκάς: παροιμία. Λύκος Ἀθήνησι πρὸς τῷ δικαστηρίῳ Σ
ἦρως, μορφὴν ἔχων θηρίου. δεκὰς δὲ τὸ δεκάζεσθαι, πρὸς ὃ ἡ
παροιμία. καὶ οἱ πρῶτοι δικασταὶ πρὸς τῷ λυκοειδεῖ ἥρωϊ ἐκλήθησαν.
272 Ἠλύσιον: ἱερὸν περὶ τὸν ᾅδην. οἱ δὲ περὶ Αἴγυπτον, οἱ δὲ Σ
περὶ Λέσβον, οἱ δὲ τὸ κεκεραυνωμένον χωρίον ἢ πεδίον· τὰ δὲ
τοιαῦτά ἐστιν ἄβατα. καλεῖται δὲ καὶ ἐνηλύσια. Πολέμων δὲ Ἀθηναίους
φησὶ τὸ κατασκαφὲν χωρίον καλεῖν.
273 Ἠλύσιον πεδίον: ἐν ᾧ οἱ παρ' Ἕλλησι δίκαιοι αὐλίζονται, Greg

258 — ἐπορθήθη = P, Ba 250, 16 cf. H ἥλους sq. Astramps. 259 cf. Paroem. ed. Gsf. 57, n. 488; — ἐξελάσαι = P 261 cf. Ambr. 244, 247 262 = L cf. Ambr. 249 263 cf. L, Ambr. 253 264 = Et. Gud. p. 590, An. Ox. 4, 293, 22 265 = Ambr. 235, H, sch. δ 91 266 = Ambr. 243 267 cf. Steph. Byz.; — πόλις = Ambr. 222, Et. M. 428, 22. Ἠλωνιαῖος sq. cf. L 268 = P, Ba 250, 17, H 269 οὐδὲν sq. Polyb. 3, 103, 6 270 — ἀνθρώπων Ar. Ach. 684 c. sch. cf. H Ἠλυγαία cf. L 271 = P 272 = P; — Λέσβον + καλεῖται sq. = Et. M. 428, 38; — ἱερὸν = Ba 250, 15; vs. 23 οἱ pr. sq. = H; καλεῖται sq. = Et. Gen., Polem. fr. 93, FHG 3, 146 273 cf. Nonn. in Greg. Naz. PG 36, 1041 d, 1053 d

258 Astramps. cf. v. πάσσαλος 270 Z 986 et 989 271 cf. vv. Δ 174 et Λ 820

258 post 259 F 1 ἐπορεύθη F 3 ἐκκρούεις FI Phot. παροιμία om. GIT mg. AM; ante gl. iterum V ἁμαρτήματι] cp. M ἁμαρτήματα A ἁμαρτήματος V 3. 4 τὸ ἁμάρτημα] τῷ ἁμαρτήματι A 260 deficit 5 ἐκρατήθη Ambr., Pierson in Moer. 6 Ἠλώκησεν FL Aur. ᾤκησεν IF Ambr. L Aur. 264 om. F, extra ord. 10 ἔλαυνον F 13 οὐδὲν—15 διαλήψεως om. F 14 μόνων V 16 βαρύνεται—19 Ἠλυγαία om. FT 17 η I: v rell. 271 om. F 20 παροιμία mg. A om. Phot. 21 ἔχει GV cp. M 24 Λέσβον] Λέσωον GITM κεκεραυνωμένον F Phot. Hes.: κεκεραμνωμένον V κεκεραμωμένον AGITM τὰ—26 καλεῖν om. F 26 κατὰ σκαφὴν V A²F(GITVM)

μετὰ θάνατον ἐκεῖσε ἐλευσόμενοι· οἱ δὲ κολάσεων ἄξιοι ἐν τῷ Κωκυτῷ καὶ τῷ Πυριφλεγέθοντι ἀπελεύσονται. ποταμοὶ δὲ οὗτοι, ὁ μὲν Κωκυτὸς ψυχρότατος, ὁ δὲ Πυριφλεγέθων θερμότατος.

Δ + Hdt. 274 Ἦλυσις: ἔλευσις, ἄφιξις, ἔφοδος, πορεία.

Δ 275 Ἠλυσκάζειν: ἐκκλίνειν.

Δ 276 Ἧμα: ἀκόντισμα.

EV 277 Ἡμαθία: ἡ τὸ παλαιὸν Παιονία προσαγορευομένη. καὶ

Δ Ἡμαθίων, Ἡμαθίωνος, ὄνομα κύριον.

ΔΣ 278 Ἡμαθόεις. Ἡμαθόεντος, ἀμμώδους.

279 Ἡμάκτεον: ἀντὶ τοῦ ἐδυσφόρουν.

Hdt. 280 Ἡμακτέων: παρὰ Ἡροδότῳ ἀντὶ τοῦ δυσφορῶν.

Δ 281 Ἡμάλαψεν: ἔβλαψεν.

Suid. 282 Ἡμαντήριον καλοῦσί τινες τὸ ἀργυροκοπεῖον, ἐν ᾧ κόπτεται τὸ νόμισμα.

Σ 283 Ἧμαρ: ἡμέρα. τὸ ἦμαρ ψιλοῦται· τὰ γὰρ ἀπὸ δασέων μεταςχηματιζόμενα ψιλοῦται, οἷον ἡδονή, ἦδος· ἅμα, ἅμυδις· οὕτως ἡμέρα, ἦμαρ. ὁ δὲ Ἡρωδιανός φησιν, ὅτι τὰ εἰς ος οὐδέτερα, εἰ ἀπὸ φύσει μακρᾶς ἄρχονται, ψιλοῦνται· οἷον αἶςχος, εὖχος, εὖρος, ἦθος·

Soph. οὕτω καὶ ἦμος καὶ ἦμαρ. Σοφοκλῆς· τί γὰρ παρ' ἦμαρ ἡμέρα τέρπειν ἔχει, προσθεῖσα κἀναθεῖσα τοῦτ' κατθανεῖν; σχόλια· τὶ γὰρ ἡμέρα μία ἔχει, προσθεῖσα τὸ ζῆν καὶ ἀναβαλλομένη τοῦ θανεῖν, τέρπειν τὸν ἄνθρωπον.

Σ | 284 Ηματα: ἡμέρας. ἢ ἱμάτια. διὰ διφθόγγου καὶ δασύνεται.

E 285 Ἥμβλω: παραλόγως εἰς πέρας ἦχθη. οἱ δὲ σπασάμενοι τὰ ἐγχειρίδια τοῦτον ἀπέσφαξαν, καὶ ἐξήμβλω μὲν ἡ ἔννοια τῆς θεοσυλίας τῷ ἀνοσίῳ, ἐπαύσαντο δὲ τοῦ δέους οἱ Δελφοί.

Δ 286 Ἥμβροτεν: ἀπέτυχεν.

Δ 287 Ἧμαι: κάθημαι.

274 — ἔλευσις = Ps. Herodian. 48, H. ἔφοδος, πορεία cf. gl. Hdt. 2, 123; πορεία = P, H 275 aliter Ambr. 237 276 = Ambr. 311, H, Et. M. 428, 41 cf. sch. Ψ 891, Ap. S. 84, 11 277 — προσαγορευομένη Polyb. 23, 10, 4 = EV 2, 171, 7—8; l. = Ambr. 307, Ps. Herodian. 49 Ἡμαθίων sq. = Ambr. 284 et 287 278 Ἡμαθόεις cf. H, Ambr. 277. Ἡμαθόεντος sq. = P, Ba 250, 18 cf. Et. Gen., H, sch. B 77; Ambr. 277 = Et. M. 428, 52 279 l. cf. L 280 gl. Hdt. 1, 44 281 = Ambr. 333, Et. M. 428, 54 283 — ἡμέρα pr. = P, Ba 250, 19, H, Ap. S. 83, 32, Ambr. 310, Ps. Herodian. 49, Lex. de spiritu, Et. Gen., Et. M. 428, 46 vs. 14 τὸ—18 ἦμαρ cf. Herodian. gr. Sympos. ap. Eust. I. 154, 38, sch. Ap. Rh. 1, 1294 (= Gramm. Gr. 3, 1, 537, 10), Et. M. 429, 35 vs. 18 τί sq. Soph. Ai. 475—6 c. sch. 284 — ἱμάτια = P, Ba 250, 20 cf. H 285 οἱ sq. Aelian. fr. 52 286 = Ambr. 335 cf. sch. η 292 = H 287 = L, H cf. Ambr. 342

276 cf. 357 277 Z 991 et 989 280 Z 993 282 ex v. A 3796. Z 992 285 cf. v. Є 1781. Z 994 286 Z 994 287 cf. 293 et 321. Z 993

A[1]F(GITVM) 1 ἐν—3 θερμότατος om. F 8 Ἡμαθίων] Ἡμαθίην FV Ἡμαθίωνος] nov. gl. F 279 om. F mg. V 10 Ἡμέκτεον A 11 Ἡμεκτέων A, gl. Hdt. 282 om. FV 14 τὸ—21 ἄνθρωπον om. FT 19 et 20 προθεῖσα V 22 ἡμέρα G[sec]I ἢ] εἵματα δὲ τὰ A εἷμα δὲ τὸ T ἱμάτια] cp. T διὰ διφθόγγου] ι F 23 οἱ—25 Δελφοί om. FT . 24 ἐξήμβλω μὲν] ἐξημβλώμενον V 25 οἱ ἀδελφοί V

288 Ἡμεδαπός: ἀντὶ τοῦ ἡμέτερος. Ἀριστοφάνης· ὁ γοῦν χαρακτὴρ Ar.
ἡμεδαπὸς τῶν ῥημάτων. καὶ αὖθις· καί τι καὶ παίσωμεν παρασίτου E
μνημονεύσαντες ἡμεδαποῦ. καὶ Ἡμεδαπῶν, ἰδίων, ἐγχωρίων, Σ
αὐτοχθόνων· δάπεδον γὰρ τὸ ἔδαφος. ὅθεν καὶ τὸ ποδαπὸς ἀντὶ
τοῦ ποῖος λαμβάνεται, ἢ ποίας χώρας ἢ τίνος πατρίδος.

289 Ἦμεν: ἐπορευόμεθα. ἀπὸ τοῦ εἶω· διὸ καὶ τὸ ι προσγεγραμ- Ar.
μένον. Ἀριστοφάνης Πλούτῳ· ἔπειτα πρὸς τὸ τέμενος ἦμεν τοῦ θεοῦ.

290 Ἡμένη πελειάς: ἐπὶ τῶν ἁπλουστάτων, κατὰ ἀντιπαρεξέτασιν Prov.
τῆς παλευτρίας. αἱ γὰρ ἐξιπτάμεναι ἀπατῶσιν ἑτέρας· παλεῦσαι γὰρ
τὸ ἀπατῆσαι σημαίνει.

291 Ἢ μὲν κλέος ἠδὲ καὶ ἦσθα: παροιμία ἐπὶ τῶν ὁμοίων τῇ Σ
περὶ αὐτῶν φήμη.

292 Ἡμέν μοι πρόφρων ἔπεσι καὶ χερσὶν ἀρῆξαι: ἓν μέρος Hom.
λόγου ἐστί· τὸ δὲ ἐντελέστερον ἡμήν. ἔστι δὲ ὁρκικὸν ἐπίφθεγμα.

293 Ἥμενος: ὁ καθήμενος. Ἡμμένος δὲ ὁ ἐξημμένος, καὶ ἀνηρτη- Δ
μένος.

294 Ἡμμένοι: συνημμένοι. ἀντὶ τοῦ ἀνηρτημένοι. οἱ δὲ καταρ- Σ + Δ
ράκται, οὓς εἶχον ὀλίγον ἐξωτέρω διὰ μηχανημάτων ἀνημμένους, E
αἰφνίδιον καθῆκαν καὶ ἐπεβάλοντο. καὶ τούτους κατασχόντες πρὸ τοῦ
τείχους ἀνεσκολόπισαν.

295 Ἡμέρα· ζήτει ἐν τῷ ἀξίωμα.

296 Ἡμέρα δυνάμεως: ἡ δευτέρα τοῦ Χριστοῦ ἐπιφάνεια. Δαβίδ· Thdr.
μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου.

297 Ἡμέρα ἐπαγωγῆς: παρὰ τὸ ἐπάγεσθαι ἡμῖν τὰ ἄξια τῶν
βεβιωμένων.

298 Ἡμέραν πονηράν ἡ Γραφὴ τὴν τῆς τιμωρίας καλεῖ, ὥσπερ καὶ ἀγγέλους Suid.
πονηροὺς τοὺς τῆς τιμωρίας ὑπουργούς· ὀργὴν δὲ καὶ θυμὸν καὶ θλῖψιν ἐπὶ θεοῦ
τὰς πικρὰς τιμωρίας καλεῖ. οὐ γὰρ φύσιν οὐδὲ προαίρεσίν φησιν.

288 — ῥημάτων Ar. Pac. 220 c. sch. = Ambr. 272 cf. H, Tim. vs. 2 καί τι —3 ἡμεδαποῦ Aelian. fr. 108 Ἡμεδαπῶν sq. = Ba 250, 21, P, Et. Gen., Et. M. 429, 2 cf. Ambr. 280 289 Ar. Pl. 659 c. sch. cf. Et. M. 420, 2 290 = Paroem. ed. Gsf. 54, n. 469 cf. H, P 291 = P, H 292 A 77 c. sch. cf. sch. A 293 — καθήμενος = Ambr. 332 cf. H. Ἡμμένος—ἐξημμένος = Ambr. 329 294 — συνημμένοι = P, Ba 251, 7 cf. H. ἀνηρτημένοι cf. 293 οἱ sq. Polyb. 10, 33, 8 296 Thdr. in Ps. 109, 3, PG 80, 1770c 297 Sirach 5, 8 c. explic.

288 Aelian. cf. v. K 1762 289 Z 993 290 cf. v. παλεῦσαι 293 cf. 287 et 321. Z 993 296—7 Z 991 298 ex v. A 196

1 Ἡμεδαπής V Ἀριστοφάνης—5 πατρίδος om. FT 2 παίσω V A^3F(GITVMO)
3 μνημονεύσαντες A, v. K 1762: μνημονευσαντος GIV 6 ἀπὸ—7 θεοῦ om. F
6 ι] ἔχει add. I 6. 7 προεγρα VO προσεγράφη Zon. 8 πελιάς F πολιάς V
11 παροιμία ex F Phot., mg. AM 12 αὐτοὺς A 293 om. F 17 ἀντὶ] καὶ
ἀντὶ F οἱ—20 ἀνεσκολόπισαν om. F 17. 18 καταρράκτας Kust. ὀλίγην V
19 πρὸ GIM: πρὸς A περὶ V 21 ζήτει ἐν τῷ] τούτεστιν V 22 Ἡμέραι A^{ac}V
ἡ τοῦ Χριστοῦ δευτέρα A Δαβίδ—23 σου om. F Δαβίδ mg. A 298 om. F
mg. V 26 Ἡμέρα GIM cp. V πονηρὰ GIV cp. M μωρίας AV
27 πονηροῖς V 28 τὰς] τῆς V

Thdr. 299 Ἡμέρα πονηρά: ἡ τῆς κρίσεως ἡμέρα, ἡ αἰωνία κόλασις. Δαβίδ· τοῦ πραῦναι αὐτὸν ἀφ' ἡμερῶν πονηρῶν. ὁ γὰρ μικρὰν παιδείαν κατὰ τὸν παρόντα δεχόμενος πραότερον τὸ κριτήριον ἕξει.

Thdr. 300 Ἡμέραι πλήρεις: τὸ γῆρας.

Δ 301 Ἡμερήσιον: τὸ καθ' ἡμέραν διδόμενον.

302 Ἡμερινὰ ζῷα: τὰ πᾶσι φαινόμενα καθ' ἡμέραν. νυκτερινὰ δὲ γλαῦξ, ἐλεός, βύας, νυκτικόραξ, ἐπολιός, σκώψ. θαλάσσια δὲ ἀλκυών, ἀηδών, κήρυκες, αἴθυιαι, λάρος, χαραδριός, καταρράκτης, κέγκλος.

Ar. 303 Ἡμερινῶν σιτίων: ἀντὶ τοῦ θνητῶν καὶ ἐπιγείων.

Σ 304 Ἡμερίς: ἄμπελος· ἀπὸ τοῦ ἡμεροῦν ἡμᾶς. καὶ ἡ κνίδη. τινὲς δὲ ἀναδενδράδα καὶ ἐλαίαν. καὶ ἡ ἥμερος ὕλη, λεπτόφυλλος δρῦς

Anth. ἢ οἰνάνθη. ἡμερὶ πανθέλκτειρα, μεθυτρόφε, μῆτερ ὀπώρας, οὐ λήγῃ σκολιὸν πλέγμα φύσις ἕλικος.

Σ 305 Ἡμεροδρόμος: ὁ ἥλιος. λέγονται δὲ καὶ οἱ ταῖς βασιλικαῖς

Metaphr. διατάξεσι ταχύτατα διακονούμενοι. οἱ ἡμεροδρόμοι νέοι δ' εἰσίν, ἐφήβων ὀλίγον πρεσβύτεροι, πρωτογενείων ἐγγύς, ταῖς τοιαύταις ὑπηρετούμενοι χρείαις· τόξων καὶ βελῶν, ἀκοντίων καὶ πυροβόλων λίθων ἐπιφερόμενοι πλέον οὐδέν· ταῦτα γὰρ αὐτοῖς πρὸς τὴν ὁδοιπορίαν γίνεται χρήσιμα.

Δ 306 Ἡμεροκαλλές: εἶδος ἄνθους.

Δ 307 Ἡμερόκοιτος: ὁ κλέπτης.

Δ 308 Ἡμερόλεγδον.

Δ 309 Ἥμερος: ὁ πρᾶος.

Ar. 310 Ἡμεροσκόποι: οἱ ἐν ἡμέρᾳ φρουροῦντες.

Synt. 311 Ἡμερῶ· αἰτιατικῇ.

Σ 312 Ἡμερωρεῖν: ἡμεροφυλακεῖν.

Δ 313 Ἡμετέρειος: κτητικόν.

299 Thdr. in Ps. 93,13, PG 80, 1633 c 300 Thdr. in Ps. 72,10, PG 80, 1445 c 301 = Ambr. 327 302 Ar. Byz. Epit. p. 4, 15—5, 2 303 sch. Ar. Pac. 163 304 — ἐλαίαν = H; — ἡμᾶς = Apion ap. Ap. S. 84, 1 cf. sch. Ar. Ach. 997, Et. M. 429, 8; — ἄμπελος = Ps. Herodian. 49, sch. ε 69 cf. P; ἀναδενδράδα cf. An. Ox. 2, 446, 6 ἡμερὶ sq. Anth. 7, 24, 1—2 305 — διακονούμενοι = P, Ba 250, 27, Et. Gen., Et. M. 429, 42, Ambr. 278; — ἥλιος cf. H οἱ sq. Nili narrat. 6, PG 79, 664a (Metaphr.) 306 cf. Didym. ap. P = Lex. Rhet. in Et. Gen. et Et. M. 429, 43, H 307 = Ambr. 269, Ps. Herodian. 49, H 308 = Ambr. 316 cf. P = Et. Gen., Et. M. 429, 40 309 = Ps. Herodian. 49 cf. Ambr. 279 310 sch. Ar. Av. 1174 311 = Synt. Laur. et Gud., An. Ox. 4, 293, 23 312 = P, H, Paus. Att. fr. 73 ap. Eust. O. 1535, 19 313 cf. Ambr. 291, Et. M. 429, 50

299 Z 992 300 Z 991 301 Z 992 302 cf. vv. Ε 793 et 2798, σκώψ, Κ 746 et 1217 304 Z 992 306 Z 993 307 Z 989 310 Z 989 312 Z 993

A²F (GIVM) 2 Δαβίδ—3 ἕξει om. F 2 Δαβίδ mg. A αὐτὸν AI: αὐτῷ GIV^{ac}M 3 ὁ] καὶ V 3 πραῦτερον A 5 καθ' ἡμέραν] καθημερινὸν F^{ac} 6 Ἡμερικὰ V πᾶσι φαιν.] παραφαιν. V καθ' F Epit.: μεθ' rell. 8 κήυκες Bas. αἴθειαι A αἴθυια F χαραδριός V καταρράκτης, κέγκλος om. F κέγκλος A 9 τοῦ ἐπιγείων καὶ θνητῶν F καὶ om. V ss. M 11 ὕλη om. V 12 ἡμερί— 13 ἕλικος om. F 13 φύεις Kust. 15 οἱ—18 χρήσιμα om. F 16 ὀλίγον A: ὀλίγων rell., Nil. ὀλίγῳ Possinus Bhd. πρωτογειτόντων V 308 om. A 23 φρονοῦντες AF 25 Ἡμερωρεῖν V: Ἡμερορεῖν F Ἡμερρορεῖν AGIM. 26 Ἡμετέριος V

314 Ἠμείβετο: ἀνταπεκρίνετο. Σ
315 Ἠμείδηκε· καὶ Ἠμειδηκώς, μὴ γελάσας. ἀμειδῶ γὰρ τὸ οὐ γελῶ. Δ
316 Ἠμείφθη: ἠλλάγη. Σ
317 Ἤμειψα: ἤλλαξα. Σ
318 Ἠμημένον: τεθερισμένον. Δ
319 Ἡ μὴ ἀπειρία: ἡ μὴ ἐμπειρία, τουτέστιν ἡ ἀπειρία. Ἀριστοφάνης· δεινόν ἐστιν ἡ μηἀπειρία. Ar.
320 Ἦ μήν: ὄντως δή. καὶ ἀλλ' οὖν, καὶ ἀλλ' ὅμως. ὄμνυμι Σ
τοὺς βασιλείους θεούς, ἢ μὴν ἐγὼ ὑμᾶς σώσω. E
321 Ἡμην: ὑπῆρχον, ἢ ἐκαθήμην. Δ
322 Ἠμί: φημί, λέγω. Δ
323 Ἡμιδαής: ἡμίκαυστος. ἐν Ἐπιγράμμασι· ἡμιδαὲς πέμψαι, Σ
χοῦς γὰρ ἔνεισι δύω. Anth.
324 Ἡμιδαπής: ἡμιτελής. Σ
325 Ἡμιδιπλοίδιον: γυναικεῖον ἱμάτιον, ἀναβόλαιον γυναικῶν. ὁ Ar.
σπέληξ.
326 Ἡμιεκτέον: μέτρον, τουτέστι τεσσάρων χοινίκων· ὁ γὰρ Ar.
μέδιμνος μη′ χοινίκων ἐστί. τούτων οὖν τὸ ἕκτον εἰσὶν η′ χοίνικες, τὸ δὲ ἡμίεκτον, τουτέστι τὸ δωδέκατον τῶν μη′ χοινίκων, δ′. ἡμιεκτέον δὲ διὰ τοῦ ε λεκτέον καὶ οὐχὶ ἡμιεκταῖον.
327 Ἡμίεκτον: τὸ ἥμισυ τοῦ ἕκτου. Δ
328 Ἡμίεκτον καὶ ἡμιμέδιμνον: τοῦ μεδίμνου ἔχοντος χοίνικας Harp.
μη′, τὸ ἡμιμέδιμνον δηλονότι τὰς κδ′ εἶχεν. ἡμίεκτον δὲ τὸ χωροῦν δ′ χοίνικας· τὸ γὰρ ἕκτον χοίνικες η′.

314 = P, Ba 250, 24 cf. Ambr. 338, sch. A 121 315 Ἠμειδηκώς, μὴ γελάσας = Ambr. 341 316 = P, Ba 250, 25, Ambr. 337 cf. H 317 = P, Ba 250, 26, H, Ambr. 336 318 cf. L, Lex. de spiritu 319 Ar. Eccl. 115 c. sch. cf. Ps. Herodian. 49 320 — ὅμως = P, Ba 250, 29, Σ^{a} cf. H; — δή = sch. K 322, sch. Pl. Ap. 22a, sch. Luc. 22, 8, Et. M. 416, 41 ὄμνυμι sq. Iambl. fr. 26 321 cf. Et. M. 430, 7, An. Ox. 4, 378, 3; — ὑπῆρχον = Ambr. 330; ἐκαθήμην = H 322 = Ambr. 331 cf. Ps. Herodian. 49 = Lex. de spiritu 323 — ἡμίκαυστος = P, Ba 251, 1, H, Ambr. 268, sch. Π 294 ἡμιδαὲς sq. Anth. 5, 182, 4 324 = P, Ba 251, 2 325 — γυναικῶν sch. Ar. Eccl. 318 cf. Lex. Rhet. ap. Et. Gen. et Et. M. 430, 46 326 sch. Ar. Nu. 645 327 cf. Ambr. 318, H 328 Harp. = P cf. Bk. 262, 28

314 cf. v. A 1563 315 cf. v. A 1568 316—7 cf. v. A 1565 318 cf. 361 et v. A 1579 321 cf. 287 et 293 323—4 Z 991 325 cf. v. σπέληξ 327 Z 992 328 cf. 337 et v. M 403

1 Ἠμείρετο F ἀνταπεκρίνατο IFM^{ac} ἀντεπεκρίνατο V 2 Ἠμειδοκώς A A^{2}F(GITVM) 6 τεθερισμένον] τὸ θερισμένον F 7 μὴ alt. AGI: ἐμὴ FV 7. 8 Ἀριστοφάνης—μηἀπειρία om. F 8 ἐστιν ἡμᾶς ἠμπειρία V 9 δή] δέ F ὄμνυμι—10 σώσω om. F 11 ἢ om. F 13 ἡμίκαυτος GIFM cf. p. 570, 4 ἐν—14 δύω om. FT 14 δύο $A^{ac}I^{ac}M^{ac}$ Anth. 16 ἀναβολὴ F 17 σπέληξ FM 18 Ἡμιεκταῖον FV 19 τούτων—20 δ′ om. F 19 ἕκτον] ἕκατον V 20 δωδέκατον $V^{cp}M^{cp}$ sch.: τέταρτον δέκατον AGI^{cp} τῶν—δ′ om. GI δ′ om. A 20. 21 ἡμιεκτέον A (nov. gl.) sch.: ἡμιεκταῖον GFVM 21 δὲ om. A δὲ λεκτέον διὰ τοῦ ε F ἡμιεκταῖον IV sch.: ἡμιακταῖον GFM ἡμιακτέον A 327 ante vs. 20. 21 ἡμιεκτέον F 23 ἔχοντας GIVM 23. 24 μη′ χοίνικας A 24 δηλονότι τὰς] εἰσιν F εἶχεν—25 η′ om. F

Δ? 329 Ἡμίεργον: ἡμιτέλεστον. Ἀντωνίῳ δὲ ᾠκοδόμει νεὼν μέγαν,
Ε ὅσπερ οὖν ἡμίεργος ἀπελείφθη· τῷ Σεβαστῷ δὲ ἐτελέσθη.
Δ 330 Ἡμικάδιον: τὸ ἡμίμετρον.
Δ 331 Ἡμίκαυτος: ἡμίφλεκτος.
Ε 332 Ἡμικλεῖς· ἐξαίφνης ἀνοίξαντες τὰς ἡμικλεῖς πύλας ἐξελαύνουσι τῆς πόλεως αὐτῶν Παρθυαίων καὶ Μήδων ὅ τι περ ὄφελος ἦν τῆς ἱππικῆς δυνάμεως, ἱππεῖς ὡς χ΄.
Δ 333 Ἡμίκρανον: τὸ ἥμισυ τῆς κεφαλῆς.
Σ 334 Ἡμίκραιρα: τὸ ἥμισυ τῆς κεφαλῆς. τὴν ἡμίκραιραν τὴν
Ar. ἑτέραν ψιλὴν ἔχων.
Δ 335 Ἡμικύκλιον: τὸ ἥμισυ τοῦ κύκλου.
Σ 336 Ἡμιμάλλονες: μαινάδες, νύμφαι, ἢ βάκχαι.
337 Ἡμιμέδιμνον: μέτρον χοινίκων κδ΄.
338 Ἡμῖν: ἀντωνυμία, ἀντὶ τοῦ τοῖς ἡμετέροις.
339 Ἡμίνα: μέτρον.
Σ 340 Ἡμιολία: τὸ ἥμισυ τοῦ κεφαλαίου. δίδοσθαι δὲ ὀψώνιον τοῖς
Ε στρατεύειν αἱρουμένοις παρ' αὐτῷ, ἡμιόλιον τοῦ νῦν διδομένου. καὶ
Σ Ἡμιολίας, ἡμίσεως.
Harp. 341 Ἡμιολιασμός: Ἀντιφῶν ἀντὶ τοῦ τὰ ἡμιόλια δοῦναι.
Σ+Ε 342 Ἡμιολίαις: πειρατικοῖς πλοίοις. ταχὺ δὲ τοὺς κέλητας καὶ τὰς ἡμιολίας ὑπερισθμίσας ἀνήχθη σπεύδων καταλαβεῖν τὴν τῶν Ἀχαιῶν σύνοδον. καὶ αὖθις· λῃσταί τινες εἰς πολυχειρίαν καὶ πειρατικαῖς ἡμιολίαις τῇ Λακωνικῇ προσενεχθέντες, ἐς τὰ χωρία ἑστωσάμενοι λείαν ἀπήγαγον.
Harp. 343 Ἡμιόλιος: ἔστιν ἀριθμός, ὁ ἔχων ἄλλον ὅλον καὶ τὸ ἥμισυ αὐτοῦ.
Δ 344 Ἡμιόνειον ζεῦγος. καὶ Ἡμιονείη, ἡ κόπρος τοῦ ἡμιόνου.
Δ 345 Ἡμιωβόλιον: τὸ ἥμισυ τοῦ ὀβολοῦ.

329 Ἀντωνίῳ sq. Aelian. fr. 56 330 = Ambr. 326 331 cf. Ambr. 268 332 Arr. Parth. fr. 96 333 = Ambr. 317 cf. H, Phryn. Ecl. 328 334 — κεφαλῆς = Attici ap. Eust. I. 1127, 34 τὴν sq. Ar. Th. 227 335 = Ambr. 323 336 = P, H 340 — κεφαλαίου = P, Ba 251, 3, Ambr. 324, Et. Gen., Et. M. 430, 35, H Ἡμιολίας sq. = P, Ba 251, 4 341 Harp. = P; Antiph. fr. 83 342 — πλοίοις cf. P; Et. Gen. = Et. M. 430, 37; H ταχὺ—σύνοδον Polyb. fr. 162 343 Harp. = P, Et. Gen., Et. M. 430, 34 cf. H, Ambr. 320, Ps. Herodian. 49 344 — ζεῦγος = L. Ἡμιονείη, ἡ κόπρος = Ambr. 309 345 = Ambr. 321, H cf. Ambr. 313

336 cf. vv. K 1829 et M 1072 337 cf. 328 342 Polyb. cf. v. ὑπερισθμίσας

A²F(GITVM) 1 Ἀντωνίῳ—2 ἐτελέσθη om. FT 2 ὥσπερ GI δὲ] τε V 4 Ἡμίκαυστος V cf. p. 569,13 5 ἐξαίφνης] ἐντεῦθεν V 6 Παρθυαίων—7 χ΄ om. F 7 ἱππεῖς A: cp. GM ἵπποι I ἵπποι V 12 Ἡμιμάλλονες V Phot. Hes.: Ἡμικάλλονες F Ἡμιμάλλοντες AGITM 337 ex VM solis 339 om. F mg. V 16 δίδοσθαι—17 καὶ om. F 18 ἡμίσεως AFV: ἡμίσεος GIM ἡμισέας Phot. Ba 20 πλείοις FV ταχὺ—24 ἀπήγαγον om. FT 21 ὑπερισθμήσας GI ὑπερίθμισαν V 23 ἐς] καὶ V ἑστωσάμενοι Kust. ἵστωσάμενοι vel πιστωσάμενοι coni. Bhd. 25 καὶ] κατὰ V 27 τοῦ] τῆς F ἡμιόνου A: ἡμίονος rell. 28 Ἡμιοβόλιον F

346 Ἡμιωβόλιον. καὶ παροιμία. τὸ Πάσητος ἡμιωβόλιον. ὅπερ ἔχων ὁ Πάσης ἐδίδου τοῖς πιπράσκουσι, παρ' ὧν ἤθελεν ὠνεῖσθαι, καὶ πάλιν παρ' αὐτῷ εὑρίσκετο. οὗτος ὁ Πάσης μαλακὸς μὲν ἦν τὴν φύσιν, πάντας δὲ τοὺς ἐν μαγείᾳ διενήνοχεν, ὥστε ἐκ τῶν ἐπαοιδιῶν αὐτοῦ καὶ δεῖπνον πολυτελῆ ὁρᾶσθαι καὶ διακονουμένους τινάς, καὶ πάλιν ἀφανῆ πάντα γίνεσθαι. Suid.

347 Ἡμιπαίδευτος: ὁ ἀπαίδευτος. Δ

348 Ἡμιπέλεκα: αἱ μονόστομοι ἀξίναι. Σ

349 Ἡμιπέλεκυς, ἡμιπελέκεως. Δ

350 Ἡμίεια. Ἥμισυ παντός. Ἡσίοδος· νήπιοι, οὐδ' ἴσασιν ὅσῳ πλέον ἥμισυ παντός. ἔστι δὲ οὕτως· ἀδελφῷ δυὸ ἦστην. ὁ τοίνυν ἕτερος ἀποθνήσκων καὶ παῖδα ὀρφανὸν ἀπολείπων τὸν ἀδελφὸν ἐγγράφει καὶ τοῦ υἱοῦ ἐπίτροπον καὶ τῶν χρημάτων, ὧν ἐκείνῳ κατέλιπε, μελεδωνόν. ὁ δὲ ἀνόσιος ὢν τὰ τοῦ παιδὸς σφετερίσασθαι γλιχόμενος, εἶτα μέντοι καὶ τὰ οἰκεῖα προσαπώλεσε. δεομένῳ δὲ πολυωρίας τινὸς καὶ ῥοπῆς τυχεῖν τῆς ἐς τὸ κρεῖττον ἀπεκρίνατο, νήπιος, οὐκ ἐνόησεν ὅσῳ πλέον ἥμισυ παντός. παιδεύσεως ταῦτα ἔχεται καὶ ψυχὴν καθαίρει καὶ βίον κοσμεῖ καὶ σωφροσύνην ἐντίθησι καὶ δικαιοσύνην νομοθετεῖ. Soph. E

351 Ἥμισυς: ὁ βραχύς. ἥμισυς ἀνὴρ Προυσίας ὁ βασιλεὺς κατὰ τὴν ἐπιφάνειαν καὶ πρὸς τὰς πολεμικὰς χρείας ἀγεννὴς καὶ γυναικώδης. EV

352 Ἥμισυς, ἡμίσεος. καὶ τὸ Ἥμισυ, τοῦ ἡμίσεος. Δ

353 Ἡμιτύβιον: δίκροσσον. Ἀριστοφάνης Πλούτῳ· ἔπειτα καθαρὸν ἡμιτύβιον λαβών. Σ

354 Ἡμιτύμβιον: ὁ μικρὸς τάφος. Δ

355 Ἡμιφάριον: τουτέστιν ἥμισυ ἱματίου. Σ

356 Ἡμίφωνον. Δ

357 Ἥμονες: οἱ ἀκοντισταί. Hom.

358 Ἡ Μορσίμου τὶς ῥῆσιν ἐξεγράψατο: ἐπὶ τῶν ἀποβλήτων Ar.

347 = Ambr. 276 348 = P, Ba 251, 5 349 = Ambr. 271 350 Ἡμίεια = Ambr. 302 Ἡσίοδος (O. 40) — vs. 10 παντός sch. Soph. OC 1211 vs. 10 ἔστι sq. Aelian. fr. 72 351 ἥμισυς ἀνὴρ sq. Polyb. 36, 15, 1 = EV 2, 201, 18—20 352 — ἡμίσεος pr. = Ambr. 274, L 353 = P, Et. Gen. cf. sch. Ar. Pl. 729, H, Poll. 7, 71; l. = Σ^a; Ar. Pl. 729 354 cf. Ambr. 322 355 (praeter τουτέστιν) = Ba 251, 6, H, P 356 = L cf. Ambr. 315 357 sch. Ψ 886 = Orion 72, 1, Ap. S. 84, 10, H cf. Ambr. 270 = Et. M. 428, 44, Ps. Herodian. 49 358 Ar. Ran. 151 c. sch.

346 ex v. Πάσης 350 Hesiod. cf. v. νήπιος et v. ὅσῳ πλέον. Aelian. cf. 592 et 605, v. M 474, v. πολυωρήσεις 351 cf. v. Προυσίας I (fort. hinc) 352 cf. v. A 4258 353—4 Z 992 355 Z 993 357 cf. 276 358 cf. v. M 1262 et v. ψυχρός

346 mg. V 1 (bis) Ἡμιοβόλιον V τὸ—5 γίνεσθαι om. F Πάσιτος GIV A^2F(GITVMO) Πάσις GI 2 post εὑρίσκετο ras. A εὑρίσκεται V 4 ἐπαοιδῶν V cf. v. Πάσης δεῖπνα v. Πάσης, Kust. 5 πάντες V cp. A 7 Ἡμιπέλεκαι V μονόστομαι V 9 παπαντός F Ἡσίοδος—18 νομοθετεῖ om. F 10 ἀδελφῷ 605: cp. A ἀδελφοὶ GIO ἀδελφοὶ αἱ V 12 ἔγραφεν V 13 μελιδῶν V 16 ὅσα A 19 ἥμισυς ἀνὴρ—20 γυναικώδης om. FT 21 ἡμίσεος pr.] ἡμίσεως FIV Ambr. 274 καὶ] κατὰ V ἡμίσεως FIV 353 om. F 25 [ματίου] τοῦ ἱ. F Zon. 28 ῥῆσις FGTV

καὶ διαβεβλημένων. ὁ γὰρ Μόρσιμος τραγῳδὸς ἦν, ποιητὴς ὑπόψυχρος, Φιλοκλέους, ὀφθαλμῶν ἰατρός, μικρός· υἱὸν δὲ ἔσχεν Ἀστυδάμαντα.

Δ 359 Ἡμωδιῶ: ἀντὶ τοῦ αἱμωδιῶ.

Δ 360 Ἡμωδὸν ὄρος.

Σ 361 Ἥμων: ἐθέριζον.

Σ 362 Ἡμπέσχετο: περιεβάλλετο. καὶ Ἡμπίσχετο· δοτικῇ. Ἡμ-
Δ πείχετο δέ.

Soph. 363 Ἡμπόληκας: ἐπώλησας, ἐκέρδανας. λέγεται δὲ καὶ ἐπὶ φαύλου τροπικῶς, ἀντὶ τοῦ περιεποίησας. ἆρ' ἠμπόληκας, ὥσπερ ἡ φάτις κρατεῖ;

Σ 364 Ἡμοιρηκώς: μὴ μετέχων.

Δ 365 Ἡμύω: κλίνω. Ἡμύσσετο δὲ τὴν καρδίαν, ἀντὶ τοῦ ἐταράσσετο.

Σ 366 Ἦν: ἀντὶ τοῦ ἤμην. Ἀριστοφάνης Πλούτῳ· ἐγὼ δὲ θεοσεβὴς
Ar. καὶ δίκαιος ὢν ἀνὴρ κακῶς ἔπραττον καὶ πένης ἦν. καὶ Πισίδης·
Σ κἀγὼ γὰρ εἷς ἦν τῶν βοᾶν ἠπειγμένων. καὶ Ἦν, ὑπῆρχον. δοτικῇ.

Σ 367 Ἦν: ἀντὶ τοῦ ἐάν. Ἀριστοφάνης· τοῦτ' αὐτὸ καὶ βούλομαι,
Ar. ἢν ἡ σμινύη μὴ προδῷ τὰς ἐλπίδας. ἂν μὴ κλασθῇ. ταῦτα δὲ ἔλεγεν ἐμπιπρῶν τὴν σχολὴν τοῦ Σωκράτους.

Ar. 368 Ἦν ἄρα καὶ πυρὸς ἕτερα θερμότερα καὶ λόγων ἐν πόλει τῶν ἀναιδῶν ἀναιδέστεροι: ἐπὶ τῶν καθ' ὑπερβολὴν γινομένων.

Anth. 369 Ἠνάρισεν: ἐφόνευσεν, ἐσκύλευσεν. οὔ τινα γὰρ τοιόνδε νέον ὁ φιλαίματος Ἄρης ἠνάρισε στυγερῆς μάχης.

Σ 370 Ἥνδανεν: ἤρεσκεν.

Ar. 371 Ἦν δ' ἐγώ: ἔφην δὲ ἐγώ. παρὰ Πλάτωνι καὶ Ἀριστοφάνει.

359 cf. H v. ἡμωδίαν, Moer. 198,15; l. = Ambr. 350 360 = Ambr. 328, Lex. de spiritu 361 = P, Ba 251,10, sch. Σ 551 362 — περιεβάλλετο = P, Σ^{a} cf. Ba 251,9, H Ἡμπίσκετο sq. (praeter δοτικῇ) cf. Ambr. 344, H, P 363 Soph. Ai. 978 c. sch. 364 = P, Ba 251, 8 cf. H 365 — κλίνω = Ambr. 334, Ps. Herodian. 49 cf. Lex. de spiritu, H, sch. Θ 308 366 — ἤμην = sch. Pl. Soph. 243b, P, H, sch. Ar. Pl. 29 ἐγὼ—vs. 15 ἦν Ar. Pl. 28—9 κἀγω—ἠπειγμένων Pisid. fr. 105 Ἦν, ὑπῆρχον cf. P = sch. B 77; H δοτικῇ = Synt. Gud. et Laur., Bk. 147, 18 367 — ἐάν = Ba 251, 25, H τοῦτ' sq. Ar. Nu. 1499—1500 c. sch. plenior. 368 Ar. Eq. 382—3 c. sch. 369 οὔ sq. Anth. 7, 226, 3—4 370 = P, Ba 251, 11, sch. A 24, H cf. Ambr. 373 371 sch. Ar. Eq. 634

361 cf. 318 et v. A 1579 362 cf. v. A 1652 363 Z 994 365 cf. v. A 1685. Z 994 366 cf. 5 et 568; Ar. Nu. cf. v. σμινύην 369 cf. v. Ε 1124. Z 997 370 cf. v. A 2144. Z 997 371 cf. 100 et v. σκιταλοί. Z 997

A^{2}F(GITVME) 1 ὁ—2 Ἀστυδάμαντα om. F 2 Φιλοκλέους A: ΦιλοκλέΖους VM Φιλοκλέρους GI 6 Ἡμπέσχετο] Ἡμπίσχετο A Ἡμπίσχετο] Ἡμπέσχετο FI δοτικῇ om. F 6. 7 Ἡμπείσχετο V 8 Ἡμπόληνας V 9 ἡμπόλησας F 10 κρατεῖ] Σοφοκλ add. E 11 Ἡμοιρηκός F 12 Ἡμύσσετο—13 ἐταράσσετο om. F 12 Ἡμύσεται V; nov. gl. AIM 14 Ἀριστοφάνης—16 δοτικῇ om. F 15 καλῶς GM 16 ὑπῆρχε GI Phot. sch. Hes., cp. M δοτικῇ om. T 17 Ἀριστοφάνης—22 γινομένων om. FT 18 δὲ om. V ἔλεγον GM 21 ἀναιδέστερα V 23 οὔ—24 μάχης om. FT 24 ἠνήρισε GVM 26 Πλάτωνι F Zon. cf. sch.: Πλούτου V Πλουτάρχῳ rell.

372 Ἠνδρίσατο: ἄνδρα ἐπάλαισεν. Δ
373 Ἠνδρώθησαν: ἀνδράσιν ὡμίλησαν. οὕτως Δίων πολλάκις Σ
ἐχρήσατο.
374 Ἠνδρωμένος: ηὐξημένος. Δ
375 Ἠναιδηκότες. Δ
376 Ἠναίνετο: ἀπηρνεῖτο, ἀπεστρέφετο. καὶ ὑπὲρ ὧν ἐδίψ' ἀκοῦ- Σ + E
σαι ἠναίνετο.
377 Ἤνεγκον: ἀπὸ τοῦ ἐνέγκω. ἤνεγκα δέ ἀπὸ τοῦ ἐνέγκας. Σ
378 Ἠνεμόεσσαν: ὑψηλήν. καὶ Ἠνεμῶσθαι, τὸ περὶ ἔρωτα Σ
ἐπτοῆσθαι. Αἰλιανός· καὶ ἐδόκει περὶ τὴν ἄνθρωπον ἀκρατῶς ἠνε- E
μῶσθαι.
379 Ἤν ἐμπνέω: ἕως οὗ ζῶ. Ar.
380 Ἠνέσαμεν: ἠσπασάμεθα, ἠγαπήσαμεν. ἐν Ἐπιγράμμασι· ἐκ πατέ- Anth.
ρων ταύτην ἠνέσαμεν βιοτήν.
381 Ἠνεσχέθην: ὑπέμεινα. καὶ Ἠνέσχετο· γενικῇ. Δ Synt.
382 Ἤνεικα: ἐκόμισα. Δ
383 Ἠνείχοντο: ἐβούλοντο, ἤθελον. Δαμάσκιος· οὔτε ἐπεγγελᾶν
ἠνείχοντο τοῖς εἰρημένοις.
384 Ἠνήσαμεν: ἠνέσαμεν. Δ
385 Ἠνί: ἀντὶ τοῦ ἰδού. Δωρικῶς. ἠνὶ δὲ σιμβλεύει κηροτρόφα Δ?
δῶρα μελισσῶν ἐσμῷ βομβητῇ κυκλόσε βριθόμενα. Anth.
386 Ἠνιγμένος: μετὰ αἰνίγματος λελεγμένος. αὐτόθι φανερὸν Ar.
ἔχων τὸν νοῦν, παρ' ὅσον οἱ χρησμοὶ λοξῶς ἐξεφέροντο. καὶ ποικί-
λως πως καὶ σοφῶς ἠνιγμένος. οἷον ἄλλα μὲν λέγων, ἄλλα δὲ νοῶν.
387 Ἡνίαι: λῶροι χαλινῶν. ὁπότερος σφῶν εὖ με μᾶλλον ἂν Σ
ποιῇ, τούτῳ παραδώσω τῆς Πνυκὸς τὰς ἡνίας. τουτέστι τὴν ἐξουσίαν. Ar.
τροπικῶς ἀπὸ τῶν ἁρμάτων. ταῖς γὰρ ἡνίαις ἡνιοχοῦντο οἱ ἵπποι,
οἱ δὲ δῆμοι διὰ τῶν πολιτευομένων.

372 cf. Ambr. 368 373 = P, Ba 251, 12; Cass. D. fr. 87, 3 375 = L cf. Ambr. 378 376 καὶ sq. Aelian. fr. 270, temere Dam. fr. 119 377 cf. Phryn. 73, 1, P (= Phryn. fr. 314), Ael. D. fr. 156 ex Eust. O. 1435, 64 378 — ὑψηλήν = P, Ba 251, 14, sch. B 606 (= Et. Gen., Et. M. 431, 43) cf. H, Ambr. 361, Lex. de spiritu καὶ ἐδόκει sq. Aelian. fr. 49 379 sch. Ar. Th. 926 380 ἐκ sq. Anth. 6, 302, 4 381 — ὑπέμεινα = Ambr. 375 382 = Ambr. 372 383 οὔτε sq. Dam. fr. 21 384 cf. Ambr. 387 385 ἠνὶ δὲ sq. Anth. 6, 236, 3—4 386 Ar. Eq. 196 c. sch. 387 — χαλινῶν = P, Ba 251, 15 cf. H, Et. M. 432, 17, Ambr. 365; Ps. Herodian. 50 = Lex. de spiritu ὁπότερος sq. Ar. Eq. 1108—9 c. sch. plenior.

372—4 Z 997 376 cf. v. A 2201. Z 997 377 Z 998 378 Z 996 et 998 379—80 Z 998 381 Z 898. Synt. cf. v. A 2364 383 Z 998 385 cf. v. σίμβλοι 386 Z 998 387 Σ cf. v. Δ 1631, Ε 3472. Ar. cf. v. Πνυκός

1 ἄνδρα] ἀνδράσιν ms. A in Ambr. ἀνδρικῶς Zon. ed. pr. 5 Ἠναιδικότες FM A^2F(GITVM) Ambr. 6 ἐδίψα FV Zon. 10 Αἰλιανός—ἠνεμῶσθαι om. FT 13 ἐν— 14 βιοτήν om. FT 14 βιοτήν] αὐτήν V 15 καὶ—γενικῇ om. FT mg. V 16 Ἤνεικα V Ambr.: Ἤνικα F Ἤνεγκα rell. 17 Δαμάσκιος—18 εἰρημένοις om. F 19 Ἠνηέσαμεν F αἰνέσαμεν A^{ac} 20 ἠνὶ] ἦν V κηροτρύφα V 22 αὐτόθι—24 νοῶν om. F 24 λέγων] καὶ add. GVM 25 Ἡνία AV ὁπότερος—28 πολιτευομένων om. F 25 με om. V

Δ 388 Ἠνιμᾶσθαι: ἀντλεῖσθαι.

Δ 389 Ἤνίκα: ὁπότε.

Soph. 390 Ἠνιξάμην: αἰνιγματωδῶς εἶπον.

Δ 391 Ἡνίοχος καὶ Ἡνιοχεία.

Hesy. 392 Ἡνίοχος, Ἀθηναῖος, κωμικὸς τῆς μέσης κωμῳδίας. ἔστι τῶν δραμάτων αὐτοῦ τάδε· Τροχίλος, Ἐπίκληρος, Γορτόνες, Πολυπράγμων, Θωρύκιον, Πολύευκτος, Φιλέταιρος, Διὶ ἐξαπατώμενος. κατὰ Πολυεύκτου· ἐγένετο καὶ καθ' ἡμᾶς Πολύευκτος, ἀποφράς, ἡμιγύναιος, θεοστυγής, βαρυόργητος, Κωκυτοῦ καὶ Στυγὸς δεινὸν καὶ ὀλέθριον τῷ βίῳ ἐκλόχευμα.

Δ 393 Ἠνίπαπεν: ἐκακολόγησεν.

Δ 394 Ἤνις: ὁ ἐνιαύσιος, ὁ ἀκέντριστος.

Soph. 395 Ἠνθισμένον· οὐ γάρ σε μακρῷ χρόνῳ γνῶς', οὐδ' ὑποπτεύσουσιν ὧδ' ἠνθισμένον. τινὲς τὸ ἠνθισμένον ἐπὶ τῇ κεφαλῇ ἤκουσαν, οἷον ταῖς πολιαῖς ἠνθισμένον. τοῦτο δὲ ἀπίθανον· ἐγνώσθη γὰρ ἄν, εἰ καὶ τοσοῦτον ἤλλαξε τὴν κεφαλήν. δοκεῖ οὖν μοι τὸ ἠνθισμένον, ἀντὶ τοῦ ἠσκημένον. οὐ μὴ οὖν σε ἐπιγνῶσι τοιαῦτα πλαττόμενον. εἰ δὲ τὸ ἠνθισμένον ἐπὶ ἡλικίας δεξαίμεθα, ἔστιν οὐκ ἐπὶ τῶν τριχῶν, ἀλλ' ἐπὶ παντὸς τοῦ σώματος.

Ar. 396 Ἤν κατεργάσῃ: ἐὰν διαπράξῃ ἅπερ αὐτοῖς ἐπηγγείλω.

Δ 397 Ἠνορέη: ἀνδρεία. ἄγγελλ' ἠνορέην Κρητὸς Ἐχεκρατίδα. ἐν

Anth. Ἐπιγράμμασι.

Δ 398 Ἠνοπίδην: ὄνομα κύριον.

Call. 399 Ἤνοψ: ὁ λαμπρός. οὐρανὸς ἤνοψ. καί, ἤνοπα πυρὸν ἔδουσι.

Δ τουτέστι πυρρὸν σῖτον. καὶ ἡ δοτικὴ Ἤνοπι.

Δ 400 Ἠνώχλησα: ἐβιασάμην.

Δ 401 Ἤντετο: συνήντησεν.

Ar.? 402 Ἠντιβόλει: ἱκέτευεν, ἐδεῖτο, ἐλιπάρει.

389 = Ps. Herodian. 50, aliter Ambr. 388, H 390 fort. sch. Soph. Ai. 1158 cf. Ambr. 377 391 cf. Ps. Herodian. 50, Ambr. 354 et 364, Lex. de spiritu 392 cf. Ath. 9, 408a; 11, 463e; 6, 271a; 9, 396d 393 = Ambr. 374, Lex. de spiritu, sch. B 245, Et. M. 431, 52 394 = Ambr. 353 cf. Lex. de spiritu, H; sch. Z 94 = L, Et. M. 432, 3 395 Soph. El. 42—3 c. sch. 396 sch. Ar. Eq. 933 397 — ἀνδρεία = Ambr. 362, Ps. Herodian. 50, Lex. de spiritu, Et. M. 432, 47 cf. H, sch. Δ 303 ἄγγελλ' sq. Anth. 6, 123, 4 398 cf. L; l. Ξ 444 399 — λαμπρός = Et. M. 432, 36 cf. Lex. de spiritu, Apion, H v. ἠνίοπι, L. οὐρανὸς ἤνοψ Call. fr. 8 K. an. 24 S. ἤνοπα — ἔδουσι Call. fr. 124 K. an. 28 S. πυρὸν σῖτον cf. H, Et. M. 697, 49 400 cf. Ambr. 370 401 = Ambr. 376 cf. H 402 fort. sch. Ar. Eq. 667

388 cf. v. A 2470. Z 998 392 cf. v. Πολύευκτος. Z 995 397 Z 996 398 Z 995 399 cf. v. Ε 1180 et v. πυρός. Z 995 400—1 Z 999 402 cf. v. A 2655

A²F(GITVM) 5 ἔστι—9 ἐκλόχευμα om. F 7 κατὰ—9 ἐκλόχευμα mg. V 9 Κωκυτοῦ v. Πολύευκτος, Kust.: Κωκυτὸς omnes Στυγῆς A 11 ἐνιαύσιος] βοῦς add. T 12 οὐ—15 ἠνθισμένον om. FT cf. ad vs. 16 12 χρόνῳ ex V solo 16 οὐ—πλαττόμενον] οἷον ταῖς πολιαῖς· ἠνθισμένον F cf. vs. 14 τοιαῦτα] ταῦτα A 17 τὸ] τὸν F δεξάμεθα V 18 τοῦ om. F 20 ἀνδρία FVM, Ps. Herodian. ἄγγελλ'—21 Ἐπιγράμμασι om. FT 22 Ἠνοπίδης A, Laur. 24 πυρὸν FV om. I Ἤνοτι A Ἤνιπι F 25 Ἠνόχλησα F

403 Ἠνύσατε: ἐφθείρατε. καὶ Ὅμηρος· ἦ θήν c' ἐξανύω γε καὶ Soph.
ὕστερον ἀντιβολήσας. καὶ Σοφοκλῆς· ἠνύσατε ἐκτοπίαν φλόγα πήματος. ἐκτοπίαν δὲ ἀντὶ τοῦ ξένην καὶ ἀκόλαστον. ἀντὶ τοῦ ἐκτοπίαν γενέσθαι, ὅ ἐστιν ἐκτὸς καὶ ἀπὸ τῶν τόπων τῆς πόλεως.
404 Ἤνυστρον: τὸ παχὺ μέρος τῆς κοιλίας ἐν ἐντέρῳ· εἰς τρία Σ
γὰρ τέτμηται ἡ γαστήρ· ἤνυστρον, ἐχῖνον, κεκρύφαλον. ἐγὼ δ' Ar
ἤνυστρον βοὸς καὶ κοιλίαν ὑείαν καταβροχθίσας.
405 Ἧξε: παρεγένετο. Δ
406 Ἠξίου: διὰ φροντίδος εἶχε. Προκόπιος· οὐ γὰρ ἠξίου τοῖς E
καιροῖς ἐναρμόζειν τὰς πράξεις, ἀλλ' ἀπὸ καιροῦ παντὸς εἰργάζετο. καὶ Ἠξίων. Δ
407 Ἠξίωτο: ἐπεπίστευτο. ἐπεὶ δὲ καὶ συμμαχικῶν χρημάτων ἠξίωτο, E
ταῦτα μὲν ἀφῃρέθη, αὐτὸς δὲ ἀνεπέμφθη παρὰ τὸ ἔθνος τῶν Ἰαζύγων.
408 Ἦομεν: ἐπορεύθημεν. Ὅμηρος. ᾖομεν, ὡς ἐκέλευσας. ἀπὸ Δ
τοῦ εἶω, τὸ πορεύομαι Δωρικῶς, τροπῇ τῆς ει διφθόγγου εἰς η. Ecl.
Ἀππιανός· Ἀλλόβριγες, Γαλατῶν ἔθνος. δύσμαχοι δ' αὐτῶν ἦσαν αἱ E
πόλεις ὑπὸ τῆς ἀμπώτεως ἐφ' ἡμέραν ἠπειρούμεναί τε καὶ νησούμεναι· οἱ δὲ πλοίοις ἐπολέμουν. τοῦ δὲ Καίσαρος Γαΐου περὶ τὰς πόλεις σταυροὺς πηξαμένου ὑψηλοὺς καὶ τοῖς σταυροῖς ἐπιθέντος γεφυρώματα, ὁ μὲν κλύδων ἐχώρει διὰ τῶν σταυρωμάτων ὑπὸ τοῖς γεφυρώμασι, Ῥωμαίοις δὲ ἀδεὲς καὶ ἐπίμονον ἦν τὸ ἔργον.
409 Ἑοῦς: ὄρθρου, ἡμέρας· ἢ ἀνατολῆς. Σ
410 Ἠώη: ὄνομα πόλεως. Δ
411 Ἠῶθεν: ἕωθεν, ὄρθρου. Hom.
412 Ἠώκοιτος: ὁ πρωϊνὸς ὕπνος. Δ
413 Ἤων· Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. πόλις ἐστί, Μεν- Harp.
δαίων ἀποικία.
414 Ἠωρείμ: ὄνομα κύριον. Δ

403 Soph. OT 166 c. sch. plenior.; Λ 365 404 — κεκρύφαλον = Ba 251,16 cf. P, sch. Nic. Th. 579, sch. Ar. Eq. 356; εἰς—κεκρύφαλον = Lex. rhet. ap. Et. Gen. et Et. M. 432, 55 ἐγὼ sq. Ar. Eq. 356 405 = Ambr. 389 406 οὐ—εἰργάζετο Proc. h. a. 18, 29 408 — Ὅμηρος (κ 251) = L, sch. κ 251 cf. H v. ᾖμεν ᾖομεν—η′ = An. Ox. 2, 444, 1 cf. Ambr. 396 Ἀλλόβριγες sq. non in edd. App. 409 = Ba 251, 19, P cf. sch. Θ 470, H 410 = L 411 sch. Λ 554 cf. H 412 = Ambr. 650 cf. H 413 Harp. = P, Et. Gen., Et. M. 440, 31; πόλις = Ambr. 654; Dem. 23, 199 414 = Ambr. 651

403 Z 999 404 cf. vv. Ε 1504 et Κ 489 408 Z 1000 409 cf. 417. Z 1000 410 Z 1019 412 Z 1018 414 Z 1018

1 καὶ pr.—4 πόλεως om. F 5 ἐντέρῳ] ἐρτίλῳ A 6 ἐχῖνα V; om., sed καὶ ἐχῖνον post κεκρύφαλον add. F καὶ κρύφαλον A, Et. Gen. 9 Ἠξίου om. V Προκόπιος—11 καὶ om. F 12 ἐπιστεύετο V 13 ταῦτα—Ἰαζύγων om. F 15 Ὅμηρος—22 ἔργον om. F 16 ει ex I, An. Ox. 17 Ἀππιανός—22 ἔργον alii gl. assignavit Kust. 20 ἐπιθέντες V 21 ὁ—22 γεφυρώμασι om. V 23 ὄρθους V 24 Ἠών FV, Ambr. 654 29 Ἠωρέμ V A²F(GIVM)

Δ 415 Ἠωρημένω: κρεμαμένω. καὶ Ἠώρησεν, ἐκρέμασεν, ἀνῆψεν.
Δ + Anth. ἐν Ἐπιγράμμασι· ταῦτά σοι, ὦ Διόνυσε, πρὸ παστάδος ἠώρησε τὰ κάλλευ κόσμια καὶ μανίης.
EL 416 Ἠώρουν: ἐβάσταζον, ἀνεῖχον. τὴν δὲ κλίνην ταῶνες τέσσαρες
Δ χρυσοῖ ἠώρουν. Αἰωρῶ τὸ ῥῆμα.
Σ 417 Ἠώς: πρὸ ἡμέρας ὄρθρος. ἐπὶ μὲν τῆς θεᾶς· Ἠὼς δ' ἐκ λεχέων. ἐπὶ δὲ ὅλης ἡμέρας· ἥδε μοι νῦν ἠὼς ἑνδεκάτη. ἐπὶ δὲ τῆς πρωΐας ἕως ἕκτης ὥρας· ἔσσεται ἦμαρ ἢ ἠὼς ἢ δείλης ἢ μέσον ἦμαρ. λέ-
Ecl. γεται δὲ ἡμέρα κοινῶς ἠώς, Ἰωνικῶς ἕως, Δωρικῶς ἀώς, Αἰολικῶς ἐκ τούτου αὐῶν καὶ τροπῇ τοῦ υ αἰών.
418 Ἡπαλύνθησαν.
Δ 419 Ἤπαρ. Ἡπατοσκοπία. ζήτει ἐν τῷ Πέρσαι. καὶ Ἡπατο-
Greg. σκοπία, ἡ τῶν ἐγκάτων ἀνατομή, δι' ὧν προεμήνυον τὰ συμβησόμενα· ἀνατέμνοντες γὰρ σημεῖά τινα ἐθεώρουν ἐν τοῖς ἐγκάτοις.
Δ 420 Ἠπεδανός: ἀσθενής. ἐν Μύθῳ· ἐγγύθι δ' ἔστη ἠπεδανοῖο λέοντος.
Suid. 421 Ἠπέδιζον· ἄπεδα γὰρ τὰ ἰσόπεδα. Κλείδημος· καὶ ἠπέδιζον τὴν ἀκρόπολιν, περιέβαλον δὲ ἐννεάπυλον τὸ Πελασγικόν.
Ar. 422 Ἤπερ: ἀντὶ τοῦ ὥσπερ. ἀλλ' ἦπερ αὐτὸς τὴν δίκην διωρίσω, θὲς δεῦρο τοὐπίξηνον, ἐγχείρει λέγειν. Ἀριστοφάνης.
Ar. 423 Ἤπερ: ὥσπερ. εἰσεποιήσατο αὐτὸν χερσὶν οἰκείαις εἰς παῖδα,
E ἦπερ εἰσποιεῖσθαι Χριστιανοῖς νόμος.
424 Ἤπερ: καθότι. ἐδόκει δὲ τῷ βασιλεῖ ἀρκεῖσθαι τοῖς παροῦσι
E καὶ μὴ σφόδρα ἐπαίρεσθαι· ἦπέρ ἐστιν ἄριστον πολέμῳ καὶ τοῖς ἐκ τοῦ πολέμου συμβαίνουσιν ὁμιλεῖν, ὡς οὐδενὸς ἐν αὐτοῖς βεβαίου καὶ πιστοῦ πάντως ὑπάρχοντος.
Prov. 425 Ἡ Περγαία Ἄρτεμις: τάσσεται ἐπὶ τῶν ἀγυρτῶν καὶ πλανητῶν. παρ' ὅσον ἡ θεὸς αὕτη νομίζεται ἀγυρτεύειν ἀεὶ καὶ πλανᾶσθαι.

415 — κρεμαμένω cf. Ambr. 656 Ἠώρησεν, ἐκρέμασεν cf. Ambr. 656, H, Et. M. 440, 33 ταῦτά sq. Anth. 6, 172, 5—6 416 τὴν—ἠώρουν Men. Prot. fr. 20, FHG 4, 228a = EL 194, 13—4 Αἰωρῶ sq. cf. Ambr. v. Αἰ 433 417 — ἦμαρ alt. = P cf. Ap. S. 85, 21, H, Et. M. 440, 40, sch. β 1, Apion, Ps. Herodian. 44; ε 1, Φ 155—6, Φ 111 λέγεται sq. cf. Et. Gen., Et. M. 440, 49, Orion 69, 1 418 Ps. 54, 22 419 — Ἡπατοσκοπία cf. Lex. de spiritu Ἡπατοσκοπία alt. sq. fort. sch. Greg. 420 — ἀσθενής = Ambr. 399 cf. sch. Θ 104, Et. M. 433, 27, H, Lex. de spiritu ἐγγύθι sq. Babr. p 217 422 Ar. Ach. 364—5 c. sch. cf. sch. I 310 423 ὥσπερ cf. ad 422 εἰσεποιήσατο sq. Proc. h. a. 1, 16 424 πολέμου—ὁμιλεῖν Men. Prot. fr. 41, FHG 4, 242b 1—2 contulit Gsf. (ms.) 425 cf. Miller, Mél. 369, n. 106, Diogen. V 6, P

415 cf. vv. Αἰ 265, Ε 1898. Ζ 1020 416 Ζ 1020 417 cf. 409 419 cf. v. Μ 9. Ζ 1001 420 Ζ 1000 421 ex v. Α 2972 422 Ζ 1002 423 cf. v. Ε 902 424 Ζ 1002

A²(GITFVM) 1 καὶ om. F, nov. gl. F Zon. 3 κάλλευ AV^{oc}: καλλεύεις GIM κάλλευς Anth. 5 ἐωροῦν A^{ac}V 8 ἔσεται A^{ac}IV δείλη A Phot. 9 ἀώς] ἠώς V 10 καὶ—αἰών ex FV solis 418 om. F, non nov. gl. M 12 Πέρσαι ego: Πέρσῃ AGITM ἐγκάτοις] ἥπασι G, ss. M 421 om. FV 18 περιέβαλλον G, v. Α 2972 19 ἀλλ'—22 νόμος om. TF 20 ἐχείρει GIM 22 νόμοις GVM 23 ἐδόκει—26 ὑπάρχοντος om. TF 24 τοῖς om. A 25 οὐδὲν V

426 Ἠπεροπεύειν: ἐξαπατᾶν. παραλογίζεσθαι, καὶ τὰ τούτοις ἐπακολουθοῦντα. Ἀριστοφάνης· σὸν ἔργον ἐστὶ τοῦτ' ὀπτᾶν καὶ τρέφειν κἀξηπεροπεύειν καὶ πάνθ' ὑπέχειν, πλὴν ὧν σύνοιδεν ἡ κύλιξ. περὶ Κινησίου φησίν, ὅτι κατωφερὴς ἦν εἰς συνουσίαν· πλὴν ὧν συνωμοσάμεθα μὴ ποιεῖν ἐπὶ τῆς κύλικος. τουτέστι συνουσιάζειν. ἔστι δὲ ὅρκος ὁ ἐπὶ τῆς κύλικος· οὐδέποθ' ἑκοῦσα τἀνδρὶ τῷ 'μῷ πείσομαι. οὐδέ μ' ἄκουσαν βιάσεται βίαν, κακῶς παρέξω κοὐχὶ προσκινήσομαι. Hom. Ar.

427 Ἠπεροπευτής: ὁ ἀπατεών. καὶ Ἠπεροπῆας. Δ

428 Ἤπειρον: τῷ Ἰσοκράτει σύνηθές ἐστι τὴν ὑπὸ βασιλεῖ τῶν Περσῶν γῆν οὕτω καλεῖν. Harp.

429 Ἤπειρος: χέρσος γῆ· οἷον ἄπειρός τις οὖσα. ἤπειρος δὲ λέγεται παρὰ τοῖς ποιηταῖς ἡ γῆ καταχρηστικῶς, κυρίως δὲ ἡ εἰς ἄπειρον ἐκβάλλουσα, ὡς Εὐριπίδης· ἤπειρον εἰς ἄπειρον ἐκβαλλὼν πόδα. καὶ Ἠπειρωτὴ θάλασσα. Σ Δ

430 Ἠπειρώτης.

431 Ἠπηνημένων: ἐπαίνου τυχόντων. ὁ δὲ ἐκέλευε παρὰ τῷ ἠπηνημένῳ πολλῷ πλείονα μισθὸν κομίζεσθαι. E

432 Ἠπήτρια: ἡ ῥάπτρια. καὶ Ἠπήτριον, τὸ σουβλίον, μεθ' οὗ ῥάπτουσι τὰ βυρσάρια. οἱ δὲ Ἀττικοὶ ἀκέστριαν. Δ Suid.

433 Ἠπίαλος: ὁ ῥιγοπύρετος. καὶ Ἠπιαλῶν, μετοχή. Ἀριστοφάνης· ἠπιαλῶν γὰρ οἴκαδ' ἐξ ἱππασίας βαδίζων. ἠπιαλῶν, ῥιγοπυρέτῳ περιπεσών· ἠπίαλος γὰρ κυρίως ὁ μετὰ ῥίγους πυρετός. ἐξ ἱππασίας δὲ ἀντὶ τοῦ ἱππικῆς. καὶ γὰρ ἕως ἑσπέρας διέτριβον οἱ ἵπποι ἐν τῇ δοκιμασίᾳ. Σ Δ Ar.

434 Ἠπιόδωρος: ἤπια καὶ προσηνῆ δωρουμένη, χρηστή. Σ

426 — ἐξαπατᾶν sch. Γ 399 = H cf. Ap. S. 84, 22 παραλογίζεσθαι—κύλικος Ar. Lys. 839—41 c. sch. 838—41. οὐδέποθ' sq. Ar. Lys. 224—5, 227 427 — ἀπατεών = Lex. de spiritu, Et. M. 433, 33 cf. sch. Γ 39, λ 363. Ἠπεροπῆας cf. Et. M. 433, 51 428 Harp. = P 429 — πόδα = P, Σ^{a}, Ba 251, 20 cf. Et. M. 433, 54, sch. Ap. Rh. 4, 71, Ap. S. 84, 20, H; Eur. fr. 1010 431 ὁ sq. Aelian. fr. 78 432 cf. sch. Luc. 258, 11; — ῥάπτρια = Ambr. 405, H v. ἠπίτρια. Ἠπήτριον—βυρσάρια aliter Ambr. 407 = Zon. 1002 433 — ῥιγοπύρετος Tim. = P, Et. Gen. cf. Phryn. 73, 9, Et. M. 434, 7, H, Ps. Herodian. 51, sch. Luc. 90, 1 vs. 21 ἠπιαλῶν γὰρ sq. Ar. Ach. 1164—5 c. sch. 434 = P, Ba 251, 29 cf. H = Ap. S. 84, 23; Et. M. 434, 25, sch. Z 251

426 Z 1002. Ar. Lys. cf. v. K 2666 et v προσκινήσομαι 428—9 Z 1001 431 Z 1002 432 Z 1001—2. οἱ sq. ex v. A 841 433 init. cf. v. Ε 2221. Z 1000

1 καὶ—7 προσκινήσομαι om. TF 5 ποιεῖν M: πιεῖν AGIV τουτέστι— 6 κύλικος om. V 7 προσκυνήσομαι $AI^{ac}V$ cf. v. K 2666 8 Ὑπεροπῆας $GI^{ac}M$ 13 ἄπειρον pr. Phot. Ba: ἤπειρον omnes. Zon. ἐκβάλλων V Phot. Ba sch. Ap.: ἐκβαλὼν rell. ἐκβάλλω Zon. 14 Ἠπηροτὴ F Ἠπειρωτικὴ ed. pr. 430 om. F mg. V 16 Ἠπηνομένων A Ἠπονημένων V 16. 17 τῷ ἠπηνομένῳ A τῷ ἠπονημένῳ V τῶν ἠπηνημένων v. l. Zon. Toup 17 πολλῷ Bhd.: πλοίῳ A πλείῳ rell. 19 οἱ—ἀκέστριαν om. F sed cf. Zon. et sch. Luc. 22 ῥιγοπυρέτῳ] ὁ ῥ. GI γὰρ] δὲ A 25 δωρούμενος GIVM A²(GITFVM)

435 Ἠπιόνη: γυνὴ Ἀσκληπιοῦ. καὶ θυγάτηρ αὐτῆς Ὑγεία, Αἴγλη, Ἰασώ, Ἀκεσώ, Πανάκεια.

ΣΔ 436 Ἤπιος: πρᾶος, ἢ λιπαρός. καὶ Ἠπιώτατος.

Ar. 437 Ἡ ἐπίτριπτος: ἡ ἐπίτριπτος, ἡ ἀξία τοῦ ἐπιτριβῆναι· ἢ ἡ μεγάλα φθεγγομένη. Ἀριστοφάνης Πλούτῳ περὶ τῆς Πενίας· αὕτη μὲν ἡμῖν ἡ ἐπίτριπτος οἴχεται.

438 Ἢ ποδῶν εἶχεν ἕκαστος ἔθεον: ἀντὶ τοῦ ὡς εἶχον δυνάμεως.

Ar. 439 Ἢ πολλοῦ γε δεῖ: ἀντὶ τοῦ οὐδὲ ὅλως.

Σ | 440 Ἤπου: ἴσως, σχεδόν. ἤπου δεόμενοι δυσωπεῖν.

Σ 441 Ἤπού γε: πολλῷ πλέον.

Hom. Δ 442 Ἠπύει: φωνεῖ. καὶ Ἤπυον.

Δ 443 Ἠπύτης: ὁ φωνητικός, ὁ κήρυξ.

Δ 444 Ἠπυτίδης.

Δ 445 Ἤπυτον: ὄρος Θρᾴκης.

Δ 446 Ἤρ: ὄνομα κύριον Ἑβραϊκόν.

Ar.? 447 Ἥρα: ἐπεθύμει, ἐγλίχετο, ἐρωτικῶς εἶχεν. ὁ δὲ Ἀβραὰμ ἤρα Ε Ῥωμαϊκῆς παρατάξεως ἀεί πως αὐτῷ γελᾶν τὴν τύχην οἰόμενος. αἰσχρᾶς τις ἤρα καὶ κακοτρόπου δούλης. Βάβριος. καὶ αὖθις· ἤρα Ε νεκρὸν ἰδεῖν βάρβαρον καὶ ὑπ' ἄλλου πεφονευμένον.

448 Ἥρα: ἐπεθύμει. Ἱππαρχία ἤρα τῶν λόγων Κράτητος, οὐδενὸς ἄλλου ἐπιστρεφομένη πράγματος. ἥτις ἐς συμπόσιον ἐλθοῦσα σὺν Κράτητι Θεόδωρον τὸν ἄθεον ἤλεγξεν σόφισμα προτείνασα τοιοῦτο· ὃ ποιῶν Θεόδωρος οὐκ ἂν ἀδικεῖν λέγοιτο, οὐδ' Ἱππαρχία ποιοῦσα τοῦτο ἀδικεῖν λέγοιτο ἄν· Θεόδωρος τύπτων ἑαυτὸν οὐκ ἀδικεῖ, οὐδ' Ἱππαρχία Θεόδωρον τύπτουσα ἀδικεῖ. ὁ δὲ πρὸς τὸ λεχθὲν οὐκ ἀπήντησεν, ἀνεσύρατο δ' αὐτῆς τὸ ῥημάτιον.

449 Ἥρα: ὁ ἀήρ. καὶ ἐπεὶ ὁ ἀὴρ καθαίρει, τὸ εἴδωλον αὐτῆς ἀντι-

435 cf. Et. M. 434, 17, sch. Ar. Pl. 701 436 — λιπαρός = P, Ba 251, 30; — πρᾶος = Ambr. 400, Ps. Herodian. 51, Lex. de spiritu, sch. ε 8 cf. Et. M. 434, 23, H Ἠπιώτατος = Ambr. 402 cf. Et. M. 434, 23 437 Ar. Pl. 619 c. sch. 438 l. c. Aelian. v. h. 1, 11 vel 14, 22 contulit Kust. 439 sch. Ar. Ach. 543 440 — σχεδόν = P, Ba 252, 1, sch. o 441, sch. Pl. Eutyphr. 4a et Polit. 285d, Et. M. 434, 35 441 = P, Ba 251, 31, sch. Pl. Polit. 285d cf. Et. M. 434, 35 442 — φωνεῖ sch. κ 83 = H, Et. M. 434, 37, Ap. S. 84, 24 443 cf. H, Ap. S. 84, 24; — φωνητικός = Ambr. 398 cf. sch. H 384 444 P 324 cf. H 445 = Et. M. 434, 41; — ὄρος = L 446 cf. Ambr. 415 447 εἶχεν fort. sch. Ar. Ach. 146 ὁ—οἰόμενος Th. Simoc. 3, 7, 1 cf. Byz. Zt. 23, 14 αἰσχρᾶς—δούλης Babr. 10, 1 448 Ἱππαρχία pr. sq. Laert. 6, 96—97 449 = Preger 153, 7—11

442 Z 1002 446 Z 1003 447—8 ἐπεθύμει cf. v. Ε 2887; Z 1005

A³(GIFVM) 1 γυνὴ] γῇ V 5 περὶ τῆς Πενίας om. A 7 ποδῶν] πολλῶν V ἔνθεον V 10 ἴσως om. V 16 Ἥρω GI 17 ὁ—20 πεφονευμένον om. F 17 Ἀβραὰμ] Βαρὰμ Th. cf. v. K 1128 19 αἰσχρᾶς] σαπρᾶς add. V ss. GM 21 οὐδενὸς—27 ῥημάτιον om. F 22 ἐπιστρεφομένου GIV 27 ῥημάτιον] ἱμάτιον Laert. 28 καὶ—p. 579, 2 σῶμα om. F 28 αὐτῆς M: αὐτῇ AGI om. V

βαστάζει ψαλίδα χαλκῆν, ἀπὸ μεταφορᾶς τῆς κειρούσης ψαλίδος τὰς τρίχας καὶ καθαρὸν ἀποδεικνυούσης τὸ σῶμα.

450 **Ἡραΐσκος**· ὅτι τὴν μὲν φύσιν θεοειδέστερος ἦν Ἡραΐσκος, ὁ δὲ τὴν Αἰγυπτίων σοφίαν δαημονέστερος, ὁ Ἀσκληπιάδης, ἅτε τοσοῦτον χρόνον οὗτος μὲν τῇ Αἰγυπτίων προσδιατρίβων, ἐκεῖνος δὲ ἀποδημῶν· ὁ δ' ἕτερος ὅμως τῆς τοῦ ἑτέρου κατὰ πολὺ ἐλείπετο φύσεως ἢ ἐπιστήμης. ὁ μὲν δὴ Ἡραΐσκος αὐτοφυὴς ἐγένετο διαγνώμων τῶν τε ζώντων καὶ τῶν μὴ ζώντων ἱερῶν ἀγαλμάτων. εὐθὺς γὰρ ἐμβλέπων ἐτιτρώσκετο τὴν καρδίαν ὑπὸ τοῦ θειασμοῦ καὶ ἀνεπήδα τό τε σῶμα καὶ τὴν ψυχήν, ὥσπερ ὑπὸ τοῦ θεοῦ κατάσχετος. εἰ δὲ μὴ κινοῖτο τοιοῦτον, ἄψυχον ἦν ἐκεῖνο τὸ ἄγαλμα καὶ ἄμοιρον θείας ἐπιπνοίας. οὕτω διέγνω τὸ ἄρρητον ἄγαλμα τοῦ Αἰῶνος ὑπὸ τοῦ θεοῦ κατεχόμενον, ὃν Ἀλεξανδρεῖς ἐτίμησαν, Ὄσιριν ὄντα καὶ Ἄδωνιν ὁμοῦ κατὰ μυστικὴν ὡς ἀληθῶς φάναι θεοκρασίαν. ἐνῆν δὲ τοῦ Ἡραΐσκου τῇ φύσει καί τι τοὺς μολυσμοὺς τῆς φύσεως ἀναινόμενον. εἰ γοῦν αἴσθοιτο φθεγγομένης ὅπως δὴ καὶ ὅθεν γυναικὸς ἀκαθάρτου τινός, ἤλγει παραχρῆμα τὴν κεφαλήν· καὶ τοῦτο σημεῖον ἐποιεῖτο τῆς ἀφεδρείας. οὕτω μὲν ζῶντι συνῆν ἀεί τι θεοειδές· ἀποθανόντι δέ, ἐπειδὴ τὰ νομιζόμενα τοῖς ἱερεῦσιν ὁ Ἀσκληπιάδης ἀποδιδόναι παρεσκευάζετο τά τε ἄλλα καὶ τὰς Ὀσίριδος ἐπὶ τῷ σώματι περιβολάς, αὐτίκα φωτὶ κατελάμπετο πανταχῇ τῶν σινδόνων ἀπόρρητα διαγράμματα, καὶ περὶ αὐτὰ καθεωρᾶτο φασμάτων εἴδη θεοπρεπῆ ἐπιδεικνύντων τὴν ψυχὴν ἐναργῶς, ποίοις ἄρα θεοῖς γεγόνει συνέστιος. ἦν δὲ αὐτοῦ καὶ ἡ πρώτη γένεσις τῷ ὄντι μυστική. λέγεται γὰρ κατελθεῖν ἀπὸ τῆς μητρὸς ἐπὶ τοῖς χείλεσιν ἔχων τὸν κατασιγάζοντα δάκτυλον, οἷον Αἰγύπτιοι μυθολογοῦσι γενέσθαι τὸν Ὧρον καὶ πρὸ τοῦ Ὧρου τὸν Ἥλιον. τοιγαροῦν ἐπεί οἱ συνεπεφύκει τοῖς χείλεσιν ὁ δάκτυλος, ἐδεήθη τομῆς, καὶ διέμεινεν ἀεὶ τὸ χεῖλος ὑποτετμημένον ἰδεῖν ἅπασι φανερὸν τὸ σημεῖον τῆς ἀπορρήτου γενέσεως. ὅθεν αὐτῷ καὶ ὁ βίος ἐς τοῦτο προῆλθεν, ἐν ἀδύτοις ἑκάστοτε καὶ τελεστήριον ἐνδιαιτᾶσθαι τὴν ψυχήν, οὔτι κατ' Αἴγυπτον μόνην κινοῦντι τὰς πατρίους τελετάς, ἀλλὰ καὶ τῆς ἀλλοδαπῆς, εἴπου τι κατελέλειπτο τῶν τοιούτων. καὶ ἐγεγόνει ὁ Ἡραΐσκος Βάκχος, ὡς ὄνειρος αὐτὸν κατεμήνυσεν. ὁ δὲ

450 Dam.—vs. 7 ἐπιστήμης fr. 92. vs. 7 ὁ—32 τοιούτων fr. 107 cf. Phot. Bibl. 343 a 21—b 1. vs. 32. 33 καὶ ἐγεγόνει—33 κατεμήνυσεν fr. 105. vs. 33 ὁ—p. 580, 8 ὀλίγῳ fr. 92. vs. 8 ὁ—14 κινδύνους fr. 177

450 cf. vv. A 420, Δ 522; hinc v. A 457a

1. 2 τῆς τριχὸς GM τὴν τριχ I 2 ἀποδεικνυούσα V 4 δαημονέστερος A: A^2(GIVM) ἀδαημονέστερος GIVM, v. A 420 ἅτε] τὸν add. V 5 ἐκεῖνος] οὗτος A 6 τῆς ex A solo ἑταίρου Bhd. sed cf. Praechter, Byz. Zt. 21, 426 11 τοιοῦτον] τι ss. A 15 τὴν φύσιν V 18 ἀφεδρείας V, v. A 457a: ἀφεδρίας GI ἐφεδρίας A 19 Ἀσκληπιῶν V 21. 22 διαγραμμάτων G^{cp} I V^{cp} M^{cp} 24 αὐτῷ I 25 ἐπὶ om. A 29 τὸ del. vel φανεροῦν (= Phot.) coni. Bhd. 30 τελεστηρίοις Port., lac. stat Bhd. 31 οὗτοι A μόνον V 32. καταλέλειπτο VM

Ἀσκληπιάδης ἐπιπλεῖον ἐν τοῖς Αἰγυπτίοις βιβλίοις ἀνατραφεὶς ἀκριβέστερος ἦν ἀμφὶ θεολογίαν τὴν πάτριον, ἀρχάς τε αὐτῆς καὶ μέσα διεσκεμμένος καὶ τὴν ἀπειρίαν ἀτεχνῶς τῶν ἐσχάτων περάτων πολυπραγμονήσας, ὡς ἔξεστιν εἰδέναι σαφῶς ἀπό τε τῶν ὕμνων, ὧν συγγέγραφεν εἰς τοὺς Αἰγυπτίων θεούς, καὶ ἀπὸ τῆς πραγματείας, ἣν ὥρμησε γράφειν, περιέχουσαν τῶν θεολογιῶν ἁπασῶν τὴν συμφωνίαν. καὶ συγγραφὴν δὲ ἔγραψεν Αἰγυπτίων ὠγυγίων πράγματα περιέχουσαν οὐκ ἐλαττόνων ἐτῶν ἢ τριῶν μυριάδων, ἀλλὰ πλειόνων ὀλίγῳ. ὁ δὲ Ἡραΐσκος οὐ μόνον ἀγαθὸς ἦν καὶ ὅπιος, ἀλλ' εἶχέ τι καὶ πρὸς τὴν πονηρίαν θυμούμενος καὶ πρὸς τὰς ἐπιβουλὰς τῶν ἀνθρώπων ἀνδριζόμενος, οὐδαμοῦ δὲ παρεκβαίνων τὸ μέτρον τῆς δικαιοσύνης. ὅ τε γὰρ Ἀμμώνιος καὶ Ἐρύθριος ὁ Αἰγύπτιος διεμάχοντο πρὸς ἀλλήλους ἐν Βυζαντίῳ, καὶ διετέλει προωθῶν ἀεὶ ὁ ἕτερος τὸν ἕτερον εἰς τοὺς ἐσχάτους κινδύνους. Ζήτει περὶ Ἡραΐσκου ἐν τῷ Γέσιος.

451 Ἡραΐσκος, ἀνὴρ Αἰγύπτιος· οὗτος ἦν μὲν συνεῖναι δεινότατος, ἀγωνιστὴς δὲ οὐκ ἰσχυρὸς ἀπὸ τῆς ἀληθείας, οὐδὲ τὰς ἔξω φερούσας ἀπὸ ταύτης ὁδοὺς ἀνιχνεῦσαι καὶ διεξελθεῖν. οὗτος γὰρ ἐς τοὐναντίον ἐκεκλήρωτο τὴν εὐμοιρίαν.

Δ 452 Ἡρακλεοπολίτης.

Δ 453 Ἡρακλέος. γενική.

454 Ἡρακλέους ἄγαλμα, βαστάζων ἐν τῇ ἀριστερᾷ χειρὶ μῆλα τρία, διὰ τὸ τριμερὲς τῆς ψυχῆς κεκοσμῆσθαι αὐτόν. ὁ Ἡρακλῆς Πήκου, τοῦ καὶ Διός, φιλόσοφος ἄριστος. γράφεται δὲ δορὰν λέοντος φορῶν καὶ ῥόπαλον φέρων καὶ τρία μῆλα κρατῶν, ἅπερ ἀφελέσθαι αὐτὸν ἐμυθολόγησαν τῷ ῥοπάλῳ φονεύσαντα τὸν δράκοντα, τουτέστι νικήσαντα τὸν τῆς ἐπιθυμίας λογισμόν, καὶ οὕτως ἔχοντα τὰ γ' μῆλα, τουτέστι τρεῖς ἀρετάς, μὴ ὀργίζεσθαι, μὴ φιλαργυρεῖν, μὴ φιληδονεῖν· καὶ τὸ περιβόλαιον τοῦ λέοντος, τὸ γενναῖον περιβεβλημένον φρόνημα.

Hesy. 455 Ἡρακλέων, Αἰγύπτιος, ἀπὸ κώμης Τιλώτεως οὔσης ὑπὸ τῇ Ἡρακλέους πόλει, γραμματικός. ἐπαίδευσε δὲ ἐν Ῥώμῃ. ἔγραψεν ὑπόμνημα εἰς Ὅμηρον κατὰ ῥαψῳδίαν καὶ εἰς τοὺς λυρικούς, Περὶ τῶν παρ' Ὁμήρῳ προστακτικῶν ῥημάτων.

Δ 456 Ἡρακλεωτικός.

457 Ἡράκλεια: πόλις περὶ Σικελίαν, ἡ λεγομένη Μινῴα.

451 Dam. fr. 114 cf. Byz. Zt. 18, 460, 3, FHG 4, 116b 452 = L 453 l. cf. Ambr. 448 454 — vs. 22 αὐτόν cf. Preger p. 154, 18 vs. 22 ὁ sq. cf. Io. Antioch. fr. 6, 6, FHG 4, 543 456 = L 457 cf. Polyb. 1, 25, 9

451 hinc v. συνεῖναι 454 cf. 475

A²(G1TFVM) 3 ἐμπειρίαν G 7 ὠγυγίαν Bhd. 9 τι] τοι V 10 θυμούμενον et ἀνδριζόμενον Bhd. cf. Byz. Zt. 18, 448, 4 16 ἀπὸ] ὑπὲρ v. συνεῖναι 20 γενική om. F 454 non nov. gl. FM 21 βαστάζον A χειρὶ om. F 22 τὸ] τὸ, τὸ T αὐτῷ A ὁ—28 φρόνημα om. TF ὁ om. GI 23 Πίκου I Διός] υἱός add. V 24 κρατῶν] χρυσᾶ add. G 455—6 om. F 29 Τιλιώτεως V τῇ] τὴν V 30 πόλιν V γραμματικός om. A ὃς ἐπαίδευσε Bhd. δὲ om. V Bhd. post 457 καὶ ἑτέρα ἡ περὶ Θρᾴκην, καὶ ἑτέρα ἡ περὶ Πόντον add. T

458 Ἡράκλεια: πολλῶν ὄντων τῶν κατὰ τὴν Ἀττικὴν Ἡρακλείων, Harp.
Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου ἤτοι τῶν ἐν Μαραθῶνι ἢ τῶν ἐν
Κυνοσάργει μνημονεύει. ταῦτα γὰρ διὰ τιμῆς μάλιστα ἦγον Ἀθηναῖοι.
459 Ἡρακλεία λίθος: ἡ Μαγνῆτις, ἑλκυστικὴ τοῦ σιδήρου. Πι- Δ
σίδης· πάντας ὑφέλκων, οἷα Μαγνῆτις λίθος, ἢ μᾶλλον εἰπεῖν Ἡρα-
κλείαν τὴν λίθον· φύσιν γὰρ αὐτὸς ἑλκτικωτέραν ἔχει. Ἡρακλείαν Σ
λίθον τινὲς τὴν Μαγνησίαν ἀπέδοσαν, διὰ τὸ τὴν Ἡράκλειαν τῆς
Μαγνησίας εἶναι. οἱ δέ, ὅτι ἡ μὲν ἐπισπωμένη τὸν σίδηρον Ἡρακλεῶ-
τις, ἡ δὲ Μαγνῆτις ἀργύρῳ ὁμοία ἐστίν· ὡς Εὐριπίδης ἐν Οἰνεῖ· τὰς
βροτῶν γνώμας σκοπῶν, ὥστε Μαγνῆτις λίθος τὴν δόξαν ἕλκει καὶ
μεθίστησιν πάλιν. οὐ λέγει νῦν ὑπὸ τῆς Μαγνήτιδος λίθου τὸν σίδη-
ρον, ἀλλὰ τὴν τῶν θεωμένων δόκησιν ἕλκεσθαι, πλανωμένων ὡς ἐπὶ
ἀργύρῳ. ὅτι ἄποικοι Ἡρακλειῶται.
460 Ἡράκλεια λουτρά: τὰ θερμά. κατὰ δωρεὰν γὰρ ὁ Ἥφαιστος Ar.
ἀνέδωκεν αὐτὰ τῷ Ἡρακλεῖ. ἐξ ὧν τὰ θερμά.
461 Ἡρακλείδης, Εὔφρονος, φιλόσοφος, Ἡρακλείας τῆς Πόντου, Hesy.
τὸ δὲ γένος ἄνωθεν ἀπὸ Δάμιδος, ἑνὸς τῶν ἡγησαμένων τῆς εἰς
Ἡράκλειαν ἐκ Θηβῶν ἀποικίας, Πλάτωνος γνώριμος· ἐκδημήσαντος δὲ
Πλάτωνος εἰς Σικελίαν, προεστάναι τῆς σχολῆς κατελείφθη ὑπ' αὐτοῦ.
οὗτος καὶ δράκοντα ἔθρεψε καὶ ἡμέρωσε καὶ εἶχε συνδιαιτώμενον αὐτῷ
καὶ συγκαθεύδοντα· ὃς καὶ μόνος ἐπὶ τῆς κλίνης εὑρέθη, τοῦ Ἡρακλεί-
δου κατακλιθέντος μὲν ὑγιοῦς, οὐχ εὑρεθέντος δέ. καὶ ἄλλοι μὲν αὐτὸν
ἀπηθανατεῖσθαι ἐνόμιζαν, ἄλλοι δὲ ἐν φρέατι αὐτὸν ἐμβεβληκέναι, ὡς
ἂν δόξῃ τοῖς ἀνθρώποις ἀπηθανατεῖσθαι. ἔγραψε πολλά.
462 Ἡρακλείδης, Ὀξυρυγχίτης, φιλόσοφος, ὁ τοῦ Σαραπίωνος, ὃς Hesy.
ἐπεκλήθη Λέμβος, γεγονὼς ἐπὶ Πτολεμαίου τοῦ ἕκτου, ὃς τὰς πρὸς
Ἀντίοχον ἔθετο συνθήκας. ἔγραψε φιλόσοφα καὶ ἄλλα. ὅτι Ἡρα-
κλείδης ὁ Λύκιος σοφιστὴς ἔφη, Νικήτης ὁ κεκαθαρμένος ἀγνοήσας
ἀκροθίνια Πυγμαίων Κολοσσῷ ἐφαρμόζειν.

458 Harp. = P cf. Et. Gen.; Dem. 19, 86 et 125 459 — Μαγνῆτις = Ps. Herodian. 52 cf. H πάντας—vs. 6 ἕλκει Pisid. fr. 106 vs. 6 Ἡρακλείαν—13 ἀργύρῳ = P cf. Hellad. ap. Phot. Bibl. 529b 38, Ael. D. fr. 197 ap. Eust. I. 338, 24, H, Zen. IV 22 (cf. Reitzenstein, Gesch. d. Et. 63 sq.; Cohn N. Jb. Suppl. 13, 784 sq.; Heimannsfeld, de Helladii Chrestomathia 56 sq.); Eur. fr. 567 460 sch. Ar. Nu. 1050 461 cf. Laert. 5, 86, 89 462 — ἄλλα cf. Laert. 5, 94 vs. 27 ὅτι sq. Philostr. vit. soph. 1, 19

459 Z 1004 460 cf. 467 462 Philostr. cf. v. A 1002

458 om. TF 4. 5 Πισίδης—13 Ἡρακλειῶται om. F 6 ἕλκειν I ἔχων V A^2(GITFVM)
Ἡρακλείαν] nov. gl. GIVM 13 ὅτι—Ἡρακλειῶται om. V 15 αὐτὰ] λουτρὰ F
21 συγκαθεύδοντα GIT^{ac}M σημ(είωσαι) περὶ δράκοντος θαυμαστόν mg. add. M
μόνον V 21 συνκαθεύδοντα AT^{ac}V ἄλλο V 22. 23 ἀπηθανατεῖσθαι αὐτὸν V
a. ἀπηθανατίσθαι GI 23 ἑαυτὸν A ἐμβεβληκέναι αὐτὸν V 24 ἀπηθανατίσθαι GIV ἔγραψε πολλά] οὗτος ἔ. π. A^{mg}T 25 Ὀξυρυγχίτης AG: Ὀξυρηχίτης F Ἐξορυχθίτης I ὁ Ἐξορυγχίτης V 29 Κολοσσῷ v. l. v. A 1002, Philostr.: Κιλοσσῷ V Κολοσσῶν rell.

Hesy. 463 Ἡρακλείδης, Ἡρακλείδου, Ποντικός, ἀπὸ Ἡρακλείας τῆς Πόντου, γραμματικός· ὅστις Διδύμῳ τῷ πάνυ κατὰ τὴν Ἀλεξανδρέων ἐφοίτησεν. οὗτος ἐπειδὴ ἤκουσεν Ἄπερως, τοῦ Ἀριστάρχου μαθητοῦ, εὐδοκιμοῦντος κατὰ τὴν Ῥώμην, πολλά τε τοὺς Δίδυμον διακύροντας, ἔγραψε μέτρῳ Σαπφικῷ ἤτοι Φαλαικίῳ βιβλία γ′, δυσερμήνευτα καὶ πολλὴν τὴν ἀπορίαν ἔχοντα προβαλλομένων ζητημάτων, ἅτινα Λέσχας ἐκάλεσεν. εἰς Ῥώμην δὲ κομίσας καὶ τοῦ Ἄπερως καταφανὴς κατέμεινε σχολαρχῶν ἐν αὐτῇ ἐπὶ Κλαυδίου καὶ Νέρωνος. ἔγραψε δὲ καὶ ποιήματα ἐπικὰ πολλά.

Δ 464 Ἡράκλειαι στῆλαι.

EV 465 Ἡράκλειος, βασιλεὺς Ῥωμαίων. οὗτος ὑπὸ Ἀθανασίου, πατριάρχου Ἰακωβιτῶν, καὶ Σεργίου τοῦ Σύρου, Κωνσταντινουπόλεως, εἰς
E τὴν αἵρεσιν τῶν Μονοθελητῶν ἐξεκυλίσθη. ὅτι Ἡρακλείῳ τῷ βασιλεῖ ὄντι ἐν Περσίδι ἐτελεύτησαν δύο υἱοὶ καὶ δύο θυγατέρες. αὐτὸς δὲ λαβὼν τὰ ζωοποιὰ ξύλα ἐσφραγισμένα, καθάπερ ἐλήφθησαν διαμείναντα, εἰς τὰ Ἱεροσόλυμα ἀφίκετο καὶ Μοδέστῳ τῷ ἀρχιερεῖ καὶ τῷ αὐτοῦ κλήρῳ ταῦτα ὑπέδειξεν. οἱ δὲ τήν τε σφραγῖδα σῶαν ἐπεγίνωσκον καὶ ἀνέπαφον, τήν τε κλεῖδα τὴν παρ' αὐτῷ ἤγαγε, καὶ προσεκύνησαν καὶ ὕψωσαν. καὶ ἐς τὸ Βυζάντιον ἐξέπεμψεν ὁ βασιλεύς· ἃ δὴ Σέργιος ἀρχιερεὺς εἰς Βλάχερνας ὑπεδέξατο. καὶ μετ' οὐ πολὺ Ἡράκλειος ἐς Βυζάντιον ἐχώρει δεχθεὶς μετὰ πολλῆς εὐφημίας. ὅτι ὁ αὐτὸς Ἡράκλειος ἐκ Περσῶν εἰς τὸ Βυζάντιον τέσσαρας ἦγεν ἐλέφαντας, οὓς δὴ καὶ εἰς τοὺς ἱππικοὺς ἀγῶνας ἐθριάμβευσεν ἐπὶ τῇ τῆς πόλεως τέρψει πάσαις δωρεαῖς φιλοτιμησάμενος. ἐπεὶ δὲ ἦν ἑλὼν ἐκ τῆς οὐσίας τῆς μεγάλης ἐκκλησίας, ἐκ τοῦ βασιλικοῦ ταμιείου αὐτῇ τε καὶ τῷ κατ' αὐτὴν κλήρῳ ἐτήσια χρήματα παρέχεσθαι. καὶ Κωνσταντῖνον υἱὸν αὐτοῦ παρασκευάζει ὑπατεῦσαι Ἡράκλειόν τε τὸν ἀπὸ Μαρτίνης Καίσαρα προχειρίζεται. πυθόμενος δὲ ἀποθανεῖν ἐν τοῖς εἰς τὰ Ἡρία παλατίοις διέτριβε. καὶ συναγαγὼν ὁ ὕπαρχος καὶ συζεύξας πλοῖα εἰς τὸν πορθμὸν τοῦ καλουμένου Στενοῦ διέβη κατὰ

464 cf. Ambr. 476 = 478 465 — ἐξεκυλίσθη Georg. 673, 9—11 = EV 1, 154, 19—21 ὅτι—p. 583, 2 εἰσῆει Nicephor. p. 22, 2—23, 2; 25, 27—26, 8

468 cf. v. Λ 808 465 extr. ex v. B 579

A²F(GIVMDO) 1 Ἡρακλείδου ex F solo Ἡρακλείας AFV: Ἡρακλείου GIM cf. v. Λ 808 τῆς FV: τοῦ rell. 2 γραμματικός—9 πολλά om. F 3 οὗτος] οὔτε V Ἄπερος I cf. vs. 7, Ἀντέρως coll. v. A 2634 Westermann Ἄσπερος Bergk Ἀπίωνος Hertz (cf. Jahns Jb. 87, 380) Ἀριστάρχου μαθητοῦ] Ἀρισταρχείου Gutschmid 4 τοὺς Δ. διακύροντας] τὸν Δ. διακύροντος ed. pr.; πολλούς τε ἄλλους καὶ τὸν Δ. διακύροντος Bhd. 5 Σαπφικῷ VDO, v. Λ 808: Σαμπφικῷ G Σαμφικῷ I Σαπερικῷ A Φαλαικίῳ in lac. om. V Φαλαικείῳ Flach, cf. v. Λ 808 6 ζητημάτων A: ζητήσεων GIO om. V 7 Ἄπερος IV cf. vs. 3 καταφανὴς] καταφυὴς Mein. καρτερὸς φανεὶς Oberdick Zt. f. öst. Gymn. 16, 468 11 οὗτος—p. 583, 12 ἔσφηλεν om. F 16 Μηδέστῳ V 19 δὴ] δὲ G om. A 20 Βλάχερνας Bhd. e Nicephoro: Βλαχίαν A Βλαχ rell. 25 ἐκκλησίας ἐκέλευσεν Nicephor. βασιλικοῦ AIO Nicephor.: βασιλέως GI 26 παρέχεσθαι] ἔταξε add. A 29 Ἡρεία V

τὰς ἀκτὰς τοῦ καλουμένου κόλπου Φειδαλίας καὶ διὰ τῆς γεφύρας τοῦ Βαρυβύσσου ποταμοῦ εἰς τὴν πόλιν εἰσήει. ὑδέρῳ δὲ τὸν βίον καταστρέφει. ὅτι ἐπὶ Ἡρακλείου βασιλέως ς′ χιλιάδες ἀνδρῶν διεφθάρησαν ἐν τῷ πρὸς Ἰσαύρους πολέμῳ. ὁ δὲ βασιλεὺς Ἡράκλειος χρήματα πλεῖστα καὶ χρυσὸν καὶ ἄργυρον καὶ λίθους πολυτελεῖς πέμπει, ἅπερ βρύχια γέγονεν ἐπὶ Σεργίου πατριάρχου. βρύχια ἤγουν βυθιζόμενα ὕδατι. Suid.

466 Ἡράκλειος, στρατηγὸς γεγονὼς ἐπὶ Ζήνωνος, οἷος μὲν τολμῆσαι καὶ πρόθυμος ἐγχειρεῖν ἐς πολέμους ἑτοίμως, οὐ μέντοι τὸ προμηθὲς εἶχεν ἐν τοῖς κινδύνοις, οὐδὲ βουλὴν πρότερον ποιησάμενος ὥρμα πρὸς ὃ ἔσπευδε πράττειν, ἀλλ' ἔξω τοῦ λογισμοῦ πρὸς τὰ ἔργα ἐχώρει καὶ τὸ ἐμπλήκτως ὀξὺ ἐν ἀνδρὸς μοίρᾳ ἐτίθετο. ὅπερ δὴ καὶ μάλιστα αὐτὸν ὕστερον ἔσφηλεν. E

467 Ἡράκλειος ψώρα: ἡ δυσθεράπευτος, ἡ Ἡρακλείων λουτρῶν δεομένη πρὸς θεραπείαν. ἡ γὰρ Ἀθηνᾶ τῷ Ἡρακλεῖ πολλὰ ἀνῆκε λουτρὰ πρὸς ἀνάπαυσιν τῶν πόνων. Prov.

468 Ἡρακλειώτης: ἀπὸ Ἡρακλείας. Δ

469 Ἡράκλεις: σχετλιαστικὴ φωνή. οὗτος γὰρ ὁ Ἡρακλῆς εἰς ἐπικουρίαν ἐκαλεῖτο, ὡς ἀλεξίκακος τοῖς σχέτλια πάσχουσιν. Ar.

470 Ἡράκλεις: ἐπίφθεγμα θαυμαστικόν. τὸ δὲ Ἥρακλες κλητικὴ πτῶσις, ὥσπερ τὸ ὦ Δάματερ τοῦ ἡ Δήμητερ διαφέρει. ἐπικαλοῦνται δὲ τοὺς Ἡρακλείδας ὁμοίως. Μένανδρος· ἀλλ' ὦ Ἡρακλεῖδαι καὶ θεοί· Σ

471 Ἡράκλειτος: ὄνομα κύριον. ὅτι Ἡράκλειτος ἔφη, ὀλιγωρεῖν πάντη τοῦ σώματος καὶ νομίζειν αὐτὸ κοπρίων ἐκβλητότερον· ἐκ τοῦ ῥᾴστου δὲ αὐτῷ τὰς θεραπείας ἀποπληροῦν, ἕως ἂν ὁ θεὸς ὥσπερ ὀργάνῳ τῷ σώματι χρῆσθαι ἐπιτάττῃ. Δ

472 Ἡράκλειτος, Βλόσωνος ἢ Βαύτωρος, οἱ δὲ Ἡρακῖνος· Ἐφέσιος, φιλόσοφος φυσικός, ὃς ἐπεκλήθη Σκοτεινός. οὗτος ἐμαθήτευσεν οὐδενὶ τῶν φιλοσόφων, φύσει δὲ καὶ ἐπιμελείᾳ ἠσκήθη. οὗτος ὑδρωπιάσας οὐκ ἐνεδίδου τοῖς ἰατροῖς, ἅπερ ἐβούλοντο θεραπεύειν αὐτόν· ἀλλ' αὐτὸς βολβίτῳ χρίσας ὅλον ἑαυτὸν εἴασε ξηρανθῆναι τοῦτο ὑπὸ τῷ ἡλίῳ, καὶ κείμενον αὐτὸν κύνες προελθοῦσαι διέσπασαν· οἱ δὲ ἄμμῳ χωσθέντα φασὶν ἀποθανεῖν. τινὲς δὲ αὐτὸν ἔφασαν διακοῦσαι Ξενοφά- Hesy.

466 Malch. fr. 5, FHG 4, 115—6 467 cf. Diogen. V 7, Zen. VI 49 469 sch. Ar. Ach. 284 470 = P cf. Et. Gen. (Miller, Mél. 151); — θαυμαστικόν = sch. Pl. Menon. 91c, Et. M. 436, 15; Men. com. fr. 893 471 — κύριον = Ambr. 429 et 449 ὅτι sq. Iul. or. 7, 226c 472 cf. Laert. 9, 1, 4—5, 12

467 cf. 460 471 Z 1003

1 γεφύρης V 3 ὅτι—6 πατριάρχου mg. V 6 βρύχια—ὕδατι ex mg. A A^3F(GITVMB) 8 ἐγχειρεῖ V 11 δὴ A: δὲ GVM om. I 13 ἡ alt.—15 πόνων om. F 15 τῶν ex V, Zen. 468 post 470 F 17 οὗτος—18 πάσχουσιν om. F 17 Ἡρακλῆς] Ἡράκλειος V 19 δὲ] γὰρ A 20 ὥσπερ—21 θεοί om. FT 20 ἡ om. Phot. 22 ὅτι—p. 584, 3 κολυμβητοῦ om. F 472 om. T 26 Βαύτωρος GIVM: Βλαύτωρος B Βάκτωρος A Βλεύτωνος ed. pr. Ἡρακῖνος GIVMB: Ἡ in lac. A Ὡρακίνου ed. pr. Ἡρακῶντος Keil, Anal. Epigr. 231, Ἡρακίωνος ego 29 ἠβούλοντο GIV 30 βολβιώτατον V 30. 31 τοῦ ἡλίου B

νους καὶ Ἱππάσου τοῦ Πυθαγορείου. ἦν δὲ ἐπὶ τῆς ΞΘ΄ Ὀλυμπιάδος, ἐπὶ Δαρείου τοῦ Ὑστάσπου, καὶ ἔγραψε πολλὰ ποιητικῶς. ζήτει ἐν τῷ Δηλίου κολυμβητοῦ.

Δ 473 Ἡρακλείτειος λόγος καὶ Ἡρακλείτεια θηλυκῶς.

Δ 474 Ἡρακλείη βίη: τοῦ Ἡρακλέους.

EV 475 Ἡρακλῆς, Ἀλκμήνης υἱός. τοῦτον φιλόσοφον ἱστοροῦσι καὶ γράφουσι δορὰν λέοντος φοροῦντα καὶ ῥόπαλον φέροντα καὶ τρία μῆλα κρατοῦντα· ἅπερ τρία μῆλα νικήσαντα τὸν πολυποίκιλον τῆς πονηρᾶς ἐπιθυμίας λογισμὸν διὰ τοῦ ῥοπάλου τῆς φιλοσοφίας ἀφελέσθαι ἐμυθολόγησαν, ἔχοντα περιβόλαιον φρόνημα, ὡς δορὰν λέοντος. καὶ οὕτως φονεύσας τῷ ῥοπάλῳ τὸν δράκοντα τῆς ἐπιθυμίας ἀφείλετο τὰ τρία μῆλα, ὅ ἐστι τὰς τρεῖς ἀρετάς· τὸ μὴ ὀργίζεσθαι, τὸ μὴ φιλαργυρεῖν καὶ τὸ μὴ φιληδονεῖν. διὰ γὰρ τοῦ ῥοπάλου τῆς καρτερικῆς ψυχῆς καὶ τῆς δορᾶς τοῦ θρασυτάτου καὶ σώφρονος λογισμοῦ ἐνίκησε τὸν υἱὸν τῆς φαύλης ἐπιθυμίας, φιλοσοφήσας ἄχρι θανάτου.

Δ 476 Ἡρακλῆς: ὄνομα κύριον. Ἡρακλῆς ἀέριον κλέος ἔσχεν.

Ecl. οἷον μέγα καὶ περιβόητον. ἀνεφάνη δὲ ἐπὶ Μίνωος Ἡρακλῆς Τύριος, ὃς εὗρε τὴν βαφὴν τῆς καλουμένης κογχύλης ἀπὸ κυνὸς αἱμαχθέντος τὰς σιαγόνας καὶ προσήγαγε Φοίνικι τῷ βασιλεῖ, ὃς πρῶτος ἐφόρεσε πορφύραν.

Ar. 477 Ἡρακλῆς ξενίζεται: παροιμία ἐπὶ τῶν βραδυνόντων. οἱ γὰρ ὑποδεχόμενοι τὸν Ἡρακλέα βραδύνουσι· πολυφάγος γὰρ ὁ ἥρως. ἡ

Etym. ἐτυμολογία τῆς κλήσεως ἀπό τινος χρησμοῦ· Ἡρακλῆν δέ σε Φοῖβος ἐπώνυμον ἐξονομάζει· ἥρα γὰρ ἀνθρώποισι φέρων, κλέος ἄφθιτον ἔξεις.

478 Ἥρανος· Παῦλος Σελεντιάριος· ἴλαθι τολμήεντι μεγασθενὲς ἥρανε γαίης. πρὸς βασιλέα Ἰουστινιανὸν ἐν τῇ ἐκφράσει τῆς ἁγίας Σοφίας.

Σ 479 Ἥραρεν: ἥρμοσεν.

Σ 480 Ἡρασάμην: ἠράσθην.

Σ 481 Ἥρας δὲ δεσμοὺς ὑπὸ υἱέος· Πλάτων Πολιτείας β΄. οὕτω

473 — λόγος = Ambr. 456 474 l. cf. Ambr. 476 (in B 658) 475 Io. Antioch. fr. 6, 6, FHG 4, 543 = EV 1, 164, 3—13 476 — κύριον cf. Ambr. 448 Ἡρακλῆς alt.—περιβόητον = An. Ox. 2, 445, 31, Seleuc. in Et. Gud. (Reitzenstein, Gesch. d. Et. 160); falso Call. fr. an. 29 S. ἀνεφάνη sq. cf. Malal. p. 32 477 — ἥρως sch. Ar. Lys. 928 ἡ sq. cf. Et. M. 435, 17, Eust. in I. 561, 42 478 ἴλαθι—γαίης Paul. Silentiar. ecphr. vs. 178 479 = P, Ba 252, 2 cf. H, sch. Δ 110 480 = P, Ba 252, 3, H, sch. Ξ 317 481 = P; Pl. Rep. 2, 378 d; Pind. fr. 283, Epicharm. p. 106 Kaibel

475 cf. 454. hinc sch. B rec. in Ε 638 479 cf. 506 et v. A 3736. Z 1005 480 Z 1005

A²F(GITVM) 1 ξε΄ A 2 Ὑστάσπου A: ὑστάτου rell. 3 Δηλίου V: Δηλίῳ rell. κολυμβητῇ A 4 θηλυκόν A 6 τοῦτον—15 θανάτου om. F 7 καὶ pr.—15 θανάτου] ζήτει ἐν τῷ Ἡρακλέους ἄγαλμα A om. I 16 Ἡρακλῆς—κύριον om. I κύριον] Κύρου V Ἡρακλῆς alt.—24 ἔξεις om. F 16 Ἡρακλῆς alt.] nov. gl. (I) V 19 πρῶτον V 22 ὁ om. V ἡ—24 ἔξεις om. T mg. V 24 ἐπονομάζει VM 25 Ἴλαθι—27 Σοφίας om. F; ἔκφρασις τῆς ἁγίας Σοφίας mg. add. VM 26 βασίλειον V cp. M 30 Ἥρας] Ἥρα σε F

γραπτέον· παρὰ Πινδάρῳ γὰρ ὑπὸ Ἡφαίστου δεσμεύεται ἐν τῷ ὑπ' αὐτοῦ κατασκευασθέντι θρόνῳ· ὅ τινες ἀγνοήσαντες γράφουσιν ὑπὸ Διός. καί φασι δεθῆναι αὐτὴν ἐπιβουλεύσασαν Ἡρακλεῖ. Κλήμης. ἡ ἱστορία καὶ παρ' Ἐπιχάρμῳ ἐν Κωμασταῖς ἢ Ἡφαίστῳ.

482 Ἥραccον: ἔκρουον, ἔπληττον, ἐβλασφήμουν. μαθόντες ἀμφέστησαν, εἶτ' ὀνείδεσιν ἤραccον ἔνθεν κἄνθεν. ἀντὶ τοῦ πάντες ὁμοφρόνως. καὶ αὖθις· αὐτὰρ ὃ πεπταμένῃ μέγα τύμπανον ἔσχετο χειρί, ἤραξεν, καναχῇ δ' ἴαχεν ἄντρον ἅπασαν. Soph. Anth.

483 Ἡρᾶτο: ηὔξατο. Σ

484 Ἡργολαβηκώς. Δ

485 Ἡρδαλωμένος: λεπρός, καὶ μεμιασμένος. καὶ Ἡρδάλωσεν, ἠσβόλωσεν. Σ Δ

486 Ἥρδιον: περιφανὲς ἅρμα σκεπαστόν. Σ

487 Ἡραία: πόλις. Δ

488 Ἡραῖον: ὁ τῆς Ἥρας ναός. Δ

489 Ἡραῖον τεῖχος: χωρίον ἐστὶν ἐν Θρᾴκῃ· ὑπὸ Σαμίων δὲ ὠκίσθη. καὶ Ἥραιον. Harp. Δ

490 Ἡραιωμένῳ: ἀραιῷ ὄντι.

491 Ἡρέμα: ἀτρέμας. καὶ Ἡρεμαίως καὶ Ἡρεμεῖ, ἡσύχως. Σ Δ

492 Ἥρημαι· αἰτιατικῇ. Synt.

493 Ἡρεμία: ἀτρεμία τὶς οὖσα, κατὰ στέρησιν τοῦ τρέμειν, οἷον ἡ ἀκινησία. Ecl.

494 Ἡρετισάμην· αἰτιατικῇ. εἱλόμην, ἐξελεξάμην. Thdr.

495 Ἥρετο: ἠρώτα, ἔλεγεν. ἠρώτησε. κεῖται δὲ καὶ ἐπὶ τοῦ ἐπαίρεσθαι τῷ φρονήματι. Δ? Σ Rhet.

496 Ἥρει: ἐλάμβανεν. Δ

482 — ὁμοφρόνως Soph. Ai. 724—5 c. sch. αὐτὰρ sq. Anth. 6, 217, 5—6 483 = P, Ba 252, 4 cf. sch. A 35, H 484 = Ambr. 493 485 — μεμιασμένος = P, Σ^a, Ba 252, 5, H cf. Ambr. 490. Ἡρδάλωσεν sq. cf. Et. Gen. = Et. M. 436, 41 (c. Philemon. fr. 59); L 486 cf. ad v. Λ 91 487 = Ambr. 475 488 cf. Ambr. 482 489 — ὠκίσθη Harp. = P, Et. Gen., Et. M. 436, 39 Ἥραιον cf. Ambr. 482 491 cf. Et. M. 436, 47. — ἀτρέμας cf. Ba 252, 6, H, P Ἡρεμαίως sq. cf. Ambr. 521; Ps. Herodian. 51 = sch. Ar. Ran. 315 493 = An. Ox. 2, 445, 6 cf. Et. M. 436. 45 494 αἰτιατικῇ cf. Synt. Gud. εἱλόμην sq. Thdr. in Ps. 119, 173, PG 80, 1873b 495 — ἠρώτα = H cf. sch. A 513 ἠρώτησε = P, Ba 252, 8, Ambr. 515 κεῖται sq. = Bk. 263, 13 cf. 189, 24 496 = Ambr. 502 cf. sch. Δ 23, H

482 Z 1005 485 Z 1005 486 cf. v. Λ 91. Z 1004 487 Z 1004 489 Z 1005 490 cf. v. Ε 3640 491 Z 1007 494 αἰτιατικῇ cf. v. Al 289. Z 1006 495 cf. vv. Ε 2954, 2957, El 185 496 cf. 540 et vv. Al 297, 305. Z 1006

1 παρὰ—4 Ἡφαίστῳ om. F 2 ὅ] οἵ V 3. 4 ἡ ἱστορία] ὁ ἱστορικός A 5 ἔπτητον F μαθόντες—8 ἅπασαν om. F 6 πάντως GVM 7 ἔχετο VM χερὶ A 8 ἴσχεν ἄρτον V 10 Ἡργαλαβηκώς VM Ἡργηλαβηκώς GI 11 Ἡρδαλωμένωι IV μεμιαμμένος VM μεμιαμένος F 17 οἰκίσθη VM 19 Ἡρεμέως GIV 24 Ἥρετο—ἠρώτησε] Ἠρώτα: ἔλεγεν. Ἥρετο: ἠρώτησεν F ἠρώτησε] nov. gl. GIM 496 ante 494 A A^2F(GIVM)

A. 497 Ἤρειδεν: ἤφιεν, ἔπεμπεν. ἔπη ἤρειδε κατὰ τῶν ἱππέων.
Δ 498 Ἤρεικον: ἔσχιζον. ἤρεικον χθόνα δῖαν.
Δ 499 Ἠρεικώς: σθενώσας, καὶ ὑπακουμβίσας. καὶ Ἤρεισεν, ἠκούμβισεν.
EV 500 Ἠρεῖτο: ἐπεθύμει, ἐλάμβανε. πολλάκις γὰρ οὐ μόνον τῆς ἡμέρας ἀλλὰ καὶ τῆς νυκτὸς ἐσιτοποιεῖτο καὶ ὑπὲρ τὰς τῶν δείπνων παρασκευὰς τὰ πολυτελῆ τῶν δημοσίων ἀπετρύετο.
501 Ἠρεῖτο: ἐξελέγετο, προέκρινεν. ἠρεῖτο δὲ ὁπόσον κάχληκος
E τοῦ ἐμφερομένου τοῖς ἐδάφεσιν.
502 Ἠρεῖτο: ἐπορθεῖτο.
Δ 503 Ἤρη: ἡ Ἥρα. καὶ κλίνεται Ἤρης.
ΔΣ 504 Ἠρήκασι· πεπορθήκασι. καὶ Ἠρηκότες, πεπορθηκότες.
505 Ἠρημένην: κεχειροτονημένην. καὶ Ἠρημένον, ἐπικριθέν,
Σ ἐκλελεγμένον. ἐπειδὴ ἐτύγχανον ἐκ πλείστου τὰ Περσῶν ἠρημένοι,
EL προπηλακίζεσθαί τε ὑπὸ Κόλχων αὐτῶν καὶ Ῥωμαίων καὶ ἐν τοῖς ἀτιμοτάτοις τετάχθαι.
Σ 506 Ἠρήρειστο: ἥρμοστο. τὸ δὲ δὴ στῖφος εὖ μάλα ἠρήρειστο τῷ συνασπισμῷ καὶ ἀκριβῶς ὑπῆρχε στερρόν τε καὶ ἀπερίσπαστον.
507 Ἤρης: τῆς Ἥρας.
Hom. 508 Ἠρήσαντο: ηὔξαντο.
Σ 509 Ἤρρησεν: ἐφθάρη, ἦλθεν. ὅθεν καὶ τὸ εἰσήρρησεν.
Σ 510 Ἤρι: ὄρθρου, ἕωθεν· ἢ ἔαρι.
Hom. + Anth. 511 Ἠρία: τὰ ἐν τῇ γῇ μνήματα. ἡνίκα καὶ δυσδάκρυτα κατὰ χθονὸς ἠρία τεύχων, ἕως ἂν ἀπεφθιμένου κεῖθι δέμας κτερίσω. καὶ αὖθις· ἠρίον ἐκ βώλου διψάδος ἐκτισάμην, ὄφρα σε καὶ φθίμενον Δηοῦς σταχυητρόφος αὖλαξ θέλγῃ, ἀροτραίῃ κείμενον ἐν θαλάμῃ.

497 Ar. Eq. 627 c. sch. 498 = Et. M. 436, 52, Hesiod. Sc. 287 c. sch. cf. Ambr. 509 499 ὑπακουμβίσας cf. Ambr. 507. Ἤρεισεν sq. = Ambr. 499 500 πολλάκις sq. Io. Antioch. fr. 97, FHG 4, 577 = EV 1, 185, 3—5 cf. Byz. Zt. 23, 20, 1 501 ἠρεῖτο sq. Ios. Ant. 5, 18 contulit Toup 503 — Ἥρα = L cf. Ambr. 474 504 — πεπορθήκασι = Ambr. 497, H Ἠρηκότες sq. = P, Ba 252, 9 cf. H 505 Ἠρημένον—ἐκλελεγμένον = P, Ba 252, 10 cf. H ἐπειδὴ sq. Agath. 4, 12 p. 231, 11 = EL 440, 16—18 506 — ἥρμοστο = P, Ba 252, 12 cf. H, Ambr. 514 τὸ sq. ad v. Λ 367 rettulit Gsf. (ms.) 508 sch. Γ 318 509 = P, Ba 252, 22 cf. sch. Ar. Ran. 1190 510 = P, Ba 252, 14 cf. H, Et. M. 437, 4, Ambr. 522 et 413, sch. I 360 511 — μνήματα cf. sch. Ψ 126, H v. ἠρία et v. ἠρίον (= Ps. Herodian. 52 et 268) ἡνίκα—κτερίσω Anth. 7, 180, 3—4. ἠρίον sq. Anth. 7, 209, 2—4

497 Z 1005 498 cf. v. Ε 2950 499 cf. vv. A 3039, 3178, Ε 2949 500 cf. vv. A 3089, B 309 501 cf. v. K 1154 502 cf. 504 et v. Al 306. Z 1005 503 cf. 507 504 cf. 502 506 cf. 479 et v. A 3786. Z 1006 507 cf. 503 509 cf. v. El 267 511 Anth. 7, 209 cf. vv. A 1373 et Δ 1567

A²(GITFVM) 1 ἔπη—ἱππέων om. F ἔπη om. A 2 ἤρεικον—δῖαν om. F 3 ὑπακομβίσας V καὶ alt. om. A, nov. gl. 5 πολλάκις—7 ἀπετρύετο om. TF; ἀνοίκειος ἡ χρῆσις mg. (I)VM 8 ἠρεῖτο—9 ἐδάφεσιν om. TF 14 ἐκλεγόμενον F ἐπειδὴ—16 τετάχθαι om. TF 17 Ἠρήνειστο bis A Ἠνήρειστο V τὸ— 18 ἀπερίσπαστον om. TF στέφος A 507 om. ITF 21 Ἤρησεν A εἰσήρρησεν I^{ac}M 23 καὶ om. G 25 ἐκτισάμην V, v. A 1373 cf. Anth., v. Δ 1567: ἐκτησάμην AGIM καὶ φθίμενον A Anth.: κεφθίμενον rell. 26 θέλγῃς GI ἀροτραίῃ] γρ. ἀρουγαίῃ add. mg. V ss. M

512 Ἠρία: οἱ τάφοι. φασὶ δέ τινες κοινότερον μὲν πάντας τοὺς τάφους οὕτως ὀνομάζεσθαι, κατ' ἐξαίρετον δὲ τοὺς μὴ ἐν ὕψει ᾠκοδομημένους. ὠνομάσθαι δὲ παρὰ τὴν ἔραν. Harp.

513 Ἠριγένειαν: τὴν τὸν ὄρθρον γεννῶσαν. οὐδ' ὑπὸ μαρμαρυγῇ θαλερώπιδος ἠριγενείης ἄκρᾳ παραιθύσσειις θαλπομένην πτερύγων. Δ + Σ Anth.

514 Ἠριγόνειος τάφος. Δ

515 Ἠρίθμησεν: ἀπεδειλίασε, μεθ' ἡσυχίας ἦγαγε. τοὺς ἐναντίους ἰδὼν οὐκ ἠρίθμησεν, ἀλλ' εὐθὺς ἦν ἀμυνίας. ἑτοίμως πρὸς ἄμυναν. Ar.

516 Ἠριδανός: ποταμός. Suid.

517 Ἠρικαπαῖος: ὄνομα κύριον. Δ

518 Ἠρικνωμένον: ἐρρυτιδωμένον, παλαιόν. Σ

519 Ἠρικώς: ἐξικώσας, καὶ φιλονεικήσας. Δ

520 Ἤριον: ὄνομα τόπου. Ἠρίον δὲ ὁ τάφος. Δ

521 Ἤρινναν, Τεῖα ἢ Λεσβία, ὡς δὲ ἄλλοι Τηλία· Τῆλος δέ ἐστι νησίδιον ἐγγὺς Κνίδου· τινὲς δὲ καὶ Ῥοδίαν αὐτὴν ἐδόξασαν. ἦν δὲ ἐποποιός. ἔγραψεν Ἡλακάτην· ποίημά δ' ἐστιν Αἰολικῇ καὶ Δωρίδι διαλέκτῳ, ἐπῶν τ'. ἐποίησε δὲ ἐπιγράμματα. τελευτᾷ παρθένος ἐνεακαιδεκέτις. οἱ δὲ στίχοι αὐτῆς ἐκρίθησαν ἴσοι Ὁμήρῳ. ἦν δὲ ἑταίρα Σαπφοῦς καὶ ὁμόχρονος. Hesy.

522 Ἠρινὸν ἄνθος: ἐαρινόν. Δ

523 Ἠρινὸς καιρός: ὁ τοῦ ἔαρος. Δ

524 Ἤριον: ὁ τάφος. Suid.

525 Ἤριπεν: εἰς τὴν ἔραν κατέπεσεν. ἤριπεν ἐσχαρίου λαῦρον ἐπ' ἄσθμα πυρός. Σ Anth.

526 Ἠριπόλη: ἡ ἡμέρα. ἐν Ἐπιγράμμασι· οὐδὲ φαεινῆς φέγγος ἰδεῖν ἐθέλω χρύσεον Ἠριπόλης. Anth.

527 Ἠριπώθη: ἔπεσεν. Δ

512 Harp. = P cf. L 513 — γεννῶσαν cf. sch. A 477 = Ambr. 478; Et. M. 437, 2, H, Ap. S. 84, 28; — ὄρθρον cf. P = Ba 252, 15 (in ψ 347) οὐδ' sq. Anth. 7, 204, 3—4 514 Ἠριγόνειος = L 515 Ar. Eq. 569—70 c. sch. 516 = Ambr. 462, Ps. Herodian. 52, Lex. de spiritu cf. P 517 = Ambr. 444 518 = P, Ba 252, 16 519 φιλονεικήσας = Ambr. 511 520 — τόπου = Ambr. 488. Ἤριον sq. = Ambr. 489, Lex. de spiritu, Ap. S. 84, 30, H, sch. Ψ 126 cf. Et. M. 437, 14 (47 ex Steph. Byz.) 521 cf. Et. M. 437, 21 522 cf. Ps. Herodian. 52 523 = Ambr. 411 cf. Lex. de spiritu 525 — κατέπεσεν = Ba 252, 17, P cf. H, sch. Δ 462 ἤριπεν sq. Anth. 7, 210, 6 526 οὐδὲ sq. Anth. 5, 227, 5—6 527 l. = L

512 cf. 520 513 Anth. cf. v. Al 159. Z 1004 515 Z 1006 516 ex v. l 597 518 Z 1006 519 cf. 528 520 cf. 512. hinc 524, Z 1004 521 hinc Eust. I. 326, 46 522 Z 1004 524 ex 520 525 cf. v. Ε 3246. Z 1007 526 Z 1004 527 Z 1007

3 ὠνομάσθαι A, Harp. Phot.: ὠνομάζεσθαι VM ὀνομάζεσθαι GI 5 παραιθύσσειις M, v. Al 159 Anth.: παραιθύσσαις AGIT πλαιρεθύσειις V 7 Ἠρέμησεν A 8 ἠρέμησεν A ἠρήμησεν VO ἕτοιμος ed. pr., sch. 516 om. F mg. V 10 Ἠρικαπιαῖος F Ἠρικαπυῖος V 520 extra ord. 13 Ἤριον—τάφος om. F 14 Τεῖα] Τηνία Steph. Byz. v. Τῆνος contulit Bhd. 17 δὲ] καὶ add. GI 524 ex V^{ms}M 23 ἤριπεν—24 πυρός om. TF 24 ἄσθμα] ἄμα A A¹(GITFVMO

Δ 528 Ἤρισεν: ἐφιλονείκησεν.
Σ 529 Ἤρθη: ηὐξήθη, ὑψώθη.
Σ 530 Ἤρκεσεν: ἐβοήθησεν. ὁ δὲ τὸν θώρακα αὐτοῦ διέρρηξεν, ὃς
E ἤρκεσέν οἱ ἀμῦναι λυγρὸν ὄλεθρον.
Σ 531 Ἡρματισμένον: ἠσφαλισμένον.
E 532 Ἡρμόσαντο: εὐφυῶς διετέθησαν. οἱ δὲ ἡρμόσαντο πρὸς τὴν βούλησιν καὶ συνέθεντο δέκα τάλαντα δώσειν. Πολύβιος· οἱ δὲ στρατιῶται πάντα ἡρμόζοντο πρὸς τὴν εἰς οἶκον ἐπάνοδον. ἀντὶ τοῦ ἐγίνοντο, παρεσκευάζοντο.
533 Ἡρμόσθησαν: φιλικῶς διετέθησαν. λόγους οὖν προσοίσαντος καὶ ἥδιστα προσεμένου, ἡρμόσθησαν ἄμφω.
Ar. 534 Ἡρμοττόμην: ἐπαιδευόμην. Ἀριστοφάνης· ἐν ταῖσιν εὔστραις κονδύλοις ἡρμοττόμην. ἀπὸ τῆς μουσικῆς τὸ ἡρμοττόμην.
Δ 535 Ἡρόδικος: ὄνομα κύριον.
Hesy. 536 Ἡρόδοτος, Λύξου καὶ Δρυοῦς, Ἁλικαρνασεύς, τῶν ἐπιφανῶν, καὶ ἀδελφὸν ἐσχηκὼς Θεόδωρον. μετέστη δ' ἐν Σάμῳ διὰ Λύγδαμιν τὸν ἀπὸ Ἀρτεμισίας τρίτον τύραννον γενόμενον Ἁλικαρνασσοῦ· Πισίνδηλις γὰρ ἦν υἱὸς Ἀρτεμισίας, τοῦ δὲ Πισινδήλιδος Λύγδαμις. ἐν οὖν τῇ Σάμῳ καὶ τὴν Ἰάδα ἠσκήθη διάλεκτον καὶ ἔγραψεν ἱστορίαν ἐν βιβλίοις θ', ἀρξάμενος ἀπὸ Κύρου τοῦ Πέρσου καὶ Κανδαύλου τοῦ Λυδῶν βασιλέως. ἐλθὼν δὲ εἰς Ἁλικαρνασσὸν καὶ τὸν τύραννον ἐξελάσας, ἐπειδὴ ὕστερον εἶδεν ἑαυτὸν φθονούμενον ὑπὸ τῶν πολιτῶν, εἰς τὸ Θούριον ἀποικιζόμενον ὑπὸ Ἀθηναίων ἐθελοντὴς ἦλθε κἀκεῖ τελευτήσας ἐπὶ τῆς ἀγορᾶς τέθαπται. τινὲς δὲ ἐν Πέλλαις αὐτὸν τελευτῆσαί φασιν. ἐπιγράφονται δὲ οἱ λόγοι αὐτοῦ Μοῦσαι. περὶ Ἡροδότου λέγει ὁ Παραβάτης ἐν ἐπιστολῇ· τίς οὖν ἀγνοεῖ τὸν Αἰθιόπων ὑπὲρ τοῦ παρ' ἡμῖν τροφιμωτάτου σιτίου λόγον; ἀψάμενοι γὰρ τῆς μάζης θαυμάζειν ἔφασαν, ὅπως κόπρια σιτούμενοι ζῶμεν, εἴ τῳ πιστὸς ὁ Θούριος εἶναι λογοποιὸς δοκεῖ. ἰχθυοφάγων δὲ καὶ σαρκοφάγων ἀνθρώπων γένη μηδ' ὄναρ ἰδόντα τὴν παρ' ἡμῖν δίαιταν οἱ τὴν οἰκουμένην περιηγούμενοι γῆν ἱστοροῦσιν· ὧν εἴ τις παρ' ἡμῖν

528 = Ambr. 500 529 = P, Ba 252, 13 530 — ἐβοήθησεν = P, Ba 252, 18, sch. Z 16, H, Erotian. 42, 15 ὁ sq. Aelian. fr. 271 531 = P, Ba 252, 20 532 vs. 6 οἱ—7 δώσειν Polyb. fr. 162a. vs. 7 οἱ sq. Polyb. fr. 51 534 Ar. Eq. 1236 c. sch. 535 = Ambr. 419 536 Hesy cf. Phot. Bibl. cod. 60 vs. 26 τίς sq. Iul. ep. 155

528 cf. 519. Z 1006 530 cf. v. A 3951 531 Z 1007 532 διετέθησαν cf. v. A 3976 534 cf. v. Ε 3756 535 Z 1003 536 Iul. cf. v. Z 65

A²F(G1TVM) 528 om. A 3 ὁ—4 ὄλεθρον om. FT 3 αὐτοῖ V 6 οἱ—8 ἐπάνοδον om. F 9 ἐγένοντο F 10 λόγους—11 ἄμφω om. FT 10 προσοίσαντες A προσείσαντες coni. Bhd. 11 προσέμενοι Bhd. 12 Ἀριστοφάνης—13 ἡρμοττόμην om. FT 12 εὔστροις V 15 Ἁλικαρνασσεύς A^oc GI cf. v. A 1225 16 καὶ—p. 589, 2 ἑλλέβορον om. F 17 Ἀρτεμασίας V 17. 18 Πισινδήλιδος] Πισίνδηλος V 23 ὑπὸ om. A 25 ἐπεγράφοντο V 26 τὸν] τῶν G1 τὸν τῶν coni. Bidez 30 ἡμῖν GV^oc Bidez: ἡμῶν rell. cf. vs. 31

ζηλῶσαι τὴν δίαιταν ἐπιχειρήσει, οὐδὲν ἄμεινον διακείσεται τῶν τὸ κώνειον προσενεγκαμένων ἢ τὴν ἀκόνιτον ἢ τὴν ἑλλέβορον.

537 Ἡρομένης: ὄνομα κύριον. Δ

538 Ἥροσα: ἠροτρίασα. Δ

539 Ἡρόστρατος: ὄνομα κύριον. Δ

540 Ἠροῦντο: ἐλάμβανον. οἱ δὲ ὡς εἶχον χαμαὶ δεῖπνον ἠροῦντο. Δ + E

541 Ἡροφίλα, ἡ καὶ Σίβυλλα Ἐρυθραία, Θεοδώρου θυγάτηρ. ἔγραψε Hesy. βιβλία γ′ μαντικὰ ἐπικῶς· καὶ ἦλθεν εἰς Ῥώμην ἐν τοῖς χρόνοις τῶν ὑπάτων, ἄλλοι δὲ Ταρκυνίου, δοκοῦσα χρηματισθήσεσθαι δι' αὐτῶν. ὡς δὲ κατεφρονήθη, τὰς δύο κατέφλεξε βίβλους, ἃς καὶ ἔτυχεν ἐπιφερομένη· περιεσώθη δὲ ἡ λοιπὴ μία, ἥτις καὶ παρὰ τῶν Ῥωμαίων ἐξωνήθη πολλοῦ τιμήματος.

542 Ἥρωας: τὰς ὑπολελειμμένας τῶν σπουδαίων ψυχάς.

543 Ἡρώδειον: τόπος. Δ

544 Ἡρώδης, ὁ πρῶτος βασιλεὺς Ἰουδαίων. ἔσχεν υἱοὺς ὁμωνύμους E αὐτῷ καὶ διωνύμους τρεῖς· Ἡρώδην Ἀντίπαν τὸν καὶ τὸν Πρόδρομον ἀποτεμόντα, ἐφ' οὗ καὶ ὁ Κύριος ἐσταυρώθη· καὶ Ἡρώδην Φίλιππον, ᾧ πρῶτον Ἡρωδιὰς συναφθεῖσα θυγατέρα Σαλώμην ἔσχε τὴν καὶ ὀρχησαμένην· καὶ Ἡρώδην Ἀγρίππαν τὸν καὶ Ἰάκωβον ἀνελόντα τοῦ Ζεβεδαίου. πρὸς ὃν τοῦ δήμου ἐπιφωνοῦντος τότε· φωνὴ θεοῦ καὶ οὐκ ἀνθρώπου, δίκην ἔδωκεν αὐτίκα. στολὴν γὰρ ἐξ ἀργύρου πεποιημένην περιθέμενος καὶ εἰς τὸ θέατρον ἐλθὼν καὶ ἐφ' ὑψηλοῦ βήματος καθίσας ἐδημηγόρει. τῆς δὲ ἡλιακῆς ἀκτῖνος προσπεσούσης τῷ ἐνδύματι λαμπηδὼν τῇ αὐγῇ τῆς ἐσθῆτος ἀνακραθεῖσα τὰς ὄψεις τῶν περιεστώτων κατήστραψε. καὶ αἰωρηθέντων ἐπὶ τούτῳ καὶ ὡς θεὸν αὐτὸν εὐφημησάντων ἐπαίρεται πλέον ὁ δείλαιος· ὃν εὐθὺς ἄγγελος Κυρίου ἐπάταξεν ἀθρόως, καὶ ἀνεπήδησε τῆς καθέδρας ἐκ τοῦ σπαράττεσθαι δεινῶς τὴν γαστέρα αὐτοῦ. τὸν δὲ Ἰάκωβον ἰδὼν ἀπαγόμενον τὴν ἐπὶ θάνατον ὁ κατήγορος αὐτοῦ καὶ μεταμεληθεὶς προσέπεσε τοῖς ποσὶ τοῦ ἀποστόλου λέγων· συγχώρησόν μοι, ἄνθρωπε τοῦ θεοῦ, ὅτι μεταμεμέλημαι ἐφ' οἷς ἐλάλησα κατὰ σοῦ. ὁ δὲ μακάριος παραυτίκα τοῦτον καταφιλήσας εἶπεν αὐτῷ· εἰρήνη σοι τέκνον, εἰρήνη σοι καὶ συγχώρησις τοῦ πταίσματος. ὁ δὲ μετὰ φωνῆς μεγάλης εὐθέως

537 l. = L 538 = Ambr. 501, H 539 = Ambr. 416 543 = Ambr. 486 544 Georg. 308, 9—309, 19

539 Z 1003 540 cf. 496 541 cf. v. χρηματίσεσθαι 543 Z 1005 544 cf. 547

6 οἱ—12 τιμήματος om. F 6 ἠρῶντο V 7 Σίλλα Ἐρυθραίου V A²F(GIVM) 9 χρηματίσεσθαι I 10 κατέφλεξε] κατέκαυσε A, ἔκαυσε v. χρηματίσεσθαι. οἷον συμβαίνει ἐξ ἀπροσεξίας τῶν χρ(ιστιανῶν) κακὰ ἀβλεπούντων (ἀβλεπόντων V) τῶν κρατούντων πρὸς τὰ καλά mg. add. GIVM ἔτυχον V 14 Ἡρώδιον AV cf. Ios. Bell. 1, 265 τόπος] ὄνομα τόπου F 15 Ἰουδαίων] τῶν Ἰ. F ἔσχεν—p. 590, 6 κατέστρεψεν om. F 16 τὸν alt. om. GI cf. Georg. 18 συναφεῖσα V 20 θεοῦ φωνὴ A 21 γὰρ om. V 26 αὐτῶν A 29 αὐτοῦ I Georg.: cp. A αὐτῷ GV καὶ om. I

Χριστιανὸν ἑαυτὸν ἐπὶ πάντων ἀνηγόρευσεν, ὡς καὶ τὸ τοῦ μαρτυρίου βραβεῖον ἀπενέγκασθαι. ὁ δὲ ἄθλιος Ἡρώδης ἐπὶ ἡμέρας φθειρόμενος καὶ σκώληκας ἐκβράζων ἐλεεινῶς τὸν βίον κατέλυσεν ὡς καὶ ὁ δυσσεβέστατος αὐτοῦ πατήρ. κἀκεῖνος γὰρ τἀπίχειρα τῆς κατὰ Χριστοῦ καὶ τῶν ὁμηλίκων αὐτοῦ τόλμης ἔτι περιὼν τῷ βίῳ κομισάμενος αἰσχίστῳ μόρῳ τὸν βίον κατέστρεψεν.

Hesy. 545 Ἡρώδης, Ἰούλιος χρηματίσας, υἱὸς Ἀττικοῦ τοῦ Πλουτάρχου, γένος Αἰακίδης, Ἀθηναῖος, τῶν δήμων Μαραθώνιος, σοφιστής, πλούσιος ἐκ θησαυροῦ γενόμενος σφόδρα, ὥστε καὶ στάδιον κατεσκεύασατο Ἀθηναίοις καὶ θέατρον ὑπωρόφιον. ἦρξε τῆς Ἀσίας ὁ αὐτοῦ πατὴρ καὶ τοῖς δισυπάτοις συγκατελέχθη. ἦν δὲ ἐπί τε Τραϊανοῦ καὶ Ἀδριανοῦ καὶ Μάρκου Ἀντωνίνου τῶν αὐτοκρατόρων, διδαχθεὶς ὑπὸ Φαβωρίνῳ καὶ Πολέμωνι. καὶ ἔγραψεν Ἐφημερίδας, σύγγραμμα πολυμαθές, καὶ ἐπιστολάς, καὶ λόγους αὐτοσχεδίους· ὧν μέμνηται Φιλόστρατος ἐν τοῖς βίοις τῶν σοφιστῶν. διεδέξατο δὲ αὐτοῦ τὴν σχολὴν Ἀδριανὸς ὁ σοφιστής. σύγχρονος δὲ ἦν Ἡρώδης Ἀριστείδῃ τῷ σοφιστῇ. φέρονται δὲ αὐτοῦ καὶ ἄλλα πλεῖστα, ἐν οἷς τὸ μεγαλοφυὲς καὶ ὑψίνουν τοῦδε τοῦ ἀνδρὸς κατανοεῖται καὶ διαδείκνυται. τελευτᾷ δὲ ἀμφὶ τὰ ἓξ καὶ ἑβδομήκοντα ἔτη ξυντακὴς γενόμενος.

Hesy. 546 Ἡρωδιανός, Ἀλεξανδρεύς, γραμματικός, υἱὸς Ἀπολλωνίου τοῦ γραμματικοῦ, τοῦ ἐπικληθέντος Δυσκόλου. γέγονε κατὰ τὸν Καίσαρα Ἀντωνῖνον, τὸν καὶ Μάρκον, ὡς νεώτερον εἶναι καὶ Διονυσίου τοῦ τὴν Μουσικὴν ἱστορίαν γράψαντος καὶ Φίλωνος τοῦ Βυβλίου. ἔγραψε πολλά.

Δ 547 Ἡρωδιάς: ὄνομα κύριον.

Δ 548 Ἡρωδίωνος.

Δ 549 Ἡρωελεγεῖον: μέτρον τι.

Δ 550 Ἡρώησεν: ἔπαυσεν.

Δ 551 Ἡρωΐνη: ὄνομα κύριον.

Hesy. 552 Ἥρων, Κότυος, Ἀθηναῖος ῥήτωρ, τὰς ἐν Ἀθήναις δίκας γεγραφώς· εἶτα ἐξήγησιν Δεινάρχου, ὑπομνήματα εἰς Ἡρόδοτον, Ξενοφῶντα, Θουκυδίδην, Κεκριμένων ὀνομάτων βιβλία γ′, Ἐπιτομὴν τῶν Ἡρακλείδου ἱστοριῶν, Περὶ τῶν ἀρχαίων ῥητόρων καὶ τῶν λόγων, οἷς ἐνίκησαν πρὸς ἀλλήλους ἀγωνιζόμενοι. ὅτι Ἥρωνι ἐπέτρεψεν

545 cf. Philostr. vit. soph. 2, 1 sqq. 548 = Ambr. 451 cf. 424
551 = Ambr. 473 552 vs. 34 Ἥρωνι sq. Marin. c. 9

546 Z 1003 547 cf. 544. Z 1004

A²(GITFVMB) 1 μάρτυρος V cp. IM 2 ἐπενέγκασθαι GVM 4 τῆς] τῶν V 9 θησαυροῦ] ὅτι θησαυρόπλουτος (cp. V) Ἡρώδης (M^cp ἤραρεν V) ὁ σοφιστὴς mg. add. VM 10 ἦρξε] δὲ add. Bhd. 12 Φαβορίνῳ GITVM 22 τὸν om. A 23 Βυβλίου Kust.: Βιβλίου AG^cp βίβλια V Ἑβραίου B om. I 548—9 om. F 28 Ἡρώησεν] Ἡρώϊσεν A Ἡρράϊσεν F; ἔραισεν add. G ἔρραισεν add. I ss. M 551 om. TF 30 Κότυλος V 32 ὀνόματα GI 33 οἷς] ἐν οἷς GI 34 Ἥρωνι A: Ἥρων rell.

ἑαυτὸν ὁ Πρόκλος ἀνδρὶ θεοσεβεῖ καὶ τελείαν παρασκευὴν ἐσχηκότι τῶν κατὰ τὴν παίδευσιν ὁδῶν Ἀλεξανδρείας.

553 Ἡρῶναξ: ὄνομα κύριον.

554 Ἡρῶναι· Ἀριστοφάνης Νεφέλαις· ἡρῶναί τινές εἰσι. τρισυλλάβως τὸ ἡρῶναι προήνεγκαν, ὡς ἠΐθεοι, ἤθεοι. Αἰλιανός· γενναῖον ἔργον καὶ τολμηρὸν ἡρωΐνης ἄντικρυς τοῦτο δράσασα. Ar. E

555 Ἡρῶον: μνημεῖον.

556 Ἥρως: ἡμίθεος, δυνατός, γενναῖος. διτυλλάβως δὲ κέχρηται Ὅμηρος ἥρῳ, ἅπαξ ἐν Ἰλιάδι καὶ ἅπαξ ἐν Ὀδυσσείᾳ. Σ Hom.

557 Ἡρώτα: παρεκάλει, ἔθυεν, ηὔχετο, ἱκέτευεν. ἠρώτα. ἐρωτῶ σε, ἔχε με παρητημένον.

558 Ἥρτηται· γενικῇ. κρέμαται. ὁ δὲ τὰ μὲν πρῶτα ἐδεῖτο τῆς ἀνθρώπων ἰατρικῆς καὶ ἐκείνων ἤρτητο. Σ E

559 Ἦρτο: ὑψοῦτο, ἠγείρετο. τὸ δὲ χῶμα ἐπὶ τοσοῦτον ἦρτο, ὥστε ἐπὶ ἰσοπέδου ἐπὶ τὰς ὀφρύας τοῦ ὄρους τὰ βλήματα ἐξικνεῖτο. E αὐταῖς Metaphr. ψυχαῖς ἀλλήλων ἠρτημέναι.

560 Ἡρτύνετο: παρεσκεύαζεν. Σ

561 Ἡρύγγανεν: ἐμεγάλαυχει, ἐνηβρύνετο, ἐπιπράσκετο. εἰ καὶ περίβλεπτον καὶ δόκιμον ἠρύγγανε γένος. Ἠρύγγανεν οὖν κυρίως ἐρεύγετο. E

562 Ἤρυγεν: ἐβόα. Δ

563 Ἡρύγιον: ὄνομα τόπου. Δ

564 Ἠρυγγίτης: εἶδος βοτάνης. Δ

565 Ἠρυθροδανωμένον: ἐρυθρῷ βάμματι βεβαμμένον. Δ

566 Ἥρυλλος: ὁ Ἡρακλῆς. Δ

567 Ἤρυον: ἤντλουν. καὶ Ἠρύσατο, ἤντλησεν. Δ

568 Ἦς: ὑπῆρχες. Δ

569 Ἡσαΐας: ὄνομα κύριον. Δ

554 — ἤθεοι Ar. Nu. 315 c. sch. γενναῖον sq. Aelian. fr. 149 555 aliter Ambr. 481 556 — γενναῖος = P, Ba 252, 19 cf. H, Ambr. 414, Ps. Herodian. 52 διτυλλάβως sq. cf. sch. A (Aristonic.) in H 453; Ὀδυσσείᾳ θ 483 557 ἐρωτῶ sq. Luc. 14, 18 558 γενικῇ cf. Synt. Gud. κρέμαται = P, Ba 252, 21, H, Ambr. 495 cf. 516 ὁ sq. Aelian. fr. 89 559 αὐταῖς sq. fort. Metaphr. 560 = Σ^{A} cf. P = Ba 252, 24; H, sch. B 55 561 εἰ—γένος fort. Aelian. 562 = Ambr. 496 (in Υ 404) 563 = L cf. Ambr. 487 564 cf. L, Lex. de spiritu 565 cf. L; sch. Greg. sec. Gsf. 566 = Ambr. 428 cf. Et. M. 437, 25, H, Paus. Att. fr. 198 ex Eust. I. 989, 47 567 — ἤντλουν = L sub litt. ει Ἠρύσατο sq. = Ambr. 498, H 568 cf. Ambr. 546 569 = Ambr. 525, Ps. Herodian. 53

557 cf. v. Ε 2076 558 cf. vv. A 4033 et 4054 560 cf. v. A 4056 561 cf. v. Ε 3088 568 cf. 866, 586, 605, 628, v. Εἰ 152 569 Z 1007

2 Ἀλεξάνδρου V cp. GIM 553 om. F mg. V 4 ἡρῶναι—εἰσι om. F A^{2}F(GITVM) 5 προσήνεγκαν V Αἰλιανός—7 μνημεῖον om. F 10 ἔθυεν] εὐθυνε coll. v. Ε 3517 Kust. ἠρώτα] ἠώτα V om. F ἐρωτῶ—11 παρητημένον ex A^{ms} 12 ὁ—13 ἤρτητο om. FT 14 τὸ—15 ἐξικνεῖτο om. FT 14 χῶμα V 15 ἐπὶ pr.] ἀπὸ Toup ἐπὶ alt.] ἔτι Bhd. αὐταῖς—16 ἠρτημέναι om. AFGT mg. VM; post 560 praemisso καὶ αὖθις iterum I 18 Ἠρύγανεν V ἐμεγαλαύχα F ἐπιπράσκετο c. v. Ε 3088 post γένος transpos. Kust. 20 ἠρεύγετο A ἐρρεύγετο G 24 Ἠρυθρωδανωμένον GIT Ἠρυθραδανωμένον F

Δ 570 Ἡσαΐνον: ὄρος.

571 Ἦσαν: ἀντὶ τοῦ ὕμνησαν, ἐδόξασαν.

Σ 572 Ἦσαν, πότ' ἦσαν ἄλκιμοι Μιλήσιοι: παροιμία ἀπὸ χρη-
Prov. σμοῦ. ἐπὶ τῶν ποτε εὖ, εἶτα ἑτέρως γεγονότων.

Ecl. 573 Ἦσαν: ᾔδεισαν, ἐγίνωσκον. οὐδ' ἀφιγμένον τὸ πάμπαν ἦσαν.

Σ 574 Ἧσας: χάριν ἐποίησας, ἐδόξασας.

Δ 575 Ἥσατο: ηὐφράνθη.

Δ 576 Ἡσαΰ: ὄνομα κύριον.

Δ 577 Ἥσειν: πέμψειν.

Δ 578 Ἡσσηθῆναι: ἡττηθῆναι.

Δ 579 Ἡσσηκότες: ἡττήσαντες.

Σ 580 Ἥσσηντο: ἥττηντο.

Δ 581 Ἡσσῆσθαι: παρακείμενος. ἀντὶ τοῦ ἡττῆσθαι.

Δ 582 Ἡσί: φησίν.

Hesy. 583 Ἡσίοδος, Κυμαῖος· νέος δὲ κομισθεὶς ὑπὸ τοῦ πατρὸς Δίου καὶ μητρὸς Πυκιμήδης ἐν Ἄσκρῃ τῆς Βοιωτίας. γενεαλογεῖται δὲ εἶναι τοῦ Δίου, τοῦ Ἀπελλίδος, τοῦ Μελανώπου· ὅν φασί τινες τοῦ Ὁμήρου προπάτορος εἶναι πάππον, ὡς ἀνεψιαδοῦν εἶναι Ἡσιόδου τὸν Ὅμηρον, ἑκάτερον δὲ ἀπὸ τοῦ Ἄτλαντος κατάγεσθαι. ποιήματα δὲ αὐτοῦ ταῦτα· Θεογονία, Ἔργα καὶ Ἡμέραι, Ἀσπίς, Γυναικῶν ἡρωϊνῶν κατάλογος ἐν βιβλίοις ε', Ἐπικήδειον εἰς Βάτραχόν τινα, ἐρώμενον αὐτοῦ, περὶ τῶν Ἰδαίων Δακτύλων· καὶ ἄλλα πολλά. ἐτελεύτησε δὲ ἐπιξενωθεὶς παρ' Ἀντίφῳ καὶ Κτιμένῳ, οἳ νύκτωρ δόξαντες ἀναιρεῖν φθορέα ἀδελφῆς αὐτῶν, ἀνεῖλον τὸν Ἡσίοδον ἄκοντες. ἦν δὲ Ὁμήρου κατά τινας πρεσβύτερος, κατὰ δὲ ἄλλους σύγχρονος· Πορφύριος καὶ ἄλλοι πλεῖστοι νεώτερον ἑκατὸν ἐνιαυτοῖς ὁρίζουσιν, ὡς λϛ' μόνους ἐνιαυτοὺς συμπροτερεῖν τῆς πρώτης Ὀλυμπιάδος.

Δ 584 Ἡσιόνη: ὄνομα κύριον.

Δ 585 Ἧσις: τέρψις.

570 = Ambr. 545 572 — χρησμοῦ = P, H. ἐπὶ sq. = Diogen. V 3 573 praeter ἐγίνωσκον = An. Ox. 2, 443, 30 cf. Et. M. 439, 3; οὐδ' sq. Eur. Rh. 854–5 574 = P, Σ^{e} cf. Ba 252, 25, H 575 = Ambr. 555 cf. sch. ι 353, H 576 = Ambr. 526, Ps. Herodian. 53 577 = Ambr. 561 cf. sch. θ 203, H 578 cf. H v. ἡσσήθη 579 = Ambr. 557 580 = Ba 252, 28 cf. P 581 ἡττῆσθαι = Ambr. 563 582 = Lex. de spiritu cf. Ambr. 548, H, P, Eust. O. 1613, 28 583 cf. vita Tzetzae ed. Wilamowitz (Kl. Texte 137, 47), Steph. Byz. v. Ἄσκρη; Πορφύριος FGrHist 260 fr. 20a 584 = Ambr. 541, Lex. de spiritu 585 = Ambr. 539

570–1 Z 1008 572 cf. v. πάλαι ποτ' 573 Z 1009 574 Z 1008 575 cf. 95. Z 1008 576 Z 1007 577 Z 1009 580 cf. 599 582 cf. 100. Z 1009 584–5 Z 1008

A^{2}F(GIVM) 572 om. F 3 παροιμία om. A 7 εὐφράνθη A 11 ἡττηθήσαντες V; ἡττηθέντες add. GI ss. M^{cp} 13 παρακείμενος] παρατατικός I om. F Ambr. 582–6 om. F 15 Δίου—16 Πυκιμήδης post Κυμαῖος praeeunte Bhd. transtulit Wil. 16 μητρὸς om. A 17 Δίου ed. pr.: Διός omnes 22 Ἰουδαίων GI 24 ἑαυτῶν GIM 25 καὶ] δὲ καὶ Westermann

586 Ἧσθα: ἦς, ὑπῆρχες. ἧσθα γὰρ εὐχωλῆσι κατήκοος, ἔνθα Σ
κελεύθοις ἵλαος. Anth
587 Ἡσθείη: χαρήσεται. ταύτην μὲν ἄν τις εὐθὺς ἡσθείη λαβών. Ar.
τὴν κύλικά φησιν, ἐπεὶ μεγάλη ἦν καὶ πλέα. καὶ Ἡσθείς, χαρείς. Δ
588 Ἥσθην: ἐχάρην. Σ
589 Ἥσθηνται: ἔγνωσαν. Ἀριστοφάνης· οἱ δὲ σύμμαχοι ὡς ἥσθην- Δ + Ar.
ται τὸν σύρφακα ἐκ κηθαρίου λαγαριζόμενον. καὶ Ἥσθετο ὁμοίως. Δ
590 Ἥσθαι: καθῆσθαι. Δ
591 Ἡσθῆσθαι: περιβεβλῆσθαι. θριαμβίδα τε ἡσθῆσθαι στολὴν αὐτόν. E
592 Ἥσθητο: ἀντὶ τοῦ περιεβέβλητο. καὶ ἥσθητο κροκωτὸν χιτῶνα, E
ὑπὲρ τοῦ πλείονας ἐς αὐτὸν ἐπιστρέφειν. ὁ τοίνυν ἕτερος ἀποθνήσκων
καὶ ἕτερον ἀδελφὸν ἀπολείπων.
593 Ἥσθιον: ἔτρωγον. Δ
594 Ἥσκει: ἔκαμεν. Δ
595 Ἡσκημένον: κατεσκευασμένον· ἀσκήματα γὰρ τὰ κατασκευάσματα. Soph.
ἀλλ' οὐκ Ὀρέστου, πλὴν λόγῳ γ' ἠσκημένον.
596 Ἡσμένισας: ἐχάρης. Δ
597 Ἧσο: κεῖσο. οὕτω τοι, μελία ταναά, ποτὶ κίονα μακρὸν ἧσο, Δ
Πανομφαίῳ Ζηνὶ μένουσ' ἱερά. καὶ αὖθις· ἧσο κατ' ἠγάθεον τόδ' Anth.
ἀνάκτορον, ἀσπὶ φαεννά.
598 Ἥσσον ἑτοίμως κατέχειν: ἀντὶ τοῦ οὐδὲ ὁμοίως. καὶ Σ
αὖθις· ἧσσον δὲ ταῦτα τοὺς παραπεπτωκότας ἡνία ἢ τὰ πρὸς Ἰουστι- E
νιανὸν ἐς τὴν πόλιν.
599 Ἡσσῶνται: ἡττῶνται. Δ
600 Ἥσπαιρεν· Ἡρόδοτος· ὁ Κορίνθιος στρατηγὸς τῶν λοιπῶν E
ἥσπαιρε μοῦνος φάμενος ἀποπλεύσεσθαι ἀπὸ Ἀρτεμισίου.

586 — ἦς = Ba 252, 26, H cf. Moer. 197, 34. ὑπῆρχες = P, H, L, Lex. de sp. cf. Ambr. 559, Thom. 170, 10, Ps. Herodian. 53 ἧσθα sq. Anth. 6, 199, 3—4 587 — πλέα Ar. Lys. 201 c. sch. 200—1 cf. sch. Greg. PG 36, 1208c Ἡσθείς sq. cf. H 588 = P, Ba 252, 27 cf. H 589 — ἔγνωσαν cf. Ambr. 573 (Ath.), H v. ἡσθου. οἱ—λαγαριζόμενον Ar. Vsp. 673—4 590 = Ambr. 556 cf. sch. A 134, H v. ἥσθην 591 θριαμβίδα sq. Proc. h. a. attr. Toup 592 ὁ sq. Aelian. fr. 72 593 = Ambr. 550, Ps. Herodian. 275, Lex. de sp. 594 cf. Ambr. 570 595 Soph. El. 1217 c. sch. 596 cf. Ambr. 567, H 597 — κεῖσο aliter L = H, sch. Δ 412; Ambr. 552 οὕτω—ἱερά Anth. 6, 52, 1—2. vs. 19 ἧσο sq. Anth. 6, 128, 1 598 — ὁμοίως = P, Ba 252, 28 ἧσσον sq. Proc. h. a. 7, 39 599 = Ambr. 560 600 Hdt. 8, 5, 1

586 cf. 568 587 cf. v. πλέα 589 cf. v. Λ 14 590 cf. 602, 604. Z 1009 591 cf. vv. Ε 3119 et Θ 498 592 cf. vv. Κ 2461 et Ε 3119. Aelian. cf. 350 596 Z 1010 597 Anth. 6, 52 cf. vv. Μ 504 et ταναή 599 cf. 580

3 χαρίσεται AF ταύτην—4 καὶ alt. om. F 7 κηθαρίου ex Ar. Port., A^2(GITFVM) v. Λ 14: κηθ AGVM ἀληθη I λαγαριζόμενος M λαγαρυζόμενος GIV cf. v. Λ 14 590 extra ord. 9 θριαμβίδα—12 ἀπολείπων om. F 9 θριαμβίδα—αὐτόν om. T 11 τοῦ]τῷ V ὁ—12 ἀπολείπων om. T, ad 605 rettulit Bhd. 16 ἠσκημένα V 18 οὕτω—23 πόλιν om. TF 19 μένουσιν ἱρά A 598 non nov. gl. M 599 om. T 600 om. TF 25 Κορίνθιος GI Hdt.: cp. VM Κορινθίων A 26 ἀποπλεύσεσθαι GIV

601 Ἡσπικότες: συνελθόντες.
Δ 602 Ἧσται: καθέζεται. Ἧσται δὲ ὠνόμασται.
Δ 603 Ἡστεῖσκει: ἐκ τοῦ ἀστεῖζω ῥήματος.
Σ 604 Ἧστην: ἐκαθέζοντο, δυϊκῶς. Ἀριστοφάνης Ὄρνισι· τὼ δ' οὐκ
Ar. ἄρ' ἧστην. τινὲς διὰ τοῦ ι ἵστην, ἀντὶ τοῦ ᾖδεσαν. οὐδὲν ἄλλο ἦσαν ὃ
ἢ δάκνειν.
Δ E 605 Ἧστην: ἀντὶ τοῦ ὑπῆρχον, δυϊκῶς. ἀδελφὼ δύο ἧστην
E ἡμαρτημένα. καὶ αὖθις· ἐπηρμένω τε ἧστην ἄμφω ταῖς ἐλπίσιν.
Δ 606 Ἡστόν: ἡδύ.
Σ Thdr. 607 Ἡσυνθέτηκας: ἃ συνέθου καὶ ὡμολόγησας. παρέβης.
Prov. 608 Ἡ συκάμινος συκαμίνῳ ῥύπτεται: πρὸς τοὺς ἑαυτοῖς τὰ
ὠφέλιμα λαμβάνοντας ἐξ ἑαυτῶν.
Prov. 609 Ἡ Συρακουσῶν δεκάτη: ἐπὶ τῶν σφόδρα πλουσίων.
Synt. 610 Ἡσυχάζω· δοτικῇ.
Hesy. 611 Ἡσύχιος Μιλήσιος, υἱὸς Ἡσυχίου δικηγόρου καὶ Φιλοσοφίας,
γεγονὼς ἐπὶ Ἀναστασίου βασιλέως. ἔγραψεν Ὀνοματολόγον ἢ Πίνακα
τῶν ἐν παιδείᾳ ὀνομαστῶν, οὗ ἐπιτομή ἐστι τοῦτο τὸ βιβλίον· καὶ
Χρονικὴν ἱστορίαν, ἥντινα διεῖλεν εἰς ϛ' διαστήματα· οὕτω γὰρ καλεῖ
ἕκαστον βιβλίον· ἐν οἷς ἐμφέρονται αἱ κατὰ καιροὺς πράξεις τῶν
Ῥωμαίων βασιλέων καὶ αἱ δυναστεῖαι τῶν κατὰ ἔθνος κρατησάντων
τυράννων καὶ τὰ κατὰ τὸ Βυζάντιον πραχθέντα ἕως τῆς βασιλείας
Ἀναστασίου τοῦ ἐπονομαζομένου Δικόρου. εἰς δὲ τὸν Πίνακα τῶν
ἐν παιδείᾳ λαμψάντων ἐκκλησιαστικῶν διδασκάλων οὐδενὸς μνημονεύει·
ὡς ἐκ τούτου ὑπόνοιαν παρέχειν μὴ εἶναι αὐτὸν Χριστιανόν, ἀλλὰ
Δ τῆς Ἑλληνικῆς ματαιοπονίας ἀνάπλεων. καὶ Ἡσυχῇ, ἡσυχῶς.
Δ 612 Ἧσχαλλον: ἐλυποῦντο.
Σ 613 Ἡσχάτισεν: ὑστέρησεν.

601 aliter H, Ambr. 565 602 — καθέζεται = Ambr. 551 cf. sch. A 512 = H, Lex. de sp. 603 l. = Ambr. 568 604 — δυϊκῶς = P, Σ^a, Ba 252, 29 cf. H, Ap. S. 85, 4 τὼ sq. Ar. Av. 19 c. sch.; ἦσαν = Ap. S. 85, 4 605 — ὑπῆρχον = Ambr. 549, H ἀδελφὼ—ἡμαρτημένω Aelian. fr. 72 ἐπηρμένω sq. Agath. 1, 7 p. 30, 2 606 = Ambr. 544, H, Et. M. 438, 43 607 — ὡμολόγησας = P, Ba 253, 1, Σ^a cf. An. Ox. 2, 446, 25 παρέβης Thdr. in Ps. 72, 15, PG 80, 1448c 608 = Diogenian. V. II 86, Philol. Suppl. 6, 232 n. 70 609 = Paroem. ed. Gsf. 56, n. 483 610 = Synt. Gud. 611 — Φιλοσοφίας cf. Phot. Bibl. c. 69 init., Hesych. fr. 1, FHG 4, 145 Ἡσυχῇ sq. = Ambr. 577 612 = H cf. Ambr. 566, aliter Tim. 613 = P, Ba 252, 31, H, Ambr. 562

602 cf. 590 603 cf. Z 1010 604 cf. 590. Z 1010 605 Z 1010. Aelian. cf. 350; Agath. cf. v. K 58 606 Z 1008 607 Z 1010 609 hinc v. Συρακουσία τράπεζα fin.

A^3F(GIVM) 604 om. F 4 τὼ] τὰ A 5 ἵστην] ἧστην V 5 ἄλλο—6 δάκνειν] ἕως τοῦ δάκνειν ἢ ἀντὶ τοῦ ἦσαν ἢ δάκνειν V 5 ἦσαν] ἧστην I 7 δύο FV, 350: δύω AGIM 8 ἡμαρτημένα—ἐλπίσιν om. F ἡμαρτημένω E^{ac} ed. pr. ἠπατημένω Bekk. 10 Ἡσυνθέτεικας V, Σ^a 13 σφόδρα] σφόη V 15 καὶ—25 ἀνάπλεων om. F 15 Σοφίας ed. pr. φιλοσόφου Flach 16 Ὀνοματολόγιον A cp. M 25 ματαιότητος A καὶ om. GI, nov. gl.

614 Ἧτα: τὸ στοιχεῖον, τὸ γράμμα. Δ

615 Ἧττα. ἡ ἥττησις. Δ?

616 Ἢ τὰν ἢ ἐπὶ τάν: ἢ ταύτην ἢ ἐπὶ ταύτῃ. ἢ ἐκείνην. γυνὴ Σ
Λάκαινα τῷ παιδὶ δοῦσα τὴν ἀσπίδα τοῦτο εἶπεν.

617 Ἡταίρηκεν: ἠτάκτησεν. ἡταιρηκέναι δὲ τοῖς ἄνω μέρεσι τοῦ Σ
σώματος· οὐκ εἶναι δ' ἄξιον τὸ ἱερὸν πῦρ φυσᾶν. EV

618 Ἡταιρηκώς: ἐπὶ τῆς πορνείας. Ἡταιρικῶς δὲ ἐπὶ τοῦ Δ
ἑταίρου.

619 Ἡττηθεὶς (ἀντὶ τοῦ ἧττον ἔχων) ἀπένθοι.

620 Ἡττήθης τῆς ἀληθείας καὶ Ἡττήθης τινὸς ἀλεκτρυόνος: Ar.
ἐπὶ τῶν δούλων ἢ θεραπόντων ἑπομένων τοῖς δεσπόταις. φυσικόν
ἐστι τοῦτο· ἐπεὶ ἐν ταῖς συμβολαῖς τῶν ἀλεκτρυόνων οἱ ἡττηθέντες
ἔπονται τοῖς νενικηκόσι. καὶ Θεόκριτος· ὀρνίθων φοινικολόφων τοιοίδε
κυδοιμοί.

621 Ἥττημαί σου· γενικῇ. Synt.

622 Ἠτημένην: ἀντὶ τοῦ κεχρημένην. καὶ γὰρ αἰτεῖσθαι ἔλεγον τὸ Harp.
κίχρασθαι.

623 Ἡττημένος: ὁ νενικημένος. Δ

624 Ἤτησεν: ἐζήτησεν. Δ

625 Ἠτίμησεν: ἠτίμασεν, ὕβρισεν. Σ

626 Ἧττον· τῶν ἄλλων ἁπάντων ἧττόν μοι μέλει. ἀντὶ τοῦ οὐδαμῶς. Ar.

627 Ἦτορ: ψυχή. Ὅμηρος· ἁπαλόν τέ σφιν ἦτορ ἀπηύρα. ὅπερ Σ
ἐκίνησε τοὺς Στωϊκούς, ὅτι συναύξεται τῷ σώματι ἡ ψυχὴ καὶ συμ- Hom.
μειοῦται πάλιν.

628 Ἤτω: ὑπαρχέτω. ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας. τρίτον Δ

614 — στοιχεῖον = Ambr. 586, Lex. de sp. 615 aliter Ambr. 581 = H 616 — ἐκείνην = P, Ba 253, 2, H cf. sch. Thuc. 2, 39, 1 617 — ἠτάκτησεν = P, Ba 253, 4 cf. Bk. 262, 8 = Et. M. 385, 47 ἡταιρηκέναι sq. Polyb. 12, 13, 1 = EV 2, 129, 24—5 618 — πορνείας cf. Ambr. 595, Lex. de sp., Bk. 245, 3; 262, 8. Ἡταιρικῶς sq. cf. Ambr. 594 620 — ἀληθείας fort. Metaphr. Ἡττήθης τινὸς sq. sch. Ar. Av. 70; Theocr. 22, 72 621 = Synt. Laur. cf. Synt. Gud., An. Ox. 4, 293, 27, Ambr. 598 622 Harp. = P, Et. Gen., Et. M. 439, 47, An. Ox. 2, 495, 33 624 aliter Ambr. 596 625 = P, Ba 253, 5, H v. ἠτίμασεν 2 cf. H v. ἠτίμασεν 1 = sch. A 11 626 Ar. Pl. 1118 c. sch. = P, Ba 253, 7 627 — ψυχή = P, Ba 253, 6, Ps. Herodian. 54, Ambr. 584, Et. Gen., Et. M. 439, 19 cf. sch. B 490, H ἁπαλόν sq. Λ 115 c. sch. cf. sch. B 628 — ὑπαρχέτω = Ambr. 592. vs. 25 ἤτω—αἰῶνας Ps. 103, 31. τρίτον sq. cf. Ambr. 592, Et. M. 439, 12, Choer. Epim. Ps. 173, 15

616 cf. v. Λ 824 617 cf. v. Δ 472. Z 1013 618—9 Z 1013 621 cf. 629 622 cf. vv. Al 364 et 377. Z 1013 623 cf. 629 624 Z 1013 625 cf. v. A 4363. Z 1013 626 Z 1014 628 cf. 568. Z 1014

615 non nov. gl. V 3 ταύτῃ] cp. GV ταύτην I Phot. Ba ἢ ἐκείνην A^2F(GITVM) ex FV Phot. Ba γυνὴ—4 εἶπεν om. F mg. V 4 τῷ παιδὶ om. V διδοῦσα V τοῦτο] καὶ add. V 5 ἡταιρηκέναι—6 φυσᾶν om. FT 9 ἀπένθοι F: ἀπέλθοι GIM ἀπέλθει V ἀπέλθω A ἀπέλθῃ Bhd. 10 Ἡττήθης pr. — καὶ om. F ad 618 καὶ ἡ. τ. ἀ. mg. V 11 τῶν om. F Bhd. φυσικόν—15 γενικῇ om. F 16 Ἡττημένην GIM Ἡττήμην V 17 κεχρᾶσθαι A 20 ἠτίμησεν V 21 τῶν—τοῦ om. F Phot. Ba μέλλει GIVM 22 Ὅμηρος—24 πάλιν om. F 22 Ὅμηρος GIT: ὅμως AVM cf. p. 597, 12 ad 628 Δαυὶδ mg. add. A 25 τοὺς om. V(M) τρίτον—p. 596, 4 ἤτω om. FT 25 τρίτα VM cp. A

πρόςωπόν ἐςτι προστακτικόν, ἀπὸ τοῦ εἰμί, τὸ ὑπάρχω· ἡ μετοχὴ εἷς, ἔντος· τὸ προστακτικὸν ἔθι, ἔτω· ἐπεκτάςει ἤτω καὶ πλεοναςμῷ τοῦ c ἔςτω. ἢ ἀπὸ τοῦ ἔω, τὸ ὑπάρχω, ἦεν, ἦες, ἦε· καὶ τὸ προστακτικὸν ἔε, ἐέτω· καὶ κράςει τῶν δύο εε εἰς η ἤτω.

Δ 629 Ἡττώμενος· γενικῇ. νικώμενος.

630 Ἧττων: ἐλάττων, ὑποχείριος. οὕτω δὲ ἦν Ἐπίκουρος ἡδονῆς
E ἥττων, ὡς διὰ τῶν ἐςχάτων ἐν ταῖς διαθήκαις αὐτοῦ ἔγραψε, τῷ μὲν πατρὶ καὶ τῇ μητρὶ ἐναγίζειν ἅπαξ τοῦ ἔτους, ἑαυτῷ δὲ διccῶς, τῆς ἀcωτίας τὸ πλέον προτιμῶν.

Δ 631 Ἠτρέμιζεν: ἐκαρτέρει, ἡcύχαζεν.

632 Ἧτρια: οἱ ςτήμονες. τόντε πρόςεργον ἄτρακτον καὶ τὰν
2 ἐκέλευσε I 4 προφάσει V 6 ταῖς Bas.: τὰς omnes καὶ ὁ λαὸς FGM(ITV) om. V 173 om. T 9 τὴν] συν F κατεσκευάσε—20 ταύταις om. F 14 τοῦ om. V 17 Δάνῃ Exc. 19 ταῖς] τοῖς V νεανίσκων V 21 ὃς—25 Ἀχίας om. F 22 δεινὸς GIM 175 om. F mg. V 28 καὶ—p. 616, 2 γενέσθαι om. TF 31 ὑπεβαλεῖ V 32 Σενύης 73

κατ' αὐτὸν γενέσθαι θεοφιλῆ τε καὶ ἐς πολλὰ λυσιτελῆ, ὄνομα αὐτῷ Ἰαχίμ· ὃν φασι περιάπτων καὶ ἐπαοιδῶν ἔμπειρον γενέσθαι.

Suid. 177 Ἱεροκήρυξ.

178 Ἱεροκλῆς, φιλόσοφος, Ἀλεξανδρεύς. οὗτος μετὰ τοῦ ἀτρέπτου καὶ μεγαλοπρεποῦς εὖρους τε τὴν διάνοιαν εἰς ὑπερβολὴν καὶ διαφέρων εὐγλωττίᾳ καὶ εὐπορίᾳ τῶν καλλίστων ὀνομάτων καὶ ῥημάτων κατέπληττε πανταχοῦ τοὺς ἀκροωμένους. ἦν δὲ αὐτῷ καὶ μαθητὴς Θεοσέβιος, ἀνήρ, εἴπερ τις ἕτερος ὧν ἡμεῖς ἴσμεν, εἰωθὼς ἀποβλέπειν εἰς τὰς τῶν ἀνθρώπων ψυχάς. ἔλεγε δὲ ὁ αὐτὸς Θεοσέβιος ἐξηγούμενον φάναι ποτὲ τὸν Ἱεροκλέα, κύβοις ἐοικέναι τοὺς Σωκράτους λόγους· ἀπτῶτας γὰρ εἶναι πανταχοῦ, ὅπῃ ἂν πέσωσι. τοῦ δὲ Ἱεροκλέους τὸ ἀνδρεῖον καὶ μεγαλόθυμον ἦθος ἀπέδειξεν ἡ συμβᾶσα τύχη περὶ αὐτόν. εἰς γὰρ τὸ Βυζάντιον ἀνελθὼν προσέκρουσε τοῖς κρατοῦσι καὶ εἰς δικαστήριον ἀχθεὶς ἐτύπτετο τὰς ἐξ ἀνθρώπων πληγάς. ῥεόμενος δὲ τῷ αἵματι, βάψας κοίλην τὴν χεῖρα προσραίνει τὸν κριτὴν ἅμα λέγων· κύκλωψ, τῇ, πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα. φυγὴν δὲ κατακριθεὶς καὶ ἐπανελθὼν χρόνῳ ὕστερον εἰς Ἀλεξάνδρειαν συνεφιλοσόφει τὰ εἰωθότα τοῖς πλησιάζουσιν. ἔξεστι δὲ μαθεῖν τὴν Ἱεροκλέους μεγαλογνώμονα φρόνησιν ἀπὸ τῶν συγγραμμάτων, ὧν γέγραφεν εἰς τὰ Χρυσᾶ ἔπη τῶν Πυθαγορείων καὶ ἑτέρων βιβλίων περὶ προνοίας συχνῶν· ἐν οἷς φαίνεται ὁ ἀνὴρ τὴν μὲν ζωὴν ὑψηλόφρων, τὴν δὲ γνῶσιν οὐκ ἀκριβής.

179 Ἱερολογία: ἡ θεία λειτουργία.

Σ 180 Ἱερομηνία: ἱερὰ ἑορτὴ κατὰ μῆνα.

Harp. 181 Ἱερομηνίαι· ἑορτώδεις ἡμέραι ἱερομηνίαι καλοῦνται. Δημοσθένης κατὰ Τιμοκράτους.

Σ 182 Ἱερομνήμονες: οἱ εἰς Πυλαίαν ἐκπεμπόμενοι γραμματεῖς.

Harp. 183 Ἱερομνήμονες: οἱ πεμπόμενοι εἰς τὸ τῶν Ἀμφικτυόνων συνέδριον ἐξ ἑκάστης πόλεως τῶν τοῦ συνεδρίου μετεχουσῶν οὕτω καλοῦνται.

Σ 184 Ἱερομύστης: ἱερὰ μυστήρια εἰσηγούμενος, ἅγιος.

185 Ἱερόν: ἅγιον, τῷ θεῷ ἀνατεθειμένον. Ἱερὸν γὰρ λέγουσι πᾶν
Ar. τὸ ἀνατιθέμενον τοῖς θεοῖς. καὶ παροιμία· Ἱερὸν ἡ συμβουλή,
Prov. παροιμία ἐπὶ τῶν δεινῶν συμβουλεύειν.

178 Dam. fr. 54 cf. Phot. Bibl. 338b 28 sqq. 180 = Ba 260, 21, H, P 181 Harp. = P; Dem. 24, 29 et 47 182 Tim. = P cf. H 183 Harp.; — μετεχουσῶν = P; cf. Bk. 266, 1 = Et. M. 468, 50, Et. Gen. 184 = P, Ba 260, 22 185 Ἱερὸν γὰρ—θεοῖς sch. Ar. Pl. 937 Ἱερὸν ἡ sq. cf. Zen. IV 40, H

179—80 Z 1093 182 cf. v. Πυλαγόραι. Z 1093 183 cf. v. Πύλαι 1. Z 1092 185 Z 1094

F(GITVM) 2 Ἰαχίω V 177 om. F mg. V 4 οὗτος—22 ἀκριβής om. FT 4 μετὰ —6 εὐγλωττίᾳ bis V 7 αὐτῇ V 8 ὧν] οἷον V 9 τῶν ex V solo 11. 12 Ἡρακλέους GIM 21 ὁ] οἱ V 179 om. FV 25 ἱερομηνίαι alt.— 26 Τιμοκράτους om. F, ἱερομηνίαι καλοῦνται om. GIT 26 Δημοκράτους V 29 ἐξ—30 καλοῦνται om. F 29 τοῦ om. V 32 Ἱερὸν alt.—33 παροιμία om. F 34 παροιμία om. FT συμβουλευσάντων F

186 Ἱερὸν ἰχθῦν: Ὅμηρος τὸν ἄνετον καὶ αὐτεξούσιον λέγει, οὐ Hom.
τὸν κάλλιχθυν ἢ τὸν πομπίλον, ὥς τινες.
187 Ἱερόν τι νεωκορήσας: ἀντὶ τοῦ εὐφημότερον ἱερατεύσας. Σ
188 Ἱερόντιον: ὄνομα πόλεως. Δ
189 Ἱεροποιός. Δ
190 Ἱεροσόλυμα: ὄνομα πόλεως. Δ
191 Ἱερὸς πόλεμος· δύο ἐγένοντο ἱεροὶ πόλεμοι· Ἀθηναίοις πρὸς Ar.
Βοιωτούς βουλομένους ἀφελέσθαι Φωκέων τὸ μαντεῖον, νικήσαντες δὲ
Φωκεῦσι πάλιν ἀπέδωκαν· ὁ δὲ ἕτερος Ἀθηναίοις πρὸς Λακεδαιμονίους
ὑπὲρ Φωκέων, διὰ τὸ ἐν Δελφοῖς ἱερόν.
192 Ἱερὸς λέγεται καὶ ὁ εὐσεβής.
198 Ἱερουργῶ· αἰτιατικῇ. Synt.
194 Ἱερουσαλήμ: ὄνομα πόλεως. Ζήτει τὴν ἅλωσιν αὐτῆς ἐν τῷ Δ
Ἀντίοχος.
195 Ἱεροφάντης: μυσταγωγός, ἱερεύς. καὶ ὡς οὐ μέλει τῶν Σ
Ἀθηναίων θεῷ δεῖξαι φλεγόμενος, ὤθησεν ἑαυτὸν φέρων ἐς τὸ μέγα- E
ρον· ἔνθα δήπου τῷ μὲν ἱεροφάντῃ μόνῳ παρελθεῖν θεμιτὸν ἦν κατὰ
τὸν τῆς τελετῆς νόμον, ἐκείνῳ δὲ οὐκ ἐξῆν. ἐπεὶ δὲ ἐτολμήθη οἱ τὸ
τόλμημα, φρίκη τις αὐτὸν περιέρχεται καὶ νοσεῖ νόσῳ μακροτάτῃ.
196 Ἱεροφάντης: οὕτως ὠνομάσθαι φασὶ τὸν πρῶτον ἱεροφάντην, Harp.
τὸν ἀποφήναντα ἐκ τοῦ πολέμου ἀπιόντα τὰ ἱερά.
197 Ἱεροφώνων: μεγαλοφώνων. Σ
198 Ἱερῷ: θείῳ, ἤτοι μεγάλῳ. Σ
199 Ἱέρων· οὗτος τύραννος ἦν, ὃς πρῶτον μὲν δι' ἑαυτοῦ κατεκτή- EV
σατο τὴν τῶν Συρακουσίων βασιλείαν καὶ τῶν συμμάχων ἀρχήν, οὐ
πλοῦτον οὐ δόξαν οὐχ ἕτερον οὐδὲν ἐκ τῆς τύχης ἕτοιμον παραλαβών,
καὶ μὴν οὐκ ἀποκτείνας οὐ φυγαδεύσας οὐ λυπήσας οὐδένα τῶν
πολιτῶν. καὶ διεφύλαξε τὸν αὑτοῦ τρόπον· ἔτη γὰρ πεντήκοντα καὶ
τέτταρα βασιλεύσας διετήρησε μὲν τῇ πατρίδι τὴν εἰρήνην, διεφύλαξε
δ' αὐτῷ τὴν ἀρχὴν ἀνεπιβούλευτον, διέφυγε δὲ τὸν ταῖς ὑπεροχαῖς
παρεπόμενον φθόνον· ὅς γε πολλάκις ἐπιβαλλόμενος ἀποθέσθαι τὴν
δυναστείαν ἐκωλύθη κατὰ κοινὸν ὑπὸ τῶν πολιτῶν. εὐεργετικώτατος

186 cf. sch. A (Aristonic.) in Π 407, Ath. 7, 284 b c 187 = P; l. Pl. Rep. 9, 574 d 188 cf. Ambr. 164 189 = L cf. Ambr. 132 190 cf. Ambr. 162 191 sch. Ar. Av. 556 cf. H = Et. M. 469, 22 193 = An. Ox. 4, 294, 30 cf. Synt. Laur. et Gud. 194 — πόλεως = Ambr. 155, Ps. Herodian. 42 195 — ἱερεύς = P, Ba 260, 23 cf. H καὶ sq. Aelian. fr. 10 196 Harp. = P 197 = P, Σ^a cf. sch. Σ 505 198 = P, Ba 260, 24 cf. sch. P 464 199 Polyb. 7, 8 = EV 2, 103, 20—104, 9

188 Z 1094 190 cf. 194 194 cf. 190 195 cf. vv. Ε 3604, Μ 381, τηκεδόνι, φρίκη 197 Z 1093 198 cf. 202. Z 1094

1 Ὅμηρος] ὅμως V cf. p. 595, 22 οὐ—2 τινες om. F 3 τι] τε F FGM(IV)
7 Ἀθηναίοι V 8 βουλομένους—9 ἀπέδωκαν om. F 8 βολουμένον V
9 Ἀθηναίοις ed. pr.: Ἀθηναίους F cp. rell. 10 ὑπὲρ—11 Ἱερὸς om. F
195 om. F cf. ad vs. 20 15 μέλλει V 18 τελευτῆς GIV 20 Ἱεροφάντης] τὸν μυσταγωγὸν καὶ ἱερέα add. F cf. vs. 15 24 ὃς—p. 618, 4 σώφρονος om. F

δὲ καὶ φιλοδοξότατος, ἐν περιουσίᾳ δὲ καὶ τρυφῇ καὶ ἀσχολείᾳ πολλῇ διαγενόμενος ἐβίωσε πλείω τῶν ϛ΄ ἐτῶν, διεφύλαξε δὲ τὰς αἰσθήσεις πάσας καὶ τὰ μέρη τοῦ σώματος ἀβλαβῆ. τοῦτο δέ μοι δοκεῖ σημεῖον οὐ μικρόν, ἀλλὰ παμμέγεθες εἶναι βίου σώφρονος.

EV 200 Ἱερώνυμος· τύραννος γέγονεν οὗτος. τινὲς δὲ τῶν λογογράφων τῶν ὑπὲρ τῆς καταστροφῆς αὐτοῦ γεγραφότων πολύν τινα πεποίηνται λόγον καὶ τῶν δεινῶν τῶν περὶ τὴν καταστροφὴν αὐτοῦ συμβάντων, ὥστε μήτε Φάλαριν μήτ' Ἀπολλόδωρον μήτ' ἄλλον μηδένα γεγονέναι τύραννον ἐκείνου πικρότερον. καὶ παῖς παραλαβὼν τὴν ἀρχήν, εἶτα μῆνας οὐ πλείω τριῶν ἢ δώδεκα ζήσας μετήλλαξε τὸν βίον. κατὰ δὲ τὸν χρόνον τοῦτον ἕνα μέν τινα καὶ δεύτερον ἐστρεβλῶσθαι καί τινας τῶν φίλων καὶ τῶν ἄλλων Συρακουσίων ἀπεκτάνθαι δυνατόν, ὑπερβολὴν δὲ γεγονέναι παρανομίας καὶ παρηλλαγμένην ἀσέβειαν οὐκ εἰκός. καὶ τῷ μὲν τρόπῳ διαφερόντως εἰκαῖον αὐτὸν γεγονέναι καὶ παράνομον φατέον, οὐ μὴν εἴς γε σύγκριcιν ἀκτέον οὐδενὶ τῶν προειρημένων τυράννων. ἀλλά μοι δοκοῦσιν οἱ τὰς ἐπὶ μέρους γράφοντες πράξεις, ἐπειδὰν ὑποθέσεις εὐπεριλήπτους ὑποστήσωνται καὶ στενάς, πτωχεύοντες πραγμάτων ἀναγκάζεσθαι τὰ μικρὰ μεγάλα ποιεῖν καὶ περὶ τῶν μηδὲ μνήμης ἀξίων πολλούς τινας διατίθεσθαι λόγους. ἔνιοι δὲ καὶ δι' ἀκρισίαν εἰς τὸ παραπλήσιον τούτοις ἐμπίπτουσιν. ὅσῳ γὰρ ἄν τις εὐλογώτερον καὶ περὶ ταῦτα τὸν ἀναπληροῦντα τὰς βίβλους καὶ τὸν ἐπιμετροῦντα λόγον τῆς διηγήσεως εἰς Ἱέρωνα καὶ Γέλωνα διάγοιτο, παρεὶς Ἱερώνυμον. καὶ γὰρ τοῖς φιληκόοις ἡδίων οὗτος καὶ τοῖς φιλομαθέσι τῷ παντὶ χρησιμώτερος.

Hesy.? 201 Ἱερώνυμος, Καρδιανός, ὃς τὰ ἐπ' Ἀλεξάνδρῳ πραχθέντα
Δ συνέγραψε. Καρδία δὲ ὄνομα πόλεως.

Δ 202 Ἱερῶς: μεγάλως.

Σ 203 Ἱερῶσθαι· φησὶ Θουκυδίδης· νομίσαντες κατὰ δή τινα παλαιὰν αἰτίαν οὐ καθαροὺς ὄντας ἱερῶσθαι. σημαίνει γὰρ τὸ ἱεροὺς νενομίσθαι, καὶ οἷον καθιερῶσθαι.

Δ 204 Ἰεσσαί: ὄνομα κύριον.

Σ 205 Ἱέσθην: προεθυμοῦντο, ἐπορεύοντο.

ΣΔ 206 Ἴεται: προθυμεῖται, πορεύεται. καὶ Ἴετο.

207 Ἰεφθάε, κριτὴς Ἰουδαίας, ὁ ῥυσάμενος τὸν Ἰσραὴλ ἐκ χειρὸς

200 Polyb. 7, 7 = EV 2, 102, 20—103, 20 201 Καρδία sq. cf. Steph. Byz. 202 = Ambr. 175 203 = P, Et. Gen., Et. M. 468, 36 cf. H; Thuc. 5, 1, 1 204 = Ambr. 139, Ps. Herodian. 42 205 = Ba 260, 25 cf. sch. Σ 501, H 206 — πορεύεται = P, Ba 260, 26 cf. H Ἴετο cf. Ambr. 173 = sch. B 589

202 cf. 198 203 cf. 158. Z 1095 205—6 Z 1095

F(GITVM) 1 δαψιλείᾳ] βασίλ V^{cp} 5 γέγονεν] γ. καὶ T καὶ F τινὲς—24 χρησιμώτερος om. FT 6 ὑπὸ V 14 γεγονὼς M 15 κρίσιν V 25 ὃς—26 συνέγραψε om. F 25 Ἀλεξάνδρῳ T: cp. GM Ἀλεξάνδρου IV 28 Ἱερῶσθαι—29 αἰτίαν] τοὺς F 28 φασὶ V 29 σημαίνει—30 οἷον] ἤτοι F 30 καθιερῶσαι F 34 ὁ—p. 619, 4 μνήμην om. F

Φυλιστιείμ· ὃς ηὔξατο τῷ θεῷ τὸ πρῶτον ὑπ᾽ αὐτοῦ ὑπαντώμενον καταθύειν. ἐπεὶ οὖν τὴν ἑαυτοῦ θυγατέρα ἐπὶ τοῖς νικητηρίοις ὀρχουμένην ἐθεάσατο, ταύτην εὐθέως ἀνεῖλε. διὸ δὴ αἱ τῶν Ἰουδαίων παρθένοι τετραήμερον αὐτῆς κατ᾽ ἔτος ἐπετέλεσαν μνήμην.

208 Ἰεχονίας: ὄνομα κύριον. Δ
209 Ἰζάνω: καθέζομαι. Δ
210 Ἴζει: καθίζει, ἢ κάθηται. Σ
211 Ἰζήσας: καθήσας. Δ
212 Ἰζηματίας: εἶδος σεισμοῦ. Δ
213 Ἴει: πέμπει, ἀφίησιν. ὁ δὲ ἴει ἑαυτὸν εἰς ὕδωρ ψυχρὸν φάσκων, γῆρας ἀνθρώπων εἶναι τὰ βαλανεῖα. Σ
214 Ἰείη κατὰ λαιμόν. Δ
215 Ἰείς: ἀφιείς, τοξεύων. Σοφοκλῆς· ἀπὸ κοινοῦ τὸ τίς. κατὰ μὲν τῶν μεγάλων ψυχῶν ἰείς τις οὐκ ἂν ἁμάρτοι· κατ᾽ εὐτελοῦς δὲ ἰείς τις οὐκ ἂν πείθοι τὸν ἀκούοντα, πρὸς γὰρ τὸν ἔχονθ᾽ ὁ φθόνος ἕρπει. τροπικῶς ἀπὸ τοξευόντων κατὰ μεγάλου σώματος, οἳ οὐχ ἁμαρτάνουσι. πιστὰ οὖν τοῖς ἀκούουσι τὰ κατὰ τῶν μεγάλων διὰ τὸν φθόνον. Soph.
216 Ἰείς: ἀφιείς. πάσας δ᾽ ὑμῖν φωνὰς ἰείς. Ἀριστοφάνης φησίν. Ar
217 Ἰή: τοῦτο ψιλοῦται, ὅταν μὴ ᾖ ἐν ὕμνῳ· ἐκεῖ γὰρ δασύ ἐστιν. ὡς ἐφυμνίῳ δὲ κέχρηται Εὐριπίδης τῷ, ἰήκοπον οὐ πελάθεις ἐπ᾽ ἀρωγάν. Ar
218 Ἰή, ἰή, ἰή: πρόσφθεγμά ἐστι καταφρονοῦντος. σημαίνει δὲ μῆκος τοῦτο λεγόμενον. φησὶ γάρ· ὅτου δὲ μέλλεις ἐγγὺς εἶναι τῶν θεῶν. Ar.
219 Ἰῇ μιᾷ: μιᾷ φωνῇ. Δ
220 Ἴη: ἐπὶ μέλλοντος· ἀντὶ τοῦ ἔλθῃ. Δ
221 Ἰήϊος: ὁ τοξότης, ὁ Ἀπόλλων. καὶ Ἴϊε Φοῖβε. Δ
222 Ἰησοῦ, βασιλεὺς Σαμαρείας· ὃς ἀνεῖλεν Ἰεζάβελ καὶ τοὺς υἱοὺς E

208 = Ambr. 137, Ps. Herodian. 42 209 cf. Ambr. 178, H, Ps. Herodian. 46 210 = P, Ba 260, 27 cf. H, Ambr. 178; Et. M. 469, 35 = Ps. Herodian. 46 211 cf. L, Lex. de sp. 212 aliter Ambr. 176, Zon. 1095 213 — πέμπει cf. P = Ba 260, 12; H = sch. Γ 221, Ap. S. 90, 7; Ambr. 172 = Ps. Herodian. 273, Lex. de sp., sch. A interl. in K 71; ἀφίησιν cf. H = sch. Γ 221, Ap. S. 90, 7 ὁ sq. Philostr. 1, 16 extr. 214 = L; T 209 215 sch. Soph. Ai. 154 216 Ar. Eq. 521 c. sch. 217 Ar. Ran. 1275 c. sch. cf. sch. 1264; ἰήκοπον sq. Aeschyl. fr. 132 218 Ar. Pac. 195 c. sch. 219 cf. H, sch. I 319 220 cf. Ambr. 194, Ps. Herodian. 273, Lex. de sp. 221 — Ἀπόλλων = Ambr. 180 cf. 188, H, Ps. Herodian. 42, sch. O 365 Ἴϊε sq. O 365 222 Georg. 260, 7—20

208 Z 1093 211—2 Z 1095 213 ἀφίησιν cf. 226. Z 1094 215 cf. v. φθόνος 2 216 cf. v. M 20 219 cf. 1 et 71 220 Z 1096 221 cf. Z 1096 222 hinc v. H 244. Z 1096

1 Φιλιστιείμ I^{ac} 211—2 ex F, Coisl. 177 9 σεισμοῦ F 10 ὁ—11 βαλα- FGVM(IT)
νεῖα om. FT 10 ἰεἰς V 13 Σοφοκλῆς—19 φησίν om. FT 15 τὸν alt.] τὸ V 16 ἀπὸ] τῶν add. I σώματα V 17 τὰ om. V 19 Ἀριστοφάνης— 20 ὕμνῳ om. V 21 ὡς—ἀρωγάν om. F οὖ] οὐκ ἐτ V 22 σημαίνει— 23 θεῶν om. F 22 μῆκος om. V 25 ἔλθῃ F^{ac} Ambr. (ms. Ath.) Zon. Bekk.: ἔλθοι rell., Ps. Herodian. 26 Ἴϊε FV: Ἰὴς GTM Ἰή I Ἰήϊε Zon. 27 ὃς— p. 620, 9 κυρίου om. F

Ἀχαὰβ κατὰ τὸ ῥῆμα Ἠλιοῦ τοῦ προφήτου. ὃς συναθροίσας πᾶν τὸ πλῆθος τοῦ λαοῦ ἔφη μετὰ πανουργίας· Ἀχαὰβ μὲν ἐδούλευσε τῷ Βάαλ ὀλίγα, Ἰησοῦ δὲ πολλὰ δουλεύσει αὐτῷ. καὶ νῦν πάντας καλέσατε πρός με τοὺς προφήτας καὶ ἱερεῖς τοῦ Βάαλ, ὅτι μεγάλη μοι θυσία τῷ Βάαλ. πᾶς γάρ, ὃς ἂν ἀπολείψῃ, οὐ ζήσεται. συναθροισθέντες οὖν ἅπαντες, καὶ τοῦ εἰδωλείου πλησθέντος στόμα πρὸς στόμα, ἔφη· ἐρευνήσατε, εἰ ἔστι τῶν δούλων κυρίου τις. καὶ μὴ εὑρεθέντος, ἀνέκτεινε πάντας καὶ τὸν Βάαλ ἐνέπρησε. πλὴν οὐκ ἐφύλαξεν εἰς τέλος πορεύεσθαι ἐν νόμῳ κυρίου.

Soph. 223 Ἰητῶν: τῶν μετ' εὐχῆς γινομένων· ἢ τῶν λοιμικῶν· Ἰήϊος γὰρ Ἀπόλλων, εἰς ὃν ἡ ἀγνεία τῶν λοιμῶν ἀναφέρεται· ἢ ὅτι ἐπίφθεγμα κοινόν ἐστι καὶ Ἀρτέμιδος. αἱ δὲ γυναῖκες ἐν ταῖς ἀνάγκαις τὰς τοιαύτας ἀφιᾶσι φωνάς. οἱ δὲ ἀκούουσι τῶν θρηνητικῶν. Σοφοκλῆς· οὐδὲ ἰητῶν καμάτων ἀνέχουσι γυναῖκες. τουτέστιν οὐ περιγίνονται τῶν πόνων.

Δ 224 Ἧλα: ἐδέσμευσα. καὶ Ἰῆλαι, ἐπικάμψαι.

Δ 225 Ἰηλεμῆσαι: θρηνῆσαι. καὶ Ἰηλεμῆσθαι, τεθρηνῆσθαι.

Σ 226 Ἴησιν: ἀφίησιν. σχίζων τις ξύλα, ὡς εἶδε τὸν Κλέαρχον Ε προσιόντα, ἵησι τῇ ἀξίνῃ. Ξενοφῶν.

Hom. 227 Ἶησιν: ἀπέλθῃ.

Δ 228 Ἰησονίδης: Ἰάσονος παῖς.

229 Ἰησοῦς ὁ Χριστὸς καὶ θεὸς ἡμῶν· ὅτι ἐν τοῖς χρόνοις τοῦ εὐσεβεστάτου βασιλέως Ἰουστινιανοῦ γέγονεν ἄνθρωπός τις, ἀρχηγὸς τῶν Ἰουδαίων, Θεοδόσιος ὄνομα αὐτῷ, ὃς πλείστοις τῶν Χριστιανῶν γνωστὸς ὑπῆρχε καὶ αὐτῷ τῷ μνημονευθέντι πιστῷ βασιλεῖ. κατὰ δὲ τοὺς χρόνους ἐκείνους ἦν τις ἄνθρωπος Χριστιανὸς (Φίλιππος ὄνομα αὐτῷ) τὴν μέθοδον ἀργυροπράτης. οὗτος γνωστῶς ἔχων τὰ πρὸς τὸν Θεοδόσιον καὶ πολλὴν πρὸς αὐτὸν σῴζων τὴν γνησιότητα προετρέπετο αὐτὸν καὶ ἐνουθέτει γενέσθαι Χριστιανόν. ἐν μιᾷ οὖν τῶν ἡμερῶν ὁ προλεχθεὶς Φίλιππος πρὸς τὸν λεχθέντα Θεοδόσιον τοιαῦτά τινα ἔλεγε· τί δή ποτε σοφὸς ἀνὴρ ὑπάρχων καὶ ἀκριβῶς ἐπιστάμενος τὰ τοῦ νόμου καὶ τῶν προφητῶν προκεκηρυγμένα τοῦ δεσπότου Χριστοῦ οὐ πιστεύεις αὐτῷ καὶ γίνῃ Χριστιανός; πέπεισμαι γὰρ περὶ σοῦ, ὅτι οὐκ ἀγνοῶν τὰ τῶν θεοπνεύστων γραφῶν προλεχθέντα περὶ τῆς περὶ τοῦ

223 Soph. OT 173 c. sch. 224 — ἐδέσμευσα = Ambr. 193, Et. M. 469, 38. Ἰῆλαι sq. = Ambr. 191, Et. M. 469, 39, aliter sch. φ 241 = L 225 — θρηνῆσαι = Et. M. 463, 3. Ἰηλεμῆσθαι sq. = Ambr. 192 226 — ἀφίησιν = P, Ba 260, 28, sch. Γ 12 σχίζων sq. Xen. An. 1, 5, 12 227 sch. I 697 cf. H 228 cf. Ambr. 184 229 Bibl. Hagiogr. Graeca³ n. 811 cf. Vassiliev, Anecd. Graeco-Byz. 60 sq.

223 cf. v. A 2363 225 Z 1096 226 cf. 218. Z 1097 227 Z 1097

FGM(IV) 6 τοῦ om. V 10 γιγνομένων F Ἰήϊος—15 πόνων om. F 17 Ἰηλεμεῖσθαι FV 18 σχίζων—19 Ξενοφῶν om. F Κλέανδρον V 20 ἀπέλθοι I^{ac} Zon. 228 post 229 F 21 Ἰησονήδες F 22 ὅτι—p. 625, 4 Χριστοῦ om. F 32 Χριστοῦ om. V 34 γραφῶν om. V περὶ alt. om. I

κοινοῦ ἡμῶν δεσπότου Χριστοῦ παρουσίας παραιτῇ τοῦ γενέσθαι Χριστιανός. σπεῦσον οὖν σῶσαι τὴν σεαυτοῦ ψυχήν, πιστεύων εἰς τὸν σωτῆρα καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἵνα μὴ ἐπιμένων τῇ ἀπιστίᾳ κρίσεως αἰωνίου ὑπεύθυνον σεαυτὸν κατασταθῇς. ταῦτα ἀκούσας ὁ Ἰουδαῖος παρὰ τοῦ Χριστιανοῦ λεγόμενα πρὸς αὐτὸν ἀπεδέξατο αὐτὸν εὐχαριστίας τε αὐτῷ τὰς διὰ λόγων προσήγαγε καὶ τοιαῦτα πρὸς αὐτὸν ἀπεκρίνατο· ἀποδέχομαι τὴν κατὰ θεόν σου ἀγάπην, ὅτι τὰ ὑπὲρ τῆς σωτηρίας τῆς ἐμῆς ψυχῆς σπουδάζων ἀγωνίζῃ Χριστιανόν με γενέσθαι προτρεπόμενος. διὸ ὡς ἐπὶ τοῦ θεοῦ τοῦ τὰ κρυπτὰ τῶν καρδιῶν ἐπισταμένου καὶ θεωροῦντος ἀδόλως καὶ ἀνυποκρίτως καὶ μετὰ πάσης ἀληθείας τοὺς πρός σε λόγους ποιήσομαι. ὅτι μὲν οὖν παραγέγονεν ὁ ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν προκεκηρυγμένος Χριστός, ὁ ὑφ' ὑμῶν τῶν Χριστιανῶν προσκυνούμενος, πεπληροφόρημαι καὶ ὁμολογῶ τεθαρρηκώς, ὡς πρὸς γνήσιόν μου φίλον, ὡς καὶ τὰ πρὸς εὐεργεσίαν μοι ἀεὶ σπουδάζοντα· ἀλλὰ ἀνθρωπίνῳ λογισμῷ κρατούμενος οὐ γίνομαι Χριστιανὸς καὶ ἐν τούτοις καταγινώσκω ἑαυτοῦ. νῦν γὰρ Ἰουδαῖος ὑπάρχων ἀρχηγός εἰμι τῶν Ἰουδαίων καὶ τιμῆς πολλῆς καὶ δώρων πολλῶν καὶ πάντων τῶν πρὸς τὴν ζωὴν ταύτην ἐπιτηδείων ἐν ἀπολαύσει τυγχάνων. ὑπολαμβάνω δέ, ὅτι οὐδὲ εἰ πατριάρχης τῆς καθολικῆς ἐκκλησίας γένωμαι ἢ ἀρχὰς μείζονας καὶ ὑπεροχὰς λαμβάνω παρ' ὑμῶν, τοσαύτης θεραπείας ἀξιωθήσομαι. ἵνα οὖν μὴ τῶν δοκούντων τερπνῶν εἶναι ἐν τῷ βίῳ τούτῳ ἐκπέσω, καταφρονῶ τῆς μελλούσης ζωῆς κακῶς τοῦτο ποιῶν. ἵνα δὲ τοὺς λόγους μου ἀληθεῖς τῇ σῇ ἀγάπῃ παραστήσω, θαρρῶ σοι μυστήριον, ὅ ἐστι παρ' ἡμῖν τοῖς Ἑβραίοις ἀποκεκρυμμένον, ἐξ οὗ ἀκριβῶς ἐπιστάμεθα, ὅτι ὁ ὑφ' ὑμῶν τῶν Χριστιανῶν προσκυνούμενος Χριστὸς αὐτός ἐστιν ὁ ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν προκεκηρυγμένος· οὐ μόνον ἐξ αὐτῶν τῶν προγεγραμμένων, ἀλλὰ καὶ ἐκ τοῦ παρ' ἡμῖν ἐναπογράφου καὶ ἀποκεκρυμμένου μυστηρίου. ἔστι δὲ ὁ λόγος τοῦ μυστηρίου τοιοῦτος. κατὰ τοὺς ἀρχαίους χρόνους, ἡνίκα ὁ ἐν Ἱεροσολύμοις νεὼς ἐκτίζετο, συνήθεια ἦν παρὰ τοῖς Ἰουδαίοις, ἰσαρίθμους τῶν παρ' ἡμῖν γραμμάτων εἰκοσιδύο τυγχανόντων ἱερεῖς ἐν τῷ ναῷ καθίστασθαι· ὅθεν καὶ τὰ θεόπνευστα βιβλία εἰκοσιδύο ἀπαριθμούμεθα. κῶδιξ οὖν ἀπέκειτο ἐν τῷ ναῷ, ἐν ᾧ ἐπεγράφετο ἑκάστου ἱερέως τῶν κβ′ ἡ προσηγορία καὶ τὸ ὄνομα τοῦ πατρὸς καὶ τῆς μητρός. ἑνὸς οὖν τελευτήσαντος τῶν ἱερέων οἱ λοιποὶ συνήρχοντο ἐν τῷ ναῷ καὶ ἐκ κοινοῦ ψηφίσματος καθίστων ἀντὶ τοῦ τελευτήσαντος ἕτερον ἱερέα, πληροῦντες τὸν ἀριθμὸν τῶν κβ′ ἱερέων. καὶ ἐπεγράφετο ἐν τῷ κώδικι, ὅτι τῇδε τῇ ἡμέρᾳ ἐτελεύτησεν ὁ δεῖνα ἱερεύς, ὁ υἱὸς τοῦδε καὶ τῆσδε, καὶ ἀντ' αὐτοῦ προεχειρίσθη ὁ δεῖνα. τούτου οὖν τοῦ ἔθους κρατοῦντος ἐν τῷ ἔθνει τῶν Ἰουδαίων, συνέβη κατὰ τοὺς χρόνους ἐκείνους, καθ' οὓς ὁ Ἰησοῦς ἐν τῇ Ἰουδαίᾳ διέτριβε, τελευτῆσαι ἕνα

8 τῆς pr. om. V 9 διοὶ V 13 Χριστός om. V ἡμῶν $V^{ac}I^{ac}$ G V M (I) 16 καταγινώσκων V 17 γὰρ] δὲ V 21 λάβω V 29 ἀνεπιγράφου καὶ ἀνυποκεκρυμμένου V 32 τυγχανόντων—33 εἰκοσιδύο om. G

ἐκ τῶν κβ΄ ἱερέων, πρὶν ἄρξηται ἐμφανίζειν ἑαυτὸν ὁ Ἰησοῦς καὶ διδάσκειν πιστεύειν τοὺς ἀνθρώπους εἰς αὐτόν., συνῆλθον οὖν οἱ λοιποὶ ἱερεῖς ἐπὶ τῷ ποιῆσαι ἀντὶ τοῦ τελευτήσαντος ἱερέως ἕτερον ἱερέα· καὶ ἑκάστου προβαλλομένου τὸν νομιζόμενον αὐτῷ ἄξιον τοῦ γενέσθαι οἱ λοιποὶ τοῦτον ὡς ἐλλιπῶς ἔχοντα πρὸς ἀρετήν, ἐξ ἧς ὀφείλει καταστῆναι ἱερεύς, ἀπεδοκίμαζον. εἰ γὰρ σοφὸς ἦν, ἤθει τε καὶ βίῳ χρηστός, ἐν ἀγνοίᾳ δὲ τοῦ νόμου καὶ τῶν προφητῶν ἐτύγχανεν, ἀπρόσφορος ἱερατείας ἐκρίνετο. οὕτως οὖν πολλῶν ἱερέων ψηφισθέντων καὶ πάντων ἀποδοκιμασθέντων, εἷς τις ἱερεὺς ἐγερθεὶς ἔστη εἰς τὸ μέσον καὶ λέγει τοῖς λοιποῖς· ἰδού, πολλοὶ ὑφ᾽ ἡμῶν ὀνομασθέντες ἀνεπιτήδειοι εὑρέθησαν πρὸς ἱερωσύνην· δέξασθε οὖν κἀμὲ λέγοντα περὶ ἑνὸς ἀνθρώπου ὀφείλοντος προχειρισθῆναι ἀντὶ τοῦ τελευτήσαντος ἱερέως. ὑπολαμβάνω γάρ, ὅτι οὐδεὶς ἐξ ὑμῶν ἀπαρεσθήσεται τῷ παρ᾽ ἐμοῦ γενομένῳ ψηφίσματι. ἐπιτρεψάντων δὲ τῶν λοιπῶν ἱερέων εἶπεν, ὅτι βούλομαι ἐγὼ γενέσθαι ἀντὶ τοῦ τελευτήσαντος ἱερέως Ἰησοῦν, τὸν υἱὸν Ἰωσὴφ τοῦ τέκτονος· ὅστις νέος μὲν τῇ ἡλικίᾳ ἐστί, λόγῳ δὲ καὶ βίῳ καὶ ἤθεσι χρηστοῖς κεκόσμηται, καὶ ὑπολαμβάνω μηδένα ποτὲ τῶν ἀνθρώπων ὀφθῆναι ἐν λόγῳ ἢ ἐν βίῳ ἢ ἐν ἤθεσι τοιοῦτον, ὡς ἐστὶν οὗτος· καὶ οἶμαι καὶ ὑμῖν πᾶσι τοῖς οἰκοῦσιν ἐν Ἱερουσαλὴμ τοῦτο γνωστὸν καὶ ἀναντίρρητον ὑπάρχειν. ἀκούσαντες δὲ τὸν λόγον τοῦτον οἱ λοιποὶ ἱερεῖς ἀπεδέξαντο τὸν ἄνδρα καὶ ἐβεβαιώσαντο ψήφισμα, ἐπιτήδειον εἶναι ὑπὲρ πάντα ἄνθρωπον εἰς ἱερωσύνην τὸν Ἰησοῦν εἰρηκότες. ἔλεγον δέ τινες περὶ αὐτοῦ μὴ εἶναι ἐκ φυλῆς Λευΐ, ἀλλ᾽ ἐκ φυλῆς Ἰούδα τυγχάνειν· τοῦ Ἰωσὴφ τε υἱὸν αὐτὸν ὑπολαμβάνοντες εἶναι (οὕτως γὰρ παρὰ Ἰουδαίοις ἐχρηματίζετο), τὸν Ἰωσὴφ ἐκ φυλῆς Ἰούδα, οὐκ ἐκ φυλῆς Λευΐ ἐμαρτύρουν πάντες. καὶ τούτου ἕνεκα, ὡς τῷ δοκεῖν μὴ ὄντα αὐτὸν ἐκ φυλῆς Λευϊτικῆς, ἐκώλυον γενέσθαι ἱερέα. ὁ δὲ τοῦτον ὀνομάσας ἱερεὺς ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπε μικτὸν εἶναι τὸ γένος αὐτοῦ· πάλαι γὰρ ἐν γενεαῖς ἀρχαίαις ἐπιμιξία τις γέγονε τῶν δύο φυλῶν κἀκεῖθεν κατάγεσθαι τὸ γένος τοῦ Ἰωσήφ. τοῦτο οὖν ἀκούσαντες οἱ λοιποὶ ἱερεῖς συνήνεσαν τῷ ψηφίσματι· καὶ κοινῇ βουλῇ πᾶσι τοῖς συνελθοῦσιν ἱερεῦσιν ἔδοξεν ἀντὶ τοῦ τελευτήσαντος ἱερέως τὸν Ἰησοῦν καταστῆσαι. τῆς δὲ συνηθείας ἐχούσης μὴ μόνον τὸ ὄνομα τοῦ γινομένου ἱερέως ἀπογραφῆναι ἐν τῷ κώδικι, ἀλλὰ καὶ τοῦ πατρὸς καὶ τῆς μητρὸς αὐτοῦ, εἶπόν τινες αὐτῶν ὀφείλειν αὐτοὺς πρῶτον καλέσαι τοὺς γονεῖς αὐτοῦ καὶ παρ᾽ αὐτῶν μαθεῖν τὰ ὀνόματα αὐτῶν, λαβεῖν δὲ καὶ κατάθεσιν αὐτῶν, εἰ υἱὸς αὐτῶν ἐστιν ὁ πρὸς ἱερωσύνην προχειριζόμενος· καὶ ἤρεσε τοῦτο πᾶσιν. ὁ οὖν προονομάσας τὸν Ἰησοῦν γενέσθαι ἱερέα ἔλεγε τετελευτηκέναι Ἰωσὴφ τὸν πατέρα Ἰησοῦ, μόνην δὲ τὴν τούτου ζῆν μητέρα. συνῆκαν οὖν ἅπαντες ἀγαγεῖν τὴν μητέρα αὐτοῦ εἰς τὸ συνέδριον καὶ μαθεῖν παρ᾽ αὐτῆς, εἰ μήτηρ τυγχάνει τοῦ Ἰησοῦ καὶ εἰ αὐτὴ ἔτεκεν

GVM(I) 1 ἄρξειν V 10 ὑμῶν V^{ac} 26 πάντες MI: cp. GV 27 ὄντα VM: εἶναι GI 28 τοῦτον V: τοῦτο GMI 32 εἰσελθοῦσιν V 36 αὐτοῦ] αὐτῶν V

αὐτόν, καὶ τὸ ὄνομα τοῦ ἀνδρὸς αὐτῆς ἀκοῦσαι, ἐξ οὗ ἔτεκε τὸν Ἰησοῦν· καὶ δὴ τούτου πᾶσιν ἀρέσαντος ἐκάλεσαν τὴν μητέρα τοῦ Ἰησοῦ καὶ εἶπον πρὸς αὐτήν· ἐπειδήπερ ὁ δεῖνα ὁ ἱερεὺς ἐτελεύτησεν, ὁ υἱὸς τοῦδε καὶ τῆσδε, καὶ βουλόμεθα ἀντ' ἐκείνου ποιῆσαι τὸν υἱόν σου Ἰησοῦν, ἔθος δέ ἐστιν ἀπογράφεσθαι τὸ ὄνομα τοῦ πατρὸς καὶ τῆς μητρός· εἰπὲ ἡμῖν, εἰ ὁ Ἰησοῦς υἱός σου ἐστί, καὶ εἰ σὺ ἔτεκες αὐτόν. ἡ δὲ Μαρία ἀκούσασα ταῦτα ἀπεκρίνατο λέγουσα πρὸς τοὺς ἱερεῖς· ὅτι μὲν υἱός μου ἐστὶν ὁ Ἰησοῦς, ὁμολογῶ· ἐγὼ γὰρ ἐγέννησα αὐτόν, καὶ μαρτυροῦσί μοι οἱ εὑρεθέντες καὶ αἱ εὑρεθεῖσαι γυναῖκες τικτούσης μου αὐτόν· ὅτι δὲ οὐκ ἔχει ἐπὶ τῆς γῆς πατέρα, πληροφορίαν λάβετε παρ' ἐμοῦ, ὡς βούλεσθε. παρθένου γὰρ τυγχανούσης μου καὶ ἐν τῇ Γαλιλαίᾳ διατριβούσης, ἄγγελος θεοῦ, ἐγρηγορώσης μου οὐ καθευδούσης, εἰσελθὼν ἐν ᾧ ἤμην οἰκήματι, εὐηγγελίσατό μοι ἐκ πνεύματος ἁγίου τεκεῖν υἱόν· οὗ τὸ ὄνομα ἐνετείλατο καλέσαι Ἰησοῦν· παρθένος τοίνυν ὑπάρχουσα, ταύτην ἰδοῦσα τὴν ὀπτασίαν συνέλαβον καὶ ἐγέννησα τὸν Ἰησοῦν μείνασα παρθένος μέχρι τῆς σήμερον καὶ μετὰ τὸ τεκεῖν με. ταῦτα ἀκούσαντες οἱ ἱερεῖς ἐκέλευσαν ἐλθεῖν μαίας πιστὰς καὶ ἐπέτρεψαν αὐταῖς πολυπραγμονῆσαι, εἰ ἔτι ἀληθῶς παρθένος ἐστὶν ἡ Μαρία. αἱ δὲ ἐκ τῶν πραγμάτων λαβοῦσαι πληροφορίαν διεβεβαιώσαντο παρθένον αὐτὴν ὑπάρχειν. παρεγένοντο δὲ καὶ αἱ παρευρεθεῖσαι καὶ θεασάμεναι αὐτὴν τίκτουσαν, μαρτυροῦσαι ὅτι υἱὸς αὐτῆς ἐστιν ὁ Ἰησοῦς. ἔκθαμβοι δὲ γενόμενοι οἱ ἱερεῖς ἐπὶ τοῖς λεγομένοις παρὰ τῆς Μαρίας καὶ τῶν μαρτυρησάντων περὶ τοῦ τόκου αὐτῆς, ἀποκριθέντες εἶπον τῇ Μαρίᾳ· εἰπὲ ἡμῖν παρρησίᾳ, ἵνα ἐκ τοῦ στόματός σου ἀκούσωμεν, τίνος ἐστὶ καὶ τίνος υἱός, ἵνα οὕτως ἀπογραψώμεθα αὐτόν· οὐ γὰρ εἶπας ἡμῖν γονέας τούτους ἡμεῖς καὶ οὐχ ἑτέρους ἀπογραψόμεθα. ἡ δὲ ἀποκριθεῖσα εἶπεν, ὅτι ἐν ἀληθείᾳ ἐγὼ αὐτὸν ἐγέννησα, πατέρα αὐτοῦ ἐπὶ γῆς μὴ ἐπισταμένη, ἀλλὰ παρὰ τοῦ ἀγγέλου ἤκουσα, υἱὸν θεοῦ εἶναι αὐτόν. υἱὸς οὖν ἐμοῦ τῆς καλουμένης Μαρίας ἐστὶ καὶ υἱὸς τοῦ θεοῦ, καὶ μὴ γημαμένη παρθένος ὑπάρχω. ταῦτα ἀκούσαντες οἱ ἱερεῖς ἤγαγον τὸν κώδικα καὶ ὑπέγραψαν οὕτως· τῇδε τῇ ἡμέρᾳ ἐτελεύτησεν ὁ ἱερεὺς ὁ δεῖνα, ὁ υἱὸς τοῦδε καὶ τῆσδε, καὶ γέγονεν ἀντ' αὐτοῦ κοινῇ ψήφῳ πάντων ἡμῶν ἱερεὺς Ἰησοῦς, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος καὶ Μαρίας τῆς παρθένου. καὶ οὗτος ὁ κώδιξ ἐσώθη ἀπὸ τοῦ ναοῦ σπουδῇ τῶν τὰ πρῶτα φερόντων παρὰ τοῖς Ἰουδαίοις κατὰ τὸν καιρὸν τῆς ἁλώσεως τοῦ ναοῦ καὶ τῶν Ἱεροσολύμων καὶ ἀπόκειται ἐν Τιβεριάδι· καὶ τὸ μυστήριον τοῦτο ὀλίγοις πάνυ καὶ πιστοῖς τοῦ ἔθνους ἡμῶν ἔγνωσται. διὸ καὶ ἐμοὶ ὡς ἄρχοντι καὶ διδασκάλῳ τοῦ ἔθνους τῶν Ἰουδαίων ἀπεκαλύφθη. οὐ μόνον γὰρ ἐκ τοῦ νόμου καὶ τῶν προφητῶν πεπληροφορήμεθα, ὅτι ὁ ὑφ' ὑμῶν τῶν Χριστιανῶν προσκυνούμενος Χριστὸς αὐτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ὁ ἐπὶ σωτηρίᾳ τοῦ κόσμου ἐλθών

6 εἰ alt. om. V 12 διατριβούσης] μου add. V 24 τοῦ om. V 25 σου G V M (I) om. V 27 ὅτι ex V solo

ἐπὶ τῆς γῆς, ἀλλὰ καὶ ἐκ τῆς ἀπογραφῆς, ἥτις καὶ σέσωσται μέχρι τῆς σήμερον καὶ ἀπόκειται ἐν Τιβεριάδι. ταῦτα ἀκούσας ὁ Χριστιανὸς παρὰ τοῦ Ἰουδαίου πρὸς αὐτὸν λελεγμένα, τῷ θείῳ ζήλῳ κινηθεὶς ἔλεγε τῷ Ἰουδαίῳ, ὅτι εὐθὺς καὶ παραχρῆμα ἀναφέρω τῷ πιστῷ καὶ εὐσεβεῖ βασιλεῖ τὰ ὑπὸ σοῦ λεγόμενα, ἵνα πέμψῃ ἐν Τιβεριάδι καὶ φανερώσῃ τὸν κώδικα, ὃν λέγεις, εἰς ἔλεγχον τῆς ἀπιστίας τῶν Ἰουδαίων. ὁ δὲ Ἰουδαῖος πρὸς τὸν Χριστιανὸν ἔλεγε· τί θέλεις κρίμα τῇ ἑαυτοῦ ψυχῇ προσαγαγεῖν καὶ ἀναγαγεῖν τῷ βασιλεῖ καὶ μὴ τυχεῖν τοῦ σπουδαζομένου; εἰ γάρ τι τοιοῦτον γένηται, πόλεμος μέγας μέλλει συνίστασθαι, καὶ φόνοι παρακολουθήσουσι· καὶ τότε, ἐὰν ἴδωσιν ἑαυτοὺς καταπονουμένους, ἐμπρήσουσι τὸν τόπον, ἐν ᾧ ἀπόκειται ὁ κῶδιξ, καὶ μάτην κοπιῶμεν τοῦ σπουδαζομένου ἡμῖν μὴ κατορθουμένου, μόνον ἐκχύσεως αἱμάτων πρόξενοι γενόμενοι. ταῦτα γὰρ ὡς γνησίῳ φίλῳ φανερὰ πεποίηκα τῇ σῇ ἀγάπῃ, ἵνα πιστώσω σε, ὅτι οὐκ ἐξ ἀγνοίας παραιτοῦμαι τὸν Χριστιανισμόν, ἀλλ' ἐκ κενῆς δόξης. ταῦτα ἀκούσας παρὰ τοῦ Ἰουδαίου ὁ Χριστιανὸς καὶ ἀληθῆ εἶναι πιστεύσας τὰ λεγόμενα παρ' αὐτοῦ, τῷ μὲν πιστῷ βασιλεῖ Ἰουστινιανῷ τὸν τοιοῦτον λόγον οὐκ ἐγνώρισεν, ἵνα μὴ τῷ θείῳ ζήλῳ ὁ πιστὸς ἐκεῖνος καὶ μέγας βασιλεὺς κινούμενος ἔκχυσιν αἱμάτων παρασκευάσῃ γενέσθαι, καὶ τότε μηδὲ τοῦ σπουδαζομένου κατορθωθέντος· πολλοῖς δὲ τῶν γνωρίμων καὶ φίλων τὸν λόγον τοῦτον ἐποίησε δῆλον· ὃν ἡμεῖς παρὰ τῶν ἀκουσάντων ὑπὸ τοῦ προεξονομασθέντος Φιλίππου τοῦ ἀργυροπράτου μεμαθηκότες φροντίδα οὐ μικρὰν ἐθέμεθα, γνῶναι βουλόμενοι, εἰ ἄρα ἀληθῶς τοὺς λόγους τούτους ὁ Ἰουδαῖος εἴρηκε περὶ τῆς τοιαύτης ἀπογραφῆς. εὕρομεν οὖν Ἰώσηπον, τὸν συγγραφέα τῆς ἁλώσεως Ἱεροσολύμων, οὗ μνήμην πολλὴν Εὐσέβιος ὁ Παμφίλου ἐν τῇ ἐκκλησιαστικῇ αὐτοῦ ἱστορίᾳ ποιεῖται, φανερῶς λέγοντα ἐν τοῖς τῆς αἰχμαλωσίας αὐταῦ ὑπομνήμασιν, ὅτι Ἰησοῦς ἐν τῷ ἱερῷ μετὰ τῶν ἱερέων ἠγίαζε. τοῦτο οὖν εὑρόντες λέγοντα τὸν Ἰώσηπον, ἄνδρα ἀρχαῖον ὄντα καὶ οὐ μετὰ πολὺν χρόνον τῶν ἀποστόλων γενόμενον, ἐζητήσαμεν εὑρεῖν καὶ ἐκ τῶν θεοπνεύστων γραφῶν τὸν τοιοῦτον λόγον βεβαιούμενον. εὕρομεν οὖν ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ, ὅτι εἰσῆλθεν ὁ Ἰησοῦς ἐν τῇ συναγωγῇ τῶν Ἰουδαίων καὶ ἐδόθη αὐτῷ βιβλίον καὶ ἀνέγνω Ἡσαΐαν τὸν προφήτην λέγοντα· πνεῦμα κυρίου ἐπ' ἐμέ· οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με. ἀνελογισάμεθα δέ, ὅτι εἰ μὴ τάξιν τινὰ λειτουργικὴν παρὰ τοῖς Ἰουδαίοις εἶχεν ὁ Χριστὸς Ἰησοῦς, οὐκ ἂν ἐν τῇ συναγωγῇ ἐδόθη αὐτῷ βιβλίον ἀναγνῶναι εἰς ἀκοὰς τοῦ λαοῦ· οὐδὲ γὰρ παρ' ἡμῖν τοῖς Χριστιανοῖς ἐπ' ἐκκλησίας ἔξεστί τινα ἀναγνῶναι τῷ λαῷ βίβλους τῶν θεοπνεύστων γραφῶν, εἰ μή τις ἐν κλήρῳ καταλέγηται. καὶ ἐκ τῶν ὑπὸ Ἰωσήπου γραφέντων καὶ ἐκ τῶν ὑπὸ τοῦ εὐαγγελιστοῦ Λουκᾶ ἱστορηθέντων ἔγνωμεν, ὅτι Θεοδόσιος ὁ Ἰουδαῖος τὸ προλεχθὲν διήγημα εἰπὼν τῷ

GVM(J) 1 τῆς pr. om. V 4 ἀναφέρει, ει in οι corr., V cp. M 7 λέγει G om. I 19. 20 καὶ τότε] καὶ ταῦτα ap. Vassiliev p. 71 καίτοιγε Bhd. 40 ὑπὸ om. VI

μνημονευθέντι Φιλίππῳ τῷ ἀργυροπράτῃ οὐκ ἐπλάκατο· τοῦτο, ἀλλ' ἀληθῶς ὡς γνησίῳ φίλῳ τῷ Φιλίππῳ τὸ παρὰ Ἰουδαίοις ἀποκεκρυμμένον μυστήριον ἐθάρρησεν. ὁ δὲ Χρυσόστομος οὐδ' ὅλως παραδέχεται τὴν ἱερωσύνην ταύτην ἐπὶ Χριστοῦ.

230 Ἰητήρ: ὁ ἰατρός. καὶ Ἰητρός. Δ

231 Ἰθαγενής: αὐτόχθων, γνήσιος παῖς. ὁ ἰθὺ καὶ ἀδιάστροφον ἔχων τὸ γένος. Ἀγαθίας· τοὺς γοῦν ἐκ παλαιοῦ οἰκήτορας καὶ ἰθαγενεῖς ἀνέκαθεν ἡγεμόνας τὴν γῆν ἀνακομίσασθαι. Σ + Hdt. Ecl. E

232 Ἰθάκη: πόλις. καὶ Ἰθακήσιος, ὁ πολίτης. Δ

233 Ἴθακος: ὄνομα κύριον. Δ

234 Ἰθάμαρ: ὄνομα κύριον. Δ

235 Ἰθαιγενής: ἀντὶ τοῦ ἐνταῦθα γεννηθείς. Δ

236 Ἰθαιμένεος: ὄνομα κύριον. Δ

237 Ἰθέως: ὀρθῶς. Σ

238 Ἰθεῖα: εὐθεῖα, ὀρθή. οὐ γὰρ ἀφαυρῶς ἐκ Διὸς ἰθείης οἶδε τάλαντα δίκης. Δ Anth.

239 Ἴθι: ἔρχου, ἢ πορεύου. Ἀριστοφάνης Νεφέλαις· ἴθ' ἀντιβολῶ σε. πορεύου. νῦν δὲ πείσθητί μοι. ἀντιβολῶ σε, παρακαλῶ σε, Ἀττικῶς. ὁ αὐτὸς ἐν Βατράχοις· ἴθι νῦν, ἐπειδὴ λληματιᾷς. ἀντὶ τοῦ ἄγε. συνωνυμεῖ γὰρ τῷ δεῦρο. σημαίνει καὶ τὸ ἄγε. Σ Ar.

240 Ἴθματα: ἴχνη, βήματα, δικαιώματα, ὁρμάς. τὸ δὲ εἴνηπι διεκρίθη ὑπὸ τοῦ λεγομένου ἠθμοῦ. Σ

241 Ἴθορος: παροιμιῶδες, ἐπὶ τῶν παρακελευομένων. Σ

242 Ἴθρις: ὁ ἐκτομίας. οὗ ἡ ἰσχὺς τεθέρισται· καὶ ζήτει ἐν τῷ ἄρρεν. | Suid.

243 Ἰθώμη: ὄνομα πόλεως. Δ

230 = Ambr. 181; — ἰατρός = sch. Δ 190, H 231 — γνήσιος = P, Ba 260, 29, H, Et. Gen., Et. M. 470, 1; αὐτόχθων = Ambr. 195. γνήσιος παῖς gl. Hdt. 6, 53 = Et. M. 471, 2; An. Ox. 2, 451, 10; sch. Ξ 203, H ὁ—γένος = An. Ox. 2, 451, 8, ex quo Et. Gen., Et. M. 470, 1 τοὺς sq. Agath. 1, 20, p. 56, 20 232 cf. Et. M. 470, 6; — πόλις cf. Ambr. 205 = Ps. Herodian. 46. Ἰθακήσιος cf. Ambr. 200—1, Ps. Herodian. 46 233 = Ambr. 197 234 = Ambr. 199 235 cf. Et. M. 470, 4; l. cf. Ambr. 195 236 cf. L, Eust. in O. 1758, 20 237 = P, Ba 260, 30, H 238 — εὐθεῖα = Ambr. 206, Ps. Herodian. 46. ὀρθή = H οὐ sq. Anth. 6, 267, 3—4 239 — πορεύου pr. = P, Ba 260, 31 cf. H, sch. B 8, Et. M. 476, 36 ἴθ'—Ἀττικῶς Ar. Nu. 110 c. sch. vs. 19 ἴθι sq. Ar. Ran. 494 c. sch. 240 — ὁρμάς = P, Σ^{a} cf. Ba 260, 32, H, sch. Ε 778; Ambr. 207 = Ap. S. 90, 18 τὸ sq. Artem. 5, 5 241 = P 242 — ἐκτομίας cf. Ambr. 196, Et. M.^{a} 470, 1 243 = Ambr. 204, Lex. de sp. cf. Et. M. 470, 8

230 cf. 62 233 Z 1097 234 Z 1098 235—6 Z 1097 237 Z 1099 238 cf. 245 et v. A 4566. Z 1098 239 Z 1099 240 Z 1098. Artem. cf. vv. Δ 605 et H 155 242 οὗ sq. ex v. A 3822

3 ὁ—4 Χριστοῦ mg. GVM om. FI; ad initium 229 ἀναιρεῖται ἡ ἱστορία παρὰ τοῦ Χρυ(σοστ)όμ(ου) mg. M FGVM(IT 6 ὁ—8 ἀνακομίσασθαι om. F 12 Ἰθαιγεννής F Ἰθαγενής IV 13 Ἰθαιμένεως GM^{ac}I Ἰθεμαίνεος V ὄνομα κύριον ex F solo 15 οὐ—16 δίκης om. F 17 Ἀριστοφάνης—20 ἄγε om. FT 21 Ἴθμιτα V cp. IM τὸ—22 ἠθμοῦ om. F 22 ἰθμοῦ I 23 Ἴθωρος F 242 ex mg. VM 24 Ἴθρις v. A 3822, Ambr. Et. Hes.: Ἄθρις VM ζήτει M: ἔστιν V

Δ 244 Ἰθωμήτης: ὄνομα κύριον.

Σ+Δ 245 Ἰθὺ καὶ Ἴθὺς καὶ Ἰθεῖα: ἐπ' εὐθείας. Ἡρόδοτος· ἐκ μὲν Ε δὴ τῆς ἰθείας στρατὸν ἐπ' αὐτὸν οὐκ ἐδόκεε πέμπειν, ἅτε οἰδεόντων ἔτι τῶν πραγμάτων. ἀντὶ τοῦ ἐκ τοῦ προφανοῦς, παρευθύ.

Σ 246 Ἰθύνει· αἰτιατικῇ. διοικεῖ, κατευθύνει, ὀρθοῖ.

Σ 247 Ἰθυντήρ: ὁδηγός, κυβερνήτης, χαλινός, πηδάλιον.

Σ 248 Ἴθυσεν: ἐπ' εὐθείας ὥρμησεν.

Σ 249 Ἰθυτενές: εἰς εὐθεῖαν τεταμένον.

Σ 250 Ἰθύφαλλοι: οἱ ἔφοροι Διονύσου καὶ ἀκολουθοῦντες τῷ φαλλῷ, γυναικείαν στολὴν ἔχοντες. λέγεται δὲ φαλλὸς ὁτὲ μὲν τὸ ἐντεταμένον αἰδοῖον, καὶ ποιήματα δὲ καλεῖσθαι, ἃ ἐπὶ τῷ ἱσταμένῳ φαλλῷ ᾄδεται μετ' ὀρχήσεως.

Greg. 251 Ἰθύφαλλοι: οἱ εἰς τοὺς μηροὺς μόνον, οὐχὶ δὲ καὶ ἐν τοῖς τραχήλοις ἐπ' εὐθείας δεσμούμενοι, ἐξ ἐρυθρῶν δερμάτων. εἴρηται ἐν τῷ περὶ φαλλοῦ.

Σ 252 Ἵκανε: παρεγένετο.

Ar. 253 Ἱκανός: ὁ ἀρκῶν. ὁ γὰρ ἱκάνων, ὅ ἐστι παραγινόμενος, ἥρκεσε πρὸς τὴν ὁδόν. Ἀριστοφάνης Πλούτῳ· ἱκανοὺς νομίζεις δῆτα θανάτους εἴκοσι; καὶ Ἱκανός, ὁ θεός.

Synt. 254 Ἱκανῶς ἔχω· γενικῇ.

Harp. 255 Ἰκαριεύς: δῆμος φυλῆς τῆς Αἰγηΐδος.

Δ 256 Ἰκάριος: ὄνομα κύριον.

Δ 257 Ἴκαρος: ὄνομα κύριον.

Δ 258 Ἱκεσία: ἡ ἱκέτευσις.

Δ 259 Ἱκέσιος: ὁ ἱκέτης.

Σ 260 Ἱκέσθην: παρεγένοντο.

Δ 261 Ἱκετάονος: ὄνομα κύριον.

244 = Ambr. 198 245 — ἐπ' εὐθείας praeter καὶ Ἰθεῖα = P, Σ^{a}, Et. M. 470, 11 cf. Ba 260, 33, H, Ap. S. 90, 26, sch. M 124, Ps. Herodian. 46 (Philol. 74, 238, 21) ἐκ—πραγμάτων Hdt. 3, 127, 1 246 διοικεῖ—ὀρθοῖ = P, Ba 261, 1 cf. sch. Ε 290 247 = P, Ba 261, 2 cf. H 248 = P, Ba 261, 3 cf. Et. Gen. = Et. M. 470, 14; H, sch. Z 2 249 = P, Ba 261, 4, H 250 cf. P 1, H porro Harp. = P 2, Et. Gen., Et. M.^{a} 470, 3; Ael. D. fr. 152 ex Eust. O. 1413, 37 251 cf. Nonn. in Greg. Naz. PG 36, 1005a, Et. M.^{a} 470, 9 252 = Ba 261, 5, H, Ap. S. 91, 1, sch. B 17, P cf. Et. Gen. = Et. M. 470, 18 253 — εἴκοσι Ar. Pl. 483 c. sch. 254 = Synt. Gud. 255 Harp. = P 256 = Ambr. 214 257 = Ambr. 217, Ps. Herodian. 46 258 l. = Ambr. 231 259 cf. H, Ambr. 212 260 = P, Ba 261, 7, sch. A 328 cf. Ambr. 238, H 261 l. = Ambr. 218

245 Ἰθεῖα cf. 238. Ἴθὺς cf. v. Εἰ 54. Hdt. cf. v. οἰδοῦσαν 248—9 Z 1099 250 Z 1098 251 cf. v. φαλλοί 2 252 cf. 260, 267, 272 255 Z 1100 256—7 Z 1099 258 Z 1101 260 cf. 252, 267, 272. Ζ 1102

F(GITVM) 1 Ἰθωμίτης F cf. Zon. 1098 Ἰθωμότης GIT 2 καὶ pr. ex F Phot. Σ^{a} Ba Ἡρόδοτος—4 τοῦ pr. om. F 4 τῶν] τὲ V τοῦ alt. om. F 9 εὔφοροι F 10 ὁτὲ μὲν om. F 11 καὶ—12 ὀρχήσεως om. F 14 εἴρηται—15 φαλλοῦ om. T 17 παραγενόμενος GI 18 Ἀριστοφάνης—19 θεός om. F 254 om. FT 20 γενικῇ om. G

262 Ἱκέτευμα: τὸ δουλοπρεπῶς παρακαλεῖν καὶ ἱκετεύειν. ὁ δὲ Αὔγαρος ἀπήντησε Τραϊανῷ προσιόντι καὶ συγγνώμης ἔτυχεν· ὁ γὰρ EL
παῖς λαμπρόν οἱ ἱκέτευμα ἦν.

263 Ἱκετεύω· αἰτιατικῇ. Synt.

264 Ἱκετεία, ἡ ἱκεσία. Ἱκετεία δὲ ἱκετηρίας διαφέρει. ἱκετεία Δ
μέν ἐστιν ἣν ποιεῖταί τις διὰ τῶν λόγων, ὅταν δέηται συγγνώμης Rhet.
τυχεῖν ἢ ἐλέους. Ἀντιφῶν· περὶ τοῦ μὴ ἐλεεῖν ὑμᾶς ἐμὲ ἐδεήθη
δείσας, μὴ ἐγὼ δάκρυσι καὶ ἱκετείαις πειρῶμαι ὑμᾶς ἀναπείθειν. ἱκε-
τηρία δέ ἐστιν, ἣν οἱ δεόμενοι κατατίθενταί που ἢ μετὰ χεῖρας
ἔχουσιν.

265 Ἱκετηρία: ὁ θαλλὸς τῆς ἐλαίας. ὁ δὲ Αἰσχίνης ἐν τῇ Ἀπο-
λογίᾳ. ἱκετηρία καλεῖται ἐλαίας κλάδος, στέμματι ἐστεμμένος. Harp.

266 Ἱκέτης: ὁ δουλοπρεπῶς παρακαλῶν καὶ δεόμενος περί τινος
ὁτουοῦν.

267 Ἱκέτω: παραγενέσθω. Σ

268 Ἱκμάζω: ὑγραίνω. καὶ Ἱκμάς, ἡ ὑγρασία. Δ

269 Ἵκμενον: πορευτικὸν ἄνεμον. Δ

270 Ἱκνοῦμαι: ἔρχομαι, ἱκετεύω. καὶ Ἱκνούμενος, παρακαλῶν. Σ

271 Ἰκόνιον: ὄνομα πόλεως. καὶ Ἰκονιαῖος. Δ

272 Ἵκοντο: παρεγένοντο. Σ

273 Ἵκου: ἐλθέ. ἀλλ', ὦ ταλαίπωρ' Οἰδίπους, κλύων ἐμοῦ ἵκου πρὸς Soph.
οἴκους.

274 Ἵκω: καταλαμβάνω. Δ

275 Ἱκρία: ὀρθὰ ξύλα, ἢ σανιδώματα τῆς νηός. καὶ τὰ τῶν Σ
θεάτρων, ἃ ἦσαν καὶ ἐν ταῖς ἐκκλησίαις· ἐπὶ ξύλων γὰρ ἐκάθηντο. Ar.
πρὶν γένηται τὸ θέατρον, ξύλα ἐδέσμευον καὶ οὕτως ἐθεώρουν. Ἀρι-
στοφάνης Θεσμοφοριαζούσαις· ὥστ' εὐθὺς εἰσιόντες ἀπὸ τῶν ἱκρίων
ὑποβλέπουσ' ἡμᾶς. προβλήματα δὲ ξύλων κατὰ τῶν ἡμιτελέστων E
ἐφίσταν καὶ ἵκρια προσπήξαντες διαβάσεις παρὰ σφᾶς ἐμηχανῶντο.

262 ὁ pr. sq. Cass. D. 68, 21, 2 = EL 430, 8—10 263 = Synt. Gud., An. Ox. 4, 294, 31 cf. Synt. Laur. 264 — ἱκεσία cf. Bk. 100, 6, Ludw. 53, 32; l. = Ambr. 229 Ἱκετεία sec. sq. cf. Bk. 267, 15; 190, 10; Antiph. fr. 137 265 l. = Ambr. 230 Αἰσχίνης (2, 15) sq. Harp. = P cf. sch. Ar. Pl. 383 267 = P, Ba 261, 8 268 — ὑγραίνω = Ps. Herodian. 46; l. = L Ἰκμάς sq. = Ambr. 226, Ps. Herodian. 46 cf. Et. M. 470, 67, H, sch. P 392 269 cf. Et. M. 470, 30 et 75, Ambr. 233, sch. A 479, H 270 = P, Σ^{a} cf. H, sch. Ξ 260 271 cf. Ambr. 234 et 222, Lex. de sp., Et. M. 470, 45 272 = P, Σ^{a} cf. H 273 Soph. OC 740—1 c. sch. 274 = Lex. de sp. cf. Et. M. 470, 55, Ambr. 237 275 — νηός = P, Ba 261, 9 cf. Ambr. 235 (= Ps. Herodian. 46) et 232, Et. M. 470, 33, H, sch. ε 163 vs. 24 τὰ—28 ἡμᾶς Ar. Th. 395—6 c. sch.

262 cf. 266 266 cf. 262 267 cf. 252, 260, 272 270 Z 1102 271 Z 1101 272 cf. 252, 260, 267 275 Z 1101

1 ὁ—3 ἦν om. FT 6 ἦν—λόγων om. F 7 Ἀντιφῶν—8 ἀναπείθειν FGIV(TM) om. FT 7 μὴ ex V solo 9 ἐστιν et οἱ om F 11 ὁ alt.—Ἀπολογίᾳ om. F; ὁ δὲ om. Harp. Phot. 12 στέμματι om. F 21 ἀλλ'—22 οἴκους om. FT 24 καὶ—29 ἐμηχανῶντο om. F 25 καὶ om. V Zon.

Δ 276 **Ἴκριον.** ἱκρίῳ Ἰουδαῖοι τὸν σωτῆρα προσήλωσαν. ἴκριον
Ε γὰρ ἐπὶ τοῦ τάφου κεῖσθαι τοῦ κενοταφίου. Θουκυδίδης. γνώρισμα
ἐπιχώριον καὶ νόμιμον Ἀττικὸν τῶν ἐπὶ δυστυχίᾳ τετελευτηκότων καὶ
μὴ ἐν Ἀθήναις ταφέντων.

|Σ 277 **Ἴκταρ:** πλησίον. ἐγγύς· εἴρηται δὲ παρὰ τὸ ἐφικνεῖσθαι. καὶ
Prov. παροιμία· οὐδ' ἴκταρ βάλλει. εἴρηται δὲ κατὰ γλῶτταν ὥσπερ τὸ διω-
Suid. λύγιον.

Phil. 278 **Ἱκτεριᾶν·** ὅτι τοῖς ἱκτεριῶσι πᾶς χυμὸς δοκεῖ πικρὸς εἶναι διὰ
τὸ τὴν ὑγρότητα τὴν περὶ τὴν γλῶτταν τοῦτον ἔχειν τὸν χυμόν, οὗ
πρῶτον γευομένη οὐκ ἀντιλαμβάνεται τῶν προσφερομένων. ζητήσειε
δ' ἄν τις· εἰ πικρὸς ὁ περὶ τὴν γλῶτταν χυμός, ἔδει, ὁπηνίκα προσφέ-
ρεται τὸ μέλι, ἧττον δοκεῖν πικρὸν εἶναι, ἐμμιγμένου τοῦ γλυκέος καὶ
κολάζοντος τὴν ἀμετρίαν τοῦ πικροῦ· νῦν δέ, ὅταν προσφέρηται τὸ
γλυκύ, τότε τῆς πικρίας μᾶλλον ἀντιλαμβάνεται. ἀλλὰ διὰ τὸ ἠρεμεῖν
πρὸ τούτου τὴν αἴσθησιν οὐκ ἀντιλαμβάνεται τοῦ περὶ αὐτὴν χυμοῦ·
ἐπεὶ ἐὰν μηδενὸς προσενεχθέντος κινηθῇ, μᾶλλον αἰσθήσεται τῆς πικρό-
τητος. ὥσπερ οὖν ὁ ὑγρὰν ἔχων τὴν γλῶτταν ἧττον αἰσθάνεται, οὕτω
καὶ ὁ ἄγαν ξηράν· δεῖ γὰρ παθεῖν τι τὸ αἰσθητήριον ὑπὸ τοῦ γευστοῦ,
ὑγροῦ ὄντος. τὸ δὲ ἄγαν ξηρὸν ἧττον πάσχει ὑπὸ τοῦ ὑγροῦ καὶ διὰ
πλείονος χρόνου. δηλοῦσι δὲ αἱ κατεξηραμέναι τῶν βυρσῶν ἐπὶ πολὺν
χρόνον μὴ πάσχουσαι ὑπὸ τοῦ ὑγροῦ.

279 **Ἴκτερος:** νόσος ἐκ χολῆς συνισταμένη. τοὺς ἰκτέρῳ χρωσθέν-
τας ὥσπερ χρυσίῳ. λέγουσι δὲ εἶναι πόνον ὠχροειδῆ ἀπὸ θυμοῦ
Σ ἐγειρόμενον ὥστε τοὺς ὀφθαλμοὺς τῶν κεκρατημένων ὠχροὺς καὶ
Suid. μέλανας ποιεῖν, ὡς καὶ τῶν ἰκτίνων, ἀφ' οὗ καὶ καλεῖται. ὅτι οἱ
ἰκτεριῶντες ῥᾷον ἀπαλλάττονται πρὸς ὄρνιν τὸν χαραδριὸν ἀποβλέψαντες. καὶ
ζήτει ἐν τῷ χαραδριός.

Soph. 280 **Ἱκτῆρας:** ἱκετευτικούς. ἵσταθε, τούσδ' ἄραντες ἱκτῆρας κλάδους.

276 l. cf. Ambr. 235 vs. 1 ἴκριον sq. Marcell. c. 31 cf. de Boor, Byz. Zt. 23, 108 (vereor ut recte) 277 ἐγγύς—ἐφικνεῖσθαι Tim. = P cf. sch. Pl. Rep. 575 c, H, Et. M. 470, 90, Erotian. 46, 19; ἐγγύς = L cf. Moer. 199, 14, Erotian. 46, 20, sch. Luc. 202, 1, Zen. V 55 οὐδ' ἴκταρ βάλλει cf. Zen. V 55; Et. Gen. = Et. M. 470, 95, sch. Pl. Rep. 575 c 278 Philop. 406, 8—21 279 — συνισταμένη Artem. 1, 31 (app. ad p. 33, 6); — νόσος = L τοὺς—χρυσίῳ fort. Pisid. λέγουσι—καλεῖται = P, Ba 261, 10 cf. H 280 Soph. OT 143 c. sch.

277 Z 1102. εἴρηται sq. ex v. οὐδ' ἴκταρ 279 ὅτι sq. ex v. χαραδριός

FGVM(IT) 1 ἴκριον alt.—4 ταφέντων om. FT 3 δυστυχίας V 5 καὶ—6. 7 διωλύγιον om. F 6 εἴρηται—διωλύγιον om. T Zon. 278 om. T 8 διὰ—21 ὑγροῦ om. F 12 τὸ] τῷ V δοκεῖ GIM ἐμμεμιγμένου V 13 τὸ GM: τῷ IV 14 ἀλλά—15 ἀντιλαμβάνεται om. V 20 κατεξηραμέναι I 22 τοὺς—27 χαραδριός] καὶ ἰκτεριῶ T 22 τοὺς—25 ὡς] γίνονται δέ οἱ ὀφθαλμοὶ τῶν κεκρατιμένων ὀχροὶ καὶ μέλανες καὶ ἡ ὄψις ὥσπερ χρυσίῳ ὥσπερ F 22 ἰκτερίῳ V 25 καὶ alt. om. F ὅτι—27 χαραδριός om. F 26 ῥᾷον ex V, v. χαραδριός ζήτει] ἔστιν V 280 post 281 V 28 ἱκετικούς FV τούσδ'—κλάδους om. F

281 Ἴκτις, ἴκτιδος. εἶδος ζῴου, ὡς οἱ κάστορες. ἢ ἔνυδρόν Δ Ar.
ἐστιν, ἰχθυοφάγον. καὶ Κτιδέα, τὸ τοῦ αἰλούρου δέρμα. Δ
282 Ἴκτινα: ὄνομα κύριον. Δ
283 Ἴκτινος: εἶδος ὄρνιθος ἁρπακτικοῦ ἐν ἔαρι φαινομένου. καὶ Ar.
παροιμία· προκυλινδεῖσθαι ἰκτίνοις. ἔαρος γὰρ ἀρχομένου ἴκτινος φαίνεται· ἐφ' ᾧ ἡδόμενοι ἐκυλινδοῦντο, ὡς ἐπὶ γόνυ πίπτοντες εἰς βασιλέα· ἴδιον γὰρ βασιλέων τὸ ἐξ ἀνθρώπων γονυπετεῖσθαι. ἢ ὅτι τὸ διὰ μεταβολῆς καιροῦ γινόμενον εἰς βασιλικὴν ἐπέτρεψε τιμήν· οἱ γὰρ ἴκτινοι τὸ ἔαρ σημαίνουσιν. οἱ πένητες οὖν ἀπαλλαγέντες χειμῶνος προεκυλινδοῦντο καὶ προσεκύνουν αὐτούς.
284 Ἴκτινος: εἶδος ὀρνέου. οὐ γὰρ οἶμαι ῥᾴδιον ἐν γήρᾳ μετα- Δ
τιθεμένῳ διαφυγεῖν τὸν λεγόμενον ὑπὲρ τοῦ ἰκτίνου μῦθον· ὃς ὄρνις ὤν, ἐπιθέμενος τῷ χρεμετίζειν ἀμφοῖν ἁμαρτεῖν, ἀγροικίας τε ἅμα καὶ δεξιότητος.
285 Ἱλλάδες: οἱ δεσμοί. Σ
286 Ἱλαδόν: ἐν ἀθροίσει, κατὰ ἴλας. δηλοῖ δὲ καὶ τὸ δασύ. Σ
287 Ἵλαθι: ἵλεως ἔσο.
288 Ἵλαος: ὁ ἵλεως, καὶ εὐμενής. Δ
289 Ἱλαπινάζω: εὐωχοῦμαι. Σ
290 Ἱλαπίνας: θυσίας, ἑορτάς, εὐωχίας. Σ
291 Ἱλάριος, Ἀντιοχεύς, τῆς ἐν Συρίᾳ πόλεως, ἐν τῷ βουλευτηρίῳ τὰ πρωτεῖα φέρων· ἐπιεικὴς δὲ τὴν φύσιν ὢν καὶ φιλομαθὴς καὶ προσέτι ὀξὺς ἐν τοῖς λόγοις καὶ βιβλίων παντοδαπῶν εὐπορώτατος, ὅμως ὀψιμαθὴς ἐγεγόνει λόγων φιλοσόφων. πολιτεύεσθαι γὰρ ἀναγκαζόμενος τὰ κοινὰ πολιτεύματα τῆς πατρίδος οὐδεμίαν εἶχε σχολὴν πρὸς φιλοσοφίαν. ἐνῆν δὲ αὐτῷ δυσάγωγον ἦθος ἐν τῇ νεότητι πρὸς σωφροσύνην· ὥστε καὶ τοῦτο πολλὴν ἀσχολίαν παρείχετό οἱ πρὸς καλλίω βίον. ἀλλὰ γὰρ ἡ τύχη σοφώτερον τούτῳ κατέστη καὶ ὁ καιρός, ἅμα παρηκούσης ἤδη τῆς ἀκρατοῦς ἡλικίας. ἀτύχημα γάρ τι συνέβη κατὰ τὸν οἶκον, ὅπερ εὐτύχημα ἀπέβη κατὰ τὸ ἀληθέστερον· ἡ γὰρ γυνὴ αὐτοῦ τῶν οἰκείων τινὶ συμφθειρομένη κατείληπτο. ὁ οὖν

281 — ζῴου cf. Ambr. 213 εἶδος—ἰχθυοφάγον sch. Ar. Ach. 880 Κτιδέα sq. cf. Ambr. 227 282 = Ambr. 228 283 sch. Ar. Av. 501; ἁρπακτικοῦ cf. sch. Luc. 119, 1 284 οὐ sq. Iul. Misop. 366a 285 = Tim. s. v. γῆν 286 = P, Ba 261, 14; — ἴλας = Ap. S. 91, 2 cf. sch. B 93 = Ambr. 285, Et. M. 470, 113 287 l. Theocr. 15. 43 288 cf. Ambr. 243, sch. A 583, Et. M. 470, 115, Lex. de sp., H v. ἱλάως 289 = P, Σ^a cf. Ba 261, 16 290 = P, Ba 261, 17 cf. H 291 Dam. fr. 266 cf. Phot. Bibl. 351a 10 sq.

281 Z 1100 283 cf. v. προκυλινδεῖσθαι. Z 1100 285 cf. 298 et v. Γ 240. Z 1104 286 Z 1106 287 Z 1105 288 cf. 307 289 cf. v. Εἰ 96 290 cf. v. Εἰ 97

2 Ἰκτιδέα V Zon. Ambr. 4 καὶ—15 δεσμοί om. F 7 ἴδιον] inc. A^1F(GITVM) rursus A βασιλέως T, v. προκυλινδεῖσθαι, βασιλεῖ I cp. G 10 αὐτούς A: αὐτοῖς rell. 12 ὑπὲρ A: ὑπὸ rell. 285 post 286 V 21 βουλευτικῷ V 22 ἐπιεικὴς—p. 630, 14 Πρόκλειον om. F 25 εἶχε A: εἶγε V ἦγε GIM 27 ἀσχολὴν V 28 σοφώτερον] participium quodpiam requirit, ex quo pendeat, velut βουλεύουσα Bhd. 29 τι super ἀτύχημα A

οἰκοφθόρος τὸ ἐπιτήδευμα ῥήτωρ ἐγεγόνει, Μόσχος δὲ ὄνομα. τυγχάνων δὲ τοῦ Ἱλαρίου τινὸς εὐνοίας καὶ οἰκειότητος ἄδικος ἐφάνη περὶ τὸν εὐεργέτην· ἑάλω γὰρ συνὼν τῇ γυναικί. καὶ δς οὐδὲν ταραχθεὶς ἐπὶ τῇ συμφορᾷ πρᾶγμα ἐποίησεν ἀνδρείας τε καὶ φρονήσεως ἐχόμενον. τὸν γὰρ ἄνδρα παραλαβὼν ἐξέστη μὲν αὐτῷ τῆς γυναικός, ἐξέστη δὲ τοῦ σφετέρου κλήρου, ἐφ' ᾧ τε κατὰ τὸν νόμον ἐκεῖνον βουλεύειν· αὐτὸς δέ, καὶ γὰρ ἄπαιδα βίον τῇ γυναικὶ συμβεβίωκεν, ἀπολιπὼν τὴν πατρίδα μετεσκευάσατο τὸν βίον πρὸς τοὺς φιλοσόφους, εἰς Καρίαν τε καὶ Λυδίαν μεταναστάς. Ἀθήναζε γὰρ ἀφικόμενος ἠβούλετο τοῦ Πρόκλου ἀκροάσασθαι καὶ λόγων φιλοσόφων. ὡς δὲ οὐκ ἤνεγκεν αὐτοῦ τὴν τρυφὴν ὁ Πρόκλος, ἀκηκοὼς αὐτὸν ἐληλυθέναι μετὰ τῶν παλλακίδων καὶ τῆς συνήθους ἔτι ἐκδιαιτήσεως, ἀναχωρήσας Ἀθήνηθεν ὁ Ἱλάριος ἄλλον μετεδίωκε τρόπον ὠφελείας τὸν συμμετρότερον ἢ κατὰ τὸν Πρόκλειον.

Ε 292 Ἱλάριος, ὁ ἐκ Φρυγίας, ἐπὶ Ἰοβιανοῦ βασιλέως Ῥωμαίων. κατὰ παιδείαν μὲν ἦν ἀνὴρ οὐ γνώριμος, κοινωνεῖν δὲ αὐτῷ θεὸς ἐδόκει τῆς κοινωνίας τοῦ μέλλοντος, ὥστε ἦν μάντις ἄριστος.

293 Ἱλαρίων, Ἱλαρίωνος.

Δ 294 Ἱλαρός: εὔχαρις, ἀστεῖος, ἡδύς. Ἀππιανός· σὺν βοῇ ἱλαρᾷ καὶ θορύβῳ χρηστῷ παρέπεμπον αὐτὸν καὶ θαρρεῖν ἐκέλευον. ἐπέπρεπε δὲ αὐτῷ μάλιστα τὸ τῆς ψυχῆς ἱλαρόν.

Ε 295 Ἱλαροῖς· ἀφορῶντες τὴν πόλιν ἱλαροῖς τοῖς προσώποις εὔθυμοι τὴν τελευτὴν προσδέχεσθαι ἔλεγον.

Δ 296 Ἱλαρώτερος: εὐπροσιτότερος.

Σ 297 Ἴλας: ἀγέλας, ἢ τάξεις. καὶ ἱλάρχας, ταξιάρχας. Ἴλη γὰρ
Hdt. συστροφή, τάξις ὄχλου ἱππικοῦ.

Δ 298 Ἱλλάς: τὸ σχοινίον. καὶ Ἱλλάσι, τοῖς δεσμοῖς.

Δ 299 Ἱλάσθητι· δοτικῇ. ἵλεώς μοι γένοιο.

Δ 300 Ἱλάσκεσθαι: ἐξιλεοῦσθαι.

Hom. 301 Ἱλάσκονται: περὶ τὸν αὐτὸν εἱλοῦνται τόπον, ἢ ἐν κύκλῳ πλανῶνται.

292 Eunap. fr. 40, FGH 4, 30 b 293 = Ambr. 256 et 258 294 l. = Ambr. 245 σὺν—ἐκέλευον App. fr. 7 ἐπέπρεπε sq. fort. Dam. 295 Ios. Bell. 6, 364 296 l. cf. Ambr. 260 297 — ταξιάρχας = P, Ba 261, 18 Ἴλη sq. gl. Hdt. 1, 73 298 — σχοινίον = Lex. de sp. cf. sch. BT in N 572; An. Ox. 4, 251, 11 = Seleuc. ap. Et. Gud., ex quo Et. M. 470, 177 Ἱλλάσι sq. sch. N 572 = Et. M. 470, 180 cf. Ambr. 269 299 — δοτικῇ = Synt. Gud., An. Ox. 4, 295, 1; l. = L 300 = Ambr. 279, H, sch. A 386 301 — τόπον = sch. B 470

294 Z 1102 296 cf. Z 1105 297 cf. Σ11 et v. Θ1 99 298 cf. Σ85 299 Z 1105 301 cf. v. H 193

A¹F(GIVM) 1 δὲ om. GIM; Μόσχος, ῥήτωρ, μοιχός mg. add. VM 10 καὶ om. V Bhd. 12 συνήθους A: cp. V συνηθείας GIM 13 τὸν] τὴν M τὸ Bhd. 15 ἐπὶ—17 ἄριστος om. F 17 κοινωνίας om. ed. pr. qui προγνώσεως post μέλλοντος add.; vitio ex κοινωνεῖν orto substantivum in -ίας desinens quaeritur 293 om. F mg. V 19 Ἀππιανός—21 ἱλαρόν om. F 22 εὔθυμοι—23 ἔλεγον om. F 24 εὐπροσιτώτερος I (Zon.) sed cf. v. Ε3667 26 ἱππική GI, gl. Hdt. 27 Ἱλάσι FM 28 δοτικῇ om. F Zon.

302 Ἱλασμός: εὐμένεια, πραότης, συγχώρησις. εἴτε διαλλαγή. Σ Ps.
303 Ἱλαστήριον: θυσιαστήριον. Σ
304 Ἱλεδανοί: οἱ δεσμοί. Δ
305 Ἱλεός: ἡ κατάδυσις τοῦ ὄφεως, ὁ φωλεός. σημαίνει δὲ καὶ Δ
5 ὄνομα νόσου περὶ τοὺς ἵππους γινόμενον. Suid.
306 Ἱλεοῦμαι· αἰτιατικῇ. Syn.
307 Ἵλεω: πρᾶον. καὶ Ἵλεως, τὸ Ἀττικόν, εὐμενής. Δ
308 Ἱλεωτήριον: ἱλαστήριον. Σ
309 Ἱλεύς: ὄνομα κύριον. Δ
10 310 Ἵλλειν: συνέχειν. Σ
311 Ἴλη: σύστημα. συστροφή, τάξις ὄχλου ἱππικοῦ. κυρίως δὲ Soph. Hdt.
φατρία. μία δ' ἐκκλησίας ἀνδρῶν ἴλη. Εὐνάπιος· τότε δὲ ἴλη τῶν Soph.
καταφράκτων ἱππέων ὑπὲρ τοὺς υ' ἐς τοὺς ὀπισθοφύλακας κατερράγη. E
312 Ἱλήκοις: ἵλεως καὶ εὐμενὴς γενοῦ. ἐν Ἐπιγράμμασι· ἱλήκοις, Δ
15 Διόνυσε, τεῆς ἀμέλησα χορείης. Anth.
313 Ἱλιάς: τὸ πλῆθος. Δ
314 Ἱλιὰς κακῶν: ἐπὶ τῶν μεγάλων κακῶν. Prov.
315 Ἱλιβηνοί: ὄνομα ἔθνους. Δ
316 Ἱλιγγιᾷ: ὅταν περὶ τὴν καρδίαν στρόφος γένηται, ἐπακολουθεῖ Ar.
20 σκότος· καὶ τοῦτο καλοῦσι τὸ πάθος ἵλιγγον. ἰστέον ὅτι εἰλιγγιῶ διὰ
διφθόγγου, ἵλιγγος δὲ διὰ τοῦ ι.
317 Ἱλιεύς: ὁ ἀπὸ τῆς Ἰλίου πόλεως. καὶ Ἱλιέων. Δ
318 Ἱλίεια Ἀθηνᾶ: ἡ παρ' Ἱλιεῦσι τιμωμένη. Δ
319 Ἱλλίζω: διανεύω. Δ
25 320 Ἵλιον: ἡ τῆς Φρυγίας πόλις. ὅτε τὰ κατὰ τοὺς Ἀργοναύτας Δ

302 — συγχώρησις = P, Ba 261, 19 cf. H; l. = Ambr. 246 διαλλαγή cf. An. Ox. 2, 452, 7, H 303 = P, Ba 261, 20 cf. H 305 — φωλεός = Ambr. 244 cf. Choer. An. Ox. 2, 220, 31, P, H, sch. Theocr. 15, 9, Lex. de sp. 306 = Synt. Gud. cf Laur. 307 Ἵλεως sq. = Lex. de sp.; τό Ἀττικὸν = Et. M. 470, 133. εὐμενής = Ba 261, 22, Ps. Herodian. 47, Et. M. 470, 115, H, gl. Dionys. PG 4, 26 308 = P 310 = P 311 — σύστημα + κυρίως—vs. 12 Ἴλη Soph. Ai. 1407 c. sch. συστροφή—ἱππικοῦ gl. Hdt. 1, 73 cf. H; Ambr. 270 = Ps. Herodian. 47, Lex. de sp. τότε sq. Eunap. fr. 20, FHG 4, 22 312 — γενοῦ cf. L; H = Lex. de sp.; sch. φ 365; l. = Ambr. 276 Ἱλήκοις sq. Anth. 6, 74, 5 314 = Paroem. ed. Gsf. 59, n. 507 cf. P = Ba 261, 24; Zen. IV 43 315 = L 316 sch. Ar. Ach. 581 cf. P, sch. Luc. 166, 7 317 Ἱλιεύς cf. Ambr. 265. Ἱλιέων = Ambr. 268 318 l. cf. Ambr. 273 319 = Ambr. 284 cf. Et. M. 470, 195 320 πόλις cf. Ambr. 271 ὅτε—p. 632, 2 Γαννυμήδους cf. Malal. 79 sq.; [Io. Antioch.] fr. 15, FHG 4, 548 contulit Patzig, Byz. Zt. 9, 362

302 Z 1103 303 Z 1105 304 cf. vv. Ε 779 et Ει 102. Z 1103 305 cf. v. Ει 110. σημαίνει sq. ex v. τέτανος 1 307 cf. 288 309 Z 1103 310 Z 1106 311 cf. 297 et v. Ει 110. Z 1104 312 Z 1106 313—4 Z 1104 315 Z 1103 316 cf. v. Ει 120. Z 1106 318 Z 1104 320 Z 1105

1 εἴτε διαλλαγή om. F 4 σημαίνει—5 γινόμενον om. F 5 γενόμενον G M^{ac} A^3F(GIVM) γενομένην I γινομένης Port. 11 ἱππικοῦ om. F 12 μία—13 κατερράγη om. F 14 ἱλήκοις alt.—15 χορείης om. F 15 ἀμέλησα] ἤγουν ἠμέλησα ss. V 17 κακῶν pr.] παροιμία add. V et ad mg. A M 19 συστρόφος F 23 Ἱλίεια] Ἱλίει F v. l. Zon. ἡ—τιμωμένη om. F 25 πόλεως FG ὅτε—p. 632, 15 μυθολογήσαντες om. F

ἐπράχθη, τηνικαῦτα παρ' Ἕλλησιν ἐχρημάτιζε καὶ Ἐρυθρὰ Σίβυλλα· κατὰ δὲ τὴν Φρυγῶν χώραν Τρώς, ὁ πατὴρ Ἴλου καὶ Γανυμήδους, ἐβασίλευσε κτίσας τὴν μὲν Τροίαν εἰς ἴδιον ὄνομα, τὸ δὲ Ἴλιον εἰς ὄνομα τοῦ υἱοῦ αὐτοῦ. καὶ πληρώσας τὰς πόλεις πάντας τοὺς τοπάρχας ἐν τοῖς ἐγκαινίοις προετρέψατο δίχα Ταντάλου τοῦ βασιλέως τῆς Θρᾴκης. καὶ μετά τινα χρόνον ἀπέστειλε τὸν υἱὸν αὐτοῦ Γανυμήδην τὸν ἀγαπώμενον ὑπ' αὐτοῦ σφόδρα θυσίαν ἀπάγειν καὶ δῶρα τῷ Εὐρωπαίῳ Διῒ ὑπὲρ εὐχαριστίας, δεδωκὼς αὐτῷ ἄνδρας πεντήκοντα. νομίσας οὖν ὁ Τάνταλος ὅτι κατάσκοπος ἐπέμφθη τῆς αὐτοῦ βασιλείας, ἐκράτησεν αὐτὸν πρὶν ἢ καταλαβεῖν τὸ ἱερόν. καὶ μαθὼν τὴν αἰτίαν ἐθεράπευσεν. ὁ δὲ μικρὸν διατρίψας καὶ νόσῳ πιεσθείς ἐτελεύτα. λυπηθεὶς δὲ ὁ Τάνταλος αὐτὸν μὲν ἔθηκεν ἐν σορῷ, τοὺς δὲ σὺν αὐτῷ ἀπέστειλεν ἀπαγγελοῦντας τῷ πατρὶ τὸν ἐκείνου θάνατον. οἱ δὲ ποιηταὶ ἁρπαγῆναι τὸν Γανυμήδην ὑπὸ τοῦ Διὸς ἔγραψαν, τὸ ὀξὺ τοῦ θανάτου μυθολογήσαντες.

Δ 321 Ἰλισσός: ὄνομα τόπου, καὶ ποταμοῦ.

Δ 322 Ἰλλόμενος: δεσμευόμενος.

Σ + Ar. 323 Ἴλλον: στρεβλόν, στραβόν· ἢ τυφλόν. Ἀριστοφάνης· ἴλλος γένημαι· ὁ δ' οὐδέπω. καὶ τὸ πληθυντικόν Ἴλλοι.

Δ E 324 Ἴλλος: ὄνομα κύριον. ὃς ἦν μάγιστρος Ζήνωνος.

Suid. 325 Ἰλλοῦστον· εὑρὼν δὲ Ἰλλοῦστον φθορέα ἐκρέμασεν ἐπὶ διδύμου ξύλου. τουτέστιν εἰς φοῦρκαν.

Δ 326 Ἰλλώπτειν. ἐν Ἐπιγράμμασι· τῷ γλυκερὸν καὶ θῆλυ κατιλ-

Anth. λώπτοντι Πριήπῳ.

Ar. 327 Ἰλλυριοί: βάρβαροι Θρᾳκικοί, οἱ δὲ Περσίδος αὐτούς φασιν. καί φησιν Ἀριστοφάνης· Ἰλλυριοὶ κεκριγότες. ἀντὶ τοῦ ποιὰν φωνὴν ἀποτελοῦντες. κεκριγότες οὖν διὰ τὴν ἀσάφειαν τῆς φωνῆς αὐτῶν. κρίγη γὰρ ὁ τῶν ἀποθνησκόντων τρισμὸς τοῖς ὀδοῦσι γινόμενος.

Σ Δ 328 Ἰλύς: βόρβορος. καὶ Ἰλύσι τὸ πληθυντικόν.

Σ 329 Ἰλυσπῶντες: συνειλούμενοι. εἰς τέλμα βοῦν ἐμπεσόντα καὶ ἰλυσπώμενον ἕως τεθνάναι.

321 — τόπου = Ambr. 264. ποταμοῦ = Ambr. 263 cf. P 322 = Ambr. 277, Et. M. 470, 180 323 — στραβόν = P, Ba 261, 27 cf. H, Eust. I. 206, 28, Moer. 200, 5. τυφλόν cf. sch. Ar. Th. 846. ἴλλος—οὐδέπω Ar. Th. 846 324 — κύριον = Ambr. 250 ὃς sq. Io. Antioch. vel Malch. 326 l. cf. H τῷ sq. Anth. 5, 199, 3 327 Ar. Av. 1521 c. sch. 328 — βόρβορος = P, Ba 262, 1, Ps. Herodian. 47, Lex. de sp. cf. H v. ἰλύς 329 — συνειλούμενοι = Ba 262, 2, P cf. H vv. ἰλισπῶντες et ἰλυσπᾶσθαι, Moer. 200, 4, Thom. 186, 8, Lex. rhet. (fr. 397 Schwabe) ap. Eust. O. 1413, 33 εἰς sq. cf. Ael. h. a. 8, 14

321 Z 1103 323—4 Z 1103 325 ex v. Δ 870 327 cf. v. K 1267. Z 1103 328 Z 1105

A²F(GIVM) 1 Ἐρυθρὰ] Ἐρυθραῖα e Malal. Kust. 3 δὲ om GIM Ἴλιον] καὶ add. GI 4 τὴν πόλιν V 8 Εὐρῶπι GIVM 16 ποταμὸς F 18 Ἀριστοφάνης— 19 οὐδέπω om. F 20 μάγιστρος A: cp.VM μαθητὴς F om. GI 325 om. F 23 Ἰλλώπειν GVM cf. Ambr. 282, v. A 4162 γλυκερῷ F 23. 24 κατιλλώπτοντι Πριήπῳ om. F 26 καί—28 γινόμενος om. F

330 Ἰλυοῖσι: ταῖς καταδύσεσιν. ἕρπετὰ δ' ἰλυοῖσιν ἐνέκρυφεν. Call.
331 Ἰμᾶν καὶ Ἰμεῖν: ἀντλεῖν· ἀνέλκειν, ἀναςπᾶν. Σ
332 Ἰμάντες: λῶροι, δεσμοί. ἱμάντι τε πολλῷ ξυνδεθῆναι ἐντειλάμενος ἑκάστῳ ἀνδρί. Σ Ε
333 Ἰμάντωσις: δέσις ξύλων ἐμβαλλομένων ἐν τοῖς οἰκοδομήμασιν. Σ
334 Ἰμάς: ὁ λῶρος. Δ
335 Ἴμασεν: ἐμάστιξεν. Σ
336 Ἰμάσθλην: μάστιγα. ἐν Ἐπιγράμμασι· κώπην θ' ἅμα νηὸς ἱμάσθλην. Hom. Anth.
337 Ἰμάσσω: πλήξω, πατάξω. Σ
338 Ἰματίδιον: τὸ μικρὸν ἱμάτιον. Δ
339 Ἰματισμένος: ἐνδεδυμένος. ἱματισμένον καὶ σωφρονοῦντα. διὰ τοῦ ι. Δ
340 Ἰματισμός: ἡ ἐσθής. Δ
341 Ἴμβρασος: ὄνομα κύριον. Δ
342 Ἴμβρος: ποταμός, μικρόν· Ἴμβρως δὲ κύριον, μέγα. Δ
343 Ἰμαῖον ᾆσμα: τὸ ἐπὶ τῇ ἀντλήσει λεγόμενον· παρὰ τὸ ἱμᾶν. οἱ δὲ τὸ μυλωθρικόν. καὶ πού τις ἀνὴρ ὑδατηγὸς ἱμαῖον ἔγρει. Καλλίμαχος Ἑκάλῃ. Ar.
344 Ἰμαῖος: ἡ ἐπιμύλιος ᾠδή. δηλοῖ δὲ καὶ ὄνομα κύριον. Σ Δ
345 Ἰμέρα: ὄνομα πόλεως. Δ
346 Ἰμεραία: γραῦς τις. καὶ πόλις· ἐκ δὴ τούτων νόσοι καὶ τροφῶν ἀπορίαι τὴν Ἰμεραίαν κατέσχον. Δ Ε
347 Ἰμεραῖος: ὁ ἀπὸ τῆς πόλεως Ἰμέρας. Δ
348 Ἰμέριος, Ἀμεινίου ῥήτορος, Προυσιάδος τῆς Βιθυνίας, σοφιστὴς τῶν ἐπὶ Ἰουλιανοῦ τοῦ βασιλέως, ἀντιπαιδεύσας Προαιρεσίῳ ἐν Ἀθήναις· πηρὸς τὰς ὄψεις ἐν γήρᾳ. ἔγραψε μελέτας. Hesy.

330 Call. (fr. 134 K. an. 30 S.) c. sch. 331 = P; — ἀντλεῖν = Ba 262, 3, Ael. D. fr. 211 ap. Eust. O. 1453, 4 cf. H; ἀνέλκειν sq. Tim. cf. Bk. 266, 22 332 — δεσμοί = P, Ba 262, 4 cf. H 333 = P, Ba 262, 5 (gl. sacra) 334 = Ambr. 288, Ps. Herodian. 48, Lex. de sp. cf. sch. Luc. 54, 27, Et. M. 470, 300 et 250, H, sch. Γ 371, Apion 335 = P, Σ^a, H, sch. Ε 589 cf. Et. M. 470, 246 336 μάστιγα sch. Θ 43 = Ap. S. 91, 6 cf. H, Et. M. 470, 253 κώπην sq. Anth. 6, 28, 1 337 = Σ^a, P cf. H, Et. M. 470, 246 338 = Ambr. 303 339 l. cf. Ambr. 307. ἱματισμένον καὶ σωφρονοῦντα Luc. 8, 35. διὰ τοῦ ι cf. L 341 = Ambr. 294 342 — ποταμός = L 343 sch. Ar. Ran. 1297; Call. fr. 64, 13—14 K., 42 S. 344 = Theognost. in An. Ox. 2, 51, 32 et in Et. Gen.; Et. M. 470, 257; — ᾠδή = P, Ba 262, 7, H; ὄνομα κύριον = Ambr. 291 345 = Ambr. 302, Lex. de sp. 346 — γραῦς = L ἐκ sq. Aelian. fr. 40 347 = L cf. Ambr. 299 348 cf. Eunap. vit. soph. 1, 9, Phot. Bibl. 109a 2—4

331 cf. 359. Z 1109 333—4 Z 1107 335—7 Z 1108 339 Z 1107—8 340 Z 1107 343 cf. 357 et v. ὑδατηγὸς ἀνήρ. Z 1108 345 Z 1108 346 cf. 165. Z 1108. Aelian. cf. v. συκοφαντεῖν 347 Z 1108

1 ἕρπετὰ—ἐνέκρυφεν] τῶν ἑρπετῶν F ἐνέκρυφεν V: ἐνέκρυφθεν rell. A^2 F (G I T V M) 3 ἱμάντι—ἀνδρί om. FT 342 ex F solo, post 344 (fort. Et. Sym. e Coisl. 177) 343 om. F 18 οἱ] ὁ V 20 καὶ om. A 345 om. F 21 πόλεως A Ambr.: κύριον rell. 22 ἐκ—23 κατέσχον om. FT 23 Ἰμεραίων v. συκοφαντεῖν 348 extra ord. 26 τῶν—27 μελέτας om. F

Δ 349 Ἱμερίας: ποταμός.

Hom. Σ 350 Ἱμερόεντα: ἐράσμιον. λάμποντα. ἐν Ἐπιγράμμασι· αὐτή
Anth. σοι Κυθέρεια τὸν ἱμερόεντ' ἀπὸ μαστῶν κεστὸν ἔδωκεν ἔχειν. καὶ

Δ Ἱμερόεις, ὁ ἐπιθυμητικός.

Σ 351 Ἵμερος: ἡ ἐπιθυμία. ἵμερος αὐτὸν εἰσῆλθε διάπυρος ἰδεῖν
E Μάρκελλον νεκρόν.

Δ 352 Ἱμερτής: ὁ ἐπιθυμητής.

Σ 353 Ἱμερτός: καλός, ἐπέρastos, ποθεινός.

Synt. Σ 354 Ἱμείρω· γενικῇ. καὶ Ἱμείρομαι· γενικῇ. ἐπιθυμῶ. τὸ ἱμεί-
E ρειν τοῦ βίου καὶ φιλοζωεῖν τῆς μεγίστης ἀγεννείας ἐστὶ σημεῖον καὶ
κακίας.

Σ Ar. 355 Ἱμητόν: τὸ ἀντλητόν. Ἱμονιὰ γὰρ τὸ τοῦ ἀντλήματος
E σχοινίον. οἱ δὲ Ἄβαροι ἐχώρουν ἵνα ὁ Δάναπρις ἔρρει ποταμός.

ΔE 356 Ἱμονιά. τὸ δὲ φρέαρ ἅτε ὀρεινὸν ὂν κοῖλον ἦν καὶ βαθὺ ὥστε
Δ δεῖν ἱμονιᾶς μακρᾶς. οἱ δὲ αὐτὸ τὸ ἀντλητήριον· παρὰ τὸν ἱμάντα.

Ar. 357 Ἱμονιοστρόφου μέλη· ἱμονιὰ καλεῖται τὸ ἀντλητήριον τῶν
φρεάτων. ἱμαῖον δὲ τὸ ᾆσμα. ἱμονιοστρόφου δὲ τοῦ εὐτελοῦς.

Ar. 358 Ἱμονιᾶν: ἀποπατεῖν· ἀντὶ τοῦ μακρὰ χέζειν· ἀπὸ τοῦ σχοινίου,
δι' οὗ τὰ ὕδατα ἀρύονται, ὃ καλοῦσιν ἱμονιάν. καὶ Ἀριστοφάνης·
πόθεν συνέλεξας ἱμονιοστρόφου μέλη; ἡδὺ δὲ ᾆσμα οἱ ἀντληταὶ
ἱμαῖον.

Δ 359 Ἱμῶσα: γεμίζουσα, ἀντλοῦσα.

349 = Ambr. 298 350 — ἐράσμιον sch. Γ 397 λάμποντα = P, Ba 262, 9 (μαρμαίροντα: λάμποντα sequitur in sch. Γ 397) αὐτή—ἔχειν Anth. 6, 88, 1—2 Ἱμερόεις sq. cf. Ambr. 289 = Ps. Herodian. 48; sch. Γ 397 351 — ἐπιθυμία = Ps. Herodian. 48, Lex. de sp., Et. M. 470, 259, Et. Gen., P, Ba 262, 10, Erotian. 45, 15 cf. sch. Ψ 14 ἵμερος sq. Polyb. 10, 32, 6 (falso Dam. fr. 250) 352 cf. L, Ambr. 289, Ps. Herodian. 48, H, Et. M. 470, 273 353 = P, Ba 262, 11 cf. H, sch. B 751 354 — γενικῇ pr. = Ambr. 305. Ἱμείρομαι· γενικῇ = Synt. Gud. cf. Laur. ἐπιθυμῶ = P, Ba 262, 8, Ambr. 305, Ps. Herodian. 48, Et. M. 470, 275 cf. H, sch. α 41, Erotian. 45, 15 τὸ sq. Polyb. fr. 164 355 — ἀντλητόν = P, Ba 262, 12, H Ἱμονιὰ—σχοινίον sch. Ar. Ran. 1297 cf. H, Ael. D. fr. 211 ap. Eust. O. 1453, 4 οἱ sq. + vs. 14 τὸ—15 μακρᾶς Men. Prot. attr. Toup 356 τὸ ἀντλητήριον = Ambr. 300, Ps. Herodian. 49, Et. M. 470, 285 357 sch. Ar. Ran. 1297 cf. sch. Luc. 54, 24 358 — ἱμονιάν sch. Ar. Eccl. 351. πόθεν sq. Ar. Ran. 1297 c. sch. 359 cf. Et. M. 470, 297; ἀντλοῦσα = L cf. Ps. Herodian. 49, Lex. de sp.

350 Z 1107 355 cf. v. A 2470. Z 1108 356 cf. v. A 2470 357 cf. 348 359 cf. 331

A(GIFVM) 1 Ἱμερία GIVM 5 ἵμερος—6 νεκρόν om. F 9 γενικῇ—γενικῇ om. F τὸ] τοῦ V καὶ F 10 ἀγενείας GVM ἀγεννίας Hultsch 12 Ἱμονιά—21 ἱμαῖον] Ἱμονιὰ καλεῖται τὸ ἀντλητήριον σχοινίον· παρὰ τὸν ἱμάντα τῶν φρεάτων. τὸ δὲ φρέαρ—μακρᾶς. ἱμαῖον δὲ τὸ ᾆσμα. Ἱμονιόστροφον, τὸ εὐτελές. Ἱμονιᾶν, ἀποπατεῖν—σχονίου F 14 Ἱμονιά del. Toup Ἱμωνιά cett. A ἐρεινὸν GM 357 post vs. 19 ἱμονιάν transtulit Kust. 16 Ἱμονιοστρόφου μέλη om. G 18 μακρὰν FV χάζειν V 20 συνέλεξεν $V^{ac}M^{ac}$ συνελέξασεν G 22 ἀντλῶσα GIFVM, Laur.

360 Ἵνα: ὅπου. Ἀντιφῶν ἐν τῷ περὶ τῆς ὁμονοίας· ὀκνεῖν, ἵνα Σ
οὐδὲν ἔργον ὀκνεῖν. καὶ Ἀρριανὸς ἀντὶ τοῦ ὅπου· ἵνα ἐπιμαχώ- E+Σ
τατον τοῦ τείχους ἐφαίνετο, ἐστρατοπεδεύσατο. Ἵνα δὲ τὴν δύνα- Δ
μιν, αἰτιατική, καὶ ψιλοῦται καὶ περισπᾶται· ἀπὸ τῆς ἵς εὐθείας.
361 Ἵνα: τούτῳ χρῶνται ἀντὶ τοῦ ἄν. Ὅμηρος· ἵνα μὴ ῥέξωμεν ὧδε. Ar.
362 Ἵνα: πόλις. Δ
363 Ἵνα μή σε βάψω βάμμα Σαρδινιακόν: τουτέστιν ἵνα μή Ar.
σε ἐρυθρὸν ποιήσω τῷ βάμματι μαστίξας· οἷον ἵνα μή σε φοινίξω.
νῆσος γάρ ἐστι μεγίστη ἡ Σαρδὼ πρὸς τῇ Ἰταλίᾳ· γίνονται δὲ ἐν
αὐτῇ πορφύραι διάφοροι καὶ ὀξύταται. βούλεται οὖν δηλοῦν, ἵνα μή
σοι πληγὰς ἐντρίψω. ἐν Σαρδοῖ γὰρ τῆς Ἰταλίας βάμματα πυρρὰ
γίνεται.
364 Ἵνα μὴ φάγῃ σκόροδα μηδὲ κυάμους: τουτέστιν ἵνα μὴ Ar.
δικάσῃ μηδὲ πολεμήσῃ. εἰς γὰρ τὸν πόλεμον ἔφερον σκόροδα· οἱ δὲ
δικασταὶ ἔτρωγον κυάμους, ἵνα μὴ κοιμηθῶσιν.
365 Ἰνάρωνος. Δ
366 Ἰνάσσω: ἰσχὺν παρέχω. Δ
367 Ἰνάχειον ἄστυ: τὸ τοῦ Ἰνάχου. Δ
368 Ἴνδακος: ὄνομα κύριον. ἤκμαζε δὲ ἐπὶ Λέοντος τοῦ μετὰ Δ
Μαρκιανὸν βασιλέως, λαμπρὸς τὴν τόλμαν καὶ τοῖς ποσὶ χρήσασθαι E
δυνατώτατος, τῶν χειρῶν τὴν ἀριστερὰν ἀμείνων, ταχύτητι ποδῶν
διαφέρων. Εὐχίδου γὰρ καὶ Ἀσσάπου καὶ Χρυσομάζου καὶ Ἐχίονος
καὶ εἴ τις ἕτερος ἐπὶ ποδῶν ὠκύτητι διεβοήθη, ὀξύτατος ἦν. οὗτος
γὰρ ἐξεφαίνετο ὀδεύων καὶ ἠφανίζετο αὖθις, οἷά τις ἀστραπή, κατὰ
κρημνῶν οὐ τρέχοντι μᾶλλον ἀλλὰ πετομένῳ ἐοικώς. ἦν γὰρ κέλευθον
ἀνὴρ δι' ἵππων ἀμοιβῆς αὐθημερὸν οὐκ ἔσθενε δρᾶσαι, τοῖς ἰδίοις
αὐτὸν ποσὶν ἰσχυρίζοντο ἀναλγήτως διατρέχειν. ἀπὸ γὰρ τοῦ ἐρύματος
Χέρεως διὰ μιᾶς ἐφοίτα ἐς τὴν Ἀντιόχειαν, καὶ πάλιν τῇ ἑξῆς ἐς τὸ
ῥηθὲν εὑρίσκετο φρούριον· ἐκ δὲ τούτου αὖθις μὴ ἀναπαύλης δεόμενος
διὰ μιᾶς ἡμέρας εἰς Νεάπολιν ἐγίνετο Ἰσαυρίας.

360 — ὀκνεῖν = P; — ὅπου = Ba 262, 13, sch. B 604, Choer. Epim. Ps. 64, 7 (ex quo Et. M. 471, 9), H, Lex. de sp., Ps. Herodian. 49 sq., sch. Luc. 106, 16, sch. Pl. Schanz 175 a; Antiph. fr. 88 vs. 2 ἵνα—3 ἐστρατοπεδεύσατο Arr. An. 4, 23, 4 Ἵνα δὲ cf. Choer. in Et. Gen., Choer. Epim. Ps. 64, 3 (ex quo Et. M. 471, 13), sch. E 245, Ambr. 326 361 sch. Ar. Ran. 175 cf. Et. M. 471, 11; H 353 363 = Ambr. 328 363 sch. Ar. Ach. 112 364 sch. Ar. Lys. 690 365 = Ambr. 317 cf. 314 366 = L. Et. M. 470, 302 cf. Ambr. 334 367 l. cf. L; fr. trag. ad. 563 368 ἤκμαζε sq. Prisco attr. Müller FHG 4, 617 cf. 5, 10, 28

360 cf. 603 361 Z 1111 362 Z 1110 363 cf. v. B 89 365 Z 1109 366—7 Z 1110 368 — κύριον Z 1109. rell. cf. vv. E 3827 et 4014, Χερρέως

1 Ἀντιφῶν—3 ἐστρατοπεδεύσατο om. F 4 προπεριεσπᾶται V 5 χρῆται V AF(GIVM)
Ὅμηρος—ὧδε om. F 363 om. F, non nov. gl. GVM 7 Σαρδωνιακόν A
12 γίνονται A 368—9 inverso ord. 19 ἤκμαζε—30 Ἰσαυρίας om. F
26 ἀμειβῆς V 28 Ἀντιόχειαν IV, v. Χέρρεως: cp. GM Ἀντιόχου A

369 Ἰνγρουςία: παρὰ Ῥωμαίοις τὸ τοῖς ἀσθενέσι διδόμενον σιτίον, ὁ οὔτε ζῆν οὔτε ἀποθνήσκειν ποιεῖ.

Δ 370 Ἴνδακος.

Σ 371 Ἰνδάλλεται: καταφαίνεται, ὁμοιοῦται.

Σ 372 Ἰνδάλματα: φαντάσματα, ὀνείρατα, ἅπερ μὴ παρόντα ὑπονοεῖ
Ε τις, ὁμοιώματα, ἀπεικονίσματα. Αἰλιανός· ὅψις οὖν ἰνδάλματος ἱεροῦ ὄναρ ἐπιστᾶσα λέγει ποιήσασθαι μεταβολὴν βίου.

Δ 373 Ἰνδικτιῶν καὶ Ἴνδικτος λέγεται.

Δ 374 Ἰνδοί: ἔθνος βάρβαρον. κατὰ δὲ τὸν πόλεμον ἦσαν αὐτοῖς
Ε σημαῖαι τῶν ἱππέων καθ' ἑκάστην χιλιοστὺν δράκων ἐπὶ κάμακος ἀνατεταμένος, οὗ ἀργυρᾶ μὲν ἡ κεφαλὴ πεποίηται, σεσηρότων ὀδόντων καὶ τοῦ χάσματος ἀπειλὴν ἔχοντος· τὸ δὲ ἄλλο σῶμα σηρικόϋφον ἦν, ἕς τε μῆκος καὶ βάθος καὶ τὸ ποικίλον τῆς χρόας ἐς ἀληθινὸν δράκοντα. τοῦτον φέρων ἱππεύς, μετεωρίσας ἐς τὸν ἀέρα τὴν κάμακα ῥύμῃ διώκει τὸν ἵππον. καὶ ἐμπίπτει μὲν ὥσπερ εἰκὸς ἐλαυνόμενον βίᾳ τὸ πνεῦμα· εἰλούμενον δὲ ἐν τοῖς κόλποις τοῦ κοίλου ὕφους καὶ διέξοδον εὑρεῖν διὰ τὸ στεγανὸν οὐ δυνάμενον κυμαίνει τε εἰς τὸν ἀέρα καὶ μετεωρίζον τὸ ποικίλον ἤτριον πάσας ἐλίσσει τροπάς, ὥσπερ
Suid. ὁλκὸς δράκοντος ἀληθινοῦ. ὅτι ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου ἐβαπτίσθησαν οἱ ἐνδότεροι Ἰνδοὶ καὶ Ἴβηρες καὶ Ἀρμένιοι.

375 Ἰνδοὶ οὔτε σώμασιν οὔτε χρήμασι συνεμάχησαν κατὰ Ῥωμαίων τῷ βασιλεῖ. οὐ γὰρ ὅσιον αὐτοῖς πολεμεῖν πρὸς ἄνδρας ἀδικουμένους.

Σ Δ 376 Ἶνες: νεῦρα. καὶ τὸ πληθυντικὸν Ἶσι.

Δ 377 Ἵν' εἰδῆς: ἵνα μάθῃς. Εἰδῶ περισπωμένως. Ἵν' εἰδῆτε,
Ar. ὅπως μάθητε. ἀλλὰ τούτων μὲν τάχ' ἡμῖν δώσεις δίκην οὐκ ἐς μακράν, ἵν' εἰδῇθ' οἷός ἐστι τρόπος ἀνδρῶν ὀξυθύμων τε καὶ δικαίων καὶ βλεπόντων κάρδαμα.

Δ 378 Ἰνίον: νεῦρον. ἀπὸ τῆς τοῦ ἐγκεφάλου βάσεως ἐπὶ τὰ
Eol. πλατέα νεῦρα, ἃ δὴ τὴν ἰσχὺν ἡμῶν ἔχειν δοκεῖ.

369 = Veteres glossae verb. iuris ed. Labbaeus p. 13 a 6 371 = P, Ba 262, 14 cf. sch. Ψ 460; H = Ap. S. 91, 14; Ps. Herodian. 50 = L 372 — ἀπεικονίσματα = P, Σ^{a}, Ba 262, 15 cf. H, Ps. Herodian. 50, Ambr. 331, gl. Dionys. PG 4, 26 ὅψις sq. Aelian. fr. 106 373 cf. Ambr. 325 374 — ἔθνος = Ambr. 323 376 — νεῦρα = P, Ba 262, 17, H, sch. λ 218, Et. Gen., Et. M. 470, 312, Ambr. 326 cf. Erotian. 46, 4, Ap. S. 91, 16 377 ἀλλὰ sq. Ar. Vsp. 453—5 378 — νεῦρον = Ambr. 333, Ps. Herodian. 49, Lex. de sp. cf. H, Ap. S. 91, 15 ἀπὸ sq. = An. Ox. 2, 451, 21, Seleuc. sp. Et. Gud. ex quo Et. M. 470, 328

369 Z 1110 371 Z 1110 373 Z 1110 374 init. Z 1109. cf. v. χιλιοστύς et v. H 634. vs. 19 ὅτι sq. ex v. Ε 789 376 cf. 603. Z 1110 377 cf. v. Εἰ 33 378 Z 1110

A²F(GITVM) 1 παρὰ Ῥωμαίοις om F 370 om. FT 5 Ἰνδάλματος φαντάσματος, ὀνείρατος V 6 Αἰλιανὸς—7 βίου om. FT 9 κατὰ—19 ἀληθινοῦ om. FT 10 τῶν ἱππέων om. A 15 ἐλαυνομένῳ Dr. 18 ἑλίσσας GI 19 ὁλκὸς] γρ. ὥσπερ ὁλκὸν ss. V mg. M cf. v. χιλιοστύς ὅτι—20 Ἀρμένιοι ex mg. VM 375 om. T, non nov. gl. F 22 τῷ om. F οὐ—ἀδικουμένους om. F 24 Εἰδῶ—27 κάρδαμα om. F 28 νεῦρον ex F Zon. τοῦ om. V

379 Ἶνις: ὁ νέος, ὁ υἱός. Δ
380 Ἶνις: τοὺς ἑτέρους. καὶ Ἶνις, χώρα. Δ
381 Ἰνοῦς ἄχη: αὕτη δύο παῖδας ἔσχε, Λέαρχον καὶ Μελικέρτην, οἳ κατετοξεύθησαν ὑπὸ Ἀθάμαντος. ὕστερον δὲ ἐκλήθη Λευκοθέα. Prov.
382 Ἰνώ: ὄνομα θεᾶς. Δ
383 Ἰνωπός: ὄνομα τόπου. λοῦσαι δ' Ἰνωπῷ καθαρὸν χρόα, βᾶθι δ' ἐς οἴκους. Δ Anth.
384 Ἴνωψ: ὄνομα κύριον. Δ
385 Ἰννοί: οἱ κολοβοὶ τῶν ἵππων, νάννοι δὲ οἱ κολοβοὶ τῶν ἀνθρώπων. καὶ ναννοφυεῖς. Ar.
386 Ἰνοῖ κρεμαμένη πρὸ ποδῶν Εὐριπίδου. Ar.
387 Ἴξαλος: πηδητικός. ἐν Ἐπιγράμμασι· ἴξαλον εὐσκάρθμῳ, λόχμιον ὑλοβάτᾳ, Πανὶ φιλοσκοπέλῳ λάσιον παρὰ πρῶνα Χαρικλῆς κνακὸν ὑπηνήταν τόνδ' ἀνέθηκε τράγον. καὶ αὖθις· πρόσθε μὲν ἀγραύλοιο διατριχὸς ἰξάλου αἰγὸς δοῖον ἐπὶ χώροις ἑστεφόμην πετάλοις. Σ Anth.
388 Ἴξε, καὶ Ἴξον· οἳ δ' ἶξον κοίλην Λακεδαίμονα. Δ
389 Ἰξευτής: ἰξευτικός. Δ
390 Ἰξιονίδης. Δ
391 Ἰξίονος. Δ
392 Ἰξιόεν. Δ
393 Ἰξιῶδες. Δ
394 Ἰξίων· οὗτος ἠράσθη τῆς Ἥρας· ἡ δὲ προσαγγέλλει τῷ Διΐ, ὃς βουληθεὶς γνῶναι τοῦτο ἐξομοιοῖ νεφέλην τῇ Ἥρᾳ καὶ ἔκτησεν. ὁ δὲ Ἰξίων μίγνυται αὐτῇ. καὶ ὀργισθεὶς ὁ Ζεὺς κολάζει αὐτὸν τροχῷ διατείνων ἀεὶ φερομένῳ καὶ ἀνακυκλουμένῳ. Greg.
395 Ἶρος: ποταμός. Δ
396 Ἰξός: ᾧ χρῶνται εἰς ἄγρευσιν πτηνῶν. Δ
397 Ἰξύν: τὴν ὀσφύν. ἐπ' ἠϊόνι ψυχόμενον χηλάς τε καὶ ἰξύας. Σ

379 = Ambr. 308 cf. H, Et. M. 471, 22 381 cf. Zen. IV 38 382 = Ambr. 327, Lex. de sp. 383 l. cf. Ambr. 320, Et. M. 471, 30 λοῦσαι sq. Anth. 6, 273, 3 384 = Ambr. 310 385 sch. Ar. Pac. 790 386 Ar. Vsp. 1414 387 — πηδητικός = Ba 262, 18, L, P cf. H; Et. M. 471, 42 = sch. Δ 105 ἴξαλον—τράγον Anth. 6, 32, 2—4. πρόσθε sq. Anth. 6, 113, 1—2 388 cf. Ambr. 349, Lex. de sp., Et. M. 472, 10; δ 1 389 l. = L 391 cf. Ambr. 341 392 cf. Et. M. 471, 54, Ambr. 346 393 cf. L 394 = Nonn. in Greg. Naz. PG 36, 1056 b c 395 cf. Ambr. 342, L 396 aliter Ambr. 336, Et. M. 472, 4 397 — ὀσφύν = P, Ba 262, 20 cf. sch. ε 231, H, Et. M. 472, 6, Erotian. 46, 15 ἐπ'—ἰξύας Anth. 6, 255, 4—5. p. 636, 1 ἔκρεκες sq. Anth. 7, 213, 3—4

380 Z 1110 382 Z 1110 384 Z 1109 385 cf. vv. K 396, N 28, σφυράδες. Z 1109, Eust. I. 834, 47 387 cf. vv. Λ 717, Πανικῷ δείματι, πρῶνες, K 1850 388 Z 1112 389—90 Z 1011 394—5 Z 1111 397 Z 1111

1 ὁ alt. om. AV cf. H, Et. 2 ἑταίρους Dr. 6 τόπου] ποταμοῦ V^{ac} Ambr. Et. χόα GM 7 οἴκους] ἀντὶ τοῦ in lac. add. IM 10 ναννοϋφυεῖς A 386 non nov. gl. AM 11 Εὐριπίδους F cp. GVM 12 ἐν—15 πετάλοις om. F 14 πρόσθεν V 15 ἀγραύλιοι GIM δοιὼ A cf. Anth. χώροις VM: χοροῖς AGI χλωροῖς Anth. 27 ὁ χρᾶται V ἄγραν F A^2(GIFVM)

Anth. τουτέστι τὴν ῥάχιν. καὶ αὖθις· ἔκρεκες εὐτάρσοις δι' ἰξύος, ἀχέτα, μολπάν, τέττιξ, οἰονόμοις τερπνότερον χέλυος.

Δ 398 Ἰόβακχος: ὄνομα κύριον.

Hesy. 399 Ἰόβας, Λιβύης καὶ Μαυρουσίας βασιλεύς, ὃν λαβόντες καὶ μαστιγώσαντες ἐπόμπευσαν οἱ Ῥωμαῖοι· οὐ μὴν ἀνεῖλον διὰ τὴν παίδευσιν. ἦν δὲ ἐπὶ Αὐγούστου Καίσαρος καὶ τὴν Κλεοπάτρας θυγατέρα Σελήνην, ἣν ἐκ τοῦ Καίσαρος Γαΐου γενομένην ἐπεποίητο, γυναῖκα εἰλήφει. συνήκμαζε δὲ αὐτῷ Δίδυμος ὁ Χαλκέντερος, ὁ καὶ πολλὰ γράψας κατ' αὐτοῦ. ἔγραψε πάνυ πολλά.

Δ 400 Ἰοβάτης: ὄνομα κύριον. ὁ πατὴρ Σθενεβοίας, ὃς ἐπετράπη γράμμασι Προίτου ἀνελεῖν τὸν Βελλεροφόντην.

EV 401 Ἰοβιανός, βασιλεὺς Ῥωμαίων ὀρθόδοξος, ὃς ἐπιμέλειαν καὶ φροντίδα πολλὴν ἐποιεῖτο τῶν ἐκκλησιῶν καὶ τοὺς ἐν ἐξορίαις ἐπισκόπους πάντας. ἀνεκαλέσατο τῷ τε ἁγίῳ Ἀθανασίῳ ἀπέστειλε τῆς ἀμωμήτου πίστεως ἐγγράφως αὐτῷ σημᾶναι τὴν ἀκρίβειαν. ὁ δὲ ἀπέστειλεν ἐπιστολὴν πλήρη ὀρθοδοξίας. οὗτος μετὰ Ἰουλιανὸν ἦρξεν· ὃς ἡνίκα Ἰουλιανὸς αἵρεσιν τοῖς στρατευομένοις ἐτίθει, θύειν ἢ ἀποστρατεύεσθαι, μᾶλλον τὴν ζώνην ἀποθέσθαι ἐβούλετο. ἐλθὼν δὲ ἐς Νίσιβιν πόλιν πολυάνθρωπον δύο μόνον ἡμερῶν ἐνδιατρίψας αὐτῇ, ὅσα περ εἶχε χρήματα κατανάλωσε τοῖς ἐνοικοῦσι μηδενὸς μεταδοὺς ἢ λόγου φιλανθρώπου ἢ πράξεως ἀγαθῆς· ἄνθρωπος οὐ δι' ἀρετὴν οἰκείαν, ἀλλὰ διὰ τὴν τοῦ πατρὸς δόξαν ἐς τοσοῦτον ἀρχῆς προελθών. ἦν μὲν γὰρ οὐδὲ παντάπασιν ἀσθενὴς τὸ σῶμα οὔτε πολεμικοῖς ἔργοις ἀγύμναστος· ἀμελέτητος δὲ ὢν καὶ ἄγευστος παιδεύσεως, καὶ ἦν εἶχε
E φύσιν διὰ ῥᾳθυμίαν ἡμαύρου καὶ ἠφάνιζεν. οὗτος μετὰ Ἰουλιανόν, ὡς εἴρηται, τῆς Ῥωμαίων βασιλείας ἐγκρατὴς γενόμενος, πάντων καταφρονήσας ἐσπούδαζε τοῦ συμβάντος αὐτῷ ἀξιώματος ἀπολαῦσαι, καὶ φεύγων ἐκ Περσίδος ἔσπευδε γενέσθαι τῶν Ῥωμαϊκῶν ἐθῶν ἐντὸς εἰς ἐπίδειξιν τῆς τύχης, καὶ τὴν Νίσιβιν πόλιν τοῖς Πέρσαις, πάλαι Ῥωμαίοις οὖσαν κατήκοον, ἐκδίδωσιν. ἀπέσκωπτον οὖν αὐτὸν ᾠδαῖς καὶ παρῳδίαις καὶ τοῖς καλουμένοις φαμώσσοις, διὰ τὴν τῆς Νισίβιδος προδοσίαν. ὁ δὲ Ἰοβιανός, ἐκ τῆς γυναικὸς αὐτοῦ κινηθεὶς τὸν ὑπὸ Ἀδριανοῦ τοῦ βασιλέως κτισθέντα ναὸν χαριέστατον ἐς ἀποθέωσιν τοῦ

398 = Ambr. 365 400 — κύριον = Ambr. 357 401 — ὀρθοδοξίας Georg. 549, 20—550, 3 = EV 1, 151, 6—11. vs. 16 οὗτος—25 ἠφάνιζεν Io. Antioch. fr. 181, FHG 4, 606 = EV 1, 200, 22—201, 8 vs. 25 οὗτος—p. 639, 18 εἶναι cf. Io. Antioch. fr. 181 = EV 1, 201, 8—28; Eunap. attr. de Boor Herm. 20, 330, Io. Antioch. temere Patzig Byz. Zt. 2, 593; 6, 327

398—9 Z 1112 400 cf. v. Σθενεβοία. hinc v. B 231, Z 1112 401 cf. v. φάμωσσα

A²F(GIVM) 1 καὶ—2 χέλυος om. F 1 εὐτάρσοι I ἀχέτα GIM 4 Ἰόβας] Ἰόβας add. GVM ὁ add. F Μαυρουσίας βασιλεύς A: —ίων β. F —ίας ὁ β. GIVM ὃν—9 πολλά om. F 8 Χαλκεαίτερος V 9 πολλὰ πάνυ A 10 ὁ—11 Βελλεροφόντην om. F 12 ὃς—p. 639, 20 σύνοδον om. F 16 Ἰουλιανοῦ V 23 ἀσθενὲς V 28 Ῥωμαϊκῶν V Exc.: Ῥωμαίων rell. 31 φαμώσοις A Νισίβεως A

πατρὸς Τραϊανοῦ, παρὰ δὲ τοῦ Ἰουλιανοῦ κατασταθέντα βιβλιοθήκην εὐνούχῳ τινὶ Θεοφίλῳ, κατέφλεξε σὺν πᾶσιν οἷς εἶχε βιβλίοις, αὐτῶν τῶν παλλακίδων ὑφαπτουσῶν μετὰ γέλωτος τὴν πυράν. οἱ δὲ Ἀντιοχεῖς ἠγανάκτησαν κατὰ τοῦ βασιλέως καὶ τὰ μὲν ἀπέρριπτον τῶν βιβλίων ἐς τὸ ἔδαφος, ὥστε ἀναίρεσθαι τὸν βουλόμενον καὶ ἀναγινώσκειν, τὰ δὲ τοῖς τοίχοις προσεκόλλιζον. ἦν δὲ τοιαῦτα· ἦλυθες ἐκ πολέμου, ὡς ὤφελες αὐτόθ' ὀλέσθαι· καί, Δύσπαρι, εἶδος ἄριστε· καὶ τὰ ἑξῆς. καί, εἰ μὴ ἐγώ σε λαβὼν ἀπὸ μὲν φίλα εἵματα δύσω, χλαῖνάν τ' ἠδὲ χιτῶνα, τά τ' αἰδῶ ἀμφικαλύπτει, αὐτὸν δὲ κλαίοντα θοῶς ἐπὶ Πέρσας ἀφήσω. γραῦς δέ τις μέγαν καὶ καλὸν αὐτὸν θεασαμένη μαθοῦσά τε ἀνόητον εἶναι ἐφθέγξατο· ὅσον μῆκος καὶ βάθος ἡ μωρία. καὶ ἄλλος δὲ ἰδιώτης ἀποτολμήσας, μεγάλῃ τῇ φωνῇ βοήσας ἐν τῷ ἱπποδρομίῳ γέλωτα παρέσχε πᾶσιν εἰπὼν κενὰ καὶ ψυχρὰ τῇ ἡλικίᾳ αὐτοῦ. καὶ ἐπράχθη ἂν ἄτοπα, εἰ μὴ Σαλούστιός τις ἔπαυσε τὴν στάσιν. ὁ δὲ Ἰοβιανὸς χειμῶνος ὄντος ὑδοιπόρει ἐπὶ Κιλικίαν καὶ Γαλατίαν καὶ ἐν Δαδαστάνοις ἀπέθανε μύκητα πεφαρμαγμένον φαγών. κατὰ δὲ τὴν ἡγεμονίαν κοινὸς καὶ ἐλευθέριος ἔδοξεν εἶναι. ὅτι ἐπὶ Ἰοβιανοῦ ἦν Ἀκάκιος ἐπίσκοπος Καισαρείας Παλαιστίνης, ὃς λίβελλον ἔγραψε περὶ ὀρθοδόξου πίστεως, ἀποδεχόμενος τὴν ἐν Νικαίᾳ σύνοδον.

402 Ἰόβις: παρὰ Ἰταλοῖς ὁ Ζεύς. E

403 Ἰόβειοι καὶ Ἑρκούλειοι: ὀνόματα τάξεων. τάγματα γάρ τινα ἦσαν δαίμονος ἐπώνυμα. Ἰόβις γὰρ παρὰ Ἰταλοῖς ὁ Ζεύς, Ἑρκούλιος δὲ ὁ Ἡρακλῆς. E

404 Ἰοβόλος: ὁ ὄφις. Δ

405 Ἰόδδας: ὄνομα κύριον. Δ

406 Ἰοδόκη: βελοθήκη. Σ

407 Ἰόεντα σίδηρον: τὸν μέλανα· ὡς ἰοειδέα πόντον, τὸν μέλανα. βέλτιον δὲ εἰς ἰοὺς εὐθετοῦντα. Hom.

408 Ἰοειδές: τὸ μέλαν. καὶ Ἰοειδής. Δ

409 Ἰοθόρ: ὁ πενθερὸς Μωϋσέως. Δ

410 Ἰοκάστη: ὄνομα κύριον. καὶ ζήτει ἐν τῷ Οἰδίποδι. Δ

402 cf. ad 403 403 [Eunap. fr. 6] FHG 4, 14 cf. Zosim. 3; 30, 2 404 cf. Zon. 1112 405 = Ambr. 364 406 cf. P = Σ^{a}, Ba 262, 21, H 407 = sch. A (Aristonic.) in Ψ 850; λ 107 408 — μέλαν = Ambr. 402, H cf. Ap. S. 91, 21 = sch. ε 56, H. Ἰοειδής cf. Ambr. 353 = Ps. Herodian. 42 409 = L, Ps. Herodian. 42, Lex. de sp. cf. Ambr. 358 et 367 410 — κύριον = Ambr. 389 cf. Ps. Herodian. 42

405 Z 1112 406 Z 1113 407 Z 1112 409—10 Z 1113

2 συμπᾶσιν V 3 πυρράν A 5 τῶν] διὰ V 6 τείχοις IV προσεκόλλησαν A 7 ἦλυθες Γ 428, ed. pr.: ἦλυθεν omnes 13 βοῆσαι ed. pr. 15 ὧδευεν GI 16 Θαδυστάνοις GI 16. 17 πεφραγμένον GI 23 ἦσαν ex FV solis 26 Ἰοδώδας V 28 μέλαινα bis F 30 τὸ] τὸν VM Ἰοδής F 31 Μωϋσέος AGVM 410 post 418 F A^{2}F(GIVM)

Δ Ar. 411 Ἰόλαος: ὄνομα κύριον. ἥρως τις τιμώμενος παρὰ Ἀθη-
Δ ναίοις. Ἰόλεως δὲ Ἀττικῶς.
Δ 412 Ἰόλεια.
Δ 413 Ἰόλη: ὄνομα κύριον.
Δ 414 Ἰόμωρος.
Δ 415 Ἴον: τὸ ἄνθος.
Eol. 416 Ἴονθος: ἡ πρώτη ἔκφυσις τῶν τριχῶν, ἀπὸ τοῦ ἰέναι καὶ ἀνθεῖν.
Σ 417 Ἰόνιον πέλαγος: ὁ νῦν Ἀδρίας. καὶ Ἰόνιος κόλπος.
Σ 418 Ἰόντες: πορευόμενοι.
Δ 419 Ἰόπη: ὄνομα κύριον.
Δ 420 Ἰόππη: ὄνομα τόπου.
Δ 421 Ἰορδάνεια ῥεῖθρα.
422 Ἰορδάνης ὁ ποταμὸς ἐκλήθη διὰ τὸ συμμίγνυσθαι δύο ἅμα ποταμούς, Ἴορ καὶ Δάνην.
Δ 423 Ἰόρτιος: ὄνομα κύριον. ὁ τοίνυν Ἰόρτιος οὐκ ἔχων ὅ τι
E παρ' ἑαυτοῦ τερατεύσασθαι, σιγῆς γενομένης· ἐκεῖνο δὲ οὐκ ἐννοεῖτε, ὦ φίλοι συμπόται, ὡς στρογγύλη ἐστὶν ἡ τράπεζα καὶ ἄγαν περιφερής; ἐπὶ τοίνυν τῇ ἀκράτῳ κολακείᾳ ὡς τὸ εἰκὸς γέλως κατερράγη· ἐγγώνιος γὰρ ἦν καὶ οὐ στρογγύλη ἡ τοῦ Μαικήνα τράπεζα. Πλούταρχος.
Ar. 424 Ἰοστέφανοι· Πίνδαρος· αἱ λιπαραὶ καὶ ἰοστέφανοι Ἀθῆναι.
Hom. 425 Ἰότητι: βουλήσει, γνώμῃ. Ἄρτεμι, σῇ δ' ἰότητι γάμος θ'
Anth. ἅμα καὶ γένος εἴη τῇ Λυκομηδείου παιδὶ φιλαστραγάλῃ.
Σ 426 Ἰού: σχετλιαστικὸν ἐπίρρημα, ἀντὶ τοῦ οἴμοι. καὶ Ἰού, ἰού,
Ar. σχετλιαστικὸν ὁμοίως ἐπίρρημα.
Ar. 427 Ἰοῦ, ἰοῦ: τὸ ἰοῦ ἐπὶ χαρᾶς περισπᾶται.
428 Ἰουβενάλιος, ποιητὴς Ῥωμαῖος. οὗτος ἦν ἐπὶ Δομετιανοῦ

411 — κύριον = Ps. Herodian. 42 cf. Ambr. 362 ἥρως—Ἀθηναίοις sch. Ar. Ach. 867 Ἰόλεως cf. Ambr. 362 412 cf. Ambr. 400 413 = Ambr. 394 414 cf. Ambr. 350 = Ps. Herodian. 42 415 = Lex. de sp. cf. Apion, H, L 416 cf. An. Ox. 2, 450, 27 ex quo Et. M. 473, 17; sch. Ξ 50, Lex. rhet. (fr. 399 Schwabe) ap. Eust. O. 1750, 9 417 = Ba 262, 22, P cf. H; l. = Ambr. 404 418 = P, Ba 262, 23 419 = Ambr. 392 420 cf. Ambr. 395 421 cf. Ambr. 403, Ps. Herodian. 172 (= L), 238 422 cf. [Io. Antioch. i. e. Exc. Salmas.] fr. 10 init., FHG 4, 546; Et. M. 473, 19 423 ὁ sq. Aelian. fr. 108 424 sch. Ar. Ach. 637; Pind. fr. 76 425 — γνώμῃ sch. Ε 874 cf. Ap. S. 92, 1, H Ἄρτεμι sq. Anth. 6, 276, 5—6 426 — οἴμοι = P, Σ^a cf. H, sch. Pl. Rep. 4, 432 c Ἰοῦ, ἰοῦ sq. sch. Ar. Nu. 1 427 sch. Ar. Pac. 317 428 Malal. p. 262—3 = EV 1, 160, 10—17

413 Z 1113 416 Z 1113 417 Z 1114 422 Z 1113 423 init. Z 1113. Aelian. cf. vv. Ε 157, Μ 321 424 Z 1114 425 cf. v. Λ 810 426—7 Z 1115

A^2F(GITVM) 1 Θηβαίοις sch. cf. ad p. 657, 14 et ad Κ 840 7 ἀπὸ—ἀνθεῖν om. F 11 Ἰόππη—13 ποταμὸς] οὕτως F 11 Ἰόπιη δέ, non nov. gl. V 422 non nov. gl. V 13 ὁ om. A συμμίγεσθαι F 13. 14 ποταμοὺς ἅμα F 14 Ἴορι V 15 ὁ—19. 20 Πλούταρχος om. FT 16 τερατεύσαιτο ed. pr. γενόμενος VM cp. G 23 τῇ—φιλαστραγάλῃ om. F 24 σχετλιαστικὸν ἐπίρρημα om. F 25 σχετλιαστικὰ ἐπιρρήματα F 27 οὗτος—p. 641, 6 τελευτᾷ om. F

βασιλέως Ῥωμαίων. ὁ δὲ Δομετιανὸς ἐφίλει τὸν ὀρχηστὴν τοῦ πρασίνου μέρους, τὸν λεγόμενον Πάριν, περὶ οὗ καὶ ἐλοιδορεῖτο ἀπὸ τῆς συγκλήτου καὶ Ἰουβεναλίου τοῦ ποιητοῦ. ὅστις βασιλεὺς ἐξώρισε τὸν Ἰουβενάλιον ἐν Πενταπόλει ἐπὶ τὴν Λιβύην, τὸν δὲ ὀρχηστὴν πλουτίσας ἔπεμψεν ἐν Ἀντιοχείᾳ· ὃς κτίσας οἶκον καὶ λουτρὸν ἔζω τῆς πόλεως ἐκεῖ τελευτᾷ.

429 Ἰούδας καὶ Ἰουδαῖος. ὅτι Δαμόκριτος ἱστορικὸς περὶ Ἰουδαίων φησί· χρυσῆν ὄνου κεφαλὴν προσεκύνουν καὶ κατὰ τριετίαν ξένον ἀγρεύοντες προσέφερον καὶ κατὰ λεπτὰ τὰς σάρκας διέξαινον καὶ οὕτως ἀνήρουν. Δ Suid.

430 Ἰουδήθ· ὅτι ἐπὶ Ξέρξου, τοῦ βασιλέως Περσῶν, οἱ τῶν Αἰθιόπων βασιλεῖς ἐπανίστανται Πέρσαις, καὶ τοῦ βασιλέως κατ' ἐκείνων στρατεύσαντος, οἱ Ἰουδαῖοι πρὸς ἀπόστασιν εἶδον καὶ καταφρονήσαντες αὐτοῦ ἐπὶ τὴν Ἱερουσαλὴμ ἀνῆλθον. οὗτος δὲ περιγενόμενος τῶν Αἰθιόπων ἐπὶ τοὺς Ἰουδαίους στρατεύει Ὀλοφέρνῃ τὸν κατ' αὐτῶν πόλεμον ἐπιτρέψας. πολιορκοῦντος τοίνυν Ὀλοφέρνου τὴν Ἱερουσαλήμ, γυνή τις, ὄνομα Ἰουδήθ, προσποιησαμένη τὴν φιλοῦσαν αὐτόν, ὡς ἐκάθευδε, νυκτὸς ἀπέτεμεν αὐτοῦ τὴν κεφαλὴν καὶ ἀνασκολοπίσασα ταύτην ἐπὶ τοῦ τείχους φυγεῖν παρεσκεύασε τοὺς Πέρσας· οὕτω τε τῆς πολιορκίας λυθείσης ἀπηλλάγησαν οἱ Ἰουδαῖοι τοῦ φόβου. ὁ δὲ τῶν Ἰουδαίων ἱερεὺς Νεμεσίας παρρησίαν ἔχων πρὸς αὐτὸν ἔπεισεν αὐτὸν εἰρήνην σπείσασθαι πρὸς αὐτοὺς καὶ συγχωρῆσαι αὐτοῖς ἀνακτίσασθαι τὴν Ἱερουσαλήμ, Ἔσδρα προηγουμένου αὐτῶν. Ἰούλιος δὲ Ἀφρικανὸς λέγει, ὅτι Ναβουχοδονόσορ, ὁ καὶ Καμβύσης, ἀναιρεῖται ὑπ' αὐτῆς.

431 Ἰουδήθ, Ἑβραία ἡ τὸν Ὀλοφέρνην, τὸν ἀρχιστράτηγον Καμβύσου τοῦ υἱοῦ Κύρου, ἀνελοῦσα, τὰ τοῦ Ὀλοφέρνου πάντα λαβοῦσα ταῦτα ἀνέθηκε τῷ θεῷ· καὶ ὑποστρέψασα ἐν τῷ οἴκῳ αὐτῆς, ἀρετὴν καὶ ἄσκησιν ἔχουσα ἐτελεύτησεν ρε' ἔτη βιώσασα.

432 Ἰουθούγγοι: ὄνομα ἔθνους. οἱ δὲ ἐπεραιώσαντο τὸν Ἴστρον, Δ
ὄντων ἑκόντων εἶναι τὴν δίοδον Ἰουθούγγων ἔχθει τῷ πρὸς Ῥω- Ε
μαίους.

433 Ἰουλιανός, Χαλδαῖος, φιλόσοφος, πατὴρ τοῦ κληθέντος θεουργοῦ Hesy.
Ἰουλιανοῦ. ἔγραψε περὶ δαιμόνων βιβλία δ'. ἀνθρώπων δέ ἐστι φυλακτήριον πρὸς ἕκαστον μόριον, ὁποῖα τὰ τελεσιουργικὰ Χαλδαϊκά.

429 Ἰούδας cf. Ambr. 377. Ἰουδαῖος cf. Ambr. 382 430 cf. Gelzer, Iul. African. 1, 110 431 Io. Antioch. attr. Gelzer, Iul. Afric. 1, 110 432 οἱ sq. Dex. FGrHist 100 fr. 6 init. cf. EL 380, 19—20

429 ὅτι sq. ex v. Δ 49 432 cf. v. Ε 532

2 οὗ om. V 7 ὅτι—9 ἀνῆρουν om. F mg. V 7 ὅτι V: lac. M om. reliq. A² (GIFVM) Δημόκριτος GI Ἰουδαίους GI cp. VM 9 καὶ pr. om. GVM 10 ὅτι—16 αὐτόν] ὄνομα κύριον· αὕτη τὸν ἀρχιστράτηγον Ὀλοφέρνην Ξέρξου τοῦ βασιλέως Περσῶν 10 τοῦ om. A 17 καὶ—30. 31 Ῥωμαίους om. F 18 τε ex VM solis 20 Νεεμίας Wolf 21 πρὸς—ἀνακτίσασθαι om. V 21. 22 ἀνακτήσασθαι GIM 25 ἡ om. V 27 ταῦτα om. V 29 ἐπεραιώσαντες V 33 δ'] lac. statuit Bhd.

Hesy. 434 Ἰουλιανός, ὁ τοῦ προλεχθέντος υἱός, γεγονὼς ἐπὶ Μάρκου Ἀντωνίνου τοῦ βασιλέως. ἔγραψε καὶ αὐτὸς Θεουργικά, Τελεστικά, Λόγια δι' ἐπῶν· καὶ ἄλλα ὅσα τῆς τοιαύτης ἐπιστήμης κρύφια τυγχά-

Suid. νουσιν. ὅτι τοῦτόν φασι δίψει ποτὲ καμνόντων τῶν Ῥωμαίων, ἐξαίφνης ποιῆσαι νέφη τε ἀγερθῆναι ζοφώδη καὶ ὄμβρον ἀφεῖναι λάβρον ἅμα βρονταῖς τε καὶ σέλασιν ἐπαλλήλοις· καὶ τοῦτο σοφίᾳ τινὶ ἐργάσασθαι Ἰουλιανόν. οἱ δέ φασιν Ἄρνουφιν, τὸν Αἰγύπτιον φιλόσοφον, τοῦτο πεποιηκέναι τὸ θαυμάσιον.

Hesy. 435 Ἰουλιανός, Δόμνου, ἀπὸ Καισαρείας Καππαδοκίας, σοφιστής, σύγχρονος Καλλινίκου τοῦ σοφιστοῦ· γεγονὼς ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως.

E 436 Ἰουλιανός, Ἁλικαρνασεύς, ἀναρρῶσαι ἠβουλήθη τὴν Σεβήρου κακοδοξίαν, ἄφθαρτον εἶναι φάσκων τὸ σῶμα τοῦ Χριστοῦ καὶ θεοῦ, αὐτῆς γε δήπου τῆς ἐν τῇ νηδύϊ τῆς θεότητος ἑνώσεως καὶ τοῦ σώματος, καὶ πρώην γε τῆς ἐκ τῶν κατοιχομένων τοῦ Χριστοῦ ἀναστάσεως. λοιπὸν ἐκ τοῦ τοιοῦδε εἰσάγεσθαι, οὐκ ἐνεργείᾳ τινὶ τοὺς Ἰουδαίους αἰκίσασθαί τε καὶ θανατῶσαι τὸν Χριστόν. ἅτε οὖν σκάζουσά τε καὶ οὐκ ἐρρωμένη ἡ δόξα, πρὸς τῶν πάλαι θεσπεσίων πατέρων ἐξωθισθεῖσα ἐτύγχανε. τότε δὴ Ἰουλιανὸς εἴτε ὑπὸ τοῦ γήρως τὰ καιριώτατα οὐ φρονῶν εἴτ' οὖν ὑπερβολῇ τῆς πρὸς Χριστὸν ἐπιμελείας, τῆς ἀληθοῦς τε καὶ ἀπταίστου δόξης ἐπέκεινα ἐκπεσών, εἴτε καὶ ἑτέρου τινὸς ἀναδιδάξαντος· ὑποψιθυρίζεται γὰρ καὶ τοῦτο, ὡς πόλεώς τινος ἱερεὺς ταύτην δήπου τὴν κακίστην δόξαν Ἰουλιανῷ εἰσηγήσατο· ἔμελλεν οὖν τὴν ὀρθογνώμονα τοῦ Χριστοῦ δόξαν διακηρύττειν· καὶ δὴ Μαρῖνον τὸν ἀπὸ Κάρρων τῆς ἐν Συρίᾳ πόλεως ἔστειλεν ἀνὰ τὴν ἕω βεβαιῶσαι τὸ δόγμα, εἰ μὴ μετὰ βραχὺν χρόνον

EV ᾤχετο ἐξ ἀνθρώπων. ὅτι ὁ Ἰουλιανὸς οὗτος τῆς Σευήρου κακοδοξίας προστάτης ἐγένετο εὐθυμότατος, Σευήρου μὲν μίαν φύσιν λέγοντος τὸν Χριστὸν καὶ τὴν ἐν τῷ Χριστῷ διαφορὰν δεχομένου, Ἰουλιανοῦ δὲ μίαν μὲν κατὰ Σεβῆρον φάσκοντος φύσιν, ἀναιροῦντος δὲ τὴν διαφοράν.

Hesy. 437 Ἰουλιανός, ὁ παραβάτης καὶ ἀποστάτης, Ῥωμαίων βασιλεύς, Κωνσταντίνου βασιλέως τοῦ μεγάλου ἀνεψιός, ἀπὸ Δαλμάτου ἀδελφοῦ αὐτοῦ καὶ μητρὸς Γάλλας τοὔνομα. ἔγραψε τοὺς καλουμένους Καίσαρας· περιέχει δὲ τοὺς ἀπὸ Αὐγούστου Ῥωμαίων βασιλεῖς· ἑτέραν

435 cf. Eunap. vit. soph. 2, p. 250 Boisson. 436 init. cf. Phot. Bibl. p. 105a 35 sqq. vs. 26 ὅτι sq. Georg. 473, 7—12 = EV 1, 145, 7—11

434 ὅτι sq. ex v. A 3987 436 vs. 23 sq. cf. v. K 1189

A² (GITFVM) 1 γεγονὼς—7 θαυμάσιον om. F 3. 4 τυγχάνουσα V 4 ὅτι—7 θαυμάσιον om. T mg. V 4 φασί] τινες add. M τῶν om. V 5 ἐγερθῆναι GI cf. v. A 3987 6 Ἰουλιανόν] τὸν l. G 8 τῆς Καππαδοκίας Westermann 9 Κωνστάντου V^ac 12 καὶ AGI: τοῦ VM 14 πρώην AGI: πρός V πρό ss. ην M 18 Ἰουλιανὸς A: Ἰουστινιανὸς rell., v. K 1189 εἴτε] ὅτε V 22 Ἰουλιανῷ ed. pr.: Ἰουστινιανῷ omnes; Ἰουστινιανοῦ αἱρεσις mg. add. VM 23. 24 διακηρύττειν] διακυβερ in lac. V διακυκήσειν v. K 1189 26 Σεβήρου AM 27 cett. Σευήρου V Georg. Exc.: Σεβήρου rell. 29 Ἰουλιανὸς GM φύσιν] φησίν V 32 βασιλέως om. I

βίβλον περὶ τῶν τριῶν σχημάτων· καὶ τὰ καλούμενα Κρόνια· καὶ τὸν Μισοπώγωνα ἢ Ἀντιοχικόν· Περὶ τοῦ πόθεν τὰ κακά, καὶ Πρὸς τοὺς ἀπαιδεύτους· Πρὸς τὸν κύνα Ἡράκλειτον πῶς κυνιστέον· ἐπιστολὰς παντοδαπάς, καὶ ἄλλα. ὅτι περὶ τοῦ Ἐμπεδοτίμου λέγει ὁ παραβάτης Suid.
οὕτως ἐν τοῖς ἐπιγραφομένοις Κρονίοις· ἡμεῖς δὲ Ἐμπεδοτίμῳ καὶ Πυθαγόρᾳ πιστεύοντες, οἷς τε ἐκεῖθεν λαβὼν Ἡρακλείδης ὁ Ποντικὸς ἔφη, καὶ μικρῷ πρότερον καὶ ὁ κλεινὸς ἡμῖν ἔδειξε καὶ ἱεροφάντωρ Ἰάμβλιχος. ὅτι ἐπὶ τὸν E
Ἰουλιανὸν πολλαὶ δίκαι ἐχώρουν, χανδὸν ἐμφορουμένων τῶν ἀνθρώπων τῆς δικαιοσύνης τοῦ κρίνοντος· ἀναβολαί τε οὐκ ἦσαν ἐπ' αὐταῖς, ὅσαι νόμιμον ἐκ τῶν συνήθων γραμμάτων τὸ ἄδικον ἴσχουσιν εἰς βοήθειαν τῶν ἀδικούντων καὶ προειληφότων· ἀλλ' ἢ παραχρῆμα ἔδει τὸ ἴσον ἐλέγχεσθαι κατὰ φύσιν, ἢ τὸ μέλλον καὶ διωθούμενον εἰς τὸν χρόνον ὕποπτον ἦν. βαρὺς μὲν οὖν καὶ λυπηρὸς ἐτύγχανε, καὶ ἐπὶ τοῖσδε καὶ τὸ τῶν πονηρῶν ἔθνος καὶ ἀδικούντων διηγείρετο. οὐ γὰρ ἀδικεῖν ἐᾶν οὐδὲ λανθάνειν ἀδικοῦσι. βαρύτερον δὲ αὐτὸν ἀπεδείκνυε τοῖς μοχθηροῖς καὶ τὸ εὐπρόσοδον. οἷα γὰρ προϊόντος μὲν πολλάκις διὰ τὰς ἱερομηνίας καὶ θυσίας, ἡμέρου δὲ φύσει πρὸς πᾶσαν ἔντευξιν τυγχάνοντος, ἀκώλυτον τοὺς δεομένους λόγου τυχεῖν. ὁ μὲν οὖν ἐλάχιστον τῆς ὑπὸ τῶν πονηρῶν ταύτης βλασφημίας τε καὶ ὀργῆς ἠσθάνετο καὶ ἐφρόντιζε. περὶ τῆς τελευτῆς Ἰουλιανοῦ τοῦ παραβάτου, τοῦ ἀθέου· ἀλλ' ὁπόταν σκήπτροισι θεοῖς Περσήϊον αἷμα ἄχρι Σελευκείης κλονέων ξιφέεσσι δαμάσσῃς, δὴ τότε σε πρὸς Ὄλυμπον ἄγει πυριλαμπὲς ὄχημα, ἀμφὶ θυελλίῃσι κυκώμενον ἐν στροφάλιγξι, ῥίψαντα βροτέων ἐθέων πολύτλητον ἀνίην. ἥξεις δ' αἰθερίου φάεος πατρώϊον αὐλήν, ἔνθεν ἀποπλαγχθεὶς μεροπήϊον ἐς δέμας ἦλθες. ἔστι δὲ καὶ ὁ χρησμὸς ὁ δοθεὶς αὐτῷ, ὅτε περὶ Κτησιφῶντα διῆγεν. γηγενέων ποτὲ φῦλον ἐνήρατο μητιέτα Ζεύς, ἔχθιστον μακάρεσσιν Ὀλύμπια δώματ' ἔχουσι. Ῥωμαίων βασιλεὺς Ἰουλιανὸς θεοειδὴς μαρνάμενος Περσῶν πόλιας καὶ τείχεα μακρὰ ἀγχεμάχων διέπερσε πυρὶ κρατερῷ τε σιδήρῳ, νωλεμέως δὲ δάμασσε καὶ ἔθνεα πολλὰ καὶ ἄλλα, ὅρρα καὶ Ἑσπερίων ἀνδρῶν Ἀλαμανικὸν οὖδας ὑσμίναις πυκιναῖσιν ἑλὼν ἀλάπαξεν ἀρούρας.

438 Ἰουλιανός, ὁ ὕπατος, ὠνησάμενος τὴν βασιλείαν, ἐπεὶ παρῆλθεν EV
εἰς τὴν ἀρχήν, εὐθέως τρυφαῖς καὶ κραιπάλαις ἐσχόλαζε, τῇ μὲν τῶν

437 vs. 7 ὅτι—20 ἐφρόντιζε [Eunap.] fr. 16, FHG 4, 21 vs. 20 περὶ—25 ἦλθες Eunap. fr. 26, FHG 4, 25 = ES 82, 20—26 cf. Byz. Zt. 21, 394. vs. 25 ἔστι sq. [Eunap.] fr. 27, FHG 4, 25 = Anth. 14, 148 438 Io. Antioch. fr. 123, FHG 4, 586 = EV 1, 189, 22—9 cf. Herod. Hist. 2, 7

437 vs. 4 ὅτι—7 Ἰάμβλιχος ex v. E 1007

2 Πρὸς ex V solo 3 ἀπαιδεύτους] καὶ add. V; κύνας coll. Iul. or. 6 add. A^2(GITVM) Bhd. Ἡράκλειον coll. Iul. or. 7 Bhd. 4 ὅτι—20 ἐφρόντιζε om. T; 4 ὅτι—7 Ἰάμβλιχος mg. V 5 Ἐμπεδοτίμου GIM 12 τὸ pr.] τὸν GI 19 τὸν πονηρὸν GM 20 τοῦ om. GIT 21 Περσίηον GITM Περσίκον A 22 διαμάσσῃς V Οὔλυμπον V 24 ἐθέων] ῥεθέων Port. ῥοθέων Eunap. 26 ὅταν V 29 ἀγχεμάχων V Anth.: ἀγχιμάχων rell. 30 κρατερῷ M κραταιῷ GI νωμαλέως A 31 ὅρρα V: ὅς ῥα Anth. om. rell. καὶ om. A

δημοσίων ἐπιμελείᾳ ῥᾳθύμως προσφερόμενος, ἐς δὲ τὸ ἄβροδίαιτον ἐπιδιδοὺς ἑαυτόν. εὑρίσκετο δὲ καὶ τοὺς στρατιώτας ψευσάμενος· οὔτε γὰρ οἴκοθεν ἦν αὐτῷ τοσαῦτα χρήματα, καὶ οἱ δημόσιοι θησαυροὶ ἐκεκένωντο ὑπὸ Κομόδου. ἐκ ταύτης τῆς αἰτίας οἵ τε στρατιῶται ἠγανάκτουν, καὶ ὁ δῆμος ἐν τῷ θεάτρῳ ἐν καταφρονήσει αὐτὸν ἐποίει.

EV 439 Ἰουλία Αὐγούστα, τοῦ Σεβήρου γαμετὴ τοῦ βασιλέως, ἣν ὁ Πλαυτιανὸς πολλὰ καὶ δεινὰ κακὰ εἰργάσατο· πάνυ γὰρ αὐτῇ ἤχθετο καὶ σφόδρα αὐτὴν πρὸς τὸν Σεβῆρον διέβαλλεν, ἐξετάσεις τε κατ' αὐτῆς καὶ βασάνους κατ' εὐγενῶν γυναικῶν ποιούμενος. καὶ ἡ μὲν αὐτή τε φιλοσοφεῖν διὰ ταῦτα ἤρξατο καὶ σοφισταῖς συνημέρευεν.

Δ 440 Ἰούλιος: μήν. καὶ ὄνομα κύριον.

Δ 441 Ἰουλόπεζα: ἡ ναῦς.

Σ 442 Ἶουλος: ὁ ἐν ταῖς ἀμπέλοις σκώληξ· πολύπουν δέ τι ζῷον. καὶ τὸ ἐξάνθημα τὸ ἐπὶ τῶν γενείων, καὶ τὸ ἐπὶ ταῖς καρύαις ἄνθος, καὶ ψδῆς τι γένος ἴουλος, καὶ ὁ προσφιλὴς τῇ Ἀρτέμιδι. ἔνιοι δὲ καὶ τὸν ἐπὶ ταῖς ὑδρίαις γινόμενον πολύποδα καὶ συστρεφόμενον
Anth. ἴουλον καλοῦσιν. ἐν Ἐπιγράμμασι· ὥριον ἀνθήσαντας ὑπὸ κροτάφοισιν ἰούλους κειράμενος, γενύων ἄρσενος ἀγγελίας, Φοίβῳ θῆκε Λύκων πρῶτον γέρας.

Eol. 443 Ἶουλος: ἀπὸ τοῦ ὅλον εἶναι πυκνόν, καὶ συνεστράφθαι καὶ ἰέναι. λέγεται ἡ πρώτη ἐξάνθησις τοῦ γενείου.

Δ 444 Ἰούνιος: ὄνομα. εἰς τὴν ἱππάδα τελῶν, διὰ τὸ καὶ φαγεῖν
E ζῶν, συνήθης ἦν τρισὶ πλουσίοις, κοιλιοδαίμων τε καὶ ταγηνοκνισοθήρας· βούλομαι γὰρ τὰ τῆς κωμῳδίας εἰς τοὺς τοιούτους εἰπεῖν, οὐδεμιᾷ μὰ τὸν ἀπειροκαλίᾳ· ὃς ἔνεμε τὴν γαστέρα ταῖς τρισὶ τραπέζαις, καὶ τοσαύταις ἐπιπηδῶν τραπέζαις λύκου τινὸς δίκην ἢ ἰκτίνου ἢ ἁρπυίας, ἵνα τι καὶ παίσω.

Σ 445 Ἰοῦσαν: πορευομένην.

446 Ἰουστινιανός· οὗτος κτίσας τὴν ἁγίαν Σοφίαν ἐκάθηρε τὴν αὐλὴν καὶ ἐμαρμάρωσεν αὐτήν, τὸ πρὶν οὖσαν Αὐγουστεῖον, ὁ ἑρμηνεύεται ὀψοπώλιον· καὶ ἔστησε τὴν ἑαυτοῦ εἰκόνα ἐπὶ κίονος ἔφιππον· καὶ τῇ μὲν ἀριστερᾷ χειρὶ φέρει σφαῖραν, ἐμπεπηγότος σταυροῦ ἐν

439 Cass. D. 75, 15, 6—7 = EV 2, 386, 22—387, 5 440 = Ambr. 381 et 374 441 = Ambr. 388 cf. Et. M. 472, 30 442 — vs. 17 καλοῦσιν = P cf. sch. Ap. Rh. 1, 972, sch. Lyc. 23, Et. M. 472, 26 et 36, H vs. 17 ὥριον sq. Anth. 6, 198, 1—3 443 cf. sch. λ 318; — ἰέναι = An. Ox. 2, 451, 19 ex quo Et. M. 472, 27; λέγεται sq. cf. Et. M. 472, 30 444 — ὄνομα = Ambr. 375 εἰς sq. Aelian. fr. 109 445 = P, Ba 262, 27 cf. H, sch. A 482 446 = Preger 159, 5—17

442 Z 1113 444 cf. vv. φαγεῖν et ταγηνοκνισοθήρας 445 Z 1115 446 hinc v. A 4413 med.

A²(GIFVMB) 1 δημοσιέων A 7 Πλατιανὸς V 13 Ἶουλος AF Phot. Et.: Ἰούλιος rell. 17 ὥριον A Anth.: ὅριον GIVM 18 γενύων V: γενείων rell. 20 ἴενους V 22 εἰς—27 παίσω om. F 23 τε om. A 23. 24 ταγηνοκνισοθήρας V, s. v. et v. φαγεῖν: ταγηνοκνιγοθήρας rell. 24 γὰρ om. V 25 ἀπειροκαλίᾳ—27 παίσω om. in lac. AB

αὐτῇ, ὑποσημαίνοντος, ὡς διὰ τῆς εἰς τὸν σταυρὸν πίστεως τῆς γῆς ἐγκρατὴς γέγονε· σφαῖρα μὲν γὰρ ἡ γῆ διὰ τὸ σφαιροειδὲς τοῦ αὐτῆς σχήματος, πίστις δὲ ὁ σταυρὸς διὰ τὸν ἐν αὐτῷ σαρκὶ προσηλωθέντα θεόν. τὴν δὲ δεξιὰν χεῖρα ἀνατεταμένην ἔχων κατὰ ἀνατολάς, στάσιν τῶν Περσῶν σημαίνων καὶ μὴ μεταβαίνειν ἐπὶ τῆς Ῥωμαϊκῆς γῆς, διὰ τῆς ἀνατάσεως καὶ ἀπώσεως τῶν χειρῶν βοῶν· στῆτε καὶ μὴ πρόσω χωρεῖτε· οὐ γὰρ συνοίσει ὑμῖν.

447 Ἰουστινιανός, ὁ Ῥινότμητος, βασιλεὺς Ῥωμαίων, υἱὸς Κων- E
σταντίνου· ὃς πρὸς τοῖς ἄλλοις κακοῖς καὶ ἐς τὰς πολιτικὰς ἀρχὰς καθίστη ἄνδρας ἀπηνεῖς καὶ ὠμοτάτους, ὧν ἦν Στέφανος ὁ εὐνοῦχος, Πέρσης, ταμίας τῶν βασιλικῶν χρημάτων. καὶ πολλὰ τοὺς ὑπὸ χεῖρα αἰκιζόμενος ἄχρι καὶ εἰς τὴν μητέρα Ἰουστινιανοῦ τὴν τόλμαν ἐξήνεγκε, μάστιγας αὐτῇ ἐν σχήματι ὡς οἱ γραμματισταὶ τοὺς παῖδας ἐπιθέμενος. καὶ Θεόδοτόν τινα ἔγκλειστον γεγονότα κατὰ τὰ Θρᾳκῶα τοῦ στενοῦ τῶν δημοσίων λογιστήν, ὃν τὸ δημῶδες γενικὸν λογοθέτην, ἐποίησεν. ὃς ὑπερβολῇ ὠμότητος τὰ χρήματα ἔπραττε, μετεώροις σχοινίοις ἀναρτῶν καὶ περικαπνίζων ἀχύροις τοὺς περιφανεστάτους ἀπέκτεινε. καὶ Λεόντιον στρατηγὸν τῶν ἀνατολικῶν, καὶ Πατρίκιον Ἴσαυρον τρισὶν ἔτεσιν ὑποφρούριον ἐποίησεν Ἰουστινιανός, ὕστερον δὲ στρατηγὸν Ἑλλάδος ἀπέδειξεν. ὃν Παῦλος, τῆς Καλλιστράτου μονῆς μοναχός, ἀστρονόμος, καὶ Γρηγόριος Καππαδόκης, ἡγούμενος τῆς τοῦ Φλώρου μονῆς, προεμαντεύσαντο, καὶ ἐγκρατὴς τῆς βασιλείας ἐγένετο.

448 Ἰουστῖνος, φιλόσοφος, καὶ τῷ σχήματι τῶν φιλοσόφων χρώ- Hesy.
μενος, ἀπὸ τῆς Νεαπολιτῶν ἐπαρχίας τῆς Παλαιστίνης, ἐκ πατρὸς Πρίσκου τοῦ Βακχίου. οὗτος ὑπὲρ τῆς θρησκείας τῶν Χριστιανῶν πάνυ ἐκοπίασεν, ὥστε καὶ Ἀντωνίνῳ, τῷ ἐπίκλην Πίῳ, καὶ τοῖς τούτου υἱέσι καὶ τῇ συγκλήτῳ Ῥωμαίων βίβλον κατὰ τῶν ἐθνῶν συνταγεῖσαν ἐπιδοῦναι, τὸν ὀνειδισμὸν τοῦ σταυροῦ μὴ αἰσχυνόμενος. ἔγραψε καὶ ἑτέραν βίβλον, ἣν καὶ ἐπέδωκε τοῖς Ἀντωνίνου διαδόχοις, τουτέστι Μάρκῳ Ἀντωνίνῳ καὶ Λουκίῳ Αὐρηλίῳ Κομόδῳ. ἔστι καὶ ἄλλη αὐτοῦ βίβλος κατὰ τῶν ἐθνῶν, ἐν ᾗ περὶ τῆς φύσεως τῶν δαιμόνων διαλέγεται· καὶ τετάρτη βίβλος ὁμοίως κατὰ τῶν ἐθνῶν, ἣν ἐπέγραψεν Ἔλεγχος· καὶ ἄλλην Περὶ τῆς τοῦ θεοῦ μοναρχίας. καὶ ἄλλην, ἣν ὠνόμασε Ψάλτην, καὶ ἑτέραν Περὶ ψυχῆς· διάλογόν τε κατὰ τῶν Ἰουδαίων, ὃν ἐσχεδίασε κατὰ Τρύφωνος, ἀρχηγοῦ τῶν ἐν Ἐφέσῳ Ἰουδαίων. οὐ μὴν ἀλλὰ καὶ κατὰ Μαρκίωνος ἐπίσημα τεύχη ἐξέδωκε· καὶ ἄλλην βίβλον κατὰ πασῶν τῶν αἱρέσεων, ἧς μέμνηται ἐν τῷ

447 Nicephor. p. 37, 11—38, 6 448 = Hieron. vir. ill. 33 cf. Phot. Bibl. c. 125

4 ἔχειν V ἔχει Preger ἀνατολὴν V 6 ἀπτώσεως V 13 οἱ om. A 13. 14 ἐπι- A²(GIVM)
τιθέμενος IV 18 τῷ ἀνατολικῷ GVM 19 ὑπόφρουρον A 21 Καππα-
δοκίας V 27 τῷ] τὸ IVM 28 τῇ AI: τῆς GM τοῖς V συγκλήτου GVM
31 Αὐρηλλίῳ AGM Κομόδῳ] καὶ μόδῳ GM 32 φύσεως V Hieron.:
φυγῆς rell. 36 ὃν] ἣν GM 37 Μαρκίονος GIM Μαρκίνωνος V

Ἀπολογητικῷ, ὃ ἐπέδωκεν Ἀντωνίνῳ τῷ Πίῳ. οὗτος ἐν τῇ Ῥώμῃ ἔχων τὰς διατριβάς, εὐθύνων Κρίσκην τὸν Κυνικὸν τὸν κατὰ τῶν Χριστιανῶν βλασφημοῦντα καὶ καλῶν αὐτὸν λαίμαργον ἄσωτόν τε καὶ ἀκόλαστον καὶ τὸν θάνατον φοβούμενον, τέλος τῇ τούτου ἐνεργείᾳ καὶ ἐπιβουλῇ ὡς Χριστιανὸς ὑπὲρ Χριστοῦ ἔπαθεν.

E 449 Ἰουστῖνος, ὁ βασιλεὺς Ῥωμαίων, ὀρθοδοξότατος. ἦν δὲ ἀμάθητος γραμμάτων ἁπάντων καὶ τὸ δὴ λεγόμενον ἀναλφάβητος. οὗτος κτίζει καὶ τὸν ἐν τῷ Παλατίῳ χρυσὸν τρίκλινον καὶ τὸν ἅγιον Παῦ-
EL λον, τὸ ὀρφανοτροφεῖον. καὶ αὖθις· τὴν περὶ βασιλέως Ἰουστίνου κρατήσασαν δόξαν, ὡς ἔστι μάλα ἐμβριθής τε καὶ κατηκριβωμένος.

Hesy. 450 Ἰοῦστος, Τιβερεύς, ἐπαρχίας Γαλιλαίας· ἐπεχείρησε μὲν καὶ αὐτὸς Ἰουδαϊκὴν ἱστορίαν συντάξαι καί τινα ὑπομνήματα περιγράφειν· ἀλλὰ τοῦτον Ἰώσηπος ἐλέγχει ψευσάμενον. καὶ γὰρ ἐν ἐκείνῳ τῷ καιρῷ συνέγραφεν ὅτε καὶ Ἰώσηπος.

Hesy. 451 Ἰοφῶν, Ἀθηναῖος, τραγικός, υἱὸς Σοφοκλέους τοῦ τραγικοῦ γνήσιος ἀπὸ Νικοστράτης· γέγονε δὲ αὐτῷ καὶ νόθος υἱὸς Ἀρίστων ἀπὸ Θεοδωρίδος Σικυωνίας. δράματα δὲ Ἰοφῶν ἐδίδαξε ν′· ὧν ἐστιν Ἀχιλλεύς, Τήλεφος, Ἀκταίων, Ἰλίου πέρσις, Δεξαμενός, Βάκχαι, Πενθεύς, καὶ ἄλλα τινὰ μετὰ τοῦ πατρὸς Σοφοκλέους.

Δ 452 Ἰοχέαιρα: ἡ τοῖς ἰοῖς χαίρουσα, ὑποδεχομένη. ἐν Ἐπιγράμ-
Anth. μασι· σοὶ μὲν καμπύλα τόξα καὶ ἰοχέαιρα φαρέτρα, δῶρα παρὰ Προμάχου, Φοῖβε, τάδε κρέμαται.

Δ 453 Ἰώ: ὄνομα. Ἶναχος, Ἀργείων βασιλεύς, κτίζει πόλιν εἰς ὄνομα τῆς σελήνης Ἰοῦ· οὕτω γὰρ τὴν σελήνην ἐκάλουν Ἀργεῖοι. ἔσχε δὲ καὶ θυγατέρα Ἰώ, ἥντινα Πῆκος ὁ καὶ Ζεὺς ἥρπασε καὶ ἔσχε θυγατέρα ἐξ αὐτῆς Λιβύην. ἡ δὲ Ἰὼ λυπηθεῖσα ἐπὶ τῇ διαφθορᾷ ἔφυγεν εἰς τὸ Σίλπιον ὄρος κἀκεῖ τελευτᾷ. ὁ δὲ πατὴρ καὶ οἱ ἀδελφοὶ τοῦτο μαθόντες κτίζουσιν αὐτῇ ἱερὸν καὶ ἐκάλεσαν τὸν τόπον Ἰώπολιν καὶ ἔμειναν ἐκεῖ μέχρι τελευτῆς, ἐπιτελοῦντες τὴν μνήμην καὶ κρούοντες εἰς τὰς ἀλλήλων θύρας κατ' ἔτος ἔλεγον, ἰώ, ἰώ.

454 Ἰώ: σχετλιαστικόν. ἰὼ Νέμεσι, βαρύβρομοί τε βρονταί. καὶ
Ar. αὖθις· ἰώ, ἰώ, τραυμάτων ἐπωδύνων.

449 ἦν—ἀναλφάβητος Proc. h. a. 6, 11 οὗτος—ὀρφανοτροφεῖον cf. Preger 256,6—7 et 235,1—2 τὴν sq. Men. Prot. fr. 15, FHG 4, 222a = EL 191,23—5 450 = Hieron. vir. ill. 24 451 cf. sch. Ar. Ran. 78 452 — χαίρουσα cf. sch. E 53, Ap. S. 92, 2, Ambr. 385, Et. M. 473, 5, H. ὑποδεχομένη cf. Zon. 1114 σοὶ sq. Anth. 6, 9, 1—2 453 — ὄνομα cf. Ambr. 703 Ἶναχος sq. cf. [Io. Antioch.] fr. 6, 14, Byz. Zt. 9, 361 454 ἰὼ—βρονταί Eur. Ph. 182 ἰώ, ἰώ sq. Ar. Ach. 1205

449 Proc. cf. vv. A 1470 et 1952 451 cf. v. K 1730 452 Z 1114 454 Eur. cf. vv. E 1002, N 162, ὑψηλοτέρας. Ar. cf. v. συμφορά. Z 1140

A²(GIVM) 1 ὃ] ὧ I ὃν Hieron. 2 εὐθὺν GIVM τῶν om. GI 8 τρίκλινον A: γῆλ (propter cp.) GIVM 9 περὶ τοῦ β. A Ἰουστινιανοῦ G 11 Τιβερεύς Bas. ἐπεχείρισε GIV 17 Θεορίδος V Θεωρίδος coll. Ath. 13, 592a Pors. sed cf. sch. Ar. δράματα I: γράμματα rell. 18 Ἰλίου πέρσις Kust.: Ἴλιος, Περσὶς A Ἴλιος, οὐ Περσὶς GIVM 19 ἡ Πενθεύς Valck. μετὰ Pors.: κατὰ omnes 24 Ἰοῦς ed. pr. ἔχε V

455 Ἰώ· Ἀριστοφάνης· ἰὼ μακάριαι χελῶναι τοῦ δέρματος, καὶ τρισμα- Ar.
κάριαι τοὐπὶ ταῖς πλευραῖς, ὡς εὖ κατηρέψασθε καὶ νουβυστικῶς.
456 Ἰὼ Πρασιαὶ τρισάθλιαι καὶ πεντάκις, καὶ πολλῷ δεκάκις ἀπο- Ar.
λεῖσθε τήμερον. ἔστι δὲ πόλις Λακωνική.
457 Ἰὼ σκότος, ἐμὸν φάος, Ἔρεβος ὦ φαεννότατον ἐμοί· ἕλεσθέ μ', Soph.
ἕλεσθέ μ' οἰκήτορα, ἕλεσθέ μ'· οὔτε γὰρ θεῶν γένος οὔθ' ἁμερίων
ἔτ' ἄξιος βλέπειν τίν' εἰς ὄνησιν ἀνθρώπων: τουτέστιν οὔτε θεῶν
οὔτ' ἀνθρώπων γένος ὁρᾶν ἄξιός εἰμι εἰς ὠφέλειαν· ἄξιον τοίνυν
ἐξιέναι τοῦ βίου. ἢ οὕτως· εἰς ὠφέλειαν οὐκ εἰσίν οὔτε ἄνθρωποι
οὔτε θεοί· τί οὖν ζῶ; ὡς ἂν εἴ τις θάνατον σωτηρίαν νομίσειεν.
458 Ἰωάβ: ὄνομα κύριον. Δ
459 Ἰωακείμ: ὄνομα κύριον. Δ
460 Ἰωάθαμ: ὄνομα κύριον. ζήτει ἐν τῷ Ἀβιμέλεχ. Δ
461 Ἰωάννης: ὄνομα κύριον. ὅτι ὁ θεολόγος Ἰωάννης καὶ Δ
εὐαγγελιστὴς ἀπὸ τῆς ἐν Πάτμῳ ἐξορίας ἐπανελθὼν συντάττει τὸ
εὐαγγέλιον ὢν ἐτῶν ρ', διαρκέσας ἕως ἄλλων ἐτῶν ρκ'. ἐκεῖσε διάγων
καὶ συγγράφεται τὴν θεολογίαν. δέχεται δὲ ὁ Χρυσόστομος καὶ τὰς
ἐπιστολὰς αὐτοῦ τὰς τρεῖς καὶ τὴν ἀποκάλυψιν. ἔχει δὲ τίτλους δε- Suid.
καοκτώ, κεφάλαια διακόσια τριάκοντα δύο.
462 Ἰωαννίκιος: ὄνομα κύριον. Δ
463 Ἰωάννης, Ἀντιοχεύς, ὁ ἐπικληθεὶς Χρυσόστομος· πρεσβύτερος Hesy.
μὲν ἐν πρώτοις Ἀντιοχείας, Εὐσεβίου δὲ τοῦ Ἐμεσηνοῦ φιλοσόφου
καὶ Διοδώρου ἀκόλουθος. οὗτος πολλὰ συγγράψαι λέγεται, ἀφ' ὧν
οἱ περὶ ἱερωσύνης ὑπερβάλλουσι λόγοι τῷ τε ὕψει καὶ φράσει καὶ τῇ
λειότητι καὶ τῷ κάλλει τῶν ὀνομάτων. τούτοις ἐφάμιλλοι καὶ οἱ εἰς
τοὺς ψαλμοὺς τοῦ Δαβὶδ λόγοι καὶ ἡ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου
σημασία καὶ τὰ εἰς Ματθαῖον καὶ Μάρκον καὶ Λουκᾶν ὑπομνήματα.
τὰ δὲ λοιπὰ αὐτοῦ συγγράμματα κρείττονα ἀριθμοῦ τυγχάνει· ἅπασαν
γὰρ Ἰουδαϊκὴν γραφὴν καὶ Χριστιανικὴν ὑπεμνημάτισεν ὡς ἄλλος
οὐδείς. τὰς τῶν μαρτύρων δὲ πανηγύρεις ἐπηύξησεν ἐν τῷ σχεδιάζειν
ἀνεμποδίστως, καὶ τὴν γλῶσσαν αὐτοῦ καταρρεῖν ὑπὲρ τοὺς Νειλῴους
καταρράκτας. οὐδεὶς οὖν τῶν ἀπ' αἰῶνος τοιαύτην λόγου ηὐπόρησεν
εὕροιαν, ἣν μόνος αὐτὸς ἐπλούτησε, καὶ μόνος ἀκιβδήλως τὸ χρυσοῦν
τε καὶ θεῖον παρὰ πάντας ἐκληρονόμησεν ὄνομα. τῶν δὲ συγγραμμά-

455 Ar. Vsp. 1292—4 456 Ar. Pac. 242—3 c. sch. 457 Soph. Ai. 394—400 c. sch. 458 = Ambr. 667 459 = Ambr. 679 460 — κύριον = Ambr. 675 461 — κύριον = Ambr. 686 462 = Ambr. 670 463 — vs. 24 ἱερωσύνης cf. Hieron. vir. ill. 137

455 cf. v. στέγει 456 cf. v. Πρασιαί 457 cf. v. ὡς γ' ἐμοί 458 Z 1137 461 ἔχει sq. ex v. τίτλος cf. v. K 1441

1 δράματος GI 456 non nov. gl. V 5 φαεινότατον GIM cf. v. ὡς A^3(GIFVM) γ' ἐμοί 11 Ἰωάω GIVM 460 om. F 18 ἔχει—19 δύο om. GI mg. praemisso Ἰωάννης ὁ εὐαγγελιστής VM 18 δὲ om. VM 462 om. I; extra ord. 24 ὄψει V 25 οἱ om. GM 27 τὰ] τὴν V 31 καὶ] ὡς καὶ Bhd. 33 εὕρροιαν A 34 παρὰ πάντας ex V solo

των αὐτοῦ καταλέγειν τὸν ἀριθμὸν οὐκ ἀνθρώπου, θεοῦ δὲ μᾶλλον
E τοῦ τὰ πάντα γινώσκοντος. οὗτος ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστο-
μος ἀσκητὴς ἦν ἄκρως καὶ πολυάγρυπνος καὶ φιλήσυχος λίαν καὶ διὰ
ζῆλον σωφροσύνης εὐπαρρησίαστος καὶ ἀκρόχολος· θυμῷ γὰρ μᾶλλον
ἢ αἰδοῖ ἐχαρίζετο καὶ ἐλευθεροστομίᾳ πρὸς τοὺς ἐντυγχάνοντας ἀμέτρως 5
ἐκέχρητο. καὶ ἐν μὲν τῷ διδάσκειν πολὺς ἦν πρὸς ὠφέλειαν, ἐν δὲ
ταῖς συντυχίαις ἀλαζονικός τις καὶ ὑπερόπτης ἐνομίζετό τοῖς αὐτὸν
ἀγνοοῦσι. διὸ καὶ ἐπὶ τὴν ἐπισκοπὴν προβληθεὶς μείζονι ὀφρύϊ κατὰ
τῶν ὑπηκόων ἐκέχρητο πρὸς διόρθωσιν ἑκάστου καὶ σωτηρίαν καὶ τοὺς
τρόπους καὶ τοὺς λόγους μεταλλάττων. οὐ τοίνυν εἰ μή τις εἴη κόλαξ, 10
τοῦτον ἀλαζόνα εἶναι νομιστέον, οὐδ' αὖ πάλιν, εἰ κόλαξ εἴη καὶ
ἀγεννής, τοῦτον μετριόφρονα λεκτέον, ἀλλὰ τὸν ἐν τῇ προσηκούσῃ
τάξει τῇ ἐλευθέροις πρεπούσῃ ἑαυτὸν φυλάττοντα· μεγαλόψυχον μὲν
εἶναι προσήκει οὐχ ὑπερήφανον, ἀνδρεῖον οὐ θρασύν, ἐπιεικῆ οὐ
δουλοπρεπῆ, μετριόφρονα οὐ ταπεινοφροσύνην ὑποκρινόμενον, ἐλευ- 15
θέριον οὐκ ἀνδραποδώδη· ὡς καὶ αὐτὸς λέγει· διὰ τοῦτο ποικίλον
εἶναι δεῖ τὸν ποιμένα καὶ διδάσκαλον. ποικίλον δὲ λέγω, οὐχ ὕπου-
λον οὐδὲ κόλακα καὶ ὑβριστήν, ἀλλὰ πολλῆς ἐλευθερίας καὶ παρρησίας
ἀνάμεστον, εἰδότα καὶ συρκατιέναι χρησίμως, ὅταν ἀπαιτῇ τοῦτο ἡ
τῶν πραγμάτων ὑπόθεσις, καὶ χρηστὸν εἶναι ὁμοῦ καὶ αὐστηρόν. οὐ 20
γὰρ ἑνὶ τρόπῳ χρῆσθαι τοῖς ἀρχομένοις ἅπασι δέον, ἐπεὶ μηδὲ ἰατρῶν
παισὶν ἑνὶ μόνῳ φαρμάκῳ πᾶσι τοῖς κάμνουσι προσφέρεσθαι καλόν,
μηδὲ κυβερνήτῃ μίαν ὁδὸν εἰδέναι τῆς πρὸς τὰ πνεύματα μάχης.
ἐννόησον οὖν ὁποῖόν τινα εἶναι χρὴ τὸν μέλλοντα πρὸς χειμῶνα
τοσοῦτον ἀνθέξειν καὶ τοιαύτην ζάλην καὶ τοσαῦτα κύματα πρὸς τὸ 25
γενέσθαι τοῖς πᾶσι πάντα, ἵνα πάντας κερδήσῃ. καὶ γὰρ σεμνὸν εἶναι
δεῖ τὸν τοιοῦτον καὶ ἄτυφον καὶ φοβερὸν καὶ προσηνῆ καὶ ἀρχοντι-
κὸν καὶ κοινωνικὸν καὶ ἀδέκαστον καὶ θεραπευτικὸν καὶ ταπεινὸν καὶ
ἀδούλωτον καὶ φαιδρὸν καὶ ἥμερον, ἵνα ταῦτα εὐκόλως δύναται
μάχεσθαι. οὐκοῦν δεῖ τὸν ἐνεργέστατον καὶ ἐχέφρονα φεύγειν τὸ 30
κολακεύειν καὶ κολακεύεσθαι, μήτε ἀλαζονικὸν εἶναι μήτε κόλακα,
ἀλλ' ἀμφοτέρων τῶν κακῶν τούτων κολάζειν τὴν ἀμετρίαν, καὶ
ἐλεύθερον εἶναι μήτε εἰς αὐθάδειαν ἀποκλίνοντα μήτε εἰς δουλοπρέ-
πειαν καταπίπτοντα. πρὸς μὲν γὰρ χρηστοὺς ταπεινὸν ὑπάρχειν δεῖ,
πρὸς δὲ θρασεῖς ὑψηλόν. ἐπείπερ οἱ μὲν ἀρετὴν εἶναι τὴν ἐπιείκειαν 35
ἡγοῦνται, οἱ δὲ ἀνδρείαν τὴν θρασύτητα, ἐκείνοις μὲν τὴν ταπεινο-
φροσύνην προσφέρειν, τούτοις δὲ τὴν ἀνδρείαν σβεννύουσαν αὐτῶν
τὴν ἀπὸ τῆς θρασύτητος δόξαν· ἵνα τοὺς μὲν ὠφελήσῃς, τῶν δὲ
ταπεινώσῃς τὸ φρόνημα. καιρὸς γὰρ τῷ παντὶ πράγματι, φησὶ
Σολομῶν· τουτέστι ταπεινότητος, ἐξουσίας, ἐλέγχου, παρακλήσεως, 40

468 vs. 3 ἀσκητὴς sqq. Georg. 594, 18—597, 14

A²(GIVM) 4 ἀκρόχηλος V 8 ἐπὶ om. V cf. Georg. 29 δύνηται G 33 ἀποκλίναντα V 38 ὠφελήσεις V cf. Georg.

φειδοῦς, παρρησίας, χρηστότητος, ἀποτομίας καὶ ἁπαξαπλῶς παντὸς πράγματος· ὥστε ποτὲ μὲν τὸ τῆς ταπεινότητος δεικνύειν καὶ μιμεῖσθαι ἐν ταπεινώσει τὰ παιδία κατὰ τὴν κυριακὴν φωνήν, ποτὲ δὲ τῇ ἐξουσίᾳ κεχρῆσθαι, ἣν ἔδωκεν ὁ κύριος εἰς οἰκοδομὴν καὶ οὐκ εἰς καθαίρεσιν, ὅταν ἡ χρεία ἐπιζητῇ τὴν παρρησίαν· καὶ ἐν καιρῷ μὲν παρακλήσεως τὸ χρηστὸν ἐνδείκνυσθαι, ἐν καιρῷ δὲ ἀποτομίας τὸν ζῆλον ἐμφαίνειν καὶ ἐφ' ἑκάστου τῶν ἄλλων ὁμοίως τὸν ἔγκριτον καὶ δίκαιον λογισμὸν ἀποφέρεσθαι. λογισμοὶ γὰρ δικαίων κρίματα. καὶ Ἰσίδωρος· τὸν ἄρχοντα δίκαιον εἶναι δεῖ καὶ φοβερόν, ἵν' οἱ μὲν εὖ βιοῦντες θαρροῖεν, οἱ δ' ἁμαρτάνοντες ὀκνοῖεν. θάτερον γὰρ θατέρου χωρὶς ἀναρχία μᾶλλόν ἐστιν ἢ ἀρχή. εἰ μὲν γὰρ πάντες ἦσαν εὐπειθεῖς καὶ φιλάρετοι, ἀγαθότητος ἔδει μόνης· εἰ δὲ φιλαμαρτήμονες, φόβου. ἐπειδὴ δὲ καὶ ἀγαθοί εἰσι καὶ κακοί, ἀμφότερα καταχειριστέον τῷ ἄρχοντι καὶ προϊσταμένῳ.

464 Ἰωάννης, γραμματικός, Ἀλεξανδρεύς, ὁ ἐπικληθεὶς Φιλόπονος. Hesy. τούτου συγγράμματα πάμπολλα, γραμματικά, φιλόσοφα, ἀριθμητικά, ῥητορικά, τῆς τε θείας γραφῆς καὶ κατὰ τῶν δεκαοκτὼ Προκλείων ἐπιχειρημάτων καὶ κατὰ Σεβήρου. πλὴν ὅτι παρὰ τῶν τῆς ἐκκλησίας διδασκάλων ὡς τριθεΐτης ἐκβάλλεται καὶ τοῦ καταλόγου τῶν ὀρθοδόξων ἀποδιώκεται.

465 Ἰωάννης, Φιλαδελφεὺς Λυδός. οὗτος ἔγραψε Περὶ μηνῶν βιβλίον Hesy. ἕν· καὶ Περὶ Διοσημειῶν ἕτερον· καὶ ἄλλων τινῶν ὑποθέσεων μαθηματικῶν. προσομιλεῖ δὲ ταῦτα Γαβριηλίῳ τινὶ ὑπάρχῳ.

466 Ἰωάννης, ὁ ἐπονομαζόμενος Στοβεύς. Ἀνθολόγιον, περιέχον Hesy. τὰς παρὰ πᾶσι πολλῶν δόξας ἐν βιβλίοις τέσσαρσιν, ἐνάρετα πάνυ καὶ γέμοντα πάσης παιδεύσεως. γράφει δὲ ταῦτα πρὸς Ἐπίμιον υἱὸν αὐτοῦ.

467 Ἰωάννης ὁ Δαμασκηνός, ὁ ἐπικληθεὶς Μανσούρ, ἀνὴρ καὶ αὐτὸς Hesy. ἐλλογιμώτατος, οὐδενὸς δεύτερος τῶν κατ' αὐτὸν ἐν παιδείᾳ λαμψάντων. συγγράμματα αὐτοῦ πάνυ πολλὰ καὶ μάλιστα φιλόσοφα· εἵς τε τὴν θείαν γραφὴν Παράλληλοι κατ' ἐκλογήν, καὶ οἱ ᾄσματικοὶ κανόνες, ἰαμβικοί τε καὶ καταλογάδην. συνήκμαζε δ' αὐτῷ καὶ Κοσμᾶς ὁ ἐξ Ἱεροσολύμων, ἀνὴρ εὐφυέστατος καὶ πνέων μουσικὴν ὅλως τὴν ἐναρμόνιον. οἱ γοῦν ᾄσματικοὶ κανόνες Ἰωάννου τε καὶ Κοσμᾶ σύγκριτον οὐκ ἐδέξαντο οὐδὲ δέξαιντο, μέχρις ἂν ὁ καθ' ἡμᾶς βίος περαιωθήσεται.

468 Ἰωάννης, ὁ τυραννήσας εἰς Ῥώμην ἐπὶ Θεοδοσίου, πρᾶος ἦν E

468 Proc. Bell. 3, 3, 6—7

467 hinc v. K 2139

17 τῆς τε] περὶ τῆς Daub 18 παρὰ] κατὰ V 23 Γαβρηλίῳ GVM A^2(GIVM) Γαβριλίῳ I 24 περιέχον—25 πᾶσι] περιέχων πασῶν V 25 παρὰ πᾶσι] περιττὰς Bhd. 26 Ἐπίτιμον V Ἐπτίμιον Schottus Σεπτίμιον coll. Phot. Bibl. p. 112a 17 Bhd. 28 Μασοὺρ V 29 οὐδενὸς] καὶ οὐ. Bhd. 31 κατ' ἐκλογήν A: καταλογήν rell. cf. vs. 32 34 οὖν V

καὶ ξυνέσεως εὖ ἤκων καὶ ἀρετῆς μεταποιεῖσθαι ἐξεπιστάμενος. ὃς τὴν τυραννίδα μετρίως ἐξηγήσατο, οὐδὲ τοῖς διαβάλλουσι τὴν ἀκοὴν ὑπέσχεν οὐδὲ φόνον ἄδικον εἰργάσατο ἑκών γε εἶναι οὐδὲ χρημάτων ἀφαιρέσει ἐπέθετο.

E 469 Ἰωάννης, ὁ Καππαδοκίας ἔπαρχος Ἰουστινιανοῦ, λόγων μὲν τῶν ἐλευθερίων καὶ παιδείας ἀνήκοος ἦν. οὐ γὰρ ἄλλο οὐδὲν ἐς γραμματιστοῦ φοιτῶν ἔμαθεν ὅτι μὴ γράμματα, καὶ ταῦτα κακὰ κακῶς γράψαι. φύσεως δὲ ἰσχύϊ πάντων γέγονε δυνατώτατος ὧν ἡμεῖς ἴσμεν· γνῶναί τε γὰρ τὰ δέοντα ἱκανώτατος ἦν καὶ λύσιν τοῖς ἀπόροις εὑρεῖν. πονηρότατος δὲ πάντων ἀνθρώπων γεγονὼς τῇ τε τῆς φύσεως δυνάμει ἐς τοῦτο ἐχρῆτο, καὶ οὔτε θεοῦ λόγος οὔτε ἀνθρώπων αὐτὸν αἰδώς τις εἰσήει, ἀλλὰ βίους τε αὐτῷ ἀνθρώπων πολλῶν ἀπολλύναι κέρδους ἕνεκα καὶ πόλεις ὅλας καθελεῖν ἐπιμελὲς ἦν. χρόνου τοῦν ὀλίγου χρήματα μεγάλα περιβαλόμενος ἐς κραιπάλην τινὰ ἐκλελάκτικεν ὅρον οὐκ ἔχουσαν· ἄχρι μὲν ἐς τὸν τοῦ ἀρίστου καιρὸν ληϊζόμενος τὰς τῶν ὑπηκόων οὐσίας, μέθῃ δὲ τὸ λοιπὸν καὶ σώματος ἔργοις ἀσελγέσιν ἠσχολημένος. κατέχειν δὲ αὐτὸν οὐδαμῇ ἴσχυεν, ἀλλὰ τά τε βρώματα μέχρι ἐς ὅσον ἤσθιε καὶ τὰ χρήματα κλέπτειν μὲν ἦν ἐσαεὶ ἕτοιμος, προΐεσθαι δὲ καὶ δαπανᾶν ἑτοιμότερος. οὗτος δὲ ὁ Ἰωάννης πᾶσιν ἀνθρώποις βαρὺς ἦν ὁμοίως καὶ χαλεπός, πληγάς τε τοῖς προσπίπτουσιν ἐντεινόμενος καὶ τὰ χρήματα ἁπαξάπαντα λόγῳ οὐδενὶ ληϊζόμενος, τὴν δίκην ὀρθῶς καὶ δικαίως τῆς ἐς τὴν δίκην παρανομίας ἐξέτισεν.

E 470 Ἰώανος, βασιλεὺς Ἱεροσολύμων, μετὰ θάνατον Ἰωδαὲ τοῦ ἀρχιερέως προέδωκε τὴν ἐπιμέλειαν τὴν πρὸς τὸν θεόν. συνδιεφθάρησαν δὲ αὐτῷ καὶ οἱ τοῦ πλήθους πρωτεύοντες ὥστε πλημμελεῖν εἰς τὰ δίκαια καὶ νενομισμένα παρ' αὐτοῖς ἄριστα εἶναι. δυσχεράνας δὲ ὁ θεὸς ἐπὶ τῇ μεταβολῇ τοῦ βασιλέως καὶ τῶν ἄλλων πέμπει τοὺς προφήτας διαμαρτυρησομένους τε τὰ πραττόμενα καὶ παύσοντας τῆς πονηρίας αὐτούς. οἱ δὲ ἰσχυρὸν ἔρωτα καὶ δεινὴν ἐπιθυμίαν ἄρα ταύτης εἶχον. ἀλλὰ καὶ Ζαχαρίαν, υἱὸν τοῦ ἀρχιερέως Ἰωδαέ, κατέλευσαν λίθοις ἐν τῷ ἱερῷ, διότι προεφήτευσεν, αὐτοὺς τιμωρίαν μεγάλην ὑφέξειν μὴ πειθομένους.

471 Ἰώβ, ὁ μέγας ὄντως ἐκεῖνος καὶ γενναῖος τῆς ἀληθείας ἀγωνιστής, ὁ πρῶτος ἀνοίξας τὸ γυμνικὸν ἐκεῖνο καὶ παγκόσμιον στάδιον, ὁ τὸν ἀντίπαλον πάσαις ταῖς πάλαις καταβαλών, ὁ μέχρι καὶ τῶν

469 — vs. 19 ἑτοιμότερος Proc. Bell. 1, 24, 11—15. οὗτος sq. l. l. 1, 25, 3
470 Ios. Ant. 9, 166—9 471 eidem auctori cui v. Ἀδαμ attr. Kust.

468 cf. vv. ξυνέσεως et ὑπέσχεν 469 cf. vv. A 2107 et 2906; hinc v. Γ 422
471 Καισίας cf. v. K 451; Ἡρακλέους cf. v. K 232

A[a](GIFVM) 5 ὁ] ὁ ἐκ A Καππαδοκῶν F 10 ἀνθρώπων om. V τῆς ex AV Proc.
12 αὐτῷ om. A 14 περιβαλλόμενος GIVM v. l. Proc. 18 μέχρις GM
22 τῆς om. V 24 Ἰωάννης V Ἰωσαὲ Ios. Ἰωδαὲ A: Ἰωνὰδ GIM Ἰωὴλ V
32 αὐτοῖς I αὐτοῦ V cp. G 33 ὑφέξειν] ἤγουν καρτερήσειν ss. V 36 καὶ om. V

ὀστέων τὰς πληγὰς καὶ τοὺς μώλωπας εἰσδεξάμενος καὶ μείνας ἀήττητος, ὁ σκωλήκων πλήρης καὶ στεφανίτης· ὃν οὐδὲ θάνατος ἴσχυσε καταστρῶσαι καὶ κονίσαι τὰ ὄπισθεν, ἀλλ' ἔτι ἕστηκεν ὥσπερ τις ἀνδριὰς ἀπερίτρεπτος ἢ καὶ ἄκμων ἀνήλατος, δι' ὅλου τοῦ βίου καταπαλαίων καὶ καταράσσων τὸν ἀντικείμενον. οὗτος πρῶτος κατεπάτησε τὸν Διάβολον· οὗτος ἤρατο κατὰ τοῦ πονηροῦ νίκης τρόπαια, οὐ Νέμεα καὶ Ὀλύμπια Ἴσθμιά τε καὶ Πύθια καὶ ὅσα Ἑλληνικοὶ διακομπάζουσι λόγοι ἀγωνιζόμενος, ἀλλὰ πρὸ παίδων καὶ κτήσεως καὶ βοσκημάτων καὶ θεραπείας καὶ πάσης τοῦ βίου διαγωγῆς καὶ πτωμάτων οἰκίας τάφους τὰς αὐτὰς καὶ πολυάνδρια τῶν ἑαυτοῦ παίδων γεγενημένας ὁ καρτερόψυχος θεασάμενος, οὓς ἐν μιᾷ ἡμέρᾳ καὶ ὥρᾳ ἐπὶ τῆς τραπέζης εὐωχουμένους καὶ συνεσθίοντας κατέστρωσε σωρηδὸν ὁ παμμίαρος, ἐπεισείσας αὐτοῖς τὸ δωμάτιον, οὐ δύο καὶ τρεῖς ἢ τέτταρας, ἀλλὰ δέκα τοὺς πάντας καὶ πάσας καταβαλών. καὶ οὐδὲ μέχρι τούτων ἡ λύσσα καὶ βασκανία ἠρκέσθη τοῦ ἀντιπάλου, ἕως αὐτὸν τὸν ἀθλητὴν γυμνὸν ἐπὶ τῆς κοπρίας ἐκκαλεσάμενος καὶ κατάστικτον ὅλον τοῖς ἕλκεσι καὶ πλήρη σκωλήκων ἀπεργασάμενος, θέαμα φρικτόν τε καὶ ξένον ὅλῃ τῇ ὑφ' ἡλίῳ κατέστησεν, ἔτεσιν ἑπτὰ τοῖς ὀδοῦσι δαρδάπτων καὶ τῇ γλώσσῃ λικμώμενος ὅλον τὸ σῶμα τοῦ μάκαρος· μέχρις ὅτου τὴν ἧτταν ἐφ' ἑαυτὸν ὁ παμμίαρος ἐπεσπάσατο καὶ τὴν αἰσχύνην τέλεον ἐκληρώσατο. ἔχεις τὸ λοιπὸν καὶ τούτου τοῦ φιλοσόφου τὰ ἔπαθλα. ἔχεις καὶ τούτου τὴν βίβλον πολὺ τῆς Ὁμήρου καὶ Πλάτωνος ἀηδόνος λιγυρώτερον ᾄδουσαν, οὐ μύθων καὶ παθῶν ἀλλοτρίων ὑφηγήσεις διαγορεύουσαν, ἢ τὸν θρασύτατον Ἀχιλλέα ἢ τὸν Ὀδυσσέα τὸν πολυμήχανον, ὧν αἱ σφαγαὶ τυγχάνουσι τρόπαια καὶ γυναικῶν φθοραὶ κατορθώματα, ἀλλὰ τὸν Σατανᾶν ὑπὸ γυμνοῦ τινος καὶ ἀόπλου καὶ μόνου καταρασσόμενον, καὶ φίλων συμπαθῶν δημηγορίας καὶ δάκρυα καὶ φυσιολογίαν ὅλης τῆς κτίσεως καὶ ζώων καὶ ὀρνέων φύσεις καὶ λαμπρά τινα διηγήματα, καὶ αὐτοῦ δὲ τοῦ δράκοντος τὴν εἰκόνα τοῦ σκολιοῦ καὶ πολλὰς ἔχοντος τὰς ἑλίξεις καὶ τοὺς ὀφθαλμοὺς ὡς πῦρ ἀποστίλβοντας· καὶ τὴν εἰς ᾅδου καὶ τῶν καταχθονίων τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ συγκατάβασιν καὶ τὴν ἐξ ᾅδου καὶ τῶν νεκρῶν ἀναβίωσιν καὶ πάλιν τὸν δίκαιον στεφανίτην ἀναγορεύουσαν καὶ παῖδας καὶ κτῆσιν ὅλην πολυπλασίως λαμβάνοντα καὶ χρόνον ζωῆς διπλασιαζόμενον καὶ θυγατέρων ὀνόματα ἐξαλλάσσοντα, οὐ Λήδης ἢ τῆς Εὐρώπης καὶ Ἀντιόπης, ἃς ὁ τῶν θεῶν ὕπατος Ζεὺς διεκόρησεν, ἀλλ' Ἡμέρας τε καὶ Κασίας καὶ Ἀμαλθείας προσωνυμίας λαμβάνουσαι καὶ τὸ κριθῆναι πασῶν γυναικῶν τῶν ὑπὸ τὸν οὐρανὸν ἐκπρεπέστεραι, καὶ τὸ δὴ μέγιστον τοῦ νικηφόρου καὶ

4 ἀνδριὰς] ἤγουν στήλη ss. V ἄκμων] σιδ ss. V ἀνήλατος] ἤγουν μὴ καταπονούμενος ss. V A²(GIVM) 5. 6 κατεπάτησε V: κατεπάλαισε AGIM cf. vs. 5 13 οὐ] καὶ V cf. vs. 23 14 δέκα] ἤγουν ι' υἱοὺς καὶ θυγατέρας mg. add. V 19 δαρδάπτων] ἤγουν καταμασσόμενος ss. V λικμάμενος V λιχμώμενος Bhd. 23 οὐ] καὶ GI cf. vs. 13 25 αἱ del. Dr. 26 φθορὰς A 31 ὡς πῦρ om. A 37 Κασσίας GIVM καὶ Ἀμαλθείας om. V

στεφανίτου 'Ιὼβ τὴν εὐγένειαν ὥσπερ τι γνώρισμα καὶ κλῆρον λαχούσας ἐξαίρετον. μόνος γὰρ οὗτος εὐγενὴς τῶν ἀφ' ἡλίου ἀνατολῶν, ὁ κλεινὸς καὶ τριπόθητος, ὁ τοῦτο κερδάνας τῶν ἑαυτοῦ ἄθλων τὸ τελευταῖον καὶ ἔσχατον, τὸ μετὰ Χριστοῦ συναναστῆναι καὶ τὸν τῇδε κόσμον θεάσασθαι πάλιν μετὰ τοῦ σώματος, οὐ κατὰ τὸν Ἡρακλέους μῦθον καὶ τὴν 'Αδμήτου Ἄλκηστιν, ἣν ὁ καλλίνικός τε καὶ τριέσπερος ὑπὲρ τοῦ ἀνδρὸς τελευτήσασαν ἤγειρε, κἂν ἔσχατον πυρός τε καὶ γυναικὸς γέγονε παρανάλωμα, ἀλλὰ κατὰ τὴν ἄρρητον τοῦ σωτῆρος ἡμῶν δύναμιν, τοῦ τὸν ᾅδην σκυλεύσαντος καὶ τοὺς νεκροὺς ἐκ τῶν καταχθονίων ἁρπάσαντος, ὃς ἐκάθισεν ἐκ δεξιῶν τοῦ γεννήτορος μετὰ τοῦ προσλήμματος καὶ βασιλεύει πάσης ἀοράτου τε καὶ ὁρατῆς κτίσεως.

Δ 472 'Ιωβηλαῖος: μήν. παρὰ 'Ιουδαίοις τιμώμενος. ἰστέον δέ, ὅτι τὸ ἀρχαῖον ἔτος κατὰ ἑπταετίαν ἠρχεῖτο παρὰ 'Ιουδαίοις ὁμοίως ταῖς ἑβδομάσιν ἡμέραις.

Δ 473 'Ιωγή: σκέπη.

Ε 474 'Ιωδαέ· οὗτος ἱερεὺς ἦν, ὃς διὰ τὴν πολλὴν αὐτοῦ εὐσέβειαν ἐβίωσεν ἔτη ρλ'.

Δ 475 'Ιώεσδρος: ὄνομα κύριον.

Δ 476 'Ιωή: πνοή.

Δ 477 'Ιωήλ: ὄνομα κύριον.

Δ 478 'Ιωθάμ: ὄνομα κύριον.

Δ 479 'Ιώθη: ἐχολώθη.

Δ 480 'Ιώθων: ὄνομα κύριον.

Σ 481 'Ιωκάς: ὁρμάς, διώξεις.

Hom. 482 'Ιῶκά τε δακρυόεσσαν: Ὅμηρος ἰῶκα λέγει τὴν ἰωκήν, ὡς Ἡσίοδος κρόκα τὴν κρόκην· καὶ αὐτὸς Ὅμηρος τὴν ἀλκῇ, ἀλκί· ἀλκὶ πεποιθώς. λέγει δὲ ἰωκὴν ἀπὸ μέρους τὴν μάχην, ἐπεὶ διώξεως αἰτία γίνεται· ὅθεν καὶ βοὴν τὸν πόλεμον ἀπὸ τοῦ ἀλαλαγμοῦ.

Ar. 483 'Ιώ, κλάετ' ὀβολοστάται, αὐτοί τε καὶ τ' ἀρχαῖα καὶ τόκοι τόκων.

472 — μήν = Ambr. 693 473 = Ambr. 700, Et. M. 481, 21 cf. H, sch. Ξ 533 474 Georg. 216, 7—8 475 cf. L 476 = Ambr. 698 cf. Et. M. 481, 16, H, Apion, sch. Δ 276 477 = L 478 cf. L 479 = Ambr. 708 cf. H 481 = P, Ba 265, 5, H, sch. Θ 521 cf. Ambr. 701 = Ps. Herodian. 43, Lex. de sp., Et. M. 481, 24 482 — ἀλκί cf. sch. A in Θ 299; — κρόκην = sch. A (Aristonic.) in Λ 601, Et. M. 481, 27 cf. Et. Gen.; Hesiod. O. 538 483 Ar. Nu. 1155—63

472 Z 1137 473 hinc fort v. ὑπιγή 475 Z 1137 477—8 Z 1137 479 Z 1140 481 Z 1139 482 cf. v. K 2458 fin. 483 cf. v. A 4009

A²(GIFVM) 1. 2 λαχοῦσαι Dr. 2 ἀφ' A, Didym. in Nicetae catena: ὑφ' rell. 4 συναναστῆναι] περὶ ἀναστάσεως 'Ιωβ mg. add. GVM 6 ὁ A: ἡ rell. 8 κατὰ AV: καὶ GIM 10 ὃς] ὃς καὶ V 13 'Ιωβολαῖος V 14 παρὰ] τοῖς add. F 17 ὃς] καὶ A 20 ἡ πνοή V, Ambr. Zon. 1138 21 'Ιώλ A 24 'Ιώθωμ V 26 'Ι. γε δακρυόσαι F ὡς] ὥσπερ F 27 ἀλκῇ AV: ἀλκὴ FM ἀλκὴν GI 28 ἐπειδὴ F διώξεως] διώξεται ὡς V 30 ἠβολοστάται V καὶ τ'] κατ' VM ἀρχαῖα GF, v. l. Ar.: ἀρχεῖα A, v. l. Ar. ἀρχαῖαι IVM

οὐδὲν γάρ με φλαῦρον ἐργάσεσθ' ἔτι. οἷος ἐμοὶ τρέφεται τοῖσδ' ἐνὶ δώμασι παῖς, ἀμφήκει γλώττῃ λάμπων, πρόβολος ἐμός, σωτὴρ δόμοις, ἐχθροῖς βλάβη, λυσανίας πατρῴων μεγάλων κακῶν.

484 Ἰῶλκα: αὔλακα. Δ

485 Ἴωμαι· αἰτιατικῇ. Synt.

486 Ἰώμενος: θεραπεύων. Δ

487 Ἴων, Χῖος, τραγικὸς καὶ λυρικὸς καὶ φιλόσοφος, υἱὸς Ὀρθομένους, ἐπίκλησιν δὲ Ξούθου. ἤρξατο δὲ τὰς τραγῳδίας διδάσκειν ἐπὶ τῆς πβ' ὀλυμπιάδος. δράματα δὲ αὐτοῦ ιβ', οἱ δὲ λ', ἄλλοι δὲ μ' φασιν. οὗτος ἔγραψε περὶ μετεώρων, καὶ συνθέτους λόγους. ὃν παίζων Ἀριστοφάνης ὁ κωμικὸς Ἀοῖόν φησι. οὗτος τραγῳδίαν νικήσας Ἀθήνησιν ἑκάστῳ τῶν Ἀθηναίων ἔδωκε Χῖον κεράμιον. Hesy. Ar. Suid.

488 Ἰῶν: βελῶν. Ἰὼν δὲ ὀξυτόνως ἀντὶ τοῦ πορευθείς. Σ + Δ

489 Ἴων, τραγῳδίας ποιητής· Χῖος τὸ γένος. Harp.

490 Ἰωνάθης: ὄνομα κύριον. Δ

491 Ἰωνᾶς: ὄνομα κύριον. Δ

492 Ἴωνες: Ἀσιῶται καὶ Ἀττικοὶ Ἀθηναῖοι. διὰ τοῦ ω μεγάλου. εἶης ἐν μακάρεσσιν, Ἀνάκρεον, εὖχος Ἰώνων. Σ Δ Anth.

493 Ἰωνιά: ὁ λειμὼν τῶν ἴων. ὥσπερ ῥοδωνιά, ὁ τῶν ῥόδων, καὶ κρινωνιά, ὁ τῶν κρίνων. Σ Ar.

494 Ἰωνία: χώρα. καὶ Ἰωνίας πόλεις ιβ', ἃς ἐνοικίζει Νηλεὺς ὁ Κόδρου. εἰσὶ δὲ Ἔφεσος Ἀνδρόκλου, Μίλητος, Μυοῦς, Πριήνη, Κολοφών, Τέως, Λέβεδος, Ἐρυθραί, Φώκαια, Κλαζομεναί, Χῖος, Σάμος. ταύτας Δαρεῖος ἐπὶ Σκύθας ἰὼν αὐτοῖς φύλαξιν ἐπὶ τοῦ Ἴστρου ἐχρήσατο, ἐκτομίας δὲ αὐτῶν τοὺς εὐγενεστάτους ἐποίει καὶ παλλακὰς τὰς θυγατέρας. Δ

495 Ἰωνικός: Ἑλληνικός, Ἀθηναῖος, ἀρχαῖος. καὶ Ἰωνικῶς, Δ?

484 = Ambr. 699, H 485 = Synt. Gud. et Laur. cf. An. Ox. 4, 295, 5 487 Hesy. cf. Harp. plen. vs. 10 οὗτος—11 φησι sch. Ar. Pac. 829 et 835 cf. Bentley, Ep. ad Mill. p. 66 488 cf. Philop. diff.; βελῶν + πορευθείς = P, Ba 265, 6; πορευθείς cf. H, Ap. S. 93, 32 489 Harp. = P 490 = Ambr. 687 491 = Ambr. 688, Ps. Herodian. 43 492 — Ἀθηναῖοι = P, Ba 265, 8 εἶης sq. Anth. 7, 27, 1 493 — ῥόδων cf. sch. Ar. Pac. 577, H. — ἴων = P, Ba 265, 7 cf. Ambr. 705 494 — χώρα = Ambr. 704, Ps. Herodian. 43, Philop. diff. Ἰωνίας sq. cf. Ael. v. h. 8, 5 495 — Ἀθηναῖος cf. Ambr. 697 Ἰωνικῶς sq. Ar. Th. 163 c. sch.

484 Z 1139 487 Ar. cf. v. Δ 1029. οὗτος sq. ex v. A 731 490 Z 1137 492 cf. 495. Anth. cf. v. A 2147 493 cf. vv. K 2431 et ῥοδωνιά 1, 2. Z 1139 494 hinc Harp. plen. ms. B, Z 1139 495 cf. 492; Ar. cf. v. Ε 989. hinc Harp. plen. ms. B

1 ἐργάσασθ' GVM, v. l. Ar. 486 non nov. gl. M 7 υἱὸς—12 κεράμιον A^2(GITFVM) om. F 8 πβ'] δευτέρ add. V 11 οὗτος—12 κεράμιον om. T mg. V post vs. 8 Ξούθου I 12 Χῖον κεράμιον] κερ. ἓν GIM 489 om. IT 22 Ἀνδρόκλου coll. Aelian., Strab. 14, 632 fin., Anth. 9, 790, 3 Kust.: Ἀνδροκλος omnes 23 Τέως] Τέρος V Φώκαια A: Φωκέα rell. 24 ταύτας—26 θυγατέρας om. F 24 ταύταις ed. pr. ἰὼν ex A solo 25 δὲ] τε V 27 Ἀθηναῖος] Ἴων γὰρ Ἀθηναῖος add. F

Ar. ἀντὶ τοῦ ἁβρῶς. ἐμιτροφόρουν τε καὶ διεκίνουν Ἰωνικῶς. Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις.

Δ 496 Ἰωνία: χώρα.

Δ 497 Ἴωξις: ἡ δίωξις.

EV 498 Ἰωράμ, Ὀχοζίου υἱὸς βασιλέως Ἰσραήλ, πάσης κακίας καὶ πονηρίας ἀπάπλεως καὶ ἀσεβής. ἦν δὲ τὰ ἄλλα δραστήριος.

Δ 499 Ἰώραμος: ὄνομα κύριον.

Σ 500 Ἰωρός: θυρωρός, φύλαξ. καὶ παροιμία· οὐδ' ἐντὸς ἰωροῦ.

Prov. καὶ ὁ νόμος ὁ παρ' Ἀθηναίοις ἐκτὸς ἰωροῦ ἐκέλευεν εἶναι τοὺς ἀνδροφόνους. ἐπὶ τοίνυν τῶν ἀπειλούντων καὶ σοβαρευομένων τῇ παροιμίᾳ ἐκέχρητο.

E 501 Ἰωσαφάτ, βασιλεύς. οὗτος εὐηρέστησε τῷ θεῷ· διὰ δὲ τὴν πρὸς Ἀχαὰβ φιλοστοργίαν ἔφη πρὸς αὐτὸν Ἰηοῦ ὁ προφήτης, ὁ τοῦ Ἀνανή· βασιλεῦ Ἰωσαφάτ, εἰ ἁμαρτωλῷ σὺ βοηθεῖς ἢ μισουμένῳ ὑπὸ κυρίου φιλιάζεις, διὰ τοῦτο ἐγένετο ἐπὶ σὲ ὀργὴ κυρίου, εἰ μὴ λόγοι ἀγαθοὶ εὑρέθησαν ἐν σοί· καὶ ὅτι ἐξῆρας τὰ ἄλση ἀπὸ τῆς γῆς Ἰούδα καὶ κατηύθυνας τὴν καρδίαν σου ἐκζητῆσαι τὸν κύριον, καὶ εὑρέθη ἡ καρδία σου τελεία πρὸς κύριον, διὰ τοῦτο ἐφείσατό σου κύριος, πλὴν ὅτι διεκόπη τὰ ἔργα σου καὶ συνετρίβησαν τὰ πλοῖά σου. κἀντεῦθεν διδασκόμεθα, ὡς ἐλαττοῖ τὰς ἐπὶ τοῖς ἁμαρτήμασι τιμωρίας τὰ προγεγενημένα κατορθώματα. ὁ γὰρ θεὸς ταῦτα ἐκείνοις ἀντιμετρῶν οὗ τως ἐκφέρει τὴν ψῆφον.

Δ 502 Ἰωσεδέκ: ὄνομα κύριον.

503 Ἰώσηπος, Ἰουδαῖος, φιλαλήθης, λέγων περὶ τοῦ Προδρόμου, καὶ περὶ τοῦ κυρίου ἡμῶν καὶ θεοῦ καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ.

Hesy. Ματθίου παῖς, ἱερεὺς ἐξ Ἱεροσολύμων, ὁ γράψας τὴν Ἰουδαϊκὴν ἀρχαιολογίαν ἐν βιβλίοις εἴκοσιν. οὗτος ἅλοὺς παρὰ Οὐεσπασιανοῦ μετὰ Τίτου τοῦ υἱοῦ αὐτοῦ ἐπὶ τῇ τῶν Ἱεροσολύμων ἁλώσει κατελείφθη καὶ σὺν αὐτῷ εἰς Ῥώμην ἐλθὼν ἑπτὰ λόγους τῆς Ἱεροσολύμων ἁλώσεως τοῖς βασιλεῦσι προσήνεγκεν, οἵτινες τῇ δημοσίᾳ βιβλιοθήκῃ παρεδόθησαν, καὶ διὰ τὴν δόξαν τῆς συγγραφῆς ἀνδριάντος ἠξιώθη. ἔγραψε δὲ καὶ τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας λόγους εἴκοσιν, ἀπὸ τῆς τοῦ κόσμου ἀρχῆς ἕως τεσσαρεσκαιδεκάτου ἔτους Δομετιανοῦ Καίσαρος.

497 = H, Ambr. 701, Lex. de sp. 498 Ios. Ant. 9, 27 = EV 1, 67, 11—3 499 = L 500 — φύλαξ = P cf. Ambr. 665, H οὐδ' sq. cf. Paroem. ed. Gsf. p. 87 n. 718 501 Georg. 213, 14—214, 7 502 = Ambr. 666 503 Ματθίου sq. = Hieron. vir. ill. 23; Ios. Ant. 18, 63—4 (= EV 1, 84, 17—26)

497 Z 1139 500 Z 1138 502 Z 1137

A²(GIFVM) 1 ἁβρῶς] ἀκριβῶς F 5 πάσης—6 δραστήριος om. F 8 καὶ—11 ἐκέχρητο om. F 11 κέχρηνται I 13 Ἰοῦ GIVM 14 βασιλεύς V σὺ] σοι V ad 20 ἁμαρτιῶν ἄφεσις mg. add. M 20. 21 προπεπραγμένα I προγεγραμμένα G 24 τοῦ om. V 26 ἱερεὺς F Hieron.: ἱερέως rell. 27 οὗτος—p. 655, 34 κειμηλίοις om. F 27 Οὐεσπεσιανοῦ AI cf. p. 655, 23 28 μετὰ A Hieron.: καὶ rell. 29 αὐτῷ A: αὐτοῖς rell.

καὶ δύο βίβλους ἑτέρας ἀρχαιότητος κατὰ Ἀππίωνος γραμματικοῦ Ἀλεξανδρέως, ὃς ἐπὶ Καλλιγόλᾳ πρεσβευτὴς ἀπεστάλη παρὰ τοῦ μέρους τῶν Ἑλλήνων κατηγορήσων Φίλωνος διὰ λόγου τινὸς κατάγνωσιν περιέχοντος τοῦ Ἰουδαίων ἔθνους. ἔστι καὶ ἄλλος αὐτοῦ λόγος Περὶ αὐτοκράτορος λογισμοῦ, ἐνάρετος πάνυ, ἐν ᾧ καὶ τοῦ πάθους τῶν Μακκαβαίων ἐμνήσθη. οὗτος ἐν τῇ ὀκτωκαιδεκάτῃ τῆς Ἀρχαιολογίας βίβλῳ φανερῶς ὁμολογεῖ διὰ τὸν ὄγκον τῶν σημείων τὸν Χριστὸν ἐσφάχθαι παρὰ Ἰουδαίων καὶ Ἰωάννην τὸν βαπτιστὴν ἀληθῶς γεγενῆσθαι προφήτην καὶ διὰ τὴν σφαγὴν Ἰακώβου τοῦ ἀποστόλου τὰ Ἱεροσόλυμα πεπορθῆσθαι. γράφει δὲ περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οὕτως· γίνεται δὲ κατὰ τοῦτον τὸν χρόνον Ἰησοῦς, σοφὸς ἀνήρ, εἴ γε ἄνδρα αὐτὸν λέγειν χρή· ἦν γὰρ παραδόξων ἔργων ποιητής, διδάσκαλος ἀνθρώπων τῶν ἡδονῇ ταληθῆ δεχομένων, καὶ πολλοὺς μὲν τῶν Ἰουδαίων, πολλοὺς δὲ καὶ τοῦ Ἑλληνικοῦ ἐπηγάγετο. ὁ Χριστὸς οὗτος ἦν. καὶ αὐτὸν ἐνδείξει τῶν πρώτων ἀνδρῶν παρ' ἡμῖν σταυρῷ ἐπιτετιμηκότος Πιλάτου, οὐκ ἐπαύσαντο οἱ τὸ πρῶτον ἀγαπήσαντες. ἐφάνη γὰρ αὐτοῖς τρίτην ἔχων ἡμέραν πάλιν ζῶν, τῶν θείων προφητῶν ταῦτα καὶ ἄλλα μυρία θαυμαστὰ περὶ αὐτοῦ εἰρηκότων, εἵς τε νῦν τὸ τῶν Χριστιανῶν ἀπὸ τοῦδε ὠνομασμένον οὐκ ἀπελείπετο φῦλον. τοσαῦτα Ἰώσηπος περὶ Χριστοῦ ἐν τῷ ιη' λόγῳ φησίν.

504 Ἰώσηπος, Ἰουδαῖος, ἱστοριογράφος. τοῦτον φρουρεῖσθαι κελεύει Ε Οὐεσπασιανός, ἀναπέμψων αὐτίκα Νέρωνι. τοῦτο ἀκούσας Ἰώσηπος μόνῳ τι διαλεχθῆναι θέλειν ἔλεγεν αὐτῷ. μεταστησαμένου δὲ ἐκείνου πάντας πλὴν τοῦ παιδὸς Τίτου καὶ δυεῖν φίλων· σὺ μέν, ἔφη, Οὐεσπασιανέ, νομίζεις αἰχμάλωτον εἰληφέναι Ἰώσηπον· ἐγὼ δὲ ἄγγελος ἥκω σοι μεγάλων. μὴ γὰρ οὐχ ὑπὸ θεοῦ προπεμπόμενος ᾔδειν τὸν Ἰουδαίων μόρον; Νέρωνί με πέμπεις; τί γάρ; οἱ μετὰ Νέρωνα μέχρι σου διάδοχοι μενοῦσι; σὺ δὲ Καῖσαρ καὶ σὸς παῖς οὗτος. δέσμει δέ με ἀσφαλεστάτως καὶ τήρει σεαυτῷ. δεσπότης σὺ καὶ γῆς καὶ θαλάττης καὶ παντὸς ἀνθρώπων γένους. ἐγὼ δὲ φρουρᾶς μείζονος δέομαι, εἰ κατασχεδιάσω καὶ θεοῦ. ὁ δὲ Οὐεσπασιανὸς παραχρῆμα μὲν ἀπιστεῖν ἐδόκει καὶ τὸν Ἰώσηπον ἐδόκει πανουργεῖν· ἀτρεκῆ δὲ τὸν Ἰώσηπον εὑρηκὼς ἐδωρεῖτο ἐσθῆτι καὶ τοῖς ἄλλοις κειμηλίοις.

505 Ἰωσήφ, ὁ πάγκαλος. οὗτος ἐτῶν ιζ' φθονηθεὶς ὑπὸ τῶν Ε ἀδελφῶν καὶ πραθείς, γενόμενος ἐτῶν λ' ἄρχων τῆς Αἰγύπτου

504 Ios. Bell. 3, 398—403, 405, 408 505 Georg. 116, 1—4

504 cf. vv. Κ 807 et Ε 260

1 Ἀπίωνος A 6 ὀκτωκαιδεκάτῳ A cp. GI 12 ἄνδρα] ἀνδρὸς V 23 cett. A^2(GIVM) Οὐεσπεσιανός AI cf. v. Θ 45 τοῦτον V 24 μεταστησάμενος V cp. M 26 Οὐεσπεσιανέ AI Οὐεσπασιανός GVM 28 μόρον A: μόνον GVM 30 σεαυτοῦ GIVM καὶ sec. om. A 35 ὑπὸ—36 πραθείς om. V 36 γενόμενος om. A

καθίσταται. ἐν ᾗ γεννήσας δύο υἱούς, Ἐφραὶμ καὶ Μανασσῆ, ἀπέθανεν ἐτῶν ρι′. τὰ δὲ ὀστᾶ Ἰωσὴφ Μωσῆς ἐξήγαγε μεθ' ἑαυτοῦ. ὅρκῳ γὰρ ὤρκωσεν Ἰωσὴφ τοὺς υἱοὺς Ἰσραὴλ λέγων· ἐπισκοπῇ ἐπισκέψεται ὑμᾶς κύριος, καὶ συνανοίσετέ μου τὰ ὀστᾶ ἐντεῦθεν μεθ' ὑμῶν.

506 Ἰωσίας, βασιλεὺς Ἱερουσαλήμ. ἐπὶ τούτου Χελκίας ὁ ἱερεὺς εὗρεν ἐν τῷ ναῷ βιβλίον νόμου καὶ κοινωσάμενος τῷ γραμματεῖ ἐπέδειξε τῷ βασιλεῖ. ὁ δὲ εὐλαβὴς ὢν καὶ δίκαιος, ὡς ἀνεγνώσθη αὐτῷ, περιέρρηξε τὴν ἐσθῆτα τόν τε ναὸν ἐκάθηρε τοῦ θεοῦ ἀπὸ τῶν βδελυγμάτων καὶ τὰ εἰδωλεῖα ἐκπορθήσας ταῦτα καὶ τὰ ἐν Σαμαρείᾳ ἀνέζευξεν εἰς Ἱερουσαλήμ· ὅτε καὶ πάσχα ἤχθη πολλῷ ἐπιλεῖψαν χρόνῳ.

E 507 Ἰωσίας, βασιλεὺς Ἰσραήλ, δικαιότατος ὑπὲρ τοὺς ἔμπροσθεν αὐτοῦ βασιλεῖς γενόμενος. ὃς τὸν νόμον κυρίου ἀναγινωσκόμενον ἀκριβῶς ἀκούσας καὶ λίαν ἀθυμήσας, εἰδὼς τοῦτον ἐν τοσούτοις ἔτεσι καταπατούμενον, τὰ ἱμάτια διαρρήξας καὶ ἔμφοβος γενόμενος ἀπέστειλε πρὸς Ὀλδὰν τὴν προφῆτιν, πυνθανόμενος τί βούλεται κύριος περὶ αὐτοῦ καὶ παντὸς τοῦ λαοῦ. ἡ δὲ φησί· τάδε λέγει κύριος· ἀνθ' ὧν ἠπαλύνθη ἡ καρδία σου καὶ ἐνετράπης ἀπὸ προσώπου μου, ὡς ἤκουσας, ὅτι ἐλάλησα ἐπὶ τὸν τόπον τοῦτον καὶ τοὺς ἐνοικοῦντας αὐτὸν τοῦ εἶναι εἰς ἀφανισμὸν καὶ εἰς κατάραν, καὶ διέρρηξας τὰ ἱμάτιά σου καὶ ἔκλαυσας ἐνώπιόν μου, ἰδού, προστίθημί σε πρὸς τοὺς πατέρας σου ἐν εἰρήνῃ, καὶ οὐκ ὄψει πᾶσι τοῖς κακοῖς, οἷς ἐπάξω ἐπὶ τὸν τόπον τοῦτον. ὁ δὲ ζήλῳ θείῳ κινούμενος οὐ μόνον τὰ πανταχοῦ εἴδωλα καὶ σεβάσματα κατέστρεψεν ἐκ βάθρων, ἀλλὰ καὶ τοὺς εἰδωλολάτρας μαστίζων ἐξωλόθρευσε, τοὺς δὲ ἤδη τεθνηκότας ἐν τοῖς τάφοις κατέκαυσε. καὶ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐπὶ τὸν τάφον τοῦ ἀνθρώπου τοῦ θεοῦ εἶπε· τί τὸ σκόπελον ἐκεῖνο, ὃ ἐγὼ βλέπω; καί φασιν οἱ ἄνδρες τῆς πόλεως· ὁ ἄνθρωπος τοῦ θεοῦ ἐστιν, ὁ προφήτης, τοὺς λόγους τούτους ἐπὶ τὸ θυσιαστήριον Βεθήλ. καὶ εἶπεν· ἄφετε αὐτόν· μηδεὶς κινήσῃ τὰ ὀστᾶ αὐτοῦ. καὶ μέντοι καὶ τοὺς ἐγγαστριμύθους καὶ τοὺς ψευδοπροφήτας καὶ πᾶν βδέλυγμα καὶ προσόχθισμα ἐν Ἱερουσαλὴμ ἐξῆρε καὶ ἐπέστρεψε πρὸς κύριον ἐν ὅλῃ καρδίᾳ καὶ ἰσχύϊ καὶ ψυχῇ αὐτοῦ κατὰ τὸν νόμον Μωσέως καὶ τὸ πάσχα ἐποίησεν, οἷον οὐ γέγονεν ἀπὸ τῶν χρόνων Ἰησοῦ τοῦ Ναυῆ καὶ Σαμουήλ. ἐν ᾧ βόας ἔθυσε χιλιάδας ιβ′, πρόβατα χιλιάδας λη′. καὶ κατωρθώθη τὰ ἔργα Ἰωσίου ἐνώπιον κυρίου ἐν καρδίᾳ πλήρει εὐσεβείας. πλὴν οὐκ ἀπεστράφη κύριος ἀπὸ θυμοῦ τῆς ὀργῆς αὐτοῦ, οὗ ἐθυμώθη ἐν τῷ Ἰούδᾳ ἐπὶ τοὺς παροργισμούς, οὓς παρώργισεν αὐτὸν Μανασσῆς.

507 Georg. 242, 13—243, 22

A² (GIFVM) 3 ὅρκωσεν GIVM 5 Χαλκίας F 16 τὴν προφῆτιν A: τὸν προφήτην GIVM cf. Georg. 17 ἡ AM: ὁ GIV cf. Georg. 28. 29 προφήτης] cp. M προφητεύσας Georg.; ὁ εἰπὼν add. A 29 Βαιθήλ A, v. l. Georg. 30 κινήσει V, v. l. Georg. 36 πλήρη AI, v. l. Georg. 38 οὗ] καὶ GI

508 Ἰῶτα: τὸ στοιχεῖον, τὸ γράμμα. Δ
509 Ἰωτάπατα: τόπος τις. καὶ Ἰωταπατηνός. Δ
510 Ἰωτόμης. ἐδεῖτο δὲ τὸ πλῆθος προσωτάτω Ἀρμενίας ἀπαλ- Δ
λάξαι Ἰωτόμην, ὡς οὔποτ' ἂν ἀποσχόμενον τοῦ νεωτερίζειν, εἰ τύχοι E
ὢν ἔνδημος.
511 Ἰώϋμος. Δ
512 Ἰωχμός: θόρυβος. Δ
513 Ἴωψ: ἰχθὺς ποιός. Δ
514 Ἱππαγωγούς: τὰς ἵππους καὶ ἄνδρας ἀγούσας ναῦς. Ar.
515 Ἱππάζεται: οὐχ ἁπλῶς τὸ περὶ ἱππικὴν ἔχειν, ἀλλὰ ἐφ' ἑνὸς Ar.
ἵππου ὀχεῖσθαι· ὃ νῦν κέλητα καλοῦσιν.
516 Ἱππαλεκτρυόνος: εἶδος ζῴου. Δ
517 Ἱππαρχία, ἀδελφὴ Μητροκλέους τοῦ Κυνικοῦ, Μαρωνεῖτις, Hesy.
φιλόσοφος Κυνική, γυνὴ Κράτητος τοῦ Κυνικοῦ, ὃς ἦν Ἀθηναῖος,
Βρύσωνος μαθητὴς τοῦ Ἀχαιοῦ ἢ ὡς τινες Διογένους. ἔγραψε φιλο-
σόφους ὑποθέσεις καί τινα ἐπιχειρήματα καὶ προτάσεις πρὸς Θεόδωρον
τὸν ἐπικληθέντα Ἄθεον. ἤκμαζεν ἐπὶ τῆς ρια' Ὀλυμπιάδος.
518 Ἱππαρχίων ἄφωνος: δύο ἐγένοντο κιθαρῳδοί, Ἱππαρχίων Prov.
καὶ Ῥουφῖνος· καὶ ἀγῶνος ἐνστάντος ὁ Ἱππαρχίων ἄφωνος ἔστη.
519 Ἵππαρχος, κωμικὸς τῆς ἀρχαίας κωμῳδίας. δράματα αὐτοῦ Hesy.
περὶ γάμων.
520 Ἵππαρχος, Σταγειρίτης, φιλόσοφος, Ἀριστοτέλους γνώριμος Hesy.
καὶ συγγενής. Τί τὸ ἄρρεν καὶ θῆλυ παρὰ θεοῖς, καὶ Τίς ὁ γάμος,
καὶ ἄλλα τινά.
521 Ἵππαρχος, Νικαεύς, φιλόσοφος, γεγονὼς ἐπὶ τῶν ὑπάτων. Hesy.
ἔγραψε περὶ τῶν Ἀράτου Φαινομένων, Περὶ τῆς τῶν ἀπλανῶν
συντάξεως καὶ τοῦ κατασταστηριγμοῦ, Περὶ τῆς κατὰ πλάτος μηνιαίας
τῆς σελήνης κινήσεως, καὶ εἰς τὰς ἀρίστους.
522 Ἵππαρχος: ὁ τῶν ἱππέων ἄρχων. πρῶτος αἱρεθεὶς δικτά- Σ
τωρ Μάρκιος προσαιρεῖται ἵππαρχον Σπόριον, πρῶτον κατὰ τοῦτον E?

508 cf. H; — στοιχεῖον = Ambr. 707, Ps. Herodian. 43, Lex. de sp., Et. M. 462, 29
509 — τόπος = Ambr. 706. Ἰωταπατηνός = L cf. Ambr. 695, Steph. Byz.
512 = Ambr. 664 cf. H, sch. Θ 89 513 cf. H = Ambr. 694; Ath. 7, 329a
514 sch. Ar. Eq. 597 515 sch. Ar. Nu. 15 516 cf. Ambr. 406; l. = L cf.
Ambr. 429 517 cf. Laert. 6, 96—7 518 cf. Zen. II 35 522 — ἄρχων = P,
Ba 262, 30 cf. Bk. 266, 26 πρῶτος sq. Io. Antioch. cf. Eutrop. p. 19

510 cf. v. A 2877 512 Z 1038 514 Z 1116 515 Z 1118 516 Z 1115
517 cf. v. K 2341

3 ἐδεῖτο—5 ἔνδημος] ὄνομα κύριον TF 4 τύχῃ GIVM 7 Ἰωχμένος F A^3(GITFVM)
9 τὰς AI^{ac}F: τοὺς GI^{ac}TVM 10 ἁπλῷ V 12 Ἱππαλεκτρυῶνος FV Ambr. 429
14 Ἀθηναῖος] Θηβαῖος v. K 2341 Menagius cf. ad p. 640, 1 15 Βούσωνος GIM
20 ἀρχαίας] νέας Mein. δράματα—21 γάμων om. TF 520—1 om. F
25 ἐπὶ τῶν ὑπάτων] corruptum cf. Rohde, Kl. Schr. 1, 134, 1 27 κατα-
στηρισμοῦ I κατασταστερισμοῦ Kust. 28 τὰς] τοὺς ed. pr. ἀρίστους corruptum;
ἀστερισμούς Reines. ἀστερίσκους Toup. 522 om. T 29 πρῶτος—p. 658, 2
δικτάτωρος om. F 30 Λάρκιος Eutrop. κατὰ] μετὰ Port.

καὶ τῆς ἱππαρχικῆς ἐπινοηθείσης ἡγεμονίας, δευτερευούσης κατὰ τὴν ὑπεροχὴν τοῦ δικτάτωρος.

Harp. 523 Ἵππαρχος, τύραννος Ἐρετρίας. ἕτερος δὲ Ἵππαρχος ὁ Πεισιστράτου. ἄλλος δὲ Ἵππαρχος, ὁ Χάρμου, ὃς συγγενὴς ἦν Πεισιστράτου τοῦ τυράννου καὶ πρῶτος ὑπέστη τὸν ἐξοστρακισμὸν διὰ τὴν ὑποψίαν τοῦ Πεισιστράτου, ὅτι δημαγωγὸς ὢν καὶ στρατηγὸς ἐτυράννησεν. ἄλλος δέ ἐστιν Ἵππαρχος ὑποκριτής, οὗ μνημονεύει Δημοσθένης. λέγεται δὲ ἵππαρχος παρ' Ἀθηναίοις καὶ ὁ τῶν ἱππέων ἄρχων. δύο δὲ ἦσαν οὗτοι.

Prov. 524 Ἱππάρχου πίναξ: ἐπεὶ παρὰ Συρακουσίοις οἱ ἵππαρχοι ἐν πίναξι τὰ ὀνόματα γράφοντες τῶν ἀτακτούντων παρεσημειοῦντο.

Σ 525 Ἱππάς: ὁ Σόλων τοὺς νόμους Ἀθηναίοις γράψας εἰς ε' τέλη τὸ πᾶν πλῆθος αὐτῶν διέταξε τῶν κατὰ τὰς οὐσίας τιμημάτων. καὶ τῷ πρώτῳ ὄνομα ἦν Πεντακοσιομεδίμνων, τῷ δευτέρῳ Ἱππέων, τῷ τρίτῳ Ζευγιτῶν, τῷ τετάρτῳ Θητῶν, τῷ ε' Ἱππάς.

Ε 526 Ἱππαφέσεων: τῆς ἀφετηρίας. Πολύβιος· παραπλήσιόν τι πάθος ἔφασκε τοῖς ἐπὶ τῶν ἱππαφέσεων· οἷον εἰκὸς ἐφιστάμενοι ἐκ τῶν αἱρομένων πυρσῶν.

Σ 527 Ἱππέας εἰς πεδίον προκαλῇ: δηλονότι ἔνθα ἂν εὐημερῇ τις· τὰ γὰρ ἱππικὰ ἐν πεδίῳ κρατεῖ.

Ar. 528 Ἵππεροι: ὡς ἵκτερος. ὁ περὶ τοὺς ἵππους τὸν ἔρωτα ἔχων. Ἀριστοφάνης Νεφέλαις· ἀλλ' ἵππερόν μου κατέχεε τῶν χρημάτων. ἔπαιξε παρὰ τὸν ἵκτερον, ὃς περιχεῖται ταῖς ὄψεσι τῶν νοσούντων. οὕτως ἐπιβεβλῆσθαι τοῖς χρήμασιν ἀντὶ ἵππερον.

Σ 529 Ἵπες: θηρίδια λυμαντικὰ ξύλων καὶ τῶν καρπῶν.

Ar. 530 Ἵππευε: ἵππων φρόντιζε.

Ar. 531 Ἵππευμα: πορείαν. Ἀριστοφάνης· ὡς μακρὸν ἵππευμα διώκεις ἀστεροειδέα νῶτα διφρεύουσ' αἰθέρος.

Δ 532 Ἱππεύς.

Δ 533 Ἱππεία: ἡ ἵππευσις. καὶ Ἱππεία φάτνη καὶ οὐρά.

Δ 534 Ἵππειον κράτος: ἡ τοῦ ἵππου ἰσχύς. καὶ Ἵππειον θράσος. καὶ Ἵππειος ζυγός.

Δ 535 Ἱππιολόφος.

523 Harp. = P; Dem. 59, 26 524 = Zen. IV 42 cf. H 525 = P 1 cf. Harp. = P 2 526 παραπλήσιόν sq. Polyb. fr. 52 527 = P; praeter δηλονότι = Paroem. ed. Gsf. 60 n. 512 528 Ar. Nu. 74 c. sch. 529 = P, Ba 262, 28 cf. H, Ap. S. 92, 3 530 sch. Ar. Nu. 1406 531 Ar. Th. 1066—8 c. sch. 532 cf. Ambr. 410 533 — φάτνη cf. Ambr. 442. οὐρά = L 534 Ἵππειον θράσος = Ambr. 453. Ἵππειος ζυγός = Ambr. 436

525 cf. 537, v. Ε 653, v. πεντακοσιομέδιμνοι 526 Z 1116 529 Z 1115 530 Z 1118 531 cf. v. Αἰ 121. Z 1117 533 Z 1117 534 Z 1118 et 1115 535 hinc 547

6 τοῦ] τὴν V Phot. 525—6 om. F 17 ἔφασκε] ἔπασχε Toup ἐφιστα-
A³(GIFVM) μένοις Hultsch 19 ἂν εὐημερῇ] εὐημερεῖ A 20 κρατεῖν V 21 περὶ] παρὰ F ἔχων om. A 24 ἀντὶ] τοῦ add. A 25 θηρία F 27 διώκειν V 535 om. F; extra ord.

536 Ἱππείων ὁπλέων: τῶν ὀνύχων τῶν ἵππων. Hom.

537 Ἱππεῖς: εἰς τέσσαρα μέρη διήρητο ὁ δῆμος τῶν Ἀθηναίων, εἰς Ar.
Πεντακοσιομεδίμνους, εἰς Ἱππέας, εἰς Ζευγίτας, εἰς Θῆτας. καὶ τοὺς
μὲν Πεντακοσιομεδίμνους διὰ τὸ γεωργεῖν τοσαῦτα μέτρα, οὕτως
ὠνόμαζον· καὶ ἦσαν οὗτοι εὔποροι. οἱ δὲ Ἱππεῖς ἧττους μὲν τῶν
Πεντακοσιομεδίμνων, μέχρι δὲ τῶν τ′ ἐγεώργουν μέτρων. Ἱππεῖς δὲ
αὐτοὺς ὠνόμαζον διὰ τὸ δύνασθαι, εἴ ποτε χρεία γένοιτο, ἵππον
ἕκαστον αὐτῶν τρέφειν. ἦσαν δὲ τὸ μὲν πρῶτον χ′ τὸν ἀριθμόν·
οὗτοι δὲ μετὰ ταῦτα, τῆς πόλεως πληθυνούσης, ἐγένοντο c′ πρὸς
τοῖς χιλίοις. ὅθεν καὶ τὰς θυσίας, ἃς αὐτοὶ πέμποιεν ταῖς πομπαῖς,
ἐκάλουν ἱππάδας. ἐξῆν δὲ αὐτοῖς ἐπιτιμᾶν καὶ κομᾶν. ἦσαν δὲ οἱ
Θῆτες παρ' αὐτοῖς οἷς οὐκ ἐφεῖτο ἄρχειν ἢ δικάζειν ἢ ἐκκλησιάζειν
μόνον, ἵν' ἔκ τε τοῦ δικαστικοῦ καὶ τοῦ ἐκκλησιαστικοῦ τρέφοιντο.

538 Ἱππεῖς λευκοθώρακες. καὶ παροιμία· ἱππεῖς μὲν ἐν E
Θετταλίᾳ καὶ Θρᾴκῃ, τοξόται δὲ καὶ τὰ κουφότερα τῶν ὅπλων ἐν
Ἰνδίᾳ καὶ Κρήτῃ καὶ Καρίᾳ.

539 Ἱππήλατον: εὐρύχωρον, πλατύ, λεῖον, ἐψιλωμένον. Σ

540 Ἱππημολγός: ὁ τοὺς ἵππους ἀμέλγων. Δ

541 Ἱπί: σκώληκι. ἴψ ἡ εὐθεῖα, ἱπός, ἱπί. Δ

542 Ἱππεία Ἀθηνᾶ: ταύτην Ποσειδῶνος εἶναί φασι θυγατέρα καὶ Harp.
Πολύφης τῆς Ὠκεανοῦ· ἅρμα δὲ πρώτην κατασκευάσασαν διὰ τοῦτο
Ἱππείαν κληθῆναι.

543 Ἱππίας, Διοπείθους, Ἠλεῖος, σοφιστὴς καὶ φιλόσοφος, μαθητὴς Hesy.
Ἡγησιβάμου, ὃς τέλος ὡρίζετο τὴν αὐτάρκειαν. ἔγραψε πολλά.

544 Ἱππίας· οὗτος τῆς εἰς Ἀθηναίους ὀργῆς καὶ τῆς ὕστερον ὠμό- E
τητος προῖσχετο αἰτίαν τὸν Ἱππάρχου φησὶ θάνατον. καὶ πικρὸς ἐκ
τούτων δεσπότης κάτω τοῦ χρόνου γενόμενος ὅμως οὐκ ἀπώνητο·
ἤλασαν γοῦν οἱ Κεκροπίδαι αὐτόν. ὁ δὲ ἐκπεσὼν τῆς πατρίδος ἐπή-
γετο τοὺς Πέρσας συμμάχους, ὁρῶν ὃν εἶχεν ἔρωτα Δαρεῖος τῆς
Ἀττικῆς, διὰ τὴν ἄτοπον ἐκείνην σπουδήν, ἵνα τὰ σῦκα τὰ Ἀττικὰ
μὴ ἐν ἐλευθέρᾳ γῇ ἔτι, ἀλλὰ δούλῃ γένηται τῇ ἐκείνου. ἰὼν μὲν οὖν
ὅδε Ἱππίας ἐπὶ τὴν ἑαυτοῦ πατρίδα σὺν τοῖς Πέρσαις καὶ ἐκπλήττων
τοὺς βαρβάρους μέγα ἔπταρε, καὶ ἅτε γέρων ἤδη εἶχε τοὺς ὀδόντας
κραδαινομένους. ἐκ τοίνυν τῆς βίας εἰς ὀδοὺς ἐξεκρούσθη καὶ κατ-
ὠλισθεν εἰς τὴν ψάμμον καὶ εὑρεθῆναι ἀδύνατος ἦν. ἐπεὶ δὲ ἡττήθη-

536 sch. Λ 536 537 sch. Ar. Eq. 627 538 — λευκοθώρακες Xen. An. 1, 8, 9 ἱππεῖς sq. Iul. or. 7, 205d 539 = P, Ba 262, 31 cf. H 540 = Ambr. 408 cf. sch. N 5, H 541 cf. Ambr. 414 542 Harp. = P 544 Aelian. fr. 74

536 Z 1117 537 cf. 525, v. Ε 653 539 Z 1118 540 Z 1115 541 cf. 795

5 ἄποροι GIM 6 δὲ τῶν om. V τ′] τριακοσίων A 7 γένοιται V A^2(GIFVM) cp. GM 19 ἴψ] nov. gl. GIV 542 extra ord., ad 533 litteris α—β rettulit V; post 533 F 26 φασί Bhd. 27 ἀπώνατο V 31 γίνηται A 32 ὅδε] ὁ I ὅδε ὁ Bhd. ἐκπλίττων Bhd.

καν οἱ βάρβαροι, φεύγων αὖθις εἰς Λῆμνον ἀφικνεῖται καὶ κάμνει νόσῳ καὶ τὴν ὄψιν τυφλοῦται, αἵματος ἐπιρρεύσαντός οἱ διὰ τῶν ὀφθαλμῶν, καὶ ἀλγεινῶς ἀπέθανε, δίκας ταύτας δοὺς τῇ πατρίδι, ἐπεὶ τοὺς βαρβάρους ἦγεν ἐπὶ καταδουλώσει αὐτῆς, μηνῖσαί τε τοὺς πατρίους θεούς.

545 Ἱππίας, Ἀθηναίων στρατηγός. οὗτος Δαρεῖον παροξύνας ἐπὶ τοὺς Ἀθηναίους στρατεῦσαι καὶ τὴν Ἑλλάδα, διὰ Ἰνταφέρνους καὶ Δάτιδος σατραπῶν καὶ λ′ μυριάδων στρατοῦ, καὶ αὐτὸς σὺν αὐτοῖς κατῆει γηραιὸς ἤδη ὤν. καὶ ἐλθόντες ἐσαγήνευσαν μὲν Ἐρέτριαν καὶ τοὺς ληφθέντας τῷ βασιλεῖ ἔστειλαν. ὁ δὲ αὐτοὺς παρὰ τὰ Σοῦσα κατοικίζει, ἐφ' οἷς καὶ Πλάτωνός ἐστιν ἐπίγραμμα· Εὐβοέων γένος ἐσμὲν Ἐρετρικόν· ἄγχι δὲ Σούσων κείμεθα, φεῦ γαίης ὅσσον ἀφ' ἡμετέρης. ἐντεῦθεν ἐπὶ Μαραθῶνα ἦλθον. Ἀθηναῖοι δὲ ὑπὸ Μιλτιάδῃ στρατηγούμενοι τῷ Κίμωνος τοῖς βαρβάροις ἐπολέμησαν. ἐκάλουν δὲ ἐπὶ συμμαχίᾳ καὶ Λακεδαιμονίους διὰ Φιλιππίδου τοῦ ἡμεροδρόμου, ὃς τοὺς χιλίους καὶ πεντακοσίους σταδίους ἤνυσε διὰ μιᾶς νυκτός. καὶ ὅτι ὁ νόμος οὐκ εἴα στρατεύειν αὐτοὺς πρὸ πανσελήνου, καὶ παρῃτήσαντο. τῷ Φιλιππίδῃ δὲ ἐπανιόντι κατὰ τὸ Παρθένιον ὄρος τῆς Ἀρκαδίας ὁ Πὰν ἐντυχὼν ἐμέμψατο μὲν Ἀθηναίοις, ὡς μόνος θεῶν ἀμελούμενος, καὶ συμμαχήσειν ὑπέσχετο. οἱ δὲ Ἀθηναῖοι, συμβουλεύσαντος ἑνός, ἦσαν γὰρ δέκα, περιμεῖναι τοὺς Λακεδαιμονίους, Μιλτιάδου δὲ παραινοῦντος ἐξιέναι καὶ Καλλιμάχου, ἐξῆλθον αὐτοὶ μὲν ὄντες ,θ, Πλαταιεὰς ἔχοντες ,α. καὶ ἐν αὐτῇ φασὶ τῇ ἡμέρᾳ ἐνίκησαν. ἐν τούτοις Καλλίμαχος ἐπὶ δοράτων εἱστήκει νεκρός, Πολύζηλος δὲ πηρωθείς, ὡς φάσμα θεασάμενος τῷ πώγωνι κρύπτων τὴν ἀσπίδα (σύμμαχον τὸν Πᾶνα δ' εἰκάζουσιν εἶναι), ἐμάχετο ὡς ὁρῶν, καὶ διέκρινε τῇ φωνῇ τοὺς ἰδίους καὶ τοὺς πολεμίους.

Tact. 546 Ἱππική· ὅτι εἰσὶ καὶ τῆς ὀχηματικῆς δυνάμεως τρεῖς διαφοραί. ἡ μὲν γάρ ἐστιν ἱππική, ἡ δὲ δι' ἁρμάτων, ἡ δὲ δι' ἐλεφάντων. τοῦ δὲ ἱππικοῦ τὸ μὲν ἁπλῶς οὕτω καλεῖται ἱππεῖς καὶ ἱππικόν, τὸ δὲ ἄφιπποι. καὶ ἄφιπποι μὲν οἱ ἐπὶ δυοῖν ἀστρώτοιν συνδεδεμένοι ὀχούμενοι· οἳ καὶ μεταπηδῶσιν ἀπ' ἄλλου ἐπ' ἄλλον, ὅταν ἡ χρεία καλῇ. τοῦ δὲ κυρίως ἱππικοῦ τὸ μέν ἐστι κατάφρακτον, ὃ καὶ τοὺς ἵππους καὶ τοὺς ἱππέας πεφραγμένους παρέχεται· τὸ δὲ ἀκατάφρακτον· οἱ μὲν δορατοφόροι ἢ κοντοφόροι ἢ ξυστοφόροι· καλοῦνται γὰρ τοῖς

545 cf. Hdt. 6, 105 Isidor. ep. 4, 69 Εὐβοέων—ἡμετέρης Anth. 7, 259
546 Tact. 25

545 hinc vv. Φιλιππίδης 1 et Πολύζηλος. cf. v. K 226 546 cf. post litt. Ψ, v. ὁπλῖται

3 ἐπεί] ἐπειδὴ V 4 μηνῖσαι] anacoluthiam indicavit Bhd. 7 Ἀρταφέρ-
A²(GIVM) νους ed. pr. 10 παρὰ] περὶ Bas. 12 ἀφ'] ἐφ' V 17 ὁ] ὁ δὲ V 20. 21 συμβουλεύντος V 23 Πλαταιέας] δὲ add. Bhd. 25 πληρωθείς GVM κρύπτον VM, v. Πολύζηλος 27 τοὺς pr. AI v. Πολύζηλος: ὡς GVM 31 ἄμφιπποι bis post litt. Ψ, Coisl. συνδεδεμένοιν GVM cf. post litt. Ψ 32 καὶ ex V, post litt. Ψ, Coisl. μεταπηδοῦσιν GIVM

τριςὶν ὀνόμασιν. οὗτοι δέ εἰσιν οἱ ἀπὸ τῶν ἵππων καὶ πλησίον τοῖς πολεμίοις δόρασι μαχόμενοι. τοῦτο δὲ οἱ μὲν δορατίοις χρῶνται, οἳ καλοῦνται Ταραντῖνοι· οἱ δὲ τόξοις, οἳ καλοῦνται ἱπποτοξόται· οἱ δὲ ἀκροβολισταί, οἷον οἱ πόρρωθεν βάλλοντες. οἱ μὲν μόνον ἀκοντίζουσιν, εἰς δὲ χεῖρας τοῖς πολεμίοις οὐκ ἔρχονται· καὶ καλοῦνται ἱππακοντισταὶ καὶ ἰδίως Ταραντῖνοι. οἱ δὲ τὰ μὲν πρῶτα ἐλαφροῖς ἀκοντίοις ἀκοντίζουσι πόρρωθεν, ἔπειτα δὲ καὶ πλησιάζοντες συμπλέκονται τοῖς πολεμίοις ἢ σπάθαις ἢ πελέκεσιν ἀπομαχόμενοι· οὓς φασιν ἐλαφρούς.

547 Ἱππιολόφος. Suid.

548 Ἱππιόθων: ὄνομα κύριον. Δ

549 Ἵππιος: Ποσειδῶν. Δ

550 Ἵπνια: τὰ ἀποκαθάρματα τοῦ ἱπνοῦ, τοῦ λεγομένου φούρνου. ἢ τὰ πρὸς τὴν κάμινον ἐπιτήδεια καύσιμα. λέγει δὲ τὴν κόπρον τῶν ζώων Καλλίμαχος· σὺν δ' ἄμυδις φορυτόν τε καὶ ἵπνια λύματ' ἄειρεν. Ar.

ἢ Ἱπνός, τὸ μαγειρεῖον, ἡ καπνοδόκη, ἢ ὁ φανός. Ἀριστοφάνης Πλούτῳ· ὁ δ' ἱπνὸς γέγον' ἐξαπίνης ἐλεφάντινος. καὶ Ἱπνοί, οἱ λαμπτῆρες, οἱ φανοί, οἱ λύχνοι.

551 Ἱπνοπλάσθαι. Σ?

552 Ἱπνός: ὁ φοῦρνος, ἡ κάμινος· ἢ ὁ φανός. καταχρηστικῶς Σ Ar.

δὲ ἡ ἐσχάρα. ἱπνέστα παλαιόν φθόϊς. τουτέστι πλακοῦντος. ἢ Anth.

μέρος τι τῆς οἰκίας, τὸ λεγόμενον παρ' ἡμῖν μαγειρεῖον. λέγεται δὲ Harp.

κυρίως ἱπνὸς ἡ κάμινος.

553 Ἱπποβότος: μεγάλην γῆν ἔχων, δυνάμενος ἵππους τρέφειν. Σ

554 Ἱππόβοτος, φιλόσοφος, ὃς ἔφησεν θ' αἱρέσεις εἶναι τῶν φιλοσόφων. καὶ Suid.

ζήτει ἐν τῷ αἵρεσις.

555 Ἱπποδάμεια: ἀγορὰ ἐν Πειραιεῖ, οὕτω καλουμένη ἀπὸ Ἱππο- Harp.

δάμου Μιλησίου ἀρχιτέκτονος, τοῦ οἰκοδομησαμένου τοῖς Ἀθηναίοις τὸν Πειραιᾶ.

556 Ἱππόδαμοι: ἐφ' ἵπποις ἀναστρεφόμενοι. Σ

557 Ἱπποδασείης: ἐξ ἱππείων τριχῶν λόφον ἐχούσης, ὃ δὴ δασύ Σ

ἐστιν.

558 Ἱπποθόων: τῆς Ἱπποθοωντίδος φυλῆς ἐπώνυμος. Suid.

548 = Ambr. 422 cf. 430 549 = Et. M. 473, 42, L cf. Ambr. 438, Stud. An. 267, Ps. Herodian. 50 550 — ἄειρεν sch. Ar. Vsp. 836; Call. fr. 18 K. 216 S. Ἱπνός—ἐλεφάντινος Ar. Pl. 815 c. sch. Ἱπνοί sq. sch. Ar. Pac. 841 551 cf. Tim. 552 — φανός = P, Ba 262, 29 cf. sch. Ar. Vsp. 836; H = Et. Gen., Et. M. 473, 24; Erotian. 45, 12, Lex. de sp.; κάμινος = Bk. 266, 32, L, Ps. Herodian. 50, sch. Ar. Av. 436 cf. Ambr. 451 καταχρηστικῶς—ἐσχάρα sch. Ar. Vsp. 836 = Av. 436 ἱπνέστα—φθόϊς Anth. 6, 299, 2 . μέρος sq. Harp. = P cf. H 553 = P, Ba 263, 1 cf. H, Ap. S. 92, 11 555 Harp. = P cf. Bk. 266, 28 = P 556 = P, Ba 263, 3 cf. H 557 = P, Ba 263, 4 cf. H, sch. P 295

547 ex 535 550 Call. cf. v. A 636 et v. φόρυτος. Z 1116 552 πλακοῦντος cf. v. φθόϊς. Z 1116 553 Z 1116 554 ex v. Al 286 558 ex v. A 1331

3 οἱ δὲ pr.—ἱπποτοξόται om. V; locus corruptus 547 om. A T F 13 δὲ ex F V A³(G I T F V M) solis 14 Καλλίμαχος—ἄειρεν om. F 16 γέγον' V: γέγονεν rell. 20 ἱπνέστα] nov. gl. F 21 τὸ λεγόμενον μαγειρεῖον παρ' ἡμῖν A 554 om. F 24 καὶ—25 αἵρεσις om. T 24 καὶ om. I 25 ζήτει om. in lac. V 557—9 om. T 558 om. F

Δ 559 Ἱππόθωνος: ὄνομα κύριον.

Δ 560 Ἱπποκόμος: ὁ τῶν ἵππων ἐπιμελούμενος.

Δ 561 Ἱπποκόωντος.

Hesy. 562 Ἱππόλυτος· οὗτος ἔγραψεν εἰς τὰς ὁράσεις τοῦ Δανιὴλ ὑπόμνημα καὶ εἰς τὰς παροιμίας Σολομῶντος.

Prov. 563 Ἱππόλυτον μιμήσομαι: ἐπὶ τῶν σωφροσύνην ἐπαγγελλομένων.

Hesy. 564 Ἱπποκράτης, Κῷος, ἰατρός, Ἡρακλείδου υἱός. προτετάχθω γὰρ καὶ τοῦ πάππου, τοῦ Ἡρακλείδου πατρός, εἰ καὶ ὁμώνυμος ἦν, διὰ τὸ ἀστέρα καὶ φῶς τῆς βιωφελεστάτης ἰατρικῆς γενέσθαι. ἀπόγονος δὲ Χρύσου τοὔνομα καὶ Ἐλάφου, τοῦ ἐκείνου παιδός, ἰατρῶν καὶ αὐτῶν. οὗτος μαθητὴς γέγονε τὸ μὲν πρῶτον τοῦ πατρός, μετὰ δὲ ταῦτα Ἡροδίκου τοῦ Σηλυβριανοῦ καὶ Γοργίου τοῦ Λεοντίνου, ῥήτορος καὶ φιλοσόφου· ὡς δέ τινες Δημοκρίτου τοῦ Ἀβδηρίτου, ἐπιβαλεῖν γὰρ αὐτὸν νέῳ πρεσβύτην· ὡς δέ τινες καὶ Προδίκου. διέτριψε δὲ ἐν Μακεδονίᾳ, φίλος ὢν σφόδρα τῷ βασιλεῖ Περδίκκᾳ. παῖδας δὲ σχὼν δύο, Θεσσαλὸν καὶ Δράκοντα, κατέστρεψε τὸν βίον ἐνιαυτῶν γεγονὼς τεσσάρων καὶ ἑκατόν καὶ τέθαπται ἐν Λαρίσσῃ τῆς Θετταλίας. ἐν δὲ ταῖς εἰκόσιν ἱστορεῖται τὸ ἱμάτιον ἐπὶ τὴν κεφαλὴν ἀναβεβλημένος καὶ σκεπόμενος· ἢ ὅτι τοῦτο ἔθος ἦν αὐτῷ ἢ διὰ τὸ φιλαπόδημον ἢ τὸ ἴδιον ἐν ταῖς χειρουργίαις. οὗτος ἔγραψε πολλὰ καὶ πᾶσιν ἐγένετο διάδηλος· ὥστε καὶ τὸν τῶν Περσῶν βασιλέα, τὸν καλούμενον Ἀρταξέρξην, γράψαι πρὸς Ὑστάνην, τῆς τοῦ ἀνδρὸς σοφίας δεόμενον· βασιλεὺς βασιλέων μέγας Ἀρταξέρξης Ὑστάνῃ Ἑλλησπόντου ὑπάρχῳ χαίρειν. Ἱπποκράτους ἰητροῦ Κῴου, ἀπὸ Ἀσκληπιοῦ γεγονότος, ἐς ἐμὲ κλέος ἀφῖκται τέχνης. δὸς οὖν αὐτῷ χρυσόν, ὁπόσον ἂν βούληται, καὶ τἄλλα χύδην ὧν σπανίζει, καὶ πέμπε πρὸς ἡμέας. ἔσται γὰρ ἰσότιμος Περσέων τοῖσιν ἀρίστοισι. καὶ εἴ τις ἄλλος ἐστὶν ἀνὴρ κατ' Εὐρώπην ἀγαθός, φίλον οἴκῳ βασιλέως τίθεσο μὴ φειδόμενος ὅλβου· ἄνδρας γὰρ εὑρεῖν δυναμένους τι κατὰ συμβουλίην οὐ ῥᾴδιον. ἔρρωσο. αἱ μὲν οὖν γραφεῖσαι παρ' Ἱπποκράτους βίβλοι πᾶσι τοῖς μετερχομένοις τὴν ἰατρικὴν ἐπιστήμην ἔκδηλοι· καὶ οὕτως αὐτὰς κατασπάζονται ὡς θεοῦ φωνὰς καὶ οὐκ ἀνθρωπίνου προελθούσας ἐκ στόματος. πλὴν τῶν ἐν πρώτοις καὶ ἡμεῖς ἀπομνημονεύσωμεν. πρώτη μὲν οὖν βίβλος

559 cf. Ambr. 417; l. = Ambr. 431 560 = Ambr. 409. Lex. de sp. 561 = Ambr. 433 562 cf. Hieron. vir. ill. 70 563 cf. Cohn Z. d. P. 78 n. 57 564 Hesych. cf. Sorani vita (ed. Westerm. p. 449 sqq.), Tzets. Chil. 7, 155, 944—6 (Harder, De Tzetsae hist. font. 63 sq. vs. 23 βασιλεὺς—29 ἔρρωσο Hippocr. ep. 3

A[a]F(GITVM) 561 om. T 562 om. F, extra ord. 7 Ἱπποκράτης] καὶ κλίνεται εἰς ους Ἱπποκράτους mg. add. VM cf. Ambr. 425 προτετάχθω—p. 663, 7 ἰατρικά om. F 7 προτετάχθαι G 13 καὶ φιλοσόφου ad Δημοκρίτου pertinere perspexit Gsf., cf. Soran. et Tzetz. δέ] δή V 14 νέον πρεσβύτη Port., v. Φιλόχορος contulit Bhd. δέ ed. pr.: δή omnes 15 παῖδα V δὲ] μὲν GI ἔχων G 17 Θεσσαλίας A cf. vs. 16 20 καὶ πᾶσιν—21 βασιλέα om. V ἐπιστολὴ Ἀρταξέρξου βασίλεως Περσῶν mg. add. (G)VM 23 Ὑστάννι V Ὑστάνει Bhd. 27 τοῖς V ἀρίστηςιν VM. σημείωσαι, ὅτι καὶ ἔθνεσι καὶ βαρβάροις ἡ ἀρετὴ ἐραστὴ καὶ πάνυ ἀγαστή mg. add. GI(VM) 33 ἀπομνημονεύσομεν A

ἡ τὸν ὅρκον περιέχουσα, δευτέρα δὲ ἡ τὰς προγνώσεις ἐμφαίνουσα, τρίτη ἡ τῶν ἀφορισμῶν ἀνθρωπίνην ὑπερβαίνουσα σύνεσιν· τετάρτην τάξιν ἐχέτω ἡ πολυθρύλλητος καὶ πολυθαύμαστος Ἑξηκοντάβιβλος, ἡ πᾶσαν ἰατρικὴν ἐπιστήμην τε καὶ σοφίαν ἐμπεριέχουσα.

565 Ἱπποκράτης, Γνωσιδίκου υἱός, Κῷος, πατὴρ Ἡρακλείδου τοῦ πατρὸς Ἱπποκράτους, ἰατρὸς καὶ αὐτός, τοῦ γένους τῶν Ἀσκληπιαδῶν· ἰατρικά. Hesy.

566 Ἱπποκράτης, Θεσσαλοῦ, Κῷος, ἰατρός· ἔγγονος δὲ Ἱπποκράτους τοῦ δευτέρου, τοῦ υἱοῦ Ἡρακλείδου. ἔγραψε καὶ αὐτὸς ἰατρικά. Hesy.

567 Ἱπποκράτης τέταρτος, ὁ Δράκοντος, ἰατρός, Κῷος καὶ αὐτός, τοῦ αὐτοῦ γένους, ὃς ἰάτρευσε μὲν Ῥωξάνην, ὑπὸ δὲ Κασάνδρου τελευτᾷ, τοῦ υἱοῦ Ἀντιπάτρου. ἔγραψε καὶ αὐτὸς ἰατρικά. Hesy.

568 Ἱπποκράται δύο, ε′ καὶ ς′, ἰατροί, Θυμβραίου παῖδες, Κῷοι καὶ αὐτοί, τοῦ γένους αὐτοῦ. ἔγραψαν ἀμφότεροι εἰς τὴν αὐτὴν ἐπιστήμην. Hesy.

569 Ἱπποκράτης ζ′, Κῷος καὶ αὐτός, ἰατρός, Πραξιάνακτος παῖς, καὶ αὐτὸς ἐκ τοῦ γένους τοῦ αὐτοῦ. ἔγραψε καὶ αὐτὸς εἰς τὸν αὐτὸν τρόπον. Hesy.

570 Ἱππομανές: οὕτω λέγεται τὸ ἐπιπεφυκὸς ἐπὶ τοῦ μετώπου τοῦ πωλαρίου, ὅπερ εὐθέως ἡ μήτηρ κατέδεται· ἔστι δὲ τοῦτο τῷ μεγέθει ἔλαττον ἰσχάδος, μέλαν, πλατύ, περιφερές. ἔστι δὲ εἰς πολλὰ δόκιμον.

571 Ἱππομανῆ: μεγάλως μαινόμενον· ἢ τὸν ἐπὶ ἵππους μαινόμενον καὶ ἱππικόν· ἢ πρὸς τὸν λειμῶνα ἐκληπτέον. τὸ δὲ ἵππος ἐπὶ τοῦ μεγάλου τάσσεται· ὡς ἱπποσέλινον καὶ ἱππογνώμων, ὁ μεγαλογνώμων. εἰ δὲ ἐπὶ τοῦ λειμῶνος, τὸν ἄγαν ἀνθοῦντα καὶ ἐνυβρίζοντα τῇ χλόῃ διὰ τὸ πλῆθος. ἢ ὁ εὐανθής, ἐφ' ᾧ οἱ ἵπποι μαίνονται. Σοφοκλῆς· σὲ τὸν ἱππομανῆ λειμῶν' ἐπιβάντα. Soph.

572 Ἱππόμαχος, Ἠλεῖος, κατεμαχέσατο τρεῖς ἀνταγωνιστὰς οὐδὲ πληγὴν δεξάμενος. καὶ Πολίτης τις ἐκ Κεράμου, τῆς ἐν Θρᾴκῃ Καρίας, τὴν ἀρετὴν ἀναφαίνων τῶν ποδῶν ἀπὸ μηκίστου καὶ διαρκεστάτου· καὶ δι' ὀλιγίστου δὴ καιροῦ μεθηρμόσατο ἐπὶ τὸ βραχύτατον ὁμοῦ καὶ ὤκιστον. E

573 Ἱππομένης, Ἀθηναίων ἄρχων, ὃς ἐξέπεσε τῆς ἀρχῆς δι' αἰτίαν τοιάνδε. ἦν αὐτῷ θυγάτηρ, ἥντινα τῶν ἀστῶν τινος αἰσχύναντος EV

570 — περιφερές Ar. Byz. Epit. 2, 578 571 Soph. Ai. 143—4 c. sch. cf. Et. M. 474, 46 572 Paus. Per. 6, 12, 6; 13, 3 573 Nic. Dam. FGrHist 90 fr. 49 = EV 1, 340, 16—22

567 cf. v. Δ 1497

2 τετάρτη VM cp. T 7 ἰατρικά A: cp. GVM om. IT 9 Ἡρακλείδους F A^2 (GITFVM) Ἡρακλείδα VM cp. G 10 ἰατρός] υἱός A 11 Ῥοξάνην GITM Κασάνδρου VM 14 αὐτοῦ] τοῦ αὐ. T αὐτὴν ed. pr.: αὐτοῦ omnes 23 μαινόμενον pr.] μαινησμαινόμενον V ἵπποις V, sch. μαινον A 24 ἐκπληπτέον F 25 ἱπποσέλινον F, sch.: ἱπποσέληνον rell. 28 ἱππόμαχον V 29 ἀγωνιστὰς V 31 τῶν ποδῶν ἀναφαίνων GIVM 32 τὸ om. V

λάθρᾳ, ὑπ' ὀργῆς καθεῖρξεν εἰς οἴκημα δήσας σὺν ἵππῳ καὶ τροφὴν οὐδετέρῳ εἰσέπεμπε. πιεσθεὶς οὖν λιμῷ ὁ ἵππος, ἐφορμήσας τῇ παιδὶ ἀναλώσας τε αὐτήν, καὶ αὐτὸς ὕστερον ἀπέθανε. μετὰ ταῦτα ἐπισκαφείσης αὐτοῖς τῆς οἰκήσεως, ἀπ' ἐκείνου ὁ χῶρος ἐκαλεῖτο ἵππου καὶ κόρης.

Prov. 574 Ἵππον εἰς πεδίον ἄξεις: ἀντὶ τοῦ ὅπου μοι ἐστὶ λυσιτελές.

Σ 575 Ἱππόπορνε: ἀντὶ τοῦ μεγαλόπορνε· σπανίως. Ἀριστοφάνης·

Ar. καὶ Καλλίαν γέ φασι τὸν Ἱπποβίνου κύσθου λεοντῆν ναυμαχεῖν ἐνημμένον. παρεγραμμάτισε διὰ τὴν ἀσέλγειαν παρὰ τὸ Ἱππονίκου εἰς πορνομανῆ. τὸ δὲ ἵππος πολλαχοῦ ἐπὶ τοῦ μεγάλου λαμβάνουσιν· ἱππόπορνε. κωμῳδεῖται δὲ ὁ Καλλίας πανταχοῦ, ὡς σπαθῶν τὴν πατρικὴν οὐσίαν καὶ μάλιστα ἐπὶ γυναιξὶ μεμηνώς. ὀνοματοποιεῖ δὲ πάντα πρὸς μαλακίαν αὐτοῦ.

Suid. 576 Ἱπποποτάμιοι: ζῷα ἀδικώτατα. καὶ ζήτει ἐν τῷ ἀντιπελαργεῖν.

Ε 577 Ἵππος· Δέξιππος· ὁ δὲ ἵππος αὐτῷ ἥσκητο ἅρα καὶ ἄνευ ἡνίας ἐλαυνόμενός τε ὠκύτατα φέρεσθαι καὶ βάδην προϊόντος πραότατα ἵστασθαι καὶ ἐκκλίνοντος, ὅπως περιοίσεται καὶ κυκλώσεται, εὐκαμπέ-

Suid. στατα ἐπιστρέφειν. ὅτι ἵπποι σφηκῶν γένεσις, ταῦροι δὲ μελισσῶν. λύ-

Ou. σις ὀνείρου· ἵππους μελαίνας οὐ καλὸν πάντως βλέπειν. ἵππων δὲ λευκῶν ὄψις

Suid. ἀγγέλων φάσις. ὅτι τὸ ἵππους τρέφειν δοκεῖ δαπανηρὸν εἶναι. ὅπερ καὶ τῇ Λακωνικῇ προσέζευκται κατάρᾳ. καὶ γὰρ δὴ τούτους οἱ Λακεδαιμόνιοι ἐν κατάρας ἔθεσαν μέρει. ἔστι δὲ αὕτη· οἰκοδομά σε λάβοι καὶ ἀμβολά, ὁ δὲ ἵππος καὶ ἁ γυνά τοι μοιχὸν ἔχοι· ὡς τούτων πάντων δαπανηρῶν ὄντων καὶ ἐπιζημίων.

Σ 578 Ἵππος Νικαῖος: μεταξὺ τῆς Σουσιανῆς καὶ τῆς Βακτριανῆς τόπος ἐστὶ Κατασταγώνα, ὅπερ Ἑλλάδι γλώσσῃ Νῖσος καλεῖται· ἐνταῦθα ἵπποι διάφοροι γίνονται. οἱ δὲ ἀπὸ Ἐρυθρᾶς θαλάσσης· εἶναι δὲ ξανθὰς πάσας. ὁ δὲ Ἡρόδοτος τῆς Μηδίας εἶναι τὸν τόπον Νικαῖον. ὁ δὲ Πολέμων κακῶς φησι λευκὸν ἵππον Νικαῖον. ἐν δὲ Δίκτυϊ Ὀρφεὺς λέγει. ὅτι ἡ Νίκα τόπος ἐστὶν ἐν Ἐρυθρᾷ κείμενος.

Δ 579 Ἱππουσύνη: ἡ περὶ τοὺς ἵππους ἐμπειρία.

Suid. 580 Ἱπποστράτηγος Ἀλεξάνδρου Ἀλκέτας ἦν.

574 l. Synes. ep. 155, 293c 575 — σπανίως = P vs. 8 καὶ sq. Ar. Ran. 428—30 c. sch. 427 et 429 577 — ἐπιστρέφειν FGrHist 100 fr. 38 vs. 19 ἵππους—20 φάσις Astramps. 578 — πάσας cf. sch. Phlegont. Trall. c. 3 (= Eur. fr. dub. 1128); — γίνονται = H v. Νησαίας ἵππους; Hdt. 3, 106, 2; 7, 40, 3; Polemo fr. 98, FHG 3, 147; Orph. fr. 289 Kern. Atticistis attrib. Wentzel 579 cf. Ambr. 439, H, Et. M. 474, 11

576 ex v. A 2707 577 vs. 18 ὅτι—μελισσῶν ex v. B 453 cf. v. σφήκωσις. vs. 20 ὅτι sq. ex v. Δ 22 cf. v. A 1532 et v. οἰκοδομή 578 cf. v. N 425 579 Z 1117 580 ex v. A 1275

A²(GITFVM) 4 αὐτοῖς om.V 7 σπανίως—12 μάλιστα om.F 7 σπανίως] γὰρ add.GIVM 12 ὀνοματοποιεῖ—14 ἀντιπελαργεῖν om.F 14 Ἵπποι ποτάμιοι A Ἱπποτάμιοι V καὶ—ἀντιπελαργεῖν om. T 15 ὁ—23 ἐπιζημίων om. F 16 ὠκύτητα V 17 συγκυκλώσεται V 18 ὅτι—20 φάσις mg. V; λύσις—20 φάσις mg. A 20 ὅτι—23 ἐπιζημίων om. T 21 τούτου V 23 ὡς] εἰ V 25 Κατασταγών GIM 27 τὸν τόπον εἶναι GI τόκον V 28 Νικαῖος ἵππος mg. add. VM post 29 κείμενος F 580 om. TF

581 Ἱππότης: ἱππεύς, ἔφιππος. εἶδε νεκρὸν κείμενον ἱππότην Σ
ἄριστον καὶ κατὰ χεῖρα πλῆξαι δυνάμενον, κείμενον αὐτῷ ἵππῳ. Ε
582 Ἱππούμενος: πιεζόμενος, ἀναγκαζόμενος. Ἀριστοφάνης Ἱπ- Σ
πεῦσιν· ἱππούμενος ταῖς συμφοραῖς. Ar.
583 Ἵππουριν: τὴν ἐξ ἱππείων τριχῶν κατεσκευασμένον λόφον Σ
ἔχουσαν.
584 Ἱπποφορβός: ἱπποτρόφος· φορβὴ γὰρ ἡ τροφή. καὶ Ἱπ- Σ
ποφόρβιον, ἔνθα οἱ ἵπποι τρέφονται. Δ
585 Ἵπτω: βλάπτω. μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν. Ἰπῶ δὲ περισπω- Δ
μένως ἀντὶ τοῦ θλίβω. καὶ Ἀριστοφάνης· ἱπούμενος ταῖς συμ- Ar.
φοραῖς.
586 Ἵππῳ γηράσκοντι τὰ μείονα κύκλον ἐπίβαλλε: ἐπὶ Prov.
τῶν διὰ γῆρας δεομένων ῥᾳστώνης τινὸς καὶ ἀναπαύλης.
587 Ἵππων, Ἵππωνος: ὄνομα κύριον. σημαίνει δὲ καὶ τὸν τόπον, Δ
ἐν ᾧ οἱ ἵπποι ἵστανται. Ἱππῶν δέ περισπωμένως.
588 Ἱππώναξ, Πύθεω καὶ μητρὸς Πρωτίδος, Ἐφέσιος, ἰαμβογράφος. Hesy.
ᾤκησε δὲ Κλαζομενὰς ὑπὸ τῶν τυράννων Ἀθηναγόρα καὶ Κωμᾶ
ἐξελαθείς. γράφει δὲ πρὸς Βούπαλον καὶ Ἄθηνιν ἀγαλματοποιούς,
ὅτι αὐτοῦ εἰκόνας πρὸς ὕβριν εἰργάσαντο.
589 Ἵπταται: πέτεται. Σ
590 Ἵπτω: βλάπτω· αἰτιατικῆ. Synt.
591 Ἵπυς, Ῥηγῖνος, ἱστορικός, γεγονὼς ἐπὶ τῶν Περσικῶν, καὶ Hesy.
πρῶτος ἔγραψε τὰς Σικελικὰς πράξεις, ἃς ὕστερον Μύης ἐπετέμετο·
Κτίσιν Ἰταλίας, Σικελικῶν βιβλία ε', Χρονικὰ ἐν βιβλίοις ε', Ἀργολικῶν
γ'. οὗτος πρῶτος ἔγραψε παρῳδίαν καὶ χωλίαμβον καὶ ἄλλα.
592 Ἱρά: ἐκκλησία· καὶ πληθυντικὸν ἱραί. ἱράων προπάροιθεν. Ὅμηρος. Δ
593 Ἱρέων: ἐθνικόν. Δ
594 Ἱρεῖον: θυσία. Δ
595 Ἱρεῖς: ἐθνικόν. Δ

581 — ἔφιππος = P, Ba 263, 7 582 — ἀναγκαζόμενος = P, Ba 263, 6 cf. sch. Ar. Eq. 924 ἱππούμενος alt. sq. Ar. Eq. 924 583 = P, Ba 263, 8 cf. Et. Gen. = Et. M. 473, 54; sch. Γ 337, Ambr. 440, H 584 — τροφή = P, Ba 263, 10 cf. H Ἱπποφόρβιον cf. Ambr. 455 585 — βλάπτω = Ambr. 461, Ps. Herodian. 248, Lex. de sp., Et. M. 481, 3. μέγα—Ἀχαιῶν A 454. Ἰπῶ sq. = Et. M. 473, 29 ἱπούμενος sq. Ar. Eq. 924 586 = Paroem. ed. Gsf. 59, n. 508 587 — κύριον = Ambr. 420 et 427. ἐν—ἵστανται = Ambr. 411 589 = P, Σ^a, H 590 cf. Synt. Laur. 592 cf. Ambr. 483, Et. M. 475, 12, sch. Σ 531, H, Ap. S. 92, 22; Σ 531 593 = Ambr. 481 594 cf. Ambr. 489, Lex. de sp.; Ps. Herodian. 51 = Zon. 1121 595 = Ambr. 480

582 cf. 585. Z 1118 583 Z 1117 584 Z 1116 585 cf. 582, 590, 796. Z 1119 590 cf. 585 592 Z 1120

581 om. T 3 et 4 Ἱπούμενος GIT Port. 585 extra ord. 9 Ἵπτω] A^2(GITFVM) Ἵπω VM Ἰπῶ] Ἱππῶ F 10 ἱππούμενος FV συμφοραῖς] ἵππουριν add. FVM 586 om. (T)F 12 κύκλ' Paroem. 14 ὄνομα κύριον ex FV Ambr. δὲ om. F 16 Πύθεο A 20 πέταται A 590 om. F 22 Ἵππυς coll. Steph. Byz. v. Ἀρκάς Bhd. Περσῶν F 25 οὗτος—ἄλλα ad 588 rettulit Kust. 26 πληθυντικῶς F

Δ 596 Ἰρή: πόλις.

Δ 597 Ἰριδανός: ποταμός.

Σ 598 Ἶρις: νέφους ὑγρότης κατ' ἔμπτωσιν ἡλίου πεποικιλμένου, οἷον
Phil. τὸ τόξον. ἢ αὐγαὶ ἀφ' ὑγρῶν νεφῶν ἀνακεκλασμέναι. ἢ ἔμφασις
ἡλίου τμήματος ἢ σελήνης, ἐν νέφει δεδροσισμένῳ κοίλῳ καὶ συνεχεῖ
πρὸς φαντασίαν, ὡς ἐν κατόπτρῳ φανταζομένην, κατὰ κύκλου περι-
φέρειαν. τῆς Ἶριδος τὸ χλωρὸν ἀέρος σημαντικόν, τὸ πυρρὸν
πνευμάτων, τὸ δὲ μελανίζον ὑδάτων.

Δ 599 Ἶρις: ἀρσενικὸν ὄνομα ποταμοῦ. θηλυκὸν δὲ σημαίνει τὴν ἄγ-
γελον τῶν θεῶν.

Δ 600 Ἶρος: ὁ πτωχός· διὰ μακροῦ τοῦ ι. Ἱρὸς δὲ ὁ ἱερός, κατὰ
Soph. κρᾶσιν. χῶρος ὅδ' ἱρός, ὡς ἀπεικάσαι, βρύων δάφνης, ἐλαίας,
ἀμπέλου· πυκνότεροι δ' εἴσω κατ' αὐτὸν εὐστομοῦσ' ἀηδόνες.

Δ 601 Ἱρῶν μηνίσας· παρὰ Ὁμήρῳ.

Δ 602 Ἴρτιος: ὄνομα κύριον.

Σ 603 Ἶς: δύναμις, νεῦρα.

Δ Suid. 604 Ἶσα: πόλις. Ἴσα δὲ τὰ ὅμοια.

Σ 605 Ἴσσα: ἐπίφθεγμα ἐπὶ τῶν ἀπολαχόντων καὶ ὅλως δυσπραγούν-
των. ἔστι καὶ ἐν Μεσσηνίᾳ Μενάνδρου καὶ ἑτέρωθι.

Δ 606 Ἰσαάκ: ὄνομα κύριον. ὅτι ἐπιξενωθεὶς ὁ θεὸς τῷ Ἀβραὰμ ἐπηγγεί-
Suid. λατο τέξεσθαι Σάρραν αὐτῷ παῖδα. ἡ δὲ ἐμειδίασε, καὶ Ἰσαὰκ τὸ γεννηθὲν προσ-
ηγορεύθη φερωνύμως τῷ μεθ' ἡδονῆς γέλωτι κατὰ τὴν Ἑβραΐδα διάλεκτον.

Harp. 607 Ἴσα· βαίνων Πυθοκλεῖ: Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου·
ἀντὶ τοῦ συνὼν ἀεὶ καὶ μὴ βραχὺ ἀφιστάμενος. καὶ Μένανδρος· παρ'
Ar. αὐτὸν ἴσα βαίνουσα ἑταίρα πολυτελής. ἴσα γὰρ ἀληθῶς φαίνεταί
μοι ψεύδεσιν, ἐπὶ τῶν ἀμφιβόλων πραγμάτων καὶ δυσελπίστων. Ἀρι-
στοφάνης Ὄρνισι.

Δ 608 Ἰσάγγελος: ἴσος ἀγγέλῳ.

596 cf. Ambr. 486 597 cf. ad v. H 516 598 — τόξον = P, Ba 263, 11 cf. Et. M. 475, 39, Ps. Herodian. 51, Ambr. 482 αὐγαὶ—περιφέρειαν Laert. 7, 152 599 — ποταμοῦ = Ambr. 478 cf. Et. M. 475, 43. σημαίνει sq. = Et. M. 475, 37 cf. Ambr. 484, sch. Γ 121, H 600 — κρᾶσιν cf. Et. M. 475, 19, Philop. diff.; — πτωχός = Ambr. 468, Ps. Herodian. 51, Lex. de sp., P, Ba 263, 13 cf. H. Ἱρὸς—ἱερός = L, Ps. Herodian. 179, Lex. de sp. cf. Ambr. 470 χῶρος sq. Soph. OC 16—18 601 cf. Ambr. 473, Ε 178 602 = Ambr. 475 603 = P, Ba 263, 14, Apion cf. H, sch. H 269, L 605 = P; Men. com. fr. 36 606 — κύριον = Ambr. 510 607 — πολυτελής Harp. = P, An. Ox. 2, 496, 5; Dem. 19, 314; Men. com. fr. 824 ἴσα γὰρ sq. Ar. Av. 1167 c. sch.(?) 608 = L sub litt. ει; in Luc. 20, 36

596 Z 1120 597 hinc v. H 516 598 Z 1120 599 Z 1120 602 Z 1120 603 cf. 360 et 376. Z 1125 604 Z 1125. Ἴσα sq. ex 133 vel 662 605 Z 1130 606 ὅτι sq. ex v. A 69 cf. 644 608 Z 1121

A²(GITFVM) 597 post 595 GI 2 Ἠριδανός AVM; Ἠριδανός mg. add. VM 9 ἀρσενικῶς TF θηλυκῶς TF cp. I τὴν] τὸν V 13 πυκνώτερον F αὐτὸν AV: γρ. κατ' αὐτὸν mg. VM αὐτῶν GIFM 601 om. TF 14 Ἱερῶν GIM Ὁμήρου GIVM cf. Ambr. 602 om. F 17 Ἴσα—ὅμοια om. F 605 om. T 18 ἀπολαχόντων F Phot.: ζ' λαχόντων propter cp. rell. 20 ὅτι—22 διάλεκτον om. F 607—9 om. T 24 μὴ] μηδὲ A, Harp. plen. 25 ἴσα] nov. gl. IF φαίηται V

609 Ἰσακίῳ: ἀνδρείῳ. Σ
610 Ἴσακος: Ἑλληνιστὶ εἴρηται ὁ Ἰσαάκ.
611 Ἴσαμεν καὶ Ἴσασι, γινώσκουσιν. Δ
612 Ἴσαν: ἐπορεύθησαν. παρ' Ὁμήρῳ, καὶ μόνον· σημαίνει δὲ Σ Δ
καὶ τὸ ἔγνωσαν.
613 Ἴσανδρος: ὄνομα κύριον. Δ
614 Ἴσας δ' ὑσμίνῃ κεφαλὰς ἔχον: ἥ τε τῶν Ἑλλήνων, φησί, Greg.
καὶ ἡ τῶν βαρβάρων μάχη ἰσοκέφαλος ἦν.
615 Ἴσασι: γινώσκουσιν. οἱ γὰρ κακοί, γνώμαισι τἀγαθὸν χεροῖν Δ
ἔχοντες, οὐκ ἴσασι πρίν τις ἐκβάλῃ. Soph.
616 Ἴσαυροι· Ζήτει ἐν τῷ βρύχιος.
617 Ἴσατο: καθίδρυσεν. Δ
618 Ἰσδιγέρδης: ὄνομα κύριον. Δ
619 Ἰσραηλίτης: Ἑβραῖος. Δ
620 Ἰσαῖος: εἷς μέν ἐστι τῶν δέκα ῥητόρων, μαθητὴς δὲ Ἰσοκρά- Harp.
τους, διδάσκαλος δὲ Δημοσθένους, Ἀθηναῖος τὸ γένος. Δημήτριος δὲ
Χαλκιδέα φησὶν αὐτὸν εἶναι. οὗτος ἐπαινεῖται καὶ ὡς ῥήτωρ καὶ
ὡς Δημοσθένην ἀμισθὶ προαγαγών. ὅτι Ἰσαίου τοῦ ῥήτορος νεωτέ-
ρου ἀκωτευομένου, ὕστερον δὲ σωφρονήσαντος, ἤρετο αὐτόν τις· τίς
ἄριστος τῶν ἰχθύων καὶ τῶν ὀρνέων εἰς βρῶσιν; πέπαυμαι, ἔφη ὁ
Ἰσαῖος, ταῦτα σπουδάζων· ξυνῆκα γὰρ τοὺς Ταντάλου κήπους τρυγῶν·
ἐνδεικνύμενος δήπου τῷ ἐρομένῳ ταῦτα, ὅτι σκιὰ καὶ ὀνείρατα αἱ
ἡδοναὶ πᾶσαι.
621 Ἰσσαῖος: ὁ πολίτης. Δ
622 Ἰσαιών, Ἰσαιῶνος: ὄνομα κύριον. Δ
623 Ἴσαι ψῆφοι: ἐπὶ τῶν παρ' ὀλίγον ἐν τοῖς δικαστηρίοις ἁλισκο- Σ
μένων. ἀναλύονται γὰρ οἱ διωκόμενοι ἀπὸ τῶν δικαζομένων, ἂν ἴσαι
γένωνται ψῆφοι, ἐν αἷς ἀπολύεται ὁ ἐγκαλούμενος.
624 Ἴσαι ψῆφοι· Αἰσχίνης κατὰ Κτησιφῶντος· ἕτερος δὲ πλεύσας Harp.

609 = P, Σ^{a}, Ba 263, 15, H 611 cf. Et. M. 476, 5, Ambr. 583. Ἴσασι sq. = sch. Z 151, Ap. S. 92, 33 cf. H 612 — ἐπορεύθησαν = P, Ba 263, 16, sch. Γ 2, An. Ox. 1, 217, 22 (ex quo Et. M. 475, 51), An. Ox. 2, 480, 17 cf. sch. A 494 = Apion, H, L παρ' Ὁμήρῳ = L s. litt. ει; ἔγνωσαν cf. Apion 613 = Ambr. 503 614 sch. Greg. ap. Puntoni (Studi di filol. gr. 1, 153) contulit Wentzel. l. = Λ 72 615 οἱ sq. Soph. Ai. 964—5 618 = Ambr. 501 cf. An. Ox. 2, 14, 19 619 cf. Ps. Herodian. 53; l. = L cf. Ambr. 534 620 — vs. 17 εἶναι Harp. = P cf. Phot. Bibl. c. 263 ὅτι sq. Philostr. vit. soph. 1, 20 621 l. = L cf. Ambr. 530 622 = Ambr. 509 et 515 623 = P 2 cf. H 624 Harp. = P 3; Aeschin. 3, 252

609—10 Z 1121 611 cf. 615, 637, 680—1, 702 612 Z 1127 614 Z 1125 615 cf. 611, 628, 637, 680—1, 702 617 Z 1127 619 cf. 679 620 vs. 18 ὅτι sq. cf. v. Ταντάλου κήπους

1 Ἰσακείῳ F Ba Ἰσανίῳ V 611 om. TF 612 om. F 4 καὶ μόνον] A^{2}(GITFVM) fort. κείμενον vel καὶ ὁμοίως, sed cf. v. σῦκον 614—6 om. T 7 ὑσμήνους F 9 οἱ—11 βρύχιος om. F 619 extra ord. 16 διδάσκαλος—23 πᾶσαι om. F 18 ὅτι—24 πολίτης om. T 24 Ἰσαῖος F Laur. cf. Ambr. πολίτης] ποταμός F 624 ante 623 F, non nov. gl. A

ἰδιώτης εἰς Ῥόδον, ὅτι τὸν φόβον ἀνάνδρως ἤνεγκε, πρώην μέν ποτε εἰσηγγέλθη, καὶ ἴσαι αἱ ψῆφοι αὐτῷ ἐγένοντο. εἰ δὲ μία ψῆφος ὑπερέπεσεν, ὑπερώριστο ἂν καὶ ἀπέθανεν.

Ar. 625 Ἴσαι ψῆφοι· ὡς ἀπόλοιτο, κἂν ἴσαι ψῆφοι γένωνται. ὑπερβολικῶς εἴρηται. ὅταν γὰρ αἱ ψῆφοι ἴσαι γένωντο, ἀπελύετο ὁ κατηγορούμενος.

Σ 626 Ἰσηγορεῖ: ἐπίσης λέγει, ἰσολογεῖ. Πολύβιος· οὔσης δημοΕ κρατίας παρὰ τοῖς Μεσσηνίοις καὶ τῶν μὲν ἀξιολόγων ἀνδρῶν πεφυγαδευμένων, τῶν δὲ κατακεκληρουχημένων τὰς τούτων οὐσίας ἐπικρατούντων τῆς πολιτείας, δυσχερῶς ὑπέφερον τὴν τούτων ἰσηγορίαν οἱ μένοντες τῶν ἀρχαίων πολιτῶν.

Ε 627 Ἰσηλίκων: τῆς αὐτῆς ἡλικίας. γυναικῶν ἰσηλίκων χορὸν ἑαυτὴν περιχέαca· γηραιαὶ αὗται, χορὸς θεοφιλής· καὶ καθεῖσαι τὰς παλαιὰς ἐκείνας κόμας ἐθεοκλύτουν.

Δ 628 Ἴσημι: γινώσκω.

Hesy. 629 Ἰσίδωρος, πρεσβύτης, ὁ Πηλουσιώτης, ἀνὴρ ἐλλογιμώτατος, φιλόσοφός τε καὶ ῥήτωρ. ἐπιστολὰς ἑρμηνευούσας τὴν θείαν γραφὴν τρισχιλίας γέγραφε, καὶ ἄλλα τινά.

630 Ἰσίδωρος· καὶ ζήτει ἐν τῷ Ἀπίκιος Μάρκος.

631 Ἰσίδωρος, φιλόσοφος· ὃς ἐφιλοσόφησε μὲν ὑπὸ τοῖς ἀδελφοῖς, εἴπερ τις ἄλλος ἐν τοῖς μαθήμασιν ἐπιμελής τε ἐν ἱεροῖς καὶ τὰ πρὸς ταῦτα κατασκευάζειν ἅπαντα, ὡς ἔπος εἰπεῖν, ἱκανώτατος εἰς ὑπερβολήν. ἐμοί τε δοκεῖν τὴν ζωὴν μὲν ἦν φιλόσοφος, τὰ δὲ πρὸς ἐπιστήμην οὐ διεξητασμένος, ἀγύμναστος ὢν μᾶλλον ἢ ἀφυὴς τὰ διαλεκτικά. νέῳ δὲ ὄντι θαυμαστόν τι συμβέβηκεν. ἀδελφῆς γὰρ υἱὸς αὐτῷ καὶ ἡλικιώτης, ἔτη ιη΄ γεγονώς, ἐπιδειξάμενος εὐθὺς ἐκ νέων φύσεώς τινα ῥώμην δαιμονίαν, ἀπὸ τοῦ τέγους πεσὼν ἐτελεύτα παραχρῆμα τὸν βίον· καὶ πένθους ἐπ' αὐτῷ μεγάλου συνεστῶτος, ἐπιφοιτῶν ἐνύπνιος τῷ Ἰσιδώρῳ τοῦτον παρεμυθεῖτο.

632 Ἰσίδωρος, ὁ ἐν Χίῳ μαρτυρήσας ὑπὲρ Χριστοῦ καὶ περιβόητος ἐν τοῖς θαύμασιν γεγονώς· ἦν δὲ ἐξ Αἰγύπτου.

Δ 633 Ἰσσικὸς κόλπος.

Δ 634 Ἰσσινίας: ὄνομα κύριον.

625 Ar. Ran. 685 c. sch. cf. P 1, Aristot. Ath. Pol. p. 81, 35, Lex. Cant. 626 — Ἰσολογεῖ = P, Ba 263, 17 cf. H οὔσης sq. Polyb. 7, 10, 1 627 γυναικῶν sq. Aelian. fr. 231 628 = Ambr. 590 631 — vs. 21 τε Dam. fr. 92. vs. 21 ἐν sq. Dam. fr. 107 cf. Byz. Zt. 18, 439, Tannéry, Mémoires 1, 111 sqq. 633 = Ambr. 496

625 cf. v. ὡς ἀπόλοιτο 626 Z 1128 627 cf. v. K 68 628 cf. 611, 615, 637, 680—1, 702. Z 1128 631 cf. v. Δ 116 633 Z 1122

A³(GIFVM) 5 γένωνται F, sch., v. ὡς ἀ.: ἐγινώντο I ἐγίνοντο AGVM 7 ἰσολογεῖ] nov. gl. AGIM 11 μένοντες τῶν ἀρχαίων] ἀρχαῖοι τῶν A 12 ἑαυτῇ ed. pr. 13 γηραιαὶ] δὲ add. V 16 πρεσβύτερος A 18 τρισχιλίας AG: ,γ΄IM γ΄ V γρα F 23 ἐμοί τε] ἐμοὶ δὲ Dr. 632 ex F solo 32 Ἰσικὸς F 33 Ἰσινίας F

635 Ἴκις, Ἰκιδος. ὄνομα δαίμονος. καὶ ἡ κλητική, ὦ Ἶκι. σὺ δέ, Δ
ὦ Ἶκι τάλαινα, μενεῖς ἐπὶ χεύματα νήσου.
636 Ἴκις· αὕτη λέγεται Ἰώ· ἣν ἥρπασεν ὁ Ζεὺς ἐξ Ἄργους καὶ τὴν Greg.
Ἥραν φοβούμενος μετέβαλεν αὐτὴν ποτὲ μὲν εἰς λευκὴν βοῦν, ποτὲ
δὲ εἰς μέλαιναν, ποτὲ δὲ ἰάζουσαν· μεθ' ἧς πλανώμενος ἦλθεν εἰς
Αἴγυπτον. τιμῶσιν οὖν Αἰγύπτιοι τὴν Ἶκιν· διὸ ἐπὶ τῆς κεφαλῆς
τοῦ ἀγάλματος αὐτῆς κέρατα βοὸς γλύφουσι, δηλοῦντες τὴν ἐπὶ βοῦν
τῆς κόρης μεταβολήν.
637 Ἴκθι: γίνωσκε. Σ
638 Ἰσθμια: περιστόμια, περιδέραια, περιτραχήλια. λέγονται δὲ Σ + x
καὶ ἑορταὶ Ἑλλήνων. καὶ παροιμία· Ἰσθμιάζειν, ἐπὶ τῶν κακῶς Δ
βιούντων. ἐπίνοσος γὰρ ὁ τῶν Ἰσθμίων καιρός. Ἰσθμιον ἀμ- Prov.
φιφορῆ, ὁ τράχηλος τοῦ κεράμου, διὰ τὸ στενὸς εἶναι.
639 Ἰσθμικὴ πίτυς: ἄθλον ἐπινίκιον. Δ
640 Ἰσθμός: θάλασσα μεταξὺ δύο γαιῶν· πορθμὸς γὰρ γῆ μεταξὺ Σ
δύο θαλασσῶν. Ἀριστοφάνης· ἰσθμόν τιν' ἔχεις, ἄνθρωπ', ἄνω τε Ar.
καὶ κάτω τὸ πέος διέλκεις, πυκνότερον Κορινθίων. ἐπεὶ τὰς ναῦς διὰ
τοῦ Ἰσθμοῦ εἵλκον οἱ Κορίνθιοι, ὥστε μὴ περιέρχεσθαι. τοῦτο δὲ
διϊσθμονίσαι ἐκάλουν.
641 Ἰσκαριώτης: σκηνὴ θανάτου. Δ
642 Ἴσκεν· ὡς τό, ἴσκε ψεύδεα πολλὰ λέγων. καὶ Ἴσκειν, εἰκάζειν. Δ
643 Ἶσμα: ἴδρυμα. Δ
644 Ἰσμαήλ: ὁ μεθ' ἡδονῆς γέλως Ἑβραϊστί. καὶ Ἰσμαηλίτης, ὁ Δ Suid.
ἀπὸ Ἰσμαήλ. Δ
645 Ἰσμαρικὸς οἶνος· Ἀρχίλοχος· ἐν δορὶ δ' οἶνος Ἰσμαρικός·
πίνω δ' ἐν δορὶ κεκλιμένος. Ἴσμαρος δὲ πόλις, ἡ νῦν Μαρώνεια Hom.
λεγομένη.

635 — δαίμονος cf. Ambr. 547, L, Et. M. 476, 48, Lex. de sp. σὺ sq. Orac. Sibyll. 5, 484 (Geffcken) 636 = Nonn. in Greg. PG 36, 1072b 637 = P, Ba 263, 18; Et. Gen. = Et. M. 476, 23 cf. H, Ambr. 583 638 — περιτραχήλια praeter περιδέραια = P, Σ^a, Ba 263, 19 cf. H, v. Ἰσθμιον, Moer. 199, 22, sch. c 299, Et. M. 477, 31 ἑορταὶ Ἑλλήνων cf. Ambr. 582 Ἰσθμιάζειν—καιρός = Cohn Z. d. P. 78 n. 56 cf. H 639 l. = Ambr. 544 640 — θαλασσῶν = P, Ba 263, 20 cf. An. Ox. 2, 379, 19 (Byz. Zt. 16, 67), Et. Gen., Et. M. 477, 23, Bk. 265, 28, Ps. Herodian. 53, Ambr. 497 Ἰσθμόν sq. Ar. Th. 647—8 c. sch. 641 = Lagarde 175, 18 642 cf. Et. M. 476, 39; — λέγων cf. Ambr. 589; τ 203. Ἴσκειν sq. cf. Ambr. 588, Ap. S. 92, 35, H, sch. τ 203 643 = Ambr. 574, Et. M. 477, 3 cf. H 644 l. + Ἰσμαηλίτης sq. cf. L, Ambr. 535 ὁ pr.—Ἑβραϊστί ex 606 fluxisse perspexit Kust. sed cf. Zon. 1122 645 ἐν pr.—κεκλιμένος Archiloch. fr. 2 ex Ath. 1, 30f, vel Synes. Ep. 130, 265c Ἴσμαρος sq. sch. ι 40 = H; — πόλις = Ambr. 551

637 cf. 611, 615, 628, 680—1, 702 638 Z 1126 639 Z 1125 640 Z 1122 642 Z 1129 644 partim ex 606. Z 1122 645 cf. v. M 222, v. ὑπνομαχῶ. Z 1125

2 χεύματα FV: χεύματος rell. 5 ἰδιάζουσαν V 6 τῆς om. V A^2(GITFVM)
7 τοῦ ἀγάλματος AIV: αὐτοῦ ἀγάλματα GTM 12 ἐπίπονος F Ἴσθμιον—
13 εἶναι om. T nov. gl. IFV 12. 13 ἀμφιφορῆ FV: ἀμφιφορᾶ rell. ἀμφιφορῆος
Pierson 16 Ἀριστοφάνης—19 ἐκάλουν om. F 642 om. T 23 ὁ—Ἑβραϊστί
om. F ante 645 Ἴσμαρος, ἡ νῦν Μαρώνεια λεγομένη add. A et mg. M
25 Ἀρχίλοχος—26 κεκλιμένος om. T ἐν—26 κεκλιμένος om. F 27 καλουμένη F

Σ 646 Ἴσμεν: οἴδαμεν.

Harp. 647 Ἰσμηνίας: εἷς παρ' Ἀθηναίοις ἦν πολέμαρχος ἐπιφανής.

Harp. 648 Ἰσοδαίτης: ξενικός τις δαίμων, ᾧ τὰ δημώδη γύναια καὶ μὴ πάνυ σπουδαῖα ἐτέλει.

Σ 649 Ἰσοκλέης: ἰσόδοξος.

650 Ἰσμήνης· ζήτει ἐν τῷ σημαίνει.

Phil. 651 Ἰσόκωλον: τὸ ἴσα μέρη ἔχον. λέγει δὲ Ἀριστοτέλης ὅτι, ἐὰν συνθέτου τινὸς λόγος ἀποδοθῇ τοσαῦτα μέρη ἔχων, ὅσα καὶ τὸ σύνθετον ἔχει, οὗ ὁ ὁρισμὸς ἀποδίδοται, οὐκ ἔσται οὗτος ὁ λόγος ὁρισμὸς ἐκείνου. ἐν γὰρ τοῖς οὕτως ἀποδιδομένοις λόγοις ἀναγκαῖον ὀνομάτων εἰς ὄνομα τὴν μετάληψιν γεγονέναι.

Hesy. 652 Ἰσοκράτης, Θεοδώρου αὐλοποιοῦ, Ἀθηναῖος, ῥήτωρ, γενόμενος ἐπὶ τῆς πς' ὀλυμπιάδος, ὅ ἐστι μετὰ τὰ Πελοποννησιακά. καὶ διὰ μὲν τῆς φωνῆς τὴν ἀτονίαν καὶ τὸ ἀπαρρησίαστον δίκας οὐκ εἶπεν, ἐδίδαξε δὲ πλείστους, καὶ λόγους γέγραψε λβ'· βιώσας δὲ ἔτη ς' πρὸς τοῖς ρ' ἐτελεύτησεν. ἀδελφοὶ δὲ αὐτῷ ἐγένοντο Τίσιππος καὶ Θεόμνηστος καὶ Θεόδωρος· διδάσκαλος δὲ Γοργίας, οἱ δὲ Τισίαν φασίν, οἱ δὲ Ἐργῖνον· οἱ δὲ Πρόδικον ἔφασαν, οἱ δὲ Θηραμένην. οἱ δὲ λόγοι αὐτοῦ πλεῖστοι.

Hesy. 653 Ἰσοκράτης, Ἀμύκλα τοῦ φιλοσόφου, Ἀπολλωνίας τῆς ἐν τῷ Πόντῳ, ἢ Ἡρακλείας, ὡς Καλλίστρατος ὁ ῥήτωρ· μαθητὴς καὶ διάδοχος τοῦ μεγάλου Ἰσοκράτους, διακούσας δὲ καὶ Πλάτωνος τοῦ φιλοσόφου. οὗτος δὲ ὁ Ἰσοκράτης καὶ Θεοδέκτῃ τῷ ῥήτορι καὶ τραγῳδιοποιῷ καὶ Θεοπόμπῳ τῷ Χίῳ, ἅμα τῷ Ἐρυθραίῳ Ναυκρατίτῃ διηγωνίσατο περὶ λόγων εἰς τὸν ἐπιτάφιον Μαυσώλου τοῦ βασιλέως Ἁλικαρνασσοῦ. καὶ λόγοι αὐτοῦ ε'· Ἀμφικτυωνικός, Προτρεπτικός, Περὶ τοῦ τάφον μὴ ποιῆσαι Φιλίππῳ, Περὶ τοῦ μετοικισθῆναι, Περὶ τῆς ἑαυτοῦ πολιτείας.

Suid. 654 Ἰσοκράτης εἶπεν· ὁ γὰρ φαύλως διανοηθεὶς περὶ τῶν ἰδίων, οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων.

Δ 655 Ἰσολογία: ἰσοτιμία. διαψευσθεὶς δὲ τῆς κρίσεως ἐν οὐδενὶ
Ε τῶν ἀμφισβητουμένων ἰσολογίαν ἔξειν οὐδέποτε πρὸς τὸ συνέδριον.

656 Ἴσον καὶ ἄνισον. ζήτει ἐν τῷ ἀμπλάκημα, καὶ ζήτει ἐν τῷ ἴσον.

Δ 657 Ἴσοξ: ὄνομα ἔθνους.

Σ 658 Ἰσοπαλῆ: ἴσα ἐν κλήρῳ. πάλος γὰρ ὁ κλῆρος.

646 = P, Σ[a] 647 Harp. = P 648 Harp. = P 649 = P, Σ[a] cf. H 651 Alex. Aphr. 477, 27—478, 1 652 cf. Phot. Bibl. c. 260 init. 655 διαψευσθεὶς sq. Polyb. fr. 165 657 = Ambr. 512 cf. 536 658 = P, Ba 263, 22 cf. H

646 cf. 127 651 Z 1126 654 ex v. φαῦλον 2 658 Z 1126

A[a] (GITFVM) 646 om. T 8 ἔχων AT: cp. VM ἔχει GI 13 μετὰ] κατὰ Coraes 18 Πρόδινον V 21 ἢ om. GI ὁ del. interpunctione posita Bhd. 22 ἀκούσας V 23. 24 τραγῳδοποιῷ A 24 Ναυκράτῃ Meurs. cf. v. Θεοδέκτης Ναυκράτει Bhd. 26 Ἀμφικτυονικός V, cf. Westermann Biogr. p. 258 vs. 130 654 om. F mg. V 31 ἰσοτιμία om. F 32 πρὸς τὸ om. F 656 om. F mg. V 33 ἴσον] fort. ἄνισον

659 Ἰσόπεδον: εἰς ὁμαλὸν τόπον. Δ
660 Ἰσόρροπον: ἰσοβαρές, ἰσοστάσιον. Σ
661 Ἰσός: ὄνομα ποταμοῦ. Δ
662 Ἰσσός: ὄνομα πόλεως. Ἶσος δὲ ὁ ὅμοιος· καὶ περισπᾶται. ἐξ Δ
οὗ καὶ ἰσότερος.
663 Ἰσοσθενής: ἰσοδύναμος. Σ
664 Ἰσοστάσιον: ἰσόσταθμον. Σ
665 Ἰσοτελεῖς: οἱ ἀπὸ τοῦ μετοικεῖν κατά τινα τιμὴν παρὰ τοῦ Σ
δήμου γενομένην κατὰ ψήφισμα μεταβαίνοντες εἰς τὸ τῶν δημοποιήτων δίκαιον ἰσοτελεῖς ὠνομάζοντο. ἐγίνετο δὲ τοῦτο τοῖς μετοίκοις ὑπὸ τῆς πόλεως, ὅταν ἔδοξαν εὖ πεποιηκέναι τὸ κοινόν.
666 Ἰσοτελεῖς: ἴσα τελοῦντες. ἴσα τοῖς ἀστοῖς, ὅ ἐστι τοῖς πολί- Σ
ταις, τέλη διδόντες.
667 Ἰσοτελὴς καὶ Ἰσοτέλεια: πολλάκις τιμή τις ἐδίδοτο τοῖς Harp.
ἀξίοις φανεῖσι τῶν μετοίκων, καθ' ἣν τοῦ μετοικίου ἄφεσις αὐτῶν ἐγίγνετο. ὅτι δὲ καὶ τῶν ἄλλων, ὧν ἔπραττον οἱ μέτοικοι, ἄφεσιν εἶχον ἰσοτελεῖς Θεόφραστος λέγει. καὶ πόλεσι δὲ ὅλαις ἐψηφίζοντο τὴν ἀτέλειαν Ἀθηναῖοι, ὥσπερ Ὀλυνθίοις καὶ Θηβαίοις. ὁ δὲ ἰσοτελὴς ὡρισμένον τι τέλος ἐδίδου.
668 Ἰσότης φιλότης: αὕτη γνωμικὴ δηλοῦσα ὡς ἰσότης τὴν φιλίαν Prov.
συνέχει.
669 Ἰσουργός: ἴσα ἐργαζόμενος. Σ
670 Ἰσοϋψεῖς οἰκίαι καὶ παράλληλοι τῷ τείχει, ἐν Σιφλῷ οὖσαι E
κατάλυματα τοῖς ἐργαζομένοις τὰ χρύσεια μέταλλα. ἰσοϋψὴς οὖν ἰσσϋψοῦς κλίνεται.
671 Ἰσοφαρίζειν: ἐξισοῦσθαι. Σ
672 Ἰσοφωνία. Δ
673 Ἰσοφυᾶ: ἴσα. Σ
674 Ἰσοχειλεῖς: μέχρι χείλους πεπληρωμένοι. ἦσαν δὲ κρατῆρες E
οἴνου ἰσοχειλεῖς.
675 Ἴσῳ ζυγῷ: ἀντὶ τοῦ ἐξίσης. ὁ δὲ ἀγαπήσας αὐτόν καὶ φιληθεὶς

659 cf. sch. N 142, Ambr. 575 660 = P, Ba 263, 23 cf. H 661 = L; l. = Ambr. 527 662 — πόλεως = L; l. = Ambr. 549. Ἶσος—ὅμοιος = Et. M. 477, 8, Lex. de sp. 663 = P, Σ^{a}, Byz. Zt. 16, 62 vs. 32 cf. Ba 263, 24, H 664 = P, Σ^{a} cf. H 666 Phryn. fr. 1 ex Moer. = P, Ba 263, 25 cf. Bk. 267, 1, H 667 Harp. = P; Theophrast. fr. 102 668 = Cohn Z. d. P. 78, n. 58 669 = P, Ba 263, 28 cf. H 671 = P, sch. Z 101; Et. Gen. = Et. M. 476, 58 cf. Ba 263, 29, H 672 = L 673 = P, Ba 263, 30, H 674 ἦσαν sq. cf. Xen. An. 4, 5, 26 675 ὁ sq. Iul. or. 8, 244c

661 Z 1125 662 cf. 133; hinc 604 669 Z 1123 674 cf. v. οἶνος. Z 1122

1 εἰς ὁμαλὸν] ἰσόμαλον F ἰσώμαλον sch. 3 ποταμοῦ] τόπου F 4 καὶ— A^{2}(GITFVM)
5 ἰσότερος om. F 4 προπερισπᾶται Bhd. 9 τὸ] τὴν V 14 ἐδίδετο FVM
15 ἀξίοις FV Harp. Phot.: ἀνάξιοις AGIM 16 ἐγίνετο A 20 ὡς] ὡς ἡ V 670 post 672 F 23 ἐν—25 κλίνεται om. F 23 Σιφνῷ Port. στύφλῳ Bhd. 24 ἰσοϋψὴς—25 κλίνεται mg. V nov. gl. AGIM 29 χείλους] τείχους F
31 Ἴσῳ ζυγῷ TF, ordo poscit: Ἰσοζυγῶ rell. ὁ—p. 672, 2 πρακτέον om. TF

τὸ λεγόμενον ἴσῳ ζυγῷ παρ' ἐκείνου, ἡδέως μὲν αὐτῷ συνῆν, ἔπραττε δὲ οὐδὲν ὧν μὴ πρότερον ἐκεῖνος πύθοιτο καὶ φήσειεν εἶναι πρακτέον.

Σ Δ 676 Ἰσωνία: ἰσοτιμία. ἢ ἡ ἴση ἀγορά.

Δ 677 Ἴσωτο.

Δ Suid. 678 Ἱσπανία: χώρα. ἢ καὶ Ἰβηρία καὶ Ἑσπερία καλεῖται.

Δ 679 Ἰσραηλίτης: Ἑβραῖος.

Σ 680 Ἴστε: γινώσκετε.

Δ 681 Ἰστέον: δεῖ γινώσκειν.

Synt. 682 Ἵσταμαι· γενικῆ.

Σ + Δ 683 Ἵστη: ἵστανε, στῆσον, προστακτικῶς.

Synt. 684 Ἵστημι· αἰτιατικῇ.

Δ 685 Ἱστία: ἡ καθέδρα.

Σ 686 Ἱστιατορίαν: δειπνητορίαν.

Δ 687 Ἱστιαία: πόλις. καὶ Ἱστιαῖος, ὄνομα κύριον.

Δ 688 Ἱστίαιτον: ὄνομα τόπου.

Σ 689 Ἱστίον: ἄρμενον. πλήρεσιν ἱστίοις ἐς τὴν αὐτοῦ σοφίαν καθῆκεν. ἀντὶ τοῦ παντὶ σθένει, πάσῃ δυνάμει, ὅλῃ ψυχῇ. καὶ

Prov. παροιμία· Θύειν Ἱστίᾳ. εἴρηται ἡ παροιμία κατὰ τῶν μηδενὶ ῥᾳδίως μεταδιδόντων. δι' ἔθους γὰρ ἦν τοῖς παλαιοῖς, ὁπότε ἔθυον Ἱστίᾳ, μηδενὶ μεταδιδόναι τῆς θυσίας.

Ar. 690 Ἱστίον καπρόν: ἄρμενον παλαιόν, τρίβακον ἢ μὴ ἁρμόζον. Ἀριστοφάνης· ἀντὶ τοῦ ἱστίον καπρόν. ὥσπερ ἐπιγνούσης ὀψὲ τῆς φύσεως αὐτοῦ τὸ οἰκεῖον ἔργον, οὐ κατὰ μικρόν, ἀλλ' ὅσοις ἱστίοις ἀπηνέχθη τῆς σοφιστικῆς προαιρέσεως, ἐπειδὴ τὸ πρῶτον ἐφιλοσόφησεν.

Ar. 691 Ἱστιορράφος: πανοῦργος. ἀπὸ μεταφορᾶς τῶν τὰ ἄρμενα ῥαπτόντων. καὶ οἱ Αἰγύπτιοι δὲ λινοποιοί εἰσιν. Ἀριστοφάνης· ὀλίγου ταύτην ἱστιορράφος.

Ar. 692 Ἱστίοις: τοῖς τοῦ πλοίου λαίφεσιν. Ἀριστοφάνης· μὴ πρὸς

676 — ἰσοτιμία = P, Σ[a] cf. H v. ἰσονία ἡ sq. cf. Ambr. 570 678 — χώρα = Ambr. 564, Ps. Herodian. 53, Lex. de sp. 680 = P, Ba 263, 31 cf. H 681 = Ambr. 599 682 cf. Synt. Gud. et Laur. 683 praeter στῆσον = P, Ba 263, 32. στῆσον cf. Ambr. 584 684 = An. Ox. 4, 295, 4 cf. Synt. Laur. et Gud. 686 = Σ[a], Ba 264, 1 cf. P, H 687 πόλις = Ambr. 558, Lex. de sp. Ἱστιαῖος sq. = Ambr. 502 689 — ἄρμενον = P, Ba 264, 2, Ambr. 581, H, Ps. Herodian. 53 πλήρεσιν—καθῆκεν Philostr. vit. soph. 1, 25, 5 θύειν sq. = Zen. IV 44 690 — vs. 22 καπρόν sch. (plenior.) Ar. Eq. 918 ὥσπερ sq. Synes. Dio, PG 66, 1117 b 691 sch. Ar. Th. 935 692 Ar. Ran. 998—1004 c. sch. 1000 (plenior.)

678 ἡ sq. ex 75 679 cf. 619 680—1 cf. 611, 615, 628, 687, 702. Z 1129 683 Z 1129 685 Z 1125 689 Philostr. cf. v. πλῆντο 692 cf. v. Λ 372

A[2] (GITFVM) 676—7 om. T 3 Ἰσωνία F Phot. Ba Ambr.: Ἰσονία rell. cf. Hes. ἡ om. IF ἀγορασία G[ορ]I[ερ]VM[ερ] 5 ἢ—καλεῖται om. F καὶ alt. om. GIM 6 ὁ Ἑβραῖος F 10 ἵστανε] nov. gl. GITM στῆσον προστακτικῶς ss. V 14 Ἱστιαία ed. pr., Ambr.: Ἱστιαῖος omnes cf. 751 15 Ἱστίαιον Bhd. 17 καὶ—20 θυσίας om. F 18 Ἱστίᾳ Bas., Prov.: Ἱστίῳ omnes 21 τρίβακον—24. 25 ἐφιλοσόφησεν om. F; corruptelam (initii) perspexit Kust.

ὀργὴν ἀντιλέξεις, ἀλλὰ cυcτείλας, ἄκροιcι χρώμενος τοῖc ἱcτίοις, εἶτα μᾶλλον μᾶλλον ἄξεις, ἡνίκ' ἂν τὸ πνεῦμα λεῖον, καθεcτηκὸς λάβῃc.

693 Ἱcτιοφόρος: ἀρμενοφόρος. Σ

694 Ἱcτοδόκη: ἡ ὑποδεχομένη τὸν ἱστόν. Δ

695 Ἱcτοπέδη: ξύλον ὀρθὸν ἀπὸ τῆc τρόπιδος, ᾧ προcδέδεται ὁ ἱστός. Σ

696 Ἱcτορημέναι: πρὸc θέαν ἱcτάμεναι. οὕτω γὰρ ἦcαν ἱcτορημέναι μόνον, ὡc ζωγραφοῦcιν οἱ γραφεῖc τὰc εἰκόνας.

697 Ἱcτορῆcαι: θεάcαcθαι. ὅτι ὁ Ἑκαταῖοc πρῶτοc ἱcτορίαν πεζῶc ἐξήνεγκε, cυγγραφὴν Φερεκύδηc· τὰ γὰρ Ἀγηcιλάου νοθεύεται. Σ Suid.

698 Ἴcτορι: μάρτυρι, ἢ κριτῇ. Σ

699 Ἱcτορία: ἡ θέα. οὐ γὰρ τί που παραπλήcιον ἢ μυcτηρίων ἱcτορίαν ἢ τὴν Περcεφόνην ἐθελῆcαι ἁρπάcαι αὐτήν; Δ E

700 Ἴcτορος: ἐπιcτήμονος. Δ

701 Ἱcτός: τὸ κατάρτιον. Δ

702 Ἴcτω: γινωcκέτω. καὶ Ἴcτω, ἀντὶ τοῦ ἴcταco. ἵcτω παρ' αὐτήν, δεῦρ' ἴθι κομμώτρια. Δ Ar.

703 Ἱcτῶκος καὶ Ἱcτῶνος: ἐν ᾧ οἱ ἱστοί. Δ

704 Ἴcτωρ: ὁ ἐπ' ἄκρῳ τῷ ῥυμῷ ἐμπεπηγμένος πάτταλος. Σ

705 Ἴcτωρ, ὑπερίcτωρ, πανcύρτῳ, παμμήνῳ πολλῶν δεινῶν cτυγνῶν τ' ἀχέων· Cοφοκλῆc. κἀγὼ τοῦδ' ἵcτωρ, ἀντὶ τοῦ κἀγὼ τούτου ἐπιcτήμων εἰμί, ὅτι ταλαίπωρόc εἰμι· οἶδα, ὅτι δειλαία εἰμί, αὐτῷ τούτῳ τῷ πανcύρτῳ τῶν πολλῶν ἀχέων, τουτέcτι τῷ πάντα cύροντι τὰ κακά. ἢ πανcύρτῳ, τῷ μετὰ πάcηc ὁρμῆc τῶν κακῶν ὡρμημένῳ. παμμήνῳ δὲ τῷ πολυχρονίῳ καὶ διηνεκεῖ. δειλαία οὖν εἰμι, ὅτι πάντα τὰ ἄχη εἰc ἡμᾶc cυνεcύρη καὶ διηνεκῆ παρέμειναν. Soph.

706 Ἴcτροc, Μενάνδρου, Ἴcτρου, Κυρηναῖοc ἢ Μακεδών, cυγγραφεύc, Καλλιμάχου δοῦλοc καὶ γνώριμοc. Ἕρμιππος δὲ αὐτόν φηcι Πάφιον Hesy.

693 = P, Ba 264, 3, H 694 = Ambr. 543, Et. M. 478, 30 cf. sch. A 434 695 = P, Ba 264, 4, Ap. S. 93, 3, H 696 οὕτω sq. Pisid. exp. Pers. 3, 46—7 697 — θεάcαcθαι = P, Ba 264, 6 698 = P, Ba 264, 7, sch. Σ 501, Et. M. 478, 15 cf. H v. ἵcτωρ 699 l. = L οὐ sq. Aelian. fr. 43, falso Dam. fr. 119 700 cf. Ambr. 499 = Ps. Herodian. 53; l. = L 701 = Ps. Herodian. 53 et 178 cf. sch. A 433 (= Et. M. 478, 23) et 480 702 — γινωcκέτω = sch. O 36, Lex. de sp. cf. H, Ambr. 583 ἵcτω alt. sq. Ar. Eccl. 737 703 Ἱcτῶκος + ἐν sq. cf. Ambr. 494. Ἱcτῶνος = L 704 = P, Ba 264, 8 cf. sch. Ω 272 705 Soph. El. 850—1 c. sch.

695 Z 1125 696 Z 1129 697 Z 1129. ὅτι sq. ex v. Ε 360 cf. v. cυγγράφω 699 Z 1125 700 cf. 705 701 Z 1123 702 cf. 611, 615, 628, 637, 680 704 Z 1123 705 cf. 700

2 μᾶλλον semel GIV καθεcτηκὸc Ar. καθεcτικὸc V: καθεcτήκοι AGIM A^2(GIFVM) λάβῃc V, Ar.: λάβῃ A λάβοιc GIM 5 προcδέχεται GIVM 9 ὅτι—10 νοθεύεται om. F mg. V 9 ὅτι ex V solo πεζῶc om. V 20. 21 cτυγῶν GIVM 23 τῷ alt. om. V, Soph. ms. L 24 τὰ om. F πανcύρτῳ M, sch.: πανcύτῳ rell. ὁρμημένῳ GIFVM 26 ἄχθη A 27 Ἴcτρου] ἱcτορικοῦ Kust. ἰατροῦ Daub Rh. Mus. 35, 68 ἢ Ἴcτρου Siebelis. a grammatico interpolatum Gutschmid, duas glossas Ἰ. Μενάνδρου et Ἰ. Ἴcτρου in unum coaluisse censet Jacoby P-W IX 2270

ἐν τῷ β′ τῶν διαπρεψάντων ἐν παιδείᾳ δούλων. ἔγραψε δὲ πολλὰ καὶ καταλογάδην καὶ ποιητικῶς.

Ar. 707 Ἴσχανα: ἔξυσα, ἐλέπτυνα. Ἀριστοφάνης· ἴσχανα τὴν τέχνην ἐπυλλίοις καὶ περιπάτοις καὶ τευτλίοισι λευκοῖς· ἀντὶ τοῦ διατριβαῖς, ὡς ἐπὶ ἀσθενοῦντος. χυλὸν δοὺς ἐγὼ μυλμάτων ἀπὸ βιβλίων ἀπὸ ἠθῶν· οὐκ ἀπὸ πτισάνης, ἀλλ᾽ ἀπὸ ἠθῶν ἀνδρῶν καὶ βιβλίων.

Harp. 708 Ἴσχανδρος, τραγικὸς ὑποκριτής.

Σ 709 Ἰσχάνει: κωλύει.

Δ 710 Ἰσχανόωσα: κωλύουσα. καὶ Ἰσχανόωσι, κωλύουσι, κατέχουσιν.

Synt. Ἰσχανόω δὲ τὸ ἐπιθυμῶ· γενικῆ.

Ecl. 711 Ἰσχάς: ἰσχνάς τις οὖσα· ἐπειδή, πρὶν ἢ δοθῆναι τὴν κρεωφαγίαν τοῖς Ἀθηναίοις, ἐχρῶντο τῇ ἰσχάδι. ἢ ἐπειδὴ μέχρι τούτου προβαίνει· πρῶτον γὰρ ὄλυνθος, εἶτα φίληξ, εἶτα σῦκα, εἶτα ἰσχάς, ἴσχειν

Ar. ποιοῦσα τὴν αὔξησιν. πάντα δὲ τὰ τραγήματα ἰσχάδας ἐκάλουν.

Anth. Ἀριστοφάνης Πλούτῳ· ἀνίσταθ᾽ ὡς ἁρπασόμενος τῶν ἰσχάδων. οὗ

Ar. καὶ πίονα τυρὸν δρέψεσθε καὶ αὖην ἰσχάδα. καὶ Ἀριστοφάνης· κέχηνεν ὥσπερ ἐμποδίζων ἰσχάδας. ὥσπερ, φησίν, οἱ τὰς ἰσχάδας ἐσθίοντες ἀνεμποδίστως καὶ λάβρως αὐτὰς ἐσθίουσι, τὸν αὐτὸν τρόπον καὶ ὁ δῆμος, ἐπειδὰν ἐν τῇ Πνυκὶ καθεσθῇ, κατακρίνει καὶ δημεύει.

Call. 712 Ἴσχε: κάτεχε. καί, ἴσχε, τέκος. καὶ Ἴσχειν, τὸ ἔχειν.

Δ 713 Ἴσχενος.

Δ 714 Ἴσχεο: πέπαυσο.

Σ 715 Ἴσχεσθαι: παύσασθαι.

Ar. 716 Ἰσχέτω: κατεχέτω. ἴωμεν ἤδη, μηδὲν ἡμᾶς ἰσχέτω.

717 Ἴσχειν: τὸ ἔχειν. οὐκ ἐξῆν κιχλίζειν οὐδὲ τὼ πόδε ἴσχειν

Ar. ἐναλλάξ. Ἀριστοφάνης φησί· τοὺς δὲ ξενίζειν οὐδέποτ᾽ ἴσχει γ᾽ ἡ θύρα. ἀντὶ τοῦ κωλύει, ἀποκλείει. ἐπὶ τῶν πολλοὺς ξένους ἀποδεχομένων.

Σ 718 Ἰσχιάζειν: τὸ ἐν τῷ βαδίζειν ἐπιπολὺ ἑκατέρως ἑαυτὸν μεταφέρειν.

707 Ar. Ran. 941—3 c. sch. plenior. 708 Harp. = P 709 = P, Ba 264, 10 cf. H 710 Ἰσχανόωσι—κατέχουσιν = Et. M. 478, 42 cf. Ambr. 585, sch. Ε 89, H, Ap. S. 93, 9 ἐπιθυμῶ cf. sch. θ 288 = Et. M. 478, 43, H, L. γενικῇ = Synt. Gud. 711 — αὔξησιν cf. An. Ox. 2, 450, 10 ex quo Et. M. 479, 14 πάντα—ἰσχάδων Ar. Pl. 798 c. sch. οὗ—ἰσχάδα Anth. 6, 303, 3—4 κέχηνεν sq. Ar. Eq. 755 c. sch. 712 — κάτεχε cf. H; P = Ba 264, 11; Et. M. 478, 39, gl. Dionys. PG 4, 26 ἴσχε, τέκος Call. fr. 79 K. 510 S. Ἴσχειν sq. cf. H, sch. I 256, Et. M. 478, 34 713 cf. L 714 = Ambr. 586, sch. B 247 cf. H, Et. M. 478, 39 715 = P, Ba 264, 12 cf. H 716 Ar. Eq. 724 c. sch. 717 οὐκ—ἐναλλάξ Ar. Nu. 983. vs. 26 τοὺς sq. Ar. Ach. 127 c. sch. 718 = P cf. H v. ἰσχάλειν

707 cf. v. πτισάνη. Z 1129 709—10 Z 1129 711 Anth. cf. v. A 8303 et v. συχνόν 712 cf. 717 714 Z 1129 717 cf. 712

A³(GIFVM) 1 β′ GVM: βίῳ A βιβλίῳ I 3 Ἴσχνανα bis A cf. v. πτισάνη 6 οὐκ] καὶ οὐκ V πτισσάνης A cf. v. 10 Ἰσχανόω—γενικῇ om. F 13 φήληξ An. Ox., Et. 16 δρέψασθε A 18 λαύρως ἐσθίουσιν αὐτάς A 713 om. F 26 φησί om. F 27 κωλύει] καὶ add. A ἢ add. sch. πολλῶν F 27. 28 ἀποδεχομένους F

719 Ἰσχίον: τὸ κοῖλον τοῦ γλουτοῦ, ἐν ᾧ ἡ κοτύλη στρέφεται. Σ
παρὰ τὸ ἴσχειν τοὺς καθημένους. Eol.
720 Ἰσχνομυθίας: λεπτολογίας. Σ
721 Ἰσχνομυθοῦντες: ἀκριβολογοῦντες. Ἰσχνὸς γὰρ ὁ ξηρός. Σ Δ
722 Ἴσχω· αἰτιατικῇ· κρατῶ. Δ
723 Ἰσχύων· ὃς καὶ πτερόεντ' ἀετὸν κίχε καὶ θαλασσαῖον παρα- Soph.
μείβεται δελφῖνα· Πίνδαρος τοῦτό φησιν.
724 Ἰσχύων· αἰτιατικῇ. ὅταν τις θεῶν βλάπτῃ, δύναιτ' ἂν οὐδ' ἂν Soph.
ἰσχύων φυγεῖν.
725 Ἰσχυρὰν θέρμην εἶχεν ὁ βασιλεύς· διὸ καὶ πλειόνων ἡμερῶν E
ἐν τῇ πόλει διέτριψεν.
726 Ἰσχυρίζετο: ἀντὶ τοῦ διεβεβαιοῦτο. ὁ δὲ πρηνὴς κείμενος Δ + E
ἰσχυρίζετο οὐδὲν τοῖς Βεροιαίοις ὑπολελεῖφθαι τῶν πάντων χρημά-
των. καὶ αὖθις· ταῦτα γράφω οὐκ αὐτὸς θεασάμενος, ἀλλὰ τῶν E
θεάσασθαι ἰσχυριζομένων ἀκούσας.
727 Ἰσχυρίσκος: ἀντὶ τοῦ ἰσχυρός. οὕτως Ἄλεξις. Σ
728 Ἰσχυρογνώμων· ὁ δὲ ἐπὶ τοῖς ἁμαρτανομένοις ἰσχυρογνώμων.
ἔξαρνος, σκληρός. ὁ δὲ Σωκράτης ἰσχυρογνώμων ἦν καὶ δημο-
κρατικός.
729 Ἰσχυρόν: μέγα, βαθύ. ἀλλ' οὐκ οἶμαι ζῆν αὐτὴν ἔτι, ἰσχυρὸν E?
τραῦμα λαβοῦσαν ὑπ' ἐμοῦ. καὶ αὖθις· πνευμάτων δὲ ἐπιγενομένων E
ἰσχυρῶν, ἔνιοι σὺν τοῖς ὑποζυγίοις εἰς τὴν ὑποκειμένην θάλασσαν
κατηνέχθησαν.
730 Ἰσχυρός: ἰσχύος καὶ δυνάμεως εὖ ἔχων. Ἰώσηπος· ὁ δὲ
Σαμψών, ἔτι γὰρ φρονεῖν ἰσχυρὸς ἦν, ἀντηπάτα τὴν γυναῖκα. καὶ E
αὖθις· ἰσχυρῶς εἴχετο τοῦ ἀνδρός. ἐρωτικῶς. καὶ Αἰλιανός φησιν· E?
οὕτως ἄρα αἱ ἰσχυραὶ τιμωρίαι πολλάκις εἰς τοὺς εὑρόντας αὐτὰς E
περιτρέπονται, καὶ ὅσα προσέταξαν παθεῖν ἕτερον, αὐτοὶ πεπόνθασιν.
731 Ἰσχυρότατος. Δ

719 — στρέφεται = P, Ba 264, 13, Et. M. 479, 1 cf. H παρὰ sq. cf. An. Ox. 2, 450, 4, ex quo Et. M. 478, 56 720 = P, Ba 264, 15 cf. H 721 — ἀκριβολογοῦντες = P, Ba 264, 16, Et. M. 479, 5 cf. H Ἰσχνὸς sq. = Ambr. 495 cf. Poll. 6, 48 722 — αἰτιατικῇ = Synt. Gud. κρατῶ = Ambr. 587, Ps. Herodian. 53, Et. M. 478, 34 cf. sch. Luc. 214, 23, H 723 ὃς sq. Pind. P 2, 91 ex sch. Soph. El. 696 724 αἰτιατικῇ cf. Synt. Gud. ὅταν sq. Soph. El. 696—7 725 imitationem Thuc. 2, 49, 2 perspexit Ruhnken Tim. p. 140 726 — διεβεβαιοῦτο cf. H; l. cf. Ambr. 598. ὁ—χρημάτων Proc. Bell. 2, 7, 34 ταῦτα sq. Proc. h. a. 12, 23 727 = P cf. Bk. 100, 13; Alexid. fr. 194 728 ὁ pr.—ἰσχυρογνώμων pr. fort. Dam. ὁ alt. sq. Laert. 2, 24 729 ἀλλ'—ἐμοῦ fort. Iambl. 730 ὁ—γυναῖκα Ios. Ant. 5, 308 ἰσχυρῶς—ἀνδρός fort. Aelian. οὕτως sq. Aelian. fr. 22 731 = Ambr. 517.

719 Z 1127 720 Z 1126 723—4 cf. v. Θ 180 728 Z 1124
729 Z 1127 730 Z 1124

1 κῶλον A 2 ἔχειν V 6 Ἰσχύω AI; ad 721—3 ἀνοίκειος ἡ χρῆσις A^2F(G1VM)
mg. add. M 8 θεῶν] κρειττόνων I οὐδ' ἂν] οὐδὲν A 12 ὁ] οὐ F
13 πάντων F, Proc.: πάντῃ rell. 18 ἔξαρνος—ἰσχυρογνώμων ex FV solis
20 αὐτὸν F 22 ἔνιοι om. A 731 om. FV

Phil. 732 Ἰσχύς· ἰσχύς ἐστι συμμετρία τῶν ὁμοιομερῶν, νεύρων τε καὶ
E ὀστῶν καὶ πνεύματος. τὰ χωρία ἰσχυρῶς ὄρθια ἦν καὶ λίθων
περιβολαῖς ὠχύρωτο.
Σ 733 Ἰταβύριον: ὄρος οὕτω καλούμενον.
Σ 734 Ἰταλιώδης: ὁ ἀλαζών. ἀπὸ τῶν Πυθαγορικῶν. διὰ τὴν Σύβα- 5
ριν, ὁ λάγνος.
735 Ἰταλία ἡ Ῥώμη. Ἀττάλεια δέ.
Σ 736 Ἰταμός: ἀναιδής, σκληρός, ὠμός· παρὰ τὸ ἵεσθαι, ὅ ἐστιν ὁρμᾶν·
E τοιοῦτοι γὰρ καὶ οἱ ἀναιδεῖς. ἢ δὲ νῦν μὲν ἐγέλα ἰταμόν τε καὶ
ἀναίσχυντον ἢ ἀκόλαστον γέλωτα, νῦν δὲ ἐφθέγγετο ῥήματα αὐθάδη. 10
καὶ αὖθις· τὸ γὰρ μὴ ἐρυθριᾶν ἐπὶ τοῖς εἰρημένοις πάσης ἰταμότητος
καὶ ἀναισχυντίας. ὁ αὐτὸς μένων ἐπὶ τὸ χρῶμα οὐκ ἐρυθριᾷ. καὶ
Δ Ἰταμώτατα.
Δ? 737 Ἴτε: δεῦτε, ἢ ἀπέλθετε. Σοφοκλῆς· ἴτε, ὦ ταχεῖαι ποίνιμοί
Soph. τ' Ἐριννύες. 15
Harp. 738 Ἰτέα, ἀφ' ἧς ὁ δημότης Ἰτεαῖος.
Harp. 739 Ἰτεαῖς: δῆμος τῆς Ἀκαμαντίδος.
Σ 740 Ἰτέον: πορευτέον.
Σ 741 Ἴτην: ἐπορεύθησαν.
Ar. 742 Ἴτης: ἰταμός, σκληρός, τολμηρός, καὶ δι' αὐτῶν τῶν χωρῶν 20
τῶν πραγμάτων. παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις.
Δ 743 Ἴτης: ὁ ὁρμητικός.
Ar. 744 Ἰτητέον· παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις· ἰτητέον· τί ταῦτ'
ἔχων στρατεύομαι;
Ar. 745 Ἰτρία: καπυρώδη πλάσματα. τὰ δ' ἄλλ' ἐστὶ παρεσκευασμένα, 25
τράπεζαι, προσκεφάλαια, στρώματα, στέφος, μύρον, τραγήματ', αἱ
πόρναι πάρα, ἄμυλοι, πλακοῦντες, ἰτρία, ὀρχηστρίδες. ἀλλ' ὡς τάχιστα
σπεῦδε.
Δ 746 Ἰτρόγαλα.

732 — πνεύματος Alex. Aphr. 236, 13—14 733 = P, Σ[a], Ba 264, 17 cf. H, Ambr. 623 734 = P 735 Ἰταλία cf. Ambr. 621, Ps. Herodian. 54 736 — ἀναιδεῖς = P cf. Bk. 267, 10 = Et. M. 479, 25; — ὠμός = Ba 264, 18 cf. Lex. Patm. 146 ἡ—αὐθάδη Iambl. fr. 21 Ἰταμώτατα cf. Ambr. 607 737 ἀπέλθετε cf. L ἴτε sq. Soph. Ai. 843 738 Harp. = P 739 Harp. = P 740 = P, Ba 264, 19, H, Ambr. 626, Ps. Herodian. 54, Lex. de sp. cf. Et. M. 479, 29 741 = P, Ba 264, 20 cf. H, Ap. S. 93, 15 742 sch. Ar. Nu. 445 cf. P, H 743 cf. Ambr. 602 744 Ar. Nu. 131 745 Ar. Ach. 1089—94 c. sch.; — πλάσματα = P, Σ[a] cf. Ba 264, 21, H, Et. M. 479, 39

733 Z 1131 735 cf. v. A 4315 736 Iambl. cf. v. A 916; extr. cf. v. Ε 3095. Z 1130 737 cf. v. ποινή 738 Z 1131 740 Z 1131 741 Z 1132 743 Z 1130 745—6 Z 1131

A[2](GIFVMB) 735 om. GFV mg. M 10 ἀναίσχυντον ἢ coll. v. A 916 del. Bhd. 12 ἀναισχύντας VM cp. F 12. 13 καὶ Ἰταμώτατα om. F 13 Ἰταμώτατος GI 14 ὦ om. V 16 Ἰτεαῖος] Ἰσαῖος F 17 Ἰτεάς A 20 τολμηρός om. A 23 ταῦτ' AGI ταῦ FVM 24 στρατεύομαι AGVM: στράτευμα F στραγγεύομαι IB cf. Ar. et vv. H 85 et K 2740 27 τάχιστα F, Ar.: τάχα rell.

747 Ἴτρον: τὸ ὑποκάτω τοῦ ὀμφαλοῦ μέρος. ἐξ οὗ καὶ ἴτρα· καὶ μίτρα, ἡ περὶ αὐτὴν ζώνη.

748 Ἴτω: ἰέτω, ἐρχέσθω. ἀλλ' ἴτω, χαιρέτω, γῆν πρὸ γῆς, ὅποι Σ βούλοιτο.

749 Ἰτώνη καὶ Ἰτωνία, ἡ Ἄρτεμις. Δ

750 Ἰτωνίς, Ἰτωνίδος: χώρα. Δ

751 Ἰτυκαῖος χώρα. τῶν Ἰτυκαίων. Δ

752 Ἰτύλος: ὀρφανός. Δ

753 Ἰτυμονῆα: τὸν Ἰτυμονέα. Δ

754 Ἴτυξ: ὄρνεον. Σ

755 Ἴτυς: περιφέρεια ὅπλου. Ξενοφῶν· ὁ δὲ Καλλίμαχος, ὡς Σ ὁρᾷ αὐτὸν παριόντα, ἐπιλαμβάνεται αὐτοῦ τῆς ἴτυος. ἐν δὲ τούτῳ Ε παραθεῖ αὐτοὺς Ἀριστώνυμος. καὶ ἐν Ἐπιγράμμασι· γυρῶν τ' ἀγκί- Anth. στρων καμπυλόεσσαν ἴτυν.

756 Ἴτυς. ἀσπὶς γηραλέα μὲν ἴτυν πολέμων ὕπο, γηραλέα δὲ Δ ὀμφαλόν· ἀλλ' ἀρετᾷ λάμπομαι, αἷς ἔκιχον. καὶ αὖθις· ἀλλ' ὅλετ' Anth. ἀμφ' ἑτάρῳ ἐχὼν κυκλόεσσαν ἴτυν.

757 Ἰτύς, Ἰτέα. Δ

758 Ἴυγγες: λεπτοὶ πόροι, καὶ αἱ τέρψεις. Σ

759 Ἴυγξ, Ἠχοῦς ἢ Πειθοῦς θυγάτηρ, ἱερονίκης καὶ Ἀφροδίτης· Σ καταφαρμάττουσα δὲ τὸν Δία ἐπὶ τοιούτοις ἀπελιθώθη ὑπὸ Ἥρας. καλεῖται δὲ ὑπ' ἐνίων κιναίδιον. ἔστι δὲ καὶ ὀργάνιόν τι ἴυγξ καλούμενον, ὅπερ εἰώθασιν αἱ φαρμακίδες στρέφειν, ὡς κατακηλούμεναι τοὺς ἀγαπωμένους. ἔστι δὲ καὶ ὄρνεόν τι, ᾧ πρόσειται τὴν αὐτὴν δύναμιν ἔχειν. ὅθεν δεσμεύουσι τοῖς τροχίσκοις.

760 Ἴυγξ: τὸ ὄρνεον, τὸ λεγόμενον σεισοπυγής. Etym.

761 Ἴυγξ: τὸ ἐφέλκον τὴν διάνοιαν εἰς ἐπιθυμίαν καὶ ἔρωτα. ἐν Σ

747 ἴτρα sq. cf. Et. M. 589, 9 748 — ἐρχέσθω = P, Ba 264, 24 ἀλλ' sq. Iul. or. 7, 211 a 749 cf. Stud. An. 270; Ἰτωνία sq. cf. Ambr. 622, Stud. An. 269 750 cf. Ambr. 619 751 — χώρα cf. L. Ἰτυκαίων = Ambr. 614 cf. 609 752 = Ambr. 600, Et. Sym. ad Et. M. 479, 43 cf. H (in τ 522) 753 cf. Ambr. 605 (in Λ 671) 754 = P, Ba 264, 22 755 — ὅπλου = P, Ba 264, 23 cf. Ambr. 616 = Ps. Herodian. 54; sch. Ε724, Et. M. 479, 41, Ap. S. 93, 12, Lex. de sp. ὁ—Ἀριστώνυμος Xen. An. 4, 7, 12 γυρῶν sq. Anth. 6, 28, 2 756 l. = L ἀσπὶς—ἔκιχον Anth. 6, 264, 1, 3, 4. ἀλλ' sq. Anth. 7, 232, 4 757 cf. Ambr. 616—7 758 = P, Ba 264, 25 759 = P cf. sch. Pind. P 4, 381 a; N. 4, 56; sch. Theocr. 2, 17, sch. Lyc. 310, Bk. 265, 21, H (Wendel, Gött. Abh. N. F. 17, 2, 139) 760 = Lex. αἰμ. 625, 52, sch. Lyc. 310 ex quo Et. M. 479, 55 cf. sch. Theocr. 2, 17, Ambr. 627, Lex. de sp. 761 — ἔρωτα = P, Σ^{e} cf. Ba 264, 26

747 cf. v. H 636. Z 1131 748 Z 1132 749—50 Z 1131 752 Z 1131 755 Z 1131 756 Z 1131 760—1 Z 1132

748—50 extra ord. 3 ἰέτω F, Phot. Ba: ἰέσθω rell. 7 Ἰτυκταῖος et A^{2}F(GIVM) Ἰτυκταίων F 15 γηραλέα pr. F Anth.: γηραλέαν rell. 16 ἀρεστὰ V ὅλετ' A 17 ἑτάρῳ F, Anth.: ἑτάρων rell. 20 ἡ om. F Πυθοῦς IV ἱερὰ Νίκης Phot.; locus corruptus καὶ Ἀφροδίτης om. F 24 πρόσκειται Wolf 760 om. FV 27 καὶ om. F ἔρωτος F

Anth. Ἐπιγράμμαι· Ἴϋγξ, ἡ Νικοῦς, ἡ καὶ διαπόντιον ἄνδρα καὶ ἐκ θαλά-
Ar. μων παῖδας ἐπισταμένη. δεῖ δή σε νυνὶ γενέσθαι δεινήν, ἀγαθήν,
φαύλην, σεμνήν, ἀγανήν, πολύπειρον· ὡς οἱ πρῶτοι τῶν Ἑλλήνων τῇ
σῇ ληφθέντες Ἴϋγγι κοινῇ πάντ' ἐπέτρεψαν. ἀντὶ τοῦ τῷ σῷ πόθῳ,
τῇ σῇ θελήσει. οἱ δέ, ὅτι ὄρνεόν ἐστιν ἐπιτήδειον πρὸς τὰς τῶν
φίλτρων κακίας, ἣν φασιν Ἠχοῦς εἶναι θυγατέρα, ἔνιοι δὲ Πει-
E θοῦς. καὶ Ἴϋγξιν. ἡ δὲ Κλεοπάτρα ᾤετο ταῖς αὐταῖς ἴϋγξιν,
αἷσπερ οὖν Καίσαρος καὶ Ἀντωνίου, καὶ μέντοι καὶ τοῦ Σεβαστοῦ
κρατήσειν τρίτου. καὶ αὖθις· τοιαύτη τις προσῆν ἴϋγξ Διογένους
τοῖς λόγοις τοῦ Κυνός.

Δ 762 Ἰϋγμός: βοή, φωνή.

Δ 763 Ἰῦζει: βοᾷ, κράζει.

Σ 764 Ἶφι: ἰσχυρῶς. ἡ εἰς φι συλλαβὴ κατὰ πᾶσαν πτῶσιν φυλάτ-
τεται. εὐθείᾳ· ὁδὸς δ' ἑτέρηφι. γενικῇ· ἀπὸ χαλκόφι. δοτικῇ·
παραφροσύνηφι. αἰτιατικῇ· ἐπὶ δεξιόφι. κλητικῇ· οὐρανίαφι λίγαινε.
τὸ δὲ νόσφι καὶ ἶφι μόνα μετέπεσον εἰς ἐπιρρηματικὴν σύνταξιν.

Δ 765 Ἰφιάλου: τοῦ ἐφιάλτου.

Δ 766 Ἴφια μῆλα: ἰσχυρῶς βαδίζοντα. Ἴφιον γὰρ τὸ λιπαρόν.

Δ 767 Ἰφιγένεια: ὄνομα κύριον.

Δ 768 Ἰφικλῆς: ὄνομα κύριον.

Δ 769 Ἴφικλος: ὄνομα κύριον. ἰφίκωλός τις ὤν. ἱστορεῖται γὰρ
Eol. ταχύτατος εἶναι.

Σ 770 Ἰφικρατίδες: εἶδος ὑποδήματος, ἀπὸ Ἰφικράτους. Δαμά-
σκιος ἐν Φιλοσόφῳ ἱστορίᾳ· εἴποτε δὲ τὰς Ἀττικὰς Ἰφικρατίδας ἡ τὰ
συνήθη σάνδαλα περιδεδεμένος περιενόστει.

Δ 771 Ἰφικρατίδης: ὄνομα κύριον.

Hesy.? 772 Ἰφικράτης, σκυτέως πατρός, Ἀθηναῖος, ῥήτωρ καὶ στρατηγός·
ὃς πρῶτος ἐν τοῖς λαφύροις τὸ ἐπίγραμμα ἐποίησε μεμνημένον τοῦ
στρατηγοῦ, πρότερον μόνης τῆς πόλεως ἐπιγραφομένης.

Δ 773 Ἰφίνοος: ὄνομα κύριον.

Δ 774 Ἶφις, Ἴφιδος: ὄνομα κύριον. ἢ ὁ ταχύς.

761 vs. 1 ἴυγξ—2 ἐπισταμένη Anth. 5, 204, 1—2 δεῖ—Πειθοῦς Ar. Lys. 1108—11 c. sch. cf. H vs. 7 ἡ—τρίτου Aelian. fr. 57 τοιαύτη sq. Laert. 6, 76 762 = Ambr. 628 cf. H, Et. M. 480, 2, Ap. S. 93, 17 763 cf. H, Et. M. 480, 1, Ambr. 630, Lex. de sp. 764 — ἰσχυρῶς = P, Ba 264, 31, Et. M. 480, 7, Ps. Herodian. 54 et 257, Lex. de sp. cf. An. Ox. 1, 205, 32, Apion, sch. A 151; H = Ambr. 646 ἡ sq. cf. Choerob. ap. Et. M. 800, 5, An. Ox. 1, 293, 7, sch. A in N 588, Apollon. Dysc. Gramm. Gr. 1, 1, 165, 4—8; Hesiod. O. 216; Λ 351; N 308; οὐρανίαφι λίγαινε Alcman. fr. 59 765 cf. H 766 cf. Ambr. 643—4, H 767 = Ambr. 641, Ps. Herodian. 54, Lex. de sp. 768 = L 769 — κύριον = Ambr. 633 ἰφίκωλός sq. = An. Ox. 2, 451, 23 ex quo Et. M. 480, 20 770 — ὑποδήματος = H cf. P εἴποτε sq. Dam. fr. 89 cf. Phot. Bibl. 342 a 31—2 771 = Ambr. 637 773 = L 774 praeter ὄνομα κύριον = Ambr. 631 cf. Lex. de sp.

762 Z 1132 763 Z 1133 766 Z 1134 767—9 Z 1133 770 Z 1134 773—4 Z 1133

A³ (GIFVM) 7 ἡ] οἱ V αὐταῖς AIF: αὖ GVM 8 Ἀντωνίνου IF 16 μετα-
πεσὼν F 21 ἰφίκολός F cf. Et.; nov. gl. GIFV 29 ἐπιγραφόμενον F

775 Ἰφίστιος: ὄνομα κύριον. Δ
776 Ἴφιτος: ὄνομα κύριον. Δ
777 Ἰφθίμη: ἰσχυρά. καὶ Ἴφθιμος, ἰσχυρός. καὶ Ἰφθιμότατος. Δ Σ Δ
778 Ἰφύη: εἶδος ἀγρίου λαχάνου. Ἀριστοφάνης· ἐγὼ δὲ Μενέλεων ὅσον ἐκ τῶν ἰφύων. Ar.
779 Ἰφύς: ὀφρύς. Δ
780 Ἰχθυάᾳ: ἰχθῦς ἀγρεύει. καὶ παροιμία· Ἰχθῦν νήχεσθαι διδάσκεις. ἐπὶ τῶν διδασκόντων ἃ ἐπίστανται. Δ Prov.
781 Ἰχθυοβολεὺς καὶ Ἰχθυουλκός: ὁ ἁλιεύς. Σ
782 Ἰχθυόκεντρον: ἡ τρίαινα. Δ
783 Ἰχθῦς: περισπᾶται. ὅτι Αἴσωπος, ὁ Μιθριδάτου ἀναγνώστης, ἔγραψε περὶ Ἑλένης, ἐν ᾧ φησι Πᾶνα ἰχθὺν καλεῖσθαι κητώδη· ἐν τούτῳ δὲ τὸν ἀστερίτην λίθον εὑρίσκεσθαι, ὃς ὑπὸ τῷ ἡλίῳ ἀνάπτεται. ποιεῖ δὲ πρὸς φίλτρα. Suid.
784 Ἴχλα: ἡ κίχλα. Δ
785 Ἰχναία: ἡ Μακεδονία. Δ
786 Ἰχνᾶται: ἰχνοσκοπεῖ. Δ
787 Ἰχνεύει: ἐρευνᾷ, ζητεῖ. Δ
788 Ἰχνεύμονος: εἶδος ζῴου καὶ ἰχθύος. Δ
789 Ἴχνη· ὅτι τοὺς κατὰ σάρκα προγόνους τοῦ Χριστοῦ ἀντάλλαγμα καὶ ἴχνη ἐκάλεσαν οἱ ο′ ἑρμηνευταί. Suid.
790 Ἰχνηλατῆσαι: κατ' ἴχνος ἀναζητῆσαι. Σ
791 Ἴχνια: σημεῖα ποδός. Δ
792 Ἰχνᾶται: ἰχνοσκοπεῖ. Δ
793 Ἶχνος: ὁδόν, πορείαν, βῆμα. Σ
794 Ἰχώρ, ἰχῶρος: τὸ πεπηγὸς αἷμα. Δ
795 Ἴψ: ὁ σκώληξ· καὶ κλίνεται ἰπός. καὶ τὸ πληθυντικὸν ἰψί. Δ
796 Ἴψω: ἔβλαψας. μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν. Δ

776 = Ambr. 632 777 — ἰσχυρά = Ambr. 639 cf. H Ἰφθιμος, ἰσχυρός = P, Ba 264, 30, Ps. Herodian. 54 cf. Et. M. 480, 23, sch. A 3 Ἰφθιμότατος = Ambr. 638 778 Ar. Th. 910 c. sch. cf. H 779 cf. Ambr. 640 780 — ἀγρεύει = Ambr. 657, sch. μ 95 Ἰχθὺν sq. = Greg. Cypr. M. III 75 781 = P, Ba 265, 2 cf. H = Ambr. 649 782 = Ambr. 655 cf. H, Ba 265, 1; P = Paus. Att. fr. 216 sp. Eust. I. 811, 41; Poll. 10, 133 784 = Ambr. 651, H 785 = L cf. Ambr. 652, H 786 = H cf. Ambr. 658 787 = H cf. Ambr. 659 788 l. = L 790 = P, Ba 265, 3 cf. H 791 cf. Ambr. 654, H 793 = P, Ba 265, 4 794 = Et. M. 480, 52 cf. Ambr. 647 795 — ἰπός = Ps. Herodian. 55 cf. Et. M. 481, 2, Choer. in An. Ox. 2, 224, 27, L; Ambr. 660 = Lex. de sp.; H 796 cf. Ambr. 662, H, sch. A 454, Lex. de sp.; A 454

775—7 Z 1133 779 Z 1134 780 Z 1136 781 Z 1135 782 Z 1136 783 Z 1135. ὅτι sq. ex v. Al 833 cf. v. Πᾶν 2 784—5 Z 1135 786 cf. 792. Z 1136 787 Z 1136 788 Z 1135 789 ex v. A 2605 cf. v. τὸ ἀντάλλαγμα 792 cf. 786 794 cf. v. A 4711 795 cf. 541. Z 1136 796 cf. 585. Z 1136

3. 4 Ἰφθιμώτατος F 12 ὅτι—14 φίλτρα om. F 12 ὁ AV: ἡ GIM A^3(GIFVM) 13. 14 ἀστερίου V 786 ante 785 F, ordo poscit 789 om. F 28 μέγα—Ἀχαιῶν om. F

Δ 1 Θαβώρ: ὄνομα ὄρους. λέγεται καὶ Θαβώριον.

2 Θᾶκος: τόπος, ἔνθα πολλοὶ συνήρχοντο σκεψόμενοι.

Σ 3 Θᾶκοι: θρόνοι, καθέδραι.

4 Θαλά· καὶ τὴν θαλὰ ἐπλήρωσεν ὕδατος.

Ar. 5 Θαλαμακεῖς· καὶ Θαλάμακι, τῷ κωπηλατοῦντι ἐν τῷ κάτω μέρει τῆς τριήρους. οἱ δὲ θαλαμακεῖς ὀλίγον ἐλάμβανον μισθὸν διὰ τὸ κολοβαῖς χρῆσθαι κώπαις πρὸς τὰς ἄλλας τρεῖς τάξεις τῶν ἐρετῶν, ὅτι μᾶλλόν εἰσιν ἐγγὺς τοῦ ὕδατος. ἦσαν δὲ τρεῖς τάξεις τῶν ἐρετῶν, ἡ μὲν κάτω θαλαμῖται, ἡ δὲ μέση ζυγῖται, ἡ δὲ ἄνω θρανῖται. ἢ θρανίτης ὁ πρὸς τὴν πρύμναν, ζυγίτης ὁ μέσος, θαλάμιος ὁ πρὸς τὴν πρώραν. θαλαμία δὲ ἡ ὀπή, δι' ἧς ἐξέρχεται ἡ κώπη.

ΔΣ 6 Θαλάμη. καὶ Θάλαμος, οἶκος, ἢ κοιτών. ἱρήν σοι θαλάμην ζωάγρια καὶ λαλάγημα τοῦτο τὸ θηρὶ φυγῆς αἴτιον ἀντίθεμαι. καὶ αὖθις· ἐκ δὲ μελιχροῦ νέκταρος ἐμπλήσαις κηροπαγεῖς θαλάμας.
Anth.

Σ 7 Θαλαμηπόλος: ἡ περὶ τὸν θάλαμον ἀναστρεφομένη, καὶ φυλάττουσα. ἡ νεωκόρος. Ἀχρυλίς, ἡ Φρυγίη θαλαμηπόλος, ἡ περὶ πεύκας πολλάκι τοὺς ἱεροὺς χευαμένη πλοκάμους.
Anth.

Σ 8 Θαλαμίδιοι κῶπαι: αἱ ἠρέμα ἐλαύνουσαι. Ἡρόδοτος· τοῦτον δῆσαι θαλαμίης διελόντας τῆς νηὸς κατὰ τοῦτο, ἔξω μὲν κεφαλὴν ποιεῦντας, ἔσω δὲ τὸ σῶμα.
E

Suid. 9 Θαλάττη ἐκ χαράδρας ὕδωρ: ἐπὶ τῶν τοῖς μεγάλοις τὰ μικρὰ προσφιλοτιμουμένων. ὁμοίως τῷ βῶλος ἄρουρα.

Δ 10 Θαλάττιον κῦμα.

Σ 11 Θαλαττοκοπεῖς: ματαιολογεῖς. ταράττῃ, θορυβῇ. ἀπὸ τῆς

1 cf. Ambr. 52, H 3 = P, Ba 253, 20 cf. H; Et. Gen. = Et. M. 441, 11; Bk. 263, 26 4 3 Reg. 18, 35 5 sch. Ar. Ran. 1074 cf. Et. M. 441, 24 6 Θαλάμη cf. H Θάλαμος—κοιτών = P, Ba 253, 21, Et. M. 441, 21 cf. Et. Gen., H ἱρήν—ἀντίθεμαι Anth. 6, 220, 15—6. ἐκ sq. Anth. 6, 239, 5—6 7 — φυλάττουσα = P, Σ^{a}, Ba 253, 22 cf. sch. η 8 = Et. M. 441, 22; H, Ap. S. 85, 30, Ambr. 3 et 31 Ἀχρυλίς sq. Anth. 6, 173, 1—2 8 — ἐλαύνουσαι = P, Et. M. 441, 23 τοῦτον sq. Hdt. 5, 33, 2 10 = Ambr. 51 11 — ματαιολογεῖς = P, H ταράττῃ—p. 681, 1 κύματα sch. Ar. Eq. 830

5 cf. 454—5 6 cf. v. Λ 74 7 Anth. cf. v. A 4720 9 ex v. B 488 11 Z 1024

A^{2}(GIFVMS) 1 καί] δὲ καὶ F 2 σκωψόμενοι G^{ac}I^{ac}FM^{ac} ad 5 ἡ τριήρης καὶ κλίνεται τῆς τριήρεως καὶ τριήρους mg. V (paene delet.) S 10 τὴν pr.—πρὸς alt. ex FV, sch. 10. 11 τῇ πρώρᾳ FV 11 ἡ] καὶ A cf. sch. 13 θαλάγημα V λαλαγήματα F θηρὶ I Reiske: θηρίον rell. θηρο Anth. σφάλλεται καὶ ὁ νοῦς καὶ τὸ μέτρον mg. add. GIVM 18 Θαλάμιοι F cf. H v. θαλάμιαι 19. 20 κεφαλὰς ποιοῦντας F 9 om. F 21 τοῖς om. V

θαλάττης, ἥ ὅταν ὑπὸ ἀνέμων ταραχθῇ, ἀλλήλοις συγκρούει τὰ κύ- Ar.
ματα. λύσις ὀνείρου Νικηφόρου πατριάρχου· θάλατταν ἰδεῖν μειδιῶσαν εὔθε- On.
τον. φλοῖσβος θαλάσσης πραγμάτων δηλοῖ κλόνον. νῆξις θαλάσσης ἀγρίας δηλοῖ
λύπας. νῆξις θαλάσσης ἡμέρου τὸναρ καλόν.

12 Θαλέεσσι: τρυφαῖς, θάλλειν ποιούσαις. τὼ μὲν ἐγὼ θαλέεσσιν Call.
ἀνέτρεφον. ἦν γὰρ Ἐρώτων καὶ Χαρίτων ἡ παῖς ἀμβρόσιόν τι Anth.
θάλος. τουτέστι βλάστημα.

13 Θαλέθοντες: θάλλοντες. Hom.

14 Θαλέλαιος: ὄνομα κύριον. Δ

15 Θαλεροί: δίϋγροι, νέοι, ἀκμαῖοι, ἢ ταχεῖς. οἱ δὲ ἐπιλεξάμενοι Σ
τοὺς θαλεροὺς τῶν Ἰσαύρων ὥρμησαν ἐπὶ παράλογον πρᾶξιν. καὶ E
Θαλερώπιδος ἡριγενείης, τῆς εὐπροσώπου ἡμέρας. Anth.

16 Θάλεια: εὐωχία, ἀπὸ τοῦ θάλλειν. τὴν μὲν δὴ νύκτα ἐκείνην Σ
ἐν θαλείαις καὶ εὐπαθείαις διετέλεσαν. καὶ Θάλεια δαίς, ἡ θάλ- E
λουσα. σημαίνει καὶ ὄνομα Μούσης. Δ

17 Θαλῆς, Ἐξαμύου καὶ Κλεοβουλίνης, Μιλήσιος, ὡς δὲ Ἡρόδοτος Hesy.
Φοίνιξ· γεγονὼς πρὸ Κροίσου, ἐπὶ τῆς λε' ὀλυμπιάδος, κατὰ δὲ
Φλέγοντα γνωριζόμενος ἤδη ἐπὶ τῆς ζ'. ἔγραψε περὶ μετεώρων ἐν
ἔπεσι, Περὶ ἰσημερίας, καὶ ἄλλα πολλά. ἐτελεύτησε δὲ γηραιός, θεώ-
μενος γυμνικὸν ἀγῶνα, πιληθεὶς δὲ ὑπὸ τοῦ ὄχλου καὶ ἐκλυθεὶς ὑπὸ
τοῦ καύματος. πρῶτος δὲ Θαλῆς τὸ τοῦ σοφοῦ ἔσχεν ὄνομα καὶ
πρῶτος τὴν ψυχὴν εἶπεν ἀθάνατον ἐκλείψεις τε καὶ ἰσημερίας κατεί-
ληφεν. ἀποφθέγματα δὲ αὐτοῦ πλεῖστα· καὶ τὸ θρυλλούμενον· γνῶθι
σαυτόν. τὸ γάρ, ἐγγύα, πάρα δ' ἄτα, Χίλωνός ἐστι μᾶλλον, ἰδιοποιη-
σαμένου αὐτό· καὶ τό, μηδὲν ἄγαν.

18 Θαλῆς, ὁ φυσικὸς φιλόσοφος, ἐπὶ Δαρείου προειπὼν τὴν τοῦ
ἡλίου ἔκλειψιν. καὶ Ἀριστοφάνης φησίν, ἄνθρωπος Θαλῆς. ἀντὶ Ar.
τοῦ ἄκρος τὴν ἀστρονομίαν. κλίνεται δὲ Θαλοῦ· Θάλης δὲ Θάλητος.
παρατηρητέον δέ, ὡς ὅτι ἀπ' εὐθείας τῆς Θαλῆς, ὡς Ἑρμῆς Ἑρμῆν,

11 θάλατταν sq. Astramps. 12 — ἀνέτρεφον Call. (fr. 24 K. an. 31 S.) c. sch. cf. sch. X 504, Ap. S. 85, 34 ἦν—θάλος Anth. 6, 292, 3—4 βλάστημα cf. H v. θαλλός 13 sch. Ψ 32 = H cf. Ambr. 53 14 = Ambr. 11 15 — ταχεῖς = P, Ba 253, 25 cf. Et. M. 441, 34, H, sch. Γ 26, Ap. S. 85, 32 Θαλερώπιδος ἡριγενείης Anth. 7, 204, 3 16 — θάλλειν = P cf. Et. M. 441, 56 = sch. I 143; εὐωχία = Ba 253, 24 cf. Ambr. 41, Theognost. An. Ox. 2, 98, 33 sq. et 107, 13 τὴν—διετέλεσαν fort. Aelian. Θάλεια—θάλλουσα = Ambr. 41 cf. sch. H 475 = Et. M. 442, 1. Μούσης cf. An. Ox. 2, 98, 33, H, Ambr. 37 17 cf. sch. Pl. Rep. 600a, Laert. 1, 22—23, 39, 40 (totam glossam Hesychio iure attr. in ms. Wentzel); Μιλήσιος = Ambr. 9, sch. Ar. Nu. 180 18 ἄνθρωπος—vs. 28 Θάλητος Ar. Av. 1009 c. sch. παρατηρητέον sq. sch. Ar. Nu. 180 cf. Choerob., Gramm. Gr. 4, 1, 153, 17 et 27 (ex quo Et. M. 442, 7); 154, 5; Ambr. 9

12 Anth. cf. 80 et v. A 1589. Z 1023 13 Z 1024 15 Anth. cf. vv. Al 159 et H 513 16 Z 1022

3 et 4 θνῆξις G 4 τὸναρ] ὄναρ Astramps. τοὔναρ ed. pr. 5 τροφαῖς V A^2(GIFVM)
τὼ] τὴν Kust. cf. Weinberger, Philol. 76, 73; οὗτος ὁ στίχος δακτυλικός mg. add. V 6 ἀνέστρεφον F 7 θάλος A, v. A 1589, Anth.: θάλλος rell., Zon. 17 γεγονὼς—18 ζ'] cf. Rohde, Kl. Schr. 1, 169 21 ἔχεν V 28 ἄκρως GM

Θαλῆν ἔκλινεν Ἀριστοφάνης. καὶ Ἑρμέας ὡς Θαλέας. διχῶς δὲ τοὔνομα ἐκφωνητέον· βαρυτόνως μὲν Θάλης, ὡς Χρέμης, οὗ ἡ γενικὴ Θάλητος, ὡς Χρέμητος.

19 Θαλῆς Θαλῆτα χρημάτων ἐλευθεροῖ.

Suid. 20 Θάλης, Θάλητος· Θαλῆς δὲ Θαλοῦ.

Hesy. 21 Θαλήτας, Κρής, ἢ Ἰλλυριός, λυρικός, γεγονὼς πρὸ Ὁμήρου. μέλη.

Hesy. 22 Θαλήτας, Κνώσσιος, ῥαψῳδός. ποιήματά τινα μυθικά.

Σ 23 Θαλίαις: ἑορταῖς.

Σ 24 Θαλλός: κλάδος ἐλαίας, ἢ πᾶν τὸ θάλλον. ἔχοντες θαλλοὺς ὡσεὶ δέκα τὸν ἀριθμὸν ἔπεμψαν ἄνδρας.

Synt. 25 Θάλλω· δοτικῇ.

26 Θαλπόμενοι: ἐξαπατώμενοι. Ἰώσηπος· τοὺς δὲ ὑποθαλπομένους ἐλπίδι συγγνώμης, εἰ παρακρατηθεῖεν, ἐπιλελῆσθαι τῶν ἰδίων τολμημάτων.

Synt. 27 Θάλπω· αἰτιατικῇ.

Δ 28 Θαλπωρή: παραμυθία.

Σ? 29 Θαλπνότερον: λαμπρότερον, θερμότερον. Πίνδαρος· μηκέτ' ἀθλίου σκόπει θαλπνότερον ἄλλο ἐν ἡμέρᾳ φαεννὸν ἄστρον, ἐρήμας δι' αἰθέρος.

Anth. 30 Θαλπτήρια: θάλλειν ποιοῦντα, περισκέποντα. σάνδαλα μὲν τὰ ποδῶν θαλπτήρια ταῦτα.

31 Θαλυκρόν: διάπυρον. ἐν Ἐπιγράμμασι· καὶ τὸ θαλυκρὸν κεῖνο

Anth. κατημβλύνθη κέντρον ἐρωμανίης.

Δ 32 Θαλύσιον: τὸ ὑπὲρ εὐθαλίας διδόμενον.

Ar. 33 Θαλφθῇ: ἐξαπατηθῇ τῇ τῶν λόγων περιδρομῇ, δελεασθῇ. Ἀριστοφάνης· ἤδη κρατήσειν, αἴκε μὴ θαλφθῇ λόγοις. καὶ Θαλπόμενοι, ἐξαπατώμενοι.

Σ 34 Θαμά: συνεχῶς, πυκνῶς, διηνεκῶς.

21 cf. Strabo 10, 19 p. 482 23 = P cf. Ambr. 46 24 — θάλλον = P, Ba 253, 26 cf. Tim., H, Eust. O. 1557, 24, Et. M. 441, 48, Bk. 263, 20, sch. X 87 25 = Synt. Laur., An. Ox. 4, 294, 4 26 τοὺς sq. Ios. Bell. 4, 221 27 cf. An. Ox. 4, 294, 7 cf. Synt. Laur. 28 = Ambr. 33 cf. sch. Z 412, Et. M. 442, 16, H 29 Pind. O 1, 7—10 c. sch. 8 30 σάνδαλα sq. Anth. 6, 206, 1 31 — διάπυρον aliter H καὶ sq. Anth. 5, 219, 1—2 32 = Ambr. 50 cf. sch. I 530 = Et. M. 442, 13 33 — λόγοις Ar. Eq. 210 c. sch. 34 = P, Ba 254, 1 cf. Et. Gen., Et. M. 442, 18, sch. O 470, sch. Pl. Crat. 428 d, H

19 cf. v. K 2341 20 fort. ex 18 24 Z 1023 26 cf. 33. Z 1024 29 Z 1023. Pind. cf. v. Al 122 30 cf. 12 et v. B 310 31 Z 1022 32 Z 1023 33 cf. 26. Z 1024

A²(GIFVM) 2 τοὔνομα om. F 19 ex FV; non nov. gl. F 20 om. F 4 Θάλης, Θάλητος om. I, non nov. gl. 6 ἢ] ἡ G ὁ I Ἰλλυριός] Ἐλύριος coll. Steph. Byz. v. Ἔλυρος coni. Meurs; unde ἢ del. Bhd. πρὸ—7 μέλη om. F 6 Ὁμήρου] ὁμίλησε V 10 πᾶν] παρὰ AG ἔχοντας Kust. 14 ἐπιμελῆσθαι V 19 φαεννὸν GVM: φαενὸν I ἀεινὸν F cf. Pind. φανερὸν A 21 περισκέπτοντα F 26 παραδρομῇ F

35 Θαμέες: πυκνοί. καὶ Θαμειαί. καὶ Θαμειός. Δ
36 Θαμίζεις: πυκνάζεις, συχνάζεις. Σ
37 Θαμινάς. καὶ Θαμινῶς: σύνεχῶς, πυκνῶς. Σ
38 Θαμινός: ὁ πυκνός. καὶ Θαμινώτατος, ὁ πυκνότατος. Δ
39 Θάμνος: ἡ ῥίζα. ἀπὸ τῆς ἐν τῇ γῇ θέσεως. Ὅμηρος δὲ τὰ Ecl.
πολυπληθῆ φησι τῶν φύλλων. θάμνῳ ὑπ' ἀμφικόμῳ κατακείμενος.
ἀρσενικῶς Ἰώσηπος· ἐν ᾧ καὶ τὰ περὶ τὸν θάμνον καὶ τὰ ἄλλα φαν- E
τάσματα συντυχεῖν προειρήκαμεν.
40 Θάμνοις: συμφύτοις τόποις. Hom.
41 Θάμυρις ἢ Θαμύρας, Θρᾷξ, ἐξ Ἠδωνῶν, τῆς ἐν Βρίγκοις Hesy.
πόλεως, υἱὸς Φιλάμμωνος καὶ Ἀρσινόης, ἐποποιὸς ὄγδοος πρὸ Ὁμήρου· κατὰ δὲ ἄλλους πέμπτος· οἱ δὲ ἀπ' Ὀδρύσσης. οὗτος ὁ Θάμυρις, ἐπειδὴ εἰς τὰς Μούσας ὕβρισεν, ἐπηρώθη. φέρεται δὲ αὐτοῦ Θεολογία εἰς ἔπη τρισχιλία. καὶ πρῶτος ἠράσθη παιδὸς Ὑμεναίου τοὔνομα, υἱοῦ Καλλιόπης καὶ Μάγνητος. οἱ δὲ Κρῆτά φασί τινα Τάλωνα Ῥαδαμάνθυος ἐρασθῆναι. οἱ δὲ Λάϊόν φασιν ἐρασθῆναι πρώτου Χρυσίππου, τοῦ Πέλοπος υἱοῦ. οἱ δὲ Ἰταλιώτας πρώτους κατ' ἀνάγκην στρατείας εὑρέσθαι τοῦτο. κατὰ δὲ ἀλήθειαν αὐτὸς ὁ Ζεὺς πρῶτος ἠράσθη Γανυμήδους.
42 Θάμυρις μαίνεται: ἐπὶ τῶν κατὰ σύνεσιν παράλογα δοκούν- Prov.
των πράττειν.
43 Θανατᾶν καὶ Θανατιᾶν· οὕτως ἄγαν αὐτοῖς συμβεβήκει τὸν Δ+E
μὲν φονᾶν, τὸν δὲ θανατιᾶν. λύσις ὀνείρου· θανὼν καθ' ὕπνους φρον- On.
τίδων ἔσῃ δίχα.
44 Θάνατος: κακῶν ἀπόδρασις, καὶ ὥσπερ ἔκ τινος χειμῶνος ἀναγκαῖος ὅρμος. τὸ γὰρ ὑγιαίνειν ἐν τῷ τεθνάναι ἐστὶ μᾶλλον ἢ ἐν τῷ ζῆν.
45 Θανατῶν: θανάτου ἐπιθυμῶν. Οὐεσπασιανὸς ἐκέλευε μὴ Σ
συμπλέκεσθαι θανατῶσιν ἀνθρώποις· οὐδὲν γὰρ ἀλκιμώτερον ἀπογνώ- E
σεως. Αἰσχύλος· μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ. Soph.

35 cf. Ap. S. 86, 13; — πυκνοί = Ambr. 4, sch. K 264 cf. H. Θαμειαί (A 52) cf. H, Ambr. 35 et 42. Θαμειός cf. Ambr. 2 36 = P, Ba 254, 2 cf. Apion, H, sch. Pl. Rep. 328c, Et. M. 442, 21, sch. Σ 386 37 cf. Σ^{A}, Ba 254, 3, P, H, Ambr. 62 38 — πυκνός = Ambr. 2 cf. Erotian. 44, 10. Θαμινώτατος = Ambr. 18 39 — φύλλων cf. An. Ox. 2, 449, 24 (ex quo Et. M. 442, 23), H. θάμνῳ—κατακείμενος P 677 ἐν sq. Ios. Ant. 3, 62 40 in ε 471 cf. sch. Λ 156, H 42 = Paroem. ed. Gsf. 57, n. 491 43 Θανατᾶν cf. Ambr. 57 οὕτως—θανατιᾶν Iambl. attr. Bruhn, Rh. Mus. 45, 282 θανὼν sq. Astramps. 45 — ἐπιθυμῶν = P, Ba 264, 4, H cf. sch. Pl. Phaed. 64b, Et. M. 442, 51 Οὐεσπασιανὸς—ἀπογνώσεως Ios. Bell. 3, 208 (cf. Et. M. 442, 53) Αἰσχύλος (fr. 161, 1)—ἐρᾷ sch. Soph. El. 139

42 cf. v. A 1684 43 Z 1025. Astramps. cf. v. K 138 44 cf. v. A 2873 45 Z 1025. Aeschyl. cf. vv. M 1235 et πάγκοινος

2 συχνάζεις om. F 10 Βρίγκη GI Βρίγοις coll. Steph. Byz. s. v. Holsten. A^{2}(GIFVM) 11 προσπόλ(εως) F 12 οἱ—Ὀδρύσσης post vs. 11 πόλεως transpos. Flach Ὀδρύσης Bhd. 13 αὐτῷ V 16 Τάλων Gutschmid Λάϊόν A: Λάϊνον rell. ad haec ὁποῖος ἂν κατῆρχε κακοῦ, κακῶς ἀπήρξατο· ἀλλ' ἐρ(ρ)έσθω mg. add. M 28 Οὐεσπεσιανὸς A cf. v. I 504 29 ἀλκιμώτατον GFVM

Σ λέγεται δὲ θανατῶν· αἰτιατικῆ· καὶ ὁ ἀποκτένων. καὶ θανατῶσιν
E ἀνθρώποις.

Synt. 46 Θάπτω· αἰτιατικῆ.

Σ 47 Θαρραλέον: θάρσος. Θρασὺς θαρραλέου διαφέρει· ὅτι ὁ
Rhet. μὲν θρασὺς διαβολὴν ἔχει κακὸς ὤν, ὁ δὲ θαρραλέος ὡς ἀγαθὸς ἐπαινεῖται. Ὑπερίδης φησὶν ἐν τῷ Κυθνιακῷ· οἱ μὲν θρασεῖς ἄνευ λογισμοῦ πάντα πράττουσιν, οἱ δὲ θαρραλέοι μετὰ λογισμοῦ τοὺς προσπεσόντας κινδύνους ἀνέκπληκτοι ὑπομένουσιν.

Δ 48 Θαρραλέος: ὁ εὔτολμος. καὶ Θαρραλεώτερος, εὐτολμότερος. Θαρσαλέως δὲ ἐπιρρηματικὸν διὰ τοῦ ω μεγάλου, ἀντὶ τοῦ εὐθαρσῶς καὶ ἀνδρείως.

Σ 49 Θαργήλια: ἑορτὴ Ἀρτέμιδος καὶ Ἀπόλλωνος. καὶ μὴν Θαργηλιών. καὶ ὁ τῶν σπερμάτων μεστὸς χύτρος ἱεροῦ ἑψέματος. ἤψουν δ' ἐν αὐτῇ ἀπαρχὰς τῷ θεῷ τῶν πεφηνότων καρπῶν, ὀνομαζόμενον ἀπὸ τοῦ θέρειν τὴν γῆν, τὸν αὐτὸν ὄντα τῷ ἡλίῳ. ἵσταντο δὲ ἐν αὐτῇ καὶ χοροί. καὶ ἀγαθῶν Θαργήλια.

Harp. 50 Θαργήλια: ἑορτὴ τὰ Θαργήλια· ἄγεται δὲ Θαργηλιῶνι μηνί, ὅς ἐστιν ἱερὸς Ἀπόλλωνος.

Σ 51 Θαργηλία, Ἀγησαγόρου θυγάτηρ, βασιλεύσασα Θεσσαλῶν λ' ἔτη, Μιλησία τὸ γένος, ἀναιρεθεῖσα δὲ ὑπό τινος Ἀργείου, δεθέντος ὑπ' αὐτῆς.

Ar. 52 Θαρελλείδης· Σύμμαχος· Ἀσωπόδωρος. Διδυμαχίας, ὁ ἀδελφὸς αὐτοῦ, ἐπὶ σμικρότητι διεβέβληντο τοῦ σώματος.

Synt. 53 Θαρρῶ σοι.

Thdr. 54 Θαρσεῖς τὴν Καρχηδόνα, τὴν τῆς Λιβύης προκαθημένην, Ἡσαΐας καὶ Ἰεζεκιὴλ ὀνομάζουσι. Σαβὰ δὲ Αἰθιοπικὸν ἔθνος. ἀλλὰ Λίβυες μέν, οἱ καὶ Ἄφροι προσαγορευόμενοι, τὰ ἑσπέρια τῆς οἰκουμένης κατέχουσι τμήματα, Αἰθίοπες δὲ τὰ ἑῷα καὶ νότια, Ἄραβες δὲ τὴν μέσην ἤπει-

45 λέγεται—ἀποκτένων praeter αἰτιατικῆ = P, Ba 254, 4 αἰτιατικῆ cf. Synt. Laur. et Gud. vs. 1 καὶ alt. sq. Ios. Bell. 3, 208 46 = Synt. Gud. et Laur., An. Ox. 4, 294, 8 47 — θάρσος = P, Ba 254, 6 Θρασὺς—ἐπαινεῖται cf. Bk. 190, 1; Hyper. fr. 117 48 — εὔτολμος = Ambr. 1. Θαρραλεώτερος cf. Ambr. 19. ἀνδρείως = Ambr. 63 cf. Et. M. 443, 6 49 = P cf. Et. Gen., Et. M. 443, 20, Lex. Patm. 15, H, Bk. 263, 27 (ex quo Et. Gen. = Et. M. 443, 21) 50 Harp. = P cf. Et. Gen. = Et. M. 443, 20 51 = P cf. Et. Gen. = Et. M. 443, 25; H 52 sch. Ar. Av. 17 53 cf. Ambr. 54, An. Ox. 4, 294, 2, Synt. Laur. 54 Thdr. in Ps. 71, 9, PG 80, 1436a b

48 Z 1025 52 cf. vv. A 4193 et Δ 879

A²(GITFVM) 1 ἀποκταίνων GI 4 θάρσος AF Phot. Ba: θράσος GIVM 9 Θαρραλεώτατος I, Ambr. εὐτολμότερος A: εὐτολμότατος IFV εὐτολμώτατος GM 10 ἐπιρρηματικῶς GIF 12 Ἀρτέμιδος καὶ Ἀπόλλωνος F, Phot. Et. plerique: Ἀπόλλωνος καὶ Ἀρτέμιδος rell., v. l. Et. 13 ἑψήματος GI ἑψέματα F 14 πεφηνότων] ἤγουν τῶν φανερωθέντων ss. V 19 βασιλεύουσα A 22 Διδυμαχίας vv. A 4193, Δ 879, sch.: Διδυχμαχίας A Διδυχμίας rell. 23 τοῦ om. A 53 om. TF 25 Θαρσεῖς] Θαρσίδα ss. V cf. 56, Σαβά ss. G 26 Λίβες GIVM

ρον, οἱ δὲ Νησιῶται τῆς θαλάσσης τὰ μέσα. τούτους ἔφης προπεσεῖσθαι ἐνώπιον τοῦ θεοῦ. ἐνώπιον τοῦ θεοῦ προπεσοῦνται Αἰθίοπες. Δαβίδ.

55 Θαρσεῖς, χώρα τῆς Ἰνδικῆς, ὅθεν ἤρχετο τῷ Σολομῶντι τὸ χρυσίον.

56 Θαρσίς, Θαρσίδος: ἡ πόλις· οἱ Θαρσεῖς δὲ τὸ ἔθνος.

57 Θάρσυνος: τεθαρρηκώς. Σ

58 Θασίαν κυκῶσι λιπαράμπυκα. διαφέρει δὲ θάρσος θράσους· Ar. θάρσος μὲν γὰρ λέγεται τὸ εὔλογον παράστημα τῆς ψυχῆς, θράσος δὲ τοὐναντίον. Ἀριστοφάνης. οἷον φιάλην Θασίου οἴνου πεπληρωμένην. Ar ἄμπυξ δὲ λέγεται τὸ περιέχον. νῦν οὖν τὸ πῶμα τοῦ ἀγγείου λέγει· λιπαρὸν μὲν διὰ τὸ ἡδὺ τοῦ οἴνου, ἄμπυκα δὲ παρὰ τὸ πυκάζειν καὶ καλύπτειν τὸν οἶνον καταχρηστικῶς. λείπει τὸ λάγυνον, ἐπεὶ καταχρίονται πίσσῃ τὸ στόμα· οὐ πιθανῶς· οὐδέπω γὰρ τότε Θάσιος οἶνος εὐδοκίμει παρ' Ἀθηναίοις. οἱ δέ, ὅτι Θάσιοί τινες ῥαφανῖδες λέγονται. λέγει δὲ τὴν ἠρτυμένην καὶ βραχομένην. οἱ δὲ Θάσιον βάμμα φασὶ λέγεσθαι. οἱ δὲ τὴν λεγομένην θερμοπότιδα, ἣ Θασίαν ζωμάλμην, εἰς ἣν ἀπέβαπτον τὰ ἠνθρακωμένα τῶν ἰχθύων.

59 Θάσιος οἶνος. καὶ παροιμία· εἰ Θάσιον ἐνέχεις. ἐπειδὴ ἐν Δ Θάσῳ ᾤκει Στάφυλος ὁ ἐρώμενος Διονύσου. διαφέρει δὲ ὁ Θάσιος Ar. οἶνος. ἐνέχεις δὲ ἀντὶ τοῦ ἐκίρνας.

60 Θάσος ἀγαθῶν: ἐπὶ τῶν εὐδαίμονα καὶ λαμπρὸν ἀποδεῖξαί τινα Prov. ἐπαγγελλομένων.

61 Θάτερα: ἑτέρως. ὡς πάντα δεινὰ κἀπικινδύνως βροτοῖς κεῖται, παθεῖν μὲν εὖ, παθεῖν δὲ θάτερα. χρὴ δ' ἐκτὸς ὄντα πημάτων τὰ Soph. δείν' ὁρᾶν· χῶταν τις εὖ ζῇ, τηνικαῦτα τὸν βίον σκοπεῖν μάλιστα, μὴ διαφθαρεὶς λάθῃ.

62 Θάτερον: ἕτερον μέρος. Σ

63 Θᾶττον ἀναπνοῆς: τάχιον. ἢ ἀντὶ τοῦ μᾶλλον. τὰ κιτία E+Σ| τῆς τεκούσης θᾶττον ἐπιπέμψειεν ἄν. ὑπάτου δὲ παρόντος, θᾶττον ἢ Ar. κατὰ δόξαν ἐτελέσθη τὸ ἔργον. καὶ αὖθις· ὁ δὲ θᾶττον ἢ φρονιμώτερον ἐγχειρεῖν ἔγνω τοῖς λόγοις. καὶ αὖθις· θᾶττον ἀναπνοῆς E

55 — Ἰνδικῆς cf. Thdr. in 3 Reg. 10, 22, PG 80, 700 b. ὅθεν sq. cf. Georg. 197, 10—11 56 — πόλις = Ambr. 39. Θαρσεῖς sq. = Ambr. 28 57 = P, Ba 254, 7, H, sch. N 823 58 — λιπαράμπυκα Ar. Ach. 671. οἷον sch. Ar. Ach. 671 59 l. = Ambr. 24 εἰ sq. sch. Ar. Pl. 1021 60 cf. Zen. IV 34 61 — ἑτέρως cf. H ὡς sq. Soph. Phil. 502—6 62 = P, Ba 254, 8 cf. H 63 l. cf. vs. 31; τάχιον = P, Ba 254, 9 cf. H τὰ—ἄν Ar. Eccl. 234—5

58 cf. 247 et v. Z 132 59 Ar. cf. v. Ε 1276 61 cf. v. A 1019 63 vs. 31 θᾶττον—p. 686, 1 κατηκόντισαν cf. v. περιέπτυξαν

1 τῆς—μέσα A Thdr.: τὰ τῆς θ. μέσα GIFM τὰ τῆς θ. μέρη V προσ- A^2(GIFVM) πεσεῖσθαι GI 2 ἐνώπιον—Δαβίδ om. F προσπεσοῦνται IV 56 om. F mg. VM 7 κυκλῶσι F διαφέρει—8. 9 τοὐναντίον om. F 10 οὖν] δὲ F λέγεται F 18 ἔχεις F ἔχει V 19 Διονυσίου V δὲ ex A solo 22 ἀπαγγελλομένων F 23 κἀπικινδύνους A 24 παθεῖν μὲν εὖ V: παθεῖν μ' εὖ F om. rell. χρὴ—26 λάθῃ om. F 24 ὄντα—25 τηνικαῦτα om. V 25 μάλιστα om. A 26 διαφθαρεὶς V cf. v. A 1019 29 ἐπιμέμψειεν GIVM 30 καὶ—p. 686, 3 γνώμην om. F

E αὐτοὺς ἐπέπτυξαν καὶ συγκλείσαντες κατηκόντισαν. καὶ αὖθις· ὧν θᾶττον ἂν ἴδοις τὴν καρδίαν ἢ τὰ ἐν τῇ καρδίᾳ, ἀδυνατούσης τῆς γλώττης ἑξερμηνεῦσαι τὴν γνώμην.

Prov. 64 Θᾶττον ἢ Βούτης: ἐπὶ τῶν ῥᾳδίως γινομένων. τούτου γὰρ μόνον ἐφαίνετο τὸ κράνος καὶ ὁ ὀφθαλμός· τὰ δὲ λοιπὰ ὑπὸ τοῦ ὄρους ἐκρύπτετο.

Prov. 65 Θᾶττον ὁ τόκος Ἡρακλείτῳ Περινέῳ τρέχει: οὗτος ἐθαυμάσθη ἐπὶ τάχει. εἴρηται οὖν ἡ παροιμία ἐπὶ τῶν δανειζομένων διὰ τὸν τόκον.

E 66 Θᾶccον γὰρ ἄν τις τὴν πᾶσαν ψάμμον ἐξαριθμήσειεν, ἢ ὅσους οὗτος ἀνῄρηκε. τὴν δὲ χώραν διαριθμούμενος, ἔρημον οὖσαν τῶν ἐνοικούντων, μυριάδας μυριάδων μυρίας φημὶ ἀπολωλέναι.

Suid. 67 Θαύλων, Θαύλωνος. ὃς τῷ ἰδίῳ πελέκει ἀπέκτεινε τὸν βοῦν τὸν φαγόντα τὸ πόπανον, ὅπερ ἦν παρεσκευασμένον εἰς τὴν θυσίαν ἐν τοῖς Διϊπολίοις. καὶ ζήτει ἐν τῷ Βουφόνια.

Σ 68 Θαυμάζω: ὅτε πρὸς γενικὴν συντάσσομεν, τὸ καταγινώσκω σημαίνει, πρὸς δὲ αἰτιατικὴν τὸ ἐπαινῶ. σημαίνει δὲ καὶ τὸ ἐθεῶντο. ἱστάμενοι θαύμαζον. θαυμάζω δὲ ἔγωγε, πῶς τοσούτων εἰρημένων, ἐκείνων μὲν ὄντων πολλῶν καὶ καλῶν ἐπελάθου· τὸ γὰρ οὐκ ἐνόησας, οὗ ποτ' ἂν εἴποιμι περὶ σοῦ, πλὴν εἰ μὴ πρότερον ἐμαυτὸν πολλάκις ἀγνοήσαιμι.

Hom.

Δ + Ar. 69 Θαυμάλωψ: ὁ ἡμίφλεκτος ἢ ὁ διακεκαυμένος ἄνθραξ.

Soph. 70 Θαυμάσας ἔχω: ἀντὶ τοῦ ἐθαύμασα Ἀττικῶς. οὔτ' εἴ τι μῆκος τῶν λόγων ἔθου, παῖ, θαυμάσας ἔχω.

Thdr. 71 Θαυμάσια ἐν γῇ Χάμ. Θαυμάσια ἐπὶ θεοῦ, τὰ ἐπ' εὐεργεσίαις τινῶν γινόμενα. δύναμις δὲ φοβερῶν ἡ ἐπὶ τιμωρίᾳ ἑτέρων δειχθεῖσα μεγαλουργία.

72 Θαυμασταί· ἐκπλαγεῖς ἠκολούθουν, οἱ μὲν σοφίας, οἱ δὲ εἴδους, οἱ δὲ διαίτης, οἱ δὲ σχήματος, οἱ δὲ πάντων ὁμοῦ θαυμασταὶ ὄντες.

E 73 Θαυμαστούς· μεγάλας ἔχων ἐλπίδας θαυμαστούς τινας ἐξοίσεσθαι μισθοὺς τῆς προδοσίας.

Δ 74 Θαψακηνός: ἀπὸ τόπου.

Ar. 75 Θαψίνη· γυναικὶ κλητεύειν ἐοικὼς θαψίνῃ.

63 vs. 1 ὧν sq. Synes. Dio PG 66, 1125d 64 cf. Zen. IV 28 65 cf. Paroem. ed. Gsf. 58, n. 499 66 Proc. h. a. 18, 4 68 — ἐπαινῶ = P, Ba 254, 10 cf. Et. M. 443, 45, Ammon. 114 ἐθεῶντο—θαύμαζον Σ 496 c. sch. A cf. Apion 69 — ἡμίφλεκτος = L v. θαμάλωψ cf. Et. M. 443, 50. διακεκαυμένος ἄνθραξ cf. sch. Ar. Ach. 321 70 Soph. OC 1140 c. sch. 71 — Χάμ Ps. 105, 22. θαυμάσια alt. sq. Thdr. in Ps. 144, 6, PG 80, 1968c 72 Philostr. 4, 1 73 Dionys. Hal. 13, 1, 3 74 cf. Ambr. 29 75 Ar. Vsp. 1413

67 ex v. B 474 69 cf. 546

A²(GITFVM) 7 Ἡρακλείτῳ Paroem.: Ἡρακλεῖ τῷ omnes Περιναίῳ T, Paroem. 66 om. T, non nov. gl. V; extra ord. 10 Θᾶττον A, ordo poscit 67 om. F 14 καὶ—15 Βουφόνια om. T 18 θαυμάζω—21 ἀγνοήσαιμι om. F 18 τοσούτων A: τοσοῦτος rell. εἰρημένων A: cp. GVM εἰρημένος I 24 παῖ] πᾶς V 26 γινομένων V 30 μεγάλους GITFM

76 Θαιμανίτης: ὁ ἀπὸ Θαιμάν, ὅ ἐστιν... Δ
77 Θαιρούς: τοὺς στροφεῖς τῆς θύρας. Σ
78 Θεαγένης, Ἀθηναῖος ἄρχων, φιλότιμος ἀνὴρ καὶ μεγαλοφυής, Ἑλλήνων τε ὅτι μάλιστα χρήμασι λαμπρυνόμενος, οἷς εἰς δέον ἐχρῆτο τὰ πολλὰ πόλεών τε ἐνίων τὰ πταίσματα ἐπανορθούμενος καὶ τοῖς δεομένοις τῶν ἀνθρώπων ἐπικουρῶν, οὐ μιᾷ χειρὶ δωρούμενος ἀλλ' ἀμφοῖν, κατὰ τὴν παροιμίαν. ἦν γὰρ φιλόδωρός τε καὶ μεγαλόδωρος εἰς ὑπερβολήν. ἀναλοῦτο δὲ αὐτῷ πολλὰ τῶν χρημάτων εἵς τε διδασκάλους καὶ ἰατροὺς καὶ τὴν ἄλλην τῆς πατρίδος εὐθημοσύνην. ταῦτα μὲν ἀξιέπαινα τῶν Θεαγένους. ὧν δὲ θυμοειδὴς καὶ οὐδαμοῦ καταφρονεῖσθαι ἀνεχόμενος, ἀλλὰ καὶ θεραπεύεσθαι σπουδάζων ὑπὸ πάντων, καὶ οὐχ ἥκιστα τῶν φιλοσοφούντων, ὑπερορῶν δὲ καὶ διαπτύων τοὺς ἄλλους καὶ μάλιστα τοὺς ἐν δυνάμει δοκοῦντας εἶναι καὶ προθυμουμένους ἐν τῇ Ῥωμαίων πολιτείᾳ λαμπρύνεσθαι, καὶ τὰ νέα ἀξιώματα προτιμῶν τῶν ἀρχαίων ἠθῶν τῆς εὐσεβείας, ἔλαθεν ἑαυτὸν ἐμπεσὼν εἰς τὸν τῶν πολλῶν βίον ἀποσπασθεὶς τῶν Ἑλλήνων καὶ τῶν ἔτι ἄνω προγόνων· ἔλαθε δὲ τοὺς πέλας οὐκ ἔτι φίλους ἀληθινούς, ἀλλὰ κόλακας ἀπατηλοὺς κεκτημένος. οὔκουν ἔτι διέσῳζε τὴν πάλαι αἰδῶ πρὸς φιλοσοφίαν, ἀλλὰ τῷ μὲν λόγῳ τοὺς φιλοσόφους ἐπεποίητο περὶ ἑαυτόν, τῷ δὲ ἔργῳ τοὺς θεραπεύοντας. αὕτη πρώτη ἀρχὴ ἐγεγόνει τῆς πρὸς Μαρῖνον ὑποψίας. ὁ γὰρ Μαρῖνος ἐμμένων τῇ παραδοθείσῃ σεμνότητι τῶν φιλοσόφων ἐθεράπευε μὲν τὰ εἰκότα τὸν Θεαγένη, καὶ οὐκ ἦν τις ἄρα πρὸς αὐτὸν ἀλαζὼν οὐδὲ σκαιὸς οὐδὲ σοβαρὸς τὴν ἔντευξιν οὐδὲ δυσόμιλος οὐδὲ ἄλλως ὑπὲρ τὸν ἰδιώτην εἶναι βουλόμενος, ἀλλὰ προσδεχόμενός τε καὶ προπέμπων ἐγίνετο δῆλος καὶ τὰς ὀφειλομένας αὐτῷ τιμὰς ἀπονέμων, οἵας ὠφείλετο πρωτεύων ἀνὴρ ἐν τῇ πόλει, τάχα δὲ καὶ ἐν τῇ Ῥωμαίων πολιτείᾳ συμπάσῃ. καὶ γὰρ ἦν τῶν Ῥωμαϊκῶν πατέρων εἷς καὶ πρῶτος τῆς περὶ τὰ βασίλεια συγκλήτου βουλῆς, τῇ τε ἐξ ἀρχῆς εὐγενείᾳ καὶ τῇ μεγαλειότητι τῶν τρόπων καὶ τῇ περὶ τοὺς λόγους διαφανεῖ σπουδῇ τε καὶ ἐπιμελείᾳ· ὥστε καὶ ὁ Μαρῖνος ἐσπούδαζεν αὐτῷ συναύξειν τὸ μέγεθος τῆς κατὰ πάντα περιφανείας.
79 Θεαγένης· ζήτει ἐν τῷ Ἀρχιάδας.

76 cf. Ambr. 6, Ps. Herodian. 56 77 = P, Ba 253, 19 cf. Et. Gen. = Et. M. 444, 4; Eust. I. 914, 33 (fr. 391 Schwabe), H, Ps. Herodian. 56, sch. M 459
78 Dam. fr. 280, 281, 283, 157 (Byz. Zt. 18, 465 sq.) cf. Phot. Bibl. 351b 10—11; 346a 26—9

78 cf. v. A 1792

1 ὅ ἐστιν] ἥ ἐστιν A om. IF; ἐξ ἀνατολῶν add. G cf. Ambr., Ps. Herodian., A^2F(GIVM) Hes. v. θεμάν 3 φιλότιμος—33 Ἀρχιάδας om. F 4 χρήμασι A, coni. Port.: χρήσιμα GIVM 7 καὶ μεγαλόδωρος om. V 12 καὶ—φιλοσοφούντων ex A, mg. VM: καὶ τῶν G et textu VM ὑπερορῶν om. I δὲ καὶ ex A solo 14 προμηθουμένους G προμηθούμενος I 15 προτιμῶν A: τιμῶν rell. 16 τῶν pr. om. V 25 προσπέμπων GI^{sc}VM 26. 27 ὀφείλετο GIVM 28 συμπάσῃ A, Port.: σὺν πάσῃ GIVM τῶν] τῷ V 29 τὰ] τῷ V βασίλεια] cp. VM 30 λόγου V 33 ζήτει ex A solo

Δ 80 Θεαγένης: ὄνομα κύριον. καὶ Θεαγένους Ἑκάτειον.
Ar. παροιμία· οὗτος δειλὸς ἦν· εἶχε δὲ Ἑκάτης ἄγαλμα, οὗ ἐπυνθάνετο πανταχοῦ ἀπιών. ὃς καὶ Καπνὸς ἐκαλεῖτο.
Ar. 81 Θεαγένους χρήματα τά τ' Αἰσχίνου: ἐπὶ τῶν πενήτων, ἀλαζονευομένων δέ. οὗτος γὰρ πένης ὢν ἔλεγεν ἑαυτὸν πλούσιον εἶναι. εἰσὶ δὲ καὶ ἄλλοι δύο Θεαγένεις. εἷς μὲν ὁ περὶ Ὁμήρου γράψας, ἕτερος δὲ ἐπὶ μαλακίαις σκωπτόμενος. οὗτος δὲ πένης ὢν μεγαλέμπορος ἐβούλετο εἶναι, ἀλαζών, ψευδόπλουτος. ἐκαλεῖτο δὲ Καπνός, ὅτι πολλὰ ὑπισχνούμενος οὐδὲν ἐτέλει. καὶ ὁ Αἰσχίνης δὲ πένης, θρυπτόμενος καὶ αὐτὸς ἐπὶ πλούτῳ καὶ λέγων ἑαυτὸν πλούσιον. ἦν δὲ Αἰσχίνης Σέλλου. ἔλεγον δὲ ἐκ μεταφορᾶς τοὺς τοιούτους Σέλλους· καὶ τὸ ἀλαζονεύεσθαι σελλίζειν.
Σ+Δ 82 Θεάμονας: θεατάς· θεωρητικούς.
Hesy. 83 Θεανώ, Μεταποντίνη ἢ Θουρία, Πυθαγορεία, θυγάτηρ Λεώφρονος, γαμετὴ δὲ Καρύστου ἢ Κρότωνος ἢ Βρωτίνου τοῦ Πυθαγορείου. αὕτη ἔγραψε περὶ Πυθαγόρου, Περὶ ἀρετῆς Ἱπποδάμῳ Θουρίῳ, Παραινέσεις γυναικείας καὶ Ἀποφθέγματα Πυθαγορείων.
Hesy. 84 Θεανώ, Κρῆσσα, φιλόσοφος, θυγάτηρ μὲν Πυθώνακτος, γαμετὴ δὲ τοῦ μεγάλου Πυθαγόρου, ἐξ οὗ ἔσχε Τηλαύγην καὶ Μνήσαρχον καὶ Μυῖαν καὶ Ἀριγνώτην. τινὲς δὲ Βρωτίνου ταύτην γενέσθαι γυναῖκα γράφουσι καὶ τὸ γένος Κροτωνιᾶτιν. Ὑπομνήματα φιλόσοφα, καὶ Ἀποφθέγματα, καὶ ποίημά τι δι' ἐπῶν.
Hesy. 85 Θεανώ, Λοκρίς, λυρική· ᾄσματα λυρικὰ ἢ Λοκρικὰ καὶ μέλη.
Δ 86 Θεαρίων: ὄνομα κύριον· φυλάττει.
Δ 87 Θεατρεῖον: θέατρον.
Δ 88 Θεατρίζω· αἰτιατικῇ. καὶ Ἐκθεατρίζουσι, τὸ ἐξελέγχουσι.
E Πολύβιος· οἱ δὲ πολλοὶ τὰ μὲν ἔργα τῶν εὐτυχούντων οὐ τειρῶνται μιμεῖσθαι, τὰ δὲ πάρεργα ζηλοῦντες ἐκθεατρίζουσι τὴν ἑαυτῶν ἀκρι-
E είαν. καὶ αὖθις· οὐ μόνον ἑαυτοὺς ἐξεθεάτρισαν, ἀλλὰ καὶ τὴν Ἑλλάδα κατέστρεψαν.
89 Θεγλαφαλακάρ· ζήτει ἐν τῷ Ἄχαζ.

80 — κύριον = Ambr. 91, Ps. Herodian. 56 Θεαγένους—ἀπιών sq. sch. Ar. Lys. 64 plenior. 81 sch. Ar. Av. 822—3 cf. sch. Vsp. 325 (= v. σελλίζειν) et 1267, sch. Pac. 928 (= v. ὑηνεία) 82 — θεατάς = P, Ba 254, 13, Et. Gen. θεωρητικούς cf. Ambr. 72—3, H v. θέαμα 84 cf. Laert. 8, 42, Porphyr. vit. Pyth. 4 86 — κύριον = Ambr. 87. φυλάττει = Ambr. 114 88 Θεατρίζω = Ambr. 214 αἰτιατικῇ = Synt. Laur. et Gud. οἱ—ἀκρισίαν Polyb. 11, 8, 7 οὐ sq. Polyb. fr. 141

80 ὃς sq. ex 81 80—1 cf. v. Ε 361 84 cf. v. Μ 1363 v. Πυθαγόρας 1 85 Eust. I. 327, 10 88 cf. v. Ε 443

A³(GIFVM) 2 παροιμία om. F οὗ] ὦ A 3 ὃς—ἐκαλεῖτο om. F 6 εἷς—12 σελλίζειν om. F 9 Καπνός 80, sch.: Καπρός omnes 11 τοὺς τοιούτους] τούτους A 14. 15 Λεώφορος GI 15 Βρωτίνου] Βροντίνου Laert. ὡς Πλωτῖνος mg. add. VM 20 Μῦαν GIVM ταύτην ex V solo γενέσθαι om. A 22 ποίημά τι] ποιήματα GI 23 λυρικὰ ἢ del. Bhd. 24 φυλάττει ego: φῦ AVM om. GIF 27 Πολύβιος—31 Ἄχαζ om. F 28 δὲ om. GM post πάρεργα I 28. 29 ἀκρασίαν I

90 Θεατροκρατία: ὀχλοκρατία. Σ
91 Θεαιδέστατον: θεοῦ ἰδέαν ἔχον. εἶπε δὲ Ἀντιφῶν ἐν τῷ Περὶ Σ
ὁμονοίας οὕτως· ἄνθρωπος, ὅς φησι μὲν πάντων θηρίων θεαιδέστατος γενέσθαι.
92 Θέαινα: θεά. Δ
93 Θεαίτητος, Ἀθηναῖος, ἀστρολόγος, φιλόσοφος, μαθητὴς Σωκρά- Hesy.
τους, ἐδίδαξεν ἐν Ἡρακλείᾳ. πρῶτος δὲ τὰ πέντε καλούμενα στερεὰ ἔγραψε. γέγονε δὲ μετὰ τὰ Πελοποννησιακά.
94 Θεαίτητος, Ἡρακλείας Πόντου, φιλόσοφος, ἀκροατὴς Πλάτωνος. Hesy.
95 Θέειν καὶ Θεῖν: τρέχειν. Σ
96 Θέειον: θεῖον. Δ
97 Θεείω: θαυμάζω. Δ
98 Θεηγόροι: θεολόγοι. Σ
99 Θεήλατος: ὑπὸ θεοῦ πεμφθείς. Μένανδρος· ὁ δὲ Ναρσῆς, Σ
ὃς εἰώθει τῶν πολεμίων ἀεὶ κρατεῖν, κατά τινα θεήλατον ὀργὴν ἔφυγε E
προτροπάδην.
100 Θεηπολεῖν: θεῶν εἰκόνας ἔχοντα περιπολεῖν, ἀργύριον εἰς- Σ
πρασσόμενον.
101 Θεκῶος. Δ
102 Θέκλα, Θέκλας. Δ
103 Θέλγει: ἀγαπᾷ, ἢ κακοῖ, ἀμαυροῖ, σκοτοῖ, ἢ ἀπατᾷ, ἢ θάλπει. Σ
Θέλγειν δὲ κυρίως ἐστὶ τὸ εἰς ὃ θέλει τις ἄγειν τινά. ὅθεν καὶ Ecl.
θελκτήρια, τὰ ᾄσματα, ἀπὸ τῶν ᾠδῶν τοὺς ἀκούοντας θέλγειν καὶ ἄγειν εἰς τέρψιν τὸν ἀοιδόν. καὶ Τελχῖνες θελχῖνές τινές εἰσι· τὰ γὰρ θάλλοντα, φησί, βασκαίνοντες τοῖς ὕδασι τῆς φύσεως αὖα ἐποίουν ἕως φυτῶν βασκαίνοντες.
104 Θελεξίνεια: θυγάτηρ Ὠγύγου. Σ
105 Θέλειν: ἀντὶ τοῦ δύνασθαι. Σ
106 Θελητή: εὔκαρπος καὶ γονιμωτάτη. Σ

90 = P, Et. Gen., Et. M. 444, 16 91 = P, Et. Gen., Et. M. 444, 13 cf. Bk. 263, 31; Antiph. fr. 86 92 cf. Ambr. 151 95 = P, Ba 254, 12 cf. H, Ambr. 220 96 cf. sch. Θ 135 = H 97 cf. Ambr. 202 98 = P, Ba 254, 14, Et. Gen. 99 — πεμφθείς = P, Σ^a, Ba 254, 15, Et. Gen., Et. M. 444, 21 cf. H, Ambr. 147 (= 32) ὁ sq. Men. Prot. fr. 72, FHG 4, 269 100 Tim. = P, Et. Gen. cf. Et. M. 444, 27 101 cf. L 102 cf. Ambr. 154 103 — θάλπει = Ba 254, 24, Lex. rhet. ap. Et. Gen., Et. M. 445, 1 cf. P, H, Ap. S. 86, 30, Apion, sch. Ω 343 et ϵ 47, sch. Ap. Rh. 1, 27 Θέλγειν sq. = An. Ox. 2, 447, 34, ex quo Et. M. 445, 2; cf. Lex. rhet. fr. 436 Schwabe ap. Eust. O. 1391, 12, H v. Θελγῖνες 104 cf. P v. Πραξιδίκη 105 = P, Ba 254, 27, H, Ap. S. 86, 33 106 = P, Ba 254, 26 (in Malach. 3, 12)

91 Eust. l. 378, 7 (falso Lex. rhet. fr. 392 Schwabe sec. Wentzel) 95 cf. 202 et v. Ε 316 103 cf. v. K 548 104 cf. v. Πραξιδίκη 105 cf. vv. Ε 299 et οὐ θελήσῃ. Z 1037

2 ἔχων FV, Et. M., Bk. 3 ὅς]ὡς F θεαιδέστατος—6 Ἀθηναῖος om. F A^3(GITFVM) 9 Ἡρακλεία M Ἡρακλέα V 101 om. TF 102 om. F 20 Θέκρας V Θέκλης $A^{ac}G^{ac}IM^{ac}$, Ambr.; ση(μαίνει) add. A et supra l. M 23 ἀπὸ] τὸ add. A τοῦ add. Ecl. 24 θελχῖνές ss. V; θελγῖνες recte Kust. = Hes. 29 εὔκαρπος καὶ γονιμωτάτη hic F, Phot. Ba: post 107 rell.

Δ 107 Θελιμός.

ΔΣ 108 Θελκτήριον. Θέλγητρον, τὸ εἰς ἡδονὴν ἄγον.

Σ 109 Θελκτώ: κολακευτική.

Anth. 110 Θελξινόοις: τοῖς τὸν νοῦν ἐπαπατῶσιν. ἐν Ἐπιγράμμασι· ὡς ἂν θελξινόοισιν ἀεὶ φίλτροισι δαμάζῃς ἀνέρας.

Σ 111 Θέμεθλα: τὰ ἐσώτερα μέρη, τὰ ἐν βάθει.

Harp. 112 Θέμενος τὰ ὅπλα: ἀντὶ τοῦ περιθέμενος καὶ ὁπλισάμενος. Δημοσθένης καὶ Ὅμηρος καὶ Αἰσχίνης.

Hom. 113 Θεμείλια: θεμέλια.

Σ 114 Θέμιν: δικαιοσύνην. Βούχετα πόλις ἐστὶ τῆς Ἠπείρου, οὐδετέρως

Suid. καὶ πληθυντικῶς λεγομένη, ἣν φησι Φιλόχορος ὠνομάσθαι διὰ τὸ τὴν Θέμιν ἐπὶ βοὸς ὀχουμένην ἐλθεῖν ἐκεῖ κατὰ τὸν Δευκαλίωνος κατακλυσμόν.

Σ 115 Θέμις: τὸ δίκαιον. Αἰλιανός· εἰ θέμις καὶ τῷ Ἱμεραίῳ πρὸς Ε Ὅμηρον τὸ ὄμμα ἀνατείνειν.

Harp. 116 Θεμίσων: τυράννου ὄνομα. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησι-

Suid. φῶντος. ὁ δὲ ἀναγνωσθεὶς ὑπὸ τῆς γυναικὸς ἔρτον οὐχ ὅσιον ἐμηχανᾶτο ἐπὶ τῇ θυγατρί. ἦν γὰρ δὴ Θεμίσων ἀνὴρ Θηβαῖος. ζήτει ἐν τῷ Βάττος.

Σ 117 Θέμιστα: νόμον, ἢ δίκην.

Harp. 118 Θεμιστεύειν: ἀντὶ τοῦ χρηςμῳδεῖν· Λυσίας. γέγονε δὲ τὸ ὄνομα ἀπὸ τοῦ Θέμιν ἐσχηκέναι ποτὲ τὸ μαντεῖον πρὸ τοῦ Ἀπόλλωνος.

Σ 119 Θεμιστεύσαντος: ἄρξαντος, δικάσαντος. περὶ Ἀπολλωνίου τοῦ Τυανέως· καὶ τὰ λεγόμενα ἠχὼ εἶχεν, ὥσπερ ἀπὸ σκήπτρου θεμιστευόμενα.

Δ 120 Θεμίστεια.

Δ 121 Θέμιστις.

Hesy. 122 Θεμίστιος, φιλόσοφος, γεγονὼς ἐπὶ τῶν χρόνων Ἰουλιανοῦ τοῦ Παραβάτου, ὑφ' οὗ καὶ ὕπαρχος προεβλήθη Κωνσταντινουπόλεως. γέγραφε δὲ τῆς Ἀριστοτέλους Φυσικῆς ἀκροάσεως παράφρασιν ἐν βιβλίοις η', Παράφρασιν τῶν Ἀναλυτικῶν ἐν βιβλίοις β', τῶν Ἀπο-

107 cf. L, P 108 Θελκτήριον cf. L Θέλγητρον = P, Ba 254, 23 109 = P, Ba 254, 28 110 ὡς sq. Anth. 6, 88, 3—4 111 = P, Σ^a cf. Ba 254, 29, Et. M. 445, 34 112 Harp. = P, An. Ox. 2, 496, 1; Dem. 21, 145; Λ 41; Aesch. 1, 29 113 sch. M 28 cf. Ambr. 196, H, Et. M. 445, 35 114 — δικαιοσύνην = P, Ba 255, 1 115 — δίκαιον = P, Σ^a, An. Ox. 2, 480, 14 cf. H, sch. Π 796 εἰ sq. Aelian. fr. 150 116 — Κτησιφῶντος Harp. = P; Dem. 18, 99 117 = P, Ba 255, 4 cf. Et. Gen. = H v. θέμιστας; Et. M. 445, 22, sch. A 238 118 Harp. = P, Et. Gen., Et. M. 445, 23; Lys. fr. 23 119 — δικάσαντος = P, Ba 255, 6, Et. Gen., Et. M. 445, 25 cf. sch. ι 114, H, Ps. Herodian. 56 καὶ sq. Philostr. 1, 17 120 = Ambr. 169 122 cf. Phot. Bibl. c. 74 extr.

118 Z 1035 114 Βούχετα sq. ex v. B 478 116 ὁ—Θηραῖος ex v. A 1832 119 cf. vv. H 687 et K 912

A^3(GITFVM) 107 non nov. gl. AV 108 non nov. gl. F 2 Θέλγητρον nov. gl. F, extra ord. 3 Θελητώ V 4 ἐπατῶσιν F 10 Βούχετα—12 κατακλυσμόν om. TF 11 τὸ ex A solo 20 πρὸ om. V 21 Ἀπολλωνίου ed. pr.: Ἀπόλλωνος omnes 24 Θεμίτεια V Θεμιστείη A^{ac} Θεμιστῆα $G^{ac}M^{ac}$ 25 Θέμιστι V om. F 28 ἔγραψε GIT δὲ om. A

δεικτικῶν ἐν βιβλίοις β', τοῦ Περὶ ψυχῆς ἐν βιβλίοις ζ'· ἐν δὲ τούτῳ καὶ ἴδια παρεισήγαγε περὶ τοῦ σκοποῦ καὶ τῆς ἐπιγραφῆς τῶν Κατηγοριῶν ἐν βιβλίῳ ἑνί· καὶ Διαλέξεις.

123 Θεμιστογένης, Συρακούσιος, ἱστορικός. Κύρου ἀνάβασιν, ἥτις Hesy. ἐν τοῖς Ξενοφῶντος φέρεται· καὶ ἄλλα τινὰ περὶ τῆς ἑαυτοῦ πατρίδος.

124 Θεμιστοκλῆς, Ἀθηναῖος δημαγωγός, Νεοκλέους υἱός, ἄκωτος Hesy. τὴν πρώτην ἡλικίαν γενόμενος, μετὰ δὲ ταῦτα στρατηγὸς αἱρεθεὶς καὶ κτίσας τὸν Πειραιᾶ καὶ ναυμαχίᾳ νικήσας τοὺς Πέρσας κατὰ Σαλαμῖνα καὶ φθονηθεὶς φεύγει πρὸς Ἀρταξέρξην τὸν τῶν Περσῶν βασιλέα καὶ σφόδρα τιμηθεὶς ὑπ' αὐτοῦ ἠναγκάζετο μετὰ ταῦτα τοῖς Ἕλλησι πολεμεῖν. καὶ μὴ βουληθεὶς προδοῦναι τὴν πατρίδα καὶ τὸ ἑαυτοῦ κλέος, ταύρειον αἷμα πιὼν ἀπώλετο. ἔγραψεν ἐπιστολὰς φρονήματος γεμούσας.

125 Θεμιστοκλῆς, στρατηγὸς Ἀθηναίων, ὁ καταναυμαχήσας ἐν τῇ Ar. περὶ Σαλαμῖνα ναυμαχίᾳ τοὺς βαρβάρους, εἶθ' ὕστερον φυγαδευθεὶς ὑπὸ τῶν Ἀθηναίων ἐπὶ προδοσίας αἰτίᾳ ψευδεῖ, καταφυγὼν πρὸς Ἀρταξέρξην, τὸν Ξέρξου τοῦ Πέρσου παῖδα, καὶ τιμηθεὶς τὰ μέγιστα παρ' αὐτοῦ, ὡς τρεῖς πόλεις εἰς ὄψον καὶ ἄρτον καὶ ποτὸν λαβεῖν, Μαγνησίαν, Μυοῦντα, Λάμψακον. ἐπηγγείλατο οὖν τοῦ καταδουλώσασθαι τὴν Ἑλλάδα, δύναμιν εἰ λάβοι. παραγενόμενος δὲ ἅμα τῷ στρατεύματι εἰς Μαγνησίαν, καταγνοὺς ἑαυτοῦ, εἰ δι' αὐτὸν σωθέντες Ἕλληνες δι' αὐτοῦ δουλεύουσι βαρβάροις, προφάσει χρησάμενος, ὡς θυσίαν ἐπιτελέσαι βούλεται καὶ ἱερουργῆσαι τῇ Λευκοφρυῖνων Ἀρτέμιδι, τῷ ταύρῳ ὑποθεὶς τὴν φιάλην καὶ ὑποδεξάμενος τὸ αἷμα, χανδὸν πιὼν ἐτελεύτησεν.

126 Θεμιστοκλέους παῖδες, Νεοκλῆς καὶ Δημόπολις ἀγωνισάμενοι τὸν ἐπιτάφιον ἀγῶνα ἐν Ἀθήναις καὶ νικήσαντες ἐστεφανώθησαν ἀγνοούμενοι. καὶ Νεοκλῆς μὲν δόλιχον ἐνίκησε, Δημόπολις δὲ στάδιον. γνωρισθέντες δὲ μετὰ τὸν ἀγῶνα καταλευσθῆναι ἐκινδύνευσαν ὑπὸ τῶν Θεμιστοκλέους ἐχθρῶν, ὑπομνησάντων τοὺς Ἀθηναίους τοὺς νόμους τοὺς περὶ τῶν φυγάδων.

127 Θέμιστος: δικαιοσύνης. Σ

128 Θεμιτή. πολλὰ γὰρ τῶν κειμηλίων ἐν ταῖς διώρυξιν ηὑρίσκετο, Δ καὶ πᾶσαν θεμιτὴν ὁδὸν ἐποίει τὸ κέρδος· τοὺς νεκροὺς γὰρ ἐνεπάτουν. Ε

129 Θεμιτόν· Αἰλιανός· θεοὺς γὰρ οὐδαμῇ θεμιτὸν ὁρᾶν ἔτι νεκρούς, Ε καὶ ἐὰν ὦσι πάνυ φίλοι, οὐδὲ ὄμμα χραίνειν θανασίμοις ἐκπνοαῖς.

125 sch. Ar. Eq. 84 126 fort. Aelian. 127 cf. P = Ba 255, 3; H
128 πολλὰ sq. Ios. Bell. 6, 432 129 θεοὺς sq. Aelian. fr. 11; οὐδὲ sq. Eur. Hipp. 1438

129 cf. v. Φιλήμων 1

1 ψυχῶν V 3 καὶ Διαλέξεις om. V ad 124 init. οἷον κακόν ἐστιν καὶ A^2(GIFVM) ὀλέθριον ὑστεροβουλία καὶ ῥαστώνη ψυχῆς mg. add. IVM 12 φρονήματα GIM cp. V 18 καὶ alt. om. V 21 ἑαυτοῦ] αὐτοῦ GIVM σωθέντα V 23 ἱερουργοῦντ V 29 γνωρισθέντος V 32 δικαιοσύνη A 34 πᾶσι A πασῶν V 36 χραίνει F cf. v. Φιλήμων

Σ 130 Θεμιτῶς: νομίμως.

Σ 131 Θέναρ: τὸ κοῖλον τῆς χειρός. Ὅμηρος· πρυμνὸν ὑπὲρ θέναρος.

Σ 132 Θεογενεσίαν.

E 133 Θεογένης, Θάσιος· οὗτος ἔτι παῖς ὢν ἄγαλμα χαλκοῦν ἐν τῇ ἀγορᾷ κείμενον ἀναθέμενος ἐπὶ τοὺς ὤμους ἤνεγκεν εἰς τὸν οἶκον. ὀργιζομένων δὲ τῶν πολιτῶν, πάλιν ἀράμενος ἐκόμισεν εἰς τὴν ἀγοράν. καὶ ἀπὸ τούτου μέγα κλέος ἔσχεν ἀνὰ τὴν Ἑλλάδα.

Harp. 134 Θεογείτων· Δημοσθένης ἐν τῷ αὐτῷ. Δείναρχος δὲ καὶ ἄλλοι Θεογένην ὀνομάζουσιν.

Hesy.? 135 Θεόγνητος, κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Φάσμα ἢ Φιλάργυρος, Φιλοδέσποτος, Κένταυρος· ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

Hesy. 136 Θέογνις, Μεγαρεύς, τῶν ἐν Σικελίᾳ Μεγάρων, γεγονὼς ἐν τῇ νθ' ὀλυμπιάδι. ἔγραψεν ἐλεγείαν εἰς τοὺς σωθέντας τῶν Συρακουσίων ἐν τῇ πολιορκίᾳ, γνώμας δι' ἐλεγείας εἰς ἔπη ,βω', καὶ πρὸς Κῦρον, τὸν αὐτοῦ ἐρώμενον, Γνωμολογίαν δι' ἐλεγείων καὶ ἑτέρας ὑποθήκας παραινετικάς. τὰ πάντα ἐπικῶς. ὅτι μὲν παραινέσεις ἔγραψε Θέογνις· ἀλλ' ἐν μέσῳ τούτων παρεσπαρμέναι μιαρίαι καὶ παιδικοὶ ἔρωτες καὶ ἄλλα, ὅσα ὁ ἐνάρετος ἀποστρέφεται βίος.

Ar. 137 Θέογνις, τραγῳδοποιητὴς πάνυ ψυχρός, ἐκ τῶν λ', ὃς καὶ
Harp. Χιὼν ἐλέγετο. ἔστι δὲ καὶ ποιητὴς ὁ Θέογνις· οὗτος δ' ἦν Μεγαρεύς.

Hesy. 138 Θεοδέκτης, Ἀριστάνδρου, Φασηλίτης ἐκ Λυκίας, ῥήτωρ, τραπεὶς δὲ ἐπὶ τραγῳδίας, μαθητὴς Πλάτωνος καὶ Ἰσοκράτους καὶ Ἀριστοτέλους. οὗτος καὶ ὁ Ἐρυθραῖος Ναυκράτης καὶ Ἰσοκράτης ὁ ῥήτωρ, ὁ Ἀπολλωνιάτης, καὶ Θεόπομπος, ἐπὶ τῆς ργ' ὀλυμπιάδος εἶπον ἐπιτάφιον ἐπὶ Μαυσώλῳ, Ἀρτεμισίας τῆς γυναικὸς αὐτοῦ προτρεψαμένης. καὶ ἐνίκησε μάλιστα εὐδοκιμήσας ἐν ᾗ εἶπε τραγῳδίᾳ. ἄλλοι δέ φασι Θεόπομπον ἔχειν τὰ πρωτεῖα. δράματα δὲ ἐδίδαξε ν'. τελευτᾷ δὲ ἐν Ἀθήναις ἐτῶν ἑνὸς καὶ μ', ἔτι τοῦ πατρὸς αὐτοῦ περιόντος. ἔγραψε δὲ καὶ τέχνην ῥητορικὴν ἐν μέτρῳ, καὶ ἄλλα τινα καταλογάδην.

130 = P, Ba 255, 2 131 — χειρός = Ps. Herodian. 56, Et. Gen., Et. M. 445, 37, P, Ba 255, 7, H cf. sch. Ε 339; Ε 339 132 = P, Σ[A] cf. Ba 255, 5 (rec. = gl. Dionys. PG 4, 25) 133 Paus. Per. 6, 11, 2—3 134 Harp. = P; Dem. 18, 295 135 cf. Ath. 3, 104b; 14, 616a; Κένταυρος ad Theodoridem Ath. 15, 699f respexisse vidit Volkmann 137 — ἐλέγετο sch. Ar. Ach. 11 ἔστι sq. Harp. = P 138 cf. Steph. Byz. v. Φασηλίς

130 Z 1040

A[2] (GIFVM) 2 κοῖλον] λεῖον F cθέναρος VM 7 Ἑλλάδος V 13 Μαγαρεὺς et Μαγάρων GVM cf. vs. 21 14 cωθέντας] ἀναλωθέντας Schneidewin 15 εἰς ed. pr.: ὡς omnes καὶ del. Bhd. 16 Κύρνον ed. pr. 17 ἐπεικῶς I ἠθικῶς Dilthey Rh. Mus. 18, 150 21 ἔστι—Μεγαρεύς om. F 21. 22 Μαγαρεύς GIVM cf. vs. 13 26 ργ'] ρζ' Clinton ρς' coll. Diodor. 16, 36, 2 Jacoby FGrHist 115 T 6 29 ἔχειν] σχεῖν Bhd. ἐδίδαξε—30 μ' om. V 31 μέτρῳ] cf. Rohde, Kl. Schr. 1, 371

139 Θεοδέκτης, Φασηλίτης, ῥήτωρ, υἱὸς τοῦ προτέρου. ἔγραψεν Hesy.
ἐγκώμιον Ἀλεξάνδρου τοῦ Ἠπειρώτου, ἱστορικὰ ὑπομνήματα, Νόμιμα βαρβαρικά, Τέχνην ῥητορικὴν ἐν βιβλίοις ζ′, καὶ ἄλλα πολλὰ ὑπομνήματα.

140 Θεόδμητος: ὑπὸ θεοῦ κατεσκευασμένος. Σ

141 Θεόδοτος· οὗτος ἐπὶ Ἰουστινιανοῦ ὕπαρχος ἦν τῶν στρατευ- E
μάτων, ὃν παραλύσας τῆς ἀρχῆς Πέτρον ἐπέστησε, Βαρσυάμην καλούμενον, ὃς πάλαι μὲν ἐπὶ τῆς τοῦ χαλκοῦ τραπέζης καθήμενος κέρδη αἰσχρότατα ἐκ ταύτης δὴ ἐπορίζετο τῆς ἐργασίας, τὴν περὶ τοὺς ὀβολοὺς κλοπὴν εὖ μάλα τεχνάζων καὶ τοὺς αὐτῷ ξυμβάλλοντας ἀεὶ τῷ τῶν δακτύλων τάχει ἐκκρούων. δεξιός γε ἦν κλέψαι μετὰ τῶν αὐτῷ περιπεπτωκότων ἀναίδην, ἅλοὺς δὲ ὁμόσαι καὶ τῶν χειρῶν τὸ ἁμάρτημα τῷ τῆς γλώττης περικαλύψαι θράσει. ἐν δὲ τοῖς τῶν ὑπάρχων στρατηγοῖς καταλεχθεὶς ἐς τοσοῦτον ἀτοπίας ἐλήλακεν, ὥστε τῷ βασιλεῖ ἀρέσκειν ἐς τὰ μάλιστα καὶ ἐς τῶν ἀδίκων αὐτῷ βουλευμάτων ῥᾷστα ὑπουργεῖν τὰ ἀμήχανα, τούς τε στρατευομένους ἀποστερῶν τὰς συντάξεις ἁπάσας καὶ ὠνίους τὰς ἀρχὰς ἔτι μᾶλλον ἢ πρότερον προθήσας.

142 Θεοδόσιος, φιλόσοφος. ἔγραψε Σφαιρικὰ ἐν βιβλίοις γ′, Ὑπό- Hesy.
μνημα εἰς τὰ Θευδᾶ κεφάλαια, Περὶ ἡμερῶν καὶ νυκτῶν δύο, Ὑπόμνημα εἰς τὸ Ἀρχιμήδους Ἐφόδιον, Διαγραφὰς οἰκιῶν ἐν βιβλίοις τρισί, Σκεπτικὰ κεφάλαια, Ἀστρολογικά, Περὶ οἰκήσεων.

143 Θεοδόσιος· ἔγραψε δι' ἐπῶν εἰς τὸ ἔαρ, καὶ ἕτερα διάφορα. Hesy.
ἦν δὲ Τριπολίτης.

144 Θεοδόσιος, βασιλεὺς Ῥωμαίων, μετὰ τὴν Μαξίμου τοῦ τυράννου E
ἀναίρεσιν καὶ τὴν ἧτταν καὶ σφαγὴν τῶν ἐν τοῖς ἕλεσι κρυπτομένων Σκυθῶν καὶ σφαγὴν Ῥωμαίων ἐς τὴν Κωνσταντινούπολιν ἐλθὼν πολέμοις μὲν ἀπειπεῖν ἐγνώκει καὶ μάχαις, ἐπιτρέψας τὰ περὶ ταῦτα Προμώτῳ· αὐτὸς δὲ τῆς προτέρας ἀνεμιμνήσκετο διαίτης, πολυτελῆ δεῖπνα δειπνῶν καὶ πολυπραγμονῶν, ταῖς ἡδοναῖς καὶ τοῖς θεάτροις καὶ ἱπποδρομίαις ἐναβρυνόμενος. θαυμάζω δὲ τούτου τὴν ἐφ' ἑκάτερα τοῦ βίου ῥοπήν· φύσει γὰρ ὢν ἐκμελὴς ῥᾳθυμίᾳ τε πάσῃ ἐκκείμενος, λυπηροῦ μὲν αὐτὸν οὐδενὸς ἦν δέος ἐπάγοντος ἢ ἐνοχλοῦντος, ἐν-

140 = P, Ba 254, 9 cf. H; sch. Θ 519 = Et. M. 445, 53 141 Proc. h. a. 22, 2—7 144 — p. 694, 24 ἠλαττώθη Zos. 4, 50 et 59

141 cf. vv. Δ 233 et σύνταξις 144 Zos. c. 50 cf. v. Ε 498; extr. cf. v. Α 2077

2 ἐγκώμιον] Ἀλεξάνδρου τοῦ Πριάμου ἐγκώμιον add. V 11 τῷ ex A, Proc. A²(GIFVM)
γε] τε GI γὰρ v. Δ 233 et Proc. 12 αὐτῶν V ἀνέδην Bhd. 15 τῶν] τὰ τῶν A 16 βουλεύματα GIM 19 ἐν om. V 22 Ἀριστολογικὰ V 25 Μαξίμου Kust. Zos.: Μαξιμιάνου F Μαξιμίνου rell. 26 σφαγὴν] τὴν ἐκ add. GIVM 32 ῥαθυμίᾳ τε GVM Zos.: καὶ ῥαθυμίᾳ AI ὅτι Θεοδόσιος ὁ βασιλεὺς ἐκμελὴς ἦν καὶ πάσῃ ῥαθυμίᾳ ἐκκείμενος e v. Ε 498 mg. add. M 33 ἦν GIVM: ἢ Zos. om. A ἀπάγοντος A ἢ GIVM: καὶ A om. Zos.

εδίδου τῇ φύσει. καθιστάμενος δὲ ἐς ἀνάγκην καλεύειν κατά τινα καθεστῶτα προσδοκωμένην, ἀπετίθετο μὲν τὴν ῥᾳθυμίαν καὶ τῇ τρυφῇ χαίρειν εἰπὼν ἐς τὸ ἀνδρωδέστερον καὶ ἐπίπονον καὶ τληπαθὲς ἀνεχώρει. τοιοῦτος ἐξ αὐτῆς ἀποδεδειγμένος τῆς πείρας, ἐπειδὴ πάσης ἦν ἀπηλλαγμένος φροντίδος, ταῖς αὐτῷ φύσει προσούσαις ἐκμελείαις ἐδούλευε. τῶν δὲ τὰς ἀρχὰς μετιόντων κατ' ἐξαίρετον ἐν τιμῇ ἦγετο Ῥουφῖνος, Κελτὸς τὸ γένος, μάγιστρος τῶν ἐν τῇ βουλῇ τάξεων κατεστάς. ὁ αὐτὸς μετὰ τὸ ἀναγορεῦσαι τὸν υἱὸν αὐτοῦ Ὀνώριον ἐν τῇ Ῥωμαίων βασιλείᾳ συνεκάλεσε τὴν γερουσίαν, τοῖς πατρίοις ἐμμένουσαν ἔθεσι καὶ οὐχ ἑλομένην ἐνεχθῆναι τοῖς περὶ τῶν θεῶν ἀποκλίναι καταφρόνησιν, λόγους τε προσῆγε, παρακαλῶν ἀφιέναι μὲν ἣν πρότερον εἵλοντο πλάνην, ἑλέσθαι δὲ τὴν τῶν Χριστιανῶν πίστιν, ἧς ἐπαγγελία παντὸς ἁμαρτήματος καὶ πάσης ἀσεβείας ἀπαλλαγή. μηδενὸς δὲ τῇ παρακλήσει πεισθέντος μηδὲ ἑλομένου τῶν ἀφ' οὗπερ ἡ πόλις ᾠκίσθη παραδεδομένων αὐτοῖς πατρίων ἀναχωρῆσαι καὶ προτιμῆσαι τούτων τὰ Χριστιανῶν· ἐκεῖνα μὲν φυλάξαντας διακοσίοις καὶ χιλίοις σχεδὸν ἔτεσιν ἀπόρθητον τὴν πόλιν οἰκεῖν, ἕτερα δὲ ἀντὶ τούτων ἀλλαξαμένους τὸ ἐκβησόμενον ἀγνοεῖν· ὁ δὲ βαρύνεσθαι ἔλεγε τὸ δημόσιον τῇ περὶ τὰ ἱερὰ καὶ τὰς θυσίας δαπάνῃ, βούλεσθαί τε ταῦτα περιελεῖν, οὔτε τὸ πραττόμενον ἐπαινοῦντα, καὶ ἄλλως τῆς στρατιωτικῆς χρείας πλειόνων δεομένης χρημάτων. τῶν δὲ ἀπὸ τῆς γερουσίας μὴ κατὰ θεσμὸν εἰπόντων πράττεσθαι τὰ τελούμενα, μήτε δημοσίου δαπανήματος ὄντος, διὰ τοῦτο τοῦ θυηπολικοῦ θεσμοῦ λήξαντος, ἡ Ῥωμαίων ἐπικράτεια κατὰ μέρος ἠλαττώθη. ὅτι ὁ ἅγιος Θεοδόσιος, ὁ Κοινοβιάρχης, ἐπὶ Ἀναστασίου βασιλέως ἦν, τοῦ Δικόρου, τοῦ αἱρετικοῦ.

Ε 145 Θεοδόσιος, βασιλεὺς Ῥωμαίων, ὁ μικρός. οὗτος διαδεξάμενος παρὰ πατρὸς τὴν ἀρχήν, ἀπόλεμος ὢν καὶ δειλίᾳ συζῶν καὶ τὴν εἰρήνην χρήμασιν οὐχ ὅπλοις κτησάμενος, πολλὰ προεξένησε κακὰ τῇ Ῥωμαίων πολιτείᾳ. ὑπὸ γὰρ τοῖς εὐνούχοις τραφεὶς πρὸς πᾶν σφίσιν ἐπίταγμα εὐπειθὴς ἦν· ὥστε καὶ τοὺς λογάδας τῆς ἐκείνων δεῖσθαι ἐπικουρίας καὶ πολλὰ νεοχμεῖσθαι ἐν τοῖς πολιτικοῖς καὶ στρατιωτικοῖς τάγμασι, μὴ παριόντων ἐς τὰς ἀρχὰς ἀνδρῶν τῶν διέπειν ταύτας δυναμένων, ἀλλὰ τῶν χορηγούντων χρυσίον, διὰ δὲ τὴν τῶν εὐνούχων πλεονεξίαν καὶ τῶν Σεβαστιανοῦ δορυφόρων πειρατικὸν συστὰν τόν τε Ἑλλήσποντον καὶ τὴν Προποντίδα διαταράξαι. ἐς τοῦτο τὰ πράγ-

145 — p. 695, 6 τελευτήσαντος cf. Io. Antioch. fr. 194, FHG 4, 612 (et 98a) = EV 1, 204, 20—205, 4; Prisc. attr. Niebuhr et de Boor, Herm. 20, 328 et Byz. Zt. 21, 400; 23, 19 sq.

145 Prisc. cf. v. N 222

A[a] (GIFVM) 1 τινα] τι, omissis καθεστῶτα—2 τὴν, V τι τὰ Zos. 5 προσούσαις] πρεπούσαις V 10 ἀποκλίνας V 27 οὗτος—p. 695, 18 Ἀμάχιος om. F 29 κακὰ] κατὰ GI 34 δὲ ex A solo 36 διαταράξας GVM διατάραξαν I

ματα ἀτοπίας οἱ εὐνοῦχοι παρεσκεύασαν ἀποβουκολοῦντες τὸν Θεοδόσιον, ὥσπερ τοὺς παῖδας ἀθύρμασιν, οὐδὲν ὅ τι καὶ ἄξιον μνήμης διαπράξασθαι παρεσκεύασαν· ἀλλ' εἰς ν' ἐτῶν ἡλικίαν ἐληλυθὼς διετέλεσε, βαναύσους τέ τινας μετιὼν τέχνας καὶ θήρᾳ προσκαρτερῶν· ὥστε τοὺς εὐνούχους καὶ τὸν Χρυσάφιον ἔχειν τὸ τῆς βασιλείας κράτος. ὅνπερ ἡ Πουλχερία μετῆλθε, τοῦ ἀδελφοῦ τελευτήσαντος. ὅτι ἐν τῷ Μιλίῳ Θεοδοσίου ἵστατο στήλη ἐφ' ἵππου χαλκῆ, ἣν ἀνεγείρας πολλὰ σιτηρέσια τῇ πόλει ἐχαρίσατο. ζητητέον δὲ ὁποίου Θεοδοσίου. ὅτι E Θεοδόσιος ὁ μικρὸς καταλύσας Ἀντίοχον τὸν πραιπόσιτον ἐν τοῖς πρεσβυτέροις κατέταξεν. ὁ αὐτὸς Κῦρον τὸν τούτου διαδεξάμενον τὴν δυναστείαν καὶ τὰς δύο μεγίστας τῶν ἐπάρχων ἀρχὰς κατὰ τὸν αὐτὸν διανύοντα χρόνον. ὃς τὴν τοσαύτην εὐπραγίαν θαυμάσας ἀπεφθέγξατο τόδε· οὐκ ἀρέσκεις μοι τύχη πολλὰ γελῶσα. καθαιρεῖται γοῦν καὶ αὐτὸς ὡς Ἕλλην καὶ βασιλείαν ἐλπίζων, καὶ τῆς οὐσίας αὐτοῦ δημευθείσης γέγονεν ἐπίσκοπος ἐν Κοτυαείῳ τῆς Φρυγίας. μετὰ δὲ τοῦτον ἐδυνάστευσε μόνος Χρυσάφιος, ὁ ἐπίκλην Ζούμμας.

146 Θεόδουλος· ἐμαρτύρησεν οὗτος ἐπὶ Ἰουλιανοῦ τοῦ Παραβάτου. καὶ ζήτει Suid. ἐν τῷ Ἀμάχιος.

147 Θεοδώριτος: ὄνομα κύριον. Θεοδώρητος δὲ διὰ τοῦ η, ἡ Δ δωρεὰ τοῦ θεοῦ.

148 Θεοδώριχος: ὄνομα κύριον. Δ

149 Θεόδωρος, Βυζάντιος, σοφιστής, ὃς ὑπὸ Πλάτωνος λογοδαίδαλος ἐκλήθη. ἔγραψε κατὰ Θρασυβούλου, κατὰ Ἀνδοκίδου, καὶ ἄλλα τινά. Hesy.

150 Θεόδωρος, ὁ ἐπίκλην Ἄθεος, ὃς ἠκροάσατο Ζήνωνος τοῦ Κιτιέως, διήκουσε δὲ καὶ Βρύσωνος καὶ Πύρρωνος τοῦ Ἐφεκτικοῦ. ἀδιαφορίαν δοξάζων καὶ παραδιδοὺς αἵρεσιν ἰδίαν εὗρεν, ἥτις Θεοδώρειος ἐκλήθη. οὗτος ἔγραψε πολλὰ συντείνοντα εἰς τὴν οἰκείαν αἵρεσιν, καὶ ἄλλα τινα. οὗτος εἶπε πρὸς Ἱππαρχίαν, τὴν γυναῖκα Κράτητος· αὕτη ἐστὶν ἡ τὰς πρὸς ἱστοὺς ἐκλιποῦσα κερκίδας καὶ τρίβωνα φοροῦσα. Hesy.

151 Θεόδωρος, Γαδαρεύς, σοφιστής, ἀπὸ δούλων, διδάσκαλος γεγονὼς Τιβερίου Καίσαρος. ἐπεὶ δὲ συνεκρίθη περὶ σοφιστικῆς ἀγωνιζόμενος Ποτάμωνι καὶ Ἀντιπάτρῳ ἐν αὐτῇ τῇ Ῥώμῃ, ἐπὶ Ἀδριανοῦ Hesy.

145 vs. 6 ἐν—8 πόλει = Preger 31, 19—32, 1 vs. 8 ὅτι sq. cf. Chron. Pasq. p. 588 = [Prisc. fr. 3a] FHG 4, 73 147 cf. L; — κύριον = Ambr. 85, Ps. Herodian. 177; Θεοδώρητος sq. cf. Ambr. 64 148 = Ambr. 78 149 cf. Laert. 2, 104 150 init. cf. Laert. 2, 97 vs. 29 οὗτος—30 κερκίδας Laert. 6, 98; ἡ—κερκίδας Eur. Bacch. 1236

145 extr. cf. v. K 2776 146 ex v. A 1613

1 ἀτοπίας post εὐνοῦχοι A ἀποβουκολοῦντα GI 3 παρεσκεύασαν] συνεχώρησαν Exc. cf. vs. 1 A^2(GITFVM) 7 Θεοδοσίου om. A 12 διανύων GIVM; oratio manca 14 βασιλείαν G: βασιλέαν V βασιλ〈 〉αν AM βασιλεὺς I ἐλπίζων] ταύτας τὲ οὔτ' ὄναρ ἔτυχε add. I 16 Τζούμμας A 17 καὶ—18 Ἀμάχιος om. T 26 δὲ ex A solo 33 ἐπεὶ δὲ] ἔπειτα δὲ Port. ἐπειδὴ Flach 34 τῇ om. V

Καίσαρος ὁ υἱὸς αὐτοῦ Ἀντώνιος συγκλητικὸς ἐγένετο. βιβλία δὲ ἔγραψε Περὶ τῶν ἐν φωναῖς ζητουμένων γ′, Περὶ ἱστορίας α′, Περὶ θήσεως ἕν, Περὶ διαλέκτων ὁμοιότητος καὶ ἀποδείξεως β′, Περὶ πολιτείας β′, Περὶ Κοίλης Συρίας α′, Περὶ ῥήτορος δυνάμεως α′, καὶ ἄλλα.

Hesy. 152 Θεόδωρος, ποιητής, ὃς ἔγραψε διάφορα δι' ἐπῶν, καὶ εἰς Κλεοπάτραν δι' ἐπῶν.

153 Θεόδωρος, ἀπὸ ἀναγνωστῶν τῆς μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως. ἔγραψεν Ἱστορίαν ἐκκλησιαστικὴν ἀπὸ τῶν χρόνων Κωνσταντίνου ἕως τῆς βασιλείας Ἰουστινιανοῦ.

EV 154 Θεόδωρος· οὗτος ἀνεφάνη μετὰ Ἀπολινάριον τὸν Λαοδικείας τῆς Συρίας, τὴν ἡγεμονίαν λαχὼν Μοψουεστίας τῆς Κιλικίας, ἐκ διαμέτρου τῷ Ἀπολιναρίῳ φερόμενος, ὕβρεις οὐ τὰς τυχούσας τολμηρᾷ ψυχῇ καὶ ἀφόβῳ καρδίᾳ καταχέων τοῦ δεσπότου Χριστοῦ, ἄνθρωπον ἕνα τῶν καθ' ἡμᾶς καὶ κοινὸν ἀποκαλῶν καὶ ἐκ προκοπῆς λαβόντα τὴν χάριν τοῦ θεοῦ θεὸν ὀνομάζεσθαι καὶ ἐκ τοῦ ἐν Ἰορδάνῃ βαπτίσματος ἀξιωθῆναι τῆς τοῦ ἁγίου πνεύματος δωρεᾶς, ἐν πρώτοις εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος βαπτισθέντα. τὸν δὲ θεὸν λόγον διὰ τὴν ὑπερβάλλουσαν ἀρετὴν αὐτοῦ κατ' εὐδοκίαν ἐν αὐτῷ κατοικήσαντα μεταδοῦναι τῆς θεϊκῆς ἀξίας αὐτῷ καὶ προσκυνήσεως εἰς ὕστερον μετὰ τὴν τελείωσιν. ταῦτα καὶ ἕτερα τοιαῦτα δυσφημήσας δύο φύσεις ἰδιοπεριορίστους ἐδογμάτισεν ἐπὶ Χριστοῦ, σχέσει τινὶ καὶ μόνον ἀλλήλαις ᾠκειωμένας· δευτέρα καὶ αὕτη βλάστησις τοῦ μίαν φύσιν καὶ δύο φύσεις ἐν Χριστῷ μὴ κατὰ τὸν ὀρθὸν λόγον ὁμολογεῖσθαι.

Σ 155 Θεοδρομῶν: κατὰ θεὸν πορευόμενος.

Δ 156 Θεοειδεστάτη.

Σ 157 Θεοειδής: θεοῖς τὸ εἶδος ὅμοιος.

Δ 158 Θεοειδῶς: θείως.

Δ 159 Θεοείκελος: θεοῖς τὸ εἶδος ὅμοιος.

Δ 160 Θεόθεν: ἀπὸ θεοῦ.

Δ 161 Θεόκλεια: ὄνομα κύριον.

Σ 162 Θεοκλυτήσαντες: θεοῦ ἀκούσαντες, θεὸν ἐπικαλεσάμενοι.

EV ἐξ ὧν κατάραι καὶ θεοκλυτήσεις ἐγίνοντο κατ' αὐτοῦ. καὶ αὖθις·

154 Georg. 471, 8—24 = EV 1, 143, 15—29 155 = P, Ba 255, 10 156 = Ambr. 144 157 = P, Ba 255, 11, Ambr. 68 cf. sch. B 623, Σ[A] 158 = Ambr. 221 159 cf. sch. A 131; sch. δ 276 = Ambr. 75; P 160 = L cf. H (in π 447) 161 = L cf. Ambr. 158 162 — ἐπικαλεσάμενοι = P, Ba 255, 13, H cf. Et. M. 445, 56 ἐξ—αὐτοῦ Polyb. 23, 10, 7 = EV 2, 171, 13—4

154 cf. v. A 3398 156 cf. 318 158 Z 1040 160 Z 1040 162 cf. 164

A[2] (GITFVM) 4 ῥητορικῆς Bhd. 152 om. F 5 ποιητής ed. pr.: ποιητικός omnes 6 δι' ἐπῶν om. T 10 Ἀπολινάριον] οὐαὶ αὐτῷ εἴη add. F et mg. GVM 11 τῆς pr. om. V 14 τῶν] τὸν IV 17 καὶ pr. om. A 18 αὐτοῦ ἀρετὴν A 20. 21 δυσφημίας V 21 ἰδιοπεριορίστου V 22 οἰκειωμένας GITM τοῦ AV Exc.: οὗ GIM 23 ἐν Χριστῷ post φύσιν A 156 om. T 26 Θεοειδέστη GIVM, Ambr. 145 161 om. F

μήτε μὴν καταναγκάζεσθαι τοὺς ἐν Περσίδι Χριστιανοὺς εἰς μαγικὴν EL
μετιέναι θρησκείαν μήτε μὴν θεοκλυτεῖν ἀκουσίως τοὺς παρὰ Μήδοις
νενομισμένους θεούς. καὶ αὖθις· καὶ Κυζικηνῶν θυγατέρας τὴν ὥραν E
διαπρεπεῖς τῇ Δαρείου θυγατρὶ Ἀρσάμῃ ξένια ἀποστεῖλαι ἐγλίχετο.
αἱ δὲ καταφεύγουσιν ἐπὶ τὴν Ἄρτεμιν θεοκλυτοῦσαι καὶ τοῦ ἀγάλματος
ἐκκρεμάμεναι. καὶ Αἰλιανός· οὐδαμῇ φορητὸν εἶναι τὸν βίον ἑαυτῇ
μετὰ τὴν εὐνὴν τὴν ἄθεσμον πεπιστευκυῖα, θεοκλυτοῦσα καὶ μυρίας
ἀρὰς Ἐφεσίοις ἐπαρωμένη, εἰ μὴ πράξαιντο τιμωρίαν τούτοις παρὰ
τῶν τυράννων, ἑαυτὴν διέφθειρεν.

163 Θεόκλυτος: θεότιμος. Σ

164 Θεοκλυτοῦντες: θεοὺς ἐπικαλεσάμενοι. καὶ ἐν ἑαυτοῖς θεο- Σ+E
κλυτοῦντες, ἅμα καὶ τῶν ὀργίων ἐμέμνηντο. τουτέστι τῶν μυστηρίων.

165 Θεοκρίνης· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἦν δὲ κυκο- Harp.
φάντης.

166 Θεόκριτος, Χῖος, ῥήτωρ, μαθητὴς Μητροδώρου τοῦ Ἰσοκρατι- Hesy.
κοῦ. ἔγραψε Χρείας· ἀντεπολιτεύσατο δὲ Θεοπόμπῳ τῷ ἱστορικῷ.
φέρεται αὐτοῦ ἱστορία Λιβύης καὶ ἐπιστολαὶ θαυμάσιαι. ἔστι καὶ ἕτερος
Θεόκριτος, Πραξαγόρου καὶ Φιλίννης, οἱ δὲ Σιμμίχου· Συρακούσιος,
οἱ δέ φασι Κῷον· μετῴκησε δὲ ἐν Συρακούσαις. οὗτος ἔγραψε τὰ
καλούμενα Βουκολικὰ ἔπη Δωρίδι διαλέκτῳ. τινὲς δὲ ἀναφέρουσιν
εἰς αὐτὸν καὶ ταῦτα· Προιτίδας, Ἐλπίδας, Ὕμνους, Ἡρωΐνας, Ἐπι-
κήδεια μέλη, ἐλεγείας καὶ ἰάμβους, ἐπιγράμματα. ἱστέον δὲ ὅτι τρεῖς
γεγόναει Βουκολικῶν ἐπῶν ποιηταί, Θεόκριτος οὑτοσί, Μόσχος Σικελιώ-
της καὶ Βίων ὁ Σμυρναῖος, ἔκ τινος χωριδίου καλουμένου Φλώσσης.

167 Θεόληπτος: ὑπὸ θεοῦ συσχεθείς, ἔνθεος. ὁ δὲ Φιλιππικὸς
θέραψ ἦν καὶ κολακικὸς καὶ μέντοι καὶ τῷ περὶ Ἀντώνιον θιάσῳ E
κατείλεκτο.

168 Θεολογῶ· δοτικῇ. Synt.

169 Θεομισής: ὑπὸ θεοῦ μισούμενος. θεομίσης δὲ ὁ μισῶν τὸν θεόν. Ar.

170 Θεόμητι: θεόφρονι, θεοβούλῳ. Σ

171 Θεόπομπος, Θεοδέκτου ἢ Θεοδώρου, Ἀθηναῖος, κωμικός. ἐδί- Hesy.
δαξε δράματα κδ΄. ἔστι δὲ τῆς ἀρχαίας κωμῳδίας κατὰ Ἀριστοφάνην.

162 μήτε—θεούς Men. Prot. fr. 11, FHG 4, 213b = EL 182, 21, 24—6 καὶ Κυζικηνῶν—ἐκκρεμάμεναι Aelian. fr. 46. οὐδαμῇ sq. Aelian. fr. 49 163 = P, Ba 255, 12 164 καὶ ἐν—ἐμέμνηντο Aelian. fr. 90 165 Harp. = P; Dem. 18, 313 166 ἕτερος sq. cf. sch. Theocr. ed. Wendel p. 1 167 — ἔνθεος aliter Σ^a; l. = P ὁ sq. Aelian. fr. 66 168 = Synt. Laur. et Gud. aliter An. Ox. 4, 294, 10 169 sch. Ar. Av. 1548 170 = P, Ba 255, 15

164 cf. 162 et v. ὤργια 167 cf. 233 et v. Β 109 171 Aelian. cf. vv. Ε 2201, φθόη, σῷ, Παρίας λίθου

1 μαγικὰ V 6 ἑαυτὴν GIVM 11 ἑαυτοῖς] ἀὐτοις Toup 17 θαυ- A^2(GIFVM)
μάσιοι GIVM 18 Φιλλίνης IVM Φυλλίνης G 20 Βουκολινὰ V 25 ὁ—
27 κατείλεκτο loco alieno 26 κελακικὸς A κολατικὸς F 29 μισούμενος]
Θεοβούλω. Θεόπομπος. Θεοπόμονος add. siglo post l. posito V 31 Θεόπομπος]
Θεόπομπος add. VM ἐδίδαξε—p. 698, 1 πολλά om. F

Ε δράματα δὲ αὐτοῦ εἰσὶ καὶ ἄλλα πολλά. ὅτι Ἀσκληπιὸς καὶ τῶν ἐν παιδείᾳ ἦν προμηθής. φθόῃ γοῦν Θεόπομπον ῥινώμενόν τε καὶ λειβόμενον ἰάσατο καὶ κωμῳδίαις αὖθις διδάσκειν ἐπῆρεν, ὁλόκληρόν τε καὶ σῶν καὶ ἀρτεμῆ ἐργασάμενος. καὶ δείκνυται καὶ νῦν ὑπὸ λίθῳ Θεοπόμπου· πατρόθεν ὁμολογοῦντος αὐτὸν τοῦ ἐπιγράμματος· Τισαμενοῦ γὰρ ἦν υἱός· εἴδωλον Παρίας λίθου. καὶ ἔστι τὸ ἴνδαλμα τοῦ πάθους μάλα ἐναργές κλίνη καὶ αὐτὴ λίθου. ἐπ' αὐτῆς κεῖται νοσοῦν τὸ ἐκείνου φάσμα, χειρουργίᾳ φιλοτέχνῳ· παρέστηκε δὲ ὁ θεὸς καὶ ὀρέγει οἱ τὴν παιώνιον χεῖρα, καὶ παῖς νεαρὸς ὑπομειδιῶν καὶ οὗτος. τί δὲ ἄρα νοεῖ ὁ παῖς; ἐγὼ συνίημι, τοῦ φιλοπαίστην ποιητὴν ὑποδηλοῦν. γελᾷ γὰρ καὶ τῆς κωμῳδίας τὸ ἴδιον διὰ συμβόλων αἰνίττεται. εἰ δὲ ἄλλος νοεῖ ἑτέρως, κρατείτω τῆς ἑαυτοῦ γνώμης, ἐμὲ δὲ μὴ ἐνοχλείτω.

Hesy. 172 Θεόπομπος, Χῖος, ῥήτωρ, υἱὸς Δαμασιστράτου, γεγονὼς τοῖς χρόνοις κατὰ τὴν ἀναρχίαν Ἀθηναίων, ἐπὶ τῆς ϛγ΄ ὀλυμπιάδος, ὅτε καὶ Ἔφορος, Ἰσοκράτους ἀκουστὴς ἅμα Ἐφόρῳ. ἔγραψεν ἐπιτομὴν τῶν Ἡροδότου ἱστοριῶν ἐν βιβλίοις β΄, Φιλιππικὰ ἐν βιβλίοις οβ΄, Ἑλληνικὰς ἱστορίας· ἔπονται δὲ ταῖς Θουκυδίδου καὶ Ξενοφῶντος καὶ εἰσὶν ἐν βιβλίοις ια΄, ἔχουσαι τὰ ἀπὸ τοῦ Πελοποννησιακοῦ πολέμου, καὶ λοιπά. ἔγραψε καὶ ἕτερα πλεῖστα.

Σ 173 Θεοπροπία: μαντεία. καὶ θεοπρόπιον· τὸ ἐκ θεοῦ μάντευμα,
Δ ἢ προφήτευμα. καὶ Θεοπροπίησιν.

Σ 174 Θεοπρόπος: μάντις, ἢ θεοῦ προφήτης.

Δ 175 Θεοπτία: ἡ θεία ὀπτασία. Ὀπτεία δὲ καὶ Ἐποπτεία.

Σ 176 Θεορρημοσύνην: τὴν θείαν διδασκαλίαν, τὴν κατήχησιν.

Σ 177 Θεόρρυτον: ἐκ θεοῦ προϊὸν ἢ προχεόμενον.

Ε 178 Θεός· ὅτι Φίλων τοῦ θεὸς καὶ κύριος τὴν σημασίαν ἑρμηνεῦσαι πειρώμενος τῆς βασιλικωτάτης τριάδος ἔννοιαν ἔσχεν. φάσκων γὰρ ὅτι εἷς ἐστι ὁ θεὸς οὐ πρὸς τὸν ἀριθμὸν κατέδραμε τῆς μονάδος, ἀλλὰ πρὸς τὸ μυστήριον τῆς ἁγίας τριάδος, τὸ τῶν μὲν πάντῃ διαιρετῶν ἐνικώτερον, τῶν δὲ ὄντως μοναδικῶν ἀφθονώτερον. καὶ οὕτω κατακράτος εἶλεν αὐτοῦ τὴν ψυχήν, ὡς εἰπεῖν, δύο μὲν εἶναι τὰς τοῦ

171 ὅτι sq. Aelian. fr. 99 172 cf. Phot. Bibl. p. 120 b 19 sqq. 173 — προφήτευμα = P, Ba 255, 16; — μάντευμα = An. Ox. 1, 200, 1 (ex quo Et. Gen., Et. M. 446, 1) cf. Ambr. 197, sch. A 85, H, Ap. S. 87, 4 174 = P, Σ^{a} cf. H, sch. M 228 175 — θεία cf. H; l. = Ambr. 171 176 = P, Ba 255, 18 cf. gl. Dionys. PG 4, 25 177 = P, Ba 255, 20 cf. H 178 — p. 699, 2 κύριος Georg. 527, 8—17

173 cf. v. πρόπιον. Z 1035 175 cf. v. Ε 2810. Z 1030

A^{2}(GITFVM) 1 post εἰσὶ lac. statuit EFKrause, Byz. Zt. 13, 113 3 κωμῳδία V κωμῳδίας ed. pr. cf. v. Ε 2801 6 τὸ] τοι Bhd. 15 ἀναρχίαν] ἀρχάν V 21 Θεοτροπία A Θεοπομπία V θεοτρόπιον A 22 Θεοπροπίησιν AF: Θεοπροποίησιν GIM Θῶ προπιῆσιν V 23 προφητεία V cp. GTFM 24 Ὀπτεία—Ἐποπτεία om. TF 25 Θεορημισύνην V Θερημοσύνην F 28 φάσκων—p. 699, 1 δυνάμεις hic om. F sed post 220 totam glossam praebet 29 ὁ ex A, Georg. 30. 31 πάντων διαιρετὸν F 31 μοναδικὸν V

ὄντος δυνάμεις, ὧν ἡ μὲν ποιητικὴ καὶ ἐνεργητική, φησί, καλεῖται θεός, ἡ δὲ βασιλικὴ καὶ τιμωρητικὴ κύριος. θεὸν δὲ εἶναι δοξάζουσιν Ἕλληνες ζῷον ἀθάνατον, λογικόν, τέλειον, νοερόν, ἐν εὐδαιμονίᾳ, κακοῦ παντὸς ἀνεπίδεκτον, προνοητικὸν κόσμου τε καὶ τῶν ἐν κόσμῳ· μὴ εἶναι μέντοι ἀνθρωπόμορφον· εἶναι δὲ τὸν μὲν δημιουργὸν τῶν ὅλων καὶ ὥσπερ πατέρα πάντων, κοινῶς δὲ καὶ τὸ μέρος αὐτοῦ τὸ διῆκον διὰ πάντων, ὃ πολλαῖς προσηγορίαις προσονομάζεται κατὰ τὰς δυνάμεις. Phil.

179 Θεός· Δαβὶδ φησι· πρὸς τὸν θεὸν τὸν ἰσχυρόν, τὸν ζῶντα. ἔνθεν καὶ τὸ τρισάγιον ἡμῖν ἐξύμνηται.

180 Θεός· Ἀριστοφάνης· ὅταν τις θεῶν βλάπτῃ, δύναιτ' ἂν οὐδ' ἂν ἰσχύων φυγεῖν. ὅμοιον τούτῳ τὸ Πινδαρικόν· θεὸς καὶ πτερόεντ' ἀετὸν ἔκιχε, καὶ θαλασσαῖον παραμείβεται δελφῖνα. καὶ παροιμία· Θεὸς ἡ Ἀναίδεια. λέγεται κατὰ τῶν δι' ἀναισχυντίαν τινὰ ὠφελούντων. ἐτιμᾶτο δὲ καὶ Ἀθήνησιν ἡ Ἀναίδεια, καὶ ἱερὸν ἦν αὐτῆς, ὡς Ἴστρος ἐν ιδ'. Soph. Σ

181 Θεὸς ἀπὸ μηχανῆς· ζήτει ἐν τῷ ἀπὸ μηχανῆς. ὅτι ἀπὸ συντάξεως ὀνόματα γίνονται· καλὸς καὶ ἀγαθὸς καὶ καλοκἀγαθία, θεὸς καὶ ἐχθρὸς θεοεχθρία. Suid.

182 Θεσσαλὸν σόφισμα: ἐπὶ τῶν μὴ εὐθυμαχούντων ἐν ταῖς παρατάξεσιν, ἀλλὰ κακουργούντων. Σ

183 Θεοσέπτωρ: θεοσεβής. Σ

184 Θεοσέπτου· βροντῆς θεοσέπτου, ὑπὸ θεῶν καταπεμφθείσης, θείας τινὸς καὶ τετιμημένης. βροντῆς μυκησαμένης θεοσέπτου. Ἀριστοφάνης Νεφέλαις. Ar.

Σοφοκλῆς δὲ λέγει· ἥκοι γὰρ ἂν θεία νόσος. τουτέστιν ἡ ἐκ θεοῦ κατασκήψασα εἴς τινα. περὶ τῆς μανίας Αἴαντος. Soph.

185 Θεοσημεία: ἡ τοῦ θεοῦ μαντεία. Δ

186 Θεοστυγεῖς: θεομίσητοι. οἱ ὑπὸ θεοῦ μισούμενοι, καὶ οἱ θεὸν μισοῦντες. παρὰ δὲ τῷ Ἀποστόλῳ θεοστυγεῖς, οὐχὶ οἱ ὑπὸ θεοῦ μισούμενοι, ἀλλ' οἱ μισοῦντες τὸν θεόν. Σ

187 Θεοσυλής: ὁ τὰ ἱερὰ συλῶν. ὁ δὲ θεοσυλὴς γενόμενος καὶ Δ

178 vs. 2 θεὸν sq. Laert. 7, 147 179 πρὸς—ζῶντα Ps. 41, 3 180 — δελφῖνα Soph. El. 696—7 c. sch.; Pind. P. 2, 50 vs. 14 Θεὸς sq. = P cf. Zen. IV 36; Istr. fr. 15, FHG 1, 420 182 = P, Ael. D. fr. 204 ap. Eust. I. 331, 18 cf. H 183 = P, Ba 255, 21, H 184 — vs. 23 θεοσέπτου Ar. Nu. 292 c. sch. plenior. ἥκοι sq. Soph. Ai. 186 c. sch. 185 l. = Ambr. 165 186 — θεομίσητοι = Ba 255, 22 cf. P, H θεοστυγεῖς sq. = Oecum. in Rom. 1, 30, PG 118, 348d 187 — συλῶν cf. Ambr. 70 ὁ sq. Aelian. fr. 124

180 Soph. cf. v. l 723—4 181 ex vv. A 3436 et 2416 182 cf. 259 183 Z 1025 184 Z 1030 185 cf. Z 1029 187 cf. v. Δ 679

7 προσονομάζεται FV, Laert.: προσαρμόζεται AGITM 9 ἰσχυρόν] ὑψηλόν F A^3(GITFVMB) 10 ἐξύμνηται] ἐπιδείκνυται F; περὶ τῆς ἁγίας τριάδος mg. add. VM 11 Ἀριστοφάνης] Σοφοκλῆς B θεὸν GIVM οὐδ' ἂν] οὐδὲν A cf. v. l 724 15 ἦν ex FV, Phot. 16 ἐν om. V 181 om. TF; vs. 17 Θεὸς—μηχανῆς alt. mg. V 182 extra ord. ut ap. Phot. 23 μυκησαμένης A: cp. F μυκησαμένου GVM σέπτου V 25 Αἴαντος] αἵματος V 26 Θεοσημία $AI^{ac}FV^{oc}M^{oc}$, Laur. 27 οἱ pr. om. AF 28 τῶν ἀποστόλων V

τὰ ἕδη τῶν θεῶν αὐτὰ ἐξ ἠθῶν ἀναστήσας καὶ φόνους ἐργασάμενος ἐναγεῖς.

188 Θεοῦ παρόντος, ἅπαν ἄπορον πόριμον.

Thdr. 189 Θεούς: τοὺς τῶν Ἰουδαίων ἄρχοντας. ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς καὶ θεοὺς οὐ κακολογήσεις. ἐπειδὴ ὁ θεὸς ἀληθῶς κριτής ἐστιν, ἐνεχειρίσθησαν δὲ καὶ οἱ ἄνθρωποι κρίνειν, προσηγορεύθησαν θεοὶ οἱ ἐνδίκως δικάζοντες.

Thdr. 190 Θεοί: οἱ κατ' εἰκόνα θείαν γεγενημένοι καὶ ἀκήρατον τὴν εἰκόνα φυλάξαντες. ὁ τούτων θεὸς συνάγει τὴν οἰκουμένην εἰς τὸ κριτήριον. καὶ Δαβίδ· θεὸς θεῶν κύριος ἐλάλησε καὶ ἐκάλεσε τὴν γῆν, καὶ τὰ ἑξῆς.

Harp. 191 Θεοίνιον: τὰ κατὰ δήμους Διονύσια Θεοίνια ἐλέγοντο, ἐν οἷς οἱ γεννῆται ἀπέθυον. τὸν γὰρ Διόνυσον Θέοινον ἔλεγον.

Soph. 192 Θεοῖς τέθνηκεν οὗτος οὐ κείνοισι: θεῶν βουλομένων. οἱ γὰρ Ἕλληνες τὴν τοιαύτην αὐτῷ αἰτίαν παρέσχον. Σοφοκλῆς περὶ Αἴαντος.

Δ 193 Θεοφάνεια: ἡ τοῦ θεοῦ φανέρωσις· θηλυκόν. οὐδετέρως δὲ πληθυντικὸν τὰ Θεοφάνια, ἡ εὐθεῖα τὸ Θεοφάνιον.

Δ 194 Θεοφάνης: ὄνομα κύριον. καὶ κλίνεται εἰς ους.

Hesy.? 195 Θεόφιλος, κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἰατρός, Ἐπίδαυρος, Παγκράτεια, Βοιωτία, Προιτίδες, Νεοπτόλεμος.

EV 196 Θεόφιλος, βασιλεὺς Ῥωμαίων, υἱὸς Μιχαὴλ τοῦ Ἀμοραίου, πατὴρ Μιχαήλ, ὃς ἐς τοσαύτην ἀφιλοθεΐαν καὶ ἀπόνοιαν ἐξώκειλεν καὶ τὴν τοῦ Κοπρωνύμου χαλεπὴν καὶ μυσαρωτάτην αἵρεσιν διαδεξάμενος καὶ ἀνακαινίσας, ὡς μηδενὶ ἥττων ὀφθῆναι τῆς ἐκείνου δυσσεβείας καὶ παροινίας τυραννίδος τε καὶ ἐμβροντησίας ὁ πεφενακισμένος καὶ ματαιόφρων. ἐπεὶ οὖν τῇ αὐτῇ συσχεθεὶς τῶν ἀσεβῶν ἐκείνων καὶ παλαμναίων ἀπάτῃ καὶ παραπληξίᾳ, τῶν ἐκ Μανιχαϊκῆς μανίας καὶ Ἀρειανικῆς λύσσης ὁρμωμένων πάλαι, διωγμὸν καὶ αὐτὸς κατὰ τῆς ἐκκλησίας ὡσαύτως ἐπανετείνετο, συμμύστην καὶ σύμμαχον καὶ συνίστορα τῆς αἱρέσεως ἔχων ὁ δεύτερος Νεκταναβὼ τὸν φατριάρχην Ἰαννῆν, μᾶλλον δὲ μαντιάρχην ἢ δαιμονιάρχην, τὸν νέον ὄντως Ἀπολλώνιον ἢ Βαλαάμ, ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ἀναφανέντα, λεκανομάντιν καὶ πάσης θεοστυγοῦς πράξεως καὶ τερατείας δεινὸν ὑπο-

189 Thdr. in Ps. 81, 1, PG 80, 1528c; Exod. 22, 28 190 Thdr. in Ps. 49, 1, PG 80, 1229c 191 Harp. = P 192 Soph. Ai. 970 c. sch. 193 cf. L, Ambr. 160 et 195 194 = Ps. Herodian. 56, Ambr. 92 195 cf. Ath. 8, 340d; 10, 417a; 11, 472d, e; 13, 560a 196 Georg. 798, 8—799, 7 = EV 1, 156, 3—23

A²(GIFVM) 6. 7 προηγορεύθησαν GIV προσαγορεύθησαν F 7 Ζήτει περὶ τούτου πλατύτερον ἐν τῷ Σήθ mg. (ad. Exod. 22, 28) add. VM 190—2 extra ord. 10. 11 καὶ τὰ ἑξῆς om. F 12 Θεοίνια A δήμα A 15 περὶ] δὲ περὶ V 17 θηλυκῶς F 18 πληθυντικῶς F Θεοφάνεια GIM Θεοφάνειον GI 20 ἐστιν om. V 22 Ἀμωραίου GIVM cf. vv. A 1628 et 1644 25 ἥττον IV cf. Exc. 26 πεφηνακισμένος V 28 Μανιχαϊκῆς AV: μηχανικῆς GIM 31 Νεκτεναβὼ A 32 Ἰωάννην GIM, Exc. v. l. Georg.

φήτην. ὑφ' οὗ καὶ τὰ γράμματα παιδευθεὶς ὁ εὐρίπιστος καὶ δείλαιος ὑπηρέτης δόκιμος ἐχθίστων πραγμάτων καὶ τοῦ διαβόλου ἐπιτήδειον ὄργανον γέγονεν· οὐκ ἂν ἐνδίκως ὁ θεῖος λόγος ἐπαράσαιτο σχετλιαστικῶς φάσκων· οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν καὶ τῇ ἀντιλογίᾳ τοῦ Κορὲ ἀπώλοντο. καὶ τὰ ἑξῆς.

197 Θεόφιλος· οὗτος ἀπὸ Ἰνδῶν ἐπανελθὼν ἐν Ἀντιοχείᾳ διῆγεν, E ἐκκλησίαν μὲν ἀφωρισμένως οὐδεμίαν ἔχων αὐτός, κοινὸς δέ τις ὢν καὶ πάσαις αὐτῷ μετ' ἀδείας ἐπιφοιτᾶν ὡς ἰδίαις ἐξόν, βασιλέως τε αὐτὸν ἐς τὰ μάλιστα διὰ τιμῆς τε πάσης καὶ αἰδοῦς ἄγοντος καὶ τῶν ἄλλων ἁπάντων, ὁπόσοις ἐπισταίη, μετὰ πάσης προθυμίας αὐτὸν ὑποδεχομένων καὶ τὸ τῆς ἀρετῆς αὐτοῦ μέγεθος καταπληττομένων. ἦν γὰρ ὁ ἀνὴρ κρείσσων ἢ ὡς ἄν τις δηλώσειε λόγῳ, ὡς ἄν τις τῶν ἀποστόλων εἰκών. λέγεταί γέ τοί ποτε καὶ νεκρὸν ἀναστῆσαι ἐν Ἀντιοχείᾳ Ἰουδαίας τινός. Θαλάσσιος δὲ τοῦτό φησι, τῶν ἐπ' οὐκ ὀλίγον τἀνδρὶ συγγενομένων χρόνον, καὶ ἥκιστα δὴ εἰς τὰ τοιαῦτα ψεύδεσθαι ὕποπτος ὤν, ἄλλως τε καὶ ἔχων οὐκ ὀλίγους τῶν κατ' αὐτὸν αὐτῷ γενομένων χρόνον τοὺς ἐπιμαρτυροῦντας.

198 Θεοφορία: ἐνθουσιασμός. ἄγρια δ' αὐτοῦ ἐψύχθη χαλεπῆς πνεύματα θευφορίης. Anth.

199 Θεόφραστος, Μελάντα γναφέως, οἱ δὲ Λέοντος· ἀπὸ Ἐρεσσοῦ, Hesy. ἀκουστὴς Ἀριστοτέλους καὶ διάδοχος τῆς σχολῆς τῆς ἐν τῷ περιπάτῳ ὑπ' αὐτοῦ καταλειφθείσης εἰς Χαλκίδα ἐκδημήσαντος. οὗτος πρότερον ἐκαλεῖτο Τύρταμος· διὰ δὲ τὸ θείως φράζειν ὑπ' Ἀριστοτέλους ἐκλήθη Εὔφραστος, εἶτα Θεόφραστος· ὥσπερ Πλάτων διὰ τὸ ἐν τοῖς λόγοις πλάτος τοῦτο ἐπωνομάσθη, πρότερον καλούμενος Ἀριστοκλῆς. μαθητὰς δὲ ἔσχε πλεῖον ἢ ,β', ἐρώμενον δὲ τὸν Ἀριστοτέλους υἱὸν τοῦ φιλοσόφου Νικόμαχον. ἐτιμήθη δὲ παρὰ Κασσάνδρῳ τῷ Ἀντιπάτρου, καὶ τελευτᾷ κατάπονος ὑπὸ τοῦ ἀεὶ γράφειν γενόμενος, εἶτα ἐνδοὺς ἐπὶ βραχείας ἡμέρας διὰ μαθητοῦ γάμους. βιβλία δὲ αὐτοῦ πάμπλειστα, ὧν καὶ ταῦτα· Ἀναλυτικῶν προτέρων τρία, Ἀναλυτικῶν ὑστέρων ζ', Ἀναλύσεως συλλογισμῶν, Ἀναλυτικῶν ἐπιτομήν, Ἀνηγμένων τόπων, Περὶ λίθων, Περὶ φυτῶν, Περὶ μετάλλων, Περὶ ὁδμῶν· καὶ ἄλλα.

197 Philostorg. p. 36 198 ἄγρια sq. Anth. 6, 220, 3—4 199 cf. Laert. 5, 36—8, 42, 44—6, Steph. Byz. v. Ἔρεσος

198 cf. v. Ε 4078 199 cf. v. Ν 398

8 ἐκκλησία V 9 τε ex V solo 16 ὀλίγων A^{oc} 20 πνεύματος V A^2(GITVM) 21 Ἐριττοῦ A 24 Τύρταμος] ὅτι Τύρταμος Εὔφραστος Θεόφραστος (Θ. om. V) ἐκλήθη. Πλάτων Ἀριστοκλῆς ἐκαλεῖτο mg. add. VM 27 ,β' IM διχιλίους A: β' GV 29 καὶ om. V 31 Ἀναλυτικῶν utrobique Kust. Laert.: Ἀναλυτικὰ omnes 32 Περὶ ἀναλύσεως T, Laert. 33 Περὶ φυτῶν, Περὶ λίθων A

Anth. 200 Θεόφραστος ἕως ἐπόνει μὲν δέμας ἄπηρος ἦν, εἶτ' ἀνεθεὶς κάτθανε πηρομελής.

201 Θεοφύλακτος, σοφιστής, ᾧ ἐπώνυμον Σιμοκάτης.

Synt. 202 Θέω· δοτικῇ. τὸ τρέχω.

Hesy. 203 Θέων, Ἀλεξανδρεύς, φιλόσοφος Στωϊκός, γεγονὼς ἐπὶ Αὐγούστου μετὰ Ἄρειον. ἔγραψε τῆς Ἀπολλοδώρου Φυσιολογικῆς εἰσαγωγῆς ὑπόμνημα, Περὶ τεχνῶν ῥητορικῶν βιβλία τρία.

Hesy. 204 Θέων, Σμυρναῖος, φιλόσοφος. καὶ Θέων Ἀντιοχείας τῆς ἐν Δάφνῃ, φιλόσοφος Στωϊκός. ἔγραψεν Ἀπολογίαν Σωκράτους.

Hesy. 205 Θέων, ὁ ἐκ τοῦ Μουσείου, Αἰγύπτιος, φιλόσοφος, σύγχρονος δὲ Πάππῳ τῷ φιλοσόφῳ, καὶ αὐτῷ Ἀλεξανδρεῖ. ἐτύγχανον δὲ ἀμφότεροι ἐπὶ Θεοδοσίου βασιλέως τοῦ πρεσβυτέρου. ἔγραψε μαθηματικά, ἀριθμητικά, Περὶ σημείων καὶ σκοπῆς ὀρνέων καὶ τῆς κοράκων φωνῆς, Περὶ τῆς τοῦ κυνὸς ἐπιτολῆς, Περὶ τῆς τοῦ Νείλου ἀναβάσεως, Εἰς τὸν Πτολεμαίου πρόχειρον κανόνα, καὶ Εἰς τὸν μικρὸν ἀστρόλαβον ὑπόμνημα.

Hesy. 206 Θέων, Ἀλεξανδρεύς, σοφιστής, ὃς ἐχρημάτισεν Αἴλιος. ἔγραψε Τέχνην, Περὶ προγυμνασμάτων, ὑπόμνημα εἰς Ξενοφῶντα, εἰς τὸν Ἰσοκράτην, εἰς Δημοσθένην, Ῥητορικὰς ὑποθέσεις· καὶ Ζητήματα περὶ συντάξεως λόγου, καὶ ἄλλα πλείονα.

Hesy. 207 Θέων, ὁ Οὐαλέριος χρηματίσας, σοφιστής. ὑπόμνημα εἰς Ἀνδοκίδην.

Hesy. 208 Θέων, Γυμνασίου τοῦ σοφιστοῦ παῖς, Σιδώνιος, σοφιστής, παιδεύσας κατὰ τὴν πατρίδα, γενόμενος δὲ ὑπὸ τοῦ βασιλέως Κωνσταντίνου, καὶ ἀπὸ ὑπάτων, καὶ ὕπαρχος.

209 Θέων, σοφιστὴς λόγων ῥητορικῶν, γεγονὼς ἀπὸ τῆς ἱερᾶς Μαρκέλλης τό γε ἀνέκαθεν, τὸ δὲ ἐξ ὑπογύου πατρόθεν ἀπὸ Ἐκδικίου, διδασκάλου καὶ τούτου τέχνης ῥητορικῆς. ἦν δὲ οὗτος ὁ Θέων οὐ μάλα ἀγχίνους οὐδὲ ὀξύς, φιλομαθὴς δὲ καὶ φιλόπονος εἰς ὑπερβολήν. ταῦτά τοι καὶ ἐγεγόνει πολυμαθέστατος ἐν ὀλίγῳ χρόνῳ, πολλὴν ἀρχαίαν ἱστορίαν, πολλὴν δὲ νέαν περιβαλλόμενος.

Σ 210 Θεῶν ἀγορά: ἐπὶ τῶν τολμώντων τι λέγειν ἐν τοῖς ὑπερέχουσιν.

Δ 211 Θεώνειοι: οἱ τοῦ Θέωνος.

Δ 212 Θεωρεῖα: τὰ μαστροπεῖα.

200 Anth. 7, 110, 3—4 = Laert. 5, 40 202 cf. An. Ox. 4, 294, 12; praeter δοτικῇ = Ps. Herodian. 56 209 Dam. fr. 62; ἦν sq. cf. Phot. Bibl. p. 339 b 6—8 210 = P cf. H

201 cf. v. Σιμοκάτης 202 cf: 95 209 cf. v. Ε 1868 210 cf. v. Κ 1163

A²(GITFVM) 200 non nov. gl. GIM om. T 1 ἄπηρος A, Anth. Laert.: ἄπειρος rell. 201 om. F mg. V 202 om. TF 5 Ἀλέξανδρος V 8 Ἀντιοχείας A: Ἀντιοχεύς ITF cp. GVM 21 ὁ om. F Χαλέριος V Ἀλέριος I 24 δὲ om. GIT ὑπὸ] ἐπὶ ed. pr. 27 ὑπογείου I Αἰγύπτου V 30 πολλὴν] μὲν add. Bekk. 35 μαστρωπεῖα GITM

213 Θεώρημα διαλεκτικόν: τουτέστι ζήτημα καὶ πρόβλημα, τὸ Phil.
συντεῖνον ἢ πρὸς αἵρεσιν καὶ φυγὴν ἢ πρὸς ἀλήθειαν καὶ γνῶσιν, ἢ αὐτὸ ἢ ὡς συνεργὸν πρός τι ἕτερον τῶν τοιούτων· ἔθος γὰρ Ἀριστοτέλει τὸ ζητεῖν θεωρεῖν λέγειν. εἴη δ' ἂν τὸ θεώρημα λόγος γνώσεως ἡμῖν τινος τῶν τῆς διαλεκτικῆς αἴτιος, ἀπὸ τοῦ θεωρίας καὶ γνώσεως αἴτιον ἡμῖν εἶναι ὠνομασμένον. θεώρημα ἠθικὸν ἢ φυσικὸν ἢ λογικόν, οὐ μὴν πᾶν θεώρημα ἠθικὸν ἢ φυσικὸν ἢ λογικὸν πρόβλημα ἤδη διαλεκτικόν, ἀλλ' ὅσα τῶν θεωρημάτων ἔχει τῶν προκειμένων τινὰ ἀφορισμόν. οὗτοι δέ εἰσι, περὶ ὧν ἢ μηδετέρως δοξάζουσιν ἢ ἐναντίως οἱ σοφοὶ τοῖς πολλοῖς ἢ οἱ πολλοὶ τοῖς σοφοῖς ἢ ἑκάτεροι αὐτοὶ ἑαυτοῖς. ὅσα μὲν οὖν τῶν ζητουμένων εἰς αἵρεσιν ἢ φυγὴν τὴν ἀναφορὰν ἔχει, ἠθικὰ τὰ τοιαῦτα προβλήματα. ἡ γὰρ περὶ τὸ ἀγαθόν τε καὶ κακὸν αἱρετόν τε καὶ φευκτὸν ζήτησις οὖσα ἠθικὴ εἰς αἵρεσιν καὶ φυγὴν τὴν ἀναφορὰν ἔχει, οὐκ εἰς ψιλὴν γνῶσιν· ὁ γὰρ ζητῶν, πότερον ἡ ἡδονὴ ἀγαθόν ἐστιν ἢ οὔ, ἢ ὅλως περί τινος τῶν ἐπικτήτων ἀγαθῶν, ὑπὲρ τοῦ αἱρεῖσθαι ἢ φεύγειν τὴν ζήτησιν ποιεῖται. πάλιν ὁ ζητῶν, πότερον ὁ κόσμος σφαιροειδής ἐστιν ἢ οὔ, ἢ ἡ ψυχὴ ἀθάνατος ἢ οὔ, ἤ τι ἄλλο τῶν φύσει γινομένων τε καὶ ὄντων, τέλος ποιεῖται τὴν τοῦ ἀληθοῦς γνῶσιν, ὃ τῆς θεωρητικῆς ἐστιν ἴδιον· ἡ γὰρ γνῶσις τῆς ἐν τοῖς ἀρίστοις πολιτείας τῆς θεωρίας τέλος. ὅσα μήτε ὡς πρακτικὰ ζητεῖται μήτε τέλος ἔχει τὴν γνῶσιν τῆς ἐν αὐτοῖς ἀληθείας, ἀλλ' ὡς συνεργὰ ἢ πρὸς τὴν τῶν αἱρετῶν τε καὶ μὴ γνῶσιν ἢ πρὸς τὴν τῶν ἀληθῶν τε καὶ ψευδῶν αἵρεσιν ζητεῖται, ταῦτα προβλήματα λογικά· ἡ γὰρ λογικὴ πραγματεία ὀργάνου χώραν ἔχει ἐν φιλοσοφίᾳ. ὅσα δὴ κατὰ ταύτην ζητεῖται, τοῦ πρὸς ἐκείνην χρησίμου ζητεῖται χάριν· ὁ γὰρ ζητῶν περὶ ἀντιστροφῆς, φέρε εἰπεῖν, προτάσεως ἢ περὶ συλλογιστικῆς ἢ ἀσυλλογίστου συζυγίας, ὡς συνεργὰ ταῦτα καὶ ὡς συντελοῦντα πρὸς τὴν τῶν προειρημένων εὕρεσίν τε καὶ γνῶσιν ζητεῖ. καὶ Τεθεωρημένη, ζητητικὴ τῆς ἀληθοῦς γνώσεως. ὁ μὲν οὖν Ἀρκεσίλαος, ὁ φιλόσοφος, νωθρὸς ἦν τὴν φύσιν καὶ χασμώδης, ἐν δὲ τῇ τέχνῃ τεθεωρημένος, εἰπὼν τὴν γεωμετρίαν αὐτοῦ χάσκοντος εἰς τὸ στόμα ἐμπτῆναι.

214 Θεωρία αἱρετωτέρα πράξεως, τὸ εἶναι περὶ τὰ τιμιώτερα τὴν Phil.
ἐνέργειαν αὐτῆς· ἡ μὲν γὰρ πρᾶξις περὶ τὰ πρακτέα τε καὶ ἐφ' ἡμῖν ἡ δὲ θεωρία περὶ τὰ θεῖα· καὶ ἐπειδὴ τῷ τιμιωτάτῳ τῆς ψυχῆς γίνεται. τιμιώτατον γὰρ ὁ νοῦς τῶν τῆς ψυχῆς δυνάμεων, οὗ ἐνέργεια καὶ θεωρία.

213 — vs. 29 ζητεῖ Alex. Aphr. 74, 2—33 vs. 30 ὁ sq. Laert. 4, 32
214 Alex. Aphr. 236, 21—6

213 extr. cf. v. τεθεωρημένη

5 τοῦ] τῆς V 7 λογικόν pr.] λογιστικόν V 27 συλλογικῆς V 28 εἰρη- A^2(GIFVM)
μένων V. ζήτει θεώρημα ψυχῆς ἐν τῷ διότι mg. add. VM 34 τε om. AF cf. Alex.

Phil. 215 Θεωρία καὶ πρᾶξις· ὅτι τοῦ νοῦ τὸ μέν ἐστι θεωρητικόν, τὸ δὲ πρακτικόν. τὸ μὲν οὖν πρακτικὸν ἐκ τῆς σχέσεως αὐτὸ λογίζεται τῆς πρὸς τὸ σῶμα· διὸ μετὰ τὸ ἀπολυθῆναι τοῦ σώματος οὐκέτι ἐστὶ πρακτικός, μόνον δὲ θεωρητικός. διαφέρει δὲ ὁ πρακτικὸς νοῦς τοῦ θεωρητικοῦ τῷ τέλει, μηδὲν τῷ ὑποκειμένῳ διαφέρων, ὡς οὐδὲ τὸ σπέρμα καὶ ὁ καρπός. τῷ μὲν γὰρ θεωρητικῷ τέλος ἐστὶν ἡ τῆς ἀληθείας κατάληψις, τῷ δὲ πρακτικῷ ἡ τοῦ ἀγαθοῦ. ὁ μὲν οὖν νοῦς, φησί, γένος ἕτερον εἶναι δοκεῖ ψυχῆς καὶ μόνος χωριστὴν ἔχει τὴν οὐσίαν, ἡ δὲ λοιπὴ πᾶσα ψυχὴ ἀχώριστος.

216 Θεωρία τέλος ἐστὶν ἱερωσύνης μὴ ψευδομένης τὸ ὄνομα· θεωρία δὲ καὶ πρᾶξις οὐκ ἀξιοῦσι συγγίνεσθαι. ὁρμὴ μὲν γὰρ ὁρμὴ πράξεων· οὐδεμία δὲ ἀπαθής.

Σ? 217 Θεωρίαι: οὕτω καλοῦνται πᾶσαι αἱ πανηγύρεις. καὶ Θεωρία, ὄνομα πόρνης.

Σ 218 Θεωρικά· ἐν ταῖς λεγομέναις Διονυσίαις θεωρίαις ἀγώνων τελουμένων φιλοτίμων συνέβαινέ τινας τῶν πολιτῶν εἰς ὕβρεις καὶ τραύματα διαφέρεσθαι. ἔδοξεν οὖν τῷ δήμῳ μηκέτι προῖκα θεωρεῖν, ἐκμισθοῦν δὲ ταῖς θέαις τοὺς τόπους. πλεονεκτουμένων δὲ τῶν πενήτων διὰ τὸ ῥᾳδίως τοῖς πλουσίοις πλείονος τιμῆς τοῦτο γίνεσθαι, ἐψηφίσαντο ἐπὶ δραχμῇ καὶ μόνον εἶναι τὸ τίμημα, θεωρικὸν αὐτῇ θέντες ὄνομα· καὶ τὸν ἐπὶ τούτῳ ἐφεστηκότα θεωρικὴν ἀρχὴν ἔλεγον ἄρχειν. ἀπὸ τούτου δὲ καὶ τὰ λοιπά, ὅσα Ἀθηναῖοι ἐλάμβανον, θεωρικὰ εἴρηται.

Harp. 219 Θεωρικά· χρήματά τινα ἦν ἐν κοινῷ ἀπὸ τῶν τῆς πόλεως προσόδων συναγόμενα, ἃ πρότερον μὲν εἰς τὰς τοῦ πολέμου χρείας ἐφυλάττετο καὶ ἐκαλεῖτο στρατηγικά, ὕστερον δὲ κατετίθετο εἰς τὰς δημοσίας κατασκευὰς καὶ διανομὰς τῶν πολιτῶν. ἦν δὲ τὸ μὲν πρότερον νομισθὲν δραχμὴ τῆς θέας, ὅθεν καὶ θεωρικὰ ἐκλήθη. Φιλῖνος δέ φησιν ὅτι διὰ τοῦτο ἐκλήθη θεωρικά, διότι τῶν Διονυσίων ὑποτύων ὄντων, διένειμεν Εὔβουλος εἰς τὴν θυσίαν, ἵνα πάντες ἑορτάζωσι, καὶ μηδεὶς ἀπολείπηται δι' ἔνδειαν ἀναλωμάτων. ἄλλοτε δὲ ἄλλως ὡρίζετο τὸ διδόμενον εἴς τε τὰς θέας καὶ τὰς θυσίας καὶ τὰς ἑορτάς. οὐκ ἐξῆν δὲ τοῖς ἀποδημοῦσι θεωρικὸν λαμβάνειν. ἦν δὲ καὶ ἀρχή τις ἐπὶ τοῦ θεωρικοῦ, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος δηλοῖ.

Σ 220 Θεωρικὸν καὶ Θεωρική· Ἀθήνησιν ἦν χρήματα κοινά, ἃ θεωρικὰ ἐκαλεῖτο, διδόμενα τοῖς Ἀθηναίοις εἰς διανομήν. προήχθη δὲ

215 Philop. 241, 6—13; 18—21 216 Synes. Ep. 57 p. 199a 218 = P; — vs. 17 = Et. Gen., Et. M. 449, 2 219 Harp. = P cf. Et. Gen., Et. M. 449, 8, Bk. 264, 7; Aeschin. 3, 24 220 = P cf. Et. Gen., Et. M. 449, 5

218 sch. Dem. Bavar. 18, 113 220 sch. Dem. Bavar. 18, 113

A²(GIFVM) 5 διαφέρων A: cp. GVM διαφέρει IF 6 γὰρ om. V 11 ὁρμὴ alt.] ἀρχὴ ed. pr., Synes. 17 θεωρεῖν om. A 20 θεωρικὸν A, Phot. sch. Dem.: θεωρητικὸν rell. 22 τούτου δὲ] δὲ τούτου A; τούτου sch. Dem. θεωρητικὰ F 33 καὶ om. V 34 τοῦ om. V

οὕτως. τὸ παλαιὸν ὄχλου γενομένου ἐν τοῖς θεάτροις καὶ τῶν ξένων τὰς θέας προκαταλαμβανόντων, διεδίδοτο τοῖς πολίταις τὸ θεωρικόν, ὅπερ ἦσαν δύο ὀβολοί, ἵνα τοῦτο λαμβάνοντες οἱ πολῖται διδῶσιν αὐτὸ τῇ πόλει μισθὸν τῆς θέας. ὁ τοίνυν ἐπιμελούμενος τῶν χρημάτων τούτων ἄρχων ἐλέγετο τῶν θεωρικῶν. ἦν δὲ καὶ ἄλλα θεωρικά, ἃ διενέμετο ἐν ταῖς ἑορταῖς ἡ πόλις.

221 Θεωρίς: πλοῖον Ἀθήνησιν, ἢ κατ' ἔτος εἰς Δῆλον ἐπέμπετο· Σ ἦν εὐξαμένου Θησέως, ὅτε εἰς Κρήτην ἀπῄει, καθ' ἕκαστον ἔτος Ἀθηναῖοι ἔπεμπον· καὶ οὐκ ἐξῆν ἀχθείσης, πρινὴ ἐπανελθεῖν, ἀναιρεῖσθαί τινα καταδίκην. διὰ τοῦτο καὶ Σωκράτης ἐδέδετο ἐν τῷ δεσμωτηρίῳ ἐπὶ πολὺν χρόνον, ἕως οὗ ἐπανῆκεν ἡ θεωρίς.

222 Θεωρίς· Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογείτονος, εἰ γνήσιος. Harp μάντις ἦν ἡ Θεωρὶς καὶ ἀσεβείας κριθεῖσα ἀπέθανεν.

223 Θεωροδόκος: ὁ τῶν θεωρικῶν χρημάτων ἐπιμελούμενος. Σ

224 Θέωρος: ὄνομα κύριον. ἦν δὲ ἐπίορκος καὶ κόλαξ. ἐκωμῳδεῖτο Ar. δὲ ὁ Θέωρος καὶ ὡς μοιχὸς καὶ ἰχθυοφάγος καὶ πονηρός. περὶ Κόρινθον οὖν διέτριβε διὰ τὰς ἐκεῖ πόρνας.

225 Θεωροί: οἱ εἰς θυσίαν πεμπόμενοι καὶ εἰς τὰς ἑορτάς. καὶ Σ Θεωρὶς ναῦς, δι' ἧς πεμπόμενοι ἐπὶ τὰς θυσίας τὰς ἀποδήμους ὑπὲρ τῆς πατρίδος, ἢ καὶ ἐπὶ τοὺς ἱεροὺς ἀγῶνας καὶ ἄλλας πανηγύρεις οἱ θεωροὶ ἐστέλλοντο, καὶ εἰς χρηστήρια. Σοφοκλῆς· θεωρὸς ὡς Soph. ἔφασκεν ἐκδημῶν. Θεωροὶ μέντοι λέγονται οὐ μόνον οἱ θεαταί, Harp. ἀλλὰ καὶ οἱ εἰς θεὸν πεμπόμενοι, καὶ ὅλως τοὺς τὰ θεῖα φυλάττοντας ἢ τοῦ θείου φροντίζοντας οὕτως ὠνόμαζον· ὥρην γὰρ ἔλεγον τὴν φροντίδα.

226 Θεράπαινα: δούλη. καὶ θεραπαίνῃ ἐτίμησεν αὐτὸν δοριαλώτῳ. Δ EL καὶ Θεραπαινὶς θηλυκόν. φόβῳ σοι ὡς θεραπαινίς. Δ |

227 Θεραπεύω· αἰτιατικῇ. Synt.

228 Θεραπευταί· Φίλων περὶ τῶν ἐξ Ἑβραίων ἀσκητῶν ἔγραψεν E περὶ θεωρητικοῦ βίου, οὓς θεραπευτάς, καὶ τὰς ὁμοίοσχήμους καὶ ὁμοτρόπους γυναῖκας Θεραπευτίδας ὠνόμασε. καὶ Θεραπευταὶ μέν, φησί,

221 — ἐπέμπετο cf. sch. Pl. Phaed. 58b 222 Harp. = P; Dem. 25, 79 224 sch. Ar. Eq. 608 225 — χρηστήρια cf. sch. Pl. Phaed. 58b, Lex. Cant., P, H θεωρὸς—ἐκδημῶν Soph. OT 114 vs. 22 Θεωροὶ sq. Harp. = P cf. Et. Gen., Et. M. 448, 43 226 — δούλη = Ps. Herodian. 56 καὶ pr.—δοριαλώτῳ Men. Prot. fr. 20, FHG 4, 228b = EL 194, 25 . Θεραπαινὶς θηλυκόν = L 227 = Synt. Laur. et Gud., An. Ox. 4, 294, 15 228 Georg. 332, 5—333, 25

221 cf. v. Σωκράτης 1 extr. 225 init. hinc sch. in Iulian. or. 2, 75c ap. Bidez, Tradition ms. des discours de J. p. 30; Harp. cf. v. O 165 226 Z 1030 228 cf. v. σεμνεῖον

7 ἢ] δ IT^{ac} 9 ἀχθείσης] ἀναχθέντος I ἀναχθείσης Kust. πρινὴ A: πρὶν rell. A^2(GITFVM) 9.10 ἐπανέλθῃ αἱρεῖσθαι F 10 τῷ om. F 14 Θεωροδόκης V 21 θεωρὸς F, Soph.: θεωροὶ rell. 24 τοῦ θείου ex F solo cf. Harp. Phot. 26 καὶ—δοριαλώτῳ om. T 26. 27 δορυαλώτῳ A δωριαλώτῳ GI 27 καὶ—θεραπαινὶς om. F θηλυκόν om. T 30. 31 ὁμοιοτρόπους FV 31 ὠνόμαζον V cp. M

κέκληνται ἢ παρὰ τὸ τὰς ψυχὰς τῶν προσιόντων αὐτοῖς ἀπὸ κακίας παθῶν ἰατρῶν δίκην ἀπαλλάττοντας θεραπεύειν, ἢ τῆς πρὸς τὸ θεῖον καθαρᾶς καὶ εἰλικρινοῦς θεραπείας καὶ θρησκείας ἕνεκα. οὗτοι πρῶτον μὲν ἀρξάμενοι φιλοσοφεῖν ἐξίστανται τῶν προσηκόντων καὶ τῶν ὑπαρχόντων, ἔπειτα δὲ πάσαις ἀποταξάμενοι ταῖς τοῦ βίου φροντίσι καὶ ἔξω τειχῶν προελθόντες ἐν μονάγροις ἢ κήποις ἢ ὄρεσι τὰς διατριβὰς ποιοῦνται τὰς ἐκ τῶν ἀνομοίων ἐπιμιξίας ἀλυσιτελεῖς τε καὶ βλαβερὰς εἰδότες τὸν προφητικὸν ζηλοῦσι καὶ ἀσκοῦσι βίον. καὶ ἐν ἑκάστῃ συμμορίᾳ οἴκημά ἐστιν ἱερόν, ὃ καλοῦσι σεμνεῖον καὶ μοναστήριον, ἐν ᾧ μονούμενοι τὰ τοῦ σεμνοῦ βίου μυστήρια τελοῦνται, μηδεὶς μηδὲν κομίζοντες, μὴ ποτὸν μὴ σιτίον μηδέ τι τῶν ἄλλων, ὅσα πρὸς τὰς τοῦ σώματος χρείας ἀναγκαῖα, ἀλλὰ νόμους καὶ λόγια θεσπισθέντα διὰ προφητῶν καὶ ὕμνους καὶ τἄλλα, οἷς ἐπιστήμη καὶ εὐσέβεια συναύξονταί τε καὶ τελειοῦνται. καὶ συνελόντι φάναι, σιτίον ἢ ποτὸν οὐδεὶς αὐτῶν προσενέγκοιτο πρὸ ἡλίου δύσεως, ἐπειδὴ τὸ μὲν φιλοσοφεῖν ἄξιον φωτὸς εἶναι κρίνουσι, σκότους δὲ τὰς τοῦ σώματος ἀνάγκας. αἱ δὲ ἐξηγήσεις τῶν ἱερῶν λογίων γίνονται αὐτοῖς δι' ὑπονοιῶν ἐν ἀλληγορίαις. πᾶσα γὰρ νομοθεσία δοκεῖ τοῖς ἀνδράσι τούτοις ζώῳ ἐοικέναι, καὶ σῶμα μὲν ἔχειν τὰς ῥητὰς διαλέξεις, ψυχὴν δὲ τὸν ἐναποκείμενον ταῖς λέξεσιν ἀόρατον νοῦν. ὡσαύτως δέ εἰσι τῆς αὐτῆς κατασκευῆς καὶ αἱ γυναῖκες.

229 Θεραπευτῆρες: οἱ τῶν ἱερῶν προϊστάμενοι, θεραπευταὶ Ἴσιδος παρ' Αἰγυπτίοις.

Σ 230 Θεράποντες: δοῦλοι, ὑπηρέται. Θεράποντες ἐπὶ κλητικῆς.

Harp. 231 Θεράπναι: τόπος ἐστὶν ἐν Λακεδαιμονίᾳ, οὗ μνημονεύει καὶ Ἰσοκράτης καὶ Ἀλκαῖος.

Δ? 232 Θέραψ: δοῦλος, ὑπηρέτης. θέραψ δὲ ἦν τὸν τρόπον καὶ

E κολακικός. ζήτει ἐν τῷ Βάρβιος.

Δ 233 Θέρεσθαι: θερμαίνεσθαι.

Σ 234 Θέρεται: καίεται.

Δ 235 Θέρεια: τοῦ θέρους ὁ καιρός. Πολύβιος· οἱ δὲ Καρχηδόνιοι

E εἰς τὴν ἐπιφερομένην θέρειαν ἀνήχθησαν τριακοσίαις ναυσί. καὶ

Δ Θέρειος ὥρα.

230 — ὑπηρέται = P, Ba 255, 23 cf. H; Et. Gen. = Et. M. 446, 41; sch. A 321, Ps. Herodian. 56 231 Harp. = P; Isocr. 10, 63; Ἀλκαῖος Alcman. fr. 4 232 — ὑπηρέτης cf. H | θέραψ—κολακικός Aelian. fr. 66 233 = Ambr. 198, Ap. S. 87, 18, Apion (in τ 64) cf. H, sch. Z 331, Et. M. 446, 52, Thom. 176, 2 234 = P, Ba 255, 24 cf. Apion, sch. Z 331, H 235 — καιρός cf. Et. M. 446, 57 οἱ—ναυσί Polyb. 1, 25, 7 Θέρειος ὥρα cf. Ambr. 162, Et. M. 446, 57

230 cf. 232 232 init. cf. 230. Aelian. cf. 167. Z 1027 233 cf. 253

A³(GITFVM) 4 ἐφίστανται V 6 προσελθόντες V, v. l. Georg. 16 εἶναι] εἶναι κρῖναι V 17 αἱ AV, Georg.: ὡς GIM 22 θεραπευταὶ] θεραπευτῆς F, nov. gl. 230 extra ord., non nov. gl. V 24 Θεράποντες alt.—κλητικῆς om. TF, mg. VM, nov. gl. A

236 Θερείβοτον: πεδίον τὸ ἐν θέρει ἔχον βρῶσιν. Δ
237 Θερήγανον: ἡ ἄμαξα. Δ
238 Θερίζειν: ἀντὶ τοῦ καταβάλλειν. Ἀριστοφάνης· μέλλω γέ τοι θερίζειν. ἀντὶ τοῦ καταβάλλειν. ἀπὸ μεταφορᾶς τῶν θεριζόντων, ὅτι τὰ δράγματα τιθέασιν· ἢ ὅτι πολλοῦ ἐθέριζον διὰ τὸν πόλεμον. Ar.
239 Θέριστρον καὶ Θερίστριον: θερινὸν ἱμάτιον. τὰ κόκκου βαφθέντα καὶ ὑστίνοιο θέριστρα, καὶ τοὺς ἀνδρολιπεῖς ἀλλοτρίους πλοκάμους. Σ Anth.
240 Θερίζω· αἰτιατικῇ. Synt.
241 Θερινός. Δ
242 Θεριῶ καὶ κομιῶ καὶ ποριῶ καὶ ὁριῶ καὶ πάντα τὰ εἰς ζω βαρύτονα καὶ ὑπὲρ δύο συλλαβὰς βραχυνόμενον τὸ ι ἔχοντα, ἐν τῷ μέλλοντι ἄνευ τοῦ σ ἐκφέρουσιν Ἀττικοί· τὰ γοῦν ὁριστικὰ καὶ ἀπαρέμφατα· τὰ δ' ὑποτακτικὰ οὐδαμῶς· σολοικισμὸς γὰρ τὸ ἐὰν θεριῶ καὶ ἐὰν κομιῶ. ἐφ' ὧν δὲ τὸ ι ἐκτείνεται καὶ σὺν τῷ σ ὁ μέλλων λέγεται χρόνος καὶ ἐκτεινομένης τῆς παρεσχάτης συλλαβῆς, οἷον δανείζω, δανείσω, οὐκέτι τὸ δὲ δανειῶ βάρβαρον οὕτως, ὥστε καὶ τοὺς Ἀθηναίους φασὶν ἀθρόους εἰς ἐκκλησίαν συναθροισθέντας ἐπὶ τῶν διαδόχων, ἐπειδὴ εἰς ἀπορίαν καθεστήκεσαν χρημάτων, ἔπειτά τις αὐτοῖς τῶν πλουσίων ὑπισχνεῖτο ἀργύριον, οὕτω πως λέγων, ὅτι ἐγὼ ὑμῖν δανειῶ, θορυβεῖν καὶ οὐκ ἀνέχεσθαι λέγοντος διὰ τὸν βαρβαρισμόν καὶ οὐδὲ λαβεῖν τὸ ἀργύριον ἐθέλειν· ἕως αἰσθόμενος ὁ μέτοικος, ἢ καὶ ὑποβαλόντος αὐτῷ τινος ἔφη, δανείσω ὑμῖν τοῦτο τὸ ἀργύριον· τότε δ' ἐπαινέσαι καὶ λαβεῖν. διὰ τοῦτο βαδίσω καὶ βαδιῶ, ἀμφότερα δόκιμα, ἐπεὶ καὶ αὐτὸ τὸ ἐνεστηκὸς ἑκατέρως λέγεται, καὶ ἐκτεινομένου καὶ συστελλομένου τοῦ ἐν τῇ μέσῃ συλλαβῇ· οὐκέτι δὲ ἀγορῶ οὐδὲ κολῶ· οὐδὲ γὰρ ὅλως τῷ ι παραλήγει. Σ
243 Θερμά: τὰ χλιαρὰ ὕδατα.
244 Θερμάν: Θρᾴκιόν ἐστιν πόλισμα. Harp.
245 Θερμέλη: ἡ θέρμη. Δ
246 Θερμόν: παράδοξον. Ἀριστοφάνης Πλούτῳ· ὦ θερμὸν ἔργον κἀνόσιον καὶ παράνομον τολμῶντε δρᾶν, ἀνθρωπαρίω κακοδαίμονε. Ar.
καὶ Σοφοκλῆς· οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτόν, ὅστις κεναῖς ἐλπίσι θερμαίνεται. Soph.

236 cf. Et. M. 447, 9; l. = Ambr. 183 237 cf. Ambr. 182 = Et. M. 447, 12; H 238 Ar. Ach. 947 c. sch. 239 — ἱμάτιον = P cf. H, Ba 255, 25 τὰ sq. Anth. 6, 254, 3—4 240 = Synt. Laur. et Gud., An. Ox. 4, 294, 13 241 cf. Ambr. 71 242 = P 244 Harp. = P 245 = Ambr. 143 246 — κακοδαίμονε Ar. Pl. 415—6 c. sch. οὐκ sq. Soph. Ai. 477—8

239 Anth. cf. vv. τἀκόκκου et ὕστινος 246 Ar. Z 1036. Soph. cf. v. πριάμενος

4 ἀντὶ τοῦ καταβάλλειν om. I 6 θερινὰ ἱμάτια F 7 βαφέντα AGIFV^{ac}, A^2(GIFVM) v. τἀκ κόκκου 240—1 om. FV 11 καὶ pr. om. I καὶ sec. om. IF 12 βραχυνόμενα F 14 οὐδαμοῦ F 17 οὐκέτι om. A 23 ὑποβάλλοντος IV 26 ἀγορᾶ GM 30 Θαρμέλη A 31 Ἀριστοφάνης—34 θερμαίνεται om. F

Δ 247 Θερμοπότιδα.

248 Θερμοπύλαι: τόπος Ἀθήνησι οὕτω καλεόμενος ὑπὸ τῶν πλεόνων Ἑλλήνων, ὑπὸ δὲ τῶν ἐπιχωρίων περιοίκων Πύλαι.

Harp. 249 Θερμοπύλαι: ἔνιοι μὲν τὴν πόλιν ταύτην Πύλας καλοῦσι. Φιλαίας δὲ Θερμοπύλας λέγει καλεῖσθαι, ἐπεὶ ἐκεῖ ἡ Ἀθηνᾶ θερμὰ λουτρὰ Ἡρακλεῖ ἐποίησεν.

Σ | 250 Θερμός: θρασύς. καὶ Θερμουργός, ὁ προπετής. οἱ δὲ
Ε Πέρσαι κατωρρώδησαν πυθόμενοι νέον αὐτὸν εἶναι καὶ θερμουργόν.

Ar. παῦς', Αἰσχύλε, καὶ μὴ πρὸς ὀργὴν σπλάγχνα θερμήνῃς κότῳ.

Ar. 251 Θερμόταται: μέθυσοι. ὦ θερμόταται γυναῖκες, μέγα καπήλοις καλόν, ἡμῖν δὲ κακόν. ὅτι ἡ θυγάτηρ Φαραὼ ἡ τὸν Μωϋσῆν υἱοποιήσασα Θερμουθὶς ὠνομάζετο.

Δ 252 Θερμώδων: ὄνομα ποταμοῦ.

Δ 253 Θερόμενος: θερμαινόμενος.

Phil. 254 Θέρος· θέρος ἐστὶν ὁ ὑπὲρ γῆς ἀὴρ καταθαλπόμενος τῇ τοῦ ἡλίου πρὸς ἄρκτον πορείᾳ.

Rhet. 255 Θέρος: οὐ τὸν καιρὸν οἱ ῥήτορες ἐκάλουν, οἷον χειμῶνα καὶ ἔαρ καὶ θέρος, ἀλλὰ τοὺς συγκομιζομένους καρποὺς τῶν σπερμάτων οὕτω προσηγόρευσαν.

Δ 256 Θέρσης.

Δ 257 Θερσίτης: ὄνομα κύριον. καὶ Θερσίτειον βλέμμα.

Hesy. 258 Θεσσαλός, Κῷος, ἰατρός, υἱὸς Ἱπποκράτους τοῦ διασήμου, οὗ πάλιν υἱοὶ Γοργίας καὶ Ἱπποκράτης. ἰατρικῶν βιβλία γ'.

Σ 259 Θεσσαλὸν σόφισμα: ἐπὶ τῶν μὴ εὐθυμαχούντων ἐν ταῖς παρατάξεσιν, ἀλλὰ κακουργούντων.

Σ 260 Θεσσαλῶν νόμισμα: παροιμιῶδες τοῦτο τασσόμενον ἐπὶ ἀπά-
Ε της. τῆς δὲ Μακεδονίας βασιλεύοντος Φιλίππου ἔτη κ' καὶ τὴν Θεσσαλίαν ὑποτάξαντος, ἐν ᾗ πόλιν κτίσας ἐκάλεσε Θεσσαλονίκην. οἱ δὲ ἐπ' ὀνόματι Θεσσαλονίκης θυγατρὸς ἐκτίσθαι τὴν πόλιν.

247 cf. L 249 Harp. = P, Et. Gen., Et. M. 447, 18 250 — θρασύς = P, Ba 255, 26 Θερμουργός, ὁ προπετής aliter sch. Luc. 109, 25 παῦς' sq. Ar. Ran. 843—4 251 — κακόν Ar. Th. 735, 737 c. sch. ὅτι sq. cf. Ios. Ant. 2, 224—5 252 = Ambr. 134 253 = Ambr. 200, H cf. Moer. 198, 25 254 Laert. 7, 152 255 cf. Bk. 265, 9 = Et. M. 446, 55 256 cf. L 257 — κύριον = Ambr. 79, Ps. Herodian. 56. Θερσίτειον sq. cf. Paroem. ed. Gsf. 143, n. 259, Ambr. 191 259 cf. ad 182 260 — ἀπάτης = P, H cf. sch. Eur. Ph. 1408 τῆς—Θεσσαλονίκην Georg. 25, 10—12

247 cf. 58 251 ὅτι sq. cf. v. M 1348 253 cf. 233 259 cf. 182

A²F(GIVM) 2 τόπος] ἐν add. F Ἀθήνησι del. ed. pr. καλούμενος F 3 ὑπὸ—Πύλαι om. F ἐπιχωρίων] καὶ add. ed. pr. Πύλαι A: Πάλαι GIVM 5 Φιλέας Phot., Harp. plen., Et. ἐπεί—9 κότῳ om. F 11 δὲ] καὶ F ὅτι—12 ὠνομάζετο om. F 11 ἰδιοποιήσασα V^sc 12 Θερμοῦδις GIM Θερμοῦδες V 254 non nov. gl. A 15 θέρος alt. ex FV solis γῆν A 20 Θέρσις F, Bhd. cf. Ambr. 80 22 οὗ—23 γ' om. F 23 ἰατρικὰ V 259 extra ord. 26 ταρασσόμενον VM 28 ὑποτάξαντα F

261 Θέανδρος: οὗτος εἰς παιδεραστίαν δεινῶς διεβάλλετο. ὡς Harp. Κηδωνίδης καὶ Αὐτοκλείδης. Suid.

262 Θέσεις: αἱ καταβολαὶ τῶν πρυτανείων, ὅπερ μισθὸς ἦν τῆς Ar. εἰσαγωγῆς τῆς δίκης. Ἀριστοφάνης· ἵν' αἱ θέσεις γίνοιντο τῇ νουμηνίᾳ. Εὐνάπιος· τῶν δὲ Ῥωμαίων ἐπ' αὐτὸ τοῦτο βιαζομένων E ἄπορον αὐτοῖς ἀποδεῖξαι καὶ πλῆθος καὶ θέσιν καὶ βέλη καὶ μηχανὰς καὶ μεγέθη ποταμῶν, πρὸς τὸ μὴ πάντως ἡττᾶσθαι σφῶν, καὶ ὁμολογεῖν εἶναι χείροσιν. ἔλεγε Κράντωρ ὁ φιλόσοφος, τὰς Θεοφράστου θέσεις ὀστρέῳ γεγράφθαι.

263 Θέσις: κατὰ Ἀριστοτέλην ὑπόληψις παράδοξος τῶν γνωρίμων Phil. τινὸς κατὰ φιλοσοφίαν, τουτέστι πρόβλημα. οὐ πᾶν δὲ πρόβλημα θέσις ἐστίν, ἀλλ' ἡ παρὰ τὰς κοινὰς δόξας ὑπόληψις τινὸς τῶν ἐνδόξων κατὰ φιλοσοφίαν. διὸ δεῖ καὶ τὸν προστάτην τῆς δόξης τὸν συνιστάντα τὴν θέσιν προσκεῖσθαι τῷ τοιούτῳ προβλήματι: οἷον πότερον πάντα συγχωρεῖ καὶ ἀεὶ γίνεται, οὐδέποτε δὲ οὐδέν ἐστι καθ' Ἡράκλειτον, ἢ οὔ· καὶ πότερόν ἐστιν ἓν καὶ ἀκίνητον τὸ ὄν, ὡς Παρμενίδῃ δοκεῖ, ἢ οὔ· καὶ πότερον κίνησίς ἐστιν ἢ οὔ, ὡς δοκεῖ Ζήνωνι· καὶ πότερον ἡ ὑγεία ἀγαθὸν ἢ οὔ, ὡς Χρύσιππος λέγει· καὶ πότερόν ἐστιν ἀντιλέγειν ἢ οὔ, ὡς Ἀντισθένει δοκεῖ. ὅτι ἀντιδιαιρεῖται τὸ θέσει τῷ φύσει, ὥσπερ καὶ ἐπὶ τῆς τῶν ὀνομάτων θέσεως· καὶ γὰρ ἐκεῖ θέσει λέγομεν τὰ ὀνόματα, σημαίνοντες, ὅτι μὴ φύσει. ἤδη δέ τινες καὶ τὰ ῥητορικὰ προβλήματα θέσεις καλοῦσιν, ἐφ' ὧν τὸ τῆς ὑποθέσεως ὄνομα συνηθέστερον, τῷ δοκεῖν τὰ τοιαῦτα ἐπὶ ὑποκειμένοις τισὶ καὶ ὡρισμένοις συνίστασθαι. τὰς δὲ θέσεις καὶ ὑποθέσεις λέγει Ἀριστοτέλης.

264 Θέσθαι: ἀντὶ μὲν τοῦ ὑποθήκην λαβεῖν Ὑπερίδης, ἀντὶ δὲ τοῦ Harp. προέσθαι καὶ κυρῶσαι μόνον Δημοσθένης ἐν τῷ περὶ τῶν ἀτελειῶν. ἐν μέντοι τῷ κατὰ Στεφάνου φησίν· ἑαυτῷ νόμους ἰδίως θέμενον. ἀντὶ τοῦ θέντα.

265 Θέσμιον: νόμιμον. Σ

261 — διεβάλλετο Harp. = P 262 — νουμηνίᾳ Ar. Nu. 1191 c. sch. τῶν—χείροσιν Eunap. fr. 92, FHG 4, 53 ἔλεγε sq. Laert. 4, 27 263 — vs. 19 δοκεῖ Alex. Aphr. 78, 21—79, 7. ἀντιδιαιρεῖται sq. l. l. 82, 15—24 264 Harp. = P, Lex. rhet. ap. Et. Gen. = Et. M. 448, 17; Hyper. fr. 169; Dem. 20, 55 et 46, 23 265 = P, Ba 256, 1

261 ὡς sq. ex v. K 1497

1 Θεάνδρος textu V Θέσανδρος mg. add. VM; cf. Harp. et v. K 1497 A² (GITFVM) ὡς—2 Αὐτοκλείδης om. F 4 εἰσαγωγικῆς V Ἀριστοφάνης—9 γεγράφθαι om. TF 4 ἵν' αἱρέσεις V γένοιντο VM 6 αὐτῆς GM 7 πάντως ex V solo 10 Θέσεις A 12 περὶ AF, v. l. Alex. 14 συνιστῶντα A 16 ἐστιν ἓν] ἕν ἐστι A 20 τῷ] τῇ V 21 λέγομεν AI: λέγων μὲν GM 27 μόνον] νόμον Harp. plen. Δημοσθένης—29 θέντα om. F 27 περὶ] ὑπὲρ A τῶν om. A, Phot. cf. Harp. 28 ἰδίως GIVM, Harp. ep.: ἰδίους A, Harp. plen., Et. M., Dem. 29 ἀντὶ τοῦ θέντα ex V, Harp. Phot. Et. 30 Θέσμιον—p. 710, 1 Θεσμοθέτης om. V

Σ 266 Θεσμοθέτης: νομοθέτης, ἢ νομοφύλαξ. οὐδεὶς ἀποκλείσει
Ar. θεσμοθέτης τῇ κιγκλίδι.
Harp. 267 Θεσμοθέται: ἀρχή τίς ἐστιν Ἀθήνησιν. ἐξ δὲ ὄντων τὸν ἀριθμὸν καίτοι ἐκ τῶν καλουμένων θ' ἀρχόντων. καλοῦνται δὲ οὕτως, ὅτι τῶν νόμων τὴν ἐπιμέλειαν εἶχον. ὅτι δὲ τοὺς νόμους οὗτοι διώρθουν κατ' ἐνιαυτὸν ἕκαστον, εἴρηκεν Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος.
Harp. 268 Θεσμός· ἐκαλεῖτο μὲν πάλαι καὶ εἷς ἕκαστος τῶν νόμων θεσμός, καὶ τὸ ὅλον δὲ τῆς πολιτείας σύνταγμα Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους εἶπε.
Anth. 269 Θεσμοτόκον: τὰς μελίσσας φησὶ διὰ τὸ εὔτακτον. θείης θεσμοτόκον χορὸν ἄπλετον.
Σ 270 Θεσμοφόρια: ὄνομα ἑορτῆς. ὥσπερ ἐν θεσμοφορίοις νη-
Ar. στεύομεν ἂν θυηλῶν. Ἀριστοφάνης.
Σ 271 Θεσμοφόρος: ὁ τοὺς νόμους ἐπιφερόμενος. καὶ ἐν Ἐπιγράμ-
Anth. μασι· ὡμολόγης' ἥξειν εἰς νύκτα μοι ἐπιβόητος, καὶ σεμνὴν ὤμοσε Θεσμοφόρον.
Δ 272 Θεσμοφόρος. ὅτι Βάττος ὁ Κυρήνην κτίσας τῆς Θεσμο-
Ε φόρου τὰ μυστήρια ἐγλίχετο μαθεῖν καὶ προσῆγε βίαν λίχνοις ὀφθαλμοῖς χαριζόμενος.
Σ 273 Θεσπέσιος: θεῖος, θαυμαστός, πρᾶος.
274 Θεστιάδες: ἐκ πολλῶν γυναικῶν ἦσαν ν' θυγατέρες, αἷς Ἡρακλῆς ἐμίγη.
Δ 275 Θεσπιδαὲς πῦρ: τὸ Μηδικόν.
Δ 276 Θέσπεια: ὄνομα πόλεως.
Δ 277 Θεσπιαί.
Anth. 278 Θεσπιέσι· Φρύνη τὸν πτερόεντα ἔρωτα μισθὸν ὑπὲρ τέκνων ἄνθετο Θεσπιέσι.
Δ 279 Θεσπιεύς: ποταμός. καὶ Θεσπιέων· καὶ Θεσπιεῖς.
Σ 280 Θεσπίζει: νομοθετεῖ.
Ar. 281 Θεσπιῳδεῖ: χρησμολογεῖ. Ἀριστοφάνης Πλούτῳ· ὃς θεσπιῳδεῖ

266 — νομοφύλαξ = P 1 cf. H, Tim., Ba 256, 2 οὐδεὶς sq. Ar. Vsp. 775
267 Harp. = P 3 cf. Bk. 264, 15 = Et. M. 448, 10; P 2. Aeschin. 3, 38
268 Harp. = P cf. Bk. 264, 12; Dem. 23, 62 269 θείης sq. Anth. 6, 239, 5
270 — ἑορτῆς = P, Ba 256, 3 cf. H, L ὥσπερ sq. Ar. Av. 1519—20 271 — ἐπιφερόμενος = P, Ba 256, 4 cf. H ὡμολόγης' sq. Anth. 5, 149, 1—2 272 ὅτι sq. Aelian. fr. 44 273 = P, Ba 256, 5 cf. sch. Luc. 239, 16; H = Et. Gen., Et. M. 447, 51; sch. A 591, Ps. Herodian. 56, Ap. S. 87, 28 274 cf. Diod. 4, 29
275 l. = M 177 276 = L cf. Ambr. 155 277 cf. Ambr. 155 278 Anth. 6, 260, 1—2 279 Θεσπιέων sq. = Ambr. 138—9 280 = P, Ba 256, 6 cf. H 281 Ar. Pl. 9 c. sch.

271 Z 1028 274 cf. 287 275 Z 1036 280—1 Z 1038

A³(GIFVM) 266—7 inverso ord. 3 ἐστιν ex FV, Harp. Phot. 5 τῶν νόμων] τὸν νόμον V 19 λύχνοις V 274 om. F 22 Θεσπιάδες Bhd., ordo poscit; Θεστίου add. ed. pr. 25 Θέσπια F 278 non nov. gl. FV 28 Θεσπεσίεσιν A 29 ποταμός] τόπος F ὁ πολίτης Bhd. Θεσπεσιέων κ. Θεσπισιεῖς F

τρίποδος ἐκ χρυσηλάτου. ἠτυμολόγηται δὲ ἡ λέξις παρὰ τὸ θεοπεδωδεῖν, ἢ παρὰ τὸ τὴν Θέμιν ἐκεῖ τὰς μαντείας ἄγειν. ἐτραγικεύσατο δὲ τῇ φράσει. ἡ δὲ Πυθία ἐπὶ τρίποδος καθημένη ἐχρησμῴδει. ἐκαλεῖτο δὲ τὸ μέρος ἐν ᾧ ἐκάθητο ὅλμος.

282 Θέσπις, Ἰκαρίου, πόλεως Ἀττικῆς, τραγικὸς ις′ ἀπὸ τοῦ πρώτου γενομένου τραγῳδιοποιοῦ Ἐπιγένους τοῦ Σικυωνίου τιθέμενος, ὡς δέ τινες δεύτερος μετὰ Ἐπιγένην· ἄλλοι δὲ αὐτὸν πρῶτον τραγικὸν γενέσθαι φασί. καὶ πρῶτον μὲν χρίσας τὸ πρόσωπον ψιμυθίῳ ἐτραγῴδησεν, εἶτα ἀνδράχνῃ ἐσκέπασεν ἐν τῷ ἐπιδείκνυσθαι, καὶ μετὰ ταῦτα εἰσήνεγκε καὶ τὴν τῶν προσωπείων χρῆσιν ἐν μόνῃ ὀθόνῃ κατασκευάσας. ἐδίδαξε δὲ ἐπὶ τῆς πρώτης καὶ ξ′ ὀλυμπιάδος. μνημονεύεται δὲ τῶν δραμάτων αὐτοῦ Ἄθλα Πελίου ἢ Φόρβας, Ἱερεῖς, Ἠΐθεοι, Πενθεύς. Hesy.

283 Θέσπις: ὄνομα κιθαρῳδοῦ. Ἀριστοφάνης· ὀρχούμενος τῆς νυκτὸς οὐδὲν παύεται τἀρχαῖ' ἐκεῖν', οἷς Θέσπις ἠγωνίζετο. Ar.

284 Θεσπίσματα: θεῖα δόγματα. Σ

285 Θεσπρωτεύς· Θεσπρωτία, χώρα. Δ

286 Θεσπρώτιος λέβης. Δ

287 Θεστιάδες: ἐκ πολλῶν γυναικῶν ἦσαν ν′ θυγατέρες, αἷς Ἡρακλῆς ἐμίγη.

288 Θέσφατος τελευτή: ἡ θεσπισθεῖσα.

289 Θετταλὴ γυνή: ἐπὶ τῶν φαρμακίδων. διαβάλλονται γὰρ οἱ Θετταλοὶ ὡς γόητες· καὶ μέχρι καὶ νῦν φαρμακίδες αἱ Θετταλαὶ καλοῦνται. φασὶ δὲ ὅτι ἡ Μήδεια φεύγουσα κίστην ἐξέβαλε φαρμάκων ἐκεῖ, καὶ ἀνέφυσαν. βαρυτόνως δὲ οἱ Ἀττικοὶ ἀναγινώσκουσιν. Ἀριστοφάνης· γυναῖκα πριάμενος Θετταλὴν καθέλκοιμι νύκτωρ τὴν σελήνην· εἶτα καθείρξαιμ' ὥσπερ κάτοπτρον. ὁ γὰρ τῆς σελήνης κύκλος στρογγυλοειδὴς ὡς ἔσοπτρον. καί φασι τοὺς περὶ τὰ τοιαῦτα δεινοὺς τούτῳ κατάγειν τὴν σελήνην. ἔστι δὲ καὶ Πυθαγόρου παίγνιον διὰ κατόπτρου τοιοῦτον. πληροσελήνου τῆς σελήνης οὔσης, εἴ τις ἔσοπτρον ἐπιγράψειεν αἵματι, ὅσα βούλεται, καὶ προειπὼν ἑτέρῳ σταίη κατόπιν αὐτοῦ, δείκνυσι πρὸς τὴν σελήνην τὰ γράμματα, κἀκεῖνον ἀτενίσαι πλησίον εἰς τὸν τῆς σελήνης κύκλον, ἀναγνοίη πάντα τὰ ἐν τῷ κατόπτρῳ γεγραμμένα, ὡς τῇ σελήνῃ γεγραμμένα. Ar.

283 Ar. Vsp. 1478—9 c. sch. 284 = P, Σ^{a} cf. Ba 256, 7, Et. M. 447, 56 285 Θεσπρωτεύς cf. Ambr. 141. Θεσπρωτία = L 286 = L 289 Ar. Nu. 749—752 c. sch.

283 cf. v. οὐδὲν ἧττον 287 cf. 274

1 ἐτυμολογεῖται G ἠτυμολογεῖται I 2 τὴν om. GIM 5 Ἰκάρου F A^{a}(GIFVM) 7 δεύτερος Kust.: cp. IM δεύτερον AGM ἄλλοι—8 φασί ante vs. 7 ὡς transposuit Bhd. 8 ψιμυθίῳ $G^{1cp}M^{cp}$: ψιμιθίῳ A ψιμύθιον V 15 οὐδὲν AV: οὐ GIM 17 Θεσπρωτεία V; nov. gl. GIVM 286 om. F 18 Θεσπρώτειος V cf. Ambr. 125 287 ex FVM; ante gl. lac. in M cf. ad 274 21 τελετή AIM 23 καὶ alt. om. A 26 καθέλκοιμι A: καθέλκοι μοι V καθέλκει μοι GIM καθέλοιμι Ar. 28 στρογγυειδὴς V 29 Πυθαγόρου sch.: cp. V πύθαγ^{oc} A πύθαγος rell. 30 τοιοῦτο VM 32 πρὸ τῆς σελήνης V

Σ 290 Θετταλικαὶ πτέρυγες: τοῦτο εἴρηται διὰ τὸ πτερύγιον ἔχειν τὰς Θετταλικὰς χλαμύδας, ἅπερ εἰσὶν αἱ ἑκατέρωθεν γωνίαι, διὰ τὸ ἐοικέναι πτέρυξιν.

Σ 291 Θετταλῶν σόφισμα: καὶ ἐπὶ μάχης καὶ ἐπὶ σχήματος καὶ ἐπὶ παρακρούσεως καὶ ἄλλων μυρίων τάσσουσιν ἀπὸ αἰτίας τοιαύτης. Ἀρατίῳ γὰρ κατιόντι ὁ θεὸς ἔφη φυλάξασθαι, μὴ λάθωσιν αὐτὸν οἱ ἐξ ἐναντίας εὐχῇ μείζονι καὶ λαμπροτέρᾳ κατ' αὐτοῦ χρησάμενοι. ὁ δὲ ἑκατόμβην ἀνδρῶν εὔξατο θύσειν τῷ Ἀπόλλωνι. κατορθώσας δὲ ἃ ἐβούλετο, τὴν θυσίαν διὰ τὸ μὴ ἱεροπρεπῆ εἶναι ἀεὶ ἀνεβάλλετο. ὅτι
Ar. διαβάλλονται οἱ Θετταλοὶ ὡς ἀνδραποδισταὶ καὶ ἄπιστοι.

Harp. 292 Θετταλός: εἷς τῶν Κίμωνος παίδων ἐκαλεῖτο οὕτως.

Harp. 293 Θέτης· μήποτε θέτην λέγουσι τὸν ὑποθήκην τεθεικότα, οὐχ ὡς ὁ Δίδυμος τὸν εἰσποιησάμενον. θετοὺς γὰρ ἔλεγον τοὺς ποιητούς.

Δ 294 Θέτις, Θέτιδος, ὄνομα κύριον. καὶ Θετίδειον.

Σ 295 Θετόν: εἰσποιητόν, οὐ γνήσιον. Θαλῆν τὸν φιλόσοφον μὴ γήμαντα τῆς ἀδελφῆς τὸν υἱὸν θέσθαι.

Ε 296 Θευδέριχος, ῥῆξ Γότθων καὶ Ἰταλιωτῶν, τῶν κατηκόων αὐτοῦ προὔστη, περιβαλλόμενος ὅσα τῷ φύσει βασιλεῖ ἥρμοσται. δικαιοσύνης τε γὰρ ὑπερφυῶς ἐπεμελήσατο καὶ τοὺς νόμους ἐν τῷ βεβαίῳ διεσώσατο, ἔκ τε βαρβάρων τῶν περιοικούντων τὴν χώραν ἀσφαλῶς διεφύλαξε· ξυνέσεώς τε γὰρ καὶ ἀνδρείας ἐς ἄκρον ἐλήλυθεν ὡς μάλιστα καὶ ἀδίκημα σχεδόν τι οὐδὲν οὔτε αὐτὸς ἐς τοὺς ἀρχομένους εἰργάζετο οὔτε τῳ ἄλλῳ τὰ τοιαῦτα ἐγκεχειρηκότι ἐπέτρεπε. καὶ ἦν λόγῳ μὲν τύραννος, ἔργῳ δὲ βασιλεὺς ἀληθὴς τῶν ἐν ταύτῃ τῇ τιμῇ ἐξ ἀρχῆς ηὐδοκιμηκότων οὐδενὸς ἥσσων, ἔρως τε αὐτοῦ ἔν τε Γότθοις καὶ Ἰταλιώταις πολὺς ἥκμασεν.

Δ 297 Θευδέριχος. ὅτι Θευδέριχος, ὁ Ἄφρος, διάκονόν τινα εἶχεν ὀρθόδοξον, ὃν πάνυ ἠγάπα καὶ ἔθαλπεν. οὗτος δὲ ὁ διάκονος νομίζων Θευδερίχῳ χαρίζεσθαι, τῆς ὁμοουσίου πίστεως ἀποστάς, τὰ Ἀρείου ἐφρόνησε. γνοὺς δὲ τοῦτο Θευδέριχος, τὸν οὕτως ἀγαπώμενον εὐθέως ἀπεκεφάλισεν εἰπών· εἰ τῷ θεῷ πίστιν οὐκ ἐφύλαξας, πῶς ἀνθρώπῳ φυλάξεις συνείδησιν ὑγιαίνουσαν;

290 cf. P, H, Paus. Att. fr. 204 ap. Eust. I. 331, 15 291 — ἀνεβάλλετο = P, Paus. Att. fr. 204 ap. Eust. I. 331, 19 διαβάλλονται sq. sch. Ar. Pl. 521 292 Harp. = P 293 Harp. cf. P, Bk. 264, 3, Et. M. 448, 22 294 Θετίδειον = Ambr. 188 295 — γνήσιον = P, Ba 256, 8, H cf. Et. M. 448, 21 Θαλῆν sq. Laert. 1, 26 296 Proc. Bell. 5, 1, 26—29 297 l. cf. L ὅτι sq. Theodor. Anagnost. PG 86, 193b

291 extr. cf. v. A 2154 295 cf. v. Εἰ 312. Z 1036

A³ (GITFVM) 1 Θετταλικὰ πτέρα Phot. Hes. Eust. Diogen. V 20 2 αἵπερ ed. pr. 291 om. T 5 καὶ—10 ἄπιστοι om. F 9 ὅτι—10 ἄπιστοι fort. interpol. 11 τῶν] κατὰ add. GI 12 μήπω GIVM τὸν] τὴν F 13 ὁ om. A, Harp. plen. ποιητούς] εἰσποιητούς F, Harp. plen. cf. vs. 15 14 Θετίδιον F 18 περιβαλόμενος A 21 ἀνδρίας M, Proc. 23 ἀλλὰ A 27 Θευδέριχος pr. om. A 31 θεῷ om. F

298 Θευδίβαλδος: ὄνομα κύριον. Λεόντιος μὲν τοσαῦτα εἶπε· Δ
Θευδίβαλδος δὲ ἀμείβεται ὧδε. ἀντὶ τοῦ ἀνταποκρίνεται. EL + x
299 Θευδίβερτος: υἱὸς Θευδερίχου. καὶ ζήτει ἐν τῷ τολμητίας. E
300 Θεύδερτος: ὁ βασιλεὺς τῶν Φράγγων.
301 Θευδόσιος: ὁ Θεοδόσιος. καὶ Θευδουσία χώρα, κείμενον Δ
ἔγγυς Σκυθῶν· ὃ πολιορκῶν Σάτυρος ἐτελεύτησεν. Harp.
302 Θεὸς Ἄρης: τουτέστι θεὸς Ἄρης, ἐν Πέτρᾳ τῆς Ἀραβίας.
σέβεται δὲ θεὸς Ἄρης παρ' αὐτοῖς· τόνδε γὰρ μάλιστα τιμῶσι. τὸ δὲ
ἄγαλμα λίθος ἐστὶ μέλας, τετράγωνος, ἀτύπωτος, ὕψος ποδῶν τεσσά-
ρων, εὖρος δύο· ἀνάκειται δὲ ἐπὶ βάσεως χρυσηλάτου. τούτῳ θύουσι
καὶ τὸ αἷμα τῶν ἱερείων προχέουσι· καὶ τοῦτό ἐστιν αὐτοῖς ἡ σπονδή.
ὁ δὲ οἶκος ἅπας ἐστὶ πολύχρυσος, καὶ ἀναθήματα πολλά.
303 Θευσούμενος: δραμούμενος. οἱ δὲ ἀφίκοντο, ὁ μὲν ἀγωνιού- Δ + E
μενος πυγμήν, ὁ δὲ θευσούμενος στάδιον.
304 Θεῖ: εὐκόλως ῥεῖ. Ἀριστοφάνης· νῦν μὲν γὰρ οὔτε θέομεν οὔτ' Ar.
ἐλαύνομεν. παρὰ τὴν παροιμίαν· ἀλλ' ὅταν ἀργύριον ᾖ, πάντα θεῖ
κἀλαύνεται. οὔτ' ἀνέμοις οὔτε κώπαις πλέομεν.
305 Θεῖα: εὐθέα, καὶ ὀρθά, καὶ θαυμαστά. θείους τε εἶναι τοὺς Σ
σπουδαίους· ἔχειν γὰρ ἐν ἑαυτοῖς οἱονεὶ θεόν· τὸν δὲ φαῦλον ἄθεον. Phil
διττὸν δὲ εἶναι τὸν ἄθεον· τόν τε ἐναντίον τῷ θεῷ λεγόμενον καὶ
τὸν ἐξουθενητικὸν τοῦ θείου· ὅπερ οὐκ εἶναι περὶ πάντα φαῦλον.
θεοσεβεῖς τε τοὺς σπουδαίους· ἐμπείρους γὰρ εἶναι τῶν περὶ θεοῦ
νομίμων.
306 Θειαζόντων: μαινομένων· ὁτὲ δὲ θαυμαζόντων. Σ + Δ
307 Θειάζουσα: ἐνθουσιῶσα, μαινομένη. Μαίσυος ὁ Σεμνόνων Σ + EL
βασιλεὺς καὶ Γάννα (παρθένος ἦν μετὰ τὴν Βελήδα ἐν τῇ Κελτικῇ
θειάζουσα) ἦλθον πρὸς τὸν Δομετιανὸν καὶ τιμῆς παρ' αὐτοῦ τυχόν-
τες ἀνεκομίσθησαν.
308 Θείας ἀμνάμμων: ὁ Βορέας ὁ ἄνεμος. Ἀμνάμμων δὲ ἀπό- Ecl.?
γονος. ὡς γὰρ Ἡσίοδος λέγει, τῆς Θείας ἀπόγονοι οἱ ἄνεμοι.

298 Λεόντιος—ὧδε Proc. Bell. 8, 24—ὃ = EL 120, 11 299—Θευδερίχου Agath. 1, 4 p. 20, 20 301 Θευδουσία sq. Harp. = P 302 cf. Preger 194, 7—14 303 — δραμούμενος cf. Ap. S. 87, 30 = sch. Λ 700; H, Et. M. 448, 34 304 Ar. Eccl. 109 c. sch. plenior; fr. com. ad. 522 305 — θαυμαστά = P, Ba 254, 17 θείους sq. Laert. 7, 119 306 — μαινομένων = P, Ba 254, 18, H, Et. Gen., Et. M. 449, 45 θαυμαζόντων cf. Ambr. 202, Ps. Herodian. 57 307 Μαίσυος sq. Cass. D. 67, 5, 3 = EL 426, 11—13 308 Ἡσίοδος Th. 378

298 cf. v. A 1563 303 Z 1039 304 cf. 320 306 cf. v. Ε 2329 308 cf. v. A 1607

1 et 2 Θευδίκαλδος F 300 om. F, suspecta Bhd. 4 Φράγκων V A^2(GITFVM)
5 Θεοδόσιος alt.] καὶ Θουκυδίδης add. F 5. 6 κείμενον ἔγγυς F, Harp. Phot.: κειμένη ἐντὸς rell. 6 ὃ F Harp. Phot.: ᾗ V ἣν rell. 8 δὲ pr. om. FV, Anon. Treu 14 θευσόμενος GITFVM 15 εὐκόλος V οὔτε θέομεν ex AF solis 16 παρὰ] κατὰ AIT 18 θείους] nov. gl. GM 25 Μαίσυος—29 ἀνεκομίσθησαν om. TF 25 Μαίσιος V 26 Βελόδα GI 29 Ἀμνάμων bis ed. pr. ὁ alt. om. F δὲ] ὁ add. ed. pr.

Σ 309 Θειάσαντες: θεόληπτοι γεγονότες.
Δ 310 Θειασμός. Ἀρριανός· κρότος τε ἀθρόος καὶ ἐπιθειασμοὶ
Ε ὡρμήθησαν ὑπέρ τε τοῦ βασιλέως καὶ τῆς στρατιᾶς, ἐπιτυχῆ ἀμφοῖν γενέσθαι τὴν ὁρμήν.
Ε 311 Θειασμοί· Ἰώσηπος· θειασμοί τε τοῖς εἰρήνην ἀγαπῶσι δύσφημοι.
Σ 312 Θειάσομαι ὅλη: χαρῶ μανικῶς.
Σ 313 Θεῖεν: ποιήσειεν.
314 Θειλόπεδον: ὁ τόπος, ἐν ᾧ αἱ σταφυλαὶ ἐξηραίνοντο. ἐν
Anth. Ἐπιγράμμασι· ἐχῖνον ῥαγολόγον γλυκερῶν σίντορα θειλοπέδων.
Σ 315 Θεῖναι: ποιῆσαι.
Δ 316 Θείνω: τύπτω.
Δ 317 Θειοδάμη: ἡ θεοὺς δαμάζουσα.
Δ 318 Θειοειδεστάτη: θεοειδής.
Δ 319 Θείομεν: ἐμβαλοῦμεν.
Δ 320 Θεῖον: θαυμαστόν.
Δ 321 Θηβαΐς: χώρα.
Δ 322 Θῆβαι: τόπος. καὶ Θηβαῖος.
Δ 323 Θηβαίη πόλις.
Δ + Soph. 324 Θηγάνη: ἡ ἀκόνη. σιδηροβρῶτι θηγάνῃ νεηκονής. Σοφοκλῆς.
Σ 325 Θήγοντες· αἰτιατικῇ. ἀκονῶντες.
Δ 326 Θῆκαι: αἱ κοροί. διὰ δὲ ξύλων ἀπορίαν τὰς θήκας τῶν πέριξ
Ε τεθαμμένων ἀνορύσσοντες ἐκείνοις ἐς τὰ ἀναγκαῖα ἐχρῶντο.
Δ 327 Θηεῦντο: ἐθαύμαζον.
Δ 328 Θηεῖσθαι: θαυμάζεσθαι. Θηῆσθαι δὲ θεᾶσθαι.
Δ 329 Θηήσαντο: ἐθαύμασαν.

309 = P, Ba 254, 20, Et. Gen., Et. M. 449, 46 310 κρότος sq. Arr. Parth. fr. 34 311 Ios. Bell. 2, 650 312 cf. P v. θιάσῳ 313 = P, Ba 254, 19, Ambr. 201, Et. Gen. cf. sch. Δ 363 = Zon. 1039 314 — ἐξήραινοντο cf. Choer. An. Ox. 2, 219, 3, Et. M. 449, 25, H, Ap. S. 86, 23 ἐχῖνον sq. Anth. 6, 45, 1—2 315 = P, Ba 254, 22, H, sch. Δ 26, Et. Gen. 316 = Ambr. 199, Ps. Herodian. 57 et 246 cf. sch. A 588 = H; sch. P 430 317 cf. Ambr. 148 318 cf. Ambr. 144—5 319 cf. Et. M. 449, 32 320 = Ambr. 179, Ps. Herodian. 57 cf. sch. Δ 192 321 cf. Ambr. 249 322 cf. Ps. Herodian. 57. — τόπος cf. Ambr. 256. Θηβαῖος cf. Ambr. 241 324 Soph. Ai. 820 cf. sch.; — θηγάνη cf. L, Ambr. 253; ἀκόνη = H, Ps. Herodian. 57 325 cf. Synt. Laur. et Gud., An. Ox. 4, 294, 19 ἀκονῶντες = P, Ba 256, 9 cf. sch. N 475, H; Ambr. 277 = Ps. Herodian. 57 et 244, Et. M. 450, 15 326 — κοροί cf. H 327 = Ambr. 274, H cf. sch. H 444, Et. M. 450, 18 328 cf. H vv. θηεῖσθαι et θηήσασθαι, Ambr. 272, L, sch. Ap. Rh. 1, 436 329 = Ambr. 273, Et. M. 451, 33, sch. interl. A in X 370

310 cf. v. Ε 2330 314 Z 1037. Anth. cf. vv. ῥαγολόγος et σίντης 316 Z 1040 318 cf. 150 319 Z 1040 320 cf. 304 324 Z 1041 325 cf. 330 326 Z 1042 327—8 Z 1043 329 cf. v. Ε 321. Z 1043

A³(GIFVM) 2 ἀθρόως A ἐπιθειασμός V 312 corrupt., vid. Phot. 9 ῥογολόγον GI 13 Θεοειδεστάτη F, 150, Ambr. 144 Θειοδεστάτη V 17 τόπος] πόλις ed. pr., Ambr. 256 20 ἀκονοῦντες A 326 extra ord. 22 ἐκείναις Zon. Bhd. 24 Θηεῖσθαι] Θηῆσθαι V Θηῆσθαι AF: Θηεῖσθαι rell.

330 Θηκτόν: ἠκονημένον. θηκτὸν δ' ἐν προβόλῳ θεμένα ξίφος εἶπεν Σ + Anth.
ὀδόντα ὀξὺν ἐπιβρύκουσα.
331 Θηλάζειν: ἐνεργητικῶς ἡμεῖς ἀντιλαμβανόμεθα τοῦ ῥήματος, Rhet.
ἐπὶ τῶν παιδίων τῶν θηλαζόντων, Λυσίας δὲ παθητικῶς κέχρηται ἐπὶ
γυναικὸς παρεχούσης γάλα.
332 Θηλαμόνος: τῆς οἰκίας. Δ
333 Θηλάσαι. Δ
334 Θηλή: μαστὸς ὁ γαλουχῶν. Σ
335 Θηλυδρίας: τεθηλυμμένος. διὰ τὴν ἐξάγιστον ἡδονὴν οἱ Σ
θηλυδρίαι τριχοπλάσται εἰσίν.
336 Θηλύμητρις: ὁ πόρνος. Δ
337 Θήλυνοι: ἥσυχοι. Σ
338 Θῆλυς: παρ' Ὁμήρῳ ἐσχημάτισται ὡς πῆχυς. Ἥρη θῆλυς Hom.
ἑοῦσα. καὶ θήλεας ἵππους· οἱονεὶ θηλείας. οὐδετέρως δὲ θῆλυ. Δ
339 Θηλυτεράων: τῶν θηλειῶν. Δ
340 Θημακεύς: δῆμός ἐστι φυλῆς τῆς Ἐρεχθηΐδος Θήμακος. Harp.
341 Θημῶνες: οἱ σωροὶ τῶν δραγμάτων. καὶ Θημωνία, ἡ σωρός. Σ Δ
342 Θηραμένης, Ἀθηναῖος, ῥήτωρ, μαθητὴς Προδίκου τοῦ Κείου· Hesy.
ὃς ἐπεκαλεῖτο Κόθορνος. μελέτας ῥητορικάς· καὶ ἄλλα τινά.
343 Θηραμένης, Κεῖος, σοφιστής. Μελετῶν βιβλία γ', Περὶ ὁμοιώ- Hesy.
σεως λόγου, Περὶ εἰκόνων ἤτοι παραβολῶν, Περὶ σχημάτων.
344 Θηραμένης σοφός γ' ἀνήρ, ὃς ἦν κακοῖς που περιπέσῃ καὶ Ar.
πλησίον παραστῇ, πέπτωκεν· ἔξω τῶν κακῶν. οὗτος δὲ ἦν εὐμετάβολος
καὶ πρὸς τὸν καιρὸν ἁρμόζων. ζήτει ἐν τῷ δεξιός.
345 Θηραμένης σοφὸς ἀνὴρ καὶ δεινὸς εἰς τὰ πάντα, ὃς οὐδέποτε Ar.
ἐκακοβόλησεν ὡς ἐν ἀστραγάλοις, ἀλλ' ἐπετύγχανε. Θηραμένης οὐ
Χῖος δέ, ἀλλὰ Κεῖός φησι· παρ' ὅσον ποικίλος τις ἦν καὶ ἀγχίστροφος
καθωμίλει τε τοῖς καιροῖς πρὸς τὸ κρεῖττον μέρος ἀεὶ διδοὺς ἑαυτόν.

330 θηκτὸν sq. Anth. 7, 433, 3—4 331 cf. sch. Luc. 37, 4, sch. Theocr. 14, 15; Lys. 1, 9(?) 332 cf. Ambr. 226; l. = Ambr. 238 334 = P, Ba 256, 10; — μαστὸς = H, Ambr. 248, Ps. Herodian. 57 et 227 cf. Et. M. 450, 51, Thom. 176, 13 335 — τεθηλυμμένος = P, Σ^a, Ba 256, 11, H διὰ sq. Synes. Calv. PG 66, 1204 a 336 = Ambr. 222 cf. 247 337 = P, Ba 256, 13 338 — πῆχυς = sch. A (Aristonic.) in T 97; Ἥρη—ἑοῦσα T 97 c. sch. A in Ε 269; θήλεας—θηλείας Ε 269 c. sch. D θῆλυ cf. Ambr. 265 339 = Ambr. 250 cf. H 340 Harp. = P, Et. Gen., Et. M. 451, 10 341 — δραγμάτων = P, Ba 256, 14, H v. θημονιαί cf. Et. Gen., Et. M. 451, 8; Ambr. 225, sch. ε 368 Θημωνία sq. cf. Bk. 264, 18 = Et. M. 450, 9; l. = Ambr. 263 342 cf. sch. Ar. Nu. 361 344 — κακῶν Ar. Ran. 968—970. οὗτος—ἁρμόζων sch. Ar. Ran. 541 345 — p. 716, 1 ἐλέγετο Ar. Ran. 968 c. sch. 970

330 init. cf. 325. Z 1042. Anth. cf. v. B 572 331 Z 1044 332 Z 1042 334 Z 1042 335 cf. 331 et v. Ε 1509 336 Z 1040 337 Z 1041 338 Z 1042 342 cf. v. K 1909 344 cf. v. Δ 234 345 cf. v. A 410

333 om. F non nov. gl. GIM 334 om. F 17 Θημῶντες A 18 Κείου] A^2(GIFVM) οἰκείου F 21 περιβολῶν F 23 ἦν om. A 25 ὃς—p. 716, 3 ἐναλίων om. F 26 ὡς om. A

Harp. Κῷος δὲ ἐλέγετο. οὗτος ἀνῃρέθη κατηγορήσαντος αὐτοῦ Κριτίου
Δ ἐπὶ τῶν λ'. κλίνεται δὲ εἰς ου.

346 Θηρατὴς λέξεων· θηρευτής ἐστι ζῴων χερσαίων καὶ ἐναλίων.

Σ 347 Θηρατεύεσθαι: ἀναβάλλεσθαι. καὶ Θηρατὴς λόγων, ἀντὶ
Ar. τοῦ ἐπιθυμητής.

Synt. 348 Θηρεύω· αἰτιατικῇ.

Σ 349 Θηρήτορας: κυνηγούς.

350 Θηρία: οἱ ἐλέφαντες. Θηρία καὶ τὰ δάκετα, ἔχιες, φαλάγγια,
E ὄφεις. ἐγίνοντο δὲ οἱ περὶ τὸν Προυσίαν περὶ τὴν τῶν θηρίων
συναγωγήν.

Suid. 351 Θηρείων· Αἰλιανός· τὰ γεννώμενα βρέφη κράσει θηρείων τε καὶ ἀνθρωπείων
σωμάτων τεράστια ἐδόκει.

352 Θηρίκλειον: εἶδος ποτηρίου.

Σ 353 Θηρικλέους τέκνον: κύλιξ, ἣν λέγεται πρῶτος κεραμεῦσαι
Θηρικλῆς.

Σ 354 Θηρίκλειον: ποτήριον ὑάλινον.

Synt. Δ 355 Θηριῶ· αἰτιατικῇ. καὶ Θηριωδεία: ἀπήνεια, ὀργιλότης.

356 Θηρώμενοι: ἀντὶ τοῦ ζητοῦντες. καὶ τιμὴν ἐκ τούτου παρὰ
τῶν ἄλλων θηρώμενοι.

Σ 357 Θηρῶντες: ἐπιτηροῦντες.

Δ 358 Θής, θητός: ὁ μισθωτός.

Σ 359 Θῆσσαν: μισθωτικήν, ἢ εὐτελῆ, ἢ δουλικὴν τροφήν.

Synt. 360 Θησαυρίζω· αἰτιατικῇ.

Thdr. 361 Θησαυροὶ ἀνέμων: οὐκ ἀποθῆκαί τινες, ἀλλ' ἡ ῥᾳδία κίνησις,
ἀπηνέμου τοῦ ἀέρος ὄντος.

E 362 Θησαυρούς· Ἀππιανός· ὅπλα τε πολλὰ καὶ σῖτον ἡτοιμάζετο
Suid. καὶ θησαυροὺς ἐποίει. καὶ Θησαυροφυλάκιον.

Hesy. 363 Θησεύς, ἱστορικός. Βίους ἐνδόξων ἐν βιβλίοις πέντε, Κορινθια-
κῶν ἐν βιβλίοις τρισίν, ἐν ᾧ δηλοῖ τὴν κατάστασιν τοῦ Ἰσθμιακοῦ
ἀγῶνος. ζήτει περὶ Θησέως ἐν τῷ ἀρχῇ Σκυρία.

345 οὗτος—λ' Harp. = P, Et. Gen., Et. M. 451, 12 κλίνεται sq. cf. Ambr. 232
347 — ἀναβάλλεσθαι cf. P = Ba 256, 15 Θηρατὴς sq. sch. Ar. Nu. 358
348 = Synt. Gud. et Laur. 349 = Ba 256, 16, sch. I 540 cf. P, H
352 = Ambr. 268 353 = P, Et. M. 451, 29 cf. H 354 = P, Ba 256, 17,
Et. Gen., Et. M. 451, 28 355 — αἰτιατικῇ = Synt. Laur. et Gud. Θηριωδεία
= Ambr. 262 cf. Ps. Herodian. 57 357 = P, Ba 256, 18 358 = Ambr. 223
cf. Ps. Herodian. 57, H 359 = P, Ba 256, 19 cf. Ambr. 251, Et. M. 451, 57
360 = Synt. Laur. et Gud., An. Ox. 4, 294, 17 361 Thdr. in Ps. 134, 7, PG 80, 1916 c
362 — ἐποίει App. fr. 6

346 Z 1041 347 Z 1041 et 1044 349 Z 1041 350 cf. 438 et v. φαλάγγια
351 ex v. τερατία 356—7 Z 1044 361 Z 1041 362 καὶ θησαυροφυλάκιον
ex v. πυργίσκοι

A²F(GITVM) 8 Θηρία pr.] Θηρίαι V Θηρία alt.] nov. gl. AGIVM ἔχιος F
9 ὄφεις AT: ὄφις rell. δὲ om. V 351 om. FT 11 θηρίων A
352 ex GIT 354 om. IT 17 Θηριῶ—καὶ om. F 18 Θηρόμενοι F
24 Θησαυρὸς V 27 καὶ Θησαυροφύλακιον om. F 28. 29 Κορινθιακὰ Müller
29 ἐν—30 Σκυρία om. F 29 Ἰσθμικ' A

364 Θησεύς, ὁ Αἰγέως υἱός, ὁ βασιλεὺς Κρητῶν. καὶ ζήτει ἐν τῷ Αἰγαῖον πέλαγος.

365 Θητεὺς καὶ Θητικόν· εἰς δ' διαιρουμένης παρ' Ἀθηναίοις τῆς πολιτείας, οἱ ἀπορώτατοι θητεῖς ἐλέγοντο, καὶ θητικὸν τελεῖν. οὗτοι δὲ οὐδεμιᾶς μετεῖχον ἀρχῆς οὐδὲ ἐστρατεύοντο. καὶ θῆσσαν δὲ ὠνόμαζον οἱ Ἀττικοὶ τὴν πενιχρὰν κόρην, ἣν ἐπαναγκὲς ἦν τοὺς ἔγγιστα γένους ἢ λαμβάνειν πρὸς γάμον ἢ πέντε μνᾶς διδόναι. Harp.

366 Θησείδας· τίς φθόνος αἰὲν Θησείδας ἀγαθῶν ἔγκοτος αἰὲν ἔχει; ζήτει ἐν τῷ ἔγκοτος. Suid.

367 Θησεῖον· καθῆσθαί μοι δοκῶ ἐπὶ τὸ Θησεῖον ἢ ἐπὶ τῶν Σεμνῶν θεῶν. τουτέστι τῶν Ἐριννύων. εἰς γὰρ ταῦτα τὰ ἱερὰ οἱ ἱκέται καθήμενοι ἀσυλίαν εἶχον. ἔστι δὲ τὸ Θησεῖον τέμενος ἀνειμένον τῷ Θησεῖ. Ar. Harp.

368 Θησείοισιν: ἑορτή τις τελουμένη παρ' Ἀθηναίοις. μετὰ γὰρ τὸ χαρίσασθαι τὴν δημοκρατίαν τοῖς Ἀθηναίοις τὸν Θησέα, Λύκος τις συκοφαντήσας ἐποίησεν ἐξοστρακισθῆναι τὸν ἥρωα. ὁ δὲ παραγενόμενος εἰς Σκῦρον διῆγε παρὰ Λυκομήδει δυνάστῃ τῆς νήσου· ὃς ζηλοτυπήσας ἀναιρεῖ αὐτὸν δόλῳ. Ἀθηναῖοι δὲ λιμώξαντες καὶ κελευσθέντες ἐκδικῆσαι τῷ Θησεῖ τὸν μὲν Λυκομήδην ἀνεῖλον, τὰ δὲ ὀστᾶ μεταστειλάμενοι καὶ τὸ Θησεῖον οἰκοδομήσαντες ἰσοθέους αὐτῷ τιμὰς νέμουσι. καὶ ἐγίνοντο διανομαὶ καὶ εὐωχίαι τοῖς Θησείοις. ἑορτὴ δὲ αὐτῷ ἐτελεῖτο, ἐπειδὴ αὐτὸς συνήγαγε τὴν Ἀττικήν, πρότερον κατὰ κώμας οἰκουμένην. οὗτος δὲ ὁ Θησεὺς ὁ υἱὸς Αἰγέως, Ἀθηναῖος, πολλὰ ἔργα ἐπεδείξατο. καὶ γὰρ τὸν ἀπὸ Τροιζῆνος χῶρον ἅπαντα ἄχρις Ἀθηνῶν ἡμέρωσε, λῃστῶν ἔμπλεων ὄντα, ἀνελὼν Κερκύονα καὶ Σκίρωνα καὶ Σίννιν τὸν πιτυοκάμπτην καὶ Περίφαντον τὸν κορυνήτην, οὗ τὴν κορύνην αὐτὸς ὕστερον ἐφόρει, καὶ Προκρούστην τὸν ξενοφόνον· καὶ Ἀμαζονίδων στρατὸν ἐλθόντα ἐπ' Ἀθήνας ἐχειρώσατο καὶ τὴν βασιλίδα γήμας ἔσχεν Ἱππόλυτον· εἶτα ἔγημε Φαίδραν. ἐπολεμήθη δὲ αὐτῷ καὶ πρὸς Κενταύρους πόλεμος καὶ ὑπὲρ Λαπιθῶν καὶ Πειρίθου τοῦ βασιλέως, καὶ ἄλλα ἄττα. Ar.

369 Θησειότριψ: ὁ ἐν τοῖς Θησέως διατρίψας.

370 Θῆσθαι: ἀμέλγειν. Δ

371 Θήσομαι: ὁρίσω, ποιήσω, ἀναδείξω. Σ

365 Harp. = P cf. Et. Gen. 367 — εἶχον Ar. Eq. 1311—2 c. sch. ἔστι sq. Harp. = P cf. Et. Gen., Et. M. 451, 39 368 — οἰκουμένην sch. Ar. Pl. 627 369 cf. Orus in Et. Gen. = Et. M. 451, 52; l. = L 370 = Ambr. 276 cf. sch. δ 89 371 = P, Ba 256, 20

366 ex v. Є 118 370—1 Z 1044

364 om. F 1 καὶ—2 πέλαγος om. T 365 extra ord., transpos. Kust. 6 οἱ A^3(GITFVMB) om. F 366 om. F 8 αἰὲν alt. om. A ἔχειν V cp. M 11 οἰκέται B, sch. 17 Σκῦρον A: Κῦρον rell. 18 λοιμώξαντες GIVM 24 ἄχρις ed. pr.: ἄχρι omnes 25 Κερκίονα I^{ac}V Κέρκωνα A 26 Σίννην A Περίφανον GIVM 32 Θησέως AGF, v. l. Et.: Θησέ M Θησέοις V Θησείοις I

Σ 372 Θῆττα: ἐπίκληρος, οὐκ ἔχουσα φερνήν, πενιχρὰ καταλειφθεῖσα ὑπὸ τοῦ πατρός, ὑπὸ δὲ τῶν ἀγχιστέων προικιζομένη κατὰ νόμον πεντακοσίων δραχμῶν.

Σ 373 Θῆτες: οἱ τροφῆς ἕνεκα δουλεύοντες.

Σ 374 Θητεύειν: μισθῷ ἐργάζεσθαι.

Σ 375 Θητεία: παραμονή, ἢ δουλεία.

Σ 376 Θητικὸν πλῆθος: τὸ ἐπὶ μισθῷ δουλεῦον. καὶ θητικὸν ἐπήγοντο οἱ αὐτοὶ ἐς τὸν πόλεμον οἱ Πέρσαι πλεῖστον ὅσον καὶ παιδία καὶ γυναῖκας, οὓς κατά τινα δὴ πάτριον νόμον ἐς τοὺς κινδύνους θεατὰς οἰκείας ἀλκῆς ἦγον.

Δ 377 Θητώνιον: τὸ τοῖς μισθωτοῖς διδόμενον.

Δ 378 Θίασος: χορός. καὶ Θιασώτης. Ἀριστοφάνης· ἐπιδημεῖ γὰρ
Ar. θίασος Μουσῶν ἔνδον μελάθρων τῶν δεσποσύνων μελοποιῶν. θία-
E σόν τε μίμων καὶ κορδακιστῶν περὶ αὐτὸν μάλα πλῆθος εἶχε.
Ar. Δ 379 Θίασος: ἱερὸς χορός. καὶ Θιασώτης, ὁ χορευτής. ἀπὸ
Ecl. τοῦ θεῖν, ὅ ἐστι θύειν. ὁ δὲ χορὸς ἀπὸ τῆς συνελεύσεως· θέειν γὰρ
τὸ τρέχειν· ἢ ἀπὸ τοῦ ἐνθουσιᾶν. ὅθεν θιασῶται κυρίως οἱ περὶ τὸν
Ar. Διόνυσον. ἐλθὲ χορεύσων ὁσίους ἐς θιασώτας. οὕτω λέγουσιν, οὐ
Anth. συνθιασώτας. ἐν Ἐπιγράμμασι· στρεπτὸν Βασσαρικοῦ ῥόμβον θιάσοιο
μύωπα.

Harp. 380 Θίασος: τὸ ἀθροιζόμενον πλῆθος ἐπὶ τέλει καὶ τιμῇ θεοῦ. οὕτως Δημοσθένης καὶ Ξενοφῶν. Ἴων δὲ ἐπὶ παντὸς ἀθροίσματος τάττει τοὔνομα. θιασῶται δὲ ἐκαλοῦντο οἱ κοινωνοῦντες τῶν θιάσων. οὕτως Ἰσαῖος.

381 Θιασώτης Κότυος. Κότυς, δαίμων παρὰ Κορινθίοις τιμώμενος, ἔφορος τῶν αἰσχρῶν. ὅθεν οἱ Κλεισθέναι καὶ Τίμαρχοι καὶ πάντες οἱ πρὸς ἀργύριον τὴν ὥραν διατιθέμενοι διὰ τὴν ἐξάγιστον ἡδονήν· καθάπαξ οἱ θηλυδρίαι τριχοπλάσται πάντες εἰσίν. ἀλλ' οἱ μὲν ἐπὶ τῶν οἰκημάτων ἄντικρυς οὗτοι. καίτοι νικᾶν νομίζουσιν, ὡς ταύτῃ μάλιστα τὸ θῆλυ τοῦ γένους ἐκμιμησόμενοι.

Σ 382 Θίβις: κιβώτιον ἐκ βύβλου πλεκτόν, ὡς κοφινῶδες.

372 = Et. Gen. cf. Et. M. 451, 54, P v. θῆσσαν 373 = P, Ba 256, 22 374 = P, Ba 256, 23 cf. H 375 = P, Σ^{a} cf. Et. M. 452, 1, Bk. 264, 19, H 376 — δουλεῦον cf. Bk. 264, 20 = Et. M. 452, 14 καὶ sq. Cass. D. temere attr. Vales. fort. Hist. Alex. FGrHist 151 377 = Ambr. 269 378 — χορός = Ambr. 283 cf. Et. M. 449, 55. Θιασώτης cf. Ambr. 282 ἐπιδημεῖ—μελάθρων Ar. Th. 40—2 θίασόν sq. Aelian. fr. 273 379 — χορός sch. Ar. Th. 41 cf. Lex. Patm. p. 144 Θιασώτης, ὁ χορευτής = Ambr. 282 cf. H; Ba 254, 21 = P, Et. Gen., Et. M. 449, 57, sch. Ar. Ran. 327 ἀπὸ—Διόνυσον = An. Ox. 2, 448, 24 cf. Et. M. 449, 56, Bk. 264, 25 ἐλθὲ—συνθιασώτας Ar. Ran. 326—7 c. sch. στρεπτὸν sq. Anth. 6, 165, 1 380 Harp. = P; Dem. 19, 199; Xen. Mem. 2, 1, 31; Ion. fr. 32; Isae. 9, 30 381 — Κότυος + ὅθεν sq. Synes. Calv. PG 66, 1204a 382 = Σ^{a}, P, Ba 256, 27 cf. H; Ambr. 287 = Ps. Herodian. 57, Boisson. 4, 380 vs. 276

376—7 Z 1043 378 Ar. cf. v. Ε 3792 379 Anth. cf. vv. ῥόμβος et στρεπτός 380 Z 1045 381 cf. 335, vv. Ε 1509 et Κ 2171

A^{2} (GITFVM) 374 post 365 F 7 καὶ—9 ἦγον om. TF 8 οἱ αὐτοὶ] αὐτοὶ A αὐτοῖς Bhd. 12 τῶν] τε GI 13 μάλα] ἅμαχον Hercher 15 θύειν GlFV^{ec}M, Ecl.: θέειν A 24 Κότυος ex FV solis Κότυς om. V 25 ὅθεν—29 ἐκμιμησόμενοι om. F

383 Θιγγάνει: ἅπτεται. Σ
384 Θιγεῖν· γενικῇ. ψαῦσαι, ἐγγίσαι. πολλὰ σιδηρείης χερσὶ θιγόντα Σ Anth.
μάχης. εἶτ' ἀξιώσατ' ἀνδρὸς ἀθλίου θιγεῖν. πείθεσθε, μὴ δείσητε· Soph.
τἀμὰ γὰρ κακὰ οὐδεὶς οἷός τε πλὴν ἐμοῦ φέρειν βροτῶν.
385 Θίμβρων, Λακεδαιμόνιος. οὗτος ἦν πεμφθεὶς εἰς τὴν Ἀσίαν Harp.
ἁρμοστὴς μετὰ τὰ Πελοποννησιακά.
386 Θῖνα: αἰγιαλόν, σωρόν. Ἀριστοφάνης· τὸν θῖνά μου ταράττεις Σ
καὶ τὸν νοῦν μου προσάγεις μᾶλλον· κοὐκ οἶδ' ὅ τι χρῆμά με Ar.
ποιεῖς. ἐν Ἐπιγράμμασι· καὶ τὴν παρὰ θῖνα κίσηριν, αὐχμηρὸν Anth
πόντου τρηματόεντα λίθον.
387 Θίς: ὁ αἰγιαλός. καὶ ὁ σωρὸς τῶν χρημάτων. Δ
388 Θίσβη: ὄνομα κύριον. καὶ ἡ σορός. Δ
389 Θλαδίας: εὐνοῦχος. ὑποβάλλει τοίνυν τοὺς Οὐαλέντος Σ
μυστικούς, τὴν γυναικωνῖτιν λέγω φάλαγγα, οἵπερ εἰσὶν ἀεὶ τῶν E?
φαύλων πράξεων ἐμπύρευμα, κατηγορῆσαι τοῦ Ἀετίου κατὰ βασιλέως
ἐμμελετᾶν, ὡς ἂν ἐπιβατεύσῃ τῆς ἐξουσίας, ἀγωνίζονται πεῖσαι τὸν
βασιλέα. ἦν γὰρ βαρὺς ὁ σταθμὸς τοῦ ὑποσχεθέντος χρυσίου, ὁ
ὑποσμήχων αὐτῶν τὰ ἔντοσθεν· δεινοὶ γὰρ εἰς τὸ συρράψαι βλάβας,
προκειμένης χρυσίου ὑποσχέσεως. ἄπληστον γὰρ τὸ γένος καὶ πρὸς
πλεονεξίαν ἀεὶ κέχηνε, καὶ οὐκ ἔστι τι τῶν φαύλων ἄνευ τῆς αὐτῶν
δυστροπίας ἐν τοῖς βασιλείοις τελούμενον. πείθεται ταῖς συκοφαντίαις
ὁ βασιλεὺς καὶ λόγου ταχύτερον πρὸς τὸν φόνον Ἀετίου κινηθεὶς
τοῦτον ἀναιρεῖ. καὶ ὡς ἔρμαιον αὐτῷ τὸ πραχθὲν λογισάμενός φησι
πρός τινα τὸν στοχάζεσθαι τὰ ἀπόρρητα δυνάμενον· οὐ καλῶς μοι
πέπρακται ἡ τοῦ Ἀετίου, ὦ οὗτος, ἀναίρεσις; ὁ δέ φησιν· εἰ καλῶς
ἢ μή, οὐκ οἶδα· γίνωσκε δέ, ὅτι τῇ λαιᾷ χειρὶ τὴν δεξιάν σου ἀπέκοψας.
390 Θλίβει: ἐκπιέζει. ζήτει ἐν τῷ βλιμάζειν. Σ

383 = P, Ba 256, 25 cf. H v. θίγειν 384 γενικῇ cf. Synt. Laur. et Gud. ψαῦσαι, ἐγγίσαι = P, Ba 256, 24 cf. H, L; ἐγγίσαι cf. Ambr. 290 = Ps. Herodian. 57, Synt. Gud., An. Ox. 4, 294, 19 πολλὰ—μάχης Anth. 7, 232, 2 εἶτ' sq. Soph. OT 1413—5 385 Harp. = P 386 — σωρόν = P, Σ^{a} cf. Et. Gen., Et. M. 450, 3 et 452, 16, Ps. Herodian. 57, H vv. θίν et θίς, Apion; αἰγιαλόν = Ap. S. 86, 24, scb. A 34; σωρόν cf. sch. μ 45 τὸν—ποιεῖς Ar. Vsp. 696—7 vs. 9 καὶ sq. Anth. 6, 62, 3—4 387 — αἰγιαλός cf. Ambr. 281. ὁ sq. = Ambr. 284 388 — κύριον = Ambr. 288 cf. Ps. Herodian. 57 389 — εὐνοῦχος = P, Ba 256, 28, L cf. H ὑποβάλλει sq. Prisco attr. Reines. cf. Exc. Salmas. = [Io. Antioch.] fr. 200, FHG 4, 614 (cf. de Boor Byz. Zt. 2. 206 sq., Patzig l. l. 593 sq.) 390 — ἐκπιέζει = P, Ba 257, 1 cf. H, Ps. Herodian. 58

384 Z 1045 386 Anth. cf. v. K 1070 388 Z 1045 389 cf. vv. Γ 500 et Ε 1474. Z 1046

2 ψαῦσαι] θαῦσαι M θίξαι A 3 εἶτ'] θῖτ A ἴτ' Zon. Soph. 7 ταράσ- A^{3}(GIFVM)
σεις A 9 ποεῖς GI^{ac} 11 ὁ alt. A, Ambr.: ἡ rell. 12 σορός A: σωρός rell.
13 τοίνυν] ὁ θλαδίας suppl. Müller Οὐαλεντινιανοῦ Kust. sed vid. v. Γ 500
16 ἐξουσίας] οἱ δὲ add. Müller 18 ὑποσμύχων Kust. 24 τὸν] τῶν Pors.
δυναμένων Pors. 26 γινώσκω temere Müller 27 κλιμάζειν V

391 Θλίψις: τούτῳ τῷ ὀνόματι πολλὰ δηλοῦται· φυλακαί, ἀλύσεις,
Suid. ἑξορίαι, καὶ ὅσα τοιαῦτα. θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν ἐπὶ θεοῦ τὰς πικρὰς τιμωρίας καλεῖ· οὐ γὰρ φύσιν, οὐδὲ προαίρεσιν.

Δ 392 Θμοῦϊς: ὄνομα κύριον θηλυκόν.

Δ 393 Θνησιμαῖον: τὸ νενεκρωμένον. καὶ Θνησείδιον, τὸ νεκρόν. καὶ Θνῆσις, ἡ φθορά.

Δ 394 Θνήσκω. Θνητός.

Soph. 395 Θοάζετε: κατὰ διάλυσιν, ἀντὶ τοῦ θάσσετε. ἢ θοῦς προκάθησθε. Σοφοκλῆς· τίνας ποθ' ἕδρας τάσδε μοι θοάζετε;

Δ 396 Θόας, Θόαντος: ὄνομα κύριον.

Σ 397 Θοάς: ταχείας ὁρμάς. σημαίνει δὲ καὶ ὀξείας. καὶ Ὅμηρος·
Hom. ἓν δ' αὖ νήσοισιν ἐπιπροέηκα θοῆσιν.

Σ 398 Θοηρός: τεταραγμένος.

Δ 399 Θοκόα: ὄνομα πόλεως παρὰ Ἰωσήπῳ.

Δ 400 Θολερός: ὁ τεταραγμένος.

Σ? 401 Θολερῶς προσβαίνεις: ἐπὶ τῶν ἀτάτως καὶ τεταραγμένως προϊόντων καὶ μὴ καθεσταμένην καὶ ἀσφαλῆ πορείαν ἐχόντων.

Σ 402 Θόλος: οἶκος περιφερής, ἐν ᾧ οἱ πρυτάνεις εἱστιῶντο. πρυτανεῖον δέ τι ἰδίως ὠνόμασται, ἐπεὶ πυρῶν ἦν ταμιεῖον.

Harp. 403 Θόλος: ὁ τόπος ἔνθα ἐδείπνουν οἱ πρυτάνεις, διὰ τὸ οἰκοδομεῖσθαι αὐτὸν στρογγύλον. Θολὸς δὲ τὸ τῆς σηπίας μέλαν.

Δ 404 Θοός: ταχύς.

Δ 405 Θώκοι: θρόνοι.

Δ 406 Θόων, Θόωνος: ὄνομα κύριον.

Harp. 407 Θοραί: δῆμος τῆς Ἀντιοχίδος.

Δ 408 Θορεῖν: πηδᾶν. καὶ Θορόντες, ὁρμῶντες, πηδῶντες.

391 — τοιαῦτα ad Coloss. 1, 24 rettulit Tittmann 392 cf. Ambr. 295 393 — νενεκρωμένον = Ambr. 298. Θνησείδιον, τὸ νεκρόν cf. Ambr. 299. Θνῆσις sq. = Ambr. 297 394 Θνήσκω cf. Ambr. 300. Θνητός cf. Ambr. 296 395 Soph. OT 2 c. sch. 396 = Ps. Herodian. 59 397 — ὁρμάς = P, Ba 257, 3 cf. H, Et. M. 453, 10, sch. A 12, Ambr. 318 σημαίνει sq. sch. A 12; o 299 398 = P, Ba 257, 4, Et. Gen., Et. M. 453, 20 cf. H, L 399 = Ambr. 319; Ios. Ant. 13, 15 (v. l.) 400 cf. H 401 cf. P = Et. Gen., Et. M. 453, 25, H, Zen. IV 31 402 Tim. = P cf. H, Et. M, 717, 42 403 — στρογγύλον Harp. Θολὸς sq. = H, Et. M. 444, 10; 453, 28, Philop. diff. cf. sch. Theocr. p. 350, 6 404 = L, Ps. Herodian. 59 cf. sch. Ε 536, Et. M. 452, 53, Apion 405 aliter sch. μ 318, H, L 406 cf. Ambr. 312 407 Harp. = P, Et. Gen., Et. M. 453, 21 408 — πηδᾶν = Ambr. 326 cf. H, Ambr. 331 = Ps. Herodian. 59 et 251. Θορόντες sq. cf. H; ὁρμῶντες cf. Ba 257, 10, P et Σ^{a} v. θωρόντες, Et. M. 453, 35; πηδῶντες = L cf. Ambr. 327

391 init. Z 1046; θυμὸν sq. ex v. A 196 392 Z 1046 393 Z 1047 et 1046 395 Z 1050 396 Z 1049 397 cf. 404 403 Harp. Z 1047. extr. cf. v. A 1879 404 cf. 397 405 Z 1049 408 cf. 514

A^{a}(GIFVM) 1 ἡ θλῖψις, non nov. gl. GIVM 2 θυμὸν—4 θηλυκόν om. F 4 κύριον ex A, Ambr. 399—400 ex V solo 16 προβαίνεις F Hes. Zen. v. l. Et. 19 ἰδίως om. F cf. Tim. Phot. πυρῶν] πῦρ F, Phot. 21 Θαλὸς V 26 Θορόντες A: Θορῶντες rell.

409 Θορή, θορῆς: ἡ γονή, τὸ σπέρμα. Δ
410 Θορικός: δῆμος τῆς Ἀκαμαντίδος. Harp.
411 Θόρνυσθαι. Δ
412 Θορός: τὸ σπέρμα τοῦ σώματος. ὁ δὲ Νέσσος λέγει τῇ Σ
Δηιανείρᾳ τὸ αἷμα ἀπὸ τῶν βελῶν, οἷς ἐβλήθη, ἀποξύσαι καὶ τῷ θορῷ, E
ὅνπερ αὐτὸς ἀφῆκε, συμμίξας ἀλεῖψαι τὸν Ἡρακλέα ἢ χρίσαι τὰ
ἱμάτια.
413 Θορυβούντων: ταραττομένων. θορυβούντων δὲ τῶν Γετῶν καὶ Δ + E
αὐτίκα τιμωρεῖσθαι δεομένων, ἐπικρατῆσαι Δουρὰν ὄνομα, ὑποθέμενον
τῷ βασιλεῖ τοῦτον φυλαχθῆναι. καὶ αὖθις· μετήνεκτο δὲ ἅπας ἐπὶ EL
τὴν Ἀρμενίαν ὁ θόρυβος, ἄλλων ἄλλα αὐτοῖς διακληρωσαμένων.
414 Θουκυδίδης, Ὀλώρου, Ἀθηναῖος, παῖδα δὲ ἔσχε Τιμόθην. ἦν Hesy.
δὲ ἀπὸ μὲν πατρὸς Μιλτιάδου τοῦ στρατηγοῦ τὸ γένος ἕλκων, ἀπὸ
δὲ μητρὸς Ὀλώρου τοῦ Θρᾳκῶν βασιλέως· μαθητὴς Ἀντιφῶντος.
ἤκμαζε κατὰ τὴν πζ' Ὀλυμπιάδα· ἔγραψε δὲ τὸν πόλεμον τῶν Πελο-
ποννησίων καὶ Ἀθηναίων. οὗτος ἤκουσεν ἔτι παῖς τυγχάνων Ἡροδότου
ἐπὶ τῆς Ὀλυμπίας τὰς ἱστορίας διερχομένου, ἃς συνεγράψατο, καὶ
κινηθεὶς ὑπό τινος ἐνθουσιασμοῦ πλήρης δακρύων ἐγένετο. καὶ ὁ
Ἡρόδοτος κατανοήσας τὴν αὐτοῦ φύσιν πρὸς τὸν πατέρα Θουκυδίδου
Ὄλωρον ἔφη· μακαρίζω σε τῆς εὐτεκνίας, Ὄλωρε· ὁ γὰρ σὸς υἱὸς
ὀργῶσαν ἔχει τὴν ψυχὴν πρὸς τὰ μαθήματα. καὶ οὐκ ἐψεύσθη γε τῆς
ἀποφάσεως. οὗτος ὁ Θουκυδίδης ἀνὴρ ἦν πολὺς ταῖς τέχναις, EV
κάλλει λόγων καὶ ἀκριβείᾳ πραγμάτων καὶ στρατηγίαις καὶ συμβουλίαις
καὶ πανηγυρικαῖς ὑποθέσεσιν. ὁ συγγραφεὺς οὗτος μεταβαίνει ἀπὸ Thuc.
τῶν θηλυκῶν εἰς οὐδέτερον· οἷον, τρέπονται εἰς Μακεδονίαν, ἐφ' ὅπερ
καὶ πρότερον. καὶ Θουκυδίδειος γραφή. Δ
415 Θοῦλις· οὗτος ἐβασίλευσε πάσης Αἰγύπτου καὶ ἕως τοῦ Ὠκεανοῦ
καὶ μίαν τῶν ἐν αὐτῷ νήσων ἀπὸ τοῦ ἰδίου ὀνόματος ἐκάλεσε Θούλην.
ἐπαρθεὶς δὲ τοῖς κατορθώμασι παραγέγονεν εἰς τὸ μαντεῖον τοῦ
Σαράπιδος καὶ θυσιάσας ἐρωτᾷ ταῦτα· φράσον ἡμῖν πυρισθενή,

409 cf. L 410 Harp. = Et. Gen., Et. M. 453, 22 cf. H 411 cf. H 412 — σώματος = P, Ba 257, 7 cf. Et. M. 453, 35, Ambr. 302—3 ὁ sq. Nic. Dam. vel Io. Antioch. attr. de Boor Byz. Zt. 23, 91 n. 4 413 l. cf. Ambr. 314. θορυβούντων—φυλαχθῆναι fort. Cass. D. μετήνεκτο sq. Men. Prot. fr. 40 extr. FHG 4, 242 = EL 200, 11—13 (indicavit Gsf. ms.) 414 Hesy. cf. Biogr. ed. Westermann p. 200, Phot. Bibl. p. 19 b 38—42, Pap. Oxyrrh. 15, n. 1800, fr. 2, 65 sq. vs. 22 οὗτος—24 ὑποθέσεσιν Marcell. 1 = EV 2, 30, 3—5 vs. 24 ὁ—26 πρότερον sch. Thuc. 1, 122, 3; Thuc. 1, 59, 2 Θουκυδίδειος γραφή = Ambr. 321 415 cf. Malal. p. 24, 22 sq., Io. Antioch. fr. 6, 9, FHG 4, 543, Chron. Pasq. ed. Bonn. p. 83 sq. (Patzig, Byz. Zt. 10, 44, Gelzer, Iul. Afric. 1, 81)

409 Z 1049 413 Z 1050 414 Ἡρόδοτος sq. cf. v. ὀργᾶν 415 Z 1048

1 Θορή] Θορά V 4 Νέσσος Kust.: Νέος F Νέσος rell. 5 Δικανείρᾳ GIVM A² (GIFVM)
αἷμα] τὸ add. F 6 συμμίξαcαν ed. pr. 9 ὄνομα] ὄνον GI 12 Ὀλώρου cett.
cf. v. O 197 δὲ om. F 15 τὴν om. V 16 Ἡρόδοτος V 17 διερχό-
μενος GIVM^cp 19 Θουκυδίδην V cp. GM 25 οὐδέτερα A cp. VM
26 γραφή A: cp. M γράφει GI γραμματικ⟨ή⟩ V 30 πυρισθενή F, Malal.: πυρι-
σθενές A, Chron. Pasq. πυρισθέν GIVM

ἀψευδῆ, μάκαρ, ὁ τὸν αἰθέριον μετεγκλίνων δρόμον, τίς πρὸ τῆς ἐμῆς βασιλείας ἐδυνήθη τοσαῦτα; ἢ τίς ἔσται μετ' ἐμέ; καὶ ἐδόθη αὐτῷ χρησμὸς ἔχων οὕτως· πρῶτα θεός, μετέπειτα λόγος καὶ πνεῦμα σὺν αὐτοῖς· σύμφυτα δὲ πάντα καὶ εἰς ἓν ἰόντα· οὗ κράτος αἰώνιον. ὠκέϊ ποσὶ βάδιζε, θνητέ, ἄδηλον διανύων βίον. καὶ ἐξελθὼν ἐκ τοῦ μαντείου ὑπὸ τῶν ἰδίων ἐσφάγη ἐν τῇ τῶν Ἄφρων χώρᾳ.

Δ? 416 Θούμαντις: ὄνομα κύριον. μηδὲν ἐς Λυσίστρατον, μηδὲ Θούμαντιν Suid. τὸν ἀνέκτιον αὖ λυπεῖν ἑκούσῃ καρδίᾳ. οὗτοι πένητες διεβάλλοντο.

417 Θούρρας· οὗτος ἐβασίλευσε μετὰ Νῖνον Ἀσσυρίων, ὅντινα μετεκάλεσαν εἰς ὄνομα τοῦ πλανήτου ἀστέρος Ἄρεα· ὃς ἦν δεινὸς σφόδρα καὶ πολεμήσας Καυκάσῳ τυράννῳ, ἐκ τῆς φυλῆς Ἰάφεθ καταγομένῳ, ἀνεῖλεν αὐτόν. τούτῳ προσεκύνησαν Ἀσσύριοι ὡς θεῷ καὶ ὠνόμασαν αὐτὸν Βάαλ, ὅ ἐστι κατὰ τὴν αὐτῶν γλῶσσαν Ἄρης, πολέμων ἔφορος· οὗ μνημονεύει καὶ ὁ προφήτης Δανιήλ.

Ar. 418 Θουριομάντεις: ἀπὸ τοῦ γενικοῦ ἐχώρησεν ἐπὶ τὸ κατ' εἶδος. εἰπὼν γάρ, ὅτι πάντας αἱ νεφέλαι τρέφουσι τοὺς σοφιστάς, ἐπήγαγε τίνας. θουριομάντεις δὲ οὐ τοὺς ἀπὸ Θουρίου μάντεις, ἀλλὰ τοὺς εἰς Θούριον πεμφθέντας. ἁλούσης γὰρ Συνάρεως, Θούριοι ἐκλήθησαν ἀπὸ κρήνης Θουρίας. ἐξέπεμψαν δὲ εἰς τὴν κτίσιν αὐτῶν Ἀθηναῖοι δέκα ἄνδρας, ὧν καὶ Λάμπων ἦν ὁ μάντις, ἐξηγητὴς ἐσόμενος τῆς κτίσεως τῆς πόλεως.

Δ 419 Θούριον: ὄνομα ἔθνους. καὶ Θούριος Αἴας, ἀντὶ τοῦ Ar. πηδητικός, ταχύς, πολεμικώτατος.

Σ + Anth. 420 Θοῦρον καὶ Θούριος: πηδητικόν, ταχύν, πολεμικώτατον. ἐν Ἐπιγράμμασι· ἄλλος ἀπὸ κράτας θοῦρος ἀνὴρ ἔθετο. Θούριος Ἄρης ἔσπασεν Ἀργείων καὶ Λακεδαιμονίων.

Σ 421 Θῶες, θώων: θηρία ἐξ ὑαίνης καὶ λύκου γεννώμενα.

Δ 422 Θωή: ἡ ζημία. καὶ Ἀθῷος, ὁ ἀζήμιος. Θωὴ δέ, ὃ κατα- Eol. τίθεται ὁ ζημιούμενος.

Δ 423 Θώθ: ὁ Ἑρμῆς.

417 cf. Malal. p. 19, 1 sq. et [Io. Antioch.] fr. 61, 1, FHG 4, 542 (Gelzer, Iul. Afric. 1, 79) 418 sch. Ar. Nu. 332 419 — ἔθνους cf. L, Ambr. 324 Θούριος sq. sch. Ar. Eq. 756 420 — πολεμικώτατον (praeter Θούριος) = P, Ba 257, 9 cf. Et. M. 458, 37, H ἄλλος—ἔθετο Anth. 6, 126, 2. Θούριος sq. Anth. 7, 244, 1—2 421 = Ba 259, 5, P cf. sch. A interl. in Λ 474, sch. A in N 103, H; Ambr. 444 = Ps. Herodian. 60 422 — ἀζήμιος cf. Ap. S. 89, 11, sch. β 192, Boisson. 4, 381 vs. 293. Ζημία = Ambr. 462, Ps. Herodian. 60 cf. H, Et. M. 459, 39 Θωὴ sq. = An. Ox. 2, 447, 33 ex quo Et. M. 459, 39 423 cf. L

416 μηδὲν sq. ex v. A 2331 419 Ar. cf. v. Λ 441 421 cf. 445 422 cf. v. A 747 423 cf. 446

A²(GITFVM) 1 ἀψευδές Malal. 2 βασιλεὺς F cp. V 4 αὐτῷ F; χρησμὸς θαυμάσιος mg. add. VM 5 οὐκέτι GIM^{ac} 6 τῶν alt. om. V 7 μηδὲν—8 διεβάλλοντο om. TF 9 Θούρας F, Malal. 13 γλῶτταν A 17 Θορείου V Θουριίου M 18 Συβαρέως ed. pr., sch. 22 καὶ—23 πολεμικώτατος om. F 23 πολεμικώτατος—24 ταχύν om. V 24 Θούριος] Θούριον F 26 Λακεδαιμόνων V Λακεδαίμονος F cp. GIM 27 Θῶες AF: Θόες GIVM θόων GIM

424 Θώκνειον: ὄνομα τόπου. Δ
425 Θῶκος: θρόνος, καθέδρα. Δ
426 Θωμᾶς: ὄνομα κύριον. Δ
427 Θωμίζω: δεσμῶ σχοινίοις. Δ
428 Θώμιγξ: τὸ σχοινίον. Δ
429 Θωμούς: σωροὺς ξύλων. θωμοὶ δὲ λέγονται καὶ οἱ τῶν πυρῶν σωροί. τυφὼς δὲ ἡ ἐξ ἀναθυμιάσεως τῆς γῆς συστροφή, πρὶν ἐκπυρωθῆναι. Ἀριστοφάνης· εἶθ' αὐτὴν ὥσπερ τοὺς θωμοὺς μεγάλῳ τύφῳ καὶ πρηστῆρι ξυστρέψας καὶ ξυγγογγυλίσας οἶχοιο φέρων. καὶ αὖθις ἐν Ἐπιγράμμασι· ἀκτά τε Κρηταιῖς ἐϋτριβέος τεροειπ θωμοῦ. Ar. Anth.
430 Θών: ὄνομα κύριον. καὶ κλίνεται Θῶνος. Δ
431 Θῶπα: κόλακα. Ἰόρτιόν τε καὶ τοῦτον θῶπα ἰσχυρὸν ὑμνοῦσι. Δ + E
432 Θῶπες: οἱ μετὰ ψεύδους καὶ θαυμασμοῦ προσιόντες ἐπὶ κολακείᾳ λόγοι. θῶπάς τε καὶ ἀπατηλοὺς προτείνοντες λόγους. ἡ εὐθεῖα Σ + X Δ
433 Θώψ, θωπός. καὶ οὕτως μὲν θεράπευε τὰ δίκαια καὶ φιλοσοφίᾳ πρέποντα, ἀλλ' οὐ τὸν θῶπα τρόπον καὶ βάναυσον.
Θωπεύει· αἰτιατικῇ. ἀπατᾷ. ἐν Ἐπιγράμμασι· ὅτι χαλέπτων Κύπριδα θωπεύεις, δεσποτικὴν ὀδύνην. καὶ Ἀριστοφάνης· εἰ δέ τις ὑμᾶς ὑποθωπεύσας λιπαρὰς καλέσειεν Ἀθήνας, εὕρετο πᾶν ἂν διὰ τὰς λιπαράς, ἀφύων τιμὴν περιάψας. λιπαρὰς ἀφύας, ἀντὶ τοῦ εὐτελῆ τιμήν. λέγεται δὲ καὶ ἑνικῶς ἀφύη. Ἀριστοφάνης ἐν Ταγηνισταῖς· ἅλις ἀφύης μοι· παρατέταμαι γὰρ ἐσθίων. Anth. Ar.
434 Θωπεία: κολακεία. ἡ περισσὴ πρός τινας κολακεία, καὶ τὸ μὴ ἐλευθέρως προσφέρεσθαι τῇ κολακείᾳ τοῖς ὑπερέχουσιν. Ἀντιφῶν ἐν τῷ Περὶ ὁμονοίας· πολλοὶ δ' ἔχοντες φίλους οὐ γινώσκουσιν, ἀλλ' ἑταίρους ποιοῦνται θῶπας πλούτου καὶ τύχης κόλακας. Σ Rhet.
435 Θωπικαί: κολακευτικαί. καὶ ἐστὲ θωπικαὶ φύσει. καὶ Θωπικῶς, κολακευτικῶς. Ar. Σ

424 cf. L 425 = Ambr. 445 cf. H, Ps. Herodian. 59, Ap. S. 89, 12, sch. Θ 439, Et. M. 460, 8 426 = Ambr. 452, Ps. Herodian. 60 427 cf. L 428 = Ambr. 461, L, Ps. Herodian. 60 cf. P = Et. Gen., Et. M. 459, 53, H 429 — φέρων Ar. Lys. 974—7 c. sch. cf. P = Et. Gen., Et. M. 459, 51; Ambr. 446 = Et. M. 459, 52; H ἀκτά sq. Anth. 6, 299, 5—6 430 cf. Et. M. 459, 55; — κύριον cf. Ambr. 451. Θῶνος = Ambr. 458 431 — κόλακα cf. Ambr. 449, H, Ps. Herodian. 59 et 192. Ἰόρτιόν sq. Aelian. fr. 108 432 — κολακείᾳ Tim. = P, Et. Gen., Et. M. 459, 45, sch. Luc. 227, 19 θῶπάς—λόγους fort. Dam. Θώψ, θωπός = Ps. Herodian. 59—60 vs. 15 καὶ pr. sq. Dam. fr. 157 cf. Phot. Bibl. 351 a 35—7 433 — αἰτιατικῇ cf. Synt. Gud. et Laur., An. Ox. 4, 294, 26 ὅτι—ὀδύνην Anth. 5, 262, 5—6 εἰ Ar. Ach. 639—640 c. sch.; Ar. fr. 506 434 — κολακεία = P, Ba 259, 6, H, Et. Gen., Et. M. 459, 44, Ambr. 465, Ps. Herodian. 60, sch. Luc. 227, 19 ἡ—κολακεία = Bk. 190, 4; 265, 17; Antiph. fr. 87 435 — φύσει Ar. Lys. 1037 c. sch. Θωπικῶς sq. = Ba 259, 7 cf. H, P

424 Z 1067 427 Z 1068 430 Z 1066 433 Ar. cf. vv. A 1244 et 4660, Λ 575. Z 1070

1 Θώκλειον GIT 4 σχοινίοις AT: σχοίνοις rell. 8 Ἀριστοφάνης— 10 θωμοῦ om. F 15 οὕτω A 16 τρέποντα V 18 καὶ om. A 24 τῇ κολακείᾳ del. ed. pr. 26 θῶκας GM A²(GITFVM) ἐθεράπευε Phot.

Δ 436 Θωρακεῖον: τὸ τεῖχος.

Σ 437 Θωρακείοις: προμαχῶσι, δρυφάκτοις, λωρικίοις. μέχρι μέν
Ε τινος ὑποπεπτηχότες τοῖς θωρακίοις ἠρέμουν.

Ε 438 Θωράκιον: τὸ τοῦ ἐλέφαντος. ὅτι Ἀννίβας ὁ Καρχηδονίων στρατηγὸς φέρων τῶν ἐλεφάντων τὰ θωράκια καὶ τοῖς τῶν θηρίων οἰκιδίοις ἐπὶ πλεῖστον ὕψος τοὺς κλάδους ἀποκόπτων ἀσφαλῆ καὶ ῥᾳδίαν τὴν ὁδοιπορίαν κατεσκεύαζεν.

Σ 439 Θώραξ: πύργος, χιτών, στῆθος. παρὰ τὸ θεῖον ὠρεῖν, τουτέστι
Ecl. φυλάττειν τὸ διανοητικόν, ὅ ἐστιν ἐν ἡμῖν θεῖον. θώραξ δὲ ἱππέως
Ε Πάρθου τοιόσδε ἐστί. τὸ μὲν γὰρ αὐτοῦ πρόσω στέρνον τε καὶ μηροὺς καὶ χεῖρας ἄκρας καὶ κνήμας καλύπτει, τὸ δὲ ὄπισθεν νῶτά τε καὶ τὸν αὐχένα καὶ τὴν κεφαλὴν ἅπασαν. περόναι δέ εἰσι πρὸς ταῖς πλευραῖς πεποιημέναι, αἷς ἑκάτερον τῶν μερῶν συμπορπηθὲν ὅλον σιδηροῦν ποιεῖ φαίνεσθαι τὸν ἱππέα. κωλύει δὲ οὐδὲν ὁ σίδηρος οὔτε τὰς ἐκτάσεις τῶν μελῶν οὔτε τὰς συστολάς· οὕτως ἀκριβῶς πρὸς τὴν τῶν μελῶν φύσιν πεποίηται. ὁπλίζουσι δὲ καὶ τὸν ἵππον ὁμοίως σιδήρῳ πάντα μέχρι τῶν ὀνύχων, διότι οὐδὲν αὐτοῖς ὄφελος ἂν εἴη τῶν ἰδίων ὅπλων, εἰ ὁ ἵππος αὐτοῖς προαπόλοιτο.

Δ 440 Θώρηκος: τοῦ θώρακος.

Ar. 441 Θωρήξασθαι· θωρήξασθαί ἐστι τὸ καθοπλισθῆναι καὶ τὸ πίνειν καὶ τὸ μεθυσθῆναι. ἐπειδὴ θώραξ καὶ τὸ στῆθος. διὰ τὸ θερμαίνειν οὖν τὸ στῆθος θωρήσσειν λέγουσι τὸ μεθύειν· καὶ ἀκροθώρηκας τοὺς ἀκρομεθύσους ἐκάλουν. κέχρηται δὲ τῇ λέξει καὶ Ἀνακρέων. ἐξαίρειν, φησί, κἀμοὶ τὸν χοᾶ, ὃν καλεῖ θώρακα· ὥστε θωρακισθῆναι οἷον τὸν θώρακα πληρῶσαι. Θωρήξομαι οὖν ἀντὶ τοῦ μεθυσθήσομαι· καὶ
Θώρηξις, ἡ μέθη, ἢ ἡ ἀπὸ οἴνου γινομένη βλάβη.

Σ 442 Θωρήσσετο: καθωπλίζετο.

Σ 443 Θωρηχθείς: ὁπλισθείς.

Ar. 444 Θωρυκίων· οὗτος ταξίαρχος ἦν ἐν τοῖς Πελοποννησιακοῖς τῶν

436 = Ambr. 467 437 — λωρικίοις = Ba 259, 9, P μέχρι sq. Ios. Bell. 5, 318 438 ὅτι sq. [Polyb.] fr. 162b 439 — στῆθος = P, Ba 259, 10 cf. H, Et. Gen., Et. M. 460, 21, sch. Ar. Vsp. 1195 παρὰ sq. = An. Ox. 2, 448, 32, sch. Ar. Vsp. 1195 vs. 9 θώραξ sq. Arr. Parth. fr. 20 440 cf. Ambr. 448, Ps. Herodian. 170 441 — πληρῶσαι Ar. Ach. 1133 c. sch. cf. sch. Vsp. 1195, Et. M. 460, 36; Anacr. fr. 147 θωρήξομαι—μέθη cf. sch. Nic. Al. 32; Ps. Herodian. 59 (θόριξις), Ambr. 473, L v. θοριχθῆναι 442 = P, Ba 259, 13 cf. Ambr. 471, 472 (= Ps. Herodian. 60 et 247), H = Et. M. 460, 18, sch. A 226; Ap. S. 89, 19 443 = P, Ba 259, 12 444 sch. Ar. Ran. 362

436 Z 1067 437 cf. v. ὑποπεπτηχότες. Z 1067 438 cf. 350 441 Zon. 1068

A³(GIFVM) 2 Θωρακίοις FVM, Ba 3 ὑποπεπτηχότες G, s. v., v. l. Zon. v. l. Ios.: ὑποπεπτηκότες I ὑποπτηχότες VM, v. l. Zon. ὑποπτηχόντες F ὑπεπτηχότες A, Ios. plerique θωρακείοις G 4 Καρχηδονίων A: Καρχηδόνιος rell. 5 τὸ θηρίον F 10 Πάρχου V 12 τὸν del. Bhd. περάναι V 16 τῶν om. V 20 θωρήξασθαι alt. ex AGM ἐστι] ζήτει V om. I 22 θωρίσσειν FVM, Zon. λέγεται GI ἀκροθώρικας GIFVM, Zon. 24 κἀμοί φησι F 25 Θωρίξομαι GIFV μεθύομαι F ante 442 Θωρήσσεσθαι καὶ add. F 29 ταξιάρχης F^ac VM^cp, v. l. sch.

Ἀθηναίων· ὃς πίσσαν ἔπεμψε τοῖς ἀντιπάλοις εἰς τὸ ἀνάψαι τὴν ἑαυτῶν πόλιν· ὅθεν γνωσθεὶς ἐκωμῳδεῖτο ἐπὶ προδοσίᾳ. οἱ δέ, ὅτι ἀντὶ τὸν Θωρακίω μιμούμενος, ὃς ἦν Αἰγινήτης ταξίαρχος, προδότης, ἀσκώματα καὶ λίνα καὶ πίτταν πέμπων εἰς Ἐπίδαυρον, ἢ χρήματα ταῖς τῶν ἀντιπάλων ναυσὶ παρέχων.

445 Θώς, θωός. Δ

446 Θωύθ· καὶ Θώθ, ὁ Ἑρμῆς. Δ

447 Θωυμάζω καὶ Ἐθωύμαζε.

448 Θωῦσσοντες: ὑλακτοῦντες. Ὅμηρος· βαρύβρωμα θωῦσσοντες. καὶ Θωϋκτὴρ κύων, ὁ ὑλακτικός. καὶ Θώϋξεν, ἀνεβόησε. Σοφοκλῆς· καὶ πλῆρες ἄτης ὡς διοπτεύει στέγος, παίσας κάρα θώϋξεν. Soph καὶ θώϋξεν, ἐκάλεσεν, ἐβόησεν.

449 Θρᾷκες ὅρκια οὐκ ἐπίστανται: ταύτης μέμνηται Μένανδρος Σ ἐν τῇ πρώτῃ. λέγει γάρ, ὅτι ἐν ταύτῃ τῇ γῇ ὁ πρεσβύτατος ἀκοντισθεὶς διὰ τοῦ στήθους ἀπώλετο· καὶ ἐντεῦθεν Ἴωσι καὶ Αἰολεῦσιν αἴνιγμα ἐγένετο· Θρᾷκες ὅρκια οὐκ ἐπίστανται.

450 Θρᾳκία παρεύρεσις: φασὶ τοὺς Θρᾷκας ἡττηθέντας ὑπὸ Prov. Βοιωτῶν παρὰ Κορώνειαν καὶ σπεισαμένους σπονδὰς πενθημέρους ἐπιθέσθαι νυκτὸς τοῖς Βοιωτοῖς καὶ τοὺς μὲν ἀποκτεῖναι, τοὺς δὲ ζωγρῆσαι. ἀγανακτούντων δὲ τῶν Βοιωτῶν, εἰπεῖν τοὺς Θρᾷκας, ὅτι τὰς ἡμέρας, οὐ τὰς νύκτας ἐσπείσαντο.

451 Θρανεύσεται: ἐκταθήσεται. θράνον γὰρ τὸ ὑποπόδιον, ὅπου Ar τὰ δέρματα ἐκτείνεται. ἡ βύρσα σου θρανεύσεται. Ἀριστοφάνης Ἱππεῦσι.

452 Θρανίδιον: εἶδος δίφρου. Δ

453 Θρανίον· θρᾶνος καὶ θράνια, ταπεινά τινα διφρίδια καὶ ὑπο- Ar. πόδια δὲ λέγονται (καὶ ἡ παρὰ τῷ ποιητῇ θρῆνυς)· ἐφ' ᾧ ἱστάμενοι οἱ ἀπαγχόμενοι ἀρτῶσιν ἑαυτοὺς λακτίζοντες αὐτά. Ἀριστοφάνης Βατράχοις· μία μὲν ἐστιν ἀπὸ κάλω καὶ θρανίου. καὶ Θράνιος, δίφρος.

454 Θρανίτης λεώς: ἀντὶ τοῦ ὁ ναυτικός. ἐκ μέρους δὲ τὸ πᾶν Ar.

445 cf. Ambr. 444, Ps. Herodian. 60 446 Θωύθ cf. Ambr. 459 448 Ὅμηρος fr. 17 Kinkel Θώϋξεν—vs. 11 θώϋξεν Soph. Ai. 307—8 c. sch. θώϋξεν alt. sq. sch. Soph. OC 1624 449 = P, Zen. IV 32; [Men. Prot.] fr. 7, FHG 4, 204 sed rectius Men. Ephes. fr. 8, l. l. 448 450 = Zen. IV 37 451 Ar. Eq. 369 c. sch. 452 = Ambr. 377 453 — θρανίου Ar. Ran. 121 c. sch. Θράνιος sq. cf. H; P v. θρανίου = Et. Gen., Et. M. 454, 13 454 sch. Ar. Ach. 162 cf. sch. Thuc. 6, 31, 3

445 cf. 421 446 cf. 423 447 cf. v. Ε 331 448 Z 1070 451 Z 1055 452 Z 1054 453 cf. v. K 259. Z 1054 454 cf. 5

2 οἱ—3 Θωρακίω om. in lac. A 2 ὅτι del. Bhd. 3 ἀντὶ om. S A²(GIFVM) Θωρύκιον I cf. sch. 446 nov. gl. F solus 447 om. F 9 βαρύβρωμα ed. pr. 10 Θώϋξεν] Θώυξ GIVM 11 πάσαις GVM 12 καὶ θώϋξεν ex FV solis 13 Μαίανδρος vel Μαιάνδριος Mein. in Ath. 2 p. 91 14 πρεσβευτὴς Müller 17 Θρᾳκεία FV 18 περὶ I, Paroem. ed. Gsf. 59, n. 501 20 ὅτι om. A 23 Ἱππεῦσι om. FV 25 διφρίδια A, sch. Rav.: δίφρια rell., sch. rell. 28 Θράνιος] Θρανίδιος V

εἶπε. τῶν γὰρ ἐρεττόντων οἱ μὲν ἄνω θρανῖται λέγονται, οἱ δὲ μέσοι ζυγῖται, οἱ δὲ κάτω θαλάμιοι.

Ar. 455 Θρανίτης: ὁ πρὸς τὴν πρύμναν· ζυγίτης, ὁ μέσος· θαλάμιος, ὁ πρὸς τῇ πρῴρᾳ.

Ar. 456 Θρᾶνος: ὑποπόδιον. ἔνθεν καὶ θρανίτης. Ἀριστοφάνης Πλούτῳ· ἀντὶ δὲ θράνους κεραμίου μόνου κεφαλὴν κατεαγότος. τουτέστι στάμνου.

Δ 457 Θρασέας: ὄνομα κύριον.

Σ 458 Θρασέως: τολμηρῶς.

Δ 459 Θράσιον: τόπος.

460 Θρᾷξ.

Δ 461 Θρασκέας: ὁ ἄνεμος.

Hesy. 462 Θρασύμαχος, Χαλκηδόνιος σοφιστής, τῆς ἐν Βιθυνίᾳ Χαλκηδόνος, ὃς πρῶτος περίοδον καὶ κῶλον κατέδειξε καὶ τὸν νῦν τῆς ῥητορικῆς τρόπον εἰσηγήσατο· μαθητὴς Πλάτωνος τοῦ φιλοσόφου καὶ Ἰσοκράτους τοῦ ῥήτορος. ἔγραψε Συμβουλευτικούς, Τέχνην ῥητορικήν, Παίγνια, Ἀφορμὰς ῥητορικάς. σχόλιον Μιχαὴλ μοναχοῦ τοῦ Νοccαΐτου. ἤνεγκε καὶ ἡ καθ' ἡμᾶς πόλις φύσιν δεξιὰν εἰς μάθησιν· ἀλλ', ὡς ἔοικεν, οὐχ ὁ τόπος αἴτιος, ἀλλ' ὁ χρόνος, καθ' ὃν ἤκμασαν οἱ μεγαλοφυέστατοι ἄνδρες. τὰ νῦν δὲ θυννοσκοποῦσιν οἱ τῇδε καὶ λίνοις καὶ ὁρμιαῖς προσανέχουσι, τόν τε βίον ὄντες χειροτάστορες ὃς πολλὰ τῆς γνάθου χωρία ἐφημέριά τε φρονέουσιν, ὀλίγα ἢ οὐδὲν τῶν λόγων φροντίζοντες, ὧν ἀρχιερατεύειν ἔλαχε τῶν εἰς Τροιζῆνα βαδιζόντων ὁ ἐξοχώτατος. ἴστωσαν οἱ τῆς παροιμίας εἰδήμονες. ζήτει τὴν παροιμίαν ἐν τῷ εἰς Τροιζῆνα δεῖ βαδίζειν.

Anth. 463 Θρασύχειρ: τολμηρός. Αἴλιος ὁ θρασύχειρ Ἄργους πρόμος τηξιμελεῖ νούσῳ κεκολουμένος.

Ar. 464 Θρᾷττα: Θρᾳκικὴ δούλη, ἐκ Θρᾴκης. Ἀριστοφάνης· Στρυμνοδώρου Θρᾷτταν. τουτέστι Θρᾳκικὴν δούλην. λέγεται καὶ κοινῶς δούλη.

Σ 465 Θράττειν: ταράσσειν, ἐνοχλεῖν, νύσσειν, κινεῖν, δυσωπεῖσθαι καὶ ὑφορᾶσθαι. ὥστε μὴ θράττεσθαι τὴν ἀκοὴν ἐκ τῶν ἀπεμφαινόντων θρήνων.

455 sch. Ar. Ran. 1074 456 Ar. Pl. 545 c. sch. cf. P = Et. Gen., Et. M. 454, 13 457 = Ambr. 346 458 = Ba 257, 13, gl. Greg. Naz. An. Ox. 2, 480, 15 459 cf. Ambr. 379 460 cf. L 461 cf. L, Et. M. 454, 26, Ambr. 359 462 Ἤνεγκε—εἰδήμονες similis originis quo v. Πολύευκτος sec. Bhd. 463 Αἴλιος sq. Anth. 7, 234, 1—3 464 Ar. Ach. 273 c. sch. cf. L 465 — ὑφορᾶσθαι = P, Ba 257, 11, Et. Gen., Et. M. 454, 19 cf. sch. Pl. Phaedr. 242 c, H, Tim., Phryn. 75, 6, Moer. 199, 3, Erotian. 44, 15 ὥστε sq. Marin. c. 33

455 cf. 5 458 Z 1057 463 cf. v. τηξιμελεῖ. Z 1051 464 cf. v. Φελλέα. Z 1053 465 Z 1055. Marin. cf. v. Πρόκλος 4

A³(GITFVME) 5 Πλουτάρχῳ V 6 κεραμίου μόνου] στάμνου ed. pr. στάμνου] κεραμίου ed. pr. 9 Θριάσιον Ambr., Hemst. 460 om. ATF mg. VM 11 Θρασκίας E, Laur.ᵃᶜ, Ambr., Et., Toup. 12 Χαλκηδόνιος AT: Καλχηδόνιος rell. τῆς om. GIVM 12. 13 Χαλκηδόνος—24 βαδίζειν om. T 12. 18 Χαλκηδόνος A: Καρχηδόνος F Καλχηδόνιος VM om. GI 13 ὃς—24 βαδίζειν om. F 16 σχόλιον—Νοccαΐτου] mg. GIVM σχόλιον mg. A 20 τε] δὲ V ὃς om. in lac. maiori A ὡς ed. pr., corruptelam indicavit Bhd. 23 ζήτει—24 βαδίζειν om. V 25 ὁ om. F 26 κεκωλυμένος V 27. 28 Στρομνοδώρου V 28 καὶ] δὲ IF

466 Θραυλοτέρας· πῦρ ἐνέντες ταῖς πέτραις ὄξος ἐπεξέχεον, θραυλοτέρας ἐκ τούτου ποιησάντες. E

467 Θραύω· αἰτιατικῇ. Synt.

468 Θραυσάντυγες· ὦ σκληρὲ δαῖμον, ὦ τύχαι θραυσάντυγες ἵππων ἐμῶν, ὦ Παλλάς, ὡς μ' ἀπώλεσας. Ἀριστοφάνης Νεφέλαις. Ar.

469 Θραῦσις: φθορά, ἧττα ἐν πολέμῳ, θάνατος, ἀρρωστία, συντριβή, πληγή. Δαβίδ· καὶ ἐκόπασεν ἡ θραῦσις. Σ

470 Θραυσθῆς: ἐκπέσῃς. Suid.

471 Θραῖξ: ὁ Θρᾷξ. Δ

472 Θρέμματα. καὶ Πολυθρέμματος, ὁ πολλὰ πρόβατα ἔχων. Σ

Αἰλιανός· οὐ γὰρ δεῦρο ἀφῖγμαι ἐς τράπεζαν κεκυφέναι καὶ θρέμματος ἀλόγου δίκην πιαίνεσθαι, καὶ ἀρχῶν τε καὶ τιμῶν κρεμᾶσθαι καὶ θαυμάζειν αὐλὰς καὶ τραπέζας καὶ κατράπας. οὐδέ μοι κάλλος ἀνθρώπινον δέλεαρ ἔστιν, οὐδὲ χρηματίζομαι. x + E

473 Θρέπτα: τροφεῖα. Σ

474 Θρεπτική· ζήτει ἐν τῷ γεννητική.

475 Θρεττανελώ: ἦχος κιθάρας. Φιλόξενον γὰρ τὸν διθυραμβοποιὸν ἢ τραγῳδιοδιδάσκαλόν φασι γράψαι τὸν ἔρωτα τοῦ Κύκλωπος, τὸν ἐπὶ τῇ Γαλατείᾳ. εἶτα κιθάρας ἦχον μιμούμενον ἐν τῷ ἐπιγράμματι τοῦτο εἰπεῖν τὸ ῥῆμα, θρεττανελώ. ἐκεῖ γὰρ εἰσάγει τὸν Κύκλωπα κιθαρίζοντα καὶ ἐρεθίζοντα τὴν Γαλάτειαν. ἐπεὶ οὖν ἔφη ὁ χορός, ὡς ἥδομαι, ἔφη καὶ ὁ οἰκέτης, κἀγὼ βουλήσομαι χορεύειν· καὶ ἅμα ἀναφωνεῖν τὸ μέλος ἐκεῖνο. ἡ γὰρ κιθάρα κρουομένη τοιοῦτον μέλος ποιεῖ, θρεττανελώ, θρεττανελώ. Ar.

476 Θρέττε· οὐκ ἔνι μοι τὸ θρέττε. ἀντὶ τοῦ τὸ θαρραλέον, καὶ ἀνδρεῖον, καὶ θρασύ. οὐκ ἔστιν εἰπεῖν, ὃ σὺ διανοῇ. Ar

477 Θρέψας: πήξας. ἐπὶ γάλακτος. Ὅμηρος· ἥμισυ μὲν θρέψας λευκοῖο γάλακτος. καὶ Τροφή, ἡ πηγνύουσα τὸ σῶμα. Σ |

478 Θρῄκες: οἱ Θρᾷκες. καὶ Θρῃκίης. Δ

479 Θρηνακία: ἡ Σικελία. Δ

467 = Synt. Gud. 468 Ar. Nu. 1264—5 469 — πληγή = P, Σ^{a}, Et. Gen., sch. Luc. 228, 23 cf. Ba 257, 15, Et. M. 454, 16, H, An. Ox. 2, 450, 2 καὶ sq. Ps. 105, 30 471 = Et. M. 454, 21 cf. Ambr. 336 472 Θρέμματα cf. P = Ba 257, 17; H οὐ sq. Aelian. fr. 27 473 = P, Ba 257, 18 cf. H, sch. P 302, Σ^{a} 475 sch. Ar. Pl. 290 476 Ar. Eq. 17 c. sch. 477 — γάλακτος alt. cf. Et. M. 454, 33. — πήξας = P, sch. ι 246, Et. Gen. cf. Ba 257, 19, Ap. S. 88, 14, H, Erotian. p. 85, 11 Ὅμηρος ι 246 478 — Θρᾷκες = Ps. Herodian. 59 cf. Ambr. 356—7. Θρηϊκίης cf. Ambr. 369 479 cf. Ambr. 371, Et. M. 456, 8

469 Z 1053 470 ex v. A 3324 471 Z 1052 473 Z 1055 475—6 Z 1057 477 cf. v. τρέφεσθαι 478 Z 1052 479 cf. 499

1 ἐπέχεον AT^{ac} 2 θαυλότερας I θλαυλότερας V φαυλότερας F ποιησόντες Bhd. 470 om. F 11 γὰρ] δὴ add. F ἐς om. F 12 τιμῶν] τῶν μικρῶν F ἐκκρεμᾶσθαι Bhd. 14 ἀνθρώπων I ἔνεστιν I 15 Θρέπτρα GIFVM, sch. Σ^{a} 17 τὸν] τὸ GIM 18 γράψαι A cf. sch.: cp. IVM γράφειν G 19 μιμούμενος V cf. sch. 23 τοιοῦτον IF, sch.: τοιοῦτο rell. 25 τὸ alt. ex V, sch. A^{a}(GITFVM)

Soph. 480 Θρηνεῖν ἐπῳδάς: ἐπιφωνεῖν καὶ ἐπᾴδειν. Σοφοκλῆς· οὐ πρὸς ἰατροῦ σοφοῦ θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι. τουτέστιν οὐκ ἔστιν ἰατροῦ σοφοῦ ἐπῳδαῖς χρῆσθαι τοῦ τραύματος ἤδη τομῆς δεομένου. καὶ ἐν Ποιμέσι· λόγῳ γὰρ οὐδὲν ἕλκος οἶδά που χανόν.

481 Θρήνους: τοὺς παρ' ἡμῖν λεγομένους θρηνῳδούς. διαλύσας Ὅμηρος τὴν σύνθεσιν θρήνους αὐτοὺς καλεῖ. βαρβαρικὸν δὲ τὸ θρηνεῖν. ἐπὶ Πατρόκλῳ γοῦν οὐ γίνεται.

Δ 482 Θρηνῶ σε: κλαίω σε.

Δ 483 Θρῆνυς: ὑποπόδιον.

Δ 484 Θρήξονος: ὄνομα κύριον.

Δ 485 Θρῆσσα: ἡ Θρᾳκικὴ γυνή.

Σ 486 Θρησκεύει· αἰτιατικῇ. θεοσεβεῖ, ὑπηρετεῖ τοῖς θεοῖς. λέγεται
Greg. γὰρ ὡς Ὀρφεὺς Θρᾷξ πρῶτος τεχνολογῆσαι τὰ Ἑλλήνων μυστήρια. καὶ τὸ τιμᾶν θεὸν θρησκεύειν ἐκάλεσαν, ὡς Θρᾳκίας οὔσης τῆς εὑρέσεως. ἢ ἀπὸ τοῦ θεὸν δερκεύειν, ὅ ἐστιν ὁρᾶν.

Δ 487 Θρησκεία: ἡ λατρεία.

Σ 488 Θρῆσκος: ἑτερόδοξος.

Σ 489 Θρῖα: τὰ φύλλα τῆς συκῆς. θρῖον ταρίχους οἷσε δεῦρο, παῖ,
Ar. σαπροῦ. Ἀριστοφάνης. θρῖον ἔστι σκεύασμά τι παρ' Ἀθηναίοις, ὃ περιλαμβάνει ὕειον στέαρ καὶ ἐρίφειον καὶ σεμίδαλιν καὶ γάλα καὶ λεκιθώδους ὠμὸν πρὸς τὸ πήγνυσθαι· καὶ οὕτως εἰς φύλλα συκῆς ἐμβαλλόμενον, ἥδιστον ἀπετέλει βρῶμα. οὕτω Δίδυμος. ἐκαλεῖτο δὲ καὶ ἄλλη τις σκευασία θρῖον, ἐγκέφαλος μετὰ γάρου καὶ τυροῦ σκευαζόμενος καὶ ἑλιττόμενος ἐν φύλλοις συκῆς καὶ ὀπτώμενος. ἐπεὶ ἐπὶ φύλλων τὰ τεμάχη βαλλόμενα βαστάζονται. σαπροῦ δὲ ἀντὶ τοῦ παλαιοῦ καὶ μὴ νέου. οὐ γὰρ θρῖα καὶ κάνδυλον καὶ ἄμητας, μελίπηκτά τε τοῖς βασιλεῦσιν ἐξαίρετα παρατίθησιν Ὅμηρος. καὶ Ἀρι-
Ar. στοφάνης· ἀλλ' ἀπολέσαιμ' ἂν ἐγκεφάλου θρίω δύο. πρὸς τὸ σχῆμα

480 Soph. Ai. 581—2 c. sch.; Soph. fr. 467 481 — θρηνῳδούς cf. Poll. 6, 202, sch. Ω 720 482 l. = Synt. Laur. Θρηνῶ = Ambr. 388 483 = Ambr. 333, Ps. Herodian. 59, Et. M. 455, 1 (= sch. O 729), Apion, Ap. S. 88, 15 cf. H 485 = Ambr. 364 cf. Ps. Herodian. 59 et 225 486 — αἰτιατικῇ cf. Synt. Gud. θεοσεβεῖ—θεοῖς = P, Ba 257, 20, Et. Gen. λέγεται sq. = Nonn. in Greg. PG 36, 1021 b 487 = Ambr. 370 488 = P, Ba, Σ^a, Et. Gen., Et. M. 455, 9, Ambr. 340 cf. H 489 — συκῆς = P, Ba, Σ^a, sch. Luc. 197, 9 cf. Choer. An. Ox. 2, 218, 25, Et. Gen., Et. M. 455, 20, H, Ambr. 375 vs. 18 θρῖον—26 νέου Ar. Ach. 1101 c. sch. vs. 26 οὐ—27 Ὅμηρος Ath. 1, 9a vs. 28 ἀλλ' sq. Ar. Ran. 134 c. sch.

480 cf. vv. Ε 2833 483—4 Z 1052 486 Z 1055 487 Z 1053 488 Z 1052 489 Σ Z 1055. Ath. cf. v. O 251

A^2(GIFVM) 6 σύνθεσιν] συνήθειαν GI cf. v. Σάμου ὑλ. καλεῖ αὐτούς A 13 ἐτεχνολόγησε ed. pr. 14 ἐκάλεσεν I 18 δεῦρο om. A 19 Ἀριστοφάνης om. F θρῖον] nov. gl. F ὃ—p. 729, 1 ἐγκεφάλου om. F 21 λεκυθώδους A 24 ἑλισσόμενος A ὀπτώμενος sch.: ὀπτόμενος omnes ἐπεὶ—26 νέου post vs. 19 Ἀριστοφάνης transtulit Kust. 26 θρῖα v. O 251, Ath., ed. pr.: θηρία omnes κάνδηλον A 27 τοῖς om. GI 28 ἐγκεφαλαίου A δύω V

φηςὶ τοῦ ἐγκεφάλου. ἔστι γὰρ ὥσπερ θρῖα συγκείμενον. τουτέστι φύλλα συκῆς.

490 Θριαί: αἱ μαντικαὶ ψῆφοι. πολλοὶ θριοβόλοι, παῦροι δέ τε μάντιες ἄνδρες. Σ Prov.

491 Θριαμβεύσας· αἰτιατικῇ. δημοσιεύσας. Σ

492 Θριαμβευτοῦ: κατὰ Ῥωμαίους τοῦ τυραννοκτόνου Ἰνδοῦ.

493 Θριαμβίδα στολὴν ἡσθῆσθαι αὐτόν. E

494 Θρίαμβος: ἐπίδειξις νίκης, πομπή, καὶ τὸ σεμνύνεσθαι· καὶ ἐπι. Θρίαμβος. ὠνομάσθη δὲ ἀπὸ τῶν ἐπῶν τῶν πρώτων εἰς Διόνυσον γεγραμμένων ἐξ Ἰνδίας ἐπὶ ἅρματος τίγρεων ἐπανερχόμενον. λέγουσι γὰρ θρίαμβον τὴν τῶν ποιητῶν μανίαν. ἢ ἀπὸ τοῦ θρῖα, τὰ φύλλα τῆς συκῆς ἀνακειμένης τῷ Διονύσῳ. καὶ ὅτι πρῶτον πρὶν ἐπινοηθῆναι τὰ προσωπεῖα συκῆς φύλλοις ἐκάλυπτον πάντα τὰ ἑαυτῶν πρόσωπα καὶ δι' ἰάμβων ἐπέσκωπτον. ἀλλὰ καὶ οἱ στρατιῶται μιμούμενοι τοὺς ἐπὶ σκηνῆς τὰ ἑαυτῶν πρόσωπα φύλλοις συκῆς ἐν τῷ σκώπτειν καλύπτοντες σκώμματα εἰς τοὺς θριαμβεύοντας ἔλεγον. ἄλλως. ἔν τισι πόλεσιν, ὅταν ἤνθησαν αἱ συκαῖ, παῖδες περιαιροῦντες Ecl. σὺν αὐτοῖς τοῖς θρίοις ἔπαιζον, προφερόμενοι ἰάμβια τετράμετρα. λέγεται δὲ καὶ Διόνυσος Θρίαμβος, διότι ἐπὶ θηρῶν, τουτέστιν ἐπὶ λεόντων, βέβηκεν, οἷον θηρίαμβος. ἢ ὅτι καὶ συκῆς ἐστιν εὑρετής. ἢ ἀπὸ τοῦ θορεῖν· πηδητικὸς γάρ. λέγεται γὰρ καὶ θυστήριος ἀπὸ τοῦ θύειν, ὅ ἐστιν ὁρμᾶν. ἀφ' οὗ καὶ τὸ αἰωρούμενον θύσανον.

495 Θριάσιον πεδίον. Σ

496 Θριδακίνη: τὸ παρ' ἡμῖν μαϊούλιον. λέγεται καὶ θρίδαξ. Δ

497 Θριγκός: τὸ περίφραγμα τοῦ οἴκου, στεφάνη, μικρὸν τειχίον, περίβολος. ἢ τῶν οἰκιῶν τὰ ἀνωτάτω. μεταφορικῶς ἀφ' ἡμῶν, Ecl.

490 cf. Paroem. ed. Gsf. 95, n. 772; — ψῆφοι = P, H, L, Et. Gen., Et. M. 455, 34 et 48, Bk. 265, 12, An. Ox. 2, 217, 34 et 449, 19 cf. sch. Call. h. Ap. 45 491 — αἰτιατικῇ cf. Synt. Laur. et Gud. δημοσιεύσας = P, Ba 257, 21, Et. Gen., Et. M. 455, 32 492 = Lex. Rom. Barocc. 494 — ἐπι = Ba 257, 23; — σεμνύνεσθαι = P, Et. Gen., Et. M. 455, 16, sch. Luc. 229, 5 cf. H vs. 9 Θρίαμβος— 16 ἔλεγον cf. [Io. Antioch.] fr. 167, 1, FHG 4, 602 ἔν sq. cf. An. Ox. 2, 449, 1 (et 376, 13), unde Et. Gen., Et. M. 455, 17 495 = P, Ba 257, 22 cf. Ambr. 379, Bk. 265, 11 496 cf. Ambr. 341 et 361, Ps. Herodian. 58 et 226, H, Phryn. Ecl. 130, Et. M. 456, 5 497 — περίβολος = Σ^{e}, P, Ba 257, 25 cf. sch. Pl. Rep. 534e, H, Et. M. 455, 56, sch. η 87; Ap. S. 88, 19 = Et. Gen.; Ps. Herodian. 58, Ambr. 335 τῶν—p. 730, 1 περιπέφρακται An. Ox. 2, 449, 22 cf. Et. M. 455, 54

490 cf. 501 et v. πολλοὶ θριοβόλοι. Z 1053 491 Z 1056 493 cf. v. H 591

1 ὥσπερ] ὥστε F 490 extra ord. 491—3 om. F 6 Ἰνδῶν Bhd. A^{2}F(GIVM) 8. 9 καὶ ἐπι] ἐπιδεικτικῶς F ὠνομάσθη δὲ A cf. Io. Antioch.: δὲ ὠνομάσθαι rell. 10 ἐπανερχομένων FGIVM 13 πάντα] cp. A καὶ πάντα F πάντες ed. pr. 14 καὶ pr. om. F ἔσκωπτον A, Io. Antioch. 17 ὅτε A 18 ἰάμβια An. Ox.: cp. V, ἰαμβῖ F ἰάμβους rell. ἰαμβεῖα Et. 19 καὶ] καὶ τὸ F θυρῶν V 20 θρίαμβος FV καὶ om. F εὑρετής AF, An. Ox. Et.: ἀρετῆς rell. 21 θυσιοστήριος F 22 αἰωρούμενον AF, Et. M.: αἰρόμενον GIVM ἐωρούμενον An. Ox., Et. Gen. 496 post 504 F et iterum V; extra ord. 24 μαιούνιον AI μαρούλιον F, post 504 V καὶ] δὲ καὶ F

Anth. διότι τὰ ἀνωτάτω σώματα ἡμῶν θριξὶ περιπέφρακται. ἐν Ἐπιγράμ-
On. μασι· τάδε μοι θνητῶν θριγκοῖσιν ἀνῆψε σκῦλα; λύσις ὀνείρου· θρίδα-
Suid. κας ἔσθειν σωμάτων δηλοῖ νόσον. ὅτι τῶν θριδάκων τὰ φύλλα φυλλεῖα λέγονται.
ΔΣ 498 Θρίναξ: τὸ πτύον. ὄργανον γεωργικὸν ὀδοντικόν. καὶ
Anth. παλιουρόφορον χεῖρα θέρευς θρίνακα.
Δ 499 Θρίναξ: ἡ Σικελία.
Δ 500 Θρίξ, καὶ κλίνεται τριχός.
Δ 501 Θριοβόλος: ὁ ἀπὸ ψήφου μάντις.
Suid. 502 Θρῖον· ὅτι δημὸς τὸ λίπος. δημοῦ βοείου θρῖον ἐξωπτημένον. σκεύασμά τι
μετὰ ἐγκεφάλου γινόμενον ἐν τοῖς θρίοις, τουτέστι τοῖς φύλλοις τῆς συκῆς.
Rhet. 503 Θριπηδέστατον: ἀντὶ τοῦ βεβρωμένον καὶ διεφθαρμένον. ἢ
Ar. ξύλα ἀπὸ θριπῶν βεβρωμένα, οἷς ἐσφράγιζον. θρίπες δὲ εἶδος σκωλή-
Rhet. κων. θρὶψ γὰρ ζῷόν ἐστι κατεσθίον ξύλα καὶ κέρατα. μέμνηται
Ὑπερίδης ἐν τῷ κατὰ Δημάδου.
Harp. 504 Θριπήδεστον Ὑπερίδης τὴν Ἑλλάδα εἶπεν· ἀντὶ τοῦ διεφθαρ-
μένην. ἀπὸ τῶν ὑπὸ θριπῶν κατεδηδεσμένων ξύλων.
Δ 505 Θρίσσα: ὁ ἰχθύς.
Δ 506 Θρόμβος. εἰς τοσαύτην ἀγωνίαν συνεχώρησεν ἡ θεία φύσις
τὴν ἀνθρωπείαν λαβεῖν, ὡς ἱδρῶσαι αἵματος θρόμβους. καὶ Θρόμβοι
Δ ἁλῶν, παχεῖς ἅλες.
Harp. 507 Θρόνιον: πόλις ἐστὶ τῆς Λοκρίδος.
E 508 Θρόνος· φησὶν ἡ γραφή· κεκάθικεν ἐπὶ θρόνου Δαβὶδ τὸ
σπέρμα Ἰεχονίου. θρόνον δηλονότι τὸ βασιλικὸν ἀξίωμα λέγων. καὶ
Thdr. Θρόνος ἀνομίας, οἱ ἄδικοι κριταί.
509 Θρόος: ἡ φήμη. θροῦς δὲ ἐφοίτησε Πέρσαις, ὡς διώλοντο
EL τῷ πνιγηρῷ αὐχμῷ.
ΣE 510 Θροῦς: ἦχος, φωνή, ἄσημος λαλιά, θόρυβος. ὁ δὲ ὄχλος εἰς
θροῦν καθίστατο, καὶ ἐθρήνουν. Ὅμηρος δέ φησιν· οὐ γὰρ πάντων
|E ἦεν ὁμὸς θρόος. καὶ αὖθις· θροῦν τινα ἤκουσαν τῶν πολεμίων,

497 τάδε—σκῦλα Anth. 6, 163, 1—2 θρίδακας—νόσον Astramps. 498 —πτύον cf. H aliter Ambr. 332 ὄργανον—ὀδοντικόν = P, Ba 257, 27, Σ^{a} καὶ sq. Anth. 6, 95, 4 500 cf. Ambr. 363 501 cf. L 503 —διεφθαρμένον + θρὶψ—κέρατα = Bk. 264, 30, Et. Gen., Et. M. 456, 23 cf. P = Ammon. p. 131, Et. Gen., Et. M. 456, 25; Paus. Att. fr. 205 ex Eust. O. 1403, 37, H vs. 12 ξύλα—σκωλήκων sch. Ar. Th. 427 Ὑπερίδης (fr. 86) sq. = Harp. plen. 504 Harp. = P; Hyper. fr. 86 505 = Ps. Herodian. 225 cf. Ambr. 365 506 εἰς—θρόμβους comm. in Luc. 22, 44 Θρόμβοι sq. cf. H, Ps. Herodian. 60 507 Harp. = P, Et. M. 456, 28 cf. Ambr. 380 508 —λέγων Georg. 281, 21—3 Θρόνος alt. sq. Thdr. in Ps. 93, 20, PG 80, 1637 c 509 θροῦς sq. Men. Prot. fr. 18, FHG 4, 225 = EL 451, 2—3 510 —θόρυβος = P, Ba 257, 28 cf. H, sch. Δ 437 Ὅμηρος Δ 437

497 ὅτι sq. ex v. φυλλεῖα 499 cf. 479 501 cf. 490 502 ex v. Δ 453 510 Z 1052

A^{a}F(GIVM) 2 λύσις—3 λέγονται om. F 2 λύσις—3 νόσον mg. A 3 λέγεται V 4 γεωργητικὸν GIVM ὀδοντικόν om. F 502 om. F 9 δημὸς A: δημόσιον GIV^{cp}M^{cp} δημοῦ om. V 12 ἐσφάγιζον F 13 θρῖξ V 15 Θριπηδέστατον G cf. Harp. 18 εἰς] εἰ Bhd. 22 θεία γραφή F

ὁποῖος ἂν γένοιτο ἄρτι κινουμένης στρατιᾶς. θροῦς οὖν κἀνταῦθα δ' ἐξάπτεται.

511 Θρώσκει: πηδᾷ. καὶ Θρωσμός, ὑψηλὸς τόπος βουνοειδής, ἀφ' οὗ ἐπικαταβαίνοντα θορεῖν, ὅ ἐστι θεάσασθαι· ἢ πηδῆσαι. Σ Hom. + Σ

512 Θρυαλεῖ: λαλεῖ, κυκᾷ. Σ

513 Θρυαλλίζω: ψιθυρίζω. Δ

514 Θρυαλλίς: ἐσχάρα, λύχνος, ἀκτίς. ὁ σπινθὴρ ὁ ἀπὸ τοῦ πυρός. καὶ βοτάνη πρὸς λύχνον ἁρμόζουσα. μέμνηται Ἀριστοφάνης Νεφέλαις. τῶν παχειῶν ἐνετίθεις θρυαλλίδων. τουτέστι τῶν ἐλυχνίων. ἢ ἀπὸ θρύου τὸ παλαιὸν τὰ ἐλλύχνια. Σ Δ Ar.

515 Θρυαλλίς. ἐκ τῶν πολεμίων εἰσάγεις θρυαλλίδα. διὰ τὰ ἐλλύχνια, ἀπορρήτου ὄντος καὶ δεινοῦ εἰσφέρειν θρυαλλίδα εἰς τὰς Ἀθήνας. ἡ δὲ αἰτία· τίνι τρόπῳ; αὕτη γὰρ ἐμπρήσειε τὸ νεώριον. ἐνθεὶς ἂν ἐς τίφην ἀνὴρ Βοιώτιος, ἅψας ἂν ἐσπέμψειεν ἐς τὸ νεώριον δι' ὑδρορρόας βορέαν ἐπιτηρήσας μέγαν. τίφη ἡ καλουμένη σίλφη. ἔστι δὲ ζῷον κανθαρῶδες. ὑδρορρόα δὲ δι' οὗ τὸ ἀπὸ τοῦ ὄμβρου ὕδωρ συναγόμενον κατέρχεται. Δ Ar.

516 Θρυλλίζω καὶ Θρυλλῶ καὶ Ἐθρυλλίχθη. Δ

517 Θρυΐνῃ ψιάθῳ· καὶ διὰ τοῦτο γυμνωθέντα αὐτόν καὶ θρυΐνῃ περιβληθέντα ψιάθῳ. καὶ Θρυλούμενον. Suid.

518 Θρῦλος: ψιθυρισμός, ὁμιλία μὴ φανερῶς γινομένη. ἡ γὰρ τῶν βαρβάρων ἐγχείρησις θρῦλον οὐκ ἐνεποίησεν ἡμῖν. Σιμοκάτης φησί. καὶ πολὺς ἐγένετο τῶν ἁλισκομένων ὁ θρῦλος. καὶ Θρυλούμενα καὶ Θρυλούμενον. Σ E

519 Θρύπτεται· δοτικῇ. μαλακίζεται, ἢ βλακεύεται, χαυνοῦται, ἢ ἀνακλᾶται. καὶ Ἄθρυπτος γυνή, ἡ μὴ μετέχουσα τῶν τοιούτων. ἡ δὲ ἦν ἀνδρόβιος καὶ ἄθρυπτος ἐς συμβίωσιν. καὶ αὖθις· τὴν καὶ ἅμα χρυσῷ καὶ ἁλουργίδι καὶ σὺν ἔρωτι θρυπτομένην, ἁπαλῆς Κύπριδος ἁβροτέρην, Λαΐδ' ἔχω. Anth

511 — πηδᾷ = P, Ba 258, 5 cf. H; Et. Gen. = Et. M. 456, 49; Ambr. 382 = Ps. Herodian. 60 Θρωσμός—τόπος + πηδῆσαι sch. Υ 3 cf. Et. M. 456, 55, An. Ox. 1, 203, 30 et 2, 446, 28; — τόπος = Ambr. 337, H. τόπος—θεάσασθαι = P, Σ^a, Ba 258, 7 cf. H, Ap. S. 88, 23 512 = P v. θρυλεῖ, Ba 258, 1 513 = L, Et. M. 456, 44; l. = Ambr. 390 514 — ἀκτίς + καὶ—Νεφέλαις = P cf. H; Et. Gen. = Et. M. 456, 32 ὁ σπινθὴρ = Ambr. 362, Ps. Herodian. 61 τῶν παχειῶν sq. Ar. Nu. 59 c. sch. cf. Ba 257, 29, Moer. 199, 1, H 515 ἐκ sq. Ar. Ach. 916, 918—22 c. sch. 516 cf. Choer. Gramm. Gr. 4, 2, 2, p. 154, 34. Θρυλλίζω cf. L. Θρυλλῶ = Ambr. 385 518 — γινομένη = P, Σ^a cf. H, Ba 258, 2 ἡ—ἡμῖν Th. Simoc. 6, 5, 13 519 — δοτικῇ cf. Synt. Laur. et Gud. μαλακίζεται—ἀνακλᾶται = P, Σ^a, Ba 258, 3 ἡ δὲ—συμβίωσιν Dam. fr. 130 τὴν sq. Anth. 7, 218, 1—3

514 cf. 408 515 cf. vv. N 234 et ὑδρορρόα. hinc v. τίφη 517 — ψιάθω ex v. Φεβρουάριος 518 Z 1052 519 cf. v. A 764

2 δ' del. Bhd. 4 θορεῖν] θεωρεῖν F, Port. Ba 9 τῶν alt. om. F A^2(GIFVM) 10 τοῦ θρύου V 14 τίφην] σίλφην GI ἐσπέσειεν V 15 τίφη] τί φησιν GIM 18 Θρυλῶ GFVM Ἐθρυλίχθη GVM 517 om. F 19 περιθέντα V 20 Θρυλλούμενον A 21 cett. Θρύλλος A γενομένη IF 23 ἐγίνετο GIVM καὶ alt.—24 Θρυλούμενον om. F 27 ἡ—29 ἔχω om. F

Δ 520 Θρύψις: ἡ βλακεία. ἵνα καλλωπίςηται καὶ θρύψει χρήςηται
Ε βαρβάρων. ἤςτην δὲ καλὼ καὶ μεγάλω· ὡραῖος δὲ ὁ νέος, οὐ
Ε τεθρυμμένος μήν, ἀλλὰ γεννικὸν ὁρῶν. καὶ Ἀριστοφάνης· ὦ χρυ-
Ar. cοδαίδαλτον ἐμὸν μέλημα, Κύπριδος ἔρνος, μέλιττα μούςης, Χαρίτων
θρύμμα, τρυφῆς πρόςωπον, ἄνοιξον.

Ar. 521 Θρύψομαι: cφόδρα τρυφήςω, cεμνυνοῦμαι, ἢ ἀντὶ τοῦ cυντρι-
βήcομαι. Ἀριστοφάνης· cήμερον ὑπὸ τῶν ἐραcτῶν ἐγὼ θρύψομαι.

Δ 522 Θοία: ζεῦγος ἡμιόνων.

Σ 523 Θοιμάτιον: τὸ ἱμάτιον. θοιματίου λαβόμενος χαῖρε, εἶπας,
Ε τὸ ὄνομα προcθείς. Ἀριστοφάνης· εἰ cωφρονεῖτε, θοιμάτιον λήψεcθ',
Ar. ὅπως τῶν Ἑρμοκοπίδων μή τις ὑμᾶς ὄψεται. τουτέστιν εἰ μὴ περι-
βαλεῖcθε, ἀλλὰ φανερὰ ἕξετε αἰδοῖα, ἀκρωτηριάcει τις ὑμᾶς τῶν
Ἑρμοκοπίδων.

ΔΣ 524 Θοινάω, θοινῶ. καὶ Θοινᾶται, εὐωχεῖται.

525 Θοινήτωρ: ὁ κατεcθίων. ὦλεο γὰρ λοιμόν, ὅλης θοινήτορα
Anth. χέρcου, πρὶν πατέρων νεαρᾷ cκῆπτρον ἑλεῖν παλάμᾳ. περὶ Πτολεμαίου
ὁ λόγος.

Σ 526 Θοίνη: τροφή, εὐωχία, κατάβρωμα. ὡc ἐπὶ θοίναν χάcμα
Anth. φέρων χαλεπὸν πειναλέου φάρυγγος. Δαμάcκιος· τοὺc πλουcίους
οὐκ ἐν θοίνῃ ποιούμενος, οὐδὲ τὰ τούτων δῶρα προcιέμενος.

Suid. 527 Θοίνωνος, φρουράρχου Cυρακουcίου.

Δ 528 Θυάδες: ὀρμητικοί.

Δ 529 Θύαμις: ὄνομα κύριον.

Δ 530 Θυάτειρα: ὄνομα τόπου. καὶ Θυατειρηνός, ὁ ἀπὸ τοῦ
Suid. αὐτοῦ τόπου. ὅτι Διοcκόριος Μυραῖος, γραμματικός, ὕπαρχος ἦν πόλεως
καὶ πραιτωρίων, ὁ διδάξας τὰc θυγατέρας Λέοντος τοῦ βαcιλέως ἐν Βυζαντίῳ.

Σ 531 Θυγατριδῆ: ἐγγόνη, τῆς θυγατρὸς θυγάτηρ. καὶ Θυγατρί-
Δ δης, ὁ τῆς θυγατρὸς παῖc.

520 ἤςτην—ὁρῶν Aelian. fr. 70 ὦ sq. Ar. Eccl. 972—4 521 Ar. Eq. 1162—3 c. sch. 522 = L, H, Theognost. An. Ox. 2, 20, 20 523 —ἱμάτιον = P, Ba 257, 2, H, Ambr. 323 cf. Ps. Herodian. 61, Thom. 176, 9 θοιματίου—προcθείς Aelian. fr. 66 εἰ pr. sq. Ar. Lys. 1093—4 c. sch. 1093 524 θοινῶ sq. cf. Ambr. 329 Θοινᾶται sq. = P, Ba 257, 5, H cf. Ps. Herodian. 61 525 ὦλεο sq. Anth. 7, 241, 9—10 526 —κατάβρωμα = P, Ba 257, 6, Et. Gen., Et. M. 453, 53 cf. H; Ambr. 317 = Ps. Herodian. 61 ὡc—φάρυγγος Anth. 6, 218, 3—4 τοὺc sq. Dam. fr. 236 527 l. = L cf. Ambr. 313 528 = Ambr. 397 529 = Ambr. 406 530 —τόπου = Ambr. 429. Θυατειρηνός = L cf. Ambr. 412 531 — θυγάτηρ = P, Σ[a], Et. M. 457, 22, H cf. Ba 258, 6, Poll. 3, 17 (ex Ar. Byz.) Θυγατρίδης sq. cf. Ambr. 401

520 Aelian. cf. v. πρόκωπον. Ar. cf. v. Δ 108 et v. Χαρίτων θρύμμα 522 Z 1050 523 cf. v. Β 109. Z 1050 526 cf. v. πελώριος. Z 1049 527 ex v. Πύρρος 528 Z 1057 530 Z 1061. ὅτι sq. ex v. Δ 1208 531 Z 1061

A[2] (GITFVM) 3 γεννικὸν M, plerique v. πρόκωπον: γενικὸν rell. 6. 7 cυντρίβομαι V 18 ὡc—21 Cυρακουcίου om. F 19 Δαμάcκιος—21 Cυρακουcίου om. T 20 προcιέμενος] ἤγουν προcδεχόμενος ss. V 21 φρουράρχης V cp. M Cυρακουcίου AGI: cp. VM 24 Θυατειρηνός] Θυατειρός F ὁ om. F 25 ὅτι—26 Βυζαντίῳ om. FT

532 Θυέεccι: θυμιάμαcιν. Δ
533 Θύελλα: cυcτροφὴ ἀνέμου. καὶ πνεῦμα κατελθὸν ἐc τὸ πεδίον Σ
πολὺ θύελλάν τε καὶ cτροβίλους ἤγειρεν, ὥcτε τὸ καθεcτηκὸc νυκτὸc E
διαφέρειν οὐδέν. καὶ αὖθιc Coφοκλῆc· οὔτε ποντία θύελλα κινηθεῖcα Soph.
τῷ τότε χρόνῳ.
534 Θυεία: ἀγγεῖον, εἰc ὃ ἐμβάλλοντέc τινα ἀρτύματα τρίβομεν καὶ Ar.
λειοῦμεν. Ἀριcτοφάνηc· καὶ θυείαν ἑcπέρας ὑπερφυᾶ τὸ μέγεθοc
εἰcηνέγκατο. καί, τρίβειν ἐν αὐτῇ τὰc πόλειc βουλεύεται.
535 Θύειν· τὸ θύειν θεοῖc Χαλδαῖοι ἔθνοc Περcικὸν πρῶτοι ἐξεῦρον
ἢ Κύπριοι.
536 Θυηλαί: κυρίωc οἱ θύλακοι, εἰc οὓc τὰ θυμιάματα ἐμβάλλεται. Ecl.
λέγονται δὲ Θυηλαὶ αἱ ἀπαρχαί. Δ
537 Θυηπόλοc: ὁ θύων, ὁ ἱερεύc. καὶ Θυηπόλαι. Σ Δ
538 Θυηπολοῦcι: περιπολοῦcι, διὰ θυcιῶν ὑπicχνούμενοι θεοὺc Σ
ἐξιλάcκεcθαι.
539 Θυία: ἡ ἴγδιc. cὺν δὲ θυίαν εὔπετρον καὶ τὰν κρειοδόκον Σ
cκαφίδα. Anth.
540 Θυίδιον: ἡ τριβαία. Δ
541 Θύϊνα· ἐπὶ Ζήνωνοc βαcιλέωc εὑρέθη ἐν Κύπρῳ τὸ λείψανον
Βαρνάβα τοῦ ἀποcτόλου, τοῦ cυνεκδήμου Παύλῳ. ἔκειτο δὲ ἐπὶ τὸ
cτῆθοc Βαρνάβα τὸ κατὰ Ματθαῖον εὐαγγέλιον, ἔχον πτυχία θύϊνα.
542 Θυΐcκη. Δ
543 Θύλακοc: ἡ ἀρτοθήκη. Ἀριcτοφάνηc Πλούτῳ· ὡc ἄλφιτ' οὐκ Ar.
ἔνεcτιν ἐν τῷ θυλάκῳ. θύλακοι καὶ cφῆνεc καὶ ὑπεράλματα γυμνα-
cίων εἶδη.
544 Θυλήγματα: πέμματα, ἀπαρχάc, ἄλφιτα, ἃ ἔμιcγον οἴνῳ καὶ Σ
ἐλαίῳ, εἰc θυcίαν ἀναφέροντεc.
545 Θυμαλγέα: λυπηρά. Σ

532 = Ambr. 427, sch. Z 270, Et. M. 457, 29 cf. H 533 — ἀνέμου = P, Ba 258, 9, Et. Gen., Et. M. 457, 28, L, sch. Z 346, H cf. Ambr. 417 οὔτε sq. Soph. OC 1659—60 534 Ar. Pac. 228—9 et 231 c. sch. 228 535 Greg. Naz. Stelit. 1, PG 35, 645a 536 — ἐμβάλλεται = An. Ox. 2, 448, 22 ex quo Et. M. 457, 32 Θυηλαί alt. sq. cf. Ambr. 415, sch. I 220, H, Et. M. 457, 34 537 — ἱερεύc = P, Ba 258, 10 cf. H (= Ambr. 400) 538 Tim. = P 539 — ἴγδιc = Lex. Patm. 153 cf. L, Phryn. Ecl. p. 164 cὺν sq. Anth. 6, 306, 7—8 540 = Ambr. 431 541 Theodor. Anagnost. PG 86, 184b 543 — θυλάκῳ Ar. Pl. 763 c. sch. θύλακοι sq. Artem. 1, 55 544 = P, Ba 258, 11 cf. sch. Ar. Pac. 1040, Phryn. 74, 11 545 = P, Ba 258, 13 cf. H

533 cf. vv. πρημαινούcαc, K 55, cτρόβιλοc 534 Z 1061 536 Z 1062 538 Z 1064 539 Z 1061 541 Z 1063 543 Z 1057 544 cf. v. Ε 1138. Z 1063

1 θυμίαcιν F 3 νυκτῶν A 7 τελειοῦμεν V 8 εἰcενέγκατο GIM A²(GIFVM)
14 θεὸν V, Zon. 16 Θυεία A, Laur. cf. Phryn. Ambr. 422. ἤγουν τὸ ἴγδιον, τὸ κούπανον ss. V θυείαν A cf. Anth. τὰν] ἤγουν τὴν ss. V κρειοδόκον] δεχομένην τὰ κρέατα ss. V 18 Θυείδιον A, Ambr. cf. Choer. An. Ox. 2, 220, 1 20 τοῦ—Παύλῳ om. F, Theodor. 21 θύϊνα] ἤγουν πέτρινα ἐξ ἀμιάντου ss. V. Βαρνάβα ἀποστολ(ου) mg. add. M 23 Πλούτῳ om. F 24 Θύλακοι nov. gl. GIV 26 Θυλήματα ed. pr., Phryn., sch. πέμματα] γλυκάcματα ss. V

Ar. 546 Θυμάλωπες: ἢ καέντα ξύλα, ἢ σπινθῆρες, ἢ διακεκαυμένοι ἄνθρακες.

Suid. 547 Θυμάλωπες: οἱ ἀπολελειμμένοι τῆς θύψεως ἄνθρακες, οἱ ἡμίκαυτοι.

Hom. 548 Θυμαρέα: τὴν τῇ ψυχῇ ἀρέσκουσαν. καὶ Θυμάρεια, ἡ Δ ἀρέσκουσα.

Δ 549 Θυμάρμενον: τὸ τῇ ψυχῇ ἀρέσκον.

Σ | 550 Θύματα: θυμιάματα. ἀπαρχαί, θυσίαι. Ἀριστοφάνης· τὰ Ar. θύματ' οὐδέν ἐστι πλὴν γένεια καὶ κέρατα. ἐπὶ τῶν ἱερείων τῶν μὴ ἐχόντων σάρκας. τάττεται δὲ καὶ ἐπὶ τοῦ θυμιάσαι τὸ θύειν. ἐπὶ μὲν γὰρ τοῦ βοὸς σφάξειεν, ἐπὶ δὲ τοῦ ψαιστοῦ θυμιάσειεν.

Δ 551 Θυμάτιον: τὸ θῦμα.

Δ 552 Θύμβρις: ὄνομα τόπου, καὶ πεδίον τι.

Ar. 553 Θυμβρεπιδείπνου γαστρός: τὰς θύμβρας δυναμένης δειπνεῖν. ἔστι δὲ βοτάνης εἶδος. ἀφ' οὗ δηλοῖ, ὅτι λάχανα μόνα τρωγούσης εὐτελῆ. Θυμβροφάγον δὲ ἤτοι ἀγροικικὸν καὶ ἐλευθέριον· παρ' ὅσον οἱ ἐν ἀγρῷ διατρίβοντες ἀφελέστεροι καὶ ἐπιεικέστεροι. τὸ δὲ θύμβρον ἐν ἀγρῷ γίνεται. ἔστι δὲ τοῦτο ἄγριον φυτὸν καὶ δριμύ. θυμβροφάγον οὖν ἀντὶ τοῦ πικρὸν καὶ δριμὺν κατὰ τῶν ἐχθρῶν. οἱ δὲ ἀντὶ τοῦ δριμὺ καὶ ἱλαρόν. τινὲς δέ φασι τῷ θύμῳ εἶναι παραπλήσιον.

Harp. 554 Θυμαιτάδαι: δῆμος Ἱπποθοωντίδος, ἀπὸ Θυμοίτου τοῦ ἥρωος.

Ecl. 555 Θυμέλη: ὁ βωμός. ἀπὸ τοῦ θύειν. ὁ δὲ Ἀθάνας λήξας καὶ Anth. πολέμου καὶ θυμέλας ἔθετο.

Δ 556 Θυμέλη: ἡ αὐλητική. πολλάκις ἐν θυμέλῃσι καὶ ἐν σκηνῇσι Anth. τεθηλὼς βλαισὸς Ἀχαρνίτης κισσὸς ἔρεψε κόμαν. Προκόπιος· μητρὸς E δὲ τῶν τινος ἐν θυμέλῃ πεπορνευμένων.

557 Θυμελικοί: οἱ ἐν ὑποκρίσει τὴν τέχνην ἐπιδεικνύμενοι.

558 Θυμήνας: χολωθείς.

546 sch. Ar. Ach. 321 548 — ἀρέσκουσαν sch. I 336 = Et. M. 458, 26 cf. Ambr. 414, H Θυμάρεια sq. cf. Ambr. 421 550 — θυμιάματα = P, Ba 258, 14, sch. Soph. El. 634 ἀπαρχαί cf. H τὰ—σάρκας Ar. Av. 902 c. sch. τάττεται sq. sch. Ar. Pl. 137 cf. Ammon. p. 124 et 253 551 = L, Ps. Herodian. 60 cf. Ambr. 432 552 — τόπου cf. L 553 — εὐτελῆ sch. Ar. Nu. 421. Θυμβροφάγον sq. sch. Ar. Ach. 254 cf. H, Phryn. 75, 8, P 554 Harp. — P 555 — θύειν cf. An. Ox. 2, 449, 18, H, Phryn. p. 74, 9 et Ecl. p. 163 ὁ sq. Anth. 6, 46, 3—4 556 — αὐλητική aliter L πολλάκις—κόμαν Anth. 7, 21, 3—4 μητρὸς sq. Proc. h. a. 1, 11

546 cf. 69, vv. K 682 et φοινικίδα 547 ex v. A 4398 cf. v. Θ 624 548 Z 1062 550 cf. 616 551 cf. 563 556 Anth. cf. vv. A 4677 et B 827 557 Z 1058

A³(GITFVM) 1 ἢ tert.] οἱ FVM 547 om. TF 3 ἀπολελυμμένοι VM ἀπολυμμένοι GI ἡμίκαυστοι GI cf. v. A 4398 4 τῇ ψυχῇ A: τῆς ψυχῆς F τὴν ψυχὴν rell. 8 τῶν alt. om. F 10 γὰρ om. V ad 551 θῦμα mg. add. V cf. Ambr. 418 14 δὲ] καὶ add. F ὅτι AFM, sch.: ὡς GI om. V μόνα post vs. 15 εὐτελῆ F 19 δριμὺν AIVM τῷ θύμῳ] τὴν θύμην GI 21 Θυμοιτάδαι A cf p. 737, 16 Ἱπποθωτίδος F Ὑποθωντίδος (T)V Οἰποθοωντίδος IG cf. Harp. 22 ὁ—26 πεπορνευμένων om. F 25 βλαισὸς A, Anth.: βλαστὸς GIM om. V 27 Θυμενικοί F 558 om. F, extra ord.

559 Θυμηδία: τέρψις, τρυφή, εὐφρασία. καὶ Θυμηδούμενοι. Σ
οἱ δὲ ὑπὸ συρίγγων καὶ αὐλῶν θυμηδούμενοι μετὰ παίδων καὶ γυναι- Ε
κῶν πρὸς θυμηδίας ἦσαν.
560 Θυμῆρες: καταθύμιον. Σ
561 Θυμηρέστερον: ἡδύτερον. Σ
562 Θύμηρις. Δ
563 Θυμήτιον: τὸ μικρὸν θῦμα καὶ εὐτελές. λύσις ὀνείρου· εἰ θυμιᾷ
σέ τις, πικρὸν τὸ ὄναρ πέλει. On.
564 Θυμικόν: ὀργίλον. Σ
565 Θυμιωμένος: ἀρωματιζόμενος. Δ
566 Θυμιτίδων ἁλῶν: οἷον μετὰ θύμου τετριμμένων. Ἀριστοφάνης· Ar.
περίδου μοι περὶ θυμιτίδων ἁλῶν.
567 Θυμοβαρής: τὴν ψυχὴν ἀλγυνομένη· σῆμα παρ' Αἰάντειον Anth.
ἐπιρροιτῆισιν ἀκταῖς θυμοβαρὴς ἀρετὰ μύρομαι ἑζομένα.
568 Θυμοβόρος: ἡ τὴν ψυχὴν διαφθείρουσα. Σ + Hom.
569 Θυμολέων: θυμώδης τὴν ψυχήν. Σ
570 Θυμομαχοῦντες: ἀλγυνόμενοι τὴν ψυχήν. Πολύβιος· οἱ δὲ τὰ E
μὲν ἀπαλγοῦντες ταῖς ἐλπίσι, τὰ δὲ θυμομαχοῦντες, ἐπί τινα παρά-
στασιν κατήντησαν.
571 Θυμὸν ὀξίνην πεπωκότες: ξὺν δορὶ ξὺν ἀσπίδι μαχόμεθ' Ar.
αὐτοῖσι, θυμὸν ὀξίνην πεπωκότες.
572 Θύμος: εὐτελὴς βοτάνη. Ἀριστοφάνης Πλούτῳ· ὦ πολλὰ δὴ Ar
τῷ δεσπότῃ ταὐτὸν θύμον φαγόντε. ἀντὶ τοῦ τῆς αὐτῆς πενίας
μετασχόντες· θύμος γὰρ εὐτελὴς βοτάνη. οὐδετέρως τὸ θύμον, βραχυ-
παράληκτον. παρῴδηται δὲ ἐκ τῶν Ἡσιόδου· οὐδ' ὅσον ἐν μαλάχῃ
τε καὶ ἀσφοδέλῳ. ἀντὶ τοῦ δίκαιοι, τὰ εὐτελῆ θέλοντες ἐσθίειν, διὰ
τὸ μὴ ἐθέλειν ἀδικεῖν. ἅμα δὲ καὶ τὸ τραχὺ τῆς γῆς διαβάλλει.
573 Θυμός· ἐπιθυμία καὶ θυμός ἐστιν ὀρεκτικαὶ δυνάμεις τῆς ψυχῆς. Phil.
διαφέρει δὲ θυμὸς καὶ ἐπιθυμία. ζητήσειε δ' ἄν τις, τὸ πῶς; τί γάρ;

559 — εὐφρασία = P, Ba 258, 17 cf. H οἱ sq. fort. Aelian. 560 = P, Ba 258, 16 cf. sch. κ 362, H 561 = P, Ba 258, 15 cf. H v. θυμήρης 563 εἰ sq. Astramps. 564 = P, Ba 258, 18 cf. Ps. Herodian. 60 565 cf. Ambr. 434 566 Ar. Ach. 772 c. sch. 567 σῆμα sq. Anth. 7, 146, 1—2 568 cf. P = Σ^a; H, sch. H 210, Ap. S. 88, 30 569 = P, Ba 258, 19 570 οἱ sq. Polyb. 9, 40, 4 571 Ar. Vsp. 1081—2 572 Ar. Pl. 253 c. sch., Hesiod. O. 41 573 — p. 736, 7 θυμόν Philop. 6, 11—19

560—1 Z 1063 563 cf. 551. Z 1063 564 Z 1063 565 Z 1064 566 cf. v. περίδου 567 Z 1062 569 Z 1058 570 cf. v. A 2880 572 cf. v. N 356 573 Z 1058, sch. B rec. in Ε 792 (ed. Villoison)

3 πρὸς A: πρὸ rell. θυμηδίας] corruptelam indicavit Bhd. ante 561 καὶ A^2 (GIFVM) θυμηρέστατον add. F 11 Ἀριστοφάνης om. F 12 θυμιτίδων A: θυμίτων rell. 13 σῆμα—14 ἑζομένα om. F 14 ἐπὶ Ῥοιτ. A 18 ταῖς] ἐν ταῖς F 20 πεπτωκότες FV 21 πεπτωκότες V 22 Ἀριστοφάνης — 24 βοτάνη] καὶ F 23 ταὐτὸ A 24 θύμος — βοτάνη om. GI 24. 25 βραχυπαράληκτον F: βραχυπαραλήκτως sch. βραχυκαταλήκτως rell. cf. v. παιδία 25 παρῳδηται — 27 διαβάλλει om. F 26 ἀσφοδέλων VM 27 τῆς γῆς A: τῆς VM om. GI 28 ὀρεκτικὰς V ὀρεκτικὴ GI δύναμις GI

οὐχὶ καὶ ὁ θυμούμενος ἐπιθυμεῖ τοῦ ἀντιλυπῆσαι τὸν προλυπήσαντα; τί δέ; οὐχὶ καὶ ὁ λόγος ἐπιθυμεῖ τῶν μαθημάτων καὶ τῶν θεωρημάτων; καὶ λέγομεν πρὸς τοῦτο, ὅτι ἐστὶν ἐπιθυμία καὶ κοινότερον λεγομένη καὶ ἰδικώτερον· ὥσπερ ἡ διάθεσις λέγεται καὶ κοινῶς ἐπὶ τῆς ἕξεως, λέγεται καὶ ἰδικῶς, ἡ ἀντιδιαστελλομένη πρὸς τὴν ἕξιν, οὕτω καὶ ἡ ἐπιθυμία λέγεται καὶ κοινῶς ἐπὶ πασῶν τῶν δυνάμεων τῆς ψυχῆς· λέγεται καὶ ἰδικώτερον ἡ ἀντιδιαστελλομένη πρὸς τὸν θυμόν. ὁ δὲ ὁριζόμενος τὸν θυμὸν ὄρεξιν ἀντιλυπήσεως, οὐ φυσικῶς, ἀλλὰ διαλεκτικῶς ὡρίσατο· οὐ γὰρ τὴν οὐσίαν τοῦ θυμοῦ ἐδήλωσεν, ἀλλ' ὅ τι ἐν τῇ οὐσίᾳ τοῦ θυμοῦ ἔχει τὸ εἶναι ἀποτεμὼν ὡρίσατο, ἐξ οὗ οὐδὲ τὰ παρακολουθοῦντα τοῦ θυμοῦ ὁρίσαιμεν ἄν, ὥσπερ ἐκ τοῦ λέγοντος τὴν ὀργὴν ζέσιν εἶναι τοῦ περικαρδίου αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως. οὕτω γὰρ καὶ τὰ παρακολουθοῦντα γνώριμα ποιεῖ, ὅτι παλμός τις τῆς καρδίας παρακολουθεῖ τοῖς ὀργιζομένοις, καὶ ὅτι θερμότης γίνεται περὶ ἐκεῖνα τὰ μέρη· ὅτι ἐρυθαίνονται οἱ ὀργιζόμενοι. τοῦτο δὲ διὰ τὴν τοῦ αἵματος κίνησιν. ὅτι τὰ πάθη τῆς ψυχῆς, ὅσα τοῦ συναμφοτέρου, οὐδὲ ἐπινοίᾳ δύναται χωρισθῆναι. ἐπειδὴ ὁ θυμός ἐστιν ἐν τῷ λόγῳ καὶ ἐν τῷ πνεύματι καὶ ἐν τῷ ἐζωωμένῳ σώματι· οἷον τοῦ μὲν λόγου ἐπιτρέποντος τῷ πνεύματι τὴν ὄρεξιν, τοῦ δὲ πνεύματος τῇ ὀρέξει κινοῦντος τὸ περικάρδιον αἷμα τοῦ ζῴου, ὥσπερ ἔχει ἐπὶ βασιλέως καὶ στρατηγοῦ καὶ στρατοῦ. ὁ μὲν γὰρ βασιλεὺς ἐπιτρέπει τῷ στρατηγῷ ἀμύνασθαι τούσδε τινάς, ὁ δὲ στρατηγὸς κινεῖ τοὺς στρατιώτας, οἱ δὲ ἀμύνονται. ὁ μὲν οὖν ἐν τῷ λόγῳ οὐκ ἔστιν ἀχώριστος τοῦ ζῴου (οὗτος γὰρ χωριστὸς παντὸς σώματος)· ὁ δὲ ἐν τῷ πνεύματι, εἰ μὴ παντὸς χωριστός, ἀλλ' οὖν τοῦ γεώδους χωριστὸς σώματος. ὁ δὲ τρίτος, τουτέστιν ἡ ἕξις τοῦ περικαρδίου αἵματος, ἀχώριστός ἐστι τούτου τοῦ ἐζωωμένου σώματος.

Ar. 574 Θυμὸς ἑπταβόειος: ὁ μέγας. ἀπὸ μεταφορᾶς τῆς ἀσπίδος
Soph. τοῦ Αἴαντος. Κρέων Οἰδίποδι· θυμοῦ γὰρ οὐδέν ἐστιν ἄλλο γῆρας πλὴν θανεῖν. θανόντων δ' οὐδὲν ἄλγος ἅπτεται. οἷον οὐκ ἔστι θυμοῦ κρατῆσαι ἄνθρωπον ὄντα. οὐ καταγηράσκει τὸ ὠμὸν τοῦ θυμοῦ, εἰ μὴ ἐξέλθοι τοῦ βίου ὁ ἄνθρωπος· ἀδύνατον γάρ ἐστιν ὄντα ἄνθρωπον μὴ θυμῷ χρήσασθαι. τοῦτο καὶ παροιμιακῶς λέγεται, ὅτι ὁ θυμὸς ἔσχατον γηράσκει. λέγεται δὲ διὰ τοὺς πρεσβυτέρους· ὅσον γηράσκουσι,

573 vs. 8 ὁ—16 κίνησιν l. l. 44, 1—11. vs. 16 ὅτι sq. l. l. 63, 26—28; 64, 6—17
574 — Αἴαντος sch. Ar. Ran. 1017 θύμου sq. Soph. OC 954—5 c. sch.; Alc. fr. 117

574 sch. B rec. in E 792 (ed. Villoison)

A³(GIFVM) 4 ὥσπερ] καὶ add. GI 5 λέγεται om. GIF 8 ὁ—θυμὸν om. F 12 περὶ καρδίαν F, sch. E cf. Philop., cp. VM 13 οὕτως VM, sch. E οὗτος Philop. 15 ἐρυθαίνονται V, Philop.: ἐρυθραίνονται rell., sch. E 16 τοῦ ex A, Philop. 17 ἐπειδὴ, A Philop.: ἐπεὶ δὲ rell. 18 λόγῳ om. V ἐν sec. et καὶ alt. om. F 23 ἀμύνοντες V 26 τρίτος] λόγος G περὶ καρδίαν F, sch. E cp. VM 29 Οἰδίποδι ed. pr.: Οἰδίπους V, sch. Hom. cp. rell. 30 τοῦ θυμοῦ A 33 παροιμία F ὁ om. F

τὸν θυμὸν ἐρρωμενέστερον ἔχουσι. καὶ Ἀλκαῖος ὡς λεγομένου κατὰ τὸ κοινὸν αὐτοῦ μιμνήσκεται.

575 Θυμὸς ὀργῆς: ὁ μὲν γὰρ θυμὸς ὀξὺς καὶ ὀλιγοχρόνιος· ἡ δὲ ὀργὴ βραδυτέρα μέν, μονιμωτέρα δέ. θυμὸν τοίνυν ὀργῆς τὴν ἐπίμονον ἐκάλεσε τιμωρίαν. θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν ἐπὶ θεοῦ τὰς πικρὰς τιμωρίας καλεῖ· οὐ γὰρ φύσιν οὐδὲ προαίρεσίν φησιν. Thdr. Suid.

576 Θυμοσοφικώτατος· Ἀριστοφάνης· εἶτ' Ἀριφράδην, πολύ τι θυμοσοφικώτατον, ὄντινά ποτ' ὤμοσε μαθόντα παρὰ μηδενός, ἀλλ' ἀπὸ σοφῆς φύσεως αὐτόματον ἐκμαθεῖν γλωττοποιεῖν, εἰς τὰ πορνεῖα εἰσιόνθ' ἑκάστοτε. Ar.

577 Θυμόσοφος: εὐμαθής, φυσικός, εὐφυής. ἐκ τοῦ ἰδίου θυμοῦ σοφός, καὶ οὐκ ἐκ μαθήσεως. τοὺς οὖν ἐκ φύσεως ὀξυμαθεῖς οὕτως ἐκάλουν. Ἀριστοφάνης Νεφέλαις· ἀμέλει, δίδασκε· θυμόσοφός ἐστι φύσει. Σ Ar. Prov. Ar.

578 Θυμοφθόρα: τὰ τὴν ψυχὴν φθείροντα. Σ

579 Θυμοίτης: ὁ τῶν Ἀθηναίων βασιλεύς. καὶ Θυμοιτάδαι. οὕτως ἐκωμῳδοῦντο οἱ Ἀχαρνεῖς ὡς ἄγριοι καὶ σκληροί. καὶ ζήτει ἐν τῷ Δραχαρνεῦ. Ar. Suid.

580 Θυννάζοντες: ἀντὶ τοῦ κατακεντοῦντες. τοὺς γὰρ μεγάλους θύννους τριόδοις ἐλάμβανον. Σ

581 Θύννεια θερμὰ καταφαγών, κᾆτ' ἐπιπιὼν ἄκρατον οἴνου χοᾶ, κασαλβάσω τοὺς ἐν Πύλῳ στρατηγούς. Ar.

582 Θυννίζω καὶ Ἀποθυννίζω: τὸ ἀποπέμπομαι, καὶ παραλογίζομαι. Suid.

583 Θυννοσκόπος· καθάπερ τὸν θυννοσκόπον εἰσιόντες εἰς τὸ δίκτυον οὐ λανθάνουσιν οἱ θύννοι, οὕτως οὐ λανθάνουσι τὸν Κλέωνα τῆς πόλεως ἐπιβαίνοντες οἱ τοὺς φόρους φέροντες. προαρπάζει οὖν τούτους, δέον τὴν πόλιν λαμβάνειν τούτους. ὀνειδίζει οὖν αὐτῷ, ὅτι τὰ δημόσια νοσφίζεται χρήματα. ἅμα δὲ καὶ εἰς ὀψοφαγίαν αὐτὸν διαβάλλει. Ἀριστοφάνης· ἢ βωμολόχοις ἔπεσι χαίρει μὴ 'ν καιρῷ τοῦτο ποιοῦσιν, ἢ στάσιν ἐχθρὰν μὴ καταλύει ἢ προδίδωσι φρούριον ἢ τἀπόρρητ' ἀποπέμπει ἐξ Αἰγίνης Θωρυκίων ἄν, εἰκοστολόγος. Ar.

575 — τιμωρίαν Thdr. in Ps. 68, 25, PG 80, 1408c 576 Ar. Vsp. 1280—3 577 — εὐφυής = P, Ba 258, 21 cf. sch. Ar. Nu. 877 ἐκ—μαθήσεως sch. Ar. Nu. 877 τοὺς—ἐκάλουν = Paroem. ed. Gsf. 58, n. 496 ἀμέλει sq. Ar. Nu. 877 578 = P, Ba 258, 23 cf. H 579 — βασιλεύς sch. Ar. Ach. 146 580 = P, H cf. Paroem. ed. Gsf. 58, n. 497, sch. Ar. Vsp. 1087 581 Ar. Eq. 354—5 583 — vs. 29 διαβάλλει sch. Ar. Eq. 313. ἢ sq. Ar. Ran. 358—9, 362—3

575 sch. B rec. in Ε 792. vs. 5 θυμὸν sq. ex v. A 196 cf. v. Θ 391 577 Z 1058 578 Z 1063 579 οὕτως sq. ex v. Δ 1515 581 cf. v. κασαλβάσω 582 ex v. A 3329

1 λεγόμενος F 4. 5 ἐπίπονον F 5 θυμὸν—6 φησιν ex VM solis 11 φυσικῆς F cf. Hes. φυσικῶς Valck. 13 Ἀριστοφάνης—14 φύσει om. TF 16 Θυμοιτάδαι AV: cp. F Θυμοιτάδε M Θυμοιτάδες GIT 17 οὕτως—18 Δραχαρνεῦ om. F 17 καὶ ζήτει—18 Δραχαρνεῦ om. T 17 ζήτει AI: ἐστιν GVM^{cp} 20 τριόδοσιν A 21 ἐπιὼν V ἄκρατα F, v. l. Ar. 22 κασαλβάσω FM, s. v.: κασαλβάσα G καὶ σαλβάσω AV, v. l. Ar. 582 om. F 583 om. T 26 προαρπάζει—31 εἰκοστολόγος om. F 29 ἢ—31 εἰκοστολόγος del. Kust.; ad 444 fort. pertinent A^2(GITFVM)

Ar. 584 Θυννοσκοπῶν: Ἀριστοφάνης. ἐπεὶ οἱ θυννοσκόποι ἐφ' ὕψους ἱστάμενοι τὴν κατασκοπὴν τῶν εἰσιόντων θύννων εἰς τὰ δίκτυα ποιοῦν-
Suid. ται. καὶ αὖθις· ἄνθρωπος οὐκ ἔχων εἰπεῖν ὄνομα πάππου, ἀλλ' οὐδὲ πατρός φασι πλὴν ὅσον, ἀπὸ θυννοσκοπείου ἐπὶ τὴν ἡγεμονικὴν ἀπήνην ἁλάμενος.

Δ 585 Θύννοι: ὄνομα ἔθνους.

Σ 586 Θύνων: ὁρμῶν.

587 Θύνωνος.

Hom. Anth. 588 Θυόεν: εὐῶδες. καὶ λιπαραὶ θυόεν ἄσθμα πνέουσι κόμαι.

Δ 589 Θυόεις: ὁ τεθυμιαμένος.

Δ 590 Θύον. ἐφορολόγουν οἱ Ῥόδιοι τοὺς βασιλεῖς. Μασσάνας μὲν γὰρ ἀπέστειλεν αὐτοῖς ἐλέφαντος λ' τάλαντα, θύου δέ ν' πρὸς κατασκευὴν τῶν ἁγαλμάτων, ὧν ἦσαν ἐψηφισμένοι κατασκευάζειν.

Δ 591 Θυοσκόος: ἱερεύς.

Σ 592 Θυοσκόπος: ὁ διὰ τῶν θυσιῶν μαντευόμενος.

Synt. 593 Θύω· δοτικῇ. αἰτιατικῇ δέ· θύσατε θυσίαν δικαιοσύνης.

Δ+ Anth. 594 Θυῶδες: τεθυμιαμένον. Ἥρη τιμήεσσα, Λακώνιον ἢ τὸ θυῶδες
Δ πολλάκις οὐρανόθεν νιφομένη καθορᾷς. καὶ Θυώδης, ὁ τεθυμιαμένος.

Σ 595 Θυωμάτων: θύματα μύρων, ἀρώματα θυμιαμάτων.

Kel. 596 Θυώνη: ἡ Σεμέλη. παρὰ τὸ θύειν, ὅ ἐστιν ὁρμᾶν.

597 Θυωρός: κυρίως ἡ ἱερὰ τράπεζα. ἔλεγε Φερεκύδης, ὅτι οἱ θεοὶ τὴν τράπεζαν θυωρὸν καλοῦσιν.

Σ 598 Θύραζε: ἔξω τῆς θύρας. Θύραζε Κᾶρες, οὐκ ἔτ' Ἀνθεστήρια. οἱ μὲν διὰ πλῆθος οἰκετῶν Καρικῶν εἰρῆσθαί φασιν, ὡς ἐν τοῖς Ἀνθεστηρίοις εὐωχουμένων αὐτῶν καὶ οὐκ ἐργαζομένων. τῆς οὖν ἑορτῆς τελεσθείσης λέγειν ἐπὶ τὰ ἔργα ἐκπέμποντας αὐτούς, θύραζε Κᾶρες, οὐκ ἔτ' Ἀνθεστήρια. τινὲς δὲ οὕτως τὴν παροιμίαν φασί· θύραζε κῆρες, οὐκ ἔνι Ἀνθεστήρια. ὡς κατὰ τὴν πόλιν τοῖς Ἀνθεστηρίοις τῶν ψυχῶν περιερχομένων.

584 — ποιοῦνται sch. Ar. Eq. 313 585 = Ambr. 413 586 = P, Σ^a cf. Ba 258, 22, sch. B 446 (= Et. M. 459, 14), H v. θόεσε 587 = Ambr. 408 588 — εὐῶδες sch. O 153 = H cf. L καὶ sq. Anth. 7, 218, 10 589 cf. Ambr. 394, H 590 ἐφορολόγουν sq. Polyb. attr. Valck., Appiano ego 591 cf. Ambr. 403 592 = P, Σ^a cf. Ba 258, 24, H 593 cf. An. Ox. 4, 294, 24, Synt. Gud. p. 591, Synt. Laur. θύσατε sq. Ps. 4, 6 594 Ἥρη—καθορᾷς Anth. 6, 265, 1—2 Θυώδης sq. cf. Ambr. 394 595 = P, Σ^a, Ba 259, 4 cf. H 598 cf. sch. Ap. Rh. 1, 636, sch. Pind. P. 3, 177 a; l. = L; θύειν sq. cf. Ambr. 435, Et. M. 457, 56 597 — τράπεζα cf. sch. Lyc. 93, ex quo Et. M. 457, 50; H, sch. Call. h. 3, 134 ἔλεγε sq. Laert. 1, 119 598 — θύρας = Ba 258, 25 cf. H, Et. M. 458, 56, sch. Ε 694, P. Θύραζε Κᾶρες sq. = P cf. Zen. IV 33, H

584 ἄνθρωπος sq. ex v. A 2534 588 cf. v. K 1525 591 cf. v. M 169. Z 1060 592 Z 1060 598 init. Z 1065

A^3(GITFVM) 3 καὶ—4 ἁλάμενος om. TF 4 θυννοσκοπείου v. A 2534: cp. AVM θυννοσκοπίου GI 587 om. TF mg. V 8 τὸ εὐῶδες GI πνέουσαι V 10 βασιλέως F Μασσάλας GI sed cf. v. A 2080 11 τάλαντα om. F 13 Θυοσκόπος GI 593 om. TF; Δαυὶδ mg. add. A 594 om. T 16 Ἥρη—17 καθορᾷς om. F 16 ἢ τὸ] αὐτὸ V 23 Θύραζε alt.] nov. gl. GIF 27 τινὲς—28 Ἀνθεστήρια om. GI

599 Θύραθεν: ἔξωθεν, ἐγγύς. ἦν δὲ ἡ μανία οὐ θύραθεν, ἀλλ' Σ
ἔνδοθεν ἐλύσσα καὶ ἐμαίνετο ἀνὴρ φύσει πονηρὸς καὶ ἐξουσίαν ἔχων. E
600 Θύρασιν· Ἀριστοφάνης. ὁ γὰρ βωμὸς θύρασι καὶ δή. ἀντὶ τοῦ Ar.
ἐξ ἑτοίμου ἐστὶ παρεσκευασμένος.
601 Θυραυλεῖν: πλανᾶσθαι κατὰ τὴν χώραν, ἢ παρὰ ταῖς θύραις Σ
αὐλίζεσθαι, ὅπερ ἐστὶ καθέζεσθαι καὶ προσεδρεύειν. ὡς ἂν θηρώσης E
κόρης καὶ θυραυλούσης, τρεφομένη μὲν ὄμβροις, τιναssομένη δὲ ἀνέμοις
κόμη πολλὴ ἦν καὶ βαθεῖα.
602 Θυργωνίδαι: δῆμος Πτολεμαΐδος φυλῆς. Harp.
603 Θυραῖος: ξένος, ὁ ἔξω τῆς θύρας. Θυρεὸς δὲ τὸ ὅπλον. Δ
604 Θύραι οὐρανοῦ: ἡ ἄνωθεν χορηγία. μεταφορικῶς ἀπὸ τῶν Thdr.
ταμιείων. Δαβίδ· καὶ θύρας οὐρανοῦ ἠνέῳξε.
605 Θυρεός: ὅπλον. τὸ παρ' ἡμῖν σκουτάριον. καὶ Θυρεοφόροι, Δ Ps.
οἱ θυρεοὺς ἔχοντες· οἱ δὲ ἁπλῶς δορατοφόροι. ἐν Ἐπιγράμμασι·
ὀκτώ τοι θυρεούς, ὀκτὼ κράνη, ὀκτὼ ὑφαντοὺς θώρηκας. Anth
606 Θυρεπανοίκτης: Κράτης ὁ Θηβαῖος. ἐκλήθη δ' οὕτω διὰ τὸ Hesy.
ἐπειcιέναι εἰς πάντα, οὗπερ ἐβούλετο, οἶκον.
607 Θύρετρα: θυρώματα, ἢ ἀραιόθυρα. Σ
608 Θυρηβόλος: ὁ τέκτων. Δ
609 Θύρηφιν: ἔξωθεν, ἔξω. Σ
610 Θυρίς, θυρίδος. καὶ Θυριώτης, ὁ ἔξω τῆς θύρας. καὶ Δ
Θύριον, ἡ θύρα.
611 Θυροκοπεῖται. καὶ Θυροκόπος, ὁ τὴν θύραν κόπτων. Δ
ὅτι Ἀριστομένης, ὁ Ἀθηναῖος, θυροποιὸς ἐπεκλήθη. Suid.
612 Θυρωρός: ὁ φύλαξ τῆς θύρας. λέγεται δὲ καὶ θηλυκῶς. Δ
613 Θύρσος: βακχικὴ ῥάβδος. ἢ λαμπάς, ἣν ἐβάσταζον εἰς τιμὴν Σ

599 — ἐγγύς = Ba 258, 26 cf. H, P ἦν sq. [Eunap.] fr. 39, FHG 4, 29 fort. Aelian. 600 Ar. Pac. 942 c. sch. 601 — προσεδρεύειν = P cf. Bk. 265, 7 = Et. M. 459, 33; Tim. ὡς sq. Iambl. fr. 8 602 Harp. = P 603 — ξένος = Ambr. 392 cf. H. ὁ — θύρας = Ps. Herodian. 61 cf. Zon. 1060. Θυρεὸς sq. = Ambr. 393, Ps. Herodian. 163, Et. M. 459, 1 cf. P v. θυρεόν 604 Thdr. in Ps. 77, 23, PG 80, 1489 c 605 ὅπλον cf. ad 603 σκουτάριον = An. Ox. 2, 450, 1 cf. H ὀκτώ sq. Anth. 6, 129, 1—2 606 cf. Laert. 6, 86 607 = P, Ba 259, 1 cf. H 608 = Ambr. 396 609 = Ba 258, 27 cf. sch. ι 238 610 Θυριώτης—θύρας = Ambr. 398 611 Θυροκοπεῖται cf. Ambr. 439, Bk. 99, 17. Θυροκόπος—κόπτων = Ambr. 395 612 — φύλαξ = L cf. Ambr. 399 613 — p. 740, 1 Διονύσῳ = P, Ba 259, 2 cf. H

599 cf. v. Φῆστος 600 cf. v. B 492 601 Iambl. cf. v. B 26 604 Z 1062 606 cf. v. K 2341 609 Z 1065 611 ὅτι sq. ex v. A 3922

4 κατεσκευασμένος GI 5 τὰς θύρας F 6 ὅπερ ἐστὶ καθέζεσθαι om. GIV A²(GITFVM)
καὶ om. F ὡς — 8 βαθεῖα om. TF 6 θηράσης GI 10 ὁ] καὶ A
ἔξωθεν F Θυρεὸς — ὅπλον om. F 12 ἀνέῳξεν A, Zon. Ps. 13 τὸ —
σκουτάριον om. F 14 οἱ θυρεοὺς — δορατοφόροι ex FV solis 19 Θυροβόλος V
21 Θυριώτις A καὶ alt. — 25 θύρας om. F; καὶ alt. — 22 θύρα om. T
23 Θυροσκοπεῖται VM Θυροσκόπος V 24 ὅτι — ἐπεκλήθη om. T ἐκλήθη A
25 δὲ om. GI καὶ om. T

Anth. τῷ Διονύσῳ. ἐν Ἐπιγράμμασι· Πανὶ Βίτων χίμαρον, Νύμφαις ῥόδα, θύρσα Λυαίῳ, τριςσὸν ὑπ᾽ εὐπετάλοις δῶρον ἔθηκε φοίβαις. καὶ αὖθις· καὶ θύρσου χλοερὸν κωνοφόρον κάμακα.

Δ 614 Θυcανόεcca: κροccοῦcι ἔχουcα.

Σ + Hdt. 615 Θυcάνοις: κορύμβοις, κροccοῖc. εὐθύcανον ζώνην τοι ὁμοῦ

Anth. καὶ τόνδε κύπαccιν᾽ Ἀτθὶc παρθενίων θῆκεν ὕπερθε θυρῶν.

Σ 616 Θῦcαι: τὸ cφάξαι, καὶ τὸ θυμιᾶcαι παρὰ Ὁμήρῳ.

Suid. 617 Θῦcον· ὅτι ἓξ θυcίαι ἐξ ἐμψύχων ἐθύοντο, προβάτου, ὑός, αἰγός, βοός, ὄρνιθος, χηνός· ἐθύετο ἕβδομος ὁ ἐξ ἀλεύρου. καὶ ζήτει ἐν τῷ βοῦc ἕβδομος.

618 Θύcθλα: αἱ κράδαι αἱ βακχικαί, ἤτοι cυκῆc φύλλα. ἔνιοι δὲ τὰ ἐπιφερόμενα τοῖc βωμοῖc. οἱ δὲ τὰ φύλλα τῆc ἀμπέλου, ἢ κιccούc, ἢ κλάδουc, ῥάβδουc, νάρθηκαc,· θύματα, cτεφανώματα, χοάc.

619 Θυcία· τῶν θυcιῶν αἱ μὲν δωροφορικαί, αἱ δὲ ἀπολυτρωτικαί, αἱ δὲ διαλλακτικαί, αἱ δὲ ἀποπληcτικαί.

Δ? 620 Θύcκη: ἡ cκάφη.

Δ 621 Θυcτήριον: τὸ ὁρμητήριον.

Harp. 622 Θύcτιον: πόλιc τῆc Αἰτωλίαc. τινὲc δὲ Θύτιον, ἄνευ τοῦ c.

Σ 623 Θυτηρίοιc: θυμιατηρίοιc.

Suid. 624 Θύψις καὶ Θύψαι, ἐπικαῦcαι. καὶ θυμάλωπεc, οἱ ἀπολελειμμένοι τῆc θύψεωc ἄνθρακεc, οἱ ἡμίκαυτοι.

613 Πανὶ—φοίβαις Anth. 6, 158, 1—2 καὶ θύρσου sq. Anth. 6, 165, 4 614 = Ambr. 419, Et. M. 459, 22 cf. sch. Є 738 615 — κροccοῖc cf. gl. Hdt. 2, 81 = H. κροccοῖc = P, sch. Ξ 181 cf. Ap. S. 89, 5 = Et. Gen., sch. B 448 εὐθύcανον sq. Anth. 6, 202, 1—2 616 cf. sch. AD in I 219, Phryn. 74, 3, Bk. 99, 16, H, Et. M. 457, 55 618 cf. H, Et. M. 459, 25, Ap. S. 89, 6, sch. AD in Z 134, P, Ambr. 426, L 620 cf. Et. M. 458, 53 aliter L 621 = Ambr. 433 622 Harp. = P 623 = P, Σ^{a}, H

618 Anth. cf. vv. φοίβη et K 2279 615 cf. v. K 2782 616 cf. 550 617 ex v. B 457 621—2 Z 1064 624 Θύψαι sq. ex v. A 4398 cf. v. Θ 547

A^{a} (GITFVM) 1 τοῦ Διονύcου A ἐν—3 κάμακα om. TF 1 χίμαρρον GIM 2 τριccὸν—αὖθιc om. GI 3 κανοφόρον GIM^{ac}, v. l. v. K 2279 617 om. F 8 βοός, αἰγός GI 9 καὶ—ἕβδομος om. T 10 κλάδαι V cf. Et., Ap. 12 cτεφάνους F 14 διαλακτικαί I διαλεκτικαί GF 17 δὲ ex F, Phot. cf. Harp. 18 Θυcτηρίοις F, Lobeck in Hes. 624 om. F 19 καὶ alt.—20 ἡμίκαυτοι om. in lac. I